CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

CONTINUATA.

THEOPHANES CONTINUATUS.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXXXVIII.

THEOPHANES CONTINUATUS,

IOANNES CAMENIATA, SYMEON MAGISTER,

GEORGIUS MONACHUS

EX RECOGNITIONE

IMMANUELIS BEKKERI.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXXXVIII.

IMMANUELIS BEKKERI

PRAEFATIO.

Qui Theophanem excipiunt, rerum in imperio Byzantino ab anno 813 ad annum 963 gestarum scriptores et exscriptores, eorum plerosque si non edidit at editioni paravit Franciscus Combefisius O. FF. Praedicatorum, accepto a Luca Holstenio codicis Vaticani apographo Barberino. codex ipse cum post pacem Tolentinam Parisios devenisset, a Carolo Benedicto Hasio descriptus est in illo codicum Italicorum Parisios translatorum catalogo, quem gravi litterarum damno diu desideratum tandem aliquando speramus proditurum. inde compertum librum huius argumenti, quod sciamus, unicum inter Vaticanos numerari 167, esseque membranaceum, quadratum, saeculo duodecimo nitide scriptum, fine mutilum, cetera, si primam exceperis paginam, bene conservatum, foliis 168.

Hoc ipso codice ante Holstenium Leo Allatius usus Basilii Macedonis vitam in Symmictis suis Coloniae a. 1653 protulerat.

Idem ibidem Ioannis Cameniatae excidium Thessalonicae primus publicavit.

De Symeone magistro ita praefatur Combefisius ed. Paris. a. 1685 p. 400.

> Scripsit et ab orbe condito, exstantque altero ac maiori Regio codice. *) opus est ex diversis congestum historicis et annalium scriptoribus, ipsum tamen haud satis plenum. hic nobis verus annalista alterque continuator erit, ipso pene Theophanis digestus schemate, quantum codex alter, ipse Regius, minor repraesentavit, hoc unum a maiore discrepans, quod superiora illa a logotheta remotiora, ac in quibus levius opera perfunctus videatur, omisit; quo et nobis consilio praeivit; ac quod una haec in praesentem rem nostram faciant, eademque alio auctore ac stylo sub una libri serie repetita lucis plurimum sibi mutuo afferant; ut et Leoni grammatico, qui inter reliquos magis ipse egenus ac cribratissimus est. superiora maioris illius Regii codicis alia molitio dederit, et qua iam editi auctores chronographi, Eusebius Syncellus Theophanes Cedrenus (cum quo illi magis convenit), collatis singulis,

*) n. nunc 1712.

in rem literariam ac lucem temporum e Regia una Lupara haud leviter illustrari possint. adscriptum maiori illi codici, alia manu pauloque recentiori, "hic est metaphrastes," cuius tanti annales et chronica Hippolyto Thebano, ut et omnibus anteponat. debemus, ex quo exscripsi, codicem Raphaëli Trichet du Fresne, ex cuius libris ipso defuncto in gazam Regiam illatus; aliaque Graeca (ac in eis Maximi plenissimus codex atque optimus) me illi potissimum auctore, extrema sua in Italiam profectione, ditanda Graecis Gallia nostra eaque Christianum orbem, Parisios allata.

Postremo recentiorum qui dicuntur imperatorum vitae, pars est altera chronici a Georgio monacho ex Syncello maxime excerpti et locis patrum biblicisque ornati, cuius hic index: *χρονικὸν σύντομον ἐκ διαφόρων χρονογράφων τε καὶ ἐξηγητῶν συλλεχθὲν καὶ συντεθὲν ὑπὸ Γεωργίου μοναχοῦ.* eius igitur chronici pars extrema et lectu non indigna ut emendatius nunc quam antea legi possit factum est Hasii rursus beneficio, qui editionem Parisiensem ad codicem Coislinianum 134 accurate contulit.

Addiderat Combefisius incerti scriptoris *διάλογον στηλιτευτικὸν γενόμενον παρὰ πιστῶν καὶ ὀρθοδόξων καὶ πόθον καὶ ζῆλον ἐχόντων πρὸς ἔλεγχον τῶν ἐναντίων τῆς πίστεως καὶ τῆς διδασκαλίας τῶν ἁγίων καὶ ὀρθοδόξων πατέρων* p. 303 — 311; *ἐκ τῶν τοῦ ἀθλοφόρου Δημητρίου ἐν μερικῇ διηγήσει θαυματουργιῶν* p. 314 — 316; Demetrii Cydonii *μονῳδίαν ἐπὶ τοῖς ἐν Θεσσαλονίκῃ* (a. 1346) *πεσοῦσιν* p. 384 — 392; postremo

ΧΡΟΝΟΓΡΑΦΙΑ
ΣΥΓΓΡΑΦΕΙΣΑ ΕΚ ΠΡΟΣΤΑΓΜΑΤΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

ΤΟΥ ΦΙΛΟΧΡΙΣΤΟΥ ΚΑΙ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΔΕΣΠΟΤΟΥ,

ΥΙΟΥ ΛΕΟΝΤΟΣ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΔΕΣΠΟΤΟΥ ΚΑΙ ΑΥΤΟΚΡΑΤΟΡΟΣ....

ΑΡΧΟΜΕΝΗ ΟΠΟΥ ΕΛΗΞΕ ΘΕΟΦΑΝΗΣ............................. ΤΩ ΒΑΣΙΛΕΙ ΜΙΧΑΗΛ ΥΙΟΥ ΘΕΟΦΙΛΟΥ ΤΟΥ ΚΟΥΡΟΠΑΛΑΤΟΥ, ΗΓΟΥΝ ΑΠΟ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΡΜΕΝΙΟΥ.

Τῶν δὲ καθ' ἕκαστα τὰς ὑποθέσεις ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος φιλοπόνως συνέλεξε καὶ εὐσυνόπτως ἐξέθετο, νῆ τῶν μετέπειτα δῆλα γίν...... τῆς βασιλείας.

Καὶ τοῦτο πάντως τῶν σῶν, ὦ φιλοσοφώτατε βασιλεῦ, καλῶν, μετά γε πολλῶν ἄλλων τε καὶ μεγάλων, τὸ τὰ τῷ χρόνῳ παραρρυέντα καὶ κεχωρηκότα πρὸς τὸ μὴ ὂν πρὸς παλινζωΐαν αὖθις καὶ

tit. 7 ἀρχομένου P (i. e. editio Parisiensis) invito, ut Hasius testatur, codice. 10 post Ἀρμενίου in P lacuna, quae non est in codice. 12 νῆ τῶν] ἵνα τῆς P 13 τῆς βασιλείας om P

CHRONOGRAPHIA
CHRISTI AMANTIS AC PORPHYROGENNETI DOMINI CONSTANTINI,

SAPIENTISSIMI DOMINI LEONIS IMPERATORIS FILII, IUSSU CONSCRIPTA,

INDE DUCENS EXORDIUM UBI THEOPHANES DESIIT .... MICHAELE SCILICET THEOPHILI FILIO CUROPALATA IMPERATORE, HOC EST A LEONIS ARMENII IMPERIO..............

Argumenta singula imperator ipse Constantinus studiose collegit, et ne posteros superiorum temporum gesta lateant, dilucide, et ut capi facile possint, edidit.

FRANCISCO COMBEFISIO INTERPRETE.

Hoc quoque omnino, sapientissime princeps, ad alia tua multaque ipsa et magnifica ornamenta virtutesque accedit, quod ea quae tempore pereffluxerunt iamque esse desierunt, ad vitam denuo ortumque novum

P 2 παλιγγενεσίαν ἀναγαγεῖν, καὶ τοῦ τῆς ἱστορίας ἐπιμεληθῆναι καλοῦ, ἀλλὰ μὴ τοῖς πρὸ τοῦ τὴν βασιλικὴν ἐπειλημμένοις ἀμεληθῆναι ἀρχήν. οἱ μὲν γὰρ ζῆλον ἐζηλωκότες τοῖς ἀγαθοῖς ἀζήλωτον ὑπεξηρήσθωσαν τοῦ λόγου. τινὲς διενηνοχέναι ἐσπουδάκασι τῶν πολλῶν κατ' οὐδέν, ὅτι μὴ λόγου σύντροφοι ἀλλ' ἀγροικίας γεγόνασι κατεντρύφημα. τί γὰρ τοιοῦτον ἐξασκεῖν αὐτοκράτορα δεῖ, ὃ μὴ .... ἐπιφέρει τὴν ὄνησιν μετὰ λόγου γινομένων, δέον ἐπιμελεῖσθαι ἀνδρῶν καὶ τῆς λογικῆς ὅτι μάλιστα ἐπιστήμης, ἐξ ὧν τὸ κράτος βασιλείας, ὡς ἂν μὴ λάθοιεν κατὰ πρανοῦς φερό- B μενοι ἀλογωθέντες οἱ ἄνθρωποι, καὶ κινδυνεύσῃ τοῦτο, ᾧ τῶν πάντων διαφέρομεν, ἀφωνίᾳ παραδοθέν.

Ἀλλ' ὅσον μέν σοι πεπόνηται, πραότατε βασιλεῦ, περὶ τὴν λογικὴν καὶ τὴν τῶν ἀνδρῶν ἐπιμέλειαν, ἵνα τἆλλα......, θεωρήσουσι μὲν οἱ σοφοί, ὅτι δὴ καὶ σύ, μᾶλλον δὲ δὴ σὺ σαφῶς, ὅτι γε καὶ ἐκεῖνοι σοφοί. ἱστορεῖς δὲ αὐτός, χεῖρα μόνως λαβὼν ἡμῶν διακονουμένην σοι, ὅσα τοῖς πρὸ σοῦ βεβίωται, κἂν ἀποχρώντως ἔχωσι τὸ φαῦλον καὶ οὐ λαμπρόν, ἐπεὶ καὶ τούτων ἔνεστι C θηρᾶσαι τοῖς σπουδαίοις τὰ χρήσιμα. ἀμέλει τοιγαροῦν πάσης ἀσχολίας καὶ ἀργίας τὴν περὶ λόγου προτετιμηκὼς σπουδήν, ἅτε δὴ τούτου μάλιστα τοῖς ὑπηκόοις φιλομαθέσι τε καὶ φιλιστοροῦσιν ζῆλον καὶ ἀρετὴν ἐγγεννῶντος, τὰ μὲν ἐκ τῶν γεγραμμένων τὰ δὲ ἐκ τῶν ἀκοῇ

2 τοὺς — ἐπειλημμένους? 4 οἵ τινες? 7 μὴ κοινὴν ἐπιφέρει? γινόμενον?

studeas revocare, historiaeque bonum cura prosequaris, nec velut ii qui ante imperii clavum moderati sunt, abs te negligi patiaris. atque horum quidem, qui ea aemulati sunt quae nemo bonus unquam aemuletur, nulla nobis mentione habita, fuerunt quidam qui ut supra vulgus praestarent, nihil operae posuerunt, quod neque literis educati sint, sed rusticitatis ludibrium propudiumque exstiterint. quid enim eiusmodi imperatorem excolere deceat, quod homini ratione praedito nihil commodi afferat? cum magis deceat virorum curam habere, praecipueque scientiae rationalis, quibus imperii robur praestatur, ne homines in praeceps ruentes paulatim obbrutescant, ac ne id quo universis praecellimus, silentio traditum periclitetur.

Quantam vero tu, mitissime princeps, operam posueris tum in rationali scientia tum in hominum cura, ut alia praetermittam, commemorabunt quidem homines sapientes, quando et tu ipse, vel potius tu ipse palam, quod et illi sapientes. scribis autem ipse, manum duntaxat nostram tibi ministrantem assumens, quaecunque superioris aetatis hominibus gesta noscuntur, tametsi illa abunde vitiosa sint nec virtutis laude admodum splendeant, quod hinc quoque viri studiosi commodum referant. sane igitur omni alia occupatione otioque eruditionis literarumque curae posthabitis, quod nimirum ea res doctrinae historiaeque amantibus subditorum animis aemulationem virtutemque inferat, ex iis

παραδεδομένων συνηθροικὼς ὥσπερ τι κοινὸν διδασκαλεῖον προθεῖναι πᾶσιν ἐβουλεύσω καλῶς, ἐκείνην ταύτης ἀρχὴν εἶναι νομίσας τῆς ἱστορίας ἀρίστην, τὴν τῷ μακαρίτῃ Θεοφάνει γενομένην κατάληξιν, ὃν κατὰ συγγένειαν καὶ ἀγχιστείαν, τὸ εἶναι υἱωνὸς λαχών, D ἀποσεμνύνεις τε ἐκ τῶν σῶν ἱκανῶς καὶ ἀντιλαμβάνεις αὖθις παρ' αὐτοῦ τινὰ εὔκλειαν.

Ἐκεῖνος μὲν οὖν εἰς τὴν τοῦ κουροπαλάτου Μιχαὴλ βασι- P 3 λείαν καὶ ἧτταν τὴν ἐκ τῶν Βουλγάρων συμβᾶσαν αὐτῷ καταπροδοθέντος ὑπὸ τῶν ἑαυτοῦ κατέληγε, τῆς τοῦ Λέοντος μόνον μνησθεὶς ἀναρρήσεως, μηδὲν μήθ' ὅθεν ἦν μήθ' ὅπως ἐτράφη δῆλον τοῖς ἀναγινώσκουσι πεποιηκώς. ἡμεῖς δέ, ὥσπερ τῇ κεφαλῇ τὰ ἄλλα μέρη συνάπτοντες, αὐτήν τε τὴν ἱστορίαν ὁλόσωμον ἀλλ' οὐχ ἡμιτελῆ ἀποδείκνυμεν, καὶ πρὸς τὸν ἑξῆς καὶ κάτω χρόνον B τοῖς μὴ ῥᾳθυμότερον ζῶσι διαβιβάζομεν, κέρδος ἀλλ' οὐ ζημίαν αὐτοῖς πορίζόμενοι, εἴγε δὴ καλὸν καὶ πρὸς ἀσφάλειαν εὔοδον τῶν ἀγαθῶν τε καὶ μὴ τὸν βίον διαγινώσκειν.

2 ταύτην vulgo 3 post κατάληξιν Goarus ex coniectura: πάντων τῶν βασιλέων ἕως τοῦ νυνὶ καιροῦ καὶ τῆς βασιλείας σου τὰ πεπραγμένα διὰ λόγου συλλαβεῖν· εἰ καὶ τοῦ ἀοιδίμου σου πάππου τοῦ ἐν βασιλεῦσι εὐκλεοῦς βασιλέως Βασιλείου τὰ παρὰ σοῦ ἱστορούμενα, καὶ μετὰ πάσης σαφηνείας καὶ λόγου εὐκοσμίας κατὰ τὸ τῶν γενομένων ἀληθὲς καὶ εἰλικρινὲς εἰς τὸ φανερὸν παρὰ τῆς σῆς πολυμαθεστάτης εἰδήσεως ἐξαγορευθέντα, περιττὸν ἂν εἴη οὐδοτιοῦν διηγήσασθαι. 9 καταπροδοθέντι?

quae aut ab aliis scripta aut auditione accepta sunt unum corpus contexens, communem quasi scholam universis proponere sagaci consilio decrevisti. huius historiae illud optimum ratus initium, ubi felicis memoriae Theophanes scribendi finem fecisset, [ita nimirum ut omnium imperatorum ad hanc usque aetatem tuumque imperium res gestas sermone complectatur. Quanquam inclyti avi tui, inter Augustos fama celeberrimi, Basilii imperatoris gesta abs te conscripta, omnique perspicuitate ac sermonis ornatu vere sincereque ab eruditissima prudentia tua, omni denique fide narrata, superfluum nobis sit ullo modo retractare] quem sanguinis necessitudine (illius ipse nepos) propius contingens cum tuis ornamentis abunde honestas, tum rursus quandam ab eo claritatem recipis.

Is porro in Michaëlis Curopalatae imperio acceptaque a Bulgaris clade per suorum proditionem, Leonis duntaxat proclamati Augusti levius facta mentione, scribendi finem fecit, eiusque nec natales aut patriam nec educationem lectoribus aperuit. nos autem velut membra reliqua capiti iungentes tum ipsum historiae corpus integrum, non quasi dimidia parte mutilum, repraesentamus, tum ad ea quae deinceps secutisque temporibus gesta sunt traducimus, rem scilicet praestantes iis qui in otio et desidia vivere noluerint utilem, nihilque eis damni afferentem. quippe bonum est et ad securitatem cum primis utile ut bonorum pariter atque malorum vitam cognoscamus.

ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ
Λ Ε Ο Ν Τ Ο Σ.
Λ Ο Γ Ο Σ Α.

P 4 Πατρὶς μὲν οὖν τοῦ δηλωθέντος Λέοντος Ἀρμενία, γένος δὲ τὸ μὲν ἐξ Ἀσσυρίων τὸ δὲ καὶ αὐτῶν Ἀρμενίων, οἳ καὶ τοὺς ἰδίους ἐξ ἀνοσίου γνώμης σφαγῇ μιαιφόνῳ παραδόντες γεννήτορας ὑπερορίας κατεδικάσθησαν, κἀκεῖσε δὴ τὸν πένητα βίον, ἅτε δὴ καὶ φυγάδες, διαθλοῦντες τὸν εἰρημένον θῆρα ἀπέτεκον. ἄρτι γοῦν εἰς ἐφήβους ὁ Λέων ἐτάττετο, καὶ κώμην Πίδραν κατονομαζομέ- B νην, ὑπὸ τὸ θέμα τελοῦσαν τῶν Ἀνατολικῶν, τῆς πατρίδος ἀλλάσσεται· ἔνθα δὴ καὶ ἀνδρὸς ἡλικίαν δεξάμενος, τοῖς μαχιμωτάτοις καὶ φονικωτάτοις καταριθμούμενος δόξης εὐμοίρησεν ἐπὶ γενναιότητι. Νικηφόρος τότε τὰς τῆς βασιλείας ἴθυνεν ἡνίας, ὁ τρόπαιον ἐν Βουλγαρίᾳ γενόμενος, καὶ μονοστράτηγον τὸν Βαρδάνιον, ᾧ Τοῦρκος ἐπίκλην, τῶν πέντε θεμάτων τῶν κατὰ τὴν Ἀνατολὴν τὴν ἐφορείαν καὶ πρόνοιαν διοικούμενον διά τε τὴν ἐν πολέμοις τόλμαν καὶ τὰς ἄλλας ἐπανθούσας αὐτῷ ἀρετὰς ἐξαπέσταλκεν· ὃς ἅτε δὴ τῶν ἐχθρῶν ἀγαπῶν κυριεύειν καὶ τὴν βασιλείαν ἑκάστοτε ὀνειροπολῶν, τοῦτόν τε, περὶ οὗ ὁ λόγος, τὸν Λέοντα καταπληκτικὸν βλέποντα καὶ γενναῖον ἀνάστημα ἔχοντα

LEONIS ARMENII IMPERIUM.
LIBER I.

Eius itaque quem dicebam Leonis patria Armenia fuit. genus partim ex Assyriis partim ex ipsis Armeniis propagatum fuit. hi cum scelestae mentis proposito truci nece parentes sustulissent, exilio damnati sunt; in quo velut profugi, pauperem tolerantes vitam, quem nominavimus, feram bestiam susceperunt. iam itaque Leo pubertatis annos ingressus in oppidum Pidra nomine, quod Orientalium thematis est, migravit: ubi cum viriles annos attigisset, bellicosissimis viris truculentissimisque connumeratus, strenui fortisque pectoris viri laude claruit. Nicephorus cum per id tempus imperii habenas moderaretur, in Bulgaria insigni Romanae rei ludibrio occubuit. supremum is ducem Bardanium, cognomento Turcum, destinaverat, quinque tunc Orientalium thematum agentem praesidem, ac qua pollebat bellica fortitudine ac reliquarum virtutum laude, provida cura gubernantem. porro Bardanius, ut cui hostium potiri in votis esset, ac cum sibi ipse quotidie imperium somniaret, hunc de quo loquimur Leonem, hominem gravi trucique aspectu

καὶ ἄλλως ἀστεῖον ἐν ταῖς ὁμιλίαις δοκοῦντα τοῖς ἑαυτοῦ δορυφόροις ἐγκαταλέγει καὶ διακόνοις, καὶ πρό γε τούτου ἢ μετὰ τοῦτο μικρὸν Μιχαήλ τε τὸν Τραυλὸν καὶ Θωμᾶν τὸν ἀπὸ λίμνης Γαζουροῦ, ταπεινοὺς πάντας καὶ ἀζήλους ὄντας καὶ ἀρτίως εἰς γνῶσιν ἀγομένους τοῖς τὰς πολεμικὰς ἐγκεχειρισμένοις ἀρχάς. (2) ἐκρέ- (B) μαντο οὖν οὗτοι τοῦ Βαρδανίου, καὶ ἐν αὐτῷ τὰς κοσμικὰς ἐλπίδας ἐσάλευον· καὶ οὗτος τῆς βασιλείας ὢν ἐραστὴς ἀνδρί τινι μονάζοντι κατὰ τὸν τοῦ Φιλομηλίου χῶρον καὶ ἐνδιαιτωμένῳ τὴν ταύτης ἀνακοινοῦται γνώμην αὐτῷ καὶ ἐπιθυμίαν, καὶ πρὸς θεὸν εὐχὰς ἱκετηρίους παρεκάλει τοῦτον ἀναπέμπειν, τὰ αὐτοῦ διαβήματα κατευθυνούσας καὶ τὴν βασιλείαν ἐπιβραβευούσας αὐτῷ. ἀλλ' ἤκουσεν αὐθωρὸν ὡς οὐ δέοι τοιούτων κατατολμᾶν πραγμάτων, Βαρδάνιε, δι' ὧν ἀπώλειά τε περιουσίας καὶ ὀμμάτων περι- (C) κοπὴ καὶ δυστυχία ἄλλως οὐ καλῶς σοι γενήσεται· ἀλλ' εἴ τι ἔχεις πεισθῆναί σοι συμβουλεύοντι, ἀποπήδησον τούτων διὰ βραχέων, ἀρχήν τινα μηδ' ὅλως τῶν τοιούτων σου πραγμάτων βάλλων εἰς νοῦν. ἐπληρώθη κατηφείας καὶ ἀχλύος ὁ ἄνθρωπος τούτων τῶν λόγων ἀκηκοώς. καὶ τέλος ἐξῄει τοῦ δωματίου πλήρης ἀθυμίας καὶ θλίψεως. ὡς δὲ τοὺς εἰρημένους ἄνδρας, Λέοντά τε καὶ Μιχαὴλ καὶ Θωμᾶν, τὸν ἵππον ἄγοντας ἀναβῆναι τούτῳ ὁ μοναχὸς ἐθεάσατο, τὸν στρατηγὸν ὑποστρέφειν παρεκελεύετο· καὶ ὡς καινῶν τινῶν καὶ ξένων ἀκούσεσθαι προσδοκῶν, θᾶττον ἢ (D)

atque animo generoso, quique praeterea colloquio blandus videretur moribusque urbanus, suis tum satellitibus ac ministris adlegit, atque hoc priorem, aut certe brevi post, Michaëlem Balbum, nec non Thomam Gazura palude oriundum, abiectae omnes sortis homines nullaque hactenus nominis claritate conspicuos, ac qui tum primum militarium ordinum ducibus tribunisque innotuissent. (2) hi ergo toti e Bardanio pendebant, inque eum omnes spes suas saecularis claritatis iactabant. Bardanius porro imperii nanciscendi cupiditate flagrans viro cuidam in Philomelio monasticam vitam agenti illicque commoranti eius quandoque adipiscendi animum aperit, ac confert consilium, rogatque ut supplices ad deum pro eo preces fundat, quo eius gressus dirigantur exque voti ratione imperii compos fiat. ad quem protinus monachus "noli, Bardani, eiusmodi aliquid temere aggredi ac praesumere, unde futurum ut substantiam amittas et oculi effodiantur aliaque tibi infausta eveniant. sed si quid probe inque rem tuam consulenti obaudis, quam cito ab ea animum transfer molitione, nullam parandi principatus cogitationem assumens, cuius res se ita habeant." quo audito maestitia quaedam ac caligo hominem incessit, tristique et afflicto animo e tugurio pedem refert. tum monachus, quos dicebam viros, Leonem scilicet et Michaëlem et Thomam, equum adducentes, quem conscenderet, videns, ducem redire iubet. is vero nova quaedam et inaudita se auditurum spe-

λόγος ὑπέστρεφεν. ἀλλ᾽ ἐκεῖνον μὲν αὖθις ἐξελιπάρει μὴ πρὸς τὰ ἐλπιζόμενα αὐτομολῆσαι δεινὰ καὶ τὴν ἀποῦσαν κακοπραγίαν τῆς παρούσης εὐδαιμονίας ἀλλάξασθαι· αὐτοὺς δὲ τούτους προφήτιδι γλώττῃ διεμαρτύρετο, βεβαιῶν ὡς ὁ πρῶτος τούτων καὶ δεύτερος τῆς σοι πεποθημένης βασιλείας γενήσονται ἐγκρατεῖς, ἀλλ᾽ οὐ σύ, ὁ τρίτος δὲ εὐφημίας μόνης καὶ ἀναρρήσεως μετασχὼν οὐδ᾽ ὅλως εὐοδωθήσεται, ἀλλὰ καὶ κακῶς τὴν ψυχὴν ἀπορρήξει τὴν ἑαυτοῦ. τούτοις βαλλόμενος τὴν ψυχὴν ποικίλως ἠφίει κατὰ πρόσωπον τὰς χροιὰς καὶ αὖθις ἀπῄει τὴν οἴκαδε, ὁμοῦ μὲν βλάσφημά τινα κατὰ
P 6 τοῦ ἀνδρὸς καὶ ὕβρεις ἀπορρίπτων, ὁμοῦ δὲ τούτοις τὰς ἐκείνου δι᾽ αὐτοὺς ἐξαγγέλλων προρρήσεις, καὶ γέλωτα πολὺν καταχέων τῶν εἰρημένων. (3) χαίρειν οὖν εἰπὼν τοῖς ἐκείνου λόγοις, τῇ ἐννεακαιδεκάτῃ τοῦ Ἰουλίου μηνὸς τῆς ια´ ἰνδικτιῶνος κατὰ τοῦ βασιλεύοντος Νικηφόρου χεῖρα συναθροίσας πολλήν, καὶ τὰ ὑφ᾽ ἑαυτὸν τέσσαρα θέματα τοῖς ἑαυτοῦ λόγοις ὑπαγαγών, τῶν Ἀρμενιακῶν χωρὶς (οὐδὲ γὰρ ὑπεῖξαν αὐτῷ), τῆς ἐπαναστάσεως ἄρχεται. ἐμίσει μὲν οὖν τότε τὸν Νικηφόρον τὸ ὑπήκοον τῷ βάρει
B πιεζόμενον τῶν δημοσίων τελῶν, ὃ γέγονέ πως καὶ ἀφορμὴ καὶ σύνδρομον ἐκείνῳ τῆς ἐπαναστάσεως· γέγονε δέ τι καὶ ἕτερον αἴτιον. ὡς γὰρ κατὰ τῶν Ἀγαρηνῶν ὁ Βαρδάνιος ἠνδραγάθησεν καὶ τῆς γενομένης πολλῆς λαφυραγωγίας δικαίᾳ προνοίᾳ πεποίηκε τὴν διανομήν, κατάλληλα τοῖς ἀγωνιζομένοις ἐν πολέμῳ ἀλλ᾽ οὐ

rans dicto citius reversus est. tum ille iterum Bardanium rogare ac obtestari, ne ipse sponte ad parata mala procurrat, neve absens infortunium cum praesenti rerum secundarum statu commutare quaerat. his autem ipsis futurorum praescia lingua contestatus est certoque affirmavit fore ut primus alterque imperii, quod sic ille deperiret, compotes fierent, ipse illo nunquam potiretur. tertio, cum fausta omnia publicamque acclamationem consecutus esset, nihil ex voto ac prospere cessurum, sed fore ut et animam male abrumperet. his mente perculsus Bardanius, ac vultus colorem identidem mutans, rursus domum abit, simul maledicta quaedam verbaque atrocia in monachum iactans, illiusque sic in eos fausta vaticinia narrans, multoque risu homini dicta excipiens. (3) eius itaque sermonibus valere iussis, ad decimam nonam Iulii mensis, indictione undecima, ingenti adversus Nicephorum imperatorem coacto exercitu, eque subiectis thematibus verborum lenocinio quattuor in sententiam pertractis, Armeniis duntaxat in fide perstantibus (nec enim ut Bardanio morem gererent induci potuerant), rebellionem orditur. erat vero Nicephorus tum subditis exosus, quod publicorum vectigalium gravi onere eos opprimeret. hinc novandarum rerum ansa quaedam et occasio fuit: sed et alia quaedam huic causa accessit. nam cum Bardanius adversus Agarenos rem feliciter gessisset, praedamque, qua potitus erat, maximam aequissime inter milites divisisset, nulla personarum ratione, sed pro merito eorum qui pugnaverant largi-

κατὰ πρόσωπον τὰ ἆθλα προθείς, ἔδοξε καὶ βασιλείας τούτοις ἄξιος μεταλαχεῖν. ὅθεν ἀναρρηθεὶς δημοσίᾳ φωνῇ βασιλεύς, καὶ πολλῶν ἄλλων ἀπολαύσεών τε καὶ γερῶν ἐκ τοῦ δήμου καταξιωθείς, ὡς καὶ ναὸν ἐπ' ὀνόματι αὐτοῦ ἀνεγεῖραί τε καὶ κατασκευάσαι, τὴν ἐπὶ Νικομήδειαν φέρουσαν ᾔει ὁδόν. ἀλλ' ἀποχρῶσαν καὶ ἐφάμιλλον ὁ βασιλεύων Νικηφόρος δύναμιν ἐκστρατεύσας, καὶ C *περὶ τοῦ μέλλοντος δύσελπιν ποιήσας αὐτὸν τῷ πλήθει τῶν ἀντιπαραταττομένων, ἔπεισεν αὐτὸν συγγνώμην φθάσαντα ἐξαιτήσασθαι. ἄρτι μὲν γὰρ Λέων ἄρτι δὲ καὶ Μιχαὴλ ἀπορρυέντες πρὸς βασιλέα, ἆθλον ὁ μὲν τὴν φοιδεράτων καὶ βασιλικὸν οἶκον τοῦ Ζήνωνος καὶ τὸν Δαγισθέα, ὁ δὲ τὴν τῆς κόρτης κόμητος ἀρχὴν καὶ τὸν τοῦ Καριανοῦ οἶκον ἀπενεγκάμενοι, οὐκ ἀγαθὰ φρονεῖν αὐτὸν περὶ ἑαυτοῦ πεποιήκασιν. ὅθεν αὐτῷ τε καὶ τῷ λαῷ συγγνώμην αἰτούμενος ἐκ βασιλέως μέχρι τῶν Μαλαγίνων ὑπέστρεφεν· κἀκεῖ τοὺς τῆς ἀπαθείας λόγους δεξάμενος καὶ τὸ χρυσοῦν σταυρίδιον,* D *ὃ παρὰ τοῦ Νικηφόρου φορούμενον αὐτῷ ἀπέσταλτο πρὸς ἀσφάλειάν τε καὶ πίστωσιν, πρὸς τὴν τοῦ Ἡρακλείου μονὴν νύκτωρ, τὸν Θωμᾶν μόνον συγκινδυνεύοντα ἔχων, ἀπέφυγεν, τὸν τῆς κεφαλῆς κόσμον ἀφαιρῆσαι σπουδάζων. καὶ ὁ μὲν τῆς μονῆς προεστὼς τοῦτο δρᾶσαι τοῦτον οὐ συνεχώρει· αὐτὸς δὲ τῇ ᾗ περιεζώννυτο σπάθῃ τὸν πλόκαμον αὐτοῦ ἀφελών, καὶ πενιχρὰν ἐσθῆτα ἀμφιασάμενος, εἴχετο τῆς πρὸς τὴν Πρώτην νῆσον πορείας, ἔνθα δὴ τούτῳ κτῆμα καλῶς πεπονημένον ἐνῆν, καὶ ὁ βασιλεὺς ἐκεῖ μένειν*

16 τὸ vulgo.

tus praemia, tantam exercitus omnis iniit gratiam ut et dignum putaverint qui imperio potiretur. hincque adeo publice imperator proclamatus, pluresque alios honores ac praemia populi in eum studiis consecutus, ut et templum eius nomine erexerint, Nicomediam versus iter contendit. verum cum Nicephorus imperator idoneum nec ullatenus imparem exercitum in eum eduxisset, et militum multitudine perculsum de eventu belli desperare coegisset, persuasit illi ut prior veniam peteret. iam enim Leo atque etiam Michaël cum ad imperatorem defecissent, ab eoque donati essent alter foederatorum praefectura regiaque Zenonis domo et Dagistea, alter aulae comitis dignitate ac Cariani aedibus, fecerant ut suis ille rebus diffideret. quapropter tum sibi ipse tum copiis veniam ab imperatore precatus ad Malaginas usque iter reflexit, quo loco securitatis fidem accepit, parva quoque cruce aurea, Nicephoro gestari solita, certo datae fidei pignore ad eum missa. tum ad Heraclii monasterium noctu aufugit, uno Thoma periculi socio; cumque capitis ornatum vellet auferre, non acquievit monasterii praeses. tum ille ense, quo praecinctus erat, comam amputans, vilique indutus toga, versus Proten insulam iter arripit, quo loco praedium pulchre excultum olim possidebat; in quo et extorrem agere imperator manda-

P 7 *περιωρισμένον ἐπέτρεψεν. ἐκεῖσε γοῦν περαιωθείς, καὶ τὰς συνήθεις εὐχὰς καὶ τὸ τῶν μοναχῶν θεῖον σχῆμα δεξάμενος, μετωνομάσθη Σάββας, ἀγῶνας ἀσκητικοὺς πολλοὺς ἐνδεικνύμενος. οὐ πολὺ τὸ ἐν μέσῳ, καί τινες τῶν ἐκ τῆς Λυκαονίας αὐτῷ ἐπιθέμενοι καὶ ποιήσαντες ἔρημον τῶν ὀφθαλμῶν, γνώσει καὶ εἰδήσει τοῦ βασιλεύοντος, τῷ τοῦ θεοῦ προσφεύγουσι θείῳ καὶ μεγάλῳ ναῷ· καὶ τέλος εἶχεν καὶ ἡ πρόρρησις τοῦ τὸ Φιλομήλιον ἐνδιαιτωμένου μονάζοντος. ἀλλ' ἐκεῖνος μὲν ὡς εὐεργέταις αὐτοῖς ἐπευξάμενος τῆς σκληροτέρας εἴχετο ἀγωγῆς, οἴνου τε καὶ ἰχθύων καὶ ἐλαίου*
B *ὁλοσχερῶς ἀπεχόμενος, γυμνήν τε ἀεὶ φέρων τὴν κεφαλὴν καὶ τοὺς ἑαυτοῦ πόδας, κἂν εἴ τις σφοδρότερος ἐγεγόνει χειμών. ἔτι δὲ μονοχίτων διετέλει, τῷ θέρει μὲν δερμάτινον χιτῶνα ἀμφιεννύμενος, τῷ χειμῶνι δὲ τρίχινον περιβαλλόμενος. ἔζη δὲ οὐ σιτίνῳ, κρίθης δὲ ἀλεύρῳ ἐγκρυφίαν ποιῶν. καὶ οὕτω παρέπεμπεν τὸν ἑαυτοῦ βίον, διαρκέσας ἕως ὁ Λέων τῆς βασιλείας ἐγένετο ἐγκρατής. ἀποκαρῆναι δὲ καὶ τὴν ἑαυτοῦ σύμβιον Δομνίκαν ἅμα θυγατρὶ καὶ τοῖς ἑαυτοῦ παισὶν ἐν τῷ ἰδίῳ οἴκῳ ἐποίησεν, μετονομάσας αὐτὴν Ἀθανασίαν, ἅπαντα δηλαδὴ τὸν πλοῦτον διανείμας*
C *πτωχοῖς. καὶ τὰ μὲν κατὰ τὸν Βαρδάνιον οὕτω τε καὶ τοιαῦτα.*

4. *Ὁ δὲ Λέων εἴχετο τῆς δόξης καὶ ἐγαυρία ἐκ ταπεινοῦ καὶ ἀδόξου περίβλεπτος ὁραθεὶς κατὰ τὴν τῶν φοιδεράτων ἀρχήν. ἀλλ' οὐδὲ τῆς ἀχαριστίας ἀπείχετο, τοιοῦτος περὶ τὸν εὐεργέτην*

7 *τοῦ κατὰ τὸ?*

verat. illuc itaque traiiciens, solitisque precibus initiatus ac monachorum divinum habitum consecutus, mutato nomine Sabbas appellatur, pro sanctioris ab eo arrepti instituti ratione plura ac magna certamina desudans. haud longum tempus fluxerat, cum Lycaonum quidam impetu in eum facto atque eo oculis orbato, sciente ac volente, qui tum rerum potiebatur, Nicephoro, in divinum magnumque dei templum confugiunt. inque eum modum Philomelii quoque monachi vaticinatio exitum habuit. ceterum ille, velut a quibus beneficio affectus esset, faustis votis homines prosecutus austerioris vitae disciplinam colebat, vino piscibus oleo penitus abstinens, nudo semper capite ac pedibus, vel cum acrior hiems desaeviret. ad haec una tunica corpus contegebat, aestate quidem pelliceam induens, hieme vero cilicinam. non triticeo pane vitam sustentabat, sed sibi ipse hordeaceos subcinericios panes faciebat. hanc itaque severioris vitae regulam consectatus duravit donec Leo imperio potitus est. quin et Domnicam coniugem cum filia liberisque domi detondendos curavit, Athanasiam appellans, cunctasque opes in pauperum eleemosynas erogans. atque hae quidem ac eiusmodi Bardanii res.

4. Porro Leo clarus habebatur ac superbia ferebatur, ex humili atque obscuro conspicuus atque illustris, pro foederatorum praefectura, quam gerebat. sed nec ingratos mores exuerat, talem se exhibens ad-

φανείς. πλὴν εἴχετο, καὶ μάχαις μάχας ἐπισυνάπτων κατὰ τῶν Ἰσμαηλιτῶν ἠνδραγαθίζετο, ἅτε μεγάλην ἐν τῷ τοιούτῳ μέρει καὶ φύσει καὶ τριβῇ προσφερόμενος δύναμιν. καί ποτε στρατιωτικῶν χρημάτων διανομὴν παρὰ τοῦ τὰ σκῆπτρα διέποντος Νικηφόρου ἐγχειρισθείς, ἐπεὶ οὐδὲν ἔμελεν αὐτῷ τῶν βασιλικῶν ἐντολῶν, οὐδ' D ἐξεπέραινέ τι, ἀλλ' ἐν πολίχνῃ Εὐχαΐτων τὸν καιρὸν ῥαστώνῃ καὶ ἀμελείᾳ κατατρίβων ἀνεβάλλετο τὰ νενομισμένα τῷ στρατῷ παρασχεῖν· καὶ φυλακῆς οὐδεμίαν πρόνοιαν ἔχων, οὔτε μὴν τῶν κοινῶν χρημάτων, οὐδὲ καὶ τοῦ ἑαυτοῦ σώματος, οὐδ' αὐτῶν τῶν ὑπὸ χεῖρα, τῶν Ἀγαρηνῶν ἐκδραμόντων καὶ τὰ Ῥωμαίων ληϊζομένων τὴν λείαν αὐτοῖς οὗτος, ἀλλ' οὐκ ἄλλος τις, ἀπεπλήρου ἀταλαιπώρως, ἀλλὰ δι' αὐτοῦ μὲν οὔ (ὀξείᾳ γὰρ φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο), τὰ στρατιωτικὰ δὲ προδοὺς καὶ μόνον οὐχὶ χερσὶ πολεμίοις ἐμβαλὼν χρήματα. οὗ δὴ ἕνεκα δίκας, εἰ P 8 καὶ μὴ τὰς ἀξίας, τῷ καταπιστεύσαντι δοὺς Νικηφόρῳ πληγαῖς τε ταῖς κατὰ νώτου ὑπήχθη καὶ στέρνων καὶ φυγῇ ἀϊδίῳ τὴν ζημίαν ἀπέτισεν. ἀλλὰ τοῦ Νικηφόρου κατὰ Σκυθῶν ἐκστρατεύσαντος καὶ τραυματίου κατὰ τὴν παρεμβολὴν τοῦ πολέμου πεσόντος μηνὶ Ἰουλίῳ εἰκάδι ἕκτῃ τῆς τετάρτης ἰνδικτιῶνος, καὶ τοῦ υἱοῦ Σταυρακίου κατὰ τὸν πόλεμον καιρίαν τρωθέντος ὡς δύο μὲν μόνους μῆνας καὶ ἡμέρας ἐπιζῆσαι ὀκτώ, συμβασιλεύσαντος δὲ πρότερον τῷ πατρὶ ἔτη ὀκτὼ μῆνας ἑπτά, καὶ Μιχαὴλ τοῦ κουρο-

versus eum qui beneficio affecerat. ceterum clarebat, aliaque aliis nectens praelia strenue adversus Ismaelitas ac secundo Marte pugnabat, quippe qui et sua ipse indole et exercitatione in eam rem multa virtute pollebat. Quandoque vero ab eo qui tum rerum potiebatur (Nicephorus is erat), quam in copias militares erogaret, pecuniarum vi credita, nihili pendens imperialia iussa ne rem quidem exsequebatur, sed in Euchaitarum ignobili oppido tempus voluptate ac ignavia terens, constituta exercitui stipendia praebere differebat; nec ullam omnino curam ac diligentiam adhibens tum pecuniae publicae tum suo ipsius tutando corpori, ac nec provincialibus conservandis, cum Agareni excursiones facerent Romanamque dicionem diriperent, solus ipse ac nemo alius confertam praedam citra omnem laborem eis tradebat, non quidem suis ipse fortunis ac periculo (quippe qui celeri fuga saluti suae consulebat) sed militaribus pecuniis proditis et quasi in manus hostium coniectis. quamobrem etiam eidem Nicephoro, a quo pecunias consignatas acceperat, poenas dedit, etsi leviores quam delicti ratio exposcebat, nempe dorsum renesque verberibus affectus, perpetuoque exilio multatus. ceterum cum Nicephorus adversus Scythas movens accepto in acie vulnere fatis concessisset Iulii mensis vigesima sexta, indictione quarta, Stauraciusque eius filius ipse quoque letali in praelio affectus vulnere non plures duobus menses diesque octo patri superstes exstitisset, Michael

B παλάτου μετὰ τὴν τοῦ Σταυρακίου κατὰ τὴν δευτέραν τοῦ Ὀκτωβρίου μηνὸς ἀποβίωσιν, γαμβροῦ μὲν Νικηφόρου τελοῦντος, ἐκ γενεᾶς δὲ καταγομένου τοῦ Ῥαγγαβὲ καὶ κατὰ τὴν θέσιν τῶν Μαγγάνων σκηνοῦντος, τὴν τῆς βασιλείας δεξαμένου ἀρχὴν κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς πέμπτης ἰνδικτιῶνος, ἀπολύεται ὁ Λέων τῆς ὑπερορίας κατὰ τὸ ἐπικρατῆσαν ἔθος τῆς χρηστότητος ἕνεκεν τοῖς Ῥωμαίων βασιλεῦσι, καὶ τῆς φυγῆς κατάγεται, καὶ τοῖς αὐτοῦ τούτου δὴ τοῦ Μιχαὴλ ῥαβδούχοις τοῖς κατὰ τὰ ἀνάκτορα συντάττεται ἐφεδρεύουσι, καὶ πατρικίων τιμᾶται μετ᾽ οὐ πολὺ τιμῇ, καὶ στρατηγὸς Ἀνατολικῶν ἀναδείκνυται, ἡνίκα καὶ τὴν παλαιὰν
C φιλίαν τοῦ σὺν αὐτῷ τραφέντος ἀνδρὸς Μιχαὴλ ἀνανεῶν, ὃν κόμητα τῆς κόρτης ἡ ἐκ τοῦ Βαρδανίου μετάταξις προετίμησεν, καὶ τῶν ἀπορρήτων μύστην λαμβάνων, τῶν ἔνδον τε εἶχεν πιστότατον καὶ τῶν ἐκτὸς πρακτικώτατον.

Ἀλλ᾽ ἔμελλεν αὖθις ἀχαριστίας ἁλῶναι γραφῇ, ὠμότητι συντραφεὶς καὶ ἀγριότητι ἐκτραφείς, καὶ τοῖς δευτέροις τὰ πρῶτα καλύψαι ὁ ἀλιτήριος. (5) ὅθεν ἄρτι Κρούμνου τοῦ τῶν Βουλγάρων ἡγεμόνος συμβάσεις καὶ φιλίας ὑποκριναμένου καὶ σπονδὰς
D ζητοῦντος εἰρηνικάς, εἰ μόνον τὰ κατ᾽ ἔτος διδόμενα εἰς τάξιν οἶμαι δοθῶσιν φόρου αὐτῷ, ὡς τοῖς πρότερον ἔδοξε, καὶ προστιθέντος ὡς καὶ τοὺς πρόσφυγας Βουλγάρων, πρὸς δὲ καὶ Ῥωμαίων εἰς τοὐπίσω ἐκδίδοσθαι τῷ ἑαυτῶν ἔθνει, ἄτοπον ἐφάνη τὸ τῶν

16 **ἐκτραφείς] an ἐντραφείς?**

vero Curopalata post Stauracium secunda Octobris vita functum (erat is gener Nicephori, Rangabae ortus prosapia, ad armamentarii aedes morans) imperii sceptra adeptus esset mense Octobri, indictione quinta, Leo exilio solvitur, Romanorum principum, cum primum inaugurantur, solenni clementia; atque a fuga revocatus ipsius Michaelis palatinis lictoribus accensetur. nec longa mora, patricii dignitate augetur duxque Orientalium creatur, quando et Michael veterem viri, quocum fuerat educatus, amicitiam renovans, quem aulae comitem relicta Bardanii factio ante provexerat, arcanorumque conscium assumens, rerum domesticarum fidissimum testem eorumque quae foris agenda essent efficacissimum ministrum adhibuit.

Rursus tamen ingrati animi labem sibi aspersurus erat homo crudeli ingenio agrestique indole educatus, ac qui priora sua, mortalium scelestissimus, sequentibus esset obscuraturus. (5) unde cum iam Bulgarorum dux Crumnus concordiam et pacis foedera amicitiasque ambire se simularet ac animum pacis cupidum praeferret, dummodo annua, quae pendi solita erant pro eo ac maioribus visum erat, Romani tributa praestarent, ea demum adiecta condicione, ut et Bulgarorum vicissimque Romanorum imposterum transfugae suae quique genti redderentur, trans-

προσφύγων τοῖς τῆς συγκλήτου βουλῆς, εἰ καὶ ὁ βασιλεύων Μιχαὴλ ὅλως ἐγένετο τῆς δόξης τοῦ ἄρχοντος τῷ γε δὴ τῆς εἰρήνης βούλεσθαι μὴ ἀποτυχεῖν. ἀλλ' ἐκράτησεν ἡ βουλή, Θεόκτιστον μάγιστρον ἐπικυροῦντα καὶ συντιθέμενον ἔχουσα τῇ δόξῃ, καὶ διελύθησαν πάλιν εἰς ἔργα πολέμου, τοὺς λόγους καταλιπόντες γυμνούς. καὶ τοῦτ' εἰκότως ἐφάνη καλόν· πῶς γὰρ ἄν τις φιλάν- P 9
θρωπος δόξῃ καὶ συμπαθὴς τόν γε διά τινα σφαλέντα δὴ περιπέτειαν καὶ τὴν ἑαυτοῦ μὲν ἀρνησάμενον ἐνεγκαμένην, ἧς οὐδὲν γλύκιον, ὥς φασι, πρὸς δὲ καὶ γαμετήν τε καὶ ἔγγονα, ὡς εἰς ἄσυλον καταφυγόντα βωμὸν τῇ τῶν Ῥωμαίων πολιτείᾳ, τοῦτον ἐκδίδοσθαι ὠμότητι Σκυθῶν, θηρίων διενηνοχότων οὐδέν; οἷς γὰρ τὸ φοβερὸν καὶ ἄγριον ὁρῶσιν αὐτῶν τοὺς πολλοὺς μὴ ὑποφέροντας καὶ διὰ τοῦτο ἀπορρέοντας πρὸς τὸ ἥμερον καὶ πρᾶον ἡμῶν συχνῶς, ἅτε δή, μὴ κατὰ μικρὸν λάθωσιν ἑαυτοὺς πρὸς ἡμᾶς ἐκκενώσαντες, δεδιότες οἱ σφῶν ἀρχηγοὶ τὸν πολὺν περὶ τούτων λόγον πολλάκις καὶ μέχρις ἡμῶν κεκινήκασιν. ἀλλὰ κενήν, τὸ δὴ λεγόμενον B
κατὰ τὴν παροιμίαν, ἔψηλαν, ἀνθρώποις ἐντυχόντες στερροῖς. (6) τοιγαροῦν μικρὸν διαλιπόντες κατ' ἀλλήλων ὁπλίζονται. καὶ Μιχαὴλ τὸν ἑαυτοῦ ὑποστράτηγον Λέοντα ἐπανάγειν καὶ διαπεραιοῦσθαι ἐκ τῆς Ἀνατολῆς θᾶττον ἠξίου μετὰ καὶ τῶν δυνάμεων· καὶ βοηθῷ μέλλων χρῆσθαι αὐτῷ ἐχθρὸν κατέλαβεν ἄσπονδον.

2 ὅλος?

fugarum caput illud absurdum senatui visum est, quanquam Michael imperator totus in principis Bulgarorum sententiam ibat, quod ineundae pacis occasionem illam sibi nolebat aufugere. obtinuit tamen senatus sententia, quam Theoctistus magister sequeretur ac cui vim ac pondus auctoritate sua adiiceret. iterum ergo relictis colloquiis ad belli aleam revocatum negotium; idque magis decere merito iudicatum est. quomodo enim non omnem humanitatis sensum exuisse arbitrandus est, qui hominem casu aliquo aut vicissitudine in errorem prolapsum, patriaque, qua nihil dulcius esse aiunt, contempta, ad haec uxore et liberis, ceu ad aras inviolabiles, ad Romanae dicionis loca confugientem, Scythicae gentis immanitati, cuius a feris nihil indoles differat, dedendos putaverit? cum enim terribiles trucesque ac feri sint, multos suorum id non ferentes ad lenitatem et mansuetudinem nostram saepenumero transire animadvertunt. ne igitur universa ipsorum gens in nostram paulatim sese effundat, veriti eorum principes saepius et ad nostram usque aetatem multos de hac re sermones moverunt. in vanum tamen, quod communi fertur adagio, cecinerunt, viros nacti firmi propositi, et qui a sententia non facile dimoverentur. (6) brevi itaque cessatum mora, ambaeque mox gentes ad arma concurrere. in his Michael legatum suum reverti iubet, exque Oriente cum copiis quam cito transmittere: enim vero quo se adiutore usurum exspectabat bellique socio, implacabi-

ὡς γὰρ ἐκ τῶν μεγαλαύχων ῥημάτων καὶ ἀπειλῶν ὧν κατὰ Ῥωμαίων ὁ Κροῦμνος ἀπέπεμπε, φθόρους σωμάτων ἐπαπειλῶν καὶ C γῆς δῄωσιν καὶ δένδρων ἐκτομὰς καὶ οἰκημάτων πυρπόλησιν, καὶ ὅλως καθ' ἡμῶν οἷά τις χειμάρρους ποταμὸς φερόμενος πάντας ὑφ' ἑαυτὸν ποιῆσαι διεβεβαίου, ἄρτι δὴ τοῦ βασιλέως ἐκστρατεύσαντος καὶ συστείλαντος τὰς ὑπερορίους ἐκείνας ἀπειλάς, καὶ μόνον οὐ τοῖς οἰκείοις ὅροις ἐμμένειν καταναγκάζοντος ἀλλ' οὐκ ἐκπηδᾶν καὶ τὴν ἡμετέραν λῄζεσθαι, καὶ πολλάκις ἐκ παρατάξεως προσκαλουμένου μὲν τοῦ Μιχαήλ, ἐκείνου δὲ μὴ ἀπαυθαδιαζομένου ἀλλὰ τὴν οἰκείαν ἐπιγινώσκοντος ἀσθένειαν καὶ μὴ πρὸς βασιλέα χεῖρα ἀνταῖραι κατατολμῶντος, ἐδόκει μὲν τῷ Μιχαὴλ ἀρκεῖσθαι τὸ προπετὲς ἐκείνου καὶ αὔθαδες ἐν τοῖς ὑπ' αὐτοῦ κατακλείσαντα, μὴ D καὶ μάχην ἐπισυνάψαι, ὡς ἀδήλου ὄντος τοῦ μέλλοντος· "ἐπεὶ" γὰρ ἔλεγεν "ἐκ παρατάξεως ἡμῶν οὐκ εἰς πόλεμον οἷοί τέ ἐσμεν ἐκκαλέσασθαι, ἀλλὰ φυγομαχεῖν καὶ ἐφ' ἑαυτοῦ μένειν ἀναγκάζομεν, τί καὶ δράσαιμεν βιαζόμενοι; διὰ τοῦτο οὖν παλινδρομεῖν ἠρέμα πως καὶ κατὰ μικρὸν πρὸς τὴν οἰκείαν βασιλείαν βουλομένου, ἀπρεπὲς ἐφάνη τῷ Λέοντι καὶ οὐ κατὰ βασιλέα Ῥωμαίων νῶτα διδόναι τοῖς ἐχθροῖς, οὕτω καλοῦντι P 10 ἐκείνην τὴν καλλίστην βουλὴν τῷ μὴ ὀρθὰ μηδ' ὑγιᾶ φρονεῖν σεσαθρωμένα δὲ καὶ δόλια, καὶ ὅλην ὑφ' ἑαυτὸν ποιῆσαι τὴν τῶν Ῥωμαίων μελετῶντι ἡγεμονίαν. "ἀλλ' ἰτητέον" ἔφη

8 τὴν om P 10 βασιλέως P: cf. p. 109 d. 12 αὐτῷ?
15 ἑαυτὴν vulgo.

lem hostem offendit. cum enim ex verborum illa iactantia ac Romanis intentatis minis, quibus se Crumnus hominum stragem facturum, agros vastaturum, arbores excisurum, domos succensurum, omninoque torrentis more, violento in nos impetu, irruptionem se facturum affirmabat ac omnes sub iugum missurum, animatus imperator suscepta iam expeditione, modum omnem excedentes barbari minas compressisset, vixque non suis se finibus continere, nec inde prorumpere agrosque Romanos vastare coegisset; saepiusque provocante Michaele, instructa in eum acie, pugnae is aleam compressa audacia detrectasset, quin immo vires suas agnosceret, nec adversus imperatorem manum conserere auderet; sufficere Michaeli videbatur, quod barbaricam illam ferociam ac temeritatem suis velut terminis sine pugna, cuius incertus exitus est, conclusisset. quando enim, aiebat, quibus freti copiis sumus ad pugnam committendam excire non possimus, sed eam detrectare suisque se finibus continere cogamus, quid etiam necesse ut ad experiendum Martem cogamus? cum itaque sensim pedem referre paulatimque Romanum solum repetere Michael cogitaret, visa res indigna Leoni, nec ex imperatoris Romani maiestate, terga hostibus vertere. hoc enim Leo optimum illud imperatoris consilium dicebat, quod nimirum non recte ac sincere sentiret, sed putri dolique pleno consilio, unum hoc moliretur, ut in se rerum summam transferret. "sane," aiebat, "imperator, movenda nobis in

"πρὸς αὐτούς, ὦ βασιλεῦ, καὶ ὄψει με σήμερον τὸ κράτος καθαρῶς ἀναδούμενον κατὰ τῶν ἐχθρῶν καὶ νικηφόρον δεικνύμενον, τῇ σῇ καταθαρροῦντα καὶ προπολεμοῦντα πεποιθήσει τε καὶ εὐχῇ." τούτοις ὁ Μιχαὴλ τοῖς λόγοις ἐκτραπείς τε καὶ παρασαλευθεὶς συρρῆξαι παρεκελεύσατο τὸν πόλεμον. ὡς δὲ μόνον ἐγένετο συμβολή, νῶτα δοὺς ὁ Λέων τὴν φυγαδείαν ἠσπάσατο, τὴν βασιλείαν ἀεί πως ἐπιζητῶν. καὶ τοῦτο τέως ἄδηλον ἦν αὐτῷ τε τῷ Μιχαὴλ B καὶ τοῖς ὑπεναντίοις· μήπω γάρ τινος γεγονότος, οἷα φιλεῖ κατὰ πόλεμον, μηδετέρῳ ἀνδραγαθήματος, ἀλλ' ἔτι κατ' ἀρχὰς οὔσης τῆς μάχης καὶ μικροῦ ὅτι καὶ συνερράγησαν ἀγνώστου, αὐτοῖς τε τοῖς Βουλγάροις καὶ πᾶσιν ἐφάνη τρόπος εἶναι τὸ πρᾶγμα, ὡς μέλλουσιν αὐτοὺς διασπᾶν καὶ αὖθις ἐξ ὑποστροφῆς καταπολεμεῖν. ὡς δ' ἀμφότεροι οὐ κατὰ τρόπον ἀλλ' ἀληθῆ δὴ ἔγνωσαν εἶναι τὴν φυγήν, τότε προσπεσόντες οἱ μὲν ἐναντίοι φόνον πολὺν ἐνειργάζοντο τῶν φευγόντων νεανικῶς, ὁ δὲ Μιχαὴλ ἑαυτὸν σώζειν C ἀλλ' οὐκ ἀντιπίπτειν μετ' ὀλίγων ὧν διεπείραζε. καὶ οὕτω μὲν ταύτην γενέσθαι τὴν μάχην τινὲς ἡμῖν ἐγγράφως παραδεδώκασιν· εἰσὶ δ' οἳ καὶ τὰς δυνάμεις μᾶλλον τῷ Λέοντι διδόασι διασῶσαι καὶ καρτερῶς ἀγωνίσασθαι, τῶν βασιλικῶν ταγμάτων ἐθελοκακησάντων καὶ τὴν οἰκείαν προδεδωκότων παράταξιν, ἀλλ' οὐ τοῦ κατὰ τὸν Λέοντα μέρους. πλὴν καθυπερτερεῖ μὲν τὰ Βουλγάρων δυσελπίστως, τὰ δὲ τῶν Ῥωμαίων ἥττῃ συνεχόμενα βαρείᾳ καὶ

eos signa sunt; videbisque me palam hodie robur ac vires in hostes exserere, tuoque ad fiduciam nutu precibusque fretum, in primis ordinibus strenue dimicantem, praeclare victorem fore." his Michael verbis a sua in diversum actus sententia pugnam conseri iussit. moxque prima ipsa congressione Leo terga vertens fugam capessit, quippe tyrannidem continue meditans, etsi hactenus eius hoc consilium tum Michaelem tum hostes latuerat. quod enim nihil hactenus istiusmodi contigerat, qualia praelii vis afferre solet, nullumque belli facinus utravis acies gesserat, sed primus ipse conflictus vertebatur, vixque dum coepisse conflictum partes advertebant, tum ipsis Bulgaris tum reliquis omnibus res dolus videbatur, qualis hostium esse solet: nempe a sua illas distrahentem acie, conversa demum in eos ex fuga fronte, velle irruere. ubi autem ambae acies nihil belli arte fieri, sed veram Romanorum fugam, quod ita agebatur, esse advertere, hostes verso impetu fugientium stragem multam dedere. ipse Michael salutem expedire, non cum paucis sibi relictis hostibus conatur obsistere. sicque adeo pugnatum sunt qui literarum monumentis ad nos transmiserint. non desunt tamen qui Leoni potius tribuant copias conservasse ac strenue pugnasse, cum aulici ac palatinae cohortes ignavia acti ultro fugam iniissent atque aciem suam prodidissent, non quae ex Leonis partibus essent. enimvero Bulgari inopinato, ac cum nihil eiusmodi exspectaretur, superiores evadunt: gravi autem tremendaque clade attriti Romani impera-

φοβερᾷ τὸν βασιλέα ἔπεμπον ἀγωνιῶντα περὶ ψυχῆς. ἀλλ' ἐκεῖ-
D νος μὲν πρὸς τὰς βασιλείους αὐλὰς παρεπέμπετο, τὸν Λέοντα οἷόν
τινα πρόβολον καταλιπὼν ἔξωθεν ἐφεδρεύειν τοῦ μή τινα γενέσθαι
λαφυραγωγίαν πλείονα παρὰ τῶν ἐχθρῶν. ὁ δὲ καιροῦ λαβόμενος
ἐπιτηδείου τὸν στρατιώτην ὄχλον ἠρέθιζέ τε καὶ βλάσφημά τινα
ῥιπτεῖν κατὰ τοῦ βασιλέως ἠνάγκαζε, καὶ μὴ ἂν ἔλαφον, ἐκεῖνο
δὴ τοῦ μύθου, ἡγεῖσθαι λεόντων καλὸν ἔλεγεν εἶναι, τὴν φυγὴν
ἀσπασάμενον νῦν καὶ πρὸς τοὺς κόλπους φυγόντα τῆς γυναικός,
τὸν ἑαυτοῦ ἡμᾶς καταλιπόντα λαὸν παρανάλωμα τῶν ἐχθρῶν.
P 11 οὔπω πέρας πρὸς τοὺς κοινωνοὺς τῶν λόγων ὁ λόγος ἐλάμβανε,
καὶ εἰς ἔργον ἦν τοῦτον ἀπεκβάντα ἰδεῖν, τῇ τῶν κολάκων κατα-
σπαρέντα στωμυλίᾳ καὶ συνδρομῇ. καὶ τέλος ἀνάρρησις αὐθω-
ρόν, καὶ τὸν αὐτὸν εἶχε τὸ βραχύτατον μόριον τῆς ἡμέρας ἰδιώτην
ἅμα καὶ αὐτοκράτορα.

7. Ἄρτι γοῦν ἀνηγορεύετο παρὰ τοῦ στρατοῦ καὶ φόβοι
τοῦτον καὶ δέη ὑφεῖρπον, εἴτε σκηνὴν ὄντως ὑποκρινόμενον, ἵν'
ἀπολογίαν σχοίη εἰς ὕστερον, εἴτε καὶ ἀληθείᾳ τὰ ταῖς τηλικαύ-
ταις πράξεσιν ἀκολουθοῦντα ἀντίπαλα διαλογιζόμενον, ἐπεὶ καὶ
B τοῖς ἁρπάσαι τὰ ἀλλότρια προθυμουμένοις μαλακώτεραι πρὸς τὰ
δεινὰ τόλμαι φιλοῦσι γίνεσθαι, καὶ τὸ μέγιστον, ὅπως τῶν βασι-
λείων μετάσχῃ αὐλῶν, θυραυλῶν τε καὶ πόρρω που αὐλιζόμενος.
ἀλλ' ἔμελλε πάντως καὶ αὐτὸς ἐνσκηνῶσαι τοῖς βασιλείοις, καὶ

torem de salute sua anxium e praelio reducunt. verum is quidem aulam repetit, ac ceu quoddam propugnaculum Leonem foris excubantem, ne quam hostes ultra praedam abigant ac liberius agros populentur, relinquit. at Leo commodum nactus tempus militares irritat alas, et maledicta quaedam in imperatorem iactare eos cogit. "haud e re" aiebat "ut quod fabula est, leonum agmen cervus ducat; qui videlicet modo arrepta fuga in uxoris sinum concesserit, nobis in castris relictis, quos hostes vastitate consumant." vixdum in eum modum socios affatus peroraverat, cum res eventu succedit, sparsis in omnem castrorum ambitum garrulis assentatorum vocibus ac concursu, quos ille eiusdem fere tenoris sermones habuerat. postremo actutum secuta acclamatio, eiusdemque diei pars modicissima eundem privatum simul et imperatorem adspexit.

7. Vixdum imperator ab exercitu acclamatus erat, cum illi metus ac pavores obrepunt, sive re ipsa scena haec ac simulatio erant, quo in posterum facinus excusare posset, sive vere quanta istiusmodi molitionibus molesta obsistant, secum animo reputabat: nam et quibus constitutum sit aliena rapere, his ad mala designanda plerumque animi solent mollescere. hocque maximum cogitabat, qua tandem ratione in castris stativis ac procul agens aulae compos evaderet. omnino tamen futurum erat ut et aula potiretur et in regia habitaret. idcirco etiam

διὰ τοῦτο πνεῦμα πονηρότατον διεγεῖραν Μιχαὴλ τὸν Τραυλὸν καιρίαν οἱ καθικέσθαι διηπείλει, εἰ μὴ τὴν ἀνάρρησιν ἀσμένως προσδέξοιτο· ὡς αὐτῷ γε πάντων μελήσειν τῶν νομιζομένων δυσχερῶν, καὶ αὐτῆς γε ταύτης τῆς πρὸς τὰ βασίλεια ἀφίξεως. ὃ δὴ καὶ γέγονεν.

8. Ὡς δέ τις ἀνὴρ (Ἰωάννης οὗτος ὁ κατὰ τὸν Ἑξαβούλιον) τὴν τῶν τειχῶν ἐπιμέλειαν καὶ πρόνοιαν ποιούμενος ᾔσθετο C τὸν Λέοντα τοῦτον καταλελειμμένον πρὸς φυλακὴν ἅμα τῇ τοῦ βασιλέως εἰσόδῳ, (δεινὸς δὲ ἄρα ἀνδρὸς φύσιν στοχάσασθαι πόρρωθεν) οὐκ ἐν καλῷ τὴν ἐκείνου ἔφησε γενέσθαι προστασίαν τῶν στρατευμάτων· ὅθεν σύμβουλος γίνεται τῷ βασιλεῖ διανοήσασθαί τι καὶ τὸν ἄνδρα μεταστῆσαι καλῶς. πλὴν ἔδει τὸν τέως τῷ κωδίῳ θῆρα κρυπτόμενον ἀνακαλυφθῆναί ποτε καὶ δοκιμασθῆναι ὡς ἐν χοάνῳ χρυσὸν τοὺς τοῦ θεοῦ ἐκλεκτούς· συγχωρεῖται δὲ τοῦτο πολλάκις κατά τινα τοῦ χρόνου κυκλικὴν περίοδον γίνεσθαι, ἐξ D αἰτήσεως οἶμαι δαιμονικῆς, καθάπερ ἐπὶ Ἰώβ, εἰς γνῶσιν μὲν καὶ διάκρισιν τῶν εὐσεβῶν, ἀλλοτρίωσιν δὲ καὶ ἀποποίησιν τῶν κακῶν. (9) οὔπω γὰρ πέρας ἔσχον οἱ λόγοι, καὶ φήμη προθέουσα τὴν τοῦ τυράννου ἐμήνυεν ἀναγόρευσιν. προσπεσούσης δὲ ταύτης, ἡ μὲν πόλις πρὸς τοιοῦτον ἄγγελμα μικροῦ δεῖν ἔκφρων γενομένη μόλις ἑαυτὴν συνεῖχεν, τοὺς ἐμφυλίους κατορρωδοῦσα πολέμους, ἐξ οὗ πολλάκις αὔτανδροι πόλεις κατεβαπτίσθησαν· ὁ δ' αὐτοκράτωρ ἐξεπλήγη μὲν τὴν ψυχήν, οὐκ ἐταράχθη δὲ τὴν γνώ-

spiritus nequam afflatu Michael Balbus letale se ei vulnus inflicturum comminatur, nisi militum acclamationem suamque nuncupationem placide admittat: fore nimirum sibi curae quaecunque ardua videantur, ac ipsum cum primis in regiam accessum. quod ita factum est.

8. Ubi autem Ioannes quidam Hexabulius, cui moenium cura credita erat, sub ipsum mox imperatoris in urbem ingressum, Leonem cognovit Romanae dicionis ac tuendis agris praesidio relictum (erat is vir acri ingenio, ac qui hominis procul indolem coniectaret), haud fauste cessurum ait quod is cum imperio exercitui praefectus esset. quamobrem auctor est ut secum aliquid commentus imperator honesto quodam colore virum magistratu moveat. verum necesse erat ut quae hactenus ovina pelle contecta latuerat, ingenium fera proderet, et ut electi dei probarentur haud secus ac flamma aurum in conflictorio purgat. sinit autem id non raro, per recurrentium temporum quandam periodum, ita evenire, daemone, puto, eius sibi copiam flagitante, uti in Iobo noscitur contigisse, ut pii innotescant et discernantur, mali vero abdicentur ac eiiciantur. (9) vix namque sermonem finierat, cum fama praevolans acclamatum imperatorem tyrannum annuntiat. eo rumore nuntioque attonita civitas ac fere mente mota vix se continebat, belli civilis formidine, cuius mole haud raro urbes integrae concidant. verum imperator obstupuit quidem animo, haud tamen mente turbatus est, sed viri tan-

P 12 μην, ἀλλ' ἀχαριστίαν αὐτοῦ μόνον κατεγνωκώς, ἠρέμα πως ὑποψιθυρίσας ὡς καλὸν τῷ θείῳ θελήματι ἕπεσθαι, ἀφῄρει τῆς πόλεως τὸ περιθαμβὲς καὶ ταραχῶδες, ἅπαντας προτρεψάμενος χωρῆσαι τούτου πρὸς ἀπαντήν, ἵνα μένουσαν σώζῃ τὴν ἑαυτοῦ πόλιν ἐμφυλίου αἵματος ἄχραντόν τε καὶ καθαράν. ἵστασθαι δέ τινων πρὸς τὰ δεινὰ καὶ πρὸς τὸν διὰ μάχης ἀγῶνα παρακελευομένων χωρεῖν, καὶ μένειν αὐτῶν ὑπισχνουμένων βεβαιῶν ὑπὲρ βασιλέως πράου τε καὶ πιστοῦ, ἀλλὰ καὶ αὐτῆς ἀποδεχομένης τοῦτο τῆς
B γαμετῆς Προκοπίας καὶ Μανουὴλ τινος τῶν ἐξ Ἀμαληκιτῶν πρωτοστράτορος τηνικαῦτα τυγχάνοντος, οὐκ ἔφη χρῄζειν τὴν βασιλείαν αἵμασι καταρρεομένην ἀδελφικοῖς. ὅθεν καί τινι τῶν πρὸς θεραπείαν αὐτοῦ γνησίων παράσημά τινα δοὺς τῆς βασιλείας φοιτᾶν ἐκεῖσε ἐξεβιάσατο. ἐφ' οἷς καὶ δεινοπαθήσασα καὶ οἷον ἐκβακχευθεῖσα ἡ τούτου δὴ γαμετὴ δεινὸν λέγεται ἀνακραγεῖν, εἰ Βάρκα, οὕτω δὴ τὸ τοῦ Λέοντος καλέσασα γύναιον, τῇ κεφαλῇ ἐπίθοιτο τὸ μοδίολον. ὁ δὲ στερροῖς λόγοις ταύτην ἐπιρραπίσας, καὶ ὅλον δὴ ἀναθεὶς ἑαυτὸν τῷ θεῷ, ἐκαραδόκει τὰ μέλλοντα. ἄρτι γοῦν κατηγγέλλετο τὸν τύραννον εἰσιέναι διὰ πύλης τῆς χρυση-
C λάτου, καὶ πᾶσα ἡ σύγκλητος κατὰ τὸν θεῖον τοῦ προδρόμου νεών, ὃν ὁ Στούδιος ἐκ βάθρων ἀνήγειρεν, ἀπήντα καὶ ὑπτίαις ἐδέχετο ταῖς χερσί, προπέμπουσά τε καὶ ἐκθειάζουσα. ὡς δὲ τοῖς βασιλείοις ἤγγιζε καὶ κατὰ πρόσωπον δὴ τῆς θείας εἰκόνος τοῦ

11 *ἰδεῖν αἵμασι?*

tum ingratos mores detestatus, leni quasi susurro bonum aiens obsequi divinae voluntati, pavore ac turbatione urbem liberavit; cunctos hortatus ut tyranno venienti occurrant, quo nimirum nullo civium pollutam cruore ac incolumem civitatem custodiret. porro nonnullis hortantibus ut forti animo malis obsisteret pugnaque cum tyranno decerneret, ac cum ii firmos se ac constantes tuendis clementissimi fideque praestantis imperatoris partibus fore pollicerentur, quin et ipsa illius uxor Procopia rem probaret, necnon Michael quidam Amalecites, cuius tum in aula protostratoris munus esset, nolle se ait imperium fraternis caedibus cruentatum. quamobrem etiam cuidam famulorum fidelissimo traditis imperialibus quibusdam ornamentis ac insignibus Leonem adire atque ei deferre coegit. ea re indignabundam eius coniugem Procopiam ac bacchantis pene similem exclamasse aiunt indignum ac grave si Barca (sic Leonis uxorem convicio vocans) capiti modiolum imponeret. at ille severioribus verbis eam castigans, seque totum deo committens, futurum rei eventum praestolabatur. iam enim percrebuerat rumor ingressum tyrannum per auream portam, omnemque senatum ad sacras praecursoris aedes, Studii opera a fundamentis exstructas, obviam processisse, ac supinis manibus plausu faustisque ominibus in urbem excipere ac deducere. cum autem ad palatium iam appropinquaret, eique coram divina

δι' ἡμᾶς ἐνανθρωπήσαντος θεοῦ λόγου, κατὰ τὸν οὕτω κατονομαζόμενον τόπον Χαλκῆν, ἔμελλε στῆναι τὰς εὐχὰς ἀποδώσων, ἐπεί τι φοινικοβαφὲς θοιμάτιον κατά τι στρατιωτικὸν ἔθος ἄζωστον ἐπημφίετο (ἀετὸν τοῦτο καλοῦσιν ἢ θάλασσαν οἱ περὶ ταῦτα κομψοί), τοῦτο μὲν αὐτίκα ἀπαμφιέννυται, καὶ Μιχαὴλ ὁ τὴν γλῶτταν φέρων παράσημον, ἐπιμελητὴς τῶν τοῦ Λέοντος ἵππων τηνικαῦτα τυγχάνων, ἐπὶ χεῖρας λαβὼν αὐθωρὸν ἐπαμπίσχεται. D *ἔδοξεν οὖν τοῦτο τοῖς πολλοῖς οἰωνὸς ἐξ ἐκείνου δεύτερον τῆς βασιλείας τυχεῖν. ὡς δὲ κατὰ τὰ Σκῦλα ἐγένοντο, οὕτω δή τινα τόπον κατὰ τὰς βασιλείους εἰσόδους λεγόμενον, ἀκρατῶς πως ἐπιρρέων καὶ κατ' ἴχνος θέων αὐτοῦ τὸ πρὸς τῇ πέζῃ λῆγον τοῦ ἱματίου ἄκροις ἐπέβη ποσίν, ὡς καὶ αὐτὸν αἰσθάνεσθαι τὸν Λέοντα καί τινα παράβολον κίνησιν ἐξ αὐτοῦ προσδοκᾶν. τοῦτο μὲν οὖν ὕστερον ἐγένετο.*

10. *Τότε δὲ τοῦ Λέοντος ἐπιφανέντος, Μιχαὴλ ἅμα παισί τε καὶ γυναικὶ τὴν κόμην ἀποθέμενοι πρὸς τὸ τοῦ θεοῦ τεμένισμα,* P 13 *ὃ Φάρος κατονομάζεται ἀπὸ τοῦ φῶς ἀνάπτειν πᾶσι καὶ κατὰ τὰς νύκτας χειραγωγεῖν ἐπὶ καταγωγάς τινας ἀσφαλεῖς, ἀντίμιμον τοῦ κατὰ τὴν Ἀλεξάνδρειαν ὄντα τε καὶ λεγόμενον, τὴν αὐτοῦ εὐμένειαν χωρεῖ ἐκκαλούμενος. ὁ δὲ συλῆσαι μὲν ἐκ θεοῦ καὶ ἔρημον θεῖναι ψυχῆς οὐκ ἐν καλῷ θέμενος, ἐκεῖνον μὲν ἐν τῇ Πλάτῃ νήσῳ ὑπερόριον θεὶς ἡσυχάζειν ἐπέτρεψεν, χρυσόν τινα κατ' ἔτος ἐπιχορη-*

9 *τὴν Σκύλα* P: cf. 4 19. 16 Cedrenus: *τὸν τῆς θεοτόκου ναόν.* 21 Cedrenus *Πρώτην.*

dei verbi propter nos facti hominis imagine, ad locum quem Chalcem vocant, vota reddituro tantisper consistendum esset, quod punicei coloris brevem quandam vestem militari more discinctam gestaret (aquilam vocant, sive mare, qui in his elegantiam colunt), eam mox exuit; quam ipsam in manus acceptam Michael ex linguae vitio Balbi cognomen adeptus, Leonis tunc praefectum stabuli agens, illico induit. fuit hoc multis ominis loco, fore ut Michael imperio regendo Leoni successor esset. ubi autem ad Scyla venerunt (locus est sic dictus in ingressu palatii), sequens a tergo idem Michael dum incautius graditur ac celerius praeeuntis vestigia premit, summis pedibus ac articulis imperatoriae vestis oram calcavit, ita ut ipse Leo senserit audaciorisque aliquid facinoris ab eo exspectandum ominatus sit; quod et postea accidit.

10. Tunc Michael Leone ingresso, una cum liberis atque uxore, detonsa coma ad dei delubrum secedunt, quod Pharum vocant ea ratione, quod cunctis lucem accendat noctuque ad certas quasdam stationes deducat, Phari illius in Aegypto celebris nomen imitans officiumque praestans, Leonis illic exoraturus clementiam. ille porro haud ex honesti ratione ratus religionem loci violare aut in eo supplicibus necem inferre, illum quidem in insulam Platen relegans privatum illic agere iussit, auri summam quotannis in eius sumptus subministrans; ubi et mo-

γῶν, ἔνθεν καὶ τὸ μοναχικὸν σχῆμα λαβόντα καὶ Ἀθανάσιον μετο-
B νομασθέντα ἐπιβιῶναί φασιν ἔτη δύο καὶ τριάκοντα. συνῆν δὲ
αὐτῷ καὶ Εὐστράτιος ὁ υἱὸς αὐτοῦ, ὁ καὶ ἀποκαρεὶς καὶ εὐνουχι-
σθεὶς ὢν ἐτῶν εἴκοσι προστάξει τοῦ Λέοντος, καὶ Νικήτας, ὃς
πρότερον μὲν παῖς ὢν τὴν τῶν ἱκανάτων διεῖπεν ἀρχήν, ἅτε δὴ
φίλιος τοῖς στρατιώταις καὶ ἐν ὑπαίθρῳ διάγουσιν εἶναί τε θέλων
καὶ τῶν πολλῶν πραγμάτων ἔμπειρος, τότε δὲ τὴν κόμην καὶ αὐ-
τὸς ἀποθέμενος Ἰγνάτιος ἐκαλεῖτο καὶ τῷ πατρὶ συνεῖναι ἐτύγχανεν
τῷ μονήρη βίῳ προσκείμενος. τὴν δ' αὐτοῦ σύνευνον ἀπεσχοίνισε
καὶ ἀπέσπασε καὶ πρὸς τὴν μονὴν τὴν οὕτω λεγομένην Προκοπίας
C μετέθηκεν, καίτοι γε τοῦτο μὴ γενέσθαι πολλὰ τοῦ Μιχαὴλ ἱκε-
τεύσαντος. καὶ ὁ μὲν Μιχαὴλ τοῦ βίου ἔξω γενόμενος μηνὶ Ἰα-
νουαρίῳ ια', ἔτει ςτβ', τὸν χοῦν ἀποθέμενος ἐν αὐτῇ τῇ νήσῳ,
ἐν τῷ δεξιῷ μέρει τῆς ἐκκλησίας ἐτέθαπτο· ὁ Εὐστράτιος δὲ μετὰ
τὴν τοῦ πατρὸς τελευτὴν ἔτη ἐπιβιοὺς πέντε [καὶ δέκα] καὶ αὐτὸς
ἐκοιμήθη κατὰ τὴν ιε' τοῦ Ἰανουαρίου μηνός, ἔτους ςτζ', ἐν τῷ
εὐωνύμῳ μέρει τῆς ἐκκλησίας πεσών. ὁ δὲ Ἰγνάτιος ὁ καὶ πρότε-
ρον Νικήτας καλούμενος, τῆς Κωνσταντινουπόλεως πρόεδρος εἶναι
λαχών, πολλοῖς ὕστερον χρόνοις ἐν τῇ μονῇ καλουμένῃ Σατύρου,
D ἣν ἄρτι ἐκ βάθρων δειμάμενος ἔτυχεν, τὸ ἱερὸν αὐτοῦ σῶμα κατέ-
θηκεν. αὕτη δὲ ἡ μονὴ καὶ τοῦ Ἀνατέλλοντος κέκληται τρόπῳ
τοιῷδε. ἀλλὰ Σάτυρος μέν, ὅτι ἐκ μικροῦ διαστήματος τῆς τοι-

7 δὴ P 15 καὶ δέκα] videntur redundare. margo P 19 ἐν τῇ μονῇ τῇ κ.?

nachi assumpto habitu atque Athanasii indito nomine ad annos duos supra triginta vixisse fertur. erat cum eo et Eustratius eius filius, qui ipse Leonis iussu detonsus ac virilibus orbatus est, aetatis annum vigesimum agens. Nicetas quoque, qui prius adolescens Icanatorum praefecturam gesserat, quippe qui hoc ageret ut militum inque subdialibus stativa habentium gratiam iniret multaque rerum peritia polleret, ipse quoque tunc coma posita Ignatii nomen accepit, versansque cum patre monachi vitam una instituit. uxorem vero ab illo abiunctam atque avulsam in monasterium quod Procopiae vocant transtulit, quanquam Michaele hoc enixe amoliente ac deprecante. ac Michael quidem in vivis esse desiit undecimo Ianuarii, mundi anno 6032, depositaque mortalitate in eadem insula, ad cornu dextrum ecclesiae, sepultus est. Eustratius vero cum a morte patris annos quinque vixisset, dormiit et ipse ad quintumdecimum mensis Ianuarii, anni 6037, in sinistra ecclesiae parte conditus. Ignatius denique, qui et prius Nicetas vocatus est, ecclesiae Cpolitanae praesul effectus, multis post annis in monasterio quod Satyri vocant, quod et ipse paulo ante a fundamentis condiderat, sacrum corpus suum deposuit. hoc porro monasterium etiam Orientis nomen in eum modum sorti-

αὐτῆς μονῆς ὁ παλαιὸς ὀνομάζεται Σάτυρος, ἐν ᾧ ἦν ἱερὸν παρὰ τῶν Ἑλλήνων οἰκοδομηθὲν τῷ αὐτῷ Σατύρῳ, οὗ καθ' ὁμωνυμίαν, διὰ τὸ πλησίον εἶναι τὴν εἰρημένην μονήν, τῷ τοιούτῳ καλεῖται ὀνόματι· ἐξ οὗπερ καὶ ὁ τοῦ Βρύου παλάτια κτίσας Θεόφιλος βασιλεὺς τὴν ὕλην ἀφελόμενος ταῦτα ἐδείματο. Ἀνατέλλων δὲ δι' αἰτίαν τοιαύτην. κυνηγετοῦντί ποτε Νικηφόρῳ τῷ βασιλεῖ ἐν οἷς ἀρτίως ἐστὶν ἡ μονὴ μέρεσι, διὰ τὸ ἀλσώδη καὶ δύσβατον εἶναι καὶ πρὸς θήραν ζῴων ἐπιτηδείαν, ἐλάφου μεγίστης φανείσης καὶ P 14 καταδιωκομένης καὶ χειρωθείσης ἐν αὐτῷ τῷ τόπῳ ἐν ᾧ νῦν τὸ τῆς μονῆς θυσιαστήριον ἵδρυται, εὑρέθη τράπεζα παλαιὰ ὑπὸ κίονος βασταζομένη, γράφουσα οὕτως "τοῦτό ἐστι τὸ θυσιαστήριον τοῦ ἀρχιστρατήγου Μιχαὴλ τοῦ ἀνατέλλοντος, ὅπερ ἐνεθρόνισεν ὁ ἀπόστολος Ἀνδρέας." ἀλλὰ ταῦτα μὲν οὐ τότε, χρόνου δὲ παρεληλυθότος πολλοῦ ὕστερον.

11. Ἐπανακτέον δὲ τὸν λόγον, καὶ τὴν αἰτίαν ζητητέον τὴν οὕτως ὡς ἐξ ὁμολόγου πείσασαν ἀμφοτέρους, τὸν μὲν Μιχαὴλ μηδ' ὅλως ὑπὲρ τῆς βασιλείας ἀντισχεῖν (ἔνεστι γάρ, ὡς ἡ παροι- B μία, κἂν μύρμηκι χολή), τὸν Λέοντα δὲ θαρρούντως ἐπιβῆναι καὶ κατατολμῆσαι αὐτῆς. καὶ γὰρ ταύτην μόνην εἴποιμι ἂν ἐγὼ εἶναι ἀληθινωτάτην παιδείαν τε καὶ γυμνασίαν πρὸς τὰς πολιτικὰς πράξεις, τὴν ἐναργεστάτην αἰτίαν καὶ τὸ μὴ τήνδε ἀλλὰ τήνδε ἐπικεκαλυμμένην καταφοράν, ἧς πᾶσα δὴ βίβλος ἱστορικὴ στερου-

4 ὁ τὰ τοῦ? cf. 61 D. 7 δύσβατα et ἐπιτήδεια?

tum est. verum Satyri quidem fuit appellatum, quod haud procul ab eo monasterio vetus Satyrus diceretur, ubi Graecanica superstitione eidem Satyro fanum exstructum erat, ex cuius vicinia haec ipsa appellatio monasterio haeserat: ex eius porro ruinis Theophilus imperator ablata materie regias aedes exstruxit, quas vocant Brya. ut autem Oriens vocaretur, eiusmodi causa accidit. veniente aliquando Nicephoro imperatore ad eas partes ubi iam monasterium conditum est, eo quod locus dumosus esset et impervius silvestriumque animalium venationi idoneus, cum apparuisset praegrandis cervus, infestisque canibus eo ipso loco in quo nunc monasterii sacrarium erectum est captus esset, inventa est vetus mensa, quam columna fulciebat, hocce titulo: "hoc est altare Michaelis caelestis militiae principis, quod Andreas apostolus posuit." verum haec non tunc gesta sunt, sed ubi postea longum tempus effluxerat.

11. Interim revocanda ad institutum oratio est, ac quaerendum quid velut ex condicto ambos induxerit, tum nempe Michaelem ut nihil operae asserendo sibi imperio hostique obnitendo posuerit, cum nec formicae, ut adagio fertur, ira desit, tum vero Leonem ut sic audacter illud invaderet. hanc enim ego verissimam disciplinam et ad politicas actiones exercitationem dixerim, evidentissimam rei cuiusque causam, neque hanc solum, sed quae occulta sit, compertam habere; qua

μένη καὶ ἀπογυμνουμένη οὐκ οἶδ' εἴ τινα ὄνησιν παράσχοι τοῖς ἐντυγχάνουσιν. ὑπῆρχε δὲ Μιχαὴλ θεραπαινίδιόν τι πρόσοικον, ὃ κατά τινας ἐκβακχευόμενόν τε καὶ ἐνεργούμενον περιόδους ἀπεφοίβαζέ τε καὶ ἐμαντεύετο, καὶ πρὸς τῷ τοῦ Βουκολέοντος αἰγιαC λῷ προσφοιτῶν "κατάβηθι ἐκεῖθεν, κατάβηθι," γεγωνότερον, "ὦ Μιχαήλ," ἐπεβόα, "καὶ τῶν ἀλλοτρίων ἀφίστασο," πρὸς αὐτὸν δὴ τοῦτον ἀπορριπτοῦσα φωνάς. οὐκ ἔλαθε γοῦν τοῦτο πολλάκις γενόμενον οὐδὲ τοὺς ἐθελοκωφεῖν ἐθέλοντας καὶ τὸν βίον παραπέμπειν εὐφρόσυνον, ἀλλ' ἔφθασεν ὀψὲ γοῦν εἰς τὰς βασιλικὰς ἀκοάς, θροῦν καὶ λαλιάν τινα οὐκ εὔελπιν ἐμποιοῦν. καὶ ὃς (φιλεῖ γὰρ ἕκαστος τὸ λυποῦν ἐκπομπεύειν τοῖς φιλουμένοις) Θεοδότῳ τινὶ τῷ κατὰ τὸν Μελισσηνὸν γνησίῳ δοκοῦντι, ᾧ ἐπώνυμον ὁ Κασσιτερᾶς, τὰ τῶν λόγων ἀνεκοινοῦτο, καί τινα βουλὴν ἐξαD νύεσθαι ἐσυμβούλευεν αἰσίαν ὄντως καὶ ἀσφαλῆ. ἡ δὲ ἦν τοῦ κατὰ τὸν καιρὸν ὅτε δὴ φοιβόληπτον γένηται τὸ κοράσιον, ἀκριβολογῆσαι τρόπῳ παντὶ τίς τε εἴη οἰκία τοῦ βασιλεύσοντος, καὶ κλῆσιν ἥντινα φέρει, καὶ ὁποῖος τούτου ὁ χαρακτήρ. ἐδόκει ταῦτα ποιεῖν, καὶ ἡ ἐνεργουμένη πνεύματι Πύθωνος οὐδὲν ὑποστειλαμένη "κατὰ τὴν ἀκρόπολιν" φησί "γενομένῳ σοι κατὰ τὸν δεῖνα καιρὸν δύο τινὲς ἄνθρωποι εἰσελεύσονται· Λέων ὄνομα τῷ ἑνὶ ἐποχουμένῳ ἡμιόνῳ, θατέρῳ δὲ ἕτερον· οὗτος δὲ τῆς βασιλείας κατευμοιρήσειεν." ταῦτα γοῦν ἐκεῖνος ὁ θεομισὴς ἀνὴρ ἐξόμνυταί τε πρὸς

2 δὲ] δὲ τῷ?

qui careat ac nudatus sit historiarum liber, haud scio an frugis aliquid lectoribus allaturus sit. erat Michaeli imperatori vicina quaedam ancillula. haec certis quibusdam temporum intervallis furore acta ac spiritu afflata vaticinabatur futuraque edicebat. cui ad littus cui Bucoleoni nomen saepius venienti, inde contenta inclamabat voce "descende inde, Michael, descende; ac alienis cede," has scilicet in eum voces intendens. hoc ita saepius factitatum sic percrebuit ut nec sponte surdos unisque studentes vitae deliciis latuerit. sero ergo tandem ad ipsas imperatoris aures, sinistri aliquid rumoris eius animo ingerens, ea res pervenit. mox ille (lubens enim quisque animi dolorem amicis detegit) Theodoto cuidam Melisseno, cognomento Cassiterae, quo vere amico uti videretur, quos fama iactaret sermones communicat. is porro singulare quid vereque tutum praestandum monet; nempe, quo tempore puella furore corripietur, solerti ex illa indagine inquirendum quaenam futuri imperatoris familia nomenque ac corporis figura sit. placuit consilium; mulierque spiritu Pythonico afflata nulla mora sic percontanti respondet: "cum ad arcem" inquit "tali tempore veneris, duo quidam ingressuri sunt: unius nomen Leo, qui mulo vehatur, alterius alia nuncupatio: is porro est qui imperio potietur." haec itaque scele-

τὸν βασιλέα καὶ λέγει τῶν γενομένων οὐδέν, λῆρον δὲ τοὺς λόγους ἀποκαλεῖ καὶ μηδὲν ἔχοντας ὑγιές. ἀλλ' οὐκ ἐκείνῳ λῆροι ἢ ἔμετος ἄλλως· ἄπεισι γὰρ εὐθύς, καὶ τὸν ἄνδρα, ὡς ἀκηκόει, καταλα- P 15 *βὼν ἐν τῷ τοῦ θείου Παύλου σηκῷ τῷ ὀρφανοὺς τρέφειν λαχόντι, συνεδριάσας καὶ ὁμολογίαις κατεμπεδώσας καὶ ὀχυρώσας καὶ θαρρεῖν καὶ χαίρειν παρακελευσάμενος, ἐκ θείας φωνῆς ἔλεγεν διδαχθῆναί με ἀπορρήτως τὰ μέλλοντα, τήν σε βασιλέα διαπρυσίως κηρύττουσαν. ταῦτα γοῦν ὑπολαληθέντα καὶ οἷον δεύτερά τινα χρώματα ὡς ἐν ζωγραφίᾳ ταῖς προτέραις ἐμμορφωθέντα σκιαῖς (ἐκείνας λέγω πρώτας τὰς ὑπὸ τοῦ κατὰ τὸ Φιλομήλιον μοναχοῦ ἐκφανθείσας) οὐκέτι ἐν εἰδώλῳ καὶ ἐμφάσει τινὶ ἐμποιεῖ τὴν βασιλείαν ὁρᾶν, γυμνὴν δὲ καὶ οἷον ἐν ἐκβάσει σαφῶς. τοῦτο οὖν τήν* B *τε ἤδη κατηθαλωμένην τοῦ Λέοντος καὶ οἷον ἀπομαρανθεῖσαν φλόγα τῆς ἐλπίδος ὑποτύφεσθαι ἐποίησεν καὶ τὸν Μιχαὴλ ἐν ἀβύσσῳ ἀθυμίας καταδῦναι πολλῇ, καὶ τοῦ μὲν τῆς ψυχῆς πύργον ἀνέστησεν, τοῦ δὲ ἐγκατέσεισεν. οὐ τοῦτο δὲ μόνον τὸ γύναιον, ἀλλὰ δὴ ὁ πιστευθεὶς καὶ ἐξαπατήσας τῷ ὄντι Κασσιτερᾶς. ἀλλ' αὖθις ἐπὶ τὴν ἱστορίαν ἰτέον.*

12. *Ὡς δ' οὖν τὴν αὐτοκράτορα εἴληφεν ὁ Λέων ἀρχήν, ἀναρρηθεὶς δημοσίᾳ κατὰ τὸν Ἰούλιον μῆνα τῆς ς' ἰνδικτιῶνος, Μιχαὴλ μὲν τὸν τὴν γλῶτταν ὑποσυρίζοντα τῇ τῶν πατρικίων ἐγκαταλέγει τιμῇ, τὸν υἱὸν αὐτοῦ πρότερον ἐκ τοῦ θείου λουτροῦ* C

10 τὰς om P

ratissimus ille imperatori audisse deierat; nec rerum quae gestae erant quicquam loquitur, sed nugas, ac quibus nihil inesset sani, mulieris sermones vocat. haud enimvero ipse nugarum loco habuit aut temere fusas voces existimavit. abit enim statim, ac sicut audierat in D. Pauli delubro pupillis alendis destinato virum offendens, collatoque sermone ac data acceptaque fide, bonoque et fidenti animo esse illum iubens, divinam sibi in secreto detectam vocem dixit, quae illum imperatorem fore clare denuntiaret. haec ergo secretius et ad aurem dicta, velutque secundi colores (uti fere in pictura fit) prioribus umbris maiori expressione adiecti (iis scilicet quae Philomelii monachus primum vaticinatus erat), sic afficiunt ut non inani iam specie exilique quadam repraesentatione ac simulacro imperium videret, sed nudum ac velut clare eo potitus esset. ea igitur res prope emortuam ac velut elanguidam Leonis spei flammam novis ardoribus accendit, altaque maestitudinis abysso Michaelem mersit, atque illius quidem animi robur erexit, huius vero graviter concussit. Nec solum muliercula, sed et qui fidem meruerat, Cassiteras, ac vere deceperat. verum iterum nobis resumenda narrationis series est.

12. Rerum itaque summam adeptus Leo ac imperator publice acclamatus, mense Iulio, indictione sexta, Michaelem Balbum patricia auget dignitate; cuius etiam prius e sacro fonte filium adoptaverat.

υἱοποιησάμενος, Θωμᾶν δὲ τὸν ἑαυτοῦ διαφερόντως ὁμήλικα καὶ συμπαίστορα τῶν φοιδεράτων τουρμάρχην ἐγκαθιστᾷ. καὶ Μανουὴλ δὲ τὸν Μιχαὴλ πρωτοστράτορα πατρικίοις ἐγκαταλέξας καὶ στρατηγὸν τιμήσας τῶν Ἀρμενίων, "οὐκ ἔδει σε" ἔφη "πρὸς τὸν κατ' ἐμοῦ ὁπλίζεσθαι πόλεμον, σύμβουλον τοῦ βασιλέως καὶ τῆς Προκοπίας γενόμενον." καὶ ὃς εὖ μάλιστα παρρησιαζόμενος "ἀλλ' οὐδὲ σὲ ἔδει" ἀντέφησεν "κατὰ τοῦ εὐεργέτου, ἔτι δὲ καὶ συντέκνου σου, χεῖρα ἀνταῖραι." τότε μὲν οὖν τούτοις κατεσιγάσθη,
D τὴν τοῦ ἀνδρὸς αἰδεσθεὶς ἀρετήν. (13) ὡς δὲ τὸν τῶν Βουλγάρων ἄρχοντα τῇ προτεραίᾳ νίκῃ φρονηματιζόμενον διακήκοεν, καὶ αὖθις δῃοῦντα μὲν τὴν γείτονα γῆν, κείροντα δὲ καὶ ληλατοῦντα τοὺς ἀγροὺς καὶ πολλὰ μὲν σώματα πολλὰ δὲ βοσκήματα καθαρπάζοντα, οἰκήσεις δ' ἑτέρωθεν κατεμπιπρῶντα καὶ ὅλως ὄντα ἀφόρητον, πρῶτον μὲν δεῖν ᾠήθη διὰ πρεσβείας εἰρήνης ἀναμνῆσαι αὐτόν, ὡς δ' οὐκ ἔπεισεν, τὰ τῶν τειχῶν διερρυηκότα δι' ἑαυτοῦ ἀνοικοδομησάμενος ἐξεβοήθει διὰ ταχέων, καὶ γενόμενος ἐν Μεσημβρίᾳ τῇ πόλει τοιούτῳ τινὶ διεχρήσατο στρατηγήματι.
P 16 ἡμέρας ἱκανὰς ἔν τινι τόπῳ ἐπιταφρώσας ἑαυτόν τε καὶ τὸν στρατὸν ἐκαθέζετο ἑκάστοτε σιτιζόμενος ἀπὸ τῆς ἡμετέρας καὶ λειπόμενος τῶν ἀναγκαίων, ἀλλὰ καὶ πρὸς τρυφήν, οὐδενός. ἐπεὶ δὲ τοὺς παρακειμένους καὶ κατ' αὐτοῦ καθωπλισμένους Βουλγάρους ἐν στενότητι εἶναι τῶν ἀναγκαίων ἀκήκοεν, τοῦ μὲν οὗ ἐφήδρευε τόπου νύκτωρ ἀπάνεισι μετὰ στρατιωτῶν ἱκανῶν καὶ ῥώμῃ τε καὶ

Thomam autem, singulariter coaetaneum suum ac cum quo iuvenis fuerat educatus, foederatorum tribunum constituit. Manuelem quoque Michaelis protostratorem patriciis adlegit. Armeniorumque duce constituto "non te decebat" inquit "adversum me arma sumere ac imperatori et Procopiae consilium praebere." ad quem ille summa usus libertate "at neque te" inquit "decebat adversus eum a quo beneficio affectus esses, ad haec vero qui et tuus compater existeret, manum levare." tunc quidem Leo his auditis obmutuit, viri reveritus virtutem. (13) ubi autem Bulgarorum principem superiori victoria elatum maioresque spiritus ducentem vicinam rursus audivit vastare regionem et agros demetere ac populari multamque tum hominum tum pecorum praedam agere, domosque praeterea incendere, ac omnino intolerabilem esse, primum quidem operae pretium duxit missa legatione officii ac pacis admonere. ubi autem nihil barbari iras inflexit, diruta moenium opera sua studioque instaurans, urbis res brevi in tuto posuit; veniensque Mesembriam strategemate eiusmodi hostibus illusit. dies non paucos castris positis altoque vallo ducto, atque aggere pene defossus cum copiis, substitit, annonas quotidie ex Romano solo in promptu habens, cum neque ad delicias ullo commeatu deficeretur. ubi autem assidentes Bulgaros armisque in eum instructos commeatus penuria laborare audivit, noctu discedens e loco in quo consederat, haud spernenda militum assumpta manu,

καρτερίᾳ γεγυμνασμένων, ἑνὶ μόνῳ τὴν ἑαυτοῦ παραγυμνώσας γνώμην, καὶ πρὸς λόχον ἐπί τινος βουνοῦ χωρεῖ, σύνθημα τοῦ πολέμου καὶ ὥραν εἰπών. ὡς δ' ἡμέρα ἀνέλαμπε καὶ ὁ στρατηγὸς ἐγυμνοῦτο τοῦ βασιλεύοντος, φυγῇ χρήσασθαι τοῦτον, τὸν βασιλέα δηλονότι, πάντες καθωμολόγουν, τῶν γεγονότων εἰδότες B οὐδέν. ὅθεν ἀναθαρρήσαντες οἱ ἐναντίοι μένειν ἐφ' ἑαυτῶν οὐδ' ὅλως ἐδύναντο, ἀλλὰ καὶ κατεξανίσταντο καὶ ἐπὶ χεῖρας ᾤοντο τὸ στράτευμα ἔχειν. νυκτὸς οὖν ἐπιγενομένης κάτεισιν ἐκ τοῦ λόχου ὁ Λέων ἀπροσδοκήτοις οὖσι κακῶν, καὶ συμμίξας αὐτοῖς ἀνδράσιν ὅπλων γυμνοῖς καὶ διαλελυμένοις ὕπνῳ τε καὶ θάρρει τῆς τοῦ βασιλέως φυγῆς τοσοῦτον ἐνειργάσατο φθόρον καὶ φόνον πάντοθεν ἐκχυθέντων τῶν Ῥωμαίων κατὰ τὸ σύνθημα, ὡς πανδημεὶ αἱρῆσαι τὸ στρατόπεδον καὶ μηδὲ πυρφόρον, τὸ δὴ λεγόμενον, διασωθῆναι. C οὐ μὴν ἀλλὰ καὶ πᾶσαν ἡλικίαν ἐκ καταδρομῆς τε καὶ προνομῆς ἀνάρπαστον θείς, καὶ τὰ τέκνα τούτων ταῖς πέτραις καὶ τῇ γῇ προσκροτῶν, τὴν ἑαυτοῦ κατέλαβεν ἐν τάχει. ὅθεν ἔκτοτε ἐκεῖνος ὁ βουνὸς Λέοντος ἐπωνομάσθη· καὶ οἱ ἀεὶ ἐκεῖσε διαβιβαζόμενοι τῶν Βουλγάρων τὴν κεφαλὴν ἐπισείοντες δακτυλοδεικτοῦσι, καὶ λήθην λαμβάνουσι τῶν τότε κακῶν οὐδαμῶς.

14. Τοῦτο γοῦν θρασύτερόν πως αὐτὸν καὶ ἰταμώτερον ἐνειργάσατο τὸ προτέρημα, καὶ εἰς τὴν σύντροφον ὠμότητα ἐναπέρραξε. μικροῦ γὰρ καὶ μείζονος οὐκ ἦν αὐτῷ διαφορὰ ἁμαρ-

3 *f.* στρατός. margo Combef. 11 ἐνειργάσαντο P

virorum scilicet fortium et qui laboris patientes essent, cum uno duntaxat communicato consilio, insidiandi causa in montem quendam contendit. ubi autem diluxit nec in castris imperator repertus est, fugisse eum cuncti existimarunt, quod nimirum eius discessionis consilium universos lateret. hinc hostes assumptis armis impetum tenere non poterant aut ullo modo suis se finibus continere, sed et aggressione facta in manus se exercitum habere nulloque negotio eius potituros putabant, cum ecce Leo per noctis silentia e monte descendens in hostes nihil mali subverentes irruit, inermibusque ac somno solutis congressus per existimatam illam imperatoris fugam tantam illorum dedit stragem, Romanis ex condicto undique ingruentibus, ut eorum exercitum omnem profligaverit ac ne ignifer quidem, ut aiunt, sospes evaserit. sed et incursione facta regionem omnem depraedatus puberes quidem omnes inde abduxit, parvulis autem ad saxa ac humum allisis Romanam mox dicionem repetiit. eam ob rem ex eo tempore Leonis collis ei colli nomen inditum est; ac qui illac iter habent Bulgari, caput moventes locum digito ostendunt, nec quicquam acceptae tunc cladis memoriam obliterant.

14. Felix ergo ille successus ferociorem longeque audaciorem hominem reddidit, inque eam crudelitatem in qua fuerat educatus impulit. nulla illi maioris minorisve sceleris distinctio: sed si quis ullius sceleris

D τήματος, ἀλλὰ κατὰ πάντων ἐφ᾽ ᾧ τινὶ καταλαμβανομένων μία ψῆφος, τὸ ἀκρωτηριάζεσθαι τῶν ἀναγκαίων μέλος ὁποιονοῦν καὶ πάντων ἐπ᾽ ὄψεσι τίθεσθαι ἐκκρεμές. ἃ καὶ πᾶσι πεποιηκότων τοῖς ἀνθρώποις ἐνέτικτον μῖσος δὴ τούτου καὶ δεινὴν ἀπέχθειαν· οἷς γὰρ ἄκρατον τὴν ἐγχώριον θηριωδίαν ἐνήσκησεν, ἀλλ᾽ οὐ κεκολασμένην τινὰ καὶ πρὸς τὸ πραότερον ἀπονεύουσαν, τὴν συγγενίδα φύσιν ἐκφαυλίζων ἀνηλεῶς, μισθὸν τὸ ἔχθος ἀλλ᾽ οὐ τὴν φιλίαν ἠμπόλησεν.

15. Ταῦτ᾽ οὖν ἔπραττεν, καὶ κατὰ νοῦν λαμβάνει τὸν ἐπὶ τῷ Φιλομηλίῳ μονάζοντα, καὶ ἀμείβεσθαί οἱ δοκεῖ τῆς προρ-
P 17 ρήσεως, εὐχαριστήριά τινα προπέμπων αὐτῷ, τὰς τοῦ κράτους νίκας δῆθεν αἰτῶν. ἀλλ᾽ ἐκεῖνος μὲν ἤδη φθάσας ἐξ ἀνθρώπων ἐγένετο, πονηρὸς δέ τις δαίμων καὶ βάσκανος (οὐ γὰρ ἄνθρωπον τοῦτον καλέσαιμι τὸν πάντα συγχέαντα καὶ ταράξαντα καὶ κατὰ τὸν παλαιὸν ὄφιν τὸν ἰὸν τοῖς τοῦ ταλαιπώρου Λέοντος ὠσὶν ἐγχέαντα, ἀνεπίστατον κεκτημένου ὅλον τὸν νοῦν) τῷ τοῦ γέροντος οἰκίσκῳ ἐν εὐλαβείας προσχήματι ἐγκατέλαβεν. Συμβάτιος οὗτος ἐλέγετο, ὃς τὸν βασιλικὸν ἄγγελον πολλὰ προσονειδίζων, καὶ δύσφημα κατὰ τοῦ βασιλέως εἰς πρόσωπον ἀλλ᾽ οὐχ ὑπὸ κόλπον
B λαλῶν, ἦ μὴν ἐξελιπάρει μηδὲν καθυποστελλόμενον ἐξειπεῖν ὡς οὐκ ἔσται σοι τὸ βασιλεύειν ἐπὶ πολὺ εἰδώλοις (ὢ τῆς καταράτου γλώσσης ἐκείνης) προσανέχοντι καὶ τολμῶντι τοῖς ὑπὸ τῆς παρ-

3 *f.* πεποιημένα. margo Combef. 11 προσπέμπων? 16 ἐκχέαντα P 18 τὸν] καὶ P

reus teneretur, una erat sententia, una ultio, cuiusvis necessarii membri amputatio inque omnium oculis publica amputati membri suspensio. haec sic dira cum in omnes ille designaret, grave in se odium omnium concitavit. cum enim nativam illam dire effrenem nulloque modo castigatam aut ad lenitatem ac clementiam vergentem feritatem coleret, cognatum genus crudeliter divexans ac contemptui habens, id vero consecutus est ut eum odissent omnes, nemo diligeret.

15. In hunc itaque modum suas ille res disponebat, venitque ei in mentem Philomeliensis monachus, eiusque de se vaticinii munera praestare constituit, missis in antecessum munusculis, quibus gratum animum suum in eum ostenderet, rogans a deo impetrare ut imperium suum victoriis augeret. verum ille iam e vivis excesserat, malus autem quidam ac invidus daemon (nec enim hominem appellavero qui omnia miscuit turbavitque, ac antiqui serpentis more miseri Leonis auribus, hominis scilicet cuius mens omnis imprudens et inconsulta, virus infudit) senis aediculam illam religionis obtentu occupaverat. Sabbatius illi nomen erat. hic Leonis ipsum nuntium conviciorum plaustro onerare, nec secum ipse, sed coram in facie in imperatorem maledicta iactare. rogavit nihilominus semoto omni timore denuntiare breve fore Leonis imperium, qui idolis (o linguam exsecrabilem!) animum adhiberet, inque

δοῦς καὶ Θυάδος καὶ ταραξίου σεβομένοις, τὴν βασιλεύσασαν Εἰρήνην καὶ τὸν ἐν ἁγίοις Ταράσιον ἀφέτῳ γλώττῃ περὶ τῶν θείων εἰκόνων οὕτως ἀποκαλῶν. ὁ δὲ Λέων, τὸ ὄντως δαιμόνων εἴδωλον, τὸ τῆς ἀμαθίας ἀνδράποδον, τὸ τῆς σκιᾶς ἀφωνότερον, δέον τούτων κατολιγωρῆσαι, ἢ εἰ μὴ τοῦτο, ἐκπομπεύειν γοῦν καὶ θεατρίζειν ταῦτα τῷ τὰς τῆς ἐκκλησίας ἡνίας ἰθύνοντι, καὶ σύνοδον συγκροτῆσαι περὶ μεγάλων μεγάλως ἀνερευνῶν, ἀλλ᾽ οὐκ C
ἀνδράσι μηδὲν ὑγιὲς φρονοῦσι, μηδὲ τὰ ἑαυτοῦ (φεῦ τῆς μετὰ δόλου φιλίας) ἀλλὰ τὰ οἰκεῖα προμηθουμένων καὶ προδιοικουμένων, τῷ φιλουμένῳ ἀνακοινοῦται Κασσιτερᾷ, καὶ τὰ ἀπεσταλμένα ἄγει τούτῳ εἰς φῶς. ὁ δὲ κακῷ τὸ κακὸν καὶ λύσσῃ λύσσαν οὐ θεραπεύων ἀλλ᾽ ἐπεγείρων, ἕτερόν τινα τῇ ὁμοίᾳ δόξῃ περὶ τῶν θείων εἰκόνων ἐνισχημένον κατὰ τοῦ Μαυριανοῦ ἔμβολον ἐνσκηνοῦντα ἀναγνωρίζει, ἀπέραντά τινα καὶ μετέωρα λεσχηνεύων καὶ ὑπεράγγελον τοῦτον εἶναι διαβεβαιούμενος· "τούτῳ οὖν, ὦ βασιλεῦ, χρῶ περὶ τῶν τοιούτων μυσταγωγῷ· καὶ ὃ ἂν εἴποι σοι ποιῶν οὐχ ἁμαρτήσεις τοῦ δέοντος." (16) ὡς οὖν ἐπεράνατο τὰ D
τῆς συμβουλῆς, μεταθέειν ἔγνω πρὸς τὸν μονάζοντα, καὶ τοῦτον καταντλήσας ταῖς φλυαρίαις προσέθηκεν ὡς κατὰ τὴν ἐπιοῦσαν νύκτα, ἰδιώτου σχῆμα ἀναλαβόμενον, αὐτὸν ἐνταῦθα βασιλέα ἀγάγω σοι, περί τε πίστεως καὶ ἄλλων οὐκ εὐκαταφρονήτων πραγμάτων συμβουλευόμενον. τοῦτον οὖν ἔτη δύο καὶ ἑβδομήκοντα

5 εἰ om P   7 ἀνερευνῶσαν? an ἀνερευνῶντα?   13 τοῦ] τὸ?

pardalis et Bacchae Taraxiique numinibus (sic nimirum imperatricem Irenem sanctumque Tarasium in causa divinarum imaginum linguae petulantia vocans) spem collocaret. at Leo, verum daemonum idolum, inscitiae mancipium, homo umbra elinguior, cum haec spernere debuisset, sin autem, ad eum qui ecclesiae clavum regebat referre eique exponere, necnon synodum de rebus magnis magnifice scrutando cogere, non hominibus qui nihil sani saperent, quique non eius commodis sed suis ipsorum lucris studerent suasque cum primis res curarent (proh amicitiam dolo compositam!), amico Cassiterae communicat, refertque quae ex nuntio verba acceperat. porro ille malum malo furoremque furore non leniens sed excitans, virum alium, qui eiusdem erga sacras imagines sententiae esset ac in Mauriani porticu habitaret, ei indicat, immensa quaedam et excelsa in eius laudem deblaterans, atque eius maiorem angelo praestantiam affirmans. "hoc igitur, imperator, qui in rebus istiusmodi instruat atque edoceat, utere; nec si quid illo doctore egeris, ab honesto et eo quod officii est quicquam aberraveris." (16) vixdum datum consilium erat, cum ad monachum properare operae pretium duxit; nugisque hominem exsaturans adiecit sequenti nocte se ei imperatorem adducturum privato habitu, qui de fide aliisque rebus haud spernendis eum sit consulturus. fac ergo illi polliceare annos duos supra septua-

τὴν βασιλείαν κατευθυνεῖν καθυπισχνοῦ, καὶ τρισκαιδέκατον ἀριθμεῖ τῶν ἀποστόλων, καὶ παῖδας παίδων ἐπὶ θρόνου τῆς βασιλείας ἰδεῖν, εἴ γε Λέοντος ἐξ Ἰσαυρίας συστοιχεῖ πως τῷ δόγματι. μὴ ὑπισχνουμένου δὲ ἀλλ' ἀπαναινομένου, τὴν ἐξώλειαν καὶ ἀπώλειαν καὶ κρημνοὺς καὶ βάραθρα ἠπειλῆσθαι τούτῳ ἐπόμνυε ἐκ
P 18 θεοῦ. ταῦτ' οὖν ἐκ σκαιωρίας καὶ γνώμης πονηρᾶς ἀναδιδάξας, τὸν βασιλέα ἦγεν κατὰ τὸν δηλωθέντα καιρόν· καὶ ἐπείπερ εἰσήεσαν μετὰ τοῦ Θεοδότου καὶ τῶν ἀπορρήτων ἀπήρχοντο, "οὐ χρή σε" ἔφη ὁ μοναχός "τὴν ἁλουργίδα καταλιμπάνοντα, ὦ βασιλεῦ, ἰδιώτου σχῆμα ἀλλάσσεσθαι καὶ τρώγειν γνώμας οὕτω τὰς τῶν πολλῶν." καὶ ὃς ἐκπαθὴς ἅμα καὶ παραπλὴξ τῷ ῥήματι τούτῳ γενόμενος, καὶ ἄλλως οἰηθεὶς ἐκ θείας εἶναι προγνώσεως, ὡς σκιὰ τῷ ἀνδριάντι εἵπετο ἀληθῶς, καὶ ὅλως ἤρτητο καὶ ἐκρέματο ἐξ ὤτων ὥσπερ τι κεραμοῦν ἀγγεῖον τοῖς λόγοις τοῦ μοναχοῦ. ἀλλὰ ταῦτα μὲν εἴρηται καὶ τοῖς πρὸ ἡμῶν διὰ μέτρου ποιήσεως.

B 17. Αὐτίκα γοῦν τὴν τῶν σεπτῶν εἰκόνων ἀναγορεύει καθαίρεσιν, καὶ τὸν πατριάρχην (Νικηφόρος δὲ οὗτος ἦν) γραφῇ αὐτοχείρῳ ἠξίου τοῦτο συγκατατίθεσθαι, εἴ γε μὴ μέλλοι ὑπερορίαν καταψηφίζεσθαι. ὁ δὲ καὶ ἄλλοθεν τεκμηράμενος τὴν τοῦ τυράννου πρὸς τὸ θεῖον ἀπέχθειαν, ἄγεσθαι μᾶλλον ἢ συνεῖναι τοιούτῳ κρίνας ἀπήγετο πρὸς τὴν καταψηφισθεῖσαν ὁμολογίαν· καὶ Θεόδοτος ὁ Κασσιτερᾶς τὸν τῆς ἱεραρχίας θρόνον ἆθλον

18 τούτῳ?

ginta imperium recturum, numeraque tertium decimum apostolum. Vaticinare ei fore ut videat super regni solium filios filiorum, si modo Leonis Isaurici edictum sequi in animum induxerit: sin nolit polliceri, sed rem se praestiturum abnuat, obtestare stragem illi, interitum, praecipitia, barathra a deo imminere. haec scelerato animo mentisque pravitate docto monacho, qua hora convenerant, imperatorem adducit. cumque ingressi una cum Theodoto arcana aggressi essent, "non decebat" inquit monachus "communi te veste purpuram commutare ac sic vulgi animis illudere." ille audito hoc verbo vehementer affectus menteque attonitus, ac cum alias ex divina eum praescientia loqui existimaret, plane velut umbra statuam sequitur, totusque ex monachi verbis, haud secus ac ex ansulis vasculum, sic ille pendet; ut et ante nos quidam versibus luserunt.

17. Statim ergo abolendas venerabiles imagines edicto sanxit; iubetque Nicephoro patriarchae ut scripta sua manu schedula assentiri se profiteatur; exilio multandus, ni faciat. is autem, qui et aliunde tyranni in dei cultum male affectam mentem coniecerat, rapique ad mortem quam cum homine eius indolis versari satius ducebat, sponte ad constitutum confessori exilium adduci se patitur. Theodotus interim Cassiteras circa divini paschae solenne tempus, navatae operae praemium,

ἐλάμβανε κατὰ τὸν τοῦ θείου πάσχα καιρόν. ἄξιον δὲ μηδὲ τὸ
τεκμήριον παραδραμεῖν. ὁ μὲν γὰρ Νικηφόρος, ἅτε τῆς ἱερωσύ-
νης προϊστάμενος, ἐζήτει τὴν διὰ τοῦ ἱεροῦ συμβόλου πρὸς τὴν C
θείαν πίστιν συγκατάθεσιν· ὁ δὲ οὐκ ἔφη νῦν τοῦτο ποιήσειν,
ὑπερθέσθαι δὲ μέχρις ἂν ἡ τῆς βασιλείας αὐτῷ τελείως ἀνάρρησις
γένηται, δηλούσης τῆς ἀναβολῆς ὡς καὶ αὐτοῦ γε προενισχημένου
τῇ τῆς αἱρέσεως μανίᾳ ἐκ γενετῆς. (18) ἕτερον δὲ τοῦ λεχθέντος
σαφέστερον· ὡς γὰρ ἄρτι τὸ πρῶτον ἀνηγορευμένος ἐδεῖτο τοῦ
διαδήματος, καὶ τοῦτο ἔδει τὸν ἀρχιερέα τῇ καταπτύστῳ ἐπιθεῖναι
κεφαλῇ, προσήγγισεν δὲ ταύτῃ καὶ κατεπαφώμενος οὐ τριχῶν,
ὅπερ ἐδόκει, μαλακῶν, ἀκανθῶν δὲ καὶ τριβόλων, ὅπερ τῇ
ἀληθείᾳ ἐνῆν, ἐν αἰσθήσει ἐγένετο, ἀκίσιν οἷον κατακεντούμε- D
νος καὶ τὴν χεῖρα ὀδύναις περιπειρόμενος ἀλλὰ ταῦτα μὲν
πρότερον· τότε γοῦν ὁ πατριάρχης ὑπερόριος, τὴν καταχει-
ροτονήσασαν ψῆφον δεξάμενος, ἐπορεύετο, ὅτε δὴ καὶ λέγεται
ἐφ' ὁλκάδος αὐτῷ φερομένῳ μακρὰν κατά τινα τόπον παρα-
θαλάττιον πόρρωθεν ἰδεῖν Θεοφάνην τὸν μακαρίτην, θυμιά-
μασί τε καὶ λαμπάσι δεξιούμενον, οἷόν τινα προπομπὴν τῇ καλῇ
ἐκείνῃ ὁμολογίᾳ προπέμποντα. ὃν ὡς εἰκὸς ἀποδοχῆς ἀξιώσας καὶ
θεῷ παραδοὺς δι' εὐχῆς, τὰς χεῖρας οἷον ἄρας μεταρσίως περιε-
βάλετο τοῦτον, πόρρωθεν τὸν τελευταῖον ἀποδοὺς ἀσπασμόν. ἐρο- P 19
μένου δέ τινος τῶν συνεπομένων, ὡς δὴ τίνι τοῦτον ἀποδίδως εὐ-

episcopalem sedem nanciscitur. operae pretium vero sit ut nec quod antecessit eius mentis praetercurramus indicium. divinus namque Nicephorus, quippe qui sacerdotio praesidebat, divinae eum fidei assensum praebere symboli professione omnino flagitabat. ad quem ille non se tunc facturum, atque interim dilaturum, dum eius in imperatorem acclamatio perfecte rata firmaque esset, sic nimirum cunctando ea se haereseos labe olim exque indole laborare ostendens. (18) est et aliud, eo quod dicebam, perversae eius circa fidem mentis clarius indicium. cum enim tum primum imperator acclamatus necdum diademate potitus esset, atque ipsum devoto capiti sacratissimus antistes impositurus esset, ubi se ad rem accinxit contigitque, non velut molles crines tangere videbatur, sed quod vere erat, spinas se ac tribulos sentire, quibusdam quasi aculeis compunctus ac doloribus manum confixus, existimabat. verum haec quidem antea. tunc vero patriarcha, eius poenae accepta sententia, in exilium proficiscebatur. quando etiam ferunt, cum navigio procul abduceretur, e maritimo quodam loco eminus beatum Theophanem vidisse, suffitu cereisque se prosequentem ac velut triumphi quadam specie praeclara illa confessione deducentem. cuius ille, ut par est, officium cultumque libenti animo suscipiens, atque precibus deo commendans, sublatis in altum manibus velut amplexabatur, supremum procul osculum figens. percontanti vero cuidam ex iis qui secum comitabantur, cuinam sic ex animo desiderioque supremum osculum daret, pro-

κτῶς τε καὶ ἐφετῶς, "τῷ ὁμολογητῇ" φάναι "Θεοφάνει" προφή-
τιδι γλώττῃ, "μονῇ προεστῶτι τοῦ Ἀγροῦ.". ὃ καὶ συνέβη μετ'
οὐ πολύ· αὐτός τε γὰρ τοῦτον ἑώρακεν οὐδαμῶς, κἀκεῖνος τὸν
τῆς ὁμολογίας στέφανον ἀνεδήσατο. καὶ τὰ μὲν τοῦ ἀρχιερέως
οὕτως.

19. Αὐτὸς δὲ οἷόν τινα τῆς αὐτοῦ βασιλείας ἀρχὴν ἐπι-
θεὶς δεξιὰν τὸ τὰ τῆς ἐκκλησίας οὑτωσὶ διοικονομῆσαι, καὶ τὴν
φιλοτιμίαν εἴπερ τις νοσῶν, τῶν κοινῶν πραγμάτων ἀντελαμβά-
νετο, πανταχοῦ τὸ κέντρον κατὰ τοὺς σφῆκας φέρων μεθ' ἑαυτοῦ,
B τὸν στρατιώτην τε ὄχλον γυμνάζων αὐτός, καὶ πόλεις πολλαχοῦ
τῶν κατὰ Θρᾴκην καὶ Μακεδονίαν δι' ἑαυτοῦ ἐκ βάθρων ἀνεγεί-
ρων, καὶ περιπορευόμενος πανταχοῦ, ὡς φοβερὸς εἶναι καὶ κατα-
πληκτικὸς καὶ αὐτοῖς τοῖς ἐχθροῖς. ὑπὲρ ὧν καὶ τὸν ἅγιον Νικη-
φόρον φασὶν εἰπεῖν ποτὲ μετὰ τὴν αὐτοῦ ἀποβίωσιν ὡς εἰ καὶ ἀλά-
στορα, ἀλλ' οὖν ἐπιμελητὴν τῶν κοινῶν ἡ πόλις ἄνδρα ἀπώλεσεν.
καὶ περὶ τὰς ἀρχὰς δὲ καὶ ἡγεμονίας, οὐ τὰς πολιτικὰς δὴ μόνον
ἀλλὰ καὶ τὰς στρατηγικάς, διεπτόητο ἰσχυρῶς· χρημάτων κρείτ-
των αὐτὸς ὢν τοὺς ἀδωροτάτους πάντων προέκρινεν, ἀριστίνδην
C πάντας ἀλλ' οὐ κατὰ πλοῦτον τιμῶν. καὶ δικαιοσύνης μὲν ἐρα-
στὴς λέγεσθαι ἐβούλετο, οὐκ ἐγίνετο δέ· πλὴν ἀντεποιεῖτο ταύτης,
καὶ πολλὰς τῶν κρίσεων δι' ἑαυτοῦ ἐξεπέραινε κατὰ τὸ Λαυσια-
κὸν ἐγκαθήμενος. καί ποτε δή τινος ἔγκλησιν πρὸς αὐτὸν ποιη-

6 ὑποθείς? 17 χρημάτων γὰρ κρ.?

phetica lingua respondisse, Theophani confessori, monasterii Agri praeposito; quod et ita brevi accidit, cum eum deinceps nunquam patriarcha viderit, isque coronam confessionis adeptus sit. atque hactenus ea quae sunt divini antistitis.

19. Leo autem hoc velut fausto regiae gubernationis principio posito, quod ecclesiae res eo statu composuerat, ac si quis alius ambitionis studio laborans, rei publicae curam aggreditur, ubique vesparum more secum ferens stimulum, tum ipse militares exercens numeros, tum multis locis per Thraciam ac Macedoniam curis suis atque labore urbes a fundamentis excitans, atque omnem Romanum orbem cunctasque provincias lustrans, ut et ipsis hostibus terrori esset ac formidini. hincque adeo, cum e vivis excessisset, dixisse aliquando aiunt sanctum Nicephorum, etsi impium, strenuum tamen rei publicae curis civitatem amisisse virum. magistratibus quoque ac praetoribus, non civilibus modo sed et militaribus, valde formidolosus erat; cumque ipse pecuniarum amore superior esset, praeferebat eos cunctis qui omnium maxime a muneribus sese continebant, unumquemque pro eo ac optimus erat, non ut opibus affluebat, honorans. aequi ac iusti tenacissimus videri voluit; nec tamen erat. ceterum iuri dicundo dabat operam, sedensque ipse in Lausiaco plerasque lites finiebat. sane cum quis aliquando apud eum

σαμένου περὶ γυναικὸς ἁρπαγῆς, ὡς τὴν ἑαυτοῦ τις τῶν ἐπιφανῶν ἀνηρπάκει ἀνδρῶν, καὶ ὅτι οὐδὲ λόγων ἠξίωμαι τῷ ὑπάρχῳ πολλάκις διενοχλῶν, ἐκεῖνον μέν, ἐπείπερ αὐθωρὸν παραστάντα οὕτως ἔχειν ἐπεμαρτύρησεν, εἰς εὐθύνας ἦγε τῆς ἀρχῆς μεταστήσας καὶ πικρίαν πολλὴν καταχέας αὐτοῦ, τὸν δὲ μοιχὸν νόμῳ ἐκδοθῆναι προστέταχεν.

Ἀλλὰ τούτοις μὲν τὴν πολιτείαν οἷον ὑπέσαινε καὶ τὴν πρὸς D αὐτόν, ὡς ἂν εἴποι τις, εὔνοιαν ἐκαπήλευσεν· (20) περὶ δὲ τὴν πίστιν ἐμαίνετο κραταιῶς, τοσοῦτον ὡς μηδὲ θεὸν ὀνομάζειν ἐδόκει τούτῳ καλόν. καὶ γὰρ τὰς τριακοντούτας σπονδὰς τοῖς Οὔννοις δὴ τούτοις τοῖς καλουμένοις Βουλγάροις ἐνωμότως ποιῶν καὶ εἰρηνικὰς συμβάσεις καταπραττόμενος, ἐπεὶ δι' ὅρκων ταύτας ἔμελλε βεβαιοῦν τε καὶ ἐμπεδοῦν, οὐ τούτοις δὴ τοῖς ἡμετέροις ἐχρῆτο, θεὸν καὶ οὐρανίους δυνάμεις ἢ τὴν κατὰ σάρκα γενομένην μητέρα Χριστοῦ τοῦ θεοῦ τῶν λεγομένων τε καὶ πραττομένων ἐφόρους καὶ μάρτυρας· ἀλλ' οἷά τις ψυχὴ βάρβαρος θεοσεβείας P 20 ἀπῳκισμένη, κύνας μέν, καὶ οἷς τὰ ἄνομα ἔθνη θύουσιν, ἐχρῆτο μάρτυσι τῶν πραττομένων καὶ ἀπέτεμνεν καὶ διὰ στόματος ἄγειν οὐκ ἐμυσάττετο εἰς βεβαίωσιν, οἷς ἐκεῖνοι ἐμφορούμενοι, τὴν τῶν Χριστιανῶν δὲ πίστιν ἐκείνοις μέλλουσί ποτε ὑφ' ἡμῶν διαβιβάζεσθαι πρὸς ἐκείνην, ὡς ἔοικε, κατεπίστευσεν. καὶ σαφῶς οὑτωσὶ οὐκ ᾐσχύνετο ἀσεβῶν· οἷς τε γὰρ τοὺς τῆς πίστεως μαργαρίτας κατὰ τὴν τοῦ κυρίου φωνὴν ἔμπροσθεν ἠφίει τῶν χοίρων καὶ χρῆσθαι τούτοις ἐπὶ στόματος ἐξεβιάζετο, ἄξιος βδελυρίας ὁ ἀνὴρ

expostulasset raptam sibi uxorem, quam nimirum illustrium quidam virorum rapuisset, nec praefectus saepius interpellatus eius ullam rationem habuisset, illum quidem statim sisti iussum neglectaeque reum iustitiae, testium depositione peractum, poenae addixit, cessare illum iubens severiusque corripiens, adulterum vero legi tradi praecepit.

Verum his ille rei publicae blandiebatur, eiusque sibi benevolentiam, ut ita dicam, cauponabatur. (20) ad fidem autem quod spectat ac pietatem valde insaniebat, ut nec deum nominare e re illi honestumque videretur. nam cum tricennales cum Hunnis, quos Bulgaros vocant, ineundae illi essent indutiae pacisque foedera iureiurando firmanda, non quibus Christiani solent sacramentis usus est, ut nimirum deum caelestesque virtutes, sive quae Christi deique parens carne fuit, dictorum gestorumque inspectores testesque adhiberet, sed velut barbarus quidam omnisque religionis expers, canes, ac quibus gens improba immolat, iis gestorum testibus utens, et dissecabat, nec quibus illi libenter ingurgitantur, haec ipse ad firmandam fidem ore gustare exhorrebat: quod verò Christianam fidem eis concredidit, ad quam a nobis aliquando, ut videbatur, essent traducendi, ne sic quidem impietati litare eum puduit. tum enim in eo quod fidei margaritas iuxta domini sententiam (Matth. 7, 6) mittebat ante porcos, hisque illos vir impius vere execrandus ore tenus uti com-

ἀσεβῶν· καὶ οἷς τὰ ἐκείνων αὖθις αὐτὸς τὴν τῶν Ῥωμαίων διέπων
B *βασιλείαν τε καὶ ἀρχὴν οὐκ ἠρυθρία μυσταγωγούμενος καὶ τελούμενος ἐν πανδήμῳ θεάτρῳ καὶ οὕτω γε δὴ πλήρει τῶν ἀπίστων τε καὶ πιστῶν, τοῦ αἰωνίου σκώληκος καὶ πυρὸς ἀλλ' οὐκ ἄλλων ἐπάξιος. καὶ ὅσους δὲ τὸν ὀρθὸν εὕρισκε λόγον τηροῦντας, τούτους πικρῶς κατῄκιζε καὶ δεινῶς· ἑτέρωθεν δὲ τὰ τῶν ὁμοφρόνων οἱ στίφη τε καὶ συστήματα συνεκρότει τε καὶ συνήγειρεν ἐν ταὐτῷ παρὰ πλευρὰν αὐτοῦ τιθεὶς καὶ προσεπικλύζων ταῖς ὠφελείαις. τούτοις καὶ Ἰωάννης ὁ γραμματικὸς ἐγκατέλεκτο, παντὸς ἀνάσκη-*
C *τος ὑπάρχων καλοῦ. οἷς καί τινα γραφὴν ὁ Λέων νεαρᾶς τινὸς καὶ μιαρᾶς ἐξαρχομένην πίστεως ἀναγράψαι κελεύσας, τὸν κατὰ τῶν θείων εἰκόνων δρόμον ἐδίωκεν. ἀνεῤῥίπισε δέ πως οἷον καὶ ἐξεφύσησεν εἰς ὕψος αἴρων αὐτὸν (καὶ γὰρ ἦν κοῦφος καὶ πρὸς οὐδὲν ἐφέρετο λελογισμένῳ τῷ νῷ) ὁ τοῦ ἱεροῦ συστήματός τε καὶ κλήρου τῶν βασιλικῶν αὐλῶν ἀρχηγός. λοχῶν γὰρ αὐτὸν ἐκ πολλοῦ καὶ οἷον ἐξ ἐνέδρας ὡς τὸν Πρωτέα αἱρήσειν ἐρῶν, ἐπεὶ κατά τινα καιρὸν τὸ θεῖον ἐκεῖνο εἰς ἐπήκοον ῥητὸν ἐκκλησιαζόμενον ἐκηρύττετο "τίνι ὡμοιώσατε κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσόχοος χωνεύσας*
D *χρυσίον περιεχρύσωσεν αὐτόν, ἢ ὁμοίωμα κατεσκεύασεν;" ἐπεὶ γοῦν τοῦτο κατὰ τὸν τοῦ Φάρου ναὸν ἐξηχεῖτό τε καὶ διεβεβόητο, ἠρέμα πως ὑποσυρεὶς καὶ ἑαυτὸν εἰς προὖπτον ἀγαγών, "σύνες ὅ*

5 δὲ] *μὲν?*

pellebat, tumque in eo rursus quod ipse Romani moderator imperii, in publico conventu, in theatro promiscua infidelium fideliumque multitudine referto, initiari non erubuit ac consecrari, non alio plane praemio quam aeterno verme et igni dignus fuit. porro si quos verae fidei tenaciores offendebat, eos vero dire graviterque excruciabat. alioqui vero eiusdem secum sententiae hominum cuneos conventusque cogebat atque conflabat, suo eos lateri adhibens ac muneribus obruens. inter illos Ioannes grammaticus fuit iisque accensitus, vir nulla honesti luce praeditus. his Leo scriptionem quandam ad novam ac exsecrandam acceptandam fidem iubens edere, adversus divinas imagines cursum intendebat. excitavit autem ac velut flammam in immensum extulit, quippe cum levis esset nec sensato animo quicquam aggrederetur, sacri collegii clerique palatini praeses. olim enim observans, velutque ex insidiis quasi Proteum quendam hominem capere satagens, cum aliquando in omnium auribus in publico ecclesiae conventu sententia haec proferretur (Isaiae 40, 18). "cui similem fecistis dominum, et cui simulacro assimilastis eum? numquid imaginem fecit faber, aut aurifex fuso auro circumdeauravit eam, aut simulacrum fabricatus est?" cum ergo sententia haec quandoque in sacra Phari aede cantu altaque voce ederetur, ille sensim quasi trahens ac se ipsum in medium producens "intellige,

τι λέγει," φησίν, "ὦ βασιλεῦ, τὸ ἱερὸν λόγιον· καὶ μηδείς σοι μετάμελος ἐπὶ τοῖς ἐναρχθεῖσιν ἔστω, ἀλλ᾽ ἅπαν θεῖον δοκοῦν ἐκποδὼν ποιήσας εἰκόνισμα τῆς ὀρθῆς ἔχου λατρείας τῶν μὴ σεβομένων αὐτά." τούτοις, ὥς εἶπον, ἀσυλλογίστως ὑπεκκαεὶς καὶ τὴν ἄθλιον ἐκείνην ψυχὴν προσεκπυρωθεὶς ὅλην ἐκίνησε κατὰ μὲν τῶν εὐσεβῶν τὴν ἑαυτοῦ μανίαν, κατὰ δὲ τῶν ἀσεβῶν τὴν θείαν καὶ δικαίαν ὀργήν. ὁ μὲν γὰρ θεσπίσματι πάντας τοὺς ἀρχιερεῖς ἐκ τῆς ὑπερορίας μετεπέμπετο, συλαγωγῶν τούτους, τῆς τοῦ πα- P 21 τριάρχου θέας πόρρωθεν καθιστῶν καὶ ἀποκηρύττων αὐτούς, ὡς τῷ οἰκείῳ βουλήματι πειθηνίους κατεργαζόμενος, πολλοὺς τὴν καλὴν ἀναιρήσασθαι μαρτυρίαν πεπεικὼς τῷ γε μὴ πεισθῆναι αὐτῷ.

21. Θεὸς δέ, οἷος τρόπος ἐκείνου οὐ σύντονός τις ἀλλὰ B μακρόθυμος, τὴν ῥομφαίαν ἐστίλβου μέν, οὐκ ἠφίει δέ. νῦν μὲν γὰρ αὐτοῖς λοιμοὶ καὶ αὐχμοὶ καὶ διάπυροι ἥλιοι, νῦν δὲ σεισμοὶ καὶ ἀναβρασμοί, καὶ ἄλλοτε φλογὸς οἷα κατὰ τοῦ ἀέρος ἀκοντίσεις καὶ ἑτέρωθεν ἐμφύλιοι στάσεις τῶν δεινῶν τὰ ἀκμαιότατα ἐπεσείοντο. ἀλλ᾽ οὐκ ἦν ἐκείνην ἐπισχεῖν τὴν ψυχήν, συὸς δίκην κατὰ κρημνοῦ ἐπιβρίσασαν. ἐντεῦθεν ὀψὲ γοῦν καὶ καιρίως πλήττουσα μάχαιρα παρὰ τοῦ θεοῦ ἐκπεπόρευται, ἵν᾽ ἥλῳ τέως ἧλος ἐκκρουσθῇ καὶ κακὸν τῷ κακῷ ἰαθῇ. Μιχαὴλ τοῦτο ἦν, ὃς τὴν C φοιδεράτων τότε ἐπειλημμένος ἀρχήν, ἐγκλήματι καθοσιώσεως

1 λέγει om P

imperator," inquit, "quidnam loquatur divinum oraculum; nec ulla te incessat paenitudo eorum quae coepta sunt: sed si quid sacrarum imaginum reliquum videatur, eo e medio sublato eorum rectae adhaere religioni qui nullum eis adhibent cultum." his itaque ille, uti dicebam, temere nulloque sano iudicio accensus infelicique illo exaestuans animo, suum omnem adversus pios incitavit furorem adversumque impios divinam iustamque indignationem. omnes namque episcopos dato rescripto ad se ab exilio accersit, eos spolians atque a patriarchae procul conspectu eliminans eiiciensque sive abdicans, velut inde sibi dicto audientes facturus esset. multis tamen bonae confessionis suscipiendae auctor exstitit, qua constantes fidei athletae obaudire tyranno noluere.

21. Deus autem (o quam ille non rigidus aut acris, sed patiens mitisque!) gladium quidem vibrabat, nec tamen feriebat. nam modo quidem lues et squalores solisque nimii algores, modo autem terrae motus ac eruptiones, quandoque etiam flammae similes vasto aëre eiaculationes, alias denique, quae malorum vis maxima, domesticos tumultus ac seditiones illis intentabat. cohiberi tamen non poterat, suis aggrestis more, in praeceps degravatus animus. tandem igitur tardus ille quidem, at cuius letale vulnus, a deo gladius proficiscitur, ut interim clavus clavum trudat malumque malo medeatur. Michael is erat, qui tum foederatorum praefecturam gerens, maiestatis crimine delatus, vix mul-

ἁλούς, μόγῳ πολλῷ καὶ κόπῳ ἀποτρίψασθαι ἴσχυσεν. ἀλλ᾽
ἔμελλεν ὑπ᾽ ὀδόντα τοῦτον ἔχων ἀεὶ καθάπερ διαπεπραγμένον
ἱερεῖον δεῖξαι οὐκ εἰς μακράν. ἄλλως μὲν γὰρ ἐξήσκει γλῶσσαν
ὁ Μιχαὴλ πρόλαλόν τε καὶ ἰταμόν, καὶ τὴν αὐτοῦ οὐκ ἔληγεν ἐκ-
πομπεύων θηριοτροπίαν, ἅτε δὴ αὐτῷ καὶ συναυξηθεὶς καὶ τῇ ἐκ
χειρὸς γαννύμενος ἀνδρειότητι. ὁ Λέων δέ (οὐ φέρει γάρ τις
D πάντων κρατῶν ἑνὸς ἡττᾶσθαι μωροῦ, εἰ μή γε ὄντως οὐκ ἀνδρῶν
ἀλλὰ καὶ θυμοῦ βασιλεὺς καταστῇ) ὠτακουστάς τινας τούτῳ λό-
χον κατέστησεν, ὡς ἂν διά τινος πορθμείου διαβιβάζοιντο λόγοι
οἱ αὐτοῦ· καὶ γὰρ ὑπείδετο τὸ μέλλον, τῆς κατὰ τὸ Φιλομήλιον
προρρήσεως ἐξημβλωκυίας τῆς αὐτοῦ ψυχῆς μηδαμῶς, ἣ τὸν Μι-
χαὴλ δεύτερον τοῦ Λέοντος ἀναρρηθῆναι διωμολόγησεν. τούτων
τῶν ἐφεδρευόντων εἷς ἦν καὶ Ἐξαβούλιος, ἀνὴρ οἷός τε ὢν ἦθος
καὶ φύσιν ἀνθρώπου καταμαθεῖν. ὡς οὖν χρόνου προϊόντος οὐκ
ἐνεδίδου τῆς ἀθυροστομίας μηδὲ τοῦ τωθασμοῦ, ἀλλ᾽ οἷόν τις
κυματίας πᾶσαν ἀκαίρως ἰλὺν ἐξέβρασεν ποταμός, ἠπείλησε τῷ
P 22 Λέοντι πανώλειαν καὶ ἀλλ᾽ ἅττα θυμὸς ἐτρέφετο πονηρός, ἀνε-
πέμπετο δὲ ταῦτα πρὸς βασιλέα, ἀνάρπαστος γίνεται ἐξ αὐτῆς,
καὶ τέλος τῶν ἐλεγχόντων τὰ τῆς κατηγορίας κατεμπεδούντων
κατατίθεται τυραννίδος ἐπίθεσιν μελετῶν. ἡμέρα ἦν προτεραία
τῆς καθ᾽ ἡμᾶς τοῦ λόγου Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐπιδημίας τε
καὶ σαρκώσεως. ἐπεὶ γοῦν πάντοθεν κατάφωρος ἐγεγένητο αὐτοῦ
τοῦ βασιλέως ἐν τοῖς ἀσηκρητείοις ἐξετάζοντος, καὶ δρασμὸς τῶν

toque labore illud a se depellere potuerat. verum futurum erat ut quem sub dente semper haberet, in morem dilaniatae victimae haud longe post ostenderet. porro Michael, praecipitis procacisque linguae vitio assuetus cum esset, feros Leonis mores traducendi, velut cum illo adultus sibique fortitudinis laude placens, nullum finem faciebat. Leo autem (non enim qui omnium dominus sit, ab uno stulto lubens omnino patiatur, nisi re vera non virorum magis quam irae imperio polleat) viros statuit occulte in insidiis auscultaturos, ut velut rimulae eius ad ipsum sermones perveherent. etenim suspectum habebat quod erat futurum, nec Philomeliensis monachi vaticinium eius animo exciderat, quo is secundum a Leone salutandum imperatorem Michaelem edixerat. eorum qui observarent unus quoque Hexabulius erat, acri scilicet vir ingenio, ac qui hominis indolem geniumque explorare posset. interim igitur, cum effrenem illam dicendi ac deridendi licentiam minime reprimeret, ac velut turbulentus fluvius limum omnem importune ebulliens extremam Leoni perniciem ac interitum comminatus esset, ac si qua malus furor alebat, verbis produxisset, re ad Leonem delata confestim rapitur ipsa die. postremo delatoribus accusationis capita confirmantibus affectatae tyrannidis ac maiestatis reus decernitur. pridie Christi verbi nostri natalis isthaec agebantur. quia ergo crimen undique exploratum erat, ipso Leone in secretariorum aede pro tribunali causam cogno-

τολμηθέντων οὐκ ἦν, καταχειροτονεῖται τὴν ἐπὶ θάνατον, καὶ θάνατον οὐ τόνδε ἢ τόνδε, ἀλλ' ἵν' ἔχῃ καὶ τὸν βασιλέα αὐτὸν θεατήν τε καὶ αὐτουργόν, εἴτε τῷ πάθει τῆς ὀργῆς ἐκνικώμενον, εἴτ' ἄλλως τῇ ὠμότητι ἐφηδόμενον, κατὰ τὴν τοῦ βασιλικοῦ βαλα- B νείου κάμινον δριμέως ἐκριφῆναι πυρὸς παραβόσκημα. ὥριστο ταῦτα, καὶ αὐτὸς προέθεεν τὰ τοῦ δράματος ἐποψόμενος. ἀλλ' ἡ τούτου σύζυγος (Θεοδοσία ἦν, τὸ τοῦ Ἀρσαβὴρ θυγάτριον) ἀνασπούδασα καὶ ὡς ἔτυχε θέουσα, ὡς ἔκ τινος βακχείας ἐξοιστρηθεῖσα, ἀπέσπευδε τοῦτον καὶ τῆς ὁρμῆς ἐγκατέπαυεν, ἀλάστορα καὶ θεομάχον ἀποκαλοῦσα, οἷς οὔτε τὴν ἡμέραν ἄγει διὰ φειδοῦς, τοῦ θείου μέλλων σώματος μετασχεῖν. ἐκθειόμενος οὖν τὰ δεινά, καὶ τῷ θεῷ μὴ ἀπὸ θυμοῦ γένηται δεδοικώς, τότε μὲν αὐτῷ τὴν σωτηρίαν τὴν παλίντροπον ἐπεβράβευσε, τῷ παππίᾳ τὴν αὐτοῦ ἐπιτρέψας φρουράν, εἰ καὶ τῶν σιδηροπέδων δι' ἑαυτοῦ φρουρεῖ- C σθαι ἠξίου τὴν κλεῖν. ἐπηπείλει δὲ καὶ τῇ γυναικί, καὶ "οὐκ εἰς μακρὰν ἐπόψεσθε" ἔφη, "σύ τε ὦ γῦναι καὶ τὰ τῆς ἐμῆς νηδύος βλαστήματα, τὰ ἀποβησόμενα, εἰ καὶ σήμερόν με τοῦ ἐκεῖθεν ἁμαρτήματος προσηλευθέρωσας." τούτοις τὸ μέλλον ἀπεφοίβασέ τε καὶ προεκήρυξε.

22. Καὶ γὰρ ἦν αὐτῷ δέος τῇ ψυχῇ ἐγκαθήμενον ἔκ τινος χρησμολογίας, ὡς κατὰ τὴν ἡμέραν τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ σάρκα γεννήσεως πᾶσαν τὴν αὐξηθεῖσαν εὐδαιμονίαν καὶ βα-

11 ἐνθυμούμενος? 21 τοῦ] τῆς?

scente, nec ullus effugii locus erat, capitalis in eum fertur sententia; nec ut quovis modo neci detur, sed ut sub ipsum principis conspectum ac velut ipso coram auctore, sive irae affectus sic impulerat, sive alias immanitate sese oblectabat, nempe ut in palatini balnei caminum proiiceretur, acri illic flamma absumendus. decretum erat; ipse tragoediae inspector futurus Leo praecurrebat. sub haec autem Theodosia uxor, Arsaberis filia, inculto habitu temereque ipsa proruens, Bacchantis more furibundo motu sese agitans, viri occupat iter eoque retrahit hominem, impium et dei hostem vocans, qui nec divino impartiendus corpore diei reverentiam haberet. mala ergo reveritus remque in religionem vertens, ac timens ne inde dei iram in se excitaret, in praesentia quidem vita reduce ac salute Michaelem donavit, eius tuto custodiendi cura papiae demandata, tametsi sibi ipse compedum clavem retinuit. sed et uxori comminatus est: "visura" inquit "es tu et liberi mei, et quidem brevi, quae inde eventura sunt, etsi me ab eius rei scelere hodie liberasti;" quibus verbis sibi ipse futuri eventus malique imminentis malus vates effectus est.

22. Ex quodam namque oraculo eius animo timor insederat, quo ferebatur die festo Christi dei nostri secundum carnem natalis sic adul-

σιλείαν ἀποκείρεσθαι μέλλοντος. ὁ δὲ χρησμὸς ἦν Σιβυλλιακός, D ἔν τινι βίβλῳ εἰς τὴν βασιλικὴν βιβλιοθήκην ἐναποκείμενος, οὐ χρησμοὺς μόνον ἁπλῶς ἀλλὰ καὶ μορφὰς καὶ σχήματα ἔχουσα τῶν γενησομένων βασιλέων διὰ χρωμάτων. ἦν οὖν λέων θηρίον μεμορφωμένον, χῖ στοιχεῖον κεχαραγμένον ἀπὸ τῆς ῥάχεως μέχρι τῆς γαστρὸς αὐτοῦ. τούτου κατόπιν ἀνήρ τις ἐπιθέων δόρατι καιρίαν ἐδίδου πληγὴν τῷ θηρίῳ διὰ τοῦ χῖ. πολλοῖς οὖν πρὸς σαφήνειαν τούτου δειχθέντος, ὁ τηνικαῦτα τὴν τοῦ κοιαίστορος ἐπανῃρημένος ἀρχὴν μόνος διετράνου τὸ τοῦ χρησμοῦ, ὡς Λέοντος οὕτως καλουμένου βασιλέως τινὸς κατὰ τὴν ἡμέραν τῆς Χριστοῦ γεννήσεως θανάτῳ ὀλεθρίῳ μέλλοντος παραδίδοσθαι.

P 23 23. *Προσέτι δὲ καὶ ἡ τῆς μητρὸς ὄψις ἐπλήρου φόβου* αὐτόν· ἣ τότε μὲν λεχθεῖσα εἰς οὐδὲν τούτῳ λελόγιστο, τὰ νῦν δὲ καὶ σφόδρα δάκνουσα ἐπέκειτο τὴν ψυχήν. ἐφάνη γὰρ αὐτῇ κατὰ τὸν ἐν Βλαχέρναις θεῖον ναὸν προσφοιτώσῃ ἀεὶ κόρη τις ὑπὸ πολλῶν λευχειμόνων περιστοιχιζομένη καὶ ὁ ναὸς αἵματος ἅπας πλήρης. ταύτην οὖν τὴν κόρην εἰπεῖν τινὶ τῶν παρεστώτων, χύτραν ἐπιπληρώσαντα αἵματος ἐπιδοῦναι τῇ μητρὶ τοῦ Λέοντος πιεῖν. αὐτῆς δὲ πολυετῆ χηρείαν προβαλλομένης, δι' ἧς μήτε κρεῶν μήτε B τινὸς ἐναίμων γεύσασθαι, καὶ διὰ τοῦτο μηδὲ ταύτης χρῄζειν τῆς χύτρας, "καὶ πῶς" ἀντέφησεν ἡ κόρη μετὰ θυμοῦ "ὁ σὸς υἱὸς οὐ παύεται ἐμὲ πολλῶν αἱμάτων πληρῶν, καὶ τούτῳ τὸν ἐμὸν υἱὸν

tam omnem felicitatem ac imperium sublatum iri. oraculum vero Sibyllinum erat, in quodam libro palatinae bibliothecae repositum, quo non solum nuda oracula, verum etiam eorum qui imperio potituri essent figurae formaeque coloribus expressae continebantur. erat ergo leo bestia efformata, cui superne a dorso ad ventrem litera X exarata erat. a tergo autem vir quidam incurrens per ipsam hanc literam leonem hasta configebat. cum autem multis solvendum aenigma fuisset propositum, unus tunc quaestoris fungens munere oraculum clare explicavit, fore nimirum ut imperatorum quidam Leo nomine Christi die natali exitiosa nece tolleretur.

23. Nec minus Leonem perterrebat eius matri oblata visio. quae initio quidem cum Leoni relata esset, ab eo neglecta et pro nihilo habita est: tunc vero alte animo haerens ipsum valde mordebat. cum enim illa continuo divinam sacram Blachernarum aedem frequentaret, apparuit puella quaedam, quam ingens albatorum cuneus satellitio cingebat. interim videt aedem totam cruore exundantem. tumque puellam uni cuidam adstantium iussisse ut ollam cruoris plenam Leonis matri bibendam porrigeret. illa vero diuturnam viduitatem causante, per quam nec carnes nec quicquam eorum quae sanguine praedita sunt gustasset, ac proinde nihil ad se eam ollam spectare, tunc iratam puellam respondisse "quomodo ergo filius tuus non cessat me cruoribus opplere, eoque filium meum

παροργίζων τε καὶ θεόν;" πολλά τε ἔκτοτε ἐλιτάνευε τὸν αὐτῆς υἱὸν τῆς τῶν εἰκονοκαυστῶν αἱρέσεως ἀποστῆναι, τὴν ὄψιν ταύτην ἐκτραγῳδήσασα.

24. *Καί τις δὲ ὄψις ἄλλη νυκτερινὴ ἐδειμάτου τοῦτον οὐκ ἔλαττον· αὐτοῦ γὰρ Ταρασίου τοῦ ἀοιδίμου πατριάρχου πάλαι τὸν βίον μετηλλαχότος Μιχαήλ τινα ἐξ ὀνόματος διακοῦσαι ἐπιπηδήσαντα προτρεπομένου ἐπιπλῆξαι καιρίαν καὶ κατὰ κρημνοῦ* C *ὠθῆσαι ἄβυσσον ἔχοντος. πρὸς τούτοις καὶ τὸ τοῦ μοναχοῦ τοῦ κατὰ τὸ Φιλομήλιον. ἀλλὰ καὶ τῆς ἐσθῆτος θᾶττον μεταμφίασις. ἃ συμφορήσας ἐπάλλετό τε τῷ δέει καὶ τὴν ψυχὴν ἐκυμαίνετο, τῷ ὕπνῳ κατὰ τὴν νύκτα ἀπεχθανόμενος. ὅθεν ἀκμαζούσης νυκτὸς σοφώτερα ἢ βασιλικώτερα βουλευσάμενος, τὰς ἐπὶ τὸν παπίαν φερούσας πυλίδας καταρράξας (καὶ γὰρ ἦν εὐσθενὴς τὼ χεῖρε) τὴν ἐπ' αὐτὸν διήνυε πρόοδον. ὡς δὲ κατὰ τὸ δωμάτιον εἰσῄει,* D *θέαμα ὁρᾷ εἰς ἔκπληξιν οὐ τὴν τυχοῦσαν ἄγον αὐτόν· εἶδεν γὰρ τὸν μὲν κατάκριτον ἐν σκίμποδι τῷ τοῦ παππίου περιδεξίως, τὸν δὲ παππίαν ἐπ' ἐδάφους κοιμώμενον εὕρισκεν. τὰς χεῖρας ἐπῆγε πρὸς τὸν Μιχαὴλ καὶ τὴν κεφαλήν, μαθεῖν βουλόμενος εἴ ἄρα, ὅπερ τοῖς ἐν συμφορᾷ ἐπακολουθεῖ, ἄφροντίν τινα καὶ ἡδὺν ἢ ἐμμέριμνον ὕπνον καὶ κεκολασμένον καθεύδει. ὡς δ' εὗρεν ἄνετον καὶ πάσης ἀπηλλαγμένον μερίμνης (οὐδὲ γὰρ οὐδ' ἐπαφώμενος αὐτὸν διύπνισεν), μείζονα τὸν θυμὸν ἔθρεψε τοῖς ἀπ' ἐλπίδος τού-*

ac deum irritare?" quo ex tempore filium obsecrabat ut ab haeresi abolentium imagines resiliret, hancce tragice visionem referens.

24. Perturbabat et alia haud modice nocturna visio. nam per quietem visus sibi fuerat audire Tarasium inclitum patriarcham, qui pridem in vivis esse desierat, hortantem ac iubentem cuidam nomine Michaeli ut irruens in Leonem letali eum ictu conficeret et in altam abyssum praecipitem daret. exagitabat etiam monachi Philomeliensis vaticinatio; sed et praetoriae chlamydis subitario impetu indutae recordatio. quae omnia congerens metu concutiebatur, animoque fluctuans omnem noctis somnum invisum habebat. quamobrem profunda iam nocte, eiusmodi consilium iniens quod sagacem magis exploratorem quam imperatoria fulgentem dignitate deceret, perrupta portula qua ad papiam patebat iter (quippe qui manibus robustissimus erat) ad eum usque processit. ut autem domum ingressus est, occurrit spectaculum quod illi haud vulgarem metum ac stuporem iniecit. nam reum quidem in papiae lectulo egregio cultu, ipsum vero papiam humi dormientem invenit. tum manus Michaeli caputque ac aurem admovet, nosse volens num, quod solent anxii et in vitae discrimen adducti, curis solutum suavemque an vero sollicitum ac castigatum somnum duceret. ubi autem solutum nihilque sollicitum atque anxium alto demersum sopore offendit (nam nec contrectando somnum illi excusserat), insperatis hisce spectaculis acrius incen-

P 24 τοις θεάμασι, καὶ δεινὸν ἀπῄει οὐκ αὐτῷ μόνον ἀλλὰ καὶ τῷ παππίᾳ ἐνσείων. οὐκ ἔλαθε γοῦν ταῦτα τοῖς περὶ τὸν παππίαν, ἀλλά τις τῶν προκοίτων τοῦ Μιχαὴλ ἐκ τῶν φοινικῶν φωρασάμενος ὑποδημάτων ἀπήγγειλε πάντα σαφῶς. οἷς ἐκπαθεῖς γενόμενοι καὶ ἀμάχῳ δέει περιληφθέντες βουλὴν ἐξήρτυον αὐτοῖς τὴν σωτήριον.

25. Ἕως ἄρτι ὑπέλαμπεν, καὶ σκῆψις γίνεται τῷ Μιχαήλ, ψυχικάς τινας κηλῖδας ἐπαγομένῳ, διὰ Θεοκτίστου, ὃν καὶ μετὰ ταῦτα τῷ τοῦ κανικλείου τετίμηκεν ἀξιώματι, ταύτας βούλεσθαί
B τινι προσαναθέσθαι τῶν θεοφιλῶν. ἐπετέτραπτο γοῦν καὶ συγκεχώρητο ταῦτα παρὰ βασιλέως. καὶ ὅγε δή φησιν τῷ Θεοκτίστῳ "τοῖς ἡμῖν κεκοινωνηκόσι τῆς πράξεως πάντα ἀνειπεῖν διαπείλει τῷ βασιλεῖ, εἰ μή τι γένηται παρ' ὑμῶν γενναῖον, τούτου με διασῶζον τοῦ θανάτου καὶ τῆς εἱρκτῆς." καὶ οἱ συνωμόται, ὡς ταῦτα διήκουσαν, βουλὴν τοιαύτην συρράπτουσιν. ἔθος ἦν τῷ κλήρῳ τῷ ἱερῷ οὐχ ὡς νῦν ἔνδον τοῖς βασιλείοις, ἔκτοτε λαβὸν τὴν ἀρχήν, προσμένειν διὰ νυκτός, ἀλλὰ τοῖς σφῶν οἴκοις, ἄρτι δὲ τρίτης ἀρχομένης φυλακῆς κατὰ τὴν ἐλεφαντίνην συναγείρεσθαι, δοξολογίαν ἀποδώσοντας κυρίῳ τῷ θεῷ τὴν ἑωθινήν. τούτοις οἱ συνωμόται ὑπὸ μάλης φέροντες ἐγχειρίδια ἐγκαταμιχθέντες, ἅτε
C δὴ καὶ κνέφᾳ καὶ ταῖς ἱερατικαῖς λαθόντες στολαῖς, συνεισῄεσαν ἀφειδῶς, ἔν τινι σκοτεινῷ λοχήσαντες τόπῳ, τὸ σύνθημα προσδεχόμενοι. ὡς δ' ὁ ὕμνος διεπεραίνετο καὶ ὁ βασιλεὺς αὐτοῦ που

sa ira discedit, non solum illi sed et papiae dirum exitium minitans. nec ea res papiam latuit, eo quod quidam pro Michaelis lectulo excubantium, ex cothurnis puniceis deprehenso imperatore, cuncta clare nuntiaverat. quibus illi gravissime turbati metuque maximo conterriti, quod eis saluti foret, id vero deliberant.

25. Iam primum dilucescebat, simulatque Michael adhaerere sibi animo sordes aliquas, quas per Theoctistum, quem et postea caniclii dignitate ornavit, religiosorum virorum cuipiam velit aperire. permisit imperator, eiusque rei licentiam fecit. aitque Michael Theoctisto "sane coniuratis denuntia cuncta me imperatori indicaturum, ni strenui quid molientes ab hac me morte ac carcere liberaveritis." his porro auditis coniurati tale quid consilii struunt. moris erat ut sacer clerus, non ut modo intra palatium (quod exinde eaque occasione primum inductum est) sed quisque secum domi maneret, tumque ineunte tertia vigilia ad eburneam portam congregarentur, reddituri domino deo matutinas laudes. his coniurati sese commiscentes, pugionibus subter axillas occultatis, cum per tenebras ac sacerdotalibus amicti vestibus latuissent, una libere ingressi inque uno quodam obscuro loco subsidentes signum exspectabant. hymno itaque persoluto, cum imperator haud procul a cantoribus consti-

πλησίον ἦν τοῖς ᾄδουσιν, προεξάρχων πολλάκις τοῦτο δὴ τὸ φίλον
αὐτῷ τὸ παντάνακτος ἐξεφαύλισαν πόθῳ (ἦν γὰρ φύσει τε εὔφωνος
καὶ ἐν ταῖς μελῳδίαις τῶν κατ᾽ ἐκεῖνο καιροῦ ἀνθρώπων ἡδύτα-
τος), τότε δὴ εἰσπηδήσαντες ἀθρόως ἐκ μὲν τῆς πρώτης ἡμάρτα-
νον προσβολῆς, πρὸς τὸν τοῦ κλήρου ἔπαρχον ἀποπλανηθέντες,
εἴτε δή τινι ἐμφερείᾳ καὶ σώματος ὁμοιότητι εἴτε κατὰ τὴν κεφα-
λὴν ὁμοίᾳ περιβολῇ· κρυμώδους γὰρ οὔσης καὶ χειμερίου τῆς ὥρας
ἐνὶ περιβλήματι ἀμφότεροι διεκαρτέρουν, πίλῳ τὴν κεφαλὴν ὀξυ- D
τάτῳ περικαλύπτοντες. ἀλλ᾽ ὁ μὲν τοῦ κλήρου καθηγεμὼν τὸν
κίνδυνον ἀπεώσατο (αὐτίκα γὰρ γυμνώσας τὴν κεφαλὴν τῷ φαλα-
κρώματι τὴν σωτηρίαν ἐθήρασεν), ὁ Λέων δὲ τοῖς ἀδύτοις ἐπι-
συρεὶς οὐ σώζεται, ἀλλ᾽ ἀμύνασθαι διεσπούδαζεν. ὅθεν τὴν τοῦ
θυμιατηρίου σειρὰν διαρπάσας, ἢ κατά τινας θεῖον σταυρόν, τοῖς
ἐπερχομένοις ἀντιπαρατάττεσθαι ἐβούλετο. ἀλλ᾽ οὗτοι πολλοὶ καὶ
οὐ καθ᾽ εἷς ἐπιδραμόντες κατετίτρωσκον, καὶ ὡς ἀμυνόμενον καὶ
τῇ τοῦ σταυροῦ ὕλῃ τὰς τῶν ξιφῶν ὁρμὰς ἀποπέμποντα. ἀλλ᾽
ἔκαμεν πάντοθεν ὡς θηρίον βαλλόμενος, ὅτε δὴ καὶ ἀπογνοὺς P 25
ὅρκῳ τῆς ἐνοικούσης χάριτος ἐν τῷ ναῷ τινὰ εὐμεγέθη καὶ γιγαν-
ταῖον ἐπιφέροντα ὁρῶν τὴν πληγὴν ἐδυσώπει καὶ ἐξελιπάρει τρα-
νῶς· τῆς ἐκ τῶν Κραμβωνιτῶν οὗτος ὡρμᾶτο γενεᾶς. ἀλλ᾽ ὅγε
"οὐχ ὅρκων" εἰπὼν "ἀλλὰ φόνων καιρός," ἔτι τε κατὰ τῆς θείας
ὀμόσας χάριτος, παίει διανταίαν κατὰ χειρὸς οὕτω δὴ ἀνδρικῶς
ὡς οὐ μόνον τῆς κλειδὸς ἀπαρράξαι ταύτην δεινῶς, ἀλλὰ καὶ τὸ

tutus, uti crebro solebat, illud moduli inceptasset "sprevere summi cuncta amore principis" (erat enim ex indole canora voce, eaque divinis modulandis laudibus eius aetatis cunctos mortales suaviore vincebat), confertim insiliunt, primoque impetu ac aggressione in cleri praefecto decepti sunt, sive quod is corpore imperatori perquam similis erat, sive quod caput simili integumento obduxerat: cum enim per hiemis aspera ingens frigus rigeret, eodem ambo integumento illud tolerabant, acutissimo nimirum pileo caput contegentes. sed is quidem pileo capiti detracto, ostensa calvitie, facile salutem captavit. Leo autem in altaris penetrale se ipse subducens irrito conatu praesidium quaerit. tueri se ille tamen conabatur: quapropter turibuli catena vel (ut alii perhibent) divina cruce arrepta invasorum impetum propulsare studebat. verum ii non singuli sed facto cuneo irruentes vulnera infligebant, cum sic quoque ille sese ulcisceretur crucisque materia gladiorum ictus depelleret. tandem vero bestiae in morem undequaque petitus fatiscit; quando et desperata salute unum quempiam procera statura, nec giganti absimilem, ictum inferentem videns, per gratiam in templo habitantem adiuravit palamque obtestatus est ut parceret. erat is Crambonitarum stirpe oriundus. ad quem ille "non sacramentorum istud" inquit "sed caedium tempus est;" ac insuper per divinam ipse gratiam iurans manum eius adverso vulnere percussit, tanta vi ut non solum a clavicula eam penitus amputaverit, sed et crucis cornu dis-

κέρας τοῦ σταυροῦ κοπτόμενον μέχρι πολλοῦ προελθεῖν. συναποτέμνει δέ τις αὐτοῦ καὶ τὴν κεφαλήν, ὅλμου δίκην τὸ σῶμα καταλιπών.

B 26. Τοιούτῳ μὲν τέλει βίου ὁ Λέων ἐχρήσατο κατὰ τὸν Δεκέμβριον μῆνα (ὥρα δὲ ἦν δεκάτη τῆς νυκτός), βασιλεύσας ἔτεσιν ἑπτὰ πρὸς πέντε μησίν, ὠμότητα μὲν ἐξασκήσας, πρὸς δὲ καὶ ἀσέβειαν, εἴπερ τις τῶν πρὸ αὐτοῦ· καὶ τούτοις τήν τε προσοῦσαν αὐτῷ πρὸς τὰ κοινὰ ἐπιμέλειαν καὶ τὴν ἐν ταῖς χερσὶν ἰσχὺν καὶ ἀνδρίαν κατήσχυνεν. λέγεται δὲ καί τινα φωνὴν οὐρανόθεν αὔθωρον ῥαγῆναι, τὴν αὐτοῦ κατάλυσιν εὐαγγελιζομένην πολλοῖς· ἧς καί τινες ἀκηκοότες ναυτίλοι, τὸν καιρόν τε καὶ τὴν νύκτα ἀπογραψάμενοι, ἐκ τῆς ὕστερον ἐρεύνης ταύτην εὗρον οὖσαν ἀληθινήν.

sectum procul dissilierit. simul quoque alius quispiam eius abscisso capite truncum corpus reliquit.

26. Hunc vitae finem sortitus Leo, mense Decembri, hora noctis decima, cum annos septem menses quinque imperium rexisset. crudelitate, si quis alius decessorum, praetereaque impietati operam dedit, qua utraque labe diligentiam in procuranda re publica bellicamque fortitudinem obscuravit. aiunt et vocem quandam statim caelitus erupisse, quae laetum de eius exitio nuntium in vulgi aures perferret; ac navicularios quosdam eo audito, observatoque temporis ac noctis articulo, rimando postea veram eam esse noctem comperisse.

P 26

ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ
ΜΙΧΑΗΛ ΤΟΥ ΕΞ ΑΜΟΡΙΟΥ.
ΛΟΓΟΣ Β.

Ἀνῃρηκότες δὲ τὸν Λέοντα οἱ περὶ τὸν Μιχαήλ, ὡς ἐν τῷ πρὸ τούτου ἡμῖν δεδήλωται συντάγματι, τὸ τούτου νεκρὸν σύροντες ἀνηλεῶς τε καὶ ἀφειδῶς διὰ τῶν Σκύλων εἰς τὸν ἱππόδρομον ἐξήγαγον, μή τινα φόβον ἔχοντες ἤδη διὰ τὸ πλήρη εἶναι τῶν ἐπι-

MICHAELIS AMORIENSIS IMPERIUM.
LIBER II.

Hac Michaelis fautores, uti a nobis superiori libro explicatum est, expleta carnificina, defuncti cadaver crudeliter effrenique licentia trahentes per Scyla ad circum eduxerunt, nullo iam metu deterriti, quod

βούλων καὶ συνωμοτῶν τὴν βασίλειον αὐλήν. συνεξέφερον δὲ αὐτῷ καὶ τὴν αὐτοῦ γαμετὴν σὺν τέτταρσι τέκνοις αὐτῶν, Συμβατίῳ τῷ κατὰ στέψιμον μετονομασθέντι Κωνσταντίνῳ, Βασιλείῳ τε καὶ Γρηγορίῳ ἅμα Θεοδοσίῳ· οὓς καὶ ἀκατίῳ ἐνθέντες B πρὸς τὴν Πρώτην νῆσον ἀπήγαγον, ἔνθα καὶ τῶν παίδων εὐνουχισθέντων τὸν Θεοδόσιον συνέβη δυστυχῆσαι περὶ τὴν ζωὴν καὶ τῆς τοῦ σώματος ταφῆς τῷ ἰδίῳ κεκοινωνηκέναι πατρί.

2. Ὁ δὲ Μιχαὴλ τῆς ἐκ τοῦ παππίου φρουρᾶς ἀνενεχθείς, ἔτι τοὺς πόδας σιδήρῳ δεδεμένους ἔχων διὰ τὸ τὴν κλεῖν παρὰ τοῦ Λέοντος φυλαττομένην ἀσφαλείας ἕνεκεν τέως εἶναι ἀφανῆ, ἐπὶ τὸν βασίλειον ἐκάθισεν θρόνον, καὶ παρὰ πάντων τῶν τέως ὄντων P 27 ἐν τῷ παλατίῳ προσεκυνήθη αὐτοκράτωρ ἀναγορευθείς. ἤδη δὲ μεσούσης ἡμέρας τῆς φήμης πανταχοῦ διαδραμούσης, τῶν δεσμῶν σφύρᾳ θλασθέντων μόλις, οὐ χεῖρας ἀπονιψάμενος, οὐ τὸν θεῖον φόβον κατὰ νοῦν εἰληφώς, οὐκ ἄλλο οὐδὲν τῶν δεόντων ποιήσας, πρὸς τὸν θεῖον καὶ μέγαν ναὸν προελήλυθεν τοῦ στέφους ἐκ τῆς πατριαρχικῆς χειρὸς καὶ τῆς πανδήμου τυχεῖν ἐπιθυμῶν ἀναρρήσεως, ἐκείνους μόνους φραγμὸν καὶ περιχαράκωμα ἔχων τοὺς τοῦ φόνου μετεσχηκότας καὶ συνομωμοκότας αὐτῷ. ἔνθα καί τις ἀμ- B φοτέρων θαυμάσειεν τὸ κακόγνωμον, τοῦ μὲν ὅπως οὐδένα εἶχε τῶν τηλικούτων κολάκων καὶ φιλούντων τότε δὴ βοηθόν, πάντων ὥσπερ ἑρπετῶν εἰς καταδύσεις χωρησάντων, τοῦ δευτέρου δὲ τὸ πρὸς πάντας ἄφοβον καὶ αἱμοχαρές, οἷς ὥσπερ τις ἀπὸ νίκης

omnis regia coniuratis, iisque qui Leonis vitae insidiati essent, foret conferta. una quoque illius uxorem eiiciunt cum quattuor liberis, Symbatio, cui per inaugurationis solennia inditum Constantini nomen, Basilioque et Gregorio, necnon Theodosio. hos omnes lembo impositos in Proten insulam duxerunt. ibi exsecti cum essent, Theodosium mori contigit, cuius defuncti corpus una cum paterno cadavere conditum fuit.

2. Michael autem e papiae custodia eductus, adhuc pedes ferro vinctus cum esset (quod scilicet clavis, quae apud Leonem servabatur, ut magis vincto caveret, necdum inventa erat), in regio throno consedit omniumque qui tum in palatio aderant vocibus imperator salutatus est ac adoratus. iam vero circiter meridiem fama ubique sparsa, cum vix malleo compedes diffissi essent, illotis manibus, nullo dei metu in animum assumpto, nec ullo alio defunctus honesti officio, ad divinum magnumque templum processit, id satagens ut ex patriarchae manu coronam consequeretur totiusque populi votis ac vocibus imperator salutaretur, eorum duntaxat praesidio munitus valloque septus, qui una secum necis socii ac coniurati fuissent. ceterum amborum quis merito inauspicatam hic miretur mentem, Leonis, quod sic nullum ex tot assentatoribus amicisque tunc auxilium opemque ferentem habuerit, cum omnes serpentum more in suas se latebras ac foramina abdidissent, Michaelis vero interritum adversus omnes cruentumque animum, cum non

ἀθλοφόρος ἐπανερχόμενος ἀλλ' οὐ δήμιος (τοῦτο γὰρ ὑπὸ τῆς τὰ πάντα διοικούσης προνοίας ἐγένετο) κατὰ τὴν πλατεῖαν διήρχετο δέον ἐγκαλύπτεσθαι καὶ θρηνεῖν, οὐκ ἐφ' οἷς ἄξιον αἷμα δικαίως ἐξέχεεν (καί τοί γε οὐδὲ τοῦτο τῶν ἐπαινετῶν), ἀλλ' ἐφ' οἷς οὐκ C *ἐν ἀξίῳ τόπῳ, θείῳ δὲ καὶ καθαρῷ, καὶ μόνον ἔνθα τὸ δεσποτικὸν καθ' ἡμέραν ἐκχέεται, τῶν ἡμετέρων λύτρον ἁμαρτιῶν.*

3. *Ἀλλ' ἐπὶ τὴν θρεψαμένην τοῦτον ἡ ἱστορία ἀγέσθω, καὶ μέσον αὐτὸν λαμβανέτω τὰ αὐτοῦ ἐπαγγέλλουσα. ἤνεγκε μὲν οὖν αὐτὸν ἡ κατὰ τὴν ἄνω Φρυγίαν πόλις Ἀμόριον οὕτω καλουμένη, ἐν ᾗ καὶ Ἰουδαίων καί τινων Ἀθιγγάνων πλῆθος ἀεί πως ἐγκατοικίζεται· καί τις δὲ αἵρεσις ἐκ τῆς ἀλλήλων κοινωνίας καὶ διηνεκοῦς ὁμιλίας καινὸν ἔχουσα τρόπον καὶ δόγματα ἐπιφύεται,* D *ἧς καὶ αὐτὸς μετέσχεν ἐκ πατέρων διαδεξάμενος. αὕτη δὲ τοῦ μὲν θείου λουτροῦ ὡς σωτηριώδους ὄντος καὶ παρ' αὐτοὺς διωμολογημένου τοὺς τελουμένους μεταλαγχάνειν ἀνίησι, τἆλλα δὲ πάντα σώζει φυλάττουσα κατὰ νόμον τὸν Μωσαϊκόν, πλὴν τῆς περιτομῆς. διδάσκαλον δὲ καὶ οἷον ἔξαρχον ὁ ταύτῃ μεμυσταγωγημένος Ἑβραῖόν τινα ἢ Ἑβραΐδα κέκτηται, τοῦ θείου τελέως βαπτίσματος ἀπεχόμενον, κατὰ τὸν ἑαυτοῦ οἶκον, ᾧ καὶ τὰ ἑαυτοῦ οὐ μόνον τὰ ψυχικὰ ἀλλὰ δὴ καὶ τὰς κατ' οἶκον οἰκονομίας ἐμπι-* P 28 *στεύει καὶ ὑπὸ χεῖρα δίδωσι τὴν αὐτοῦ. ταύτης οὖν ἐκ παιδὸς*

8 ἀπαγγέλλουσα? 14 αὐτοῖς?

velut carnifex (quod enim evenerat, divinae providentiae cuncta gubernantis exstiterat) sed tanquam victor coronatus per plateam transiret, cum magis erubescendum lugendumque foret, non quod iuste, dignum qui effunderetur, sanguinem effudisset (quanquam ne hoc quidem in iis habendum quae laudem merentur), sed quod non in caedium loco, sed in divino mundoque, et in quo domini duntaxat sanguis ad nostrorum delictorum scelerumque expiationem quotidie funditur.

3. Verum ad eius patriam recurrat narratio, eum medium assumens, cuius se res exsequi profitetur. tulit hunc Phrygiae superioris civitas, dicta Amorium. in ea Iudaeorum eorumque quos Athinganos vocant frequens semper multitudo consedit. sed et alia quaedam haeresis, ex aliorum cum aliis societate iugique consuetudine, nova prorsus exque novis et inauditis decretis conflata emersit, cuius ipse quoque Michael accepta a maioribus superstitione particeps fuit. secta haec divinum quidem lavacrum ut salutare et a suis explorate agnitum probatumque, eos qui initientur, percipere sinit: in reliquo autem omnia, praeter unam circumcisionem, ex legis Mosaicae ritu servat. quisquis hac secta est initiatus, praeceptorem ac velut praefectum Hebraeum quendam sive Hebraeam divini prorsus expertem baptismatis domi habet, cui non solum ea quae ad animum ac salutem spectant, sed et rei familiaris administrationem committat domuique ac substantiae eum praeficiat.

μετασχὼν καὶ ᾗ τὴν ψυχὴν προκαταληφθεὶς οὐκ εἶχεν οὐδ' οὕτως τὸ τῆς προλήψεως καθαρόν, ἀλλ' οἷόν τις ἀπιστίας σύνοδος γεγονὼς ὁμοῦ τε ταύτην οὐ πόρρω γενόμενος παρεχάραξεν καὶ τὴν Χριστιανῶν παρενόθευσεν καὶ τὴν Ἰουδαϊκὴν ἐκιβδήλευσεν. τέως μὲν οὖν εἴχετο αὐτῆς, καὶ τὴν εἰς ἄνδρας τελοῦσαν ἡλικίαν ἀνήγετο, ἀγροικίαν καὶ ἀμαθίαν ὥσπερ τινὰς ἕλικας ἄμπελος συνανιούσας ἔχων αὐτῷ· μᾶλλον δὲ ὑπὸ τούτων ἐχόμενος καὶ παιδαγωγούμενος κατάλληλα προσῆει μαθήματα διδασκόμενος, οἷς πολλάκις τὴν βασίλειον δεδραγμένος ἀρχὴν ἐφαίνετο σεμνυνόμε- B
νός τε καὶ καλλωπιζόμενος ἢ τῷ ἑαυτοῦ διαδήματι. τὴν λογικὴν δὲ παντάπασιν, ὡς τὰ παρ' ἑαυτοῦ προβαλλόμενα ἀνατρέπουσαν καὶ πείθειν δυναμένην τε καὶ μεταδιδάσκειν τοῦ μὴ τῆς αἱρέσεως αὐτοῦ καὶ θρησκείας ὀπίσω πορεύεσθαι, ἠτίμαζέ τε καὶ ἀπεβάλλετο τῆς ἑαυτοῦ ἐπιβούλως ψυχῆς. καί τοί γε ἦν αὐτῷ δυνατὸν τὰ ἑαυτοῦ τε σέβεσθαι καὶ τὰ ἡμέτερα μὴ ἀτιμοῦν, ὅταν μὴ πρὸς τοσοῦτον χορὸν τῶν ἐπὶ σοφίᾳ διαλαμψάντων χρόνῳ καὶ ἀριθμῷ κεκρατηκότα ἀνθαμιλλᾶσθαι ἠδύνατο. (4) πλὴν ἐτίμα τὰ ἑαυ- C
τοῦ. τὰ δὲ ἦν συῶν μὲν τῶν ἀρτιτόκων προλέγειν ὅσοι τε ἔσονται εὐτραφεῖς καὶ σωμάτων μεγέθους οὐκ ἀμοιρήσουσι, καὶ ὅσοι τοῖς ἐναντίοις περισχεθήσονται, καὶ ἵππων μὲν ἐγγὺς ἑστάναι τῶν λακτιζόντων εἰδέναι, ὄνους δὲ λακτίζοντας ὡς πορρωτάτω ἀποτρέπεσθαι εὐφυῶς, ἡμιόνων τε κριτὴς ἄριστος εἶναι, καὶ τούτων

21 ἐπιτρέπεσθαι P: cf. 4 26 extr.

hac a puero Michael institutus eiusque primum documentis imbutus, ne sic quidem quae primo insederat opinionem puram retinuit, sed velut pravae religionis nothaeque colluvies, tum eam ipsam paulo post adulteravit, tum Christianam ac Iudaicam spuriis aliis adiunctis polluit. hactenus quidem illam sequebatur inque virilem provehebat aetatem, agrestes mores ac inscitiam haud secus ac vitis malleolos una surgentes habens. quinimmo quorum disciplinae haereret ac quos pueritiae institutores haberet, eorum congrua moribus studia condiscens grandescebat, quibus haud raro, etsi iam imperii nactus infulas, magis sibi placere ac gloriari videbatur quam ipso diademate. eam autem quae rationem excolit scientiam et eruditionem, seu literas quibus evertenda essent illius problemata, ac quibus suaderi licebat atque doceri haud sequendam suam illam haeresim ac superstitionem, tum est aspernatus, tum ex suo dolose animo ablegavit. quanquam ei licebat tum sua colere tum nostra non aspernari, quando nec certamini par videri poterat adversum tantum sapientissimorum virorum, aetate ac numero longe praestantem, chorum. (4) enimvero sua illa colebat plurisque faciebat. eius vero fere generis erant, nempe suum recens natarum vaticinari ac coniicere quae pingues plenaque ac adulta corporis mole, quaeve contra exiles ac macilentae essent futurae; prope equos calcitrones scire stare, asinos vero calce petentes quam procul scite ingenioseque propellere; acri iu-

ὅσοι μὲν πρὸς φόρτον ἁρμόδιοί τε καὶ ἐπιτήδειοι, ὅσοι δὲ τοὺς ἐπιβάτας εὐφόρως, ἀλλὰ μή τινι πτοίᾳ περιδεεῖς γινόμενοι, φέρουσιν. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἵππους μόναις ὀφθαλμῶν διακρί-
D νειν βολαῖς, ὅσαι τε πρὸς δρόμον εὔτονοί τε καὶ τάχισται πεφύκασιν καὶ ὅσοι πρὸς πόλεμον τὸ καρτερικὸν διασώζουσιν, προβάτων τε καὶ βοῶν τὴν εὐτοκίαν, καὶ τὴν τοῦ γάλακτος ὅσαι τὴν δαψίλειαν ἐκ φύσεως ἔλαχον, καὶ ὡς σιγώντων, τὸ δὴ μεῖζον, τῆς τε μητρὸς καὶ τῶν ἀρτιγενῶν γεννημάτων, εἰδέναι διακρίνειν ποῖον ὁποίας ἐστὶν ἴδιον. καὶ τὰ μὲν τῆς πρώτης ἡλικίας, εἰπεῖν δὲ καὶ τῆς τελευταίας, ταῦτα δὴ τὰ μαθήματά τε καὶ σεμνολογήματα· (5) ὡς δ' ἤδη ἤκμαζε τὸν πένητα βίον διαθλῶν τε καὶ καρτερῶν, ἔσπευδε δὲ τοῦτον πάσῃ ἀποτρίψασθαι μηχανῇ,
P 29 καί ποτε τῷ ἑαυτοῦ παρέστη δὴ στρατηγῷ, ἑαυτόν τε ὑποφαίνων καὶ τῇ τῆς γλώττης τραυλότητι τὸν ἄρχοντα ἐκκαλούμενος, τῶν Ἀθιγγάνων τις γνωστός τε καὶ οἰκεῖος τῷ στρατηγῷ ὢν αὐτόν τε τοῦτον Μιχαὴλ καί τινα ἕτερον περιβοήτους ἔσεσθαι μετ' οὐ πολὺ διηγόρευε καὶ βασιλείας αὐτῆς ἐπιτυχεῖν οὐκ εἰς μακράν. τούτοις τὴν ψυχὴν ὁ στρατηγὸς ἐκθερμανθείς, καὶ τὸ μέλλον ὥσπερ κατατρυγῶν, οὐκ ἔγνω βραδύτητι τὸν καιρὸν ἀπώσασθαι, οὗ πάλιν τυχεῖν οὐκ εὐπετὲς οὐδὲ ῥᾴδιον. τράπεζα γοῦν παραχρῆμα, καὶ
B τοὺς ἄλλους πάντας καταλιπὼν τούτους δὴ τοὺς ἄνδρας εἰς ἑστίασιν συγκαλεῖ. ὡς δὲ τοῦ πότου ἀκμάζοντος καὶ τὰς θυγατέρας

2 φέρουσιν] Cedrenus ἐκτραχηλίζοιεν.

dicio de mulis censere, inque illis discernere qui oneribus convehendis idonei, qui sessori aptiores leniorique indole ipsum nullo excutiant consternati pavore; sed et equos ex primo ipso oculorum coniectu dignoscere, qui ad cursum robusti atque celeres, quique in praeliis fortes ac laboris patientes perstituri essent. oves quoque et boves quaenam fecundae ac quae ex indole lactis large copiam nactae. scire denique, tametsi nullum balatum mugitumve tam matres quam recens nati fetus ediderint, quae cuiusque proles existant. haec eius primae aetatis (sed et extremae dicam) studia ac honestamenta. (5) cum autem pauperem tolerando vitam adolescentiae iam annos prope excessisset, omnique demum arte atque opera eam a se amoliri studeret, ac quandoque suum ille ducem adiisset, tumque se illi subverecunde ostenderet, tum vero, qua erat balbutienti ac praepedita voce, eundem compellaret, Athinganus quidam duci notus ac familiaris hunc ipsum Michaelem aliumque quendam brevi post clarissimos fore praedixit, ac Michaelem non in longum tempus imperio esse potiturum. eo vaticinio incensus animo praetor, ac velut futurum iam coram legeret ac decerperet, occasionem quam semel lapsam haud facile rursus assequi possis, in longiores moras nullatenus ablegandam putavit. statim ergo expeditur mensa, cunctisque aliis neglectis hos ambos in convivium adhibet. tum vero incalescente

ἄγων ἐδίδου ὁ στρατηγὸς καὶ νυμφίους καθωμολόγει, τῷ ξένῳ μὲν καὶ παραδόξῳ τοῦ πράγματος ἐν ἐκστάσει τούτους τὸ πρῶτον ἐποίει καὶ δίχα φωνῆς, ἀποδεχομένους δὲ ὅμως μετὰ ταῦτα καὶ συγκατατιθεμένους καὶ θεὸν τάχα, οὐκ ἄνθρωπον, ὁμολογοῦντας αὐτόν.

6. Εἶναι μὲν οὖν τέχνῃ τῇ μαντικῇ πολλὰ τὰ ὑποκείμενα, ὀρνίθων τε πτήσεις ὀνείρων τε ἀγέλας καὶ παντοίων σωμάτων διεντόμων θέας, ἵνα μὴ πολλοῖς ὀλίγος φιλονεικῶ, οὐκ ἐπὶ πολὺ C διοίσομαι. εἶναι δὲ καθαρὰν καὶ δαιμόνων τινῶν ἐκτὸς ὑπηρεσίας, πόρρω θεοῦ τὸν ἄνθρωπον σπουδαζόντων βαλεῖν, οὔτ' αὐτὸς εἴποιμι οὔτ' ἄλλος οἶμαι τῶν φρονούντων εὖ, ἐπεὶ καὶ τοὺς οὐκ εἰλικρινῆ τινὰ βίον διώκοντας καὶ καθαρόν, τοὺς ἀσπούδαστον δὲ καὶ ἀνελεύθερον, τὴν ἀκριβῆ γνῶσιν ταύτης λαβεῖν ἀκηκόαμεν. τί μοι τοῦτο τὸ παρὸν ἐζήτηται; ἵνα μή τις ἐπιπνοίᾳ θείᾳ τοὺς περὶ ταῦτα ἀσχολουμένους νομίζῃ τι τοιοῦτον διασαφεῖν, καὶ αἴτιον ποιῇ τὸν θεὸν τῆς ἀδίκου γνώμης αὐτῶν, ταὐτὸ δ' εἰπεῖν καὶ ἀρχῆς, μηδὲ τοὺς ἐπιδιδόντας τούτοις ἑαυτοὺς ἔχειν νοῦν οἰηθῇ, ἅτε καὶ πολλῶν καθ' ἡμέραν ἀποτυγχανόντων καὶ αἰτίων D γινομένων τῆς ἀπωλείας αὐτῶν. ἀλλὰ τὸν ἀρχέκακον ὄφιν καταιτιῴτο, ὃς κατὰ τὴν οἰκουμένην ἐμπεριπατῶν καὶ ὄργανα καταλαμβάνων ἁρμόδια οὐκ ἐν τῷδε μόνῳ ἢ τῷδε τῷ ἀνθρώπῳ τὰ περὶ τῆς βασιλείας σπέρματα καταβάλλει, ἀλλ' ἐν πολλοῖς, καὶ τούτους ἀναπείθων τε καὶ κινῶν ἐπιβάλλειν μὲν πείθει καὶ δήμους

mero dux adductas filias eis in sponsas tradit sibique generos facit. ac primum quidem rei novitate inauditaque benevolentia in stuporem agit, ita ut vox ipsa illos deficeret: postea tamen et ipsi probant ac assentiuntur, deum forte rati, non hominem, qui sic demereretur.

6. Subiici quidem multa arti divinandi, avium volatus, gruum agmina, omnis generis corporum extispicia et dissectiones, ne unus ipse ac exiguus adversus multos contentiosius agam, haud multum abnuerim. sic autem exerceri ut munda sit nihilque per eam daemonibus obsequii praestetur, qui procul a deo hominem abigere studeant, nec ego dixerim, nec eorum putem aliquis qui recte sentiant, cum et eos qui haud sincerum purumque vitae genus consectentur, sed illaudabile ac illiberale, eius perfecte adeptos scientiam audiverimus. quorsum haec a me modo mota quaestio est? nempe ne quis homines illis studiis deditos eiusmodi aliquid divino afflatu loqui existimet, aut deum pravae eorum voluntatis faciat auctorem, vel, quod idem sit, etiam imperii; neque hos qui se istis dediderint viros frugi ac prudentes credat, cum multos quotidie exitus fallat, sibique inde ipsi interitum consciscant: sed culpam omnem in malorum auctorem serpentem conferat, qui orbem perambulans sibique idonea nactus organa non in uno duntaxat aut altero homine imperii ac tyrannidis iacit semina, sed in multis; hosque subornans et instigans, ut adoriantur populosque evertant ac bella civilia conflent,

ἀνατρέπειν καὶ ἐμφυλίους μάχας ἐργάζεσθαι, κατὰ τὴν εἰκόνα
τοῦ λίθους πολλάκις ἐπαφιέντος τισὶ τυφλοῦ· πολλοὺς γὰρ βάλ-
P 30 λων τάχα καὶ μὴ ὁρῶν ὀψὲ καὶ μόλις τοῦ βαλλομένου καταστοχά-
ζοιτο. ταῦτα μὲν οὖν ἡμῖν παρὰ θεωρίαν, ἵνα μὴ τῷ θείῳ ἀνα-
φέροι τις τὰς τοιαύτας τῶν πράξεων μηδὲ δὴ τὰς πονηροτέρας
ἀρχάς, ἐκείνῃ δὲ τῇ γραφικῇ βοηθούμενος μαρτυρίᾳ, τῇ "ἑαυτοῖς
ἐβασίλευσαν" λεγούσῃ, "ἀλλ' οὐ δι' ἐμοῦ."

7. Ταύτην οὖν τὴν τοῦ Ἀθιγγάνου μάντεως φωνὴν ὡς
θείαν τινὰ πρόρρησιν ὁ Μιχαὴλ ἐνηχηθείς, καὶ αὖθις ὀψέ ποτε
τὴν κατὰ τὸ Φιλομήλιον, ὥς μοι πρότερον εἴρηται, τὸν τοῦ
Λέοντος φόνον θρασύτερόν πως μεταχειρισάμενος ἐξεπλήρωσεν,
B ἔκτοτε μελέτην τοῦτο διηνεκῆ σχών, καὶ αὖθις τὴν εἰς τὸν θεῖον
ναὸν θᾶττον ἢ ἔδει θαρρούντως ἐξειργάσατο πρόοδον, κακὸς μὲν
περὶ τὸν πρῶτον εὐεργέτην φανείς, ἐκεῖνον δὴ τὸν εἰρημένον Βαρ-
δάνιον, κακίων δὲ περὶ τὸν δεύτερον Λέοντα, ὅσον καὶ τὸν υἱὸν
αὐτοῦ ἐκ τοῦ θείου βαπτίσματος υἱοθετησάμενος ἦν. πλὴν ἀπό-
μοιράν τινα ποιεῖται καὶ πρὸς ἀπόλαυσιν χορηγεῖσθαι πράττει τοῖς
τοῦ Λέοντος παισὶν ἅμα τῇ τούτου μητρί τε καὶ γαμετῇ ἐκ τῶν
ἐκκομισθέντων κτημάτων αὐτοῦ, καί τινας τῶν ἑαυτοῦ παίδων
πρὸς ὑπηρεσίαν, εἰ καὶ μὴ πάντας, αὐτοῖς ἐδωρήσατο, τῇ μητρὶ
C μὲν καὶ γαμετῇ εἰς τὴν μονὴν τὴν οὕτω λεγομένην τῶν Δεσποτῶν
ἐν ἀσφαλείᾳ ζῆν κελεύσας αὐθεντικῶς, τοὺς ἄρρενας δὲ τῶν παί-

illis auctor existit, haud fere aliter ac caecus, qui saepe lapides mittat: plures enim petendo forte contingat ut et non videns, ipsum quem animo meditatur, tandem aliquando assequatur ac feriat. haec itaque nobis extra historiae filum, ne quis actus eiusmodi in ipsum numen referat, aut sane scelerum ipsa magnitudine illustriora imperia ei tribuat, illa praesertim fultus auctoritate, qua dicitur (Ose. 8 4) "ex semetipsis regnaverunt, sed non per me."

7. Michael ergo hanc vatis illius Athingani vocem tanquam divinum oraculum auribus hauriens, ac rursus sero tandem Philomeliensis monachi, quam superius rettuli, praedictionem recolens, maiori audacia impudentiaque Leonis caedem implevit; rursumque perpetrato facinore citius quam pro honesti rectique ratione ad divinum templum, pari itidem procacia audaciaque, processit, male se erga eum qui prior beneficio demeruerat (Bardanium scilicet) gerens, peiusque ei qui beneficii secundas in eum partes impleverat (id est Leoni, qui et eius filium e sacro baptismate adoptaverat) hominum ingratissimus vices reddens. ceterum portionem quandam ex publicatis Leonis bonis subducit, quam illius liberis matrique ac uxori utendam decernit; quosdam quoque illius servos, etsi non omnes, eis in obsequium donavit. ac matri quidem atque uxori iussum ut in monasterio, quod Dominorum vocant, libere suique iuris agerent: liberis autem masculis, uti dictum est, praeceptum

δων ἐν τῇ Πρώτῃ νήσῳ, ὡς εἴρηται, ἔνθα καὶ Κωνσταντῖνος ὁ μετονομασθεὶς Βασίλειος ἀφωνίᾳ πως συσχεθεὶς μετὰ τὸ τὰ γόνιμα τῶν μορίων ἀφαιρεθῆναι ἐδέετο μὲν τοῦ θεοῦ τὴν ἑαυτοῦ λυθῆναι φωνὴν καὶ τὴν γλῶτταν αὖθις τὸ εὔηχον ἀπολαβεῖν, ἐδέετο δὲ καὶ τοῦ ἐν θεολογίᾳ διαλάμψαντος Γρηγορίου, ἐκεῖσέ που ἀνεστηλωμένου τυγχάνοντος. εἶξε γοῦν ὁ ἅγιος, καὶ τῆς αὐτοῦ δεήσεως κατὰ τὴν τῶν φώτων πανήγυριν ἐπακήκοεν. ὁρᾷ γὰρ τὸν θεῖον ἐκεῖνον χαρακτῆρα κατὰ τὸν ὄρθρον τούτῳ διαλεγόμενον D καὶ "τὸν κηρὸν" οὕτω δὴ λέγοντα "λαβὼν ἀνάγνωθι." ὁ δὲ πιστεύων τοῖς λεγομένοις εἰσελθὼν ἀνέγνω λαμπρᾷ καὶ καθαρᾷ τῇ φωνῇ τὸ "πάλιν Ἰησοῦς ὁ ἐμός." ἔκτοτε γοῦν τὴν πατροπαράδοτον αὐτοῦ οὐ διέλιπε βδελυσσόμενος ἄνοιαν καὶ περὶ τὰς θείας εἰκόνας ἀγνωμοσύνην, μετετίθετο δὲ καὶ τοὺς τῶν ἁγίων χαρακτῆρας περιπτυσσόμενος οὐ διέλιπεν. ἀλλὰ ταῦτα μὲν ὀψὲ τοῦ καιροῦ καὶ πολύ περ ἐς ὕστερον.

8. Ἤδη δὲ καὶ τὴν αὐτοκράτορα τοῦ Μιχαὴλ ἐπανελομένου ἀρχὴν καὶ τὰ κατ' αὐτὴν ὡς ἐβούλετο διοικοῦντος, ἐπιστολὴν P 31 ὁ μακαρίτης Νικηφόρος ἐκπέμπει, τὴν τῆς πίστεως παρακαλῶν ἀνάκλησιν γενέσθαι καὶ πάλιν ἀπολαβεῖν τὸν ἀσπασμὸν τὰς θείας εἰκόνας. "ἀλλ' οὔτε καινουργήσων" ἀπεκρίνετο ὁ Μιχαὴλ "τῶν περὶ πίστεώς τι δογμάτων ἐξελήλυθα, οὔτε μὴν τῶν ἤδη παραδοθέντων καὶ ἀνομολογηθέντων καταδρομήν τινα ἐργάσασθαι καὶ καθαίρεσιν. ἕκαστος οὖν τὸ δοκοῦν αὐτῷ ποιείτω καὶ ἐφετόν,

ut Proten insulam tenerent. quo etiam loco Constantinus, qui mutato nomine Basilius dictus fuerat, cum excisis virilibus vocis usum amisisset, eius impedimento solvi a deo votis exorabat linguamque rursus sonoram restitui; quin et Gregorium theologum interpellabat, cuius imago quodam ibi loco erecta erat. annuit sanctus, ac sancto luminum die supplicationem exaudit. videt enim divinam illam imaginem diluculo sese alloquentem, atque dicentem "cereum accipe et lege." ille ut morem gereret, ingressus legit clara altaque voce eius in eam diem orationis exordium "rursus Iesus meus." hinc itaque eoque miraculo, quam patre auctore impietatem acceperat inque sacras imagines improbam mentem, exsecrandi nullum deinceps finem fecit, inque sanam translatus mentem sanctorum penicillo ac coloribus expressas figuras veneratione amplecti non cessabat. verum haec sero tandem nec nisi post longum tempus ita evenerunt.

8. Cum iam itaque Michael imperio potitus esset suoque illud nutu moderaretur, scribit per epistolam beatus Nicephorus, rogans instaurari fidem, et ut denuo sacris imaginibus sua veneratio cultusque adhiberetur. ad quem Michael "non veni" inquit "ut in dogmatis ac fide aliquid innovarem, neque ut eorum quae iam tradita sunt ac explorata quidpiam exagitarem ac everterem. quisque igitur quod visum fuerit sibique arriserit, secure faciat, nihil inde sibi laborum timens, nihil

ἀμαθὴς πόνων καὶ ἄγευστος λύπης διατελῶν." πλὴν οὐ μέχρι B τέλους ταύτην ἐτήρησε τὴν προαίρεσιν ὁ μηδ' ἐξ ἀρχῆς ἀληθὴς Χριστιανὸς γεγονώς· ἀλλ' ὅσῳ τῆς βασιλείας ἐγένετο ἐγκρατής, τοσούτῳ κακοδαίμονι φύσει καὶ ὠμοτάτῃ τὸν κατὰ Χριστιανῶν καὶ τῶν ὁμοφύλων ἀνερρίπισε πόλεμον, νῦν μὲν τοὺς μοναχοὺς διαπτύων παντοίοις τε περιβάλλων δεινοῖς καὶ ποιναῖς ἐξευρίσκων ποινάς, νῦν δὲ τοὺς ἄλλους πιστοὺς παραπέμπων ταῖς φρουραῖς καὶ ὑπερορίους ποιῶν. ἐντεῦθεν καὶ Μεθόδιον τὸν μετὰ βραχὺ τοῦ πατριαρχικοῦ θρόνου ἀντιλαβόμενον καὶ Εὐθύμιον τὸν τηνικαῦτα Σάρδεων πρόεδρον, τῷ αὐτοῦ θελήματι μὴ ὑπείκοντας μηδὲ τὴν τῶν εἰκόνων ἐξαρνουμένους τιμήν, τῆς πόλεως ἐξωθεῖ, C καὶ τὸν μὲν θεῖον Μεθόδιον φυλακῇ παραδίδωσι κατὰ τὴν νῆσον Ἀνδρέου τοῦ ἀποστόλου, καθ' ἣν ὁ Ἀκρίτας ἐγγειτονεῖ, τὸν δὲ μακαρίτην Εὐθύμιον διὰ Θεοφίλου τοῦ οἰκείου υἱοῦ θανάτῳ παραδίδωσι, βουνεύροις τυπτόμενον ἀφειδῶς. ὅσῳ δὲ τὴν Χριστοῦ κληρονομίαν ἐπίεζε καὶ οἷόν τις θὴρ ἄγριος κατενέμετο, τοσούτῳ τοὺς Ἰουδαίους ἀνέτους φόρων καὶ ἐλευθέρους ἐδείκνυεν, ἀγαπωμένους καὶ στεργομένους αὐτῷ τῶν ἄλλων ἀνθρώπων διαφερόντως. καὶ ζωγράφοι μὲν τὰ καλὰ τῶν ζῴων εἰς μίμησιν ἔχουσιν, οὗτος δὲ τὸν τοῦ Κοπρωνύμου βίον οἷόν τι προχάραγμα καὶ πρωτότυπον θεὶς ἀπομιμεῖσθαι εἰς ἄκρον ἐσπούδαζεν. διὸ καὶ πρὸς D τὴν ἀκρόπολιν ἐλαύνει τῆς ἀσεβείας, ἄρτι μὲν σάββατα νηστεύειν νομοθετῶν, ἄρτι δὲ κατὰ τῶν θείων προφητῶν τὴν γλῶσσαν ἐξα-

quod molestiam faciat." non tamen in finem usque huius tenax propositi fuit, qui ne a principio quidem verus Christianus exstiterit: sed quanto magis compos imperii fiebat, tanto mala indole ac saevissima adversus Christianos genusque suum bellum acrius excitavit, modo quidem monachos despuens omnisque generis diris suppliciis torquens, aliasque ex aliis poenas excogitans, modo alios fideles virosque religiosos in carcerem trudens ac exilio relegans. hinc quoque Methodium, qui brevi post patriarchalem sedem adeptus est, Euthymiumque tunc temporis Sardensium antistitem, quod eius voluntati morem non gererent nec ut sacrarum imaginum cultum negarent adduci se paterentur, urbe eiecit. ac quidem sanctum Methodium custodiae tradit in Andreae apostoli insula, quae est prope Acritam: beatum autem Euthymium per filium suum Theophilum taureis dire caesum occidit. quantum autem dei hereditatem premebat aprique in morem depascebatur, tanto Iudaeos vectigalium ac praestationum onere levabat, quos supra omnes mortales praecipue amabat atque colebat. cumque pictores pulcherrima corpora, quae penicillo manuque pictis coloribus imitentur, sibi proponant, hic Copronymi vitam ceu exemplum quoddam formamque propositam habens accuratissime eum reddere satagebat; quamobrem etiam ad summam impietatis arcem evadit. modo Sabbatis ieiunandum sanciebat, modo adversus divinos prophetas linguam acuebat; ac tum futurae resurrectioni,

κονῶν, ἀνάστασίν τε τὴν μέλλουσαν καὶ τὰ ἐκεῖθεν ἀπιστῶν
ἀγαθά. διάβολόν τε ὅλως μὴ εἶναι δυσχυρίζετο, ἅτε μηδ' ὑπὸ
τοῦ Μωσέως τούτου παραδεδομένου. πορνείαν δὲ κατασπαζόμε-
νος, καὶ τὸν ἐπὶ πάντων δεῖν ὀμνύναι μόνον θεὸν νομοθετῶν, καὶ
τὸν Ἰούδαν ἀκολάστῳ γλώσσῃ κατατάττων τοῖς σωζομένοις, καὶ
τὴν ἑορτὴν τοῦ σωτηρίου πάσχα κακῶς καὶ παρὰ καιρὸν χλευάζων
τιμᾶσθαι, καὶ τὴν Ἑλληνικὴν παίδευσιν διαπτύων, καὶ τῆς ἡμε-
τέρας καὶ θείας τοσοῦτον καταφρονῶν ὡς μηδὲ τοὺς νέους παιδο- P 32
τριβεῖσθαί που συγχωρεῖν, ἵνα μήτε τῇ αὐτοῦ ἀλογίᾳ ἔχοι τις
ἀντιστῆναί ποτε καὶ διελέγξαι, μήτε πάλιν τῷ τάχει τῶν ὀφθαλ-
μῶν καὶ τῇ τῆς γλώττης ῥύμῃ φερόμενος διὰ τῆς παιδεύσεως τὰ
δευτερεῖα τοῦτον φέρειν καταναγκάσειεν· τοσοῦτον γὰρ ἤργει πρὸς
τὴν μῖξιν τῶν γραμμάτων ἐκεῖνος καὶ τὴν τῶν συλλαβῶν ἀνάγνω-
σιν, ὡς ῥᾶον ἄν τις διῆλθε βιβλίον ἢ αὐτὸς τῇ βραδύτητι τοῦ νοῦ
τὰ τοῦ οἰκείου στοιχεῖα ὀνόματος. ἀλλὰ ταῦτα μὲν ὡς καὶ τοῖς
κατ' ἐκεῖνο καιροῦ κεκωμῳδημένα θείοις ἀνδράσιν ἐατέον· πλή-
ρεις γὰρ βίβλοι τὰ ἐκείνου ἐκστηλιτεύουσαι· ἡμεῖς δὲ πρὸς τὰ B
ἑξῆς προσβῶμεν τῆς ἱστορίας, τὰ ἀποτελέσματα τῶν ἀθέων αὐ-
τοῦ πράξεων ἐνορῶντες.

9. Κατὰ γὰρ τὸν καιρὸν τοῦτον ἀρχὴν λαβὼν ἐμφύλιος πόλεμος ἐξ Ἀνατολῆς παντοίων ἐνέπλησε τὴν οἰκουμένην κακῶν καὶ ἐκ πολλῶν ὀλίγους τοὺς ἀνθρώπους εἰργάσατο, πατέρων δη-

12 τούτων P

tum bonis illam comitantibus fidem detrahebat. non esse prorsus diabolum, ut quem Moses non tradiderit, affirmabat. fornicationem amplexabatur, ac solum, qui est super omnia, deum iuramentis adhibendum statuit. Iudam petulca ac effreni lingua beatis accensebat; salutaris paschae festum cavillabatur, tanquam male nec legitimo tempore celebraretur. Graecanicam ac saecularem eruditionem seu disciplinam despuens, nostram quoque ac divinam sic aspernabatur ut nec pueros illa imbui sineret, ne quis aliquando illius inscitiae resistere posset eumve coarguere, neve rursus disciplina adiuti oculorum linguaeque velocitate in legendo eius rei palmam ei praeriperent. adeo enim in componendis literis legendisque syllabis tardus erat, ut librum quis alius facilius percurreret quam sui nominis elementa prae mentis tarditate is recenseret. verum haec missa sunto ut quae viri sancti eius aetatis palam exagitaverint: exstant enim libri eius notantes ac traducentes dedecora. nos vero reliquam historiam prosequamur, ac quae mala pepererit illius impietas videamus.

9. Per hoc enim tempus bellum civile ab Oriente inceptum omnis generis malis Romanum orbem implevit, intraque angustias brevemque numerum, cum ingenti fusum copia esset, mortalium genus coegit.

λονότι τὰς δεξιὰς κατὰ τῶν υἱῶν ὁπλισάντων, καὶ ἀδελφῶν κατὰ
τῶν ἐκ τῆς αὐτῆς φύντων γαστρός, καὶ φίλον τὸ τέλος κατὰ τοῦ
φιλοῦντος τὰ μάλιστα. Θωμᾶς τούτων ἦν ἔξαρχος, περὶ οὗ διτ-
C τὸς λόγος φέρεται. ἀνάγκη δὲ ἀνθρώποις οὖσιν ἡμῖν, καὶ ἀκοῇ
ἀλλ' οὐκ ὄψει ἐκ τῆς τοσούτου χρόνου παρολκῆς τὰ τοιαῦτα κατ-
ειληφόσι τῆς ἱστορίας, ἵνα δὴ πανταχοῦ τὴν ἀλήθειαν σωζομένην
ἔχοιμεν, καὶ τοὺς τοιῶσδε ἀλλὰ μὴ τοιῶσδε μόνον παραδιδομένους
λόγους ἀναγράφειν, οὐδὲν ἐκ τῆς τοιαύτης ἀμφιβολίας καὶ πλά-
νης λυμαινομένης τῆς προκειμένης ἡμῖν ὑποθέσεως, μᾶλλον μὲν
οὖν καὶ ἀσφαλεστέρας τυγχανούσης τοῖς γε μὴ οὕτως ἔχειν ἀλλ'
οὕτως διαπληκτιζομένοις ἀεί. ἄριστον μὲν γὰρ ἦν, εἰ γυμνῆς
ὑπαρχούσης τῆς ἀληθείας καὶ ἡμεῖς ἐκτὸς παραπετάσματος τὴν
D πανείδησιν οἱ ἄνθρωποι εἴχομεν· ἐπεὶ δὲ ὁ πολὺς ῥεύσας χρόνος
οἷόν τι κάλυμμα ἡμῖν προστεθὲν ἀσθενεστέραν τὴν γνῶσιν ἐργά-
ζεται, δεῖ τῇ γε φήμῃ καὶ κληδόνι πειθομένους εἰς φῶς ἄγειν πο-
σῶς τὰ πράγματα, ἀλλ' οὐχὶ τῷ ποταμῷ τῆς λήθης παραδοῦναι
ὁλοσχερῶς.

10. Ὁ μὲν οὖν εἷς καὶ πρῶτος λόγος, ᾧ καὶ ἐγὼ πείθο-
μαι ἐξ ἐγγράφων τινῶν ἔχων τὸ βέβαιον, τοῦτον ὁρμᾶσθαί φησι
τὸν Θωμᾶν ἐξ ἀσήμων τε γονέων καὶ πενιχρῶν, ἄλλως δὲ καὶ
Σκλαβογενῶν, τῶν πολλάκις ἐγκισσευθέντων κατὰ τὴν Ἀνατολήν.
P 33 πενίᾳ γοῦν ἀποζῶν καὶ τὴν τύχην ἐμπορευόμενος τὴν ἑαυτοῦ μὲν

nempe armata patrum in filios dextera, fratrumque in fratres eodem fusos utero, fidi denique ac praestantes amici in eum qui ipse vel maxime amicitiae iura sancta vellet. horum malorum inceptor auctorque Thomas, de quo duplex fertur opinio. nam cum simus homines, audituque duntaxat accepta, non ipsis oculis usurpata, post longa adeo tempora habeamus eiuscemodi historiae monumenta, ut in omnibus sartam tectam veritatem servemus, necesse est sic vel sic aliis aliisque tradita (alios scilicet aliosque rumores) conscribere; quae plane ambiguitas ac error huic, quod tractamus, nihil officit argumento: immo inde futurum ut veritas certioribus nobis momentis nitatur, quam his qui semper digladiantur sicne vel sic sese res habuerit. foret quidem id optimum, ut et nos homines nuda veritate nulloque involucro omnia perspecta haberemus: quia vero quod longum effluxit tempus, ceu quoddam interiectum velum, debiliorem nostram cognitionem facit, operae pretium sit ut famae obsequentes ac coniecturae vel tenui saltem radio res in lucem producamus et non penitus oblivionis vortice mergendas tradamus.

10. Una eaque prima opinio, in quam et ego manibus pedibusque eo, scriptis quibusdam monumentis facientibus fidem, haec est, nempe ortum Thomam ex obscuris tenuibusque parentibus, ad haec Sclavorum satis prosapia, qui saepius in Oriente et Asia cohaeserunt. aegre itaque pauperem vitam sustentans fortunarumque aliquid quaesiturus, reli-

ἀπέδρα, πρὸς δὲ τὴν μεγαλόπολιν ταύτην εἰσέφρησεν. καὶ δή τινι τῶν συγκλητικῶν ἐξυπηρετεῖν τε καὶ λειτουργεῖν κολληθεὶς αἰσχῦναι δι' ἀκολασίαν καὶ καθυβρίσαι τὴν δεσποτικὴν εὐνὴν καὶ τὰ λέκτρα τούτου ἠπείγετο. ἐπεὶ οὖν φωραθεὶς οὐχ οἷός τε ἦν τὸν πολὺν ὄνειδον καὶ τὰς διὰ τοῦτο ὑπομεῖναι πληγάς, φυγὰς πρὸς τοὺς ἐξ Ἄγαρ γίνεται, καὶ τούτοις πίστιν ἱκανὴν ἔκ τε τῶν καταλλήλων αὐτοῦ δοὺς πράξεων διὰ πολλῶν ἤδη χρόνων (ἔτος γάρ που διηνύετο τούτῳ πέμπτον καὶ εἰκοστὸν) καὶ ἐκ τοῦ τὸν Χριστὸν καὶ θεὸν ἠρνῆσθαι ἡμῶν, πολεμικῆς τινὸς φάλαγγος γίνεται ἀρχηγὸς καὶ κατὰ Χριστιανῶν ὁπλίζεται, κραταιοτάτῃ χειρὶ τὴν B τῶν Ῥωμαίων βασιλείαν ὑπὸ τὴν αὐτῶν χεῖρα ποιῆσαι καθυποσχόμενος. καὶ ἵνα μή τινα ἐμποδὼν παρὰ Ῥωμαίοις γινόμενος σχῇ, πάντας δὲ συνεφαπτομένους καὶ τούτου προκινδυνεύοντας, Κωνσταντῖνον εἶναι αὐτὸν τῆς Εἰρήνης διετράνου καὶ ἐπεφήμιζεν, ὃν ἡ ἄνοια καὶ τὸ τοῦ ἤθους ὠμὸν πάλαι μὲν μετὰ τῆς βασιλείας ἀφείλετο καὶ τοὺς ὀφθαλμούς, τηνικαῦτα δὲ καὶ τὸν βίον μετηλλαχὼς ἦν. ἐπεὶ δὲ καὶ τὸ τῶν πράξεων μέγεθος καὶ αἱ βόσκουσαι τοῦτον ἐλπίδες κοινωνόν τινα τῶν πραγμάτων ἀπῄτουν (οὐ γὰρ ἂν ἄλλως αὐτῷ τὰ κατὰ γῆν καὶ θάλατταν ὑπελάμβανε κραταιοῦ- C σθαι), καὶ υἱόν τινα ἐπείσακτον εἰσποιεῖται, τῇ τοῦ σώματος μεταμορφώσει τὴν τῆς ψυχῆς δηλοῦντα ἀπόνοιαν, ᾧ καὶ δυνάμεις ἀρκούσας παρασχὼν καὶ Κωνστάντιον μετονομάσας ἄλλοθεν, ἑαυτὸν δὲ ἑτέρωθεν τὴν τῶν Ῥωμαίων κείρειν καὶ κατατρέχειν ἐπέ-

cta patria Cpolim venit. ubi viro cuidam ordinis senatorii adhaerens, eiusque addictus obsequiis ac minister effectus, eo libidinis ac foeditatis processit ut et heri cubile torumque polluere conatus sit. qua re detecta cum probrum ingens ferre non posset ac praeterea poenas talia facinora molientibus constitutas metueret, ad Agarenos profugit; quibus cum se satis multorum iam annorum periculo (annos enim quinque supra viginti exegerat) ac tum ex morum convenientia, tum ex Christi dei nostri eiurata fide probasset, militari cohorti ab eis praeficitur ac contra Christianos armatur, robustissima manu Romanum imperium illorum se dicionis facturum pollicitus. ac ne quis illi apud Romanos negotium faciat, sed ei potius cuncti adiungantur suoque periculo tutandum eum suscipiant, esse se Constantinum Irenes filium manifestat ac fama vulgat, quem dementia morumque crudelitas una cum imperio luminibus quoque olim privaverat, quique tunc etiam in humanis esse desierat. quia vero cum actionum magnitudo, tum quae eum pascebant spes, rerum quendam ac negotiorum socium exigebant (non enim aliter se terrae marique victorem fore arbitrabatur), extraneum quendam sibi filium adoptat, hominem scilicet qui totius corporis conformatione mentis vecordiam proderet. huic quoque pares pro expeditione copias assignat, ac Constantii indito nomine ex sua quemque parte Romanam dicionem

ταττε γῆν. Λέων τότε καιροῦ ὁ ἐξ Ἀρμενίων τὰς τῆς βασιλείας ἐκεκρατήκει ἡνίας, ἐν ὑστέρῳ καιρῷ· ὃς δύναμίν τινα κατ᾽ αὐτοῦ συστήσας οὐκ ἀξιόλογον αὐτὴν μὲν σφαλῆναι ἐποίησεν (ἅμα γὰρ τῇ πρὸς πρόσωπον ἀπαντήσει ἐτρέπετο πρὸς φυγήν), τοῦτον δὲ θρασύτερον καὶ πλέον ἢ ἦν τὰ καθ᾽ ἑαυτὸν φρονεῖν. καὶ ὁ μὲν
D πρῶτος καὶ πολὺς οὕτως ἔχειν λόγος περὶ τῆς τοιαύτης κινήσεως καὶ στάσεώς φησι τὴν ἀρχήν.

11. Ἅτερος δὲ τοῦτον εἶναι τὸν Θωμᾶν, μηδὲν περὶ τῆς κλήσεως διενηνεγμένος, τὸν τῷ Βαρδανίῳ μὲν πάλαι συνόντα, παρὰ τοῦ ἡγησαμένου δὲ Λέοντος τιμηθέντα· ὃς τὴν τῶν φοιδεράτων τηνικαῦτα διοικῶν ἀρχήν, κατὰ τὸν Ἀνατολικὸν ἐνδιατρίβων, ἐπεὶ τὸν Μιχαὴλ ἄρτι διήκουεν ἀνῃρηκότα τὸν Λέοντα, ἐκδικῶν, ὁμοῦ δὲ καὶ θυμὸν ἴδιον ἀποπιμπλῶν (ἐτύγχανε γάρ που πόρρωθεν ἐξ ἡλικιωτῶν διαφερόμενος πρὸς αὐτόν), καὶ ἅμα τὴν
P 34 περὶ αὐτοῦ τοῦ ἐν τῷ Φιλομηλίῳ μοναχοῦ πρόρρησιν φοβούμενος, χεῖρα ἐναντίαν κινεῖ, καὶ χεῖρα οὐ μικράν τινα καὶ ἀσθενῆ, βαρεῖαν δὲ καὶ ἀνδρώδη καὶ νεανικήν, πᾶσαν ἡλικίαν τῶν δόρυ δυναμένων κινεῖν ἔχων μεθ᾽ ἑαυτοῦ. ἐτύγχανε γάρ πως καὶ ἄλλως ὁ Μιχαὴλ ὑπὸ πάντων μισούμενος, ἅτε δὴ κακῆς μὲν αἱρέσεως μετεσχηκὼς τῆς τῶν Ἀθιγγάνων, ὡς εἴρηται, καὶ ὅτι γλῶσσαν χωλεύουσαν ἔχων εἰς ἀνανδρίαν καὶ μαλακίαν διεβεβόητο, πολλῷ δὲ μᾶλλον, ὅτι τὴν ψυχὴν τῆς γλώττης οὐχ ἧττον χωλεύουσαν

14 τὰς P

populari ac incursare iubet. Leo Armenius rei publicae habenas tunc moderabatur, sub imperii sui extrema tempora. is parum validis adversus illum conflatis copiis, suis quidem cladis auctor fuit, ut qui primo hostium incursu terga dederint, illum vero audaciorem fecit ac maiora quam pro sui ratione sapere impulit. prima haec est longeque celebris ac vulgata primi eius motus ac defectionis narratio.

11. Altera hunc Thomam eum esse affirmat, nulla nominis diversitate, qui in Bardanii quondam familia fuerat ac quem Leo imperator creatus honoribus auxerat. is tunc foederatorum agmini praepositus in Orientalium themate degebat. ubi itaque Michaelem a Leone paulo ante sublatum audiit, eius ulturus manes, simul vero etiam iras ille suas exsatiaturus (nam ab adolescentia haud satis ei cum Michaele convenerat), simul quoque Philomeliensis monachi de se vaticinia timens, in eum movet, nec vero modicis copiis ac imbellibus, sed ingentibus virilique fortitudine ac vegeto robore instructo exercitu, cum nulla aetas ad arma idonea desideraretur. alioqui enim etiam Michael cunctis fere odio habebatur, tum quod Athinganorum nefandae haeresis, uti dictum est, commercio pollutus esset, tum quod balbutientis linguae vitio laborans imbellis mollisque nomen haberet; tum etiam quod non minus animo quam lingua impeditus esset, homo scilicet perversis moribus, execra-

ἔφερεν, ἐβδελύσσετό τε καὶ εἰς φόρτον λελόγιστο τοῖς πολλοῖς. ὁ Θωμᾶς δέ, εἰ καὶ τὸ σκέλος πεπηρωμένος καὶ τῷ γένει βάρβαρος B ἦν, ἀλλ' οὖν τῇ γε πολιᾷ αἰδέσιμος, καὶ μᾶλλον φιλούμενος ἐτύγχανεν, ὅτι τὸ εὐπροσήγορον καὶ ἀστεῖον, οἷα δὴ φιλεῖ ὁ στρατιώτης ὄχλος, αὐτῷ που συνουσίωτο ἐκ παιδός, καὶ τῶν κατὰ γενναιότητα σώματος οὐ δή τινος ἐφαίνετο δεύτερος. οὗτος οὖν τοὺς τοὺς δημοσίους φόρους εἰσπράττοντας εἰς ἑαυτὸν εἰσποιησάμενος, καὶ ἐκ μεγαλόφρονος ἐπιδόσεως σπουδάζων ὑφ' ἑαυτὸν ποιεῖν τοὺς πολλούς, πολὺς γέγονεν ἐκ μικροῦ καὶ μέγας ἐξ ἐλαχίστης χειρός· τοὺς μὲν γὰρ ἦγε πειθοῖ καί τινι φιλίᾳ, ὅσοις δὴ ὁ τῶν καινῶν πραγμάτων καὶ τὸ φιλοπλουτεῖν ἔρως ἐνῆν, τοὺς δὲ βίᾳ καὶ γνώμῃ C ἀβουλήτῳ, ὅσοις δὴ τὰ τῶν ἐμφυλίων στάσεων κακὰ ἐν πείρᾳ ἤδη γεγένηντο. ἐντεῦθεν οὖν οἱ ἐμφύλιοι ἀναρρηγνύμενοι πόλεμοι, καὶ οἷόν τινες Νειλῷοι καταρράκται ἀνοιγόμενοι, οὐχ ὕδατι ἀλλ' αἵματι τὴν γῆν κατεπότιζον. ἐντεῦθεν καὶ δοῦλοι κατὰ δεσποτῶν καὶ στρατιώτης κατὰ ταξεώτου καὶ λοχαγὸς κατὰ στρατηγέτου τὴν χεῖρα φονῶσαν καθώπλιζεν, καὶ πᾶσα τέως ἡ Ἀσία βυθιζομένη κατέστενεν. αἱ μὲν γὰρ αὐτάνδρως τῶν πόλεων ἀνῄρηντο τῷ Θωμᾷ, τῷ φόβῳ πεισθεῖσαι· αἱ δὲ πολλάκις ἀντιπίπτουσαι, τὰ πιστὰ τῷ γε κρατοῦντι τηροῦσαι, μετὰ πολλῶν φόνων καὶ ἀν- D δραποδισμῶν ὑπήγοντο δεύτεραι. πλὴν ἀλλὰ πᾶσα Ἀσία ὀπίσω τούτου ἐγένετο, ἐκτὸς τοῦ τὸ Ὀψίκιον Κατάκυλα στρατηγοῦντος

11 ἔρως ἐνῆν] his aptior post πραγμάτων locus.

tioni erat ac vulgo molestus putabatur. Thomas vero quanquam crure oblaeso ac genere barbarus erat, canitie tamen venerabilis, magisque a cunctis amabatur, quod nempe ad congressum facilis atque urbanus erat; quas utique dotes ordinibus gratissimas a puero iam sibi adsciverat, corporisque robore nulli cedebat. itaque publicorum vectigalium exactoribus in suas partes adductis, vulgusque magnificis largitionibus sibi demereri studens, clarus ex tenui obscuroque evasit exque manu minima magnus. alios verborum lenocinio amicitiaeque quadam specie sibi conciliabat, quotquot nimirum novarum rerum divitiarumque amor incesserat; alios vi ac renitente animo, quos bellorum civilium mala iam doctos periculo non latebant. eo initio eruperunt bella civilia, instarque Niliacorum cataractarum aperta, non aqua sed cruore terram large irrigarunt. hinc servi adversus heros, miles stationarius adversus cohortalem, centurio adversus exercitus ducem cruento ferro dextras armaverunt. hactenusque omnis Asia malis obruta dirum gemebat. civitatum Asiae integrae, ac quantae erant, exterrente metu deditionem Thomae faciebant; quae autem imperatori fidem servantes diu saepiusque restiterant, multis caedibus praedarumque vi ac direptionibus postmodum et ipsae eollum submittebant. denique tota Asia in eius partes concessit, exceptis duntaxat Catacyla Opsicii et Olbiano Armeniacorum ducibus.

καὶ Ὀλβιανοῦ τοῦ τῶν Ἀρμενιακῶν· οὗτοι γὰρ δὴ ἐν τοσούτοις μόνοι στρατηγέταις τὰ πιστὰ τηροῦντες πρὸς Μιχαὴλ ἀνεφάνησαν. οἷς καὶ τὴν χάριν ἀπονέμων, ὡς μὴ προδεδωκόσιν αὐτόν, τὸ εἰς τὸ βασιλικὸν τελούμενον ταμιεῖον δημόσιον καπνικὸν οὕτω λεγόμενον μιλιαρίσιον ἓν συγκεχώρηται· τῶν γὰρ ἄλλων πάντων ἀνὰ δύο P 35 τελούντων ἀνέκαθεν μιλιαρισίων, ἀλλὰ καὶ αὐτῶν τούτων, τότε τὸ ἓν ἀφείθη διὰ τὴν εὔνοιαν.

12. Ἃ καὶ μαθοῦσι τοῖς Ἀγαρηνοῖς ἀγαπητὸν κατεφαίνετο καὶ ὅλως ἐντρύφημα· καιροῦ γὰρ λαβόμενοι πᾶσαν χώραν καὶ νῆσον κατέτρεχον ἀδεῶς, μή τινος ἐμποδὼν ἱσταμένου αὐτοῖς. διὸ καὶ ταῦτα τῷ Θωμᾷ διακηκοότι, ἐπεί τινα κίνησιν ἐκ τῶν ἑαυτοῦ ᾤετο καὶ νεωτερισμόν, εἴ γέ τινα φροντίδα μὴ τῶν ἐπ' οἴκου ποιήσοιτο καὶ τῆς ἄλλης Ἀνατολῆς, ἀλλὰ συγχωρήσοι τούς τε παῖδας καὶ γυναῖκας καταληϊσθῆναι καὶ αἰχμαλωτισθῆναι αὐτῶν, B συμφέρον κέκρικε τέως μὲν ἐπικρατῆσαι τὴν αὐτῶν ὁρμὴν δι' ἐπιφανείας αὐτοῦ καὶ τῷ πλήθει τῶν δυνάμεων ἐκπλῆξαί τε καὶ πρὸς εἰρήνην πανούργως ἐκκαλέσασθαι. ὃ καὶ συνέβη· ὡς γὰρ αὐτοῖς ἄρτι δὴ τοῖς Σαρακηνοῖς εἰς τὴν αὐτῶν εἰσβάλλων ἐξ ὑποστροφῆς ἀνύποιστος κατεφαίνετο, εἰς λόγους δὴ προελθὼν βαρβαρικοὺς σπονδάς τε ἐποιεῖτο εἰρηνικὰς καὶ πρὸς συμμαχίαν ἐξεκαλεῖτο αὐτούς, συντιθέμενός τε καὶ ὑπισχνούμενος ἃ καὶ πρότερον εἴρηται, τὰ Ῥωμαίων τε προδοῦναι ὅρια καὶ τὴν αὐτῶν αὐτοῖς ὑπὸ χεῖρας ποιῆσαι ἀρχήν. ὅθεν τοῦ μὲν βουλεύματος οὐ διήμαρτεν τοῦ οἰ-

hi duo soli in tanta exercitus ducum multitudine Michaeli palam fidem servavere. iccirco etiam Michael gratiam referens, quod eius causam non prodidissent, nummi unius argentei in aerarium principis inferri soliti (ac fumarium tributum vocabatur) veniam eis fecit. nam cum alii omnes iampridem (ipsique perinde ac ceteri) nummos duos miliarienses penderent, benevolentiae memor unum illis remisit.

12. Ubi eo statu compositas Romanorum res Agareni didicerunt, gratissime plane ac prorsus iucunde habuerunt. suam enim eam occasionem facientes, omnes secure provincias atque insulas nemine obsistente incursionibus vastare aggrediuntur. quibus auditis Thomas, metuens ne quid sui rerum novarum molirentur et ab ipso deficerent, si ipse eorum qui domi remanserant et reliqui Orientis nullam curam gereret, sed ipsorum filios atque uxores diripi ducique in captivitatem sineret, operae pretium putavit hactenus Agarenorum impetum cohibere, obiectoque illis copioso exercitu metum incutere, atque ad pacem veteratoria arte cogere. resque adeo ex voto successit. nam cum in regionem eorum irrupisset et Saraceni reversi illius impetum sustinere non possent, habito cum eis colloquio pacem componit sibique belli socios adiungit, hoc pactus eisque pollicitus, quod et superius diximus, "proditurum nimirum Romanorum fines eorumque imperium illis subiecturum." quocirca nec consilio suo frustratus est; quin et coronam, im-

κείου, ἀλλὰ καὶ στέφους μεταλαγχάνει καὶ αὐτοκράτωρ ἀναγο- C ρεύεται παρὰ τοῦ τὸν ἐν Ἀντιοχείᾳ θρόνον τηνικαῦτα μεταποιουμένου Ἰακώβ, καὶ χεῖρα συλλέγει πολλήν, μᾶλλον δὲ λαμβάνει πρὸς τὴν αὐτοῦ κραταίωσιν· οὐ γὰρ Ἀγαρηνῶν μόνον τούτων δὴ τῶν ἡμῖν γειτονούντων καὶ ὁμορούντων, ἀλλὰ καὶ αὐτῶν τῶν ἐνδότερον οἰκούντων, Αἰγυπτίων Ἰνδῶν Περσῶν Ἀσσυρίων Ἀρμενίων Χάλδων Ἰβήρων Ζηχῶν Καβείρων καὶ πάντων τῶν δὴ Μάνεντος συστοιχούντων δόγμασι καὶ θεσπίσμασι. τούτοις οὖν οἷον κατοχυρωθεὶς καὶ πάντοθεν ἑαυτὸν περιφράξας ἄριστον ὑπετόπασε τοῖς τρόποις καὶ τὴν κλῆσιν ἀλλάξασθαι καὶ υἱὸν εἰσποιήσα- D σθαι, ὥς μοι δεδήλωται.

13. Εἰσβάλλει οὖν πᾶσαν πορθῶν τὴν Ἀνατολὴν καὶ πᾶσαν ἡλικίαν τὴν μὴ διὰ πειθοῦς ἐρχομένην αὐτῷ. ἃ δὴ ὁ βασιλεύων ἀκηκοώς, μεῖζον εἶναι κρίνας τῶν ἔργων τὴν ἀκοήν, κατ᾽ αὐτοῦ ἐκπέμπει στρατὸν οὐκ ἀξιόχρεον οὐδ᾽ ἀξιόλογον, ᾧ συρραγεὶς ὁ Θωμᾶς τοὺς μὲν ὥσπερ τι ποτὸν διψῶν ἀνερρόφησεν, τοὺς δὲ λοιποὺς εἰς φυγὴν τρέψας τὰ καθ᾽ ἑαυτὸν διετίθετο κραταιότερον. ναῦς τε ἐξαρτύων διήρεις καὶ ἑτέρας στρογγύλας σιταγωγοὺς ἑπομένας αὐτῷ καὶ ἱππαγωγούς, ἐντεῦθεν καὶ τοῦ θεματικοῦ P 36 στόλου γίνεται ἐγκρατής, καὶ πρὸς τὴν Λέσβον ἅπαν τὸ ναυτικὸν ἀθροίζεσθαι ἐγκελεύεται, αὐτὸς δὲ ἤδη που ἀνανταγώνιστος εἶναι δοκῶν πᾶσαν τὴν Ἀσίαν ληλατεῖ. ὀκτὼ γὰρ μυριάδων κατάρχων

perii insigne, consequitur, et imperator ab Antiochenae tunc ecclesiae praesule, Iacobo nomine, proclamatur. cogitque ingentem exercitum, quin potius collatum accepit, ad corroborandum sibi imperium, nec ex illis duntaxat Agarenis qui nobis vicini sunt et finitimi, verum etiam ex iis qui remotiora ac interiora colunt, Aegyptiis scilicet, Indis Persis Assyriis Armeniis Chaldis Iberis Zechis Cabiris iisque omnibus qui Manetis doctrinam et opiniones sequuntur. his itaque omnibus velut firmissimo praesidio munitus ac undique obseptus, optimum existimavit ut cum moribus etiam appellationem mutaret sibique filium, uti superius dictum est, adoptaret.

13. Irruit igitur omnem populans Orientem; ac si qui eius sponte partibus adiungi nollent, eos diripit. Michael his auditis, maiorem rebus rumorem existimans, non iustas satis aut mole pares in eum copias mittit; quas Thomas praelio congressus cunctas delevit, partimque sitientis more velut haustum aquae absorpsit, partim reliquis in fugam actis res suas amplius confirmavit. adeoque naves biremes aliasque rotundas onerarias ad annonam et equos convehendos instruens, eo apparatu ipsam quoque imperatoriam classem in potestatem redigit, iubetque classem omnem ad Lesbum congregari. iam porro ipse, cum a nullo superari posse videretur, Asiam omnem populatur. octoginta namque hominum armatorum milia in exercitu habens, unoque verbo ac nutu

καὶ ἑνὶ λόγῳ τούτους ἡνιοχῶν τὴν ἐπὶ Ἄβυδον ᾔει φέρουσαν δὴ περαιωθησόμενος. ἐπεὶ δὲ πάντα καταδραμὼν σποδὸν καὶ κόνιν, μή πού γε τὰ ταπεινὰ τῶν χωρίων ἀλλὰ δὴ καὶ τὰ κραταιότερα, ἐνειργάσατο, καταλέλειπτο δέ τι χωρίον εὐφυὲς καὶ τῆς αὐτῶν κακώσεως ἄμοιρον ἦν, τῷ εἰσποιητῷ τοῦτο καταδραμεῖν μετὰ τῆς B προσούσης φάλαγγος ἐπιτρέπει υἱῷ. ὁ δέ τισι δαιμόνων γοητείαις κατεπαιρόμενος καὶ μαντείᾳ τὴν ψυχὴν ἐμφυσώμενος τῇ προτεραίᾳ τοῦτο δὴ εἰς ἐπήκοον τοῖς ἑαυτοῦ ἐκεκράγει, ῥητήν τινα ἡμέραν ἔσεσθαι καθομολογῶν καὶ φάσκων ᾗ μέλλοι εἰς τὴν βασιλεύουσαν προελθεῖν. τότε γοῦν θρασέως ἱππαζόμενος εἰς βαρεῖαν βλάβην ὁ δείλαιος ἐξεχόρευσεν. διεσπαρμένως γὰρ φερόμενος καὶ γυμνὸν εἶναι τῶν ἀντιπάλων τὸ χωρίον οἰόμενος λόχῳ δή τινι περιπίπτει τοῦ Ὀλβιανοῦ, καὶ τὴν κεφαλὴν αὐθωρὸν ἀποτμηθεὶς τῷ βασιλεῖ C ἀποστέλλεται Μιχαήλ. ὁ δὲ οὐδὲν ὑφιεμένῳ κατὰ τὴν πορείαν, οὐδὲ μὴν τοῖς δεινοῖς τῶν ἔργων καὶ χαλεποῖς, τῷ ἑαυτοῦ ἀποστέλλει πατρί. ἄρτι ταύτην ἐδέδεκτο ὁ Θωμᾶς, καὶ πρὸς Θρᾴκην οὐδὲν ὑποστελλόμενος ἐκ τοῦ κατὰ θάλατταν ὄντος χωρίου (Ὁρκώσιον τοῦτο καλεῖται), καιρὸν ἐπιτηρήσας ὅτε δὴ κατὰ σύνοδον ἡ σελήνη ἀφώτιστος ἦν, πολλαχοῦ διαπεραιοῦται κατὰ τὴν Θρᾴκην. ἔμελεν οὖν καὶ πρὸ τῆς αὐτοῦ διαβάσεως ταῦτα τῷ Μιχαήλ, ὅθεν πᾶσαν περιελθὼν τὴν Θρᾳκῶν ἰσχυροτέρους ἅμα παρῄνει γενέσθαι πρὸς τὸν ἀποστάτην καὶ τὰ ἑαυτοῦ φρονεῖν

5 τούτῳ P 7 μαντείαν P 11 καὶ] τὸ P

quo vellet educens, Abydum, inde traiecturus, petit. quoniam vero in itinere omnia populatus, non modo humiliora oppida sed et munitiora, in cinerem favillamque cuncta redegerat, unumque aliquod nobilius adhuc reliquum ab eiusque illa direptione immune exstiterat, filio adoptivo adoriri illud iubet, cum ea parte exercitus cui praeerat. is porro quibusdam daemonum praestigiis elatus, exque vaticiniis animo tumens, istud pridie cunctis suis audientibus inclamaverat, dicens "certo quodam die solenni pompa urbem Augustam se ingressurum esse." tunc itaque temere equitans in grave exitium misellus desiliit. dum enim licentius vagatur nulloque suorum instructo ordine, eo quod castrum nudatum militibus existimaret, in Olbiani delapsus insidias statim caput amittit; quod exsectum Olbianus Michaeli imperatori mittit. ille mox eius patri, iter continue urgenti, ac quem nulla rerum difficultas ac molestia deterrerent, transmittit. iam Thomas caput acceperat, cum nulla mora, ex maritimo oppido quod Horcosium vocant, captato tempore quo per coitum luna nullam lucem emittit, multiplici ora actaque in Thraciam exscendit. eius rei cura ante etiam traiectionem Michaelem sollicitum habebat: unde et lustrata omni Thracia fortiore animo esse adversus desertorem hortabatur, et ut suis rebus usque ad sanguinem studerent;

μέχρις αἱμάτων παρεκάλει, μήτε τὴν βασιλέως πίστιν μήτε μὴν D τὴν σφῶν ἐξαρνουμένους ἀνδρίαν καὶ ἀρετήν. ἀλλ' ἔοικεν ἡ ὄψις ἄμαχόν τι εἶναι πρᾶγμα τοῖς πολλοῖς· καὶ διὰ τοῦτο ἐκείνου μὲν πρὸς τὴν βασιλεύουσαν ὑποκεχωρηκότος, τοῦ Θωμᾶ δὲ κατὰ πρόσωπον παρισταμένου μεταθέσθαι συνέβη πάντας εὐκόλως, ὡς μηδὲ λόγου δεηθῆναι, καὶ ἅμα συστρατεύεσθαι ἡγουμένῳ κατὰ τὴν βασιλεύουσαν.

14. Οὐκ ἔλαθεν οὖν ταῦτα θᾶττον ἢ ἔδει τὸν βασιλέα· ὅθεν καὶ στρατόν τινα ἐκ τῶν ἤδη που καταλελειμμένων ἐκ τῆς Ἀσίας ἐπισυνάγει καὶ δυνάμεις τινὰς διὰ τοῦ Κατάκυλα καὶ Ὀλβιανοῦ συναθροίζει, τὸν περὶ τῆς βασιλείας ἤδη κίνδυνον δεδιώς. ἀλλ' οὐδὲ τοῦ κατὰ θάλασσαν ἠμέλει στρατοῦ, τάχει δὲ πολλῷ πρὸς τὴν ἐκείνου κατὰ γῆν τε καὶ θάλατταν ἀντιπαρεσκευάζετο P 37 δύναμιν. εἰς τοσοῦτο δὲ ἧκε δυσεργίας καὶ περιστάσεως ὡς καὶ σιδηρᾶν ἅλυσιν ἐξ ἀκροπόλεως εἰς τὸ καταντικρὺ πολίχνιον ἐπεκτεῖναι, τὴν ἔσωθεν ἄβατον τηρῶν ὁδόν. ἦν δέ τις ἐν Σκύρῳ νήσῳ τῶν Κυκλάδων μιᾷ πολλάκις ἐστρατηγηκὼς ἀνὴρ ὑπερόριος, ἄρτι δὲ τῷ Μιχαὴλ εἰς πικρίαν ψυχῆς ἀφικόμενος· ὄνομα τούτῳ Γρηγόριος ὁ οὕτω λεγόμενος Πτερωτός, ὃς ἀδελφιδοῦς μὲν ὑπάρχων τοῦ Λέοντος, ἄρτι δὲ τούτου ἀναιρεθέντος ὑπερόριος γίνεται, ὅτι μὴ σιγῇ, ζεούσῃ δὲ τῇ καρδίᾳ καὶ φιλίᾳ τοῦ Λέοντος, προσκυνήσων τὸν Μιχαὴλ εἰσερχόμενος πολλοῖς ὀνειδισμοῖς αὐτὸν πε- B ριέβαλεν, τὸν φόνον φέρων τῶν λεγομένων κατήγορον. ᾧ Μι-

quo nimirum nec imperatoris fidem violarent, nec virtutis suae ac fortitudinis obliviscerentur. ceterum imbecille quid visus vulgo ipse Michaelis conspectus. quamobrem etiam illo in Augustam urbem recepto, ipsa statim Thomae sola praesentia tanta omnes facilitate mutari contigit, ut nec verbis quidem illis induci opus fuerit, seque ultro ad expugnandam urbem Augustam ei socios adiunxerint.

14. Haec citius quam par erat imperatori delata: iccirco etiam exercitum ex residuis ex Asia, si qui iam suppetebant, nonnullasque copias Catacylae et Olbiani opera cogit, iam sibi de rerum summa periculum verti sentiens. at neque classis curam negligit, multaque celeritate adversum hostem terra marique educit. in tantas autem angustias rerumque difficultates coniectus est, ut et ferream catenam ab arce ad appositum e regione oppidulum, ad hostem ab interiore muro arcendum, extenderit. vivebat tunc in Scyro, quae una est Cycladum insularum, vir quidam exsul, saepius ducis exercitus functus munere, iamque infenso in Michaelem actus animo, Gregorius Pterotus nomine, Leonis imperatoris consobrinus, haud ita pridem illo sublato relegatus eo quod silentium sibi imperare noluisset, sed prae fervore animi ac Leonis amore salutatum Michaelem ingressus multis eum conviciis aspersisset ac

χαὴλ τότε μὲν εἰπὼν "οἶδά σου τῆς ἀθυμίας τὸ πέλαγος καὶ τῆς λύπης τὸ μέγεθος" φέρειν ἐπέτρεπε τὰ γενόμενα· τρίτης δὲ παρῳχηκυίας ἡμέρας κατὰ τὸν εἰρημένον τόπον τῶν Κυκλάδων πεποίηκεν ὑπερόριον. τοῦτον ἑταιρισάμενος ὁ Θωμᾶς στρατεύματός τινος τοῦ κατὰ γῆν ὡσεὶ χιλιάδας δέκα ἀνέδειξεν στρατηγόν. καὶ τὸν κατὰ θάλασσαν δὲ στόλον αὐτῷ γενόμενον εὐτρεπισάμενος [καὶ ἕτερον αὐτῷ ἐπιστήσας στρατηγὸν] οἷόν τινας προδρόμους ἐξέπεμψεν, ὠφέλιμον εἶναι κρίνας τοῦ κατὰ γῆν τε καὶ θάλασσαν C ἅμα ποιεῖσθαι τὰς προσβολάς. γενομένου δὲ τούτου καὶ κατὰ ταὐτὸν ἀναφανέντων τῶν ναυτικῶν καὶ πεζικῶν δυνάμεων ἐν τῷ πρὸς Βλαχέρναις κόλπῳ (οὐδὲ γὰρ οὐδεμίαν κώλυσιν ἢ βοήθειαν ἡ ἐξαρτισθεῖσα σιδηρᾶ σειρὰ ἐπεδέδεικτο) εἰς οὐδὲν ἢ μικρὸν ἡ τούτων παρουσία λελόγιστο· ὅθεν οὐδ' ἀξιόλογόν τι παρ' αὐτοῖς ἐπέπρακτο. πλὴν ὁ Θωμᾶς κριοὺς καὶ χελώνας καί τινας ἑλεπόλεις, δι' ὧν τὰ τείχη ᾤετο κατασείειν, διά τινων κατασκευάσας μηχανουργῶν, πρὸς δὲ καί τινα Ἀναστάσιον ἄρτι δὴ τὸν τῶν μοναχῶν ἀλλαξάμενον βίον καὶ εἰς τὸν ἀγυρτικὸν τοῦτον δὴ καὶ πολιτικὸν ὑποστρέψαντα, μέλανα τὴν χροιάν, μέλανα τὴν ψυχήν, D υἱοθετήσας καὶ συγκοινωνὸν τῆς ἀνταρσίας ἀναγορεύσας, πολλῷ στρατῷ καὶ δυνάμει ῥέων κατὰ τῆς βασιλευούσης προσήλαυνεν, ἅμα δὲ τῷ εἰς ὄψιν ἐποφθῆναι τῶν πολιτῶν τὰς πύλας αὐτῷ ἀναπετάσαι οἰόμενος, μίσει δὴ τῷ πρὸς Μιχαήλ. ἐπεὶ δὲ ταύτης τῆς ἐλπίδος διέπεσεν, μᾶλλον μὲν οὖν καὶ ὕβρεσι τούτων καὶ λοι-

5 ὡς εἰς?

caedem exprobrasset. ad quem tunc Michael "novi" inquit "animi tui maestitiae pelagus ac tristitiae magnitudinem;" iubensque patienter ferre quae contigerant, post triduum in eam Cycladum insulam eum relegavit. hunc belli socium ascitum Thomas duodecim milium terrestrium copiarum agmini praefecit. classem quoque quam habuerat adornans, aliumque ei ducem praeficiens, ambos tanquam praecursores regiam Constantini urbem tentaturos praemittit, e re sua fore existimans, si terra simul marique eam adoriretur. hoc ubi sic gestum est, simulque navales ac terrestres copiae ad Blachernarum sinum apparuerunt (nihil enim extenta ferrea catena impedimento fuit aut urbem iuvit), nihili illae aut certe exigui momenti visae sunt; unde nec dignum aliquid memoria gesserunt. ceterum Thomas ipse arietibus testudinibus aliisque machinis, quibus muros concutiendos arbitrabatur, per quosdam eorum artifices constructis, ad haec autem Anastasio quodam, qui eiurato monachi instituto paulo ante ad veteratoriam ac saecularem vitam transierat, atri coloris atque animi in filium adoptato et consorte tyrannidis renuntiato, ingentibus copiis numerosoque fretus exercitu, ad regiam urbem advectus est, ratus simul atque ad urbem accessisset, portas ipsi reseratum iri. ubi autem nihil eventus eius exspectationi respon-

δορίαις ἐπλύνετο, τότε μὲν δὴ τὴν στρατηγικὴν σκηνὴν καὶ τὸν χάρακα κατὰ τὸν τοῦ Παυλίνου οἶκον, ἔνθα δὴ καὶ τὸ τῶν σεβασμίων Ἀναργύρων τέμενος οἷόν τι ἀνάκτορον ᾠκοδόμηται, ἐγκατέπηξε, καὶ πάντα τὸν ἄχρι Εὐξείνου τόπον καὶ Ἱεροῦ καὶ τῶν περαιτέρω δὴ τούτων πολιχνίων ἐπῆλθε διά τινος στρατεύματος πείσων, καὶ μή τινα ἔχειν ὑπὸ νώτου ἐχθρόν. (14) ἐπεὶ δὲ P 38 ταῦτα κατὰ νοῦν ἔχειν ἐδόκει αὐτῷ, τινὰς ἡμέρας πρὸς παρασκευὴν δοὺς ἑαυτῷ, ὡς ἔκ τινος ἀπόπτου κατεῖδε τὸν μὲν Μιχαὴλ τὸ πολεμικὸν σημεῖον ἐπὶ τέγους τοῦ τῆς θεοτόκου ναοῦ καταπεπηγότα κἀκεῖθεν τὴν κατὰ τῶν ἐναντίων ἰσχὺν αἰτούμενόν τε καὶ προσλαμβάνοντα, τὸν δ' υἱὸν αὐτοῦ τὸν Θεόφιλον πάντα τὸν τῆς πόλεως περίβολον μετὰ τοῦ ἱεροῦ τάγματος ἐπιφοιτῶντα, τό τε ζῳοποιὸν τοῦ σταυροῦ ξύλον ἐπιφερόμενον καὶ τὴν ἐσθῆτα τῆς πανάγνου μητρὸς Χριστοῦ τοῦ θεοῦ ἡμῶν, εἰς πολλὴν μὲν τῶν πραγμάτων δυσελπιστίαν καὶ παντοῖος ἐγένετο τὴν γνώμην κατὰ τὸν χαμαιλέοντα, εἴγε μὴ πρὸς ὁρατοὺς μόνον ἀλλὰ καὶ ἀοράτους τινὰς δυνάμεις ἀναγκάζοιτο διαμάχεσθαι. οὐκ ἔχων δ' ὅτι καὶ B πράξειεν, ἄλλως τε δὲ καὶ ὄχλῳ δὴ τοσούτῳ τεθαρρηκώς, τὸν διὰ μάχης ἔκρινεν ἀγῶνα τῶν τοιούτων δὴ λογισμῶν γενέσθαι κριτήν. ὅθεν τῇ ἑξῆς ἅμα τῷ φωτὶ σημάνας τὸ ἐνυάλιον τοὺς ἄνδρας ἐξῆγε, καὶ τῷ μὲν υἱῷ κατὰ τὸν ἐν τῇ χερσῷ τοῦ τείχους περίβολον φέρειν τὸν πόλεμον καὶ τὴν ἀνάγκην ἐπέτρεπεν, αὐτὸς δὲ τὸ πολὺ τῶν δυνάμεων καὶ τῶν πολεμικῶν ὀργάνων, δι' ὧν ἔμελλε τὸ

6 κατὰ? 15 δυσελπιστίαν ἀφίκετο καὶ?

dit, eorumque potius probris complucbatur ac maledictis, tum demum praetorium tentorium vallumque ad Paulini aedes, ubi et venerabilium Anargyrorum delubrum palatii instar exstructum est, fixit muniitque. destinata quoque parte exercitus omnem ad Euxinum usque Hierumque regionem atque his ulteriora oppida invasit, ad defectionem cogens, ne quem a tergo hostem pateretur. (14) his ita ex animo constitutis, dum apparatui castrisque componendis dies aliquot insumit, velut e specula Michaelem videt belli signum in Blachernensi deiparae tecto defigere, atque inde vires adversus hostes deposcere sibique corrogare, eiusque filium Theophilum una cum sacro ordine urbis ambitum omnem atque moenia circumire, ac tum vivificum crucis lignum tum intactae Christi dei nostri parentis vestem circumferre. ea res eius maxime spes deiecit, chamaeleontisque in morem cogitationum aestu varius ancepsque agebatur, siquidem illi non modo contra hostes visibiles sed et contra inaspectas quasdam fortitudines pugna conserenda erat. sic itaque consilii incertus, etsi alioqui tot tantisque copiis fretus, earum iudicem cogitationum Martis aleam fore decernit. prima itaque diei insequentis luce dato classico suos castris educit; ac filio quidem terrestrem murum oppugnare iussit, ipse cum maiori copiarum parte validioribus-

τεῖχος καταπειράζειν τῆς πόλεως, ἔχων κατὰ τοὺς τῶν Βλαχερνῶν
πύργους ἐποιεῖτο τὴν προσβολήν, κλίμακάς τε τῷ ὕψει προσφέρων
ἀναλογούσας καὶ χελώνας ἄλλοθεν καὶ ἑτέρωθεν τοὺς κριούς,
C τοξεύμασί τε καὶ πετροβόλοις πανταχόθεν χρώμενος, οἷς ἔμελλε
πάντοθεν παντοῖος φαινόμενος καταπλῆξαι μὲν τοὺς πολίτας, κρα-
τήσειν δὲ καὶ τῆς πόλεως. οὐ μὴν οὐδὲ τῶν κατὰ θάλατταν ἠμέ-
λει τειχῶν, ἀλλὰ τῷ ναυτικῷ πάντοθεν περικυκλώσας αὐτὴν πυρί
τε καὶ τοξεύμασι, πρὸς δὲ καί τισι τετρασκελέσιν ἑλεπόλεσιν χρῆ-
σθαι ἐκέλευεν ἀφειδῶς, ταὐτὸν δὲ καὶ ἀτέχνως εἰπεῖν· ὅθεν οὐδὲν
τῶν εἰς ὄνησιν φερόντων αὐτῷ ἡ τοσαύτη δύναμις συμπαρομαρ-
τούντων ἀνδρῶν κατεπράξατο. τὸ μὲν γὰρ ναυτικὸν εὐθύς τις
ἐναντίος ἐπιγενόμενος ἄνεμος συνδιέλκυσέ τε καὶ ἄλλο ἄλλῃ δια-
σπαρῆναι ἐποίησεν ἅτε δὴ καὶ χειμῶνος ὄντος ἐξαισίου· κατὰ δὲ
τὴν ἤπειρον γενναίως μὲν τῶν ἀπὸ τῆς πόλεως ἀπομαχομένων,
D καὶ τέως μὲν τὰς κλίμακας ἀχρήστους αὐτῷ ποιούντων διὰ τῶν ἐκ
τῶν πύργων ῥηγνυμένων ἰσχυροτέρων βελῶν, τῶν δ' ἄλλων ὀρ-
γάνων πῇ μὲν οὐκ ἐφικνουμένων, καὶ τούτου μεγάλην ῥοπὴν τοῖς
πράγμασι τεθεικότος καὶ τὴν αὐτοῦ πρὸς τοὺς πολέμους ἀπειρίαν
καταμαρτυρήσαντος, πῇ δὲ καὶ τῶν ἐφικνουμένων καὶ καταλαμ-
βανόντων ἀσθενεστάτων ὄντων καὶ οὐ κατὰ μάχην γενναίαν τε καὶ
διασείειν τείχη εἰδότων, ἀλλ' οὐδὲ τοῦ κατὰ πύργους ἱσταμένου
ἀνδρὸς ὑποχώρησίν τινα παρασκευαζόντων. ὡς οὖν ἐφαίνετο
P 39 ταῦτα οὐ κατὰ τὴν προτέραν διαθρυλήσασαν πάντα φήμην καὶ

14 ἀπὸ] αὐτοῦ P

que machinis ac tormentis, quibus civitatis murum tentaturus erat, Blachernarum turres aggreditur, scalas admovens murorum altitudini congruentes. alibi testudines, alibi arietes: nusquam non missilium grando, exque balistis densus lapidum imber; quo tam varia undique omnisque generis oppugnatione tum oppidanis terrorem iniiceret, tum urbe potiretur. at neque muros maritimos negligit; sed classe undique cingens, ignique et iaculis adhaecque tetrascelis quibusdam obsidionalibus machinis profuse (perindeque dicas, temere nulloque iudicio ac arte) tentare iubet. quamobrem etiam tanta vis virorum ei militantium nihil ei commodi attulit. illico enim adversus ventus classem dissipavit, alioque atque alio naves disiecit; quippe cum ingens procella esset ac mare aestuosum. terra quoque oppidanis strenue dimicantibus, hactenusque telorum e turribus fortiter missorum grandine inutiles scalas ei reddentibus, ad haec tormentis partim ad destinatum non attingentibus (quod quidem maximum rebus momentum attulit eumque gerendo bello imperitum ostendit), partim vero attingentibus quidem et assequentibus, imbecillioribus tamen, nec satis forti conatu et ut muros concutere possent vel etiam praesidiarios ex turribus excutere atque illinc fugare. ubi igitur non ex prioris famae ratione, cuncta magno quodam vulgantis

διακωδωνίσασαν, ἧττω δὲ καὶ ὡς ἔκ τινος ἀσθενεστάτης φρενὸς διακυβερνώμενα καὶ ἐκπερατούμενα, ἀνεθάρρησέ τε ἡ πολιορκουμένη πόλις εὐθέως, καὶ τοσοῦτον ἑκηβολωτέροις ἐχρῆτο τοῖς βέλεσιν ὡς πόρρω που τούτους αὐλισθῆναι ἐπαναγκάσαι, τὰς τοσαύτας μηχανὰς ἐγκαταλιπόντας, καὶ περὶ τῆς ἰδίας βουλεύεσθαι σωτηρίας. ὅθεν ἐπεὶ τὰ κατὰ τὴν πολιορκίαν οὐχ ὡς ᾤετο, στερρότερα δὲ ἢ κατὰ τὴν ἑαυτοῦ γνώμην ἀπήντησεν, ἄλλως δὲ καὶ ἡ ὥρα δριμύτερον ἐδείκνυ τὸν καιρὸν ἅτε δὴ καὶ χειμῶνος ἐπιγενομένου καὶ τῆς Θρᾴκης τῶν ἄλλων οὔσης δυσχειμέρου, ἐπὶ παραχειμασίαν ἐτράπη καὶ τὸν τοῦ στρατοῦ ἀνακομιδήν.

15. Ἤδη δὲ τοῦ ἔαρος ἥμερον ἐπιλάμποντος καὶ τὸν στρα- B τιώτην ὄχλον τὰς καταδύσεις καὶ χηραμοὺς καταλιπεῖν ἐκβιάζοντος, ἀμφοτέρωθεν αὖθις κατὰ γῆν τε καὶ κατὰ θάλατταν ἔκρινε προσβάλλειν τῇ Κωνσταντίνου. ἀλλ' ἤδη τὸν Μιχαὴλ οὐχ ὡς τὸ πρότερον, ἄρτι δὲ στρατιωτικήν τινα δύναμιν εὕρισκε συλλεξάμενον, καὶ κατὰ θάλατταν ἄλλην δὴ ναυτικήν. κατ' ἐκεῖνο γοῦν πάλιν ᾔει τὸ μέρος ὁπλισάμενος ᾗ καὶ πρότερον, τὸν κόλπον τῶν Βλαχερνῶν. ὡς οὖν ἡμέρα ὑπέλαμπεν καὶ τὸ σύνθημα ἐδίδοτο τὸ πολεμικὸν καὶ τεῖχος ἔμελλε κατασείειν τῶν Βλαχερνῶν, εἰς λόγους δή τισιν ἐκ τοῦ τῶν τειχῶν μετεώρου ἦλθεν ὁ Μιχαήλ, ἀμνηστίαν αὐτοῖς δεινῶν εὐαγγελιζόμενος καὶ ὑπισχνούμενος δώσειν C ἀγαθὰ πολλά, εἰ μόνον δὴ μετατάξοιντο καὶ μὴ βουληθεῖεν αἵμασιν ὁμοφύλων καὶ ἀδελφῶν καταχραίνεσθαι. ἀλλ' εἰς πίθον

9 ἄλλων μᾶλλον οὔσης?

rumore, haec apparuere, quin potius longe minora, ac quae mens debilissima regeret ac parturiret, statim obsessa civitas animos audaciamque resumpsit, tantaque vi longe mittentes balistas displodebat, ut omni illo machinarum apparatu relicto obsidentium agmina procul recedere deque salute consilium inire coegerit. quamobrem non qualem obsessor putaverat, sed firmiorem longe quam pro existimatione urbem offendit. praeterea vero ipsa quoque tempestas asperiorem aërem reddebat. velut itaque appetente hieme, ac per hiemem provinciis reliquis frigidiore Thracia, ad hiberna et ad reducendas copias animum convertit.

15. Vere itaque mitius illucescente turmasque militares lustris suis ac latibulis excedere cogente, utrinque rursus terra marique adoriendam Constantini urbem putavit. neque vero Michaelem qualem antea, sed iam et terrestribus quibusdam et navalibus copiis instructum invenit. rursus igitur eandem partem quam prius, sinum scilicet Blachernensem, eodemque apparatu aggreditur. prima itaque luce, data pugnandi tessera, ac dum iam Blachernenses muri quatiendi essent, Michael e superiori muro quosdam alloquendi occasionem nactus malorum oblivionem multaque eis bona collaturum pollicetur, si modo consilio mutato ad se transierint nec civium fratrumque cruore foedari in animum induxerint.

τετρημένον, τὸ τοῦ λόγου, τούτους ἐναπεράνας τοὺς λόγους, ἐκείνους μὲν θαρσαλεωτέρους, ὅτι δὴ καὶ παρακαλοῖντο, ταὐτὸν δὲ εἰπεῖν καὶ τῆς ἐκ τοῦ φόβου συστάσεως λελυμένους εἰργάσατο, ἑαυτὸν δὲ σταθερόν τε καὶ στεῤῥότερον. ὅθεν ἄφνω ἐκ πολλῶν πυλίδων κατ' αὐτῶν συῤῥυείς, ᾗ μὴ προσεδόκων ἐκεῖνοι, συῤῥήγνυταί τισι τούτοις εἰς μάχην, καὶ φθόρον ἱκανὸν ἐργασάμενος τὴν νικῶσαν λαμβάνει λαμπρῶς. κατὰ θάλατταν δὲ καὶ μᾶλλον D *ἢ κατ' ἤπειρον τὴν νικῶσαν ἐλάμβανεν. ὡς γὰρ αἱ βασιλικαὶ τριήρεις ἀνήγοντο καὶ εἰς χεῖρας συνέρχεσθαι ἔμελλον, ἄρτι δὴ πόλεμον συγκροτοῦντος καὶ λίθους ἐπαφιέντος τοῦ ἀποστατικοῦ πλωΐμου, οὐκ οἶδ' ὅ τι παθόντος καὶ τίσι δείμασι καὶ θορύβοις περικτυπηθέντος καὶ πρύμναν κρούσαντος κατήγετο πρὸς τὴν χέρσον· καὶ οἱ μὲν τῶν ἀνδρῶν πρὸς βασιλέα αὐτομολοῦντες ἐθάῤῥουν μετατιθέμενοι, οἱ δὲ πρὸς τὸ οἰκεῖον στρατόπεδον τὸ κατὰ γῆν ἀπεδίδρασκον, τὸ κατὰ θάλασσαν εἶναι καὶ διαμάχεσθαι ἀπαρνησάμενοι παντελῶς. οὕτω μὲν οὖν ἀπονητὶ διελύθη τὸ ναυτικόν,* P 40 *καὶ τέως ἐχώρησεν εἰς οὐδέν, ἄξιον οὔτε τοῦ πλήθους τῶν νεῶν οὔτε τῶν εἰς αὐτὰς ἀναβεβηκότων ἀνδρῶν διαπραξάμενον.*

16. *Ὅθεν καὶ Γρηγόριος ὁ δηλωθεὶς συνεωρακὼς αὐτόν τε τοῦτον τὸν ἀποστάτην εὐκαταφρόνητον ὄντα τε καὶ πλέον προϊόντος τοῦ χρόνου γενησόμενον, ἅτε δὴ πότοις σχολάζοντα καὶ φρονήσεως ἀμοιροῦντα κατὰ πολύ, δι' ἧς πεφύκασι μᾶλλον ἢ*

1 *τετριμμένον* P *ἐναπεράσας?* 17 an *εἰς οὐδέν, οὐδὲν ἄξιον?*

hos enimvero in dolium pertusum (quod adagio dicitur) sermones perorans, tum illos ferociores, ut quibuscum precibus ageretur (perindeque dicas hostium metu solutos, nihil iam servandi ordinis ac conspirationis solicitos) reddidit, sibique robur ac firmitatem adiecit. quamobrem ex multis repente portulis suos effundens, qua illi nihil eiusmodi exspectabant, parti eorum congreditur, iustaque satis clade afficiens clare victoria potitur. sed et mari illustriori quam terra victoria augetur. cum enim imperatoriae triremes altum peterent, iamque pugnae conserendae adesset tempus, atque adeo ipsa desertoris classis congressus ardore saxa mitteret, nescio quo casu consternata quibusve acta terroribus, versa puppi ad terram se subducit. classiarii pars concepta fiducia ad imperatorem deficiunt, pars ad sua castra terra pergunt, ac vel in mari versari aut prorsus pugnare pernegarent. sic absque labore dissoluta Thomae classis, cessitque in nihilum, cum nullum aut pro navium numero aut pro classiariorum virtute praeclarum facinus edidisset.

16. Hinc quoque, cuius iam meminimus, Gregorius, cum desertorem Thomam exiguae auctoritatis esse, multumque ei nominis decessisse, longeque amplius illi postmodum decessurum intelligeret, quippe homini

ποθεν ἄλλοθεν αἱ νῖκαι προσγίνεσθαι, μοῖράν τινα τοῦ ὑφ' ἑαυτὸν τάγματος συλλαβόμενος, καὶ πρότερον δὲ κοινολογησάμενος τῷ βασιλεῖ διὰ μοναχοῦ τινὸς τοῦ ἀπὸ τῶν Στουδίου τοῦ βασιλέως ἀποσταλέντος, ῥῆξιν ἐννοεῖ καὶ τοῦ ἀποστάτου γίνεται κατὰ νώτου, ὁμοῦ μὲν τοῦτον ἐκδειματῶν καὶ θορύβου πληρῶν, ὁμοῦ δὲ καὶ B τῶν εἰς βασιλέα ἑαυτῷ ἡμαρτημένων, ἀλλὰ μὴν καὶ τῇ αὐτοῦ γαμετῇ καὶ τοῖς τέκνοις (καὶ γὰρ ἐτηροῦντο ἐν φυλακῇ ἐκείνου τῷ Θωμᾷ προσθεμένου) διαλλαγὴν καὶ συγγνώμην πραγματευόμενος. ἀλλ' οὔτε ὁ βασιλεὺς ταῦτα ἔφθασε διακοῦσαι· εἰς τοσοῦτον γὰρ ἀπεκέκλειστο καὶ τῶν ἔξωθεν, οὐδ' εἰ τῶν ἐγγὺς μόνον τις, ἀλλ' οὐδ' εἰ τῶν πορρωτέρω τὰ αὐτοῦ ᾑρημένος ἐτύγχανε. καὶ ὁ Θωμᾶς τὸ μὴ πολὺν ἐξαίφνης τοῦτον γενέσθαι κατορρωδῶν, καὶ φόβον ἐν τοῖς ἑαυτοῦ ποιῆσαι βουλόμενος, τὴν μὲν στρατοπεδείαν τῆς πόλεως οὐκ ἐξεκίνησε, ταὐτὸ τοῦτο προμηθούμενος, καὶ προνοῶν τὸ μὴ διωχθῆναι ἐξόπισθεν· ὀλίγους δέ τινας, καὶ ὅσους C ᾔδει ἀξιοχρέους τῆς πρὸς τὸν Γρηγόριον μάχης ὄντας, παραλαβὼν ἐξῄει πρὸς αὐτόν, καὶ περιγίνεται τούτου, καὶ φεύγοντα καταλαβὼν ἀναιρεῖ. καὶ αὖθις διὰ ταχέων πρὸς τὰς δυνάμεις τὰς προσεδρευούσας τῇ πόλει γίνεται, καὶ γράμμασιν ἐπιστέλλων τὰ ἑαυτοῦ περιαγγέλλει ἁπανταχοῦ, ὡς εἴη τε νενικηκώς, ὅπερ οὐκ ἦν, καὶ τὸ προσχωριάζον κατὰ τὴν Ἑλλάδα ναυτικὸν ταχέως κελεύων ἀναχθῆναι, ὡς αὖθις τοῖς κατὰ θάλασσαν προσβάλλοι

3 Στουδίου ὑπὸ τοῦ?

poculis dedito, et cui maxime prudentia deesset, qua potissimum ac prae omni alia virtute parantur victoriae, partem aliquam secum assumens subiectae legionis, priusque monachi cuiusdam Studiani collegii, in eam rem missi, opera communicato cum imperatore consilio, a reliquo se exercitu avellit, tyrannoque a tergo secedit, tum ut illum exterreret ac turbatione impleret, tum vero ut sibi ipse, quin et uxori et liberis (nam et illos Michael, quo ex tempore ad Thomam defecerat, in carcere habebat), maiestatis scilicet reus, veniam indulgentiamque obtineret. sed neque imperator rem adhuc audierat (adeo enim omnis extra commeatus occlusus erat) nec si quis, non solum eorum qui prope essent verum etiam qui longius abessent, eius partes secutus esset. Thomas autem veritus ne subito magna Gregorii auctoritas fieret, isque suis ordinibus terrorem iniiceret, nihil soluta obsidione aut castris ab urbe dimotis, timens ne se hostis a tergo insequeretur, paucos aliquos, ac quantos opprimendo Gregorio sufficere existimavit, assumens, in illum educit; praelioque fusum ac in fuga comprehensum necavit. hincque celeriter ad reliquas copias urbem obsidentes reversus literas in omnes partes, quibus sibi victoriam (etsi falso) manifeste arrogaret, dedit; classemque, quam in Achaia habebat, ad se quam primum adduci iubet, quo rursus instructioribus copiis mari pugnam consereret.

μετὰ στερροτέρας δυνάμεως μέρεσιν. ἀλλ᾽ ἐκεῖναι μὲν εἰς ἀριθμὸν
τελοῦσαι πεντήκοντα πρὸς ταῖς τριακοσίαις πολεμιστηρίοις ἅμα
D διήρεσι καὶ σιταγωγοῖς τῷ τῶν Βυρίδων κατὰ Θρᾴκην λιμένι ἐγ-
καθορμίζονται, ἐξ οὐρίας πλέουσαι. καὶ ὁ βασιλικὸς δὲ πυρφό-
ρος στόλος τούτοις μηδὲν ἐγνωκόσιν ἐκεῖσε ἐπιτεθεὶς πολλὰς μὲν
αὐτάνδρους αἱρεῖ τῶν νηῶν, τινὰς δὲ καὶ πυρπολεῖ δυνατωτάτῃ
χειρί, ὀλίγων παντελῶς ἔξω γενομένων τοῦ πάθους καὶ πρὸς τὸν
τῶν Βλαχερνῶν κόλπον καταίρειν λόγον ποιουμένων πολύν, ὡς
ἂν εἶεν ὁμοῦ τῇ κατὰ γῆν στρατιᾷ· ὃ καὶ γέγονεν. τὰ μὲν οὖν
κατὰ θάλατταν τοῦτον ἐκυβερνᾶτο καὶ ηὐθύνετο τὸν τρόπον·
κατὰ γῆν δὲ ἀεί πως ἀκροβολισμοί τινες ἐκ μέρους καὶ φόνοι ἐγέ-
νοντο, νῦν μὲν τοῦ Μιχαὴλ νῦν δὲ τοῦ υἱοῦ αὐτοῦ Θεοφίλου αὐ-
P 41 τοῖς ἐπεξιόντος μετὰ Ὀλβιανοῦ καὶ Κατάκυλα, καὶ πληγὰς ἔσθ᾽
ὅτε καιρίας διδόντος τε καὶ λαμβάνοντος· οὐ μὴν ἀγῶνές τινες
λαμπροὶ καὶ νεανικοὶ ἐκ παρατάξεως καὶ τῆς ἰσορρόπου δυνάμεως
ἔσχον τὸ κῦρος, ἅτε δὴ πολλῷ τοῦ Μιχαὴλ ἐλαττουμένου καὶ μὴ
πρὸς τὴν ἐκείνου εὔζωνόν τε καὶ ἱππικὴν στρατιὰν ἀντιτάσσεσθαι
δυναμένου.

17. Ἐν τούτοις οὖν ὄντων αὐτῶν, Μορτάγων ὁ τῶν Βουλ-
γάρων βασιλεὺς (καὶ γὰρ ἔφθασεν ἡ φήμη κατὰ τὴν οἰκουμένην
τὸν βασιλέα τῶν Ῥωμαίων πολιορκούμενον διαγγέλλουσα) λάθρα
τινὰς ἐς βασιλέα πέμψας ἐξαποστεῖλαι αὐτομάτῳ γνώμῃ συμμα-
B χίαν καθυπισχνεῖτο καὶ βοήθειαν αὐτῷ τὴν ἀρκοῦσαν διδόναι καθ-

3 alii Βηρύδων. margo Combef.

constabat illa cum bello aptis biremibus, tum onerariis trecentis quinquaginta navibus; quae et brevi secundis auris ad Byridensem in Thracia portum appellunt. imperatoria autem scyphonibus instructa classis, illic hostes in statione incautos aggressa, multas eorum naves cum ipsis vectoribus capit, alias vi maxima comburit; paucae admodum cladi superstites celeri fuga portum Blachernensem petunt, id omnino satagentes ut terrestribus copiis, quod et ita contigit, iungerentur. sic res mari gerebatur, felicique adeo exitu. terra vero continuae prope sigillatim erant velitationes caedesque edebantur, modo Michaele modo eius filio Theophilo cum Olbiano et Catacyla adversus hostem suos educente. horum praeliorum varius exitus, dataeque et acceptae aequo pene Marte subinde strages. iusta tamen pugna nunquam certatum, eo quod imperator cum hoste, cuius essent numerosiores expeditaeque ac equestres copiae, acie congredi non posset.

17. Eo rerum statu, Mortagon Bulgarorum imperator, fama excitus, quae iam totum orbem pervaserat, Romanorum imperatorem intra muros obsessum teneri, misso clam ad Michaelem nuntio ultro se auxilia missurum pollicetur ac copias quantae adversus hostem sufficerent. at

ωμολόγει. ἀλλ' ὅ γε Μιχαήλ, εἴτε τῇ ἀληθείᾳ τὸ τῶν ὁμοφύλων πλῆθος καταιδούμενός τε καὶ ἐλεῶν, εἴτε καὶ χρημάτων φειδόμενος (ἐτύγχανε γὰρ ἐπὶ πολὺ τὰς χεῖρας τῶν ἄλλων βασιλέων ὑφ' ἑαυτὸν ἔχων ἐκ φειδωλίας), τὴν μὲν γνώμην ἠξίου ἀποδοχῆς τούτου, παρῃτεῖτο δὲ τὴν αὐτοῦ βοήθειαν, καὶ οὐκ εἴ τι γένοιτο παρὰ τοῦ ἀποστάτου, βούλεσθαι τὴν ἐπικουρίαν αὐτῷ κατεμήνυεν. ἀλλ' ὅ γε Μορτάγων καὶ ἄλλως πολέμοις χαίρων καὶ τὰς ἐκ τούτων λείας καρποῦσθαι φιλῶν, καὶ τὰς πρὸς αὐτὸν δὲ τριακοντούτεις σπονδὰς γεγενημένας παρὰ τοῦ προκατασχόντος Λέοντος ἐπιβεβαιῶσαι καὶ ἰσχυροτέρας ποιῆσαι ζητῶν, τὴν κατὰ τοῦ τυράν- C νου στρατιὰν εὐτρέπιζεν, καὶ δὴ τῶν Ῥωμαίων ὅρων ἔντοσθε μετὰ παρρησίας γενόμενος κατὰ τὸν Κηδούκτου χῶρον οὕτω καλούμενον ἐστρατοπέδευσεν. ἠκούοντο δέ, καὶ λαθεῖν ταῦτα τὸν ἀποστάτην οὐκ ἦν· περιεδονήθη μὲν ὡς εἰκός, καὶ τὰς φρένας κατεκτυπήθη, ἐν αὐτῷ δὲ πάλιν γενόμενος τὴν κατ' αὐτοῦ στρατιὰν ἐξώπλιζεν. καὶ ἐπεὶ εἰς δύο καταμεριζόμενος ἐδόκει παντελῶς ἀσθενής τε εἶναι καὶ εὔπτωτος (ἥ τε γὰρ τῶν πόλεων βασιλεύουσα οὐκ εὐαριθμήτου ἀλλὰ πλείστου ἀξιολόγου στρατοῦ ἐδέετο πολιορκουμένη, ἤδη καὶ τοῦ Μιχαὴλ δυνάμεις οὐκ ἀγεννεῖς συλλέγοντος καὶ κατὰ πόδας ἵστασθαι δυναμένου, καὶ πολλάκις ὄλεθρον ἐπα- D γαγεῖν αὐτοῖς δυνηθέντος· καὶ ἡ τῶν Βουλγάρων δὲ δύναμις οὐ μικρᾶς τινὸς τάξεως καὶ στρατιᾶς, πολλῆς δὲ καὶ οὐ τῆς τυχούσης ἐδέετο παρατάξεως), — μὴ οὖν εἰς δύο τινὰ διαιρούμενος κατά τινα λάβρον χειμάρρουν ἀσθενέστερος παρ' ὃ ἦν δόξῃ τε τοῖς

24 ὃ] οὗ P

ille, sive re vera Romanorum in Thomae castris militantium reverentia inque eos miseratione, sive alias parcendum sumptibus ducebat (nullus enim unquam imperatorum illo fuit sordidior), laudato Bulgari proposito auxilia recusavit, nec quicquid demum tyrannus praestiterit, eis se usurum significavit. Mortagon tamen, ut qui alioqui bellis praedaque ac spoliis gauderet, foedusque tricennale cum Leone eius decessore pactum confirmare magisque stabilire quaereret, adversus tyrannum exercitum parat. quamobrem Romanorum fines audacter ingressus ad locum cui Ceductus nomen, castra ponit. percrebrescebat rumor; nec fieri poterat ut irruptio tyrannum falleret. merito itaque perturbatur, animoque plane attonitus est. ubi tamen emersit exque ea se aestuatione collegit, adversus illum sibi movendum constituit. quoniam autem diviso exercitu se prorsus debilem fore cladique obnoxium videbat (nam et in expugnanda urbe Augusta non exiguo sed numeroso fortique exercitu opus erat, eoque magis quod iam imperator exercitum haud contemnendum paraverat, quique adeo conserto pede pugnare posset nec raro hostium stragem dare; nec vero contra Bulgarorum copias aliter quam magno validoque exercitu pugna instrui poterat), ne igitur velut rapidus quidam torrens in duos quosdam deductus rivulos, quam pro priori virtute

ἐχθροῖς καὶ εὐχείρωτος γένηται, ἀπαίρει μὲν ὅλως τῆς πόλεως, πρὸς τὸν Βούλγαρον δὲ ἀξιόμαχον κρίνας αὐτὸν κατὰ τὸν εἰρημένον τόπον παρατάσσεται καὶ ἀνταγωνίζεται. (18) καὶ ἐπεὶ ἐς χεῖρας ἤεσαν κατ' ἀλλήλων, ἡττᾶται δὴ ἰσχυρῶς ὁ τύραννος, καὶ φόνον οὐ ποιεῖ μὲν πάσχει δὲ παρὰ τῶν ἐχθρῶν. καὶ ἐπεὶ μὴ
P 42 ἄλλως ἦν τῆς σωτηρίας λαβέσθαι, φυγαδείᾳ ταύτην εὑρίσκουσιν, καὶ ἔν τινι χώρῳ δυσβάτῳ σκεδαννύμενοι ἐσκόπουν πῶς συνάγωνται. ἀλλ' ὁ μὲν τῶν Βουλγάρων ἀρχηγὸς εὐθὺς τά τε σώματα προσλαβόμενος ὧν ἐγένετο κύριος, καὶ λείας δὲ πολλῆς γενόμενος ἐγκρατής, πρὸς τὴν ἑαυτοῦ ὑπέστρεψε, τῇ κατ' αὐτοῦ νίκῃ ἐπαιρόμενός τε καὶ γαυριῶν. τὸ δὲ καταλειφθὲν ναυτικὸν ὡς τοῦτο ἀκήκοεν, τοῦτο δὴ τῇ πόλει προσεδρεῦον, προσχωρεῖ τῷ βασιλεῖ καὶ μετ' αὐτοῦ γίνεται. ὁ δ' αὖ ἀποστάτης εἰς τοσοῦτο ἧκε θάρρους, παρὰ τῶν αὐτῷ συμμαχούντων, ὡς ἔοικε, δαιμόνων ἐγκρα-
B τής, ὥστε πάντοθεν συντριβόμενος καὶ πληττόμενος καὶ ὀλίγος ἐκ πολλῶν γενόμενος, καθαρᾶς τε νίκης οὔ ποτε μετεσχηκὼς οὔτ' ἀπὸ παρατάξεως οὔτε μὴν ἀπὸ τῶν καθ' ἡμέραν προσαγομένων δια πολυχειρίας μηχανημάτων κατὰ τῶν τειχῶν τῆς πόλεως, αὖθις ἐπισυναχθεὶς κατά τι πεδίον, Διάβασιν οὕτω καλούμενον, σταδίους ἀπέχον τῆς πόλεως ἱκανοὺς καὶ πρὸς στρατοπεδείαν εὐφυὲς ἔκ τε τῶν φυομένων καὶ ὑδάτων ἐπιρρύτων ὄν, συναθροίζεται. κἀκεῖθεν τὰς προνομὰς ποιῶν πάντα μὲν πρὸ τῆς πόλεως

12 τοῦτο] τὸ? an τοῦτο δὴ τὸ? 22 μὲν τὸν πρὸ?

hostibus imbecillior appareret, et qui facile edomari posset, urbis obsidionem in totum solvit, inque Bulgaros, quibus se parem esse arbitrabatur, educens, in eo quem diximus Ceducti loco, cum eis pugnam committit. (18) ceterum tyrannus in eo praelio magna suorum strage vincitur, nec adeo hostes clade afficit, sed ipse ab eis ingenti clade afficitur. cumque aliter non liceret, fuga salutem expediunt qui e praelio incolumes fuerant, arduoque quodam loco nec facili accessu dispersi secum cogitabant quomodo rursus coirent ac agmen instaurarent. Bulgarus autem statim captivos, qui venerant in potestatem, assumens, ingentisque praedae compos effectus, victoria ferox eaque superbiens redit in patriam. classis ad obsidendam urbem relicta, audita suorum strage, tota ad imperatorem deficit illique adiungitur. Thomas porro desertor eo temeritatis erupit, daemonum, ut videtur, illi belli sociorum afflatu, ut et cladibus undique attritus caesusque atque ex amplissimis rebus in angustias compulsus, nec iusto unquam praelio victoria potitus vel conserta palam acie vel ex tanto machinarum quotidie urbi admotarum apparatu censuque, collectis iterum copiis in campo cui nomen Diabasis, aliquot ab urbe stadiis dissito, castris metandis tum ex agri feracitate tum ex aquarum irriguo longe commodissimo, consederit. inde omnem suburbanorum elegantiam excursionibus vastabat ac igni in-

ἔκειρε κόσμον καὶ ἐπυρπόλει, ἐνεφανίζετο δὲ τοῖς κατὰ πόλιν, ὡς τὸ πρότερον, οὐδαμῶς. ὃ καὶ συνεὶς ὁ Μιχαὴλ καὶ ἀξιόλογον συστήσας στρατόν, αὐτόν τε Ὀλβιανὸν καὶ Κατάκυλαν ἔχων μετὰ C τῶν ἑαυτοῦ ἀκμῆτας ταγμάτων καὶ ἀκεραίους, κατ' αὐτοῦ ἐκστρατεύει· καὶ τοῦτον οὐ κατορρωδοῦντα οὐδ' ἐκφοβούμενον ἀλλ' αὐτῷ προσυπαντῶντα μετὰ σπουδῆς ἐφευρὼν συνῆλθεν εἰς χειρῶν δύναμιν, κρῖναι τὸ πᾶν βουληθείς. ἔνθα δὴ καὶ καταστρατηγῆσαι τὸν βασιλέα βουλόμενος αὐτὸς τῇ ἑαυτοῦ καταστρατηγεῖται βουλῇ καὶ τοῦ παντὸς διαμαρτάνει σκοποῦ. ὁ μὲν γὰρ ἅμα τῷ συρραγῆναι τὸν πόλεμον νῶτα διδόναι τῷ βασιλεῖ ἐκέλευσεν, οὐ τὴν τῶν ἑαυτοῦ δυνάμεων γνώμην κατανοῶν, ἀνθρώπων ἔκπαλαι γυναικῶν καὶ τέκνων στερουμένων δι' αὐτὸν καὶ τὰς χεῖρας τῷ ἀδελφικῷ λύθρῳ καταμιαινόντων· οἳ ταχεῖαν ἔσεσθαι καὶ οὐκ εἰς D τοσοῦτον χρόνον ἐκταθῆναι τὴν αὐτῶν ἐν τοῖς ὑπαίθροις διατριβὴν προσδοκήσαντες πρὸς πᾶν μὲν ἦσαν κατ' ἀρχὰς εὐπειθεῖς, ἐπεὶ δὲ καὶ ὁ χρόνος ἤδη που ἐξετέτατο (τρίτος γὰρ ἐξηνύετο) καὶ ἀνηνύτοις ἐκ τῶν καθ' ἡμέραν γινομένων ἐδόκουν ἐπιχειρεῖν, ἀνδρὸς ἑνὸς ἐπιθυμίᾳ καὶ ἀπονοίᾳ δουλεύοντες, τηνικαῦτα τὸ κελευσθὲν ὡς ἕρμαιόν τι λαβόντες οὐχ ὥσπερ ἐκεῖνος ἐβούλετο ἐξεπλήρουν, ἀλλὰ ὡς αὐτοῖς ἐδόκει καλόν. ὁ μὲν γὰρ ἐγκλῖναι τούτοις εἰς τοσοῦτον ἐπέτρεπεν ὅσον τὴν τοῦ βασιλέως παράταξιν διαλῦσαι καὶ αὖθις ὑποστρέψαι στερρῶς φονεύοντας· οἳ δὲ κόσμῳ P 43 καὶ τακτικῇ ἐμπειρίᾳ τὴν τοῦ βασιλέως στρατιὰν κατόπιν θέουσαν,

cendebat. haud tamen velut prius se civitati in conspectum dabat. Michael vero ubi rem intellexit, idoneo conscripto exercitu Olbianum quoque et Catacylam cum suis legionibus, viros strenuissimos ac integrae fidei, habens adversus illum educit. offendit autem non pavidum aut rei exspectatione suspensum, sed fortiter sustinere paratum; quamobrem collatis signis decernendum statuit. tyrannus cum stratagemate imperatorem vellet decipere, eodem ipse decipitur et ab scopo prorsus aberrat. iubet nimirum suos primo congressu terga imperatori dare, parum intelligens qua illi in eum mente affecti essent, viri scilicet eius iampridem causa liberis et uxoribus privati, ut fraterno cruore dextras polluerent; qui initio quidem, cum brevem expeditionem fore nec se tamdiu sub dio moraturos esse sperassent, ad omnia se obsequentes praebuerant. ubi autem iam tempus trahebatur, quippe cum annus iam tertius fluxisset, exque quotidiana experientia ea se tentare senserant quae nullo absolvi exitu possent, dum unius viri libidini ac dementiae servirent, tandem id quod ipsis imperatum erat, insperati lucri loco accipientes, non ex illius mente sed ex suis ipsorum rationibus implendum sibi putavere. nempe iussi erant ut tantisper cederent, dum regia acies insequendo ordines solveret, ac tum demum conversi hostes fortiter caederent. verum illi dum composite exque bellica arte, non temere solutis ordinibus, ut ipse putaverat, a tergo irruentem imperato-

καὶ οὐχ ὡς ᾠήθη εὐδιαλύτως, εἰδότες ἀσχηματίστῳ χρῶνται φυγῇ, καὶ ἄλλος ἄλλῃ διεσκέδαστό τε καὶ διεφέρετο. ἀλλ' οἱ μὲν ἄλλοι, νῦν μὲν ὀλίγοι καὶ αὖθις ἕτεροι, τῷ βασιλεῖ προσχωροῦσι καὶ καθομολογοῦσιν αὐτῷ· αὐτὸς δὲ σὺν ὀλίγοις τισὶ πρὸς τὴν Ἀδριανούπολιν σώζεται κἀκεῖσε τῆς φυγῆς ἵσταται. ὁ δέ γε τούτου νόθος τε καὶ παρέγγραπτος υἱὸς Ἀναστάσιος τοῦ τῆς Βύζης φεύγων ἐπιλαμβάνεται πτολίσματος. καὶ οὐ κατὰ τύχην, οἶμαι, κατὰ δὲ πρόνοιάν τινα, ἵν' ἕκαστος τούτων πρὸς ἑαυτὸν ἑλκύων τὴν B τοῦ βασιλέως προσεδρίαν τῷ ἑτέρῳ διδοῖ ἄνεσίν τε καὶ καιρὸν εἰς τὴν προνομήν.

19. Ἀλλ' ὅ γε βασιλεὺς ἐκ ποδὸς τούτοις ἑπόμενος πρῶτον ἔγνω τὸν Θωμᾶν πολιορκεῖν καὶ τὴν προγεγενημένην εἰς αὐτὸν ἀποδοῦναι τούτῳ ποινήν. ὅθεν ἐπάγει αὐτῷ πολιορκίαν, οὐ διὰ μηχανημάτων ἢ ἄλλων τινῶν σπουδάζων αὐτὸν καθελεῖν, ἅμα μὲν τὸν ἐμφύλιον ἀποδιδράσκων πόλεμον, ἅμα δὲ τῷ τοὺς τὴν Σκυθίαν οἰκοῦντας τῶν τοιούτων ἀμαθήτους κατασκευῶν βούλεσθαι διαμένειν, ἀλλὰ λιμῷ καὶ ἀνάγκῃ τῶν ἐπιτηδείων, οἷς ἐν C σπάνει καὶ ἐνδείᾳ ἀλλ' οὐκ ἀποθησαυρίζουσα ἡ πόλις ἐδείκνυτο. ἔγνωστο γοῦν ταῦτα αὐτῷ, καὶ ἀρχὴν ἡ πρᾶξις ἐλάμβανεν. ὁ δέ γε πολιορκούμενος παντὸς μὲν ζῴου πρῶτον ἰδέαν ἄχρηστον, ἔπειτα δὲ καὶ πᾶσαν ἡλικίαν τῆς πόλεως ἐξωθεῖ, οὐ παρακλητικοῖς, ὡς ἂν εἴποι τις, λόγοις τὰ πολλὰ τῶν πράξεων διοικῶν, τυράννῳ δὲ

1 ἐνδιαλύτως P. mox malim ἰδόντες. 15 τῷ om P

riam aciem vident, veram re ipsa nihilque simulantes capessunt fugam; aliique alio dissipati ac dilabentes, modo pauci modo plures ad imperatorem confugiunt seque illi sacramento adstringunt. tyrannus cum paucis quibusdam Adrianopolim evadit incolumis, ibique fugam sistit: eius vero nothus ac facticius filius Anastasius ex fuga Byzae castrum occupat. neque id casu, sed certa dei providentia factum existimem, ut dum quisque illorum imperatorem ad obsidendum trahit, alteri indutias tempusque pabulandi praeberet.

19. Porro imperator e vestigio illos insecutus primum Thomam obsidendum ac vicariam ei poenam reddendam constituit. obsidet autem non machinas, non tormenta adhibens, tum quod belli civilis damna vitare cuperet, tum quod vicinos illi civitati Scythas ea instrumenta docere nolebat, quibus urbes expugnari solent: sed fame rerumque ad victum necessariarum penuria, raro in civitate commeatu nec copiosa annona in ea reposita. sic itaque illi constitutum, inque eum modum ductum rei exordium. obsessus Thomas in primis genus omne animalium ad bellum inutile, omnesque adeo quibus per aetatem non liceret arma ferre, urbe eiicit, pleraque gerens, ut quis dicat, non lenibus verbis et ad obsecrandum compositis, sed tyrannico animo ac rigido; quod et

γνώμῃ καὶ αὐθεκάστῳ· ὃ καὶ τὸ κατ' αὐτοῦ ἀνεθυμίασέ τε μῖσος
καὶ ἀνενέωσεν. ἔπειτα ὡς ἤδη ἤκμαζεν ὁ λιμός, σωτηρίας ἐλπὶς
οὐδαμοῦ, ἠνάγκαζε δὲ καὶ τοὺς ἑαυτῆς φόρους ἀνελλιπεῖς ἀπῄτει
δὴ ἡ γαστήρ, οἱ μὲν λάθρα διά τινων πυλίδων οἱ δὲ διὰ τειχῶν
καθιμώμενοι, οἱ μὲν φέροντες τῷ βασιλεῖ ἑαυτοὺς ἐπεδίδουν, οἱ D
δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ Βύζης πτολίεθρον ἀπεδίδρασκον. ἐπεὶ
οὖν οὐ τὰ ἀναγκαῖα μόνον ἀλλὰ καὶ τὰ ἀπευκτὰ καὶ λυπρὰ τού-
τοις κατεδήδοτο, ἄχρι δὲ τῶν σεσημμένων σκυτῶν τε καὶ καττυ-
μάτων τὰ τῆς τροφῆς ἐχώρει, εἰς λόγους τινὲς τῶν ἐν τῇ πόλει
ἐλθόντες τῷ βασιλεῖ, καὶ τῶν ἡμαρτημένων ἀμνηστίαν αἰτήσαντές
τε καὶ λαβόντες, περισχόντες αὐτὸν λαμβάνουσί τε διὰ χειρῶν καὶ
προσάγουσι τῷ ἐχθρῷ. ὁ δὲ τὸ δόξαν πάλαι τοῖς βασιλεῦσι καὶ
εἰς συνήθειαν ἤδη ἐλθὸν πρῶτον τελέσας καὶ ὑποκάτω θεὶς τῶν
ποδῶν, ἀκρωτηριάζει τοῦτον καὶ πόδας καὶ χεῖρας ἀπαράσσει αὐ- P 44
τοῦ, ἐπὶ ὄνου τε θεατρίζει πᾶσι, τοῦτο μόνον ἐπιτραγῳδοῦντα
"ἐλέησόν με ὁ ἀληθῶς βασιλεῦ." ἐρομένου δὲ τοῦ βασιλέως εἴ
τινες τῶν αὐτῷ συνόντων φίλων καὶ ἕτεροι εἶεν τὰ αὐτοῦ φρονοῦν-
τες, τάχα ἂν πολλῶν κατεῖπεν, εἰ μή τις ἀνὴρ Ἰωάννης ὁ κατὰ
τὸν Ἑξαβούλιον οὐ δέον ἔφη εἶναι, ἀλλὰ καὶ ἄτοπον, ἐχθροῖς
κατὰ φίλων πιστεύειν, ὦ βασιλεῦ. καὶ οὗτος μὲν τούτῳ διέλυσε
τῷ λόγῳ τὰς μείζονας τῶν ταλαιπώρων δὴ πολιτῶν καὶ φίλων αὐ-
τοῦ τιμωρίας· οὕτω δὲ καὶ ὁ ἀποστάτης κατέλυσε τὸν βίον, ταῖς

2 σωτηρίας δ' ἦν ἐλπίς? 16 ἀληθῶς βασιλεύς?

oppidanorum in eum conflavit auxitque odium. deinde ingravescente iam fame, ac salute desperata, cum venter nihilominus cogeret suaque tributa durus exactor deposceret, qui intra urbis septa tenebantur, alii caecis quibusdam portis furtim dilapsi, alii loris per muros submissi, pars sese imperatori dedunt, pars Byzam ad Anastasium eius filium profugiunt. tandem cum obsessi non modo necessaria sed et abominanda et sordida consumpsissent, ac usque ad putrefactorum coriorum veterumque solearum esum necessitas pepulisset, oppidanorum quidam cum Michaele collocuti delictique veniam precati, ac ea impetrata, comprehensum Thomam vinctumque manibus in hostis potestatem tradunt. quodque pridem regum moribus sederat iamque usu inoleverat, Michael primum observans, eiusque calcibus calcata cervice pedes manusque truncat, asinoque impositum ignominiae causa per omnes ordines circumduci iubet, id unum lugubri proferentem voce: "qui vere rex es, miserere mei." percontante autem ex eo Michaele "num qui eorum quos amicorum loco circa se habebat, aliique coniurati eius socii essent," plures forsitan delaturus erat, nisi Ioannes quidam Hexabulius imperatorem monuisset "haud decere, quin et plane absurdum esse, inimicis amicos accusantibus fidem habere." quo is sermone maiores miserorum civium suorumque amicorum poenas dissolvit. sic vero etiam desertor

κατὰ μικρὸν ποιναῖς τὴν ψυχὴν ἀπορρήξας ὥσπερ τι ζῷον δυσθα- **B** νατοῦν, μηνὸς μεσοῦντος Ὀκτωβρίου, κατὰ μὲν τὰς ἀρχὰς γεγονέναι δοκῶν μεγαλεπήβολος καὶ τολμηρὸς καὶ τοῦ προτεθέντος ἐξεργαστικός, προβαίνων δὲ φανεὶς πολὺ καταδεέστερος αὐτοῦ καὶ τῆς τῶν ἐκτὸς προσδοκίας. πότερον δὲ καὶ τοῦτ᾽ ἐγένετο παρὰ τὴν αὐτοῦ ἐκείνου διαφορὰν καὶ μεταβολὴν ἐπὶ τὸ χεῖρον ἢ παρὰ τὴν τῶν πολεμούντων πρὸς αὐτὸν παραλλαγήν, οὐ πολὺν ἔχει λόγον. ἕως μὲν γὰρ ἦν αὐτὸς ἑαυτοῦ πόλεμος ἔνδοθεν, ὃν φθάσας ἀνερρίπισεν αὐθάδει γνώμῃ καὶ τολμηρᾷ, καὶ ἀμφίβολος πρὸς τὴν τῶν πραγμάτων κραταίωσιν ἦν, ἔρρωντο τῶν λόγων αἱ πράξεις **C** οὐκ ἔλαττον, καὶ κατὰ νοῦν ἐχώρει τὰ πράγματα· ἐπεὶ δὲ τὴν Ἀσίαν μικροῦ πᾶσαν ὑπέταξε, διεπεραιώθη δὲ καὶ πρὸς τὴν Εὐρώπην σὺν οὐκ ἀγεννεῖ τῷ φρονήματι μηδένα ἐμποδὼν εὑρηκώς, ἀνὴρ ἅτε δὴ οὐκ ἐκ λόγων καὶ παιδείας ὁρμώμενος, βαναύσου δέ τινος καὶ ἀγυρτικῆς ὁμιλίας, ἐξῆπτο ἤδη καὶ ἐπεφύσητο καὶ τῶν ἑαυτοῦ ἐξέπλει φρενῶν, πρὸς ἔρωτάς τινας καὶ γάμους οὐ σωφρονικοὺς διὰ τῆς καθ᾽ ἡμέραν μέθης καὶ βακχείας ἀγόμενος καὶ αὐξανόμενος. ἀλλ᾽ ὑπὲρ μὲν τῆς τῶν πραγμάτων τούτων συντελείας δίδομεν καὶ ἄλλοις ἄλλως ἐννοεῖν, ὅτε μὴ τοῖς ἡμετέροις **D** βούλωνται ἐξακολουθεῖν. πλὴν περὶ μὲν τούτων αὐτάρκως. καὶ οἱ ἐκ Βύζης δὲ ἐφ᾽ ἑτέρας ταχέως ἐγένοντο γνώμης, ὑφορώμενοι τὸν προεστῶτα κίνδυνον· ἅμα γὰρ τῷ πυθέσθαι τὰ κατὰ τὸν Θωμᾶν ἀτυχήματα, ἐφ᾽ ὁμοίαις πράξεσι τὰ ὅμοια πεποιηκότες

vitae finem accepit, lentis confectus suppliciis rituque bestiae mori difficilis animam abrumpens, circa medium mensis Octobris, homo initio quidem ad res maximas suscipiendas visus idoneus animosusque, et propositi strenuus exsecutor: progressu vero longe se ipse deterior apparuit, nec pro ea opinione quam de se concitaverat nactusque in aliorum animis erat. utrum autem sic illi evenerit, quod ipse alius a se evasisset moresque in deterius mutavisset, an quod hostium diversa subinde ratio molesque exstiterit, non multum refert. quandiu quidem illi bellum quasi intus ac domesticum fuit, quod prior ipse animi audacia ac temeritate sibi conflaverat, rerumque illius status atque firmitas vacillabat, erant eius facta nihil minus fortia quam verba, resque ei ex animo cedebant. ubi autem Asiam fere universam subiecisset inque Europam non imbelli animo nemine obsistente traiecisset, vir nullis literis, nullis humanioribus excultus studiis, sed illiberalibus atque sordidis educatus, animis iam exarsit superbiaque inflatus est; ac a sano sensu suo in amores quosdam et impudicas nuptias iugi temulentia ac bacchatione actus descivit. ad harum tamen rerum eventum quod attinet, aliis quoque pro arbitratu suo iudicandi facimus facultatem, si cui nostra non arrideant. verum haec hactenus. sed et Byzienses, prostantis periculi metu, cito sententiam mutarunt. mox enim infortuniorum Thomae accepto nuntio, in similibus simile ineuntes consilium, vinctum manus ac

τὸν Ἀναστάσιον ἤγαγον δεδεμένον χεῖρας καὶ πόδας. ταὐτὰ δὲ καὶ οὗτος [δέ τε] πεπονθέναι βιαζόμενος τῷ πατρὶ τὸν βίον μετήλλαξεν.

20. Οὐ μὴν ἐπαύοντο τούτων οὕτω καθυπαντησάντων κατὰ Θρᾴκην πόλεις παράλιοι, τό τε Πάνιον καὶ Ἡράκλεια, τὰ τοῦ τυράννου φρονῆσαι· τοσοῦτον ἄρα μῖσος κατὰ τοῦ Μιχαὴλ πᾶσιν ἐνέφυ καὶ ἐξ ἄλλων μὲν ἴσως, πολλῷ δὲ πλέον ἐκ τοῦ μὴ βούλεσθαι τὸν κατὰ τῶν θείων εἰκόνων ἀναρριπισθέντα καταλῦ- P 45 σαι. πλὴν ταύταις πλησιάσας, τοῦ μὲν σεισμοῦ ἐπιγινομένου καὶ τοῦ τείχους τοῦ Πανίου καταβληθέντος ἡ εἰς αὐτὸ πάροδος ἀκμητὶ γέγονε τῷ Μιχαήλ· ἡ δ' Ἡράκλεια καὶ ὡς ἀντέχουσα, ὅμως τῶν ἐκ τῆς θαλάττης μερῶν κατακυριευθεῖσα, ἁλίσκεται καὶ αὕτη ἀναιμωτί, καὶ τοῦ φρονεῖν τὰ τοῦ τυράννου ἀπαλλάττεται, πίστεις δεδωκυῖα τῷ βασιλεῖ.

Καὶ τὰ μὲν κατὰ Θωμᾶν συμβεβηκότα τοιοῦτον ἔσχε τέλος ἐκ τῆς εἰρημένης ἀρχῆς, καὶ οὕτω τροπαιοφόρος ὁ βασιλεὺς ἐκ τῶν κατ' ἤπειρον ἔρχεται πόλεων, οὐδὲν ἕτερον ἀπὸ στασιωτῶν ἐννοή- B σας ἢ ἐπὶ τῆς ἁμιλλητηρίου θέας ἐπὶ τούτῳ γεγενημένης ὀπίσω τὼ χεῖρε δεδεμένους ποιῆσαι διελθεῖν καὶ ὑπερορίους τοὺς αἰτιωτάτους γενέσθαι.

Αὐτίκα γοῦν καὶ πρὸς Χοιρέαν, ἔτι γε μὴν καὶ πρὸς Γαζαρηνὸν τὸν Κολωνιάτην, ἀνθρώπους μὲν ὄντας καὶ πιστὰ φυλάττοντας τῷ Θωμᾷ, κατέχοντας δὲ τὸν μὲν τὴν Καβάλαν τοῦ

1 ταῦτα P 8 deest διωγμὸν vel πόλεμον. Combef. 9 τῇ μὲν σεισμοῦ ἐπιγενομένου?

pedes Anastasium adduxerunt. qui iisdem ac pater excarnificatus suppliciis vivendi finem fecit.

20. Quanquam vero haec ita evenerant sublatusque tyrannus erat, maritimae tamen urbes Thraciae Panium et Heraclea eius tuebantur partes ac Michaeli resistebant: tantum nimirum omnium animis illius insederat odium, tum forte aliis ex causis, tum praecipue quod suscitatam adversus sacras imagines persecutionem sopire nolebat. ubi tamen ad illas accessit, disiectis terrae motu Panii muris, nullo negotio in ipsum Michaeli ingressus patuit. Heraclea vero quanquam resistebat, a maritimis ipsa partibus expugnata, nulla civium strage capitur, dataque imperatori fide studere tyranno desinit.

Hic rerum Thomae finis ex tali principio fuit; sicque Michael triumphans ex continentis urbibus rediit. in socios autem defectionis Thomae nihil acerbius statuit quam quod Circensium spectaculo in eam rem constituto manibus a tergo revinctis eos circumduci, ac qui maximorum rei scelerum essent, exilio solum vertere iussit.

Mox quoque ad Choeream, nec non ad Gazarenum Coloniatem, Thomae quondam domesticos eique constanter servantes fidem (tenebat

Χοιρέα, τοῦ Γαζαρηνοῦ δὲ τὴν Σανιάναν, καὶ πολλὰς ἐκεῖθεν ποιούντων καταδρομάς, καὶ ληστρικῶς ζῶντάς τε καὶ τυραννικῶς,
C *χρυσοβούλλιον ἐκπέμπει ὁ Μιχαήλ, τιμὰς μεγάλας τὰς τῶν μαγίστρων καθυπισχνούμενος καὶ ἀμνηστίαν κακῶν, καὶ δῆλον τὸν τοῦ Θωμᾶ θάνατον τούτοις ποιῶν. ἀλλ' ἐκείνους μὲν οὐκ ἔπεισεν ὁ ἀποσταλείς, ἀλαζόνας ὄντας τε καὶ ἀτίθασσον κεκτημένους ψυχήν· ἑτέρους δέ τινας τῶν ὑποβεβηκότων κλέψας καὶ πρὸς τὴν τοῦ βασιλέως πίστιν μεταθεὶς ἔπεισεν ἐξελθόντας πρὸς τὰς συνήθεις ληστείας ἀποκλεῖσαι τούτοις τὰς τῶν τειχῶν πύλας καὶ λόγου καταλελοιπέναι χωρίς. ὅπερ καὶ γέγονεν. ἐκεῖνοι μὲν οὖν ὡς εὗρον κεκλεισμένας τὰς πύλας, τὴν ἐπὶ Συρίαν ἔσπευσαν διανύσαι ὁδόν, τῷ φόβῳ βαλλόμενοι. ζῶντες δὲ ὅμως ἁλόντες τῷ ξύλῳ ἐξήρ-*
D *τηνται καὶ τοῦ βίου ἔξωθεν γίνονται. ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν, ὅπως ὁ Γαζαρηνὸς προδέδοτο καὶ τῶν τειχῶν ἀπεκέκλειστο. ἄνδρα τινὰ ἄγροικον ὁ ἀποσταλεὶς δεξιωσάμενος φωνῆς ἐπιμελούμενον καὶ ταῖς ᾠδαῖς τερπόμενον ἐμμελῶς ταῖς ἀνειμέναις ταύταις καὶ ἀγροικικαῖς, μέλος τι ἔπλεξεν πρὸς τὸν ἐκείνου οἰκονόμον ἔχον τὴν ἀναφοράν. ἦν δὲ αὐταῖς λέξεσιν οὕτω. "ἄκουσον, κῦρι οἰκονόμε, τί λέγει Γυβέριν. ἐάν μοι δῷς τὴν Σανιάναν, μη-*
P 46 *τροπολίτην σε ποιήσω καὶ Νεοκαισάρειάν σοι δώσω." τοῦτο πολλάκις ᾀδόμενον ἐν αἰσθήσει τοῦτον γενέσθαι τὸν οἰκονόμον πεποίηκεν. ὅθεν ὡς ἔγνω τὸν νοῦν τε καὶ τὴν τῶν πραγμάτων ἀνα-*

8 *ἐξελθόντων?*

alter, nempe Choereas, praesidio Cabalam, alter, nempe Gazarenus, occupabat Sanianam; ex quibus praesidiis crebras illi excursiones habebant, latronumque more ac tyrannice vivebant) auream bullam, imperatorium scilicet diploma, mittit Michael, magistrorum honore praecipuo se illos evecturum pollicitus ac impunitatem daturum, Thomam iam exstinctum significans. verum nuntius ab imperatore missus homines arrogantes ac praefracto animo ad officium revocare non potuit: corruptis tamen quibusdam praesidiariorum sub illis merentibus inque imperatoris fidem traductis, suadet ut ad solitas populationes praedasque agendas egressis murorum portas claudant ac nec responso dignatos relinquant. sicque adeo contigit. illi clausas portas nacti indeque perterriti in Syriam fuga contendunt. vivi tamen capti eque ligno suspensi vita extruduntur. neque vero omittendum reor, quo se modo habuerit Gazareni proditio, et ut sit muris exclusus. Michaelis legatus rusticum quendam vocis modulantiam affectantem solutisque ac rusticano more compositis canticis sese oblectantem cum humaniter excepisset, carmen quoddam contexuit, quo Gazareni oeconomum alloqueretur, cuius hic ad verbum tenor. "audi, domne oeconome, quid dicat Gyberi. si Sanianam dederis, faciam te metropolitam et Neocaesaream tibi concredam." dum haec saepius cantillat, oeconomo mentem aperit, ut rem intelligat. cum igitur sensum perspexisset ac quid verba illa designarent animadvertis-

φοράν, ἐξελθόντος ποτὲ τοῦ Γαζαρηνοῦ ἔκλεισεν κατ' αὐτοῦ τὰς πύλας καὶ τοῦτον ἔξωθεν ἐγκατέλιπεν. καὶ ταῦτα μὲν περὶ τῶν ὑπερνεφῶν τούτων πολιχνίων, καὶ οὕτω τούτων ἡ πάλιν ὑπὸ τοῦ Μιχαὴλ κατάληψις.

20. Οὐκ ἔμελλε δὲ ἄχρι τούτων ἡ φορὰ στήσεσθαι τῶν κακῶν, ἀλλὰ τῶν δύο ἠπείρων, Ἀσίας φαμὲν καὶ Εὐρώπης, ἐν θυμῷ κυρίου οἱόν τινος κεφαλῆς καὶ οὐρᾶς, εἰ καὶ μὴ συνίεσαν, παιδευθέντων φόνοις, ἐμπρησμοῖς, σεισμοῖς, ἁρπαγαῖς, ἐμφυ- B λίοις καταδρομαῖς, πόλεων ἀνελπίστοις μεταβολαῖς, σημείοις ἐξ οὐρανοῦ, σημείοις ἐξ ἀέρος, τέλος καὶ ταῖς ταλαιπώροις νήσοις οἱόν τινα μέσην, ἵν' ὁλόσωμος εἴη ἡ πληγή, ἐπέδραμε τὰ δεινά. ἀλλ' οὐκ ἦν παιδεῦσαι τοὺς τὴν θεάνθρωπον ἐξηρνημένους μορφὴν προσκυνεῖν. (21) ὅθεν ἄρτι δὴ τοῦ κατὰ τὸν Θωμᾶν ἄρξαντος νεωτερισμοῦ, ἐπεὶ ταῦτα ἠκούετο πανταχοῦ, οἱ τὸν ἑσπέριον κόλπον τῆς Ἰβηρίας τῷ Ὠκεανῷ γειτονοῦντες Ἀγαρηνοὶ κατοικοῦντες (Ἱσπάνους τούτους ὁ πολὺς ῥεύσας χρόνος μετωνόμα- C σεν), εἰς πλῆθος σωμάτων καὶ εὐθηνίαν τοῦ γένους ἐξηλακότες, τὴν κατ' αὐτοὺς ἑσπέριον πλευρὰν λυπρὰν οὖσαν καὶ μετρίως εὐδαίμονα ὁρῶντες, καὶ λειπομένην μὲν τῆς πρὸς γῆν ἀρετῆς καὶ ἀφθονίας κατὰ πολύ, ἐνδέουσαν δὲ καὶ πρὸς αὐτὸ τοῦτο ἑῷον τῆς Ἰβηρίας καὶ νότιον (οὐ γὰρ ἅπασα πρὸς πᾶσαν γῆς ἀρετὴν ἐπιτηδεία καὶ εὔφορος, ἀλλὰ τὸ τῆς ἑσπερίου πλευρᾶς, ὡς εἴρηται,

14 ἤκουστο margo Combef. 20 τοῦτο] τὸ?

set, egresso quandoque Gazareno portas claudit et foris hominem relinquit. hactenus quod attinet ad duo illa oppida ipsis propemodum nubibus minitantia, et ut illa rursus a Michaele in fidem recepta sint.

20. Neque vero malorum vis atque impetus hoc cardine erat sistendus: sed cum duae continentes, Asia scilicet et Europa, veluti caput et cauda divini numinis indignatione (quanquam ipsi non intellexerant) caedibus, incendiis, terrae motibus, rapinis, civilium motuum iniuria, excursionibus ac vastitate, insperatis urbium mutationibus, signis e caelo, signis ex aere castigatae fuissent, postremo miseras quoque insulas, velut instrumenti musici mesen quandam, ut totius corporis plaga communis esset, mala invaserunt. verum corrigi non poterant qui dei hominis effigiem colendam negavissent. (21) quo igitur tempore Thomas res novas moliri coeperat, rei fama in omnes late partes perlata Agareni occidui Iberiae sinus incolae, Oceano finitimi, quos iam pridem mutata nominis appellatione Hispanos vocant, copiosa aucti hominum multitudine, suumque illud Hesperium latus gracile parumque fertile ac opulentum sentientes, cui denique plurimum de soli ubertate ac bonitate desset; quin et eodem vitio laborare orientalem quoque Iberiae ac meridionalem plagam: non enim tota bonis terrae dotibus pollet aut satis ferax est: occidua tamen plaga, uti diximus, reliqua squallidior est mi-

αὐχμηρόν τε καὶ λυπρότερον τῆς λοιπῆς) καὶ διὰ τοῦτο οὔτε τρέφειν δυναμένης αὐτοὺς καὶ διοικεῖν ἄνδρας σώμασιν εὐμεγέθεσι
D χρωμένους καὶ ἀγαθῶν εὐφορίᾳ ἀλλ' οὐκ ἐνδείᾳ αὐξανομένους, οὗτοι γοῦν προσελθόντες Ἀπόχαψ τῷ ἑαυτῶν ἀμερμουμνῇ ἀποικίαν τινὰ καὶ γῆς μετανάστασιν ἤτουν αὐτοῖς γενέσθαι, πλήθει τε στενοχωρουμένοις καὶ ἀναγκαίων σπάνει πιεζομένοις. ὁ δὲ πλοῖά τινα ἐπισκευάσας μακρά, καὶ δύναμιν οὐκ ὀλίγην ἐξ αὐτῶν τούτων ἐμβιβάσας, ἐπὶ λῃστείαν τέως, λανθάνουσαν ἔχων τὴν ἔννοιαν, τῶν πρὸς τῇ ἕῳ κειμένων νήσων καὶ ἡμετέρων τυγχανόντων ἐτράπετο, ὁμοῦ μὲν τὸ αὐτοῖς ἐπιθυμούμενον ἐκπληρῶν καὶ ἐκ τῶν ἀλλοτρίων τούτους προσκορεννύς, ὁμοῦ δὲ κατασκεψόμενος εἴ τις ἔστιν οὕτως εὔφορος τῶν νήσων καὶ λιπαρὰ εἰς μετοικίαν
P 47 αὐτῶν. ἐπεὶ γοῦν πολλαῖς τῶν νήσων πλησιάζων τὸν ἀντιπαρατταττόμενον μικρῷ ἢ μεγάλῳ πλοίῳ οὐχ εὕρισκεν (ἐχηροῦντο γὰρ πᾶσαι τῆς αὐτῶν βοηθείας, ἄρτι κατὰ τῆς Κωνσταντινουπόλεως ἐκβοηθουσῶν καὶ πλεουσῶν μετὰ τοῦ Θωμᾶ), μεγάλας δὲ ὠφελείας ἐκ πασῶν, αἷς καὶ προσώρμιζεν, ἐκαρποῦτό τε καὶ ἐλάμβανεν, ἧκε καὶ πρὸς τοὺς Κρηταιεῖς, καὶ τούτους καταδραμὼν καὶ λείαν ποιήσας καὶ ἀνδραποδισάμενος, ὡς ἐνῆν, καὶ πάντοθεν καταμαθὼν τὴν τῆς γῆς ἀρετήν, καὶ πῶς εἴη πρὸς πᾶσαν χάριν καὶ ἀγαθῶν εὔφορος ἀφθονίαν, "τοῦτο" ἔφη "γῆ οὐκ ἄλλη ἢ ἡ ῥέουσα μέλι καὶ γάλα." καὶ τότε μὲν παντοίων γενόμενος ἀγαθῶν

3 αὐξαμένους P 11 κατασκεψάμενος P 22 τὸν στόλον ἐμπεπληκὼς ἀγαθῶν Cedrenus.

nusque ferax ac gracilior, ideoque ipsis alendis ac procurandis non sufficiens, iusta corporis mole praeditis, ac quos necesse sit commeatus abundantia adolescere, non eius penuria. hi igitur ad Apochapsum gentis amerumnam accedentes rogabant "ut coloniam ipsis ducere liceret atque alio commigrare, qui ob multitudinem anguste habitarent, ac quos necessariarum rerum inopia premeret." princeps statim magnis instructis navibus iustisque eis copiis impositis, celato adhuc consilio, ad Orientis insulas, quae nostrae dicionis erant, interim praedatum educit, tum subditis rem gratam praestiturus, quorum cupiditatem alienis opibus satiaret, tum adeo exploraturus num quae fertili solo ac opimo insula occurreret, in quam commode suorum coloniam duceret. postquam igitur ad multas insulas appulsus neminem sibi resistentem maioresve aut minores naves opponentem invenit (omnes enim omni orbatae praesidio erant, eo quod omnis classis earum praesidio constituta suppetias Thomae adversus Cpolim adnavigarat), ingentique praeda ex omnibus, ad quas appulsus fuerat, insulis potitus, in Cretam quoque venit, quam depraedatus ac populatus quantum ei licebat, cum omni ex parte soli bonitatem deprehendisset, et quantopere ad omnem venustatem frugumque ubertatem fertilis esset, "en" ait, "non est haec alia quam terra fluens lacte et melle." ac tum quidem navibus omnis generis praeda oneratis

ἀπήει τὴν οἴκαδε, καὶ πάσῃ χειρὶ καὶ δυνάμει ναυτικὸν ἐξήρτυεν· B
ὡς δ' ὁ χειμὼν ἐτετελείωτο καὶ τὸ ἔαρ ὑπέλαμπεν, τεσσαράκοντα πληρώσας ναῦς ἀνδρῶν μαχίμων καὶ ἐπιτήδειον ἄνεμον ἐπιτηρήσας τὴν ἐπὶ Κρήτην ἐστέλλετο εὐθυπορῶν, τὰς ἄλλας τῶν νήσων θέμενος εἰς οὐδέν. ἄρτι γοῦν ἐπλησίαζε, καὶ τῷ ἀκρωτηρίῳ τῷ Χάρακι καλουμένῳ κατήγετό τε καὶ προσωρμίζετο. ὡς δ' οὐδὲν οὔτε κατὰ τὴν καταγωγὴν οὔτε κατὰ τὴν ἀπόβασιν ἐφάνη τούτοις τῶν ἀπευκτῶν, ἀλλὰ καὶ πρὸς λείας χωροῦσι καὶ πρὸς ἁρπαγὰς εὐχερῶς τὰ τῆς ἐπιβολῆς τε καὶ ἐπιχειρήσεως ἐπεραίνετο, τοὺς μὲν ἐπιτηδείους εἰς τὰς συνήθεις προνομὰς ἀπέστελλε δουλαγωγήσοντας τοὺς ἐχθρούς, αὐτὸς δὲ τοὺς λοιποὺς ἔχων, ἄρτι δὴ τοῦ πνεύματος ἐπακμάζοντος κἀκείνων ἅμα πορρωτέρω σταδίων δέκα ἢ δεκαπέντε γενομένων, πῦρ ἐμβαλὼν ταῖς ναυσὶν ἁπάσας κατέ- C
φλεξε, φεισάμενος τὸ παράπαν οὐδεμιᾶς. τέως μὲν οὖν τῷ παραδόξῳ τοῦ πράγματος καταπλαγέντες ἅπας δὴ ὁ στρατὸς (καὶ γὰρ ἐπαλινόστουν εὐθέως) ἐκδειματούμενοι τὴν αἰτίαν ἐπυνθάνοντο καὶ εἰς λόγους ἦλθον νεωτερικούς. ἐπεὶ δὲ κατήκουσαν ἃ πάλαι ὠδίνοντο, ὡς αὐτοί τε τούτων ὑμεῖς ἀποικίαν ζητοῦντες καὶ γῆν ἀγαθήν, ἐμοί τε ταύτης οὐδετέρα κρείττων νενόμισται, εἰς ταύτην ἦλθον ὁδὸν ὑμῖν τε ἀγαθὰ προξενῶν καὶ ἐμὲ τῆς ἐξ ὑμῶν ἀπαλλάττων ὀχλήσεως. ὡς δὲ καὶ γυναικῶν ἐμέμνηντο καὶ παίδων οὐκ ὠλιγώρουν, "καὶ γυναῖκες" ἔφη "ὧδε ὑμέτεραι αἱ αἰχμα-

18 ὠδύνοντο P   ὑμεῖς] αἴτιοι ὑμεῖς?   19 εἰς] ὥστε εἰς?

domum rediit; reversusque validam ac ingentem classem instruit. exeunte porro hieme vereque ineunte, quadraginta navium classe bellicosis hominibus onerata, captatoque secundo vento, recta in Cretam, aliis spretis insulis, contendit. iam ergo appulsus erat, et ad promontorium quod Characem vocant exscensum fecerat. cum autem nec in appulsione nec exscensione triste aliquid accidisset, iamque libere praedas agerent ac excurrerent, facilis visa aggressio est explendique consilii ratio. viros idoneos ex more populatum mittit praedamque acturos; ipse cum reliquis, ubi isti paulo longius, ad decem circiter quindecimve stadia, processerant, vento etiam invalescente, iniecto igne omnes ad unam naves incendit. quo subito conflagrantis classis spectaculo perterritus omnis exercitus tum illico ad castra reverti coepit, tum ferocius eius tanti facinoris rationem reposcere. ad quos dux "factum est" inquit, "quod vos pridem parturiebatis. vos ipsi nobis rei auctores fuistis, qui coloniam ac terram bonam quaesieritis. ad me quod attinet, hac praestantiorem nullam existimavi. hocque adeo iter suscepi, ut et vobis bona pararem et vestrae me interpellationis molestia liberarem." cum autem etiam uxorum meminissent nec liberorum negligendam curam, respondit Apochapsus "in promptu sunt uxores, mulieres captivae, et quos

D λωτιζόμεναι, καὶ παῖδες οὐ μετὰ μικρὸν ἐξ αὐτῶν." ὅθεν τοῖς τοιούτοις κατασιγασθέντες λόγοις, καὶ ἀποδοχῆς ἄξια κρίναντες τὰ λεγόμενα, τάφρον μὲν ἤγειραν πρῶτον βαθεῖαν, καὶ χάρακα ἐν ταύτῃ καταπήξαντες, ἔνθα καὶ νῦν λαβὼν τὴν ἐπωνυμίαν ὁ τόπος σώζει τὴν προσηγορίαν, Χάνδαξ ὀνομαζόμενος, ἐκεῖσε διενυκτέρευον, φυλακάς τε τὰς προσηκούσας ποιούμενοι καὶ τὰς ὠφελείας αὐτῶν ἐκεῖσε ἀποθησαυρίζοντες. (22) χρόνος δὲ ἐρρύη πολὺς οὐδαμῶς, καὶ πάντα τὸν βασιλέα ἡ φήμη ἐδίδαξε. καὶ δὴ
P 48 τὸν πρωτοσπαθάριον Φωτεινόν, πρόπαππον μὲν Ζωῆς τῆς ἐν μακαρίᾳ τῇ λήξει θεοστέπτου Αὐγούστης τυγχάνοντα, στρατηγοῦντα δὲ τηνικαῦτα τῶν Ἀνατολικῶν, τὰ τῆς Κρήτης ἅπαντα διοικεῖν προεβάλετο· ὃς ἐκεῖσε παραγενόμενος, καὶ τῶν μὲν γενόμενος θεατὴς τῶν δὲ καὶ ἀκροατής, τρανότερον ἀνεδίδασκε τὸν Μιχαὴλ τὰ πραττόμενα, καὶ δύναμίν τινα ἠξίου ἐκπέμπειν τὴν ἐκεῖθεν ἀποσοβήσουσαν τοὺς ἐχθρούς. Δαμιανὸν γοῦν κόμητα ὄντα τοῦ βασιλικοῦ ἱπποστασίου καὶ πρωτοσπαθάριον μετὰ πολλῆς δυνά-
B μεως καὶ παρασκευῆς ὁ βασιλεύων ἀπέστειλεν εἰς βοήθειαν τοῦ στρατηγοῦ Φωτεινοῦ· οἳ καὶ ἑνωθέντες τὸν μὲν κατὰ τῶν Ἀγαρηνῶν πόλεμον ἔστησαν, εἰς οὐδὲν δὲ χρήσιμον τὸ τέλος ἐνέσκηψεν. αὐτός τε γὰρ ὁ προρρηθεὶς Δαμιανὸς κατὰ τὴν εἰσβολὴν τῆς μάχης εὐθὺς τραυματίας πεσὼν καὶ σφαγῇ παραδοθεὶς τοὺς λοιποὺς οὐ νικᾶν καὶ μένειν ἀλλὰ φεύγειν ἐποίησεν ἡττημένους· καθ᾽ ἣν τροπὴν καὶ ὁ Φωτεινὸς ἐν μονηρίῳ μόλις διασώζεται πρὸς τὴν

1 μακρὸν?

ex illis brevi suscepturi estis liberos." his itaque verbis sedati, eaque digna approbatione rati, altum primo ducunt aggerem, vallumque iacientes (unde et locus inditum cognomentum hactenus retinet, Candax appellatus) illic pernoctabant, consuetas excubias habentes omnesque suas opes et facultates ibi reponentes. (22) non longum fluxerat tempus, cum omnis eius molitionis fama ad imperatoris aures pervecta est. is itaque Photino protospathario, felicis recordationis Zoes a deo coronatae Augustae proavo, Orientalium per id tempus duci, summam rei ad Cretam spectantis commisit. quo ille profectus, ac cum alia oculis ipse lustrasset, tum aliis referentibus alia accepisset, quae gererentur imperatori clarius declaravit, viresque aliquas ad hostes inde profligandos ab urbe mitti rogavit. Damianum itaque sacri stabuli comitem ac protospatharium cum ingenti exercitu et apparatu Photino duci imperator suppetias mittit. coniunctis illi viribus adversus Agarenos bellum instruunt; nec tamen eo conatu commodum aliquid parturiunt. quem enim dicebam, Damianus primo statim congressu accepto vulnere cadens atque iugulatus reliquis non victoriae durandique fortiter certaminis, sed fugae ac cladis auctor fuit. eaque fuga Photinus conscensa celoce,

Δίαν, καὶ τῷ βασιλεῖ τῶν πραχθέντων αὐτάγγελος γίνεται. ἀλλ' οὗτος μὲν ἐπεὶ διὰ τιμῆς ἤγετο παρὰ τοῦ βασιλέως ἀεί, τὴν τῆς Σικελίας στρατηγίδα αὖθις τῆς Κρήτης ἀλλάσσεται· (23) τοῖς δ' Ἰσπανίοις ἔτι πως ἐν ταραχῇ καὶ μερίμνῃ διάγουσιν ἀνήρ τις C ἐκ τῶν ὀρέων τῆς νήσου ἐπικαταβὰς μοναστὴς ἄλλον ἔφησεν εἶναι τόπον αὐτοῖς ἐπιτηδειότερον πρός τε πολίσματος κτίσιν καὶ τῆς λοιπῆς διαρκείας καὶ ἐπικρατείας αὐτῶν. καὶ ἅμα λαβὼν τὸν Χάνδακα τούτοις ἐπέδειξεν, ἔνθα καὶ νῦν ἔκτισται ἡ πόλις αὐτῶν· καὶ ἡγεμὼν αὐτῆς ὁ Ἀπόχαψ τότε ἐγεγόνει αὐτῆς. ἐκ ταύτης οὖν οἱόν τινος ἐξ ἀκροπόλεως ὁρμώμενοι πᾶσάν τε ταύτην τὴν νῆσον κατέτρεχον καί τινας τῶν παρακειμένων οὐκ ἔλαττον, ὡς καὶ ἐν αὐταῖς ἐγκατοικῆσαι, αὐτοὺς τοὺς οἰκήτορας καὶ αὐτόχθονας δουλωσάμενοι. καὶ πόλεις δὲ Κρήτης ἐννέα πρὸς ταῖς εἴκοσιν εὔζωνοί D τε καὶ πεζοὶ ᾐχμαλώτευσαν, μιᾶς ἔκτοτε μόνης παραμεινάσης ἀναλώτου καὶ ἀπαθοῦς, καὶ λόγῳ μὲν ὑποταγείσης, τὰ ἑαυτῶν δὲ ἔθιμα καὶ τὸν χριστιανισμὸν φυλαττούσης ἀλώβητον. τότε καὶ Κύριλλος ὁ Γορτύνης πρόεδρος, ἐπεὶ μὴ τούτοις εἰς ἄρνησιν ἐχώρει Χριστοῦ, ὡς ἱερεῖον ἄμωμον ἐσφαγίαστο· οὗ καὶ τὸ αἷμα βοᾷ μένον ὡς τοῦ Ἄβελ ἢ καὶ Ζαχαρίου πρὸς τὸν θεὸν ἀναλλοίωτον· καὶ μύρον μὲν ἐκεῖθεν ἔστιν ἀρύσασθαι τοῖς πιστοῖς σπόγγοις τισὶν ἐναποματτόμενον, τὴν δὲ βαφὴν τοῦ αἵματος ἀλλοιῶσαι οὐ πρόσεστιν. προσέτι μὴν αὐτόθι σοροὶ καὶ τάφοι ἀνεγήγερται ἄλλων τε πολλῶν τῶν ὑπὲρ Χριστοῦ τότε μαρτυρησάντων καὶ τῶν

ad Diam vix sospes evadens, ipse imperatori cladis acceptae nuntius exstitit. imperator, quod virum magnifice coleret, pro Creta Siciliae cum imperio illum praeesse iussit. (23) porro Hispanos adhuc inter curas fluctuantes monachus quidam ex insulae montibus degressus commodiorem alium locum esse monet, ubi urbem condant uberioreque fruantur annona ac tuti consistant. tunc simul eos assumens Candacem ostendit, ubi etiamnum illorum urbs condita exstat; eiusque tunc praeses Apochapsus fuit. inde ergo velut ex quadam arce profecti, cum insulam totam tum vicinas quasdam alias regiones excursionibus vastabant, ut et illic sedes ponerent veteresque inquilinos ac cives servituti addicerent. ipsius Cretae urbes novem supra viginti expediti ipsi atque pedites cepere. ex eo tempore una duntaxat immunis ab expugnatione illaesaque mansit, verbo quidem subiecta, quae tamen ritus suos ac Christianam religionem servaret. tunc sane et Cyrillus Gortynae episcopus, eo quod ut Christum negaret induci non potuerat, quasi victima innocens iugulatus est; cuius et sanguis, velut Abelis seu etiam Zachariae, ad deum clamat, nihil mutatus perseverans. ex eius sepulchro cum fideles spongiis quibusdam expressum oleum libere hauriant, tingentem tamen colore sanguinem mutare non valent. exstant vero ibi etiam alii loculi, ac cum aliorum plurium, qui tum pro Christo marty-

P 49 δέκα περιωνύμων μαρτύρων. τοιούτῳ γοῦν τρόπῳ καὶ κατὰ τοῦτον ἀνηρπάσθησαν τὸν καιρὸν ἐκ μέσου τῶν Χριστιανῶν οἱ Κρηταιεῖς.

24. Ἐπεὶ δὲ ὀψὲ καὶ μόλις τοὺς περικυκλοῦντας τοῦτον ἐχθροὺς καὶ περικτυποῦντας ὁ Μιχαὴλ ἀπεσείσατο, δέον πρὸς θεὸν τραπέσθαι καὶ τοῦτον ἐξευμενίσασθαι, ἵλεω διὰ τῶν ἔργων ποιῶν, ὁ δὲ τοὐναντίον ἢ ὡς οἱ πολιτικοὶ θεσμοὶ βούλονται, ὡς οὐ παρ' αὐτοῦ ἀφ' ἑαυτοῦ δὲ σωθείς, ἔπραττέ τε καὶ ἐπεπολίτευτο. τῆς γαμετῆς γοῦν τελευτησάσης αὐτοῦ, καὶ δόξαν θέλοντος κατασχεῖν τῶν πολλῶν ὡς πένθος ἄληστον ἔχει αὐτῆς, τὴν
B σύγκλητον ἐποίει διά τινων μηνυμάτων κρυφίων καὶ μυστικῶν αἱρήσασθαι τοῦτον πεῖσαι γυναικὶ αὖθις ζευχθῆναι, καὶ οὐ παρακαλέσαι μόνον πρὸς τοῦτο ἀλλὰ καὶ βιάσασθαι, καὶ εἰς ἐπανάστασιν, εἰ μὴ τοῦτο γένηται, χωρῆσαι αὐτούς· "οὐ γάρ ἐστιν οἷον γυναικὸς ἄνευ" φάσκειν "βασιλέα τε ζῆν καὶ τὰς ἡμετέρας στερεῖσθαι γαμετὰς δεσποίνης καὶ βασιλίδος." ἐπέπειστο γοῦν ὀψὲ διὰ τῶν ἐπιπλάστων λόγων, οὓς τῷ χρόνῳ λαθεῖν οὐκ ἦν· καὶ πρῶτον μὲν χειρόγραφα ὑπὲρ τῶν μήτε ὄντων μήτε ἐσομένων πᾶσαν ἀπῄτει χεῖρα, ὡς αὐτήν τε τὴν ἐσομένην αὐτῷ γαμετὴν καὶ τὰ ἐκ ταύτης ἔκγονα ὑπερασπίζειν καὶ ὑπερμαχεῖν μετὰ τὸν αὐτοῦ
C μὴ παύσαιντο θάνατον, ἀλλὰ κἀκείνην τε μετ' ἐκείνους βασιλέας ἔχοιεν καὶ δέσποιναν, ὡς εἰκός. οὕτως οὐ τοῦ κατ' ἐκεῖνον ἀλλὰ

21 μετ'] καὶ?

rium sumpserunt, tum inclitorum decem martyrum erecta sepulcra sunt. sic ergo et per hoc tempus talique occasione Cretenses de medio Christianorum sublati sunt.

24. Ceterum Michael vix tandem circumdantibus eum ac conterrentibus solutus hostibus, eorumque metu liberatus, cum ad deum converti recteque factis placabilem eum ac propitium reddere oporteret, secus, velut a se ipso, non dei nutu salutem consecutus, contra ac publica iura legesque habeant, vitae suae rationes instituit. proinde uxore mortua, cum eam vulgi opinionem ambiret ut illius implacabili luctu eum affici putarent, secretis tamen occultisque monitis cum senatu agit ut se ad nuptiarum foedera iterum inducant, nec verbis solum suasoriis cum ipso agant, sed et cogant vimque facturos minitentur, nisi is omnino rem praestiterit. ostendant non posse imperatorem caelibem vivere, quo fiat ut illorum uxores domina atque Augusta careant. ita igitur fictis eorum sermonibus ad extremum cessit; quanquam fieri non poterat ut non tandem tempore fabula nudaretur. ac primum chirographo subditos obstringit, fidemque exigit, ea se praestituros quae nec fiant nec esse unquam possint, eius futuram uxorem et quos ex illa susceperit liberos, cum e vivis excesserit, omnino defensuros, sed et tum illos imperatores tum ipsam quoque, ut par est, dominam habituros. adeo non in hoc modo aevo sed post suam quoque mortem se impera-

καὶ τοῦ μετ' αὐτὸν ᾤετο κατακρατήσειν αἰῶνος, δέον πάντα ἐκ θεοῦ ἀλλ' οὐκ ἐκείνων ἀναρτῆσαι χειρί, δι' ὃν βασιλεῖς βασιλεύουσι καὶ τύραννοι κρατοῦσι γῆς. πλὴν ὑπέκυπτεν ὁ πάσης κυριεύων γῆς προστάγματι τῷ συγκλητικῷ, καὶ συνάψεσθαι ἄκων ἠνείχετο ὁ σώφρονα βίον ἀνῃρημένος. ἤγετο οὖν πρὸς γάμον οὐ τήνδε ἢ τήνδε, ἀλλὰ γυναῖκά τινα πάλαι τὸν κόσμον καὶ τὰ αὐτοῦ ἀποστέρξασαν, Χριστῷ δὲ νυμφευθεῖσαν καὶ ἀσκήσεσιν ἐκ παιδὸς κατὰ τὴν ἐν Πριγκίπῳ νήσῳ μονὴν σχολάσασαν καὶ προσανέχου- D σαν τῷ θεῷ· Εὐφροσύνη ταύτης ἡ κλῆσις, καὶ πατρὸς ἐσεμνύνετο Κωνσταντίνου εἶναι, δικαίᾳ κρίσει τὴν τύφλωσιν ὑπομεμενηκότος παρὰ μητρός. ταῦτα μὲν ἐξεπέραινεν, καὶ ἵλεω δι' αὐτῶν οὐ μόνον οὐκ ἐποιεῖτο ἀλλὰ καὶ παρώργισε τὸν θεόν.

25. Καὶ κατὰ τῶν τὴν Κρήτην δὲ καταλαβόντων καὶ λυμαινομένων αὖθις ἐπαποστέλλει στρατόν· Κρατερὸς ὄνομα τῷ στρατηγέτῃ, ὃς τηνικαῦτα τὴν τῶν Κιβυρραιωτῶν διέπων στρατηγίδα, ἑβδομήκοντα ναῦς διήρεις τῶν ὑφ' ἑαυτῷ καὶ πάντων τῶν θεματικῶν λαβών, βρέμων ἅμα καὶ πολλῷ φρονήματι παρενέ- P 50 βαλεν. καὶ ἐπείπερ οὐδ' ἐκείνοις ἐδόκει ὑποστέλλεσθαι ἀλλ' ἐς μάχην χωρεῖν τὴν τὰς ἑαυτῶν δυνάμεις καὶ γενναιότητας ἐπιδειξομένην (καὶ γάρ εἰσι τῶν ἄλλων Ἀγαρηνῶν οὗτοι δὴ εὐφυεῖς), συνέβαλλον δὲ τολμηρῶς ἑκάτεροι κατὰ τὸν ἀγῶνα χωρίσαντες ἄρτι δὴ τοῦ ἡλίου τὰς ἀκτῖνας ὑπὲρ γῆς ἐφαπλοῦντος, οὐδέτεροι

17 παρενέλαβεν P   22 ὑφαπλῶντος P

turum existimabat, cum ex deo (non tanquam ex illorum penderent manu) cuncta speranda forent; "per quem reges regnant et tyranni tenent terram" (Prov. 8 15). ceterum morem gerit illi senatusconsulto, unus ipse omnis terrae dominans; quique castitatis propositum iniisset, invitum simulans in nuptias consentit. ducit vero non quamlibet feminam, sed quae olim saeculo ac saeculi rebus nuntium remisisset, Christoque desponsa esset, ac olim a puero, in monasterio quod in Principe (sic dicta) insula situm est, exercitata ac deo addicta esset. Euphrosynae illi nomen erat. clara scilicet Constantini illius proles, qui ipsa iuste matre ulciscente luminibus caecatus fuerat. hoc ille facinore non modo non placavit divinum numen, quin potius eius in se Romanamque rem publicam graviorem iram provocavit.

25. Itaque aliam quoque classem adversus Saracenos Cretam obtinentes ac diripientes Cratero duce emittit. is cum Cibyraeotarum tunc praefectum ageret, septuaginta biremibus ex suis reliquisque provinciarum ac insularum assumptis, ferox admodum ac minitabundus Cretam applicuit. cumque nec Agarenis pugnae alea subterfugienda videretur, sed committendum praelium, quo suas illi vires ac bellicam fortitudinem experirentur (singulari enim illi fortitudinis laude inter suos clarent), animose utrinque pugnatur. a prima luce ad meridiem usque neutra inclinata acies, sed strenue utrique pugnantes egregium

μὲν ἄχρι μεσούσης ἡμέρας ἐνέκλινον, ἀλλὰ γενναίως μαχόμενοι τὴν ἑαυτῶν ἐδείκνυον ἐμπειρίαν καὶ δύναμιν· ἐπεὶ δὲ πονήσαντες B οἱ Κρηταιεῖς ἤδη τοῦ ἡλίου κλίναντος ἐνέδωκαν πρὸς φυγήν, τότε δὴ πολλοὺς μὲν αὐτῶν ἀπέκτειναν, πλείους δὲ τὰ ὅπλα ῥίψαντας αἰχμαλώτους ἔλαβον, ἐκ ποδὸς ἑπόμενοι. τάχα δ' ἂν σπουδάσαντες ἔλαβον τὴν πόλιν αὐθημερόν, εἰ μὴ νὺξ ἤδη φαινομένη ἀνέστρεψεν ὡς τὰ πράγματα καὶ ἀνάπαυλαν τούτοις ζητοῦσι φόνον ἀλλ' οὐ σωτηρίαν ἀπέτεκεν. οἱ μὲν γὰρ ὡς ἤδη νενικηκότες, καὶ πάντας αὔριον ἐν βραχεῖ βραχεῖς ὄντας ἐλπίσαντες συλλαβεῖν, πρὸς πότους καὶ τρυφάς, ὡς ἐν οἰκείᾳ ἀλλ' οὐκ ἐν ἀλλοτρίᾳ διάγοντες, ἐξεβάκχευον, μήτε τινὸς φυλακῆς μήτ' ἄλλης σωτηρίας C τῆς κατὰ τὸν πολεμικὸν νόμον γινομένης φροντίσαντες, ὕπνου δὲ μόνου καὶ τῆς τὰ πάντα ῥαδίως ἀνατρεπούσης καὶ ἀπολλυούσης ἀμελείας τε καὶ ῥᾳστώνης. ὅθεν περὶ μέσας νύκτας, ἐπεὶ διὰ τῶν ἑαυτῶν φυλάκων ὡς ἐν ἀπορίᾳ ἀγρυπνοῦντες οἱ Κρηταιεῖς ὕπνῳ καὶ οἴνῳ καθηρῆσθαι τοὺς τῆς Ῥωμαϊκῆς παρεμβολῆς ἀνέμαθον, αὐθωρὸν ἐξελθόντες μαχαίρᾳ πάντας ἀπώλεσαν, ὡς μηδ' ἄγγελον, τὸ δὴ λεγόμενον, ὑποστρέψαι καὶ ἐκεῖθεν διασωθῆναι, ἢ μόνον τὸν στρατηγὸν ἐμπορικοῦ ἐπιβάντα πλοίου καὶ τὴν σωτηρίαν ζητοῦντα. πλὴν καὶ τοῦτον ἐπεὶ πανταχοῦ ὁ τῶν Ἀγαρηνῶν ἡγεμὼν D ἀναζητῶν μὲν οὐχ εὕρισκε φεύγειν δὲ διήκουεν, ὁλκάσι τοῦτον μεθ' ἡγεμόνων ἀναζητῆσαι ἐκέλευσεν· οἳ καὶ καταλαβόντες τοῦτον ἐν Κῷ ἐπὶ ξύλου κρεμάσαντες διαφθαρῆναι ἐποίησαν. καὶ τὰ μὲν

7 ἀνέστρεψεν Cedrenus: P enim ἀντέστρεψεν.

militaris peritiae ac fortitudinis specimen exhibebant. postremo vergente ad vesperam die superati Cretenses fugam faciunt. eorum multi in pugna caesi, plures abiectis armis a Romanis persequentibus capti. ac forte accelerato negotio maiorique diligentia ipsam ea die urbem cepissent, nisi nox ingruens res in diversum mutasset, et Romanis quietem captantibus non salutem peperisset sed interitum stragemque. hi enim tanquam victoriae securi, speque fulti fore ut universos, qui pauci remanserant, die crastino facili negotio in potestatem redigerent, perinde ac si domi, non in hostico agerent, potationibus et luxuria noctem transigebant. excubiarum seu aliorum quibus in bello saluti cautum videatur nulla eis ratio; somnum duntaxat et quietem omniaque facile evertentem socordiam et mollitiem cogitabant. Cretenses itaque (quippe suarum rerum anxii) vigiles, cum Romana castra vino somnoque depressa a suis excubitoribus didicissent, ad mediam circiter noctem confestim impetu in eos facto omnes gladio trucidant, ita ut ne nuntius quidem (quod adagii est) reversus sit aut cladi superstes exstiterit. unus dux Craterus mercatorio usus navigio salutem expedivit. verum hunc quoque Agarenorum dux diu multumque quaesitum, nec usquam inventum, cum fuga evasisse audisset, naves praefectosque mittit qui hominem quaerant ac insequantur. hi in Co insula eum assecuti in

κατὰ τὴν μάχην ἐκείνην καὶ τὸν ἀγῶνα συμβεβηκότα τοιαῦτα, πολλὴν ἐνεγκόντα Ῥωμαίοις συμφοράν, οὐ τὴν ἐξ ἥττης μόνον ἐκείνης, ἀλλὰ καὶ τὴν ἔκτοτε κρατήσασαν καὶ διαμείνασαν πολυκέφαλον ὕδραν, ἐκεῖσε καὶ ἀλλαχοῦ μὲν ἀποτεμνομένην ἀεί, ἀναθάλλουσαν δὲ ἀλλαχοῦ.

26. Μετὰ δὲ ταῦτα ἀνήρ τις στρατιωτικῆς πείρας, πρὸς δὲ καὶ φρονήσεως καὶ ἀγχινοίας οὐκ ἄμοιρος, οὗ τὸ ἐπώνυμον Ὠορύφας, στρατόν τινα ἀθροίσας τὸν τεσσαρακοντάριον τότε καλούμενον P 51 βασιλικῆς ἐκ προστάξεως, ἐκ τοῦ διανεμηθῆναι αὐτοῖς ἀνὰ τεσσαράκοντα χρυσίνων, τάς τε ἄλλας νήσους, αἷς ὀλίγιστοι ἐφέροντο, κατατρέχων, καὶ τοῖς μὲν λόχους ἐπάγων τοῖς δὲ καὶ φανερῶς πολεμῶν, ἐξωλόθρευσέ τε καὶ ἀπωλείᾳ παρέδωκεν· ταύτην δέ, ὡς ἔοικεν, παρέπεμψεν εἰς ἡμᾶς. ἀλλὰ τὰ μὲν περὶ αὐτῆς θεῷ πάντως μελήσει, μελήσει δὲ καὶ ἡμῖν τοῖς νύκτωρ καὶ μεθ᾽ ἡμέραν τὴν ψυχὴν δαπανῶσιν ὑπὲρ αὐτῆς.

27. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν Εὐφήμιός τις κατὰ τὴν Σικελίαν τουρμάρχης τελῶν παρθένου τινὸς ἤρα ἀσκητηρίοις ἐνδιαιτωμένης B καὶ τὸ μοναχικὸν ἔκπαλαι ἀναλαβούσης σχῆμα, καὶ διὰ πολλοῦ ἐποιεῖτο τὸν αὐτοῦ ἔρωτα ἐκπληρῶσαι, τὴν παρθένον λαβών πως εἰς γαμετήν. ἐπεὶ γοῦν παράδειγμα οὐ πόρρωθεν εἶχεν οὐ κωλῦον οὐδ᾽ ἀποτρέπον, τοῦτον δὴ τὸν Μιχαὴλ (καὶ γάρ,

12 ταύτην — ὑπὲρ αὐτῆς] Constantini Porphyrogenneti verba, ut videtur. Goar.

crucem agentes sustulerunt. hicque adeo belli illius atque praelii eventus fuit, unde ingens rei Romanae creata calamitas, non ob eam duntaxat cladem, quam tunc accepit, sed quod etiam ex illo tempore roborata multiceps hydra duraverit; quae cum ibi aliisque locis semper exscindatur, aliis subinde germinat ac revirescit.

26. Secundum haec vir quidam rei militaris apprime gnarus prudentiaeque ac sagacitatis laudis non expers, cognomento Ooryphas, imperatoris iussu exercitum cogit, quadragenarium tunc appellatum, quod quadraginta aurei in singulos distributi essent. is alias quoque insulas, quas illi exiguo numero paucisque colonis tenebant, invadens, partimque locatis insidiis partim praelio congressus, Agarenos in eis internecione delevit ac sustulit. "hanc vero, de qua nobis sermo est (id est Cretam) ad nos, ut videtur, lue hac liberandam transmisit. quae porro illam spectant, omnino curabit deus: sed et nobis curae erit, quorum animos eius vindicandae solicitudo diu noctuque divexat ac conficit."

27. Eodem tempore Euphemius quidam in Sicilia tribunus virginis cuiusdam in coenobio agentis, olimque in eo suscepto religiosae institutionis habitu merentis, amore corripitur, explendaeque libidinis ingenti desiderio copulatis cum ea nuptiis accenditur. quod vero exemplum haud procul erat, rem eiusmodi nihil vetans aut ab ea deterrens, ipse

ὡς εἴρηται, καὶ αὐτὸς τοιοῦτόν τι ἐτόλμησεν), ἀφαρπάζει τὴν παρθένον τοῦ ἀσκητηρίου καὶ πρὸς ἑαυτὸν ἄκουσαν ὑπηγάγετο. ταύτης οὖν οἱ ἀδελφοὶ τῷ Μιχαὴλ προσίασι, τὰ τοῦ δράματος διηγούμενοι. ὁ δὲ κελεύει τῷ στρατηγῷ, εἰ οὕτως φωράσοι ἔχουσαν τὴν ἀλήθειαν, τὴν ῥῖνα τοῦ τετολμηκότος Εὐφημίου C ἀποτεμεῖν κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. καὶ ὁ Εὐφήμιος μαθὼν δὴ ταῦτα καὶ τὴν εἰς αὐτὸν τοῦ νόμου τήρησιν καὶ τὴν βασιλικὴν ἀπειλήν, συνωμότας λαβὼν τούτους τε τοὺς ὑπὸ τὴν αὐτοῦ χεῖρα καί τινας τῶν συντουρμαρχῶν, τὸν στρατηγὸν ἐπὶ τούτῳ παραγινόμενον παρελαύνει ἐκεῖθεν, καὶ πρὸς τὸν Ἀφρικῆς ἀποδιδράσκει ἀμεραμνουνῆ, πᾶσαν τὴν Σικελίαν ὑπ' ἐκείνῳ ποιῆσαι καθυποσχόμενος καὶ διδόναι φόρους πολλούς, εἰ μόνον ἀναγορεύσει τοῦτον βασιλέα καί τινα παράσχοι βοήθειαν. ἀναγορεύει γοῦν τοῦτον βασιλέα Ῥωμαίων, καὶ χεῖρα δίδωσι πολλήν, καὶ τῆς Σι- D κελίας ἐγκρατὴς γίνεται, παρ' αὐτοῦ τούτου λαβὼν αὐτήν, οὐ τούτου μόνον ἀλλὰ καὶ ἑτέρων συνδρόμων γενομένων ἐπὶ τῇ τοιούτων ἀπωλείᾳ τόπων. δηλοῖ δὲ ταῦτα σαφέστατα καὶ πλατικώτερον ἡ τότε γραφεῖσα Θεογνώστῳ τῷ περὶ ὀρθογραφίας γεγραφότι καὶ εἰς χεῖρας ἐλθοῦσα ἡμῶν, ἣν ὁ βουλόμενος μεταχειριζόμενος τὰ καθ' ἕκαστον ἀναδιδαχθήσεται. πλὴν ὁ μὲν Εὐφήμιος μετ' οὐ πολὺ ἆθλον τῆς ἀποστασίας καὶ τῆς ἑαυτοῦ ἀνομίας λαμβάνει τὴν τῆς ἑαυτοῦ στέρησιν κεφαλῆς. σχῆμα γὰρ ἔχων βασιλικὸν ἀπῄει καὶ κατὰ τὴν Συράκουσαν, καὶ δὴ ἄποθεν γενόμενος τῆς

nimirum Michael (nam et ille, uti dictum est, simile facinus nuper perpetrarat), virginem e monasterio raptam invitam ad se subducit. adeunt itaque Michaelem virginis germani, gestumque scelus expostulant. tum imperator Siciliae praetori mandat, "siquidem verum eos crimen detulisse compererit, legis in eum rigore Euphemio nasum abscindat." Euphemius vero ubi rescivit, secumque iure agendum reputans ac imperatoris iram reformidans, ascitis in coniurationem tum ei militantium manu tum nonnullis aliis tribunis, praetorem in hoc venientem ut poenas ab eo reposceret, fuga delusit, atque ad Africae ameramnunem confugit, pollicitus omnem se illi Siciliam subiecturum ac grande tributum soluturum, si modo is ei imperiales infulas nomenque deferret nonnullasque copias belli subsidio subministraret. facit ille, ac Romanorum imperatorem acclamat; numerosoque assignato exercitu illius ipsius opera Siciliae compos efficitur; nec illius solummodo, sed et aliorum, qui ipsi adiuverunt suamque pariter operam ad regionis illius defectionem contulerunt. haec clarissime uberiusque exsecutus Theognostus historia quam tunc edidit, venitque in manus nostras; is scilicet qui de orthographia librum conscripsit; ex qua possit singula plenius discere cui libuerit. ceterum Euphemius haud ita post defectionis mercedem suaeque praemium improbitatis capite caesus recipit. regio namque habitu cum et Syracusas lustraret, longiusque a stipatoribus suis, quantum

ἑαυτοῦ τάξεως καὶ τῶν δορυφόρων ὡς ἀπὸ τόξου βολῆς ἐγένετο κατὰ τὴν πόλιν, ὁμιλῶν αὐτοῖς τυραννικῶς τε καὶ βασιλικῶς. P 52
τοῦτον ὡς προσερχόμενον ἔγνωσαν δύο τινὲς ἀδελφοί, γενόμενοι σύμπνοοι καὶ ταὐτὸν φρονήσαντες προσέρχονται τούτῳ εἰρηνικῶς, τὴν προσήκουσαν βασιλεῖ τιμὴν ἀπονέμοντες. ὡς δ' Εὐφήμιος τήν τε παρ' αὐτῶν ἀναγόρευσιν ἀσπαστῶς ἐδέξατο καὶ τῶν ἄλλων κατήκουεν αὐτῶν, προσεκαλεῖτο τούτους φιλοφρόνως ἀποδώσων τὸν ἀσπασμόν· καὶ δὴ κλίνας τὴν κεφαλὴν καὶ τὸ στόμα προσερείσας τῷ στόματι ταῖς θριξὶ μὲν κατέχεται ἰσχυρῶς πρὸς ἑτέρου τῶν ἀδελφῶν, ὑπὸ δὲ τοῦ ἑτέρου ἀφαιρεῖται τὴν κεφαλήν. καὶ B
ὁ μὲν Εὐφήμιος τοιούτῳ τέλει τοῦ βίου ἐχρήσατο.

28. Οἱ δ' Ἀγαρηνοὶ οὐ τῆς Σικελίας μόνον ἔκτοτε ἀλλὰ καὶ Καλαβρίας καὶ Λαγγοβαρδίας ἐγένοντο ἐγκρατεῖς, πᾶσαν κατατρέχοντες καὶ διαπορθοῦντες καὶ ἐνσκηνοῦντες ἄχρι τῆς βασιλείας τοῦ ἐν μακαρίᾳ τῇ λήξει Βασιλείου τοῦ βασιλέως. ἀλλὰ ταῦτα μὲν ἡ ἐκείνου δηλώσει ἱστορία· ὁ δὲ Μιχαὴλ μῆνας ὀκτὼ καὶ ἔτη τῆς βασιλείας γενόμενος ἐγκρατὴς ἐννέα τὸν βίον κατέλυσε, C
τῷ δυσουρίας νοσήματι ἁλούς, ἐκ τῶν νεφρῶν λαβούσης τὴν ἀρχήν, μήτε τὴν πρὸς θεὸν καταλύσας δυσμένειαν, οἷς οὐκ ἤθελε τὴν ἑαυτοῦ μορφὴν δι' ἡμᾶς ἀναλαβόμενον σάρκα προσκυνεῖν, μᾶλλον δὲ καὶ τοὺς προσκυνοῦντας καθαιρῶν Μεθόδιόν τε καὶ Εὐθύμιον, περὶ ὧν εἰρήκαμεν, καὶ τὸν τῶν Ἀγαρηνῶν ἐπαυξήσας ἀκατάλλακτον πόλεμον, τά τε κατὰ Θωμᾶν καὶ τῶν Κρη-

fere est iactus sagittae, praevolans ad urbem accessisset, tyrannique ac regio fastu alloquendo cives demulceret, sic accedentem duo quidam fratres conspicati pari ambo conspiratione unoque consilio pacifice adeunt, convenienti pro maiestate honore eum prosequentes. Euphemius eorum lubens salutationem admittit, exque aliis eosdem titulos audit. tum viros ad se comiter vocat, ipse vicissim salutes redditurus. ergo cum caput inclinans alterius fratrum ori osculum figeret, crinibus ille apprehensum valide tenet, alter ab humeris caput amputat. ac quidem Euphemius tali mortis genere fatis concessit.

28. Porro Saraceni ex eo tempore non Sicilia solum sed et Calabria et Longobardia potiti sunt, omnem eam regionem incursantes ac populantes, ad usque tempora felicis recordationis Basilii imperatoris illic constitutis sedibus. haec enimvero illius declarabit historia. Michael autem cum annos novem menses octo imperium tenuisset, urinae difficultate ex renum passione orta exstinctus est, cum nec infensissimum in deum odium posuisset (ea scilicet ratione, quod eius qui pro nobis carnem assumpsit effigiem adorare nollet; quin potius illius cultores abdicaret, Methodium Euphemiumque, de quibus in superioribus sermo habitus est), Agarenorum quoque implacabile bellum auxisset; ac deus ob eius nequitiam et Thomae rebellionem et Cretensium atque

ταιέων, ἀλλὰ μὴν καὶ τῶν εἰρημένων Ἀφρίκων διὰ τὴν ἑαυτοῦ
D κακίαν ἀποστείλαντος τοῦ θεοῦ. ἀλλὰ καὶ πᾶσα ἡ Δαλματία τῆς τῶν Ῥωμαίων ἀπέστη τότε βασιλείας, καὶ γεγόνασιν ἅπαντες ἰδιορυθμοί τε καὶ αὐτοκέφαλοι μέχρι τῆς τοῦ Βασιλείου τοῦ ἀοιδίμου βασιλείας· τότε γὰρ πάλιν οὗτοι Ῥωμαίοις καθυπετάγησαν. πεπλήρωτο δὲ καὶ ὁ ἐπ' αὐτῷ χρησμός, λέγων οὕτω,

ἀρχὴ κακῶν γε προσπεσεῖται τῇ χθονί,
ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων
δύσγλωσσος ἄρδην καὶ φιλόχρυσος λίαν.

ἐτέθη δὲ ὁ τούτου νεκρὸς ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, ἐν τῷ ἡρώῳ Ἰουστινιανοῦ, ἐν λάρνακι πρασίνῳ Θετταλικῇ.

P 53

ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΘΕΟΦΙΛΟΥ ΥΙΟΥ ΜΙΧΑΗΛ.

ΛΟΓΟΣ Γ.

Τὰ μὲν δὴ πραχθέντα Μιχαὴλ τῷ Τραυλῷ βασιλεύσαντι ἐννέα ἔτεσιν πρὸς μησὶν ὀκτὼ ἐν τῷ πρὸ τούτου βιβλίῳ δεδήλωται· ὁ δὲ υἱὸς αὐτοῦ ἤδη Θεόφιλος ἀνδρὸς ἔχων ἡλικίαν τὴν πατρικὴν ἀρχὴν καὶ βασιλείαν κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς ὀγδόης ἰνδικτιῶνος

Africanorum, de quibus iam dictum est, Saracenorum bellum immisisset. sed et omnis Dalmatia sub id tempus a Romano imperio defecit, suique omnes iuris ac sibi capita exstiterunt, quoadusque inclitus ille Basilius imperium regendum suscepit: tunc enim Romanae facti sunt dicionis. impletum vero est quod de illo ferebatur oraculum, in hanc sententiam.

hoc initium malorum telluri accidet,
rerum potietur cum Babylonius draco,
linguae imperitae, et auri cupientissimus.

cadaver eius repositum in Iustiniani monumento, ad aedem apostolorum, in arca ex marmore viridi Thessalico.

THEOPHILI MICHAELIS F. IMPERIUM.

LIBER III.

Michaelis Balbi gesta annis novem mensibus octo, quibus rerum potitus est, superiori libro a nobis exposita sunt. eius autem filius Theophilus, virilem iam aetatem ingressus, paternum imperium suscepit mense Octobri, indictione 8. is ferventissimum quidem iustitiae studium prae se

διεδέξατο, λόγῳ μὲν οὖν τῆς δικαιοσύνης ὥσπερ ἔμπυρος ἐραστὴς καλεῖσθαι βουλόμενος καὶ νόμων εἶναι φύλαξ πολιτικῶν ἀκριβής· τῇ δ' ἀληθείᾳ ἔξωθεν ἑαυτὸν τῶν ἐπιβουλευόντων διατηρῶν, ὡς B
ἂν μή τις κατ' αὐτοῦ τι νεανιεύσηται, ταῦτα ὑπεκρίνετο. τὸν ἐπηρτημένον οὖν κίνδυνον ὑφορῶν, τοὺς τῷ πατρὶ μὲν αὐτοῦ ἐκ συνωμοσίας τὴν βασιλείαν παρεσχηκότας, κατὰ τοῦ Λέοντος δὲ ἐπαναστάντας, ἅπαντας ἔγνω ὀλέθρῳ παραδοῦναί τε καὶ σφαγῇ. ὅθεν δόγμα ἐξέθετο ἅπαντας τοὺς τῶν βασιλικῶν ἀπολαύοντας φιλοτιμιῶν, προσέτι δὲ καὶ βασιλικῆς τιμῆς μετασχόντας τῆς οἱασοῦν, κατὰ τὴν Μαγναύραν συναθροισθῆναι. ἐπεὶ δὲ τοῦτο ἐγεγόνει καὶ τοῦ προστάγματος οὐδεὶς ἐτόλμα καταφρονεῖν, τὴν τῆς P 54
ψυχῆς τέως ὡς ἐν σκότῳ κρύψας θηριωδίαν, ἠρέμα πως καὶ πραείᾳ φωνῇ οὕτω πως ἔλεξεν ἐν βραχεῖ, ὡς ἐβούλετο μὲν καὶ δι' ἐπιθυμίας εἶχεν, ὁ λαὸς καὶ κλῆρος ἐμός, τοὺς ἀντιλαβομένους καὶ τῆς βασιλείας ὑπερμαχήσαντας νεανικῶς ὁ ἐμὸς ἄγαν πατὴρ πολλῶν μὲν τιμῶν πολλῶν δὲ τούτους ἀγαθῶν ἑτέρων καταξιῶσαί τε καὶ γερῶν· ἀλλ' ἐπεὶ ἔφθασεν ἐξ ἀνθρώπων γενέσθαι θᾶττον ἢ εἶχε βουλῆς καὶ πρὸ τοῦ καιροῦ τῆς αὐτοῦ γνώμης ἔξω γέγονε τοῦ καιροῦ, ἵνα μὴ ἀχάριστος δόξῃ πολλοῖς, ἐμὲ οὐ τῆς βασιλείας μόνον διάδοχον ἀλλὰ καὶ τοῦ τοιούτου καλοῦ τούτοις ὑπόχρεων ἐγκατέλιπεν. διὸ ἕκαστος ἐκ μέσου ἀγόμενος δεικνύτω ἡμῖν ἑαυ- B
τόν. τούτοις ὑποκλαπέντες τοῖς λόγοις καὶ συλαγωγηθέντες τὸν νοῦν ἑαυτὸν ἕκαστος ἀπεγύμνου καὶ πᾶσιν ὡρᾶτο κατάδηλος. εὐθὺς

7 σκαφῇ P   11 πράγματος P

ferebat, legumque civilium sedulus observator videri voluit: revera tamen simulatorem agebat, seque ab insidiis tutum praestare ac nulli contra se aliquid moliendi ansam ullam praebere satagebat. veritus ergo quod impendebat periculum, coniuratos omnes, qui imperium patri detulerant Leonique manus intulerant, internecioni dare constituit penitusque delere. idcirco promulgat edictum ut omnes qui regia munificentia bona consecuti essent, quique honores ullos aut magistratus obtinerent, ad Magnauram conveniant. convenerunt omnes, nec qui imperium contemnere auderet ullus fuit. tunc ille dissimulata adhuc ac velut in tenebris tecta mentis saevitia, leni ac placida voce, sic paucis peroravit. "voluit," inquit, "valdeque expetiit, vos plebs mea et hereditas, inclitae memoriae pater meus, eos qui opem ei tulerant ac pro adipiscendo imperio fortiter decertarant, multis magnisque honoribus bonisque aliis atque praemiis munerari. quoniam tamen citius quam illi constitutum erat vivis excessit, et ante tempus animo conceptum, eum fugit occasio: ne plerisque ingratus videatur, me non modo eius quod ornavit imperii successorem, sed et illius debiti ac gratitudinis reum dereliquit. singuli igitur e medio exeuntes sese nobis ostendant." his sermonibus fraudem sibi fieri passi deceptique miseri se ipsos singuli prodidere cunctisque

σὺν νόμῳ τῷ πολιτικῷ χρῆσθαι τὸν ὕπαρχον ἐγκελεύεται, καὶ "ἄγε δή" φησίν, "ὦ οὗτος, τούτους κατ' ἀξίαν τῶν βεβιωμένων ἀμείβου, οὐ μόνον οἷς οὐκ ἔδεισαν τὸ θεῖον, αἵματι ἀνθρωπίνῳ μιάναντες δεξιάν, ἀλλὰ καὶ χριστὸν κυρίου βασιλέα ἀνελόντες οἱ ἄθλιοι." τούτοις διέλυσε τὸν σύλλογον ἐκεῖνον τὸν πρῶτον δή πως καὶ θαυμαστόν· ὃν εἴπερ τις κατὰ νόμους ἔχοιτο ἐπαινεῖν, C *ἀλλ' οὐκ οἶδ' εἰ στήσεται ἐγγὺς ἡμερωτάτης τε καὶ πραείας ψυχῆς. καὶ τούτους μὲν οὕτως πως ἐξ ἀνθρώπων ἐποίησεν, προσεπιθεὶς τούτοις τὸ ἐπαινετὸν ἐκεῖνό γε καὶ καλόν, τὸ ἀπελάσαι καὶ πρὸς τὴν ἐν ᾗ τὸ πρότερον ἀπεκάρη μονὴν Εὐφροσύνην τὴν ἑαυτοῦ μητρυιὰν ποιῆσαι παλινοστῆσαι, ἣν ἡ ἱστορία δευτέραν γαμετὴν παρέδωκε τῷ Μιχαήλ, ἐκείνων γε τῶν ἡμῖν εἰρημένων ἐκεῖσε χειρογράφων καὶ ὅρκων πολλῶν, οὐχ ὁσίως πραχθέντων γε καὶ γενομένων, ὠφελησάντων οὐδέν. τί δήποτε; ὅτι μὴ ἐπὶ κυρίου πεποιθὼς ἠγάγετο γαμετήν (ἢ γὰρ ἂν ἔννομόν τινα, ἀλλ' οὐ τὴν* D *ἤδη συνταξαμένην ἠγάγετο τῷ Χριστῷ), ἐπὶ δὲ τῇ ἑαυτοῦ θρασύτητι καὶ τοῖς ὅρκοις ἐκείνοις τοῖς εὐμεγέθεσί τε καὶ θεοῦ πάντας πόρρωθεν ἀποπέμψασι.*

2. *Καὶ τὰ πρῶτα μὲν τούτου τοιαῦτα· τὰ δ' ἑξῆς ἀντεποιεῖτο δικαιοσύνης καὶ ἦν φοβερός τε πᾶσι τοῖς πονηροῖς καὶ θαυμαστὸς ἀγαθοῖς, τοῖς μὲν ὅτι μισοπόνηρός τε καὶ δίκαιος, τοῖς δ' ὅτι ἐμβριθής τε καὶ αὐστηρός. πλὴν οὐκ ἦν τοῦτον πάν-*

6 *ἕλοιτο?*

manifestos fecere. mox itaque praefectum leges civiles exsequi iubet, "age tu" inquiens, "pro eorum vitae rationibus vicem illis redde, quod non solum non timuerint deum, ut humano cruore dextram foedarent, sed et unctum domini imperatorem miseri sustulerint." haec locutus conventum illum primum utique et admirandum dimisit; quem si quis laudaverit quasi ex legum severitate, haud scio an ad lenitatem animique mansuetudinem prope accessurus sit. ac illos quidem per hunc modum e medio sustulit. illud sane his laude dignum honestumque adiecit, ut nimirum Euphrosynam novercam aula expelleret ac in monasterium, ubi primum comam posuerat, reverti cogeret. fuit illa quam Michaelis alteram coniugem tradidit a nobis contexta historia; nec quae inter narrandum illic dicta sunt chirographa ac sacramenta, ipsa nihil sancte ac religiose facta, commodi aliquid attulerunt. cur vero non attulerunt? quod non spe in deo collocata uxorem duxerat (alioqui legitimo toro copulandam duxisset, non quae iam Christo se voto obstrinxisset) sed in sua audacia inque magnis illis sacramentis, et quae a deo omnes procul abduxere.

2. Ac quidem in eum se modum habuerunt Theophili exordia. ad sequentia quod attinet, iustitiae severus cultor exstitit, cunctisque malis sui terrorem, bonis admirationem iniecit, his quidem, quod malis infestus iustusque erat, illis, quod gravem atque austerum praeferebat. sed

των καθαρεύειν τῶν πονηρῶν. καὶ διὰ τοῦτο εἴχετο μὲν τῆς ἐπὶ
θεὸν καὶ τὴν τούτου πάναγνον μητέρα, ὡς ἔλεγε, πίστεως, εἴχετο
δὲ καὶ τῆς πατροπαραδότου μιαρᾶς τῶν εἰκονομάχων αἱρέσεως,
καὶ ταύτῃ γε δὴ τὸν εὐσεβῆ καὶ πανάγιον λαὸν ἐτάραττέ τε καὶ P 55
πολυειδέσιν ἐδίδου κακώσεσι, πάντα τὸν τῆς βασιλείας αὐτοῦ χρό-
νον ἠρεμῆσαι μὴ συγχωρήσας, οἷς οὐδὲ τὰς ἐν πολέμοις ἀνδρα-
γαθίας καταλλήλως ἐλάμβανεν, ἀλλ' ἡττητό τε ἀεὶ καὶ οὐ κατὰ
βασιλέα ὑπέστρεφεν.

3. Τοιγαροῦν ἐχόμενος τῆς δικαιοσύνης, οὐ μὴν δὲ καὶ
τῆς πρὸς τὴν τοῦ θεοῦ μητέρα πίστεώς τε καὶ προθυμίας, ἀπῄει
ἔφιππος διὰ τῆς κατὰ τὴν μέσην πλατείας καὶ λεωφόρου πρὸς τὸν
ἐν Βλαχέρναις θεῖον ναὸν ἑκάστῃ ἑβδομάδι, ὑπὸ τῶν δορυφόρων
παραπεμπόμενος. ἀπῄει δὲ πᾶσι μέν, πρὸ παντὸς δὲ τοῖς ἀδικου-
μένοις διδοὺς ἑαυτόν, ὡς ἂν ἔχοιεν τὰ αὐτῶν ἐκτραγῳδεῖν ἀδική- B
ματα καὶ μὴ παρά τινων κακοποιῶν κωλύοιντο ὑφορωμένων τὴν
ἔκτισιν, δεύτερον δὲ ἵνα διὰ τὴν ἀγορὰν διερχόμενος θεατὴς γίνοιτο
τῶν ὠνίων· ὅθεν ἑκάστου τῶν πιπρασκομένων ὅσου πωλεῖται κατὰ
τὴν ἀγορὰν ἠρώτα, οὐκ ἐν παρέργῳ τοῦτο ποιῶν ἀλλὰ καὶ λίαν
ἐνεργῶς τε καὶ ἐπιμόνως, οὐδ' ἑνὶ τοῦτο εἴδει ἀλλὰ παντὶ μὲν τῷ
τρέφειν ἄνθρωπον δυναμένῳ, εἴτ' οὖν ἐσθιόμενον εἴτ' οὖν καὶ
πινόμενον, παντὶ δὲ τῷ περιθάλπειν καὶ εἰς ἀμφίασιν τελοῦντι,
καὶ πᾶσιν ἁπλῶς τοῖς κατὰ τὴν ἀγορὰν προκειμένοις τῶν βουλομέ-
νων ἐξωνήσει. διά τοι τοῦτο οὐδὲ ῥᾳδίως ἂν εἶδέν τις αὐτὸν ἐξ- C

17 ἕκαστον?

non potuit omnibus vitiis carere. quamobrem fidei quidem in deum inque eius castissimam matrem, uti aiebat, sancte adhaerebat: sed et impurae venerabiles imagines impugnantium haeresi a maioribus acceptae addictus erat, eaque ratione religiosam sanctamque turbavit plebem variique generis malis afflixit, nec quandiu imperii habenas moderatus est, quiete eam agere permisit. unde etiam congruentem hanc a deo mercedem rettulit, ut nihil praeclari facinoris in bellis ediderit, sed victus semper, nec ut decet imperatorem exque maiestate domum redierit.

3. Qui ergo studiosus iustitiae esset, ergaque sanctam dei matrem fidem suam ac alacritatem probaret, per singulas hebdomadas via publica stipante satellitio ad divinam Blachernensem aedem equo procedebat. huius autem pompae ea ratio erat, ut se omnibus, iis maxime qui ulla iniuria afficerentur, ipsorum auditurus querelas, in conspectum daret, nec ullus maleficus poenam ab eo irrogandam timens accessum prohiberet. simul etiam ut per forum equitans res venales inspiceret. omnium itaque in foro venalium pretium exquirebat; neque vero obiter rem praestabat, sed operose admodum ac morose, nec in uno duntaxat mercium genere, sed in omnibus esculentis sive etiam potulentis, vestibus item ac operimentis; quicquid denique in foro mercium prostabat. quamobrem vix unquam solenni imperatorum more pompa procedere

ἐληλυθότα εἰς πρόκενσον, πολλὴν ἐνδεικνύμενον σπουδὴν πρὸς τὰ κοινά τε καὶ ἐπιμέλειαν νῦν μὲν ἐν κριτηρίοις, νῦν δέ, ὡς εἴρηται, κατὰ τὰς προόδους τῆς ἑβδομάδος.

4. Ὅθεν ἐπεί τινα τῶν ὀφθαλμῶν ἑστίασιν τὰ πρὸ τῆς πόλεως ἔχοντα ὡς ἐπὶ τὸ πλεῖστον εἰς ἑαυτὰ καλοῦσι τοὺς βασιλεῖς, τὰ πρὸς τὴν θάλασσαν τοῦ παλατίου τείχη τῶν ἀρχαίων θεμελίων οὗτος παρεκβαλών, καὶ πρὸς τὰ ἡλιακά, ἔνθα πρότερον κινστέρ- D νης οὔσης συνέβη βασιλικὸν ἀποπνιγῆναι υἱόν, παραδείσους ἐργασάμενος, ἐκεῖθεν τὸ λεῖπον ἀνεπλήρου καὶ ἑαυτὸν ἔτερπε τούτοις καὶ ἐψυχαγώγει, ὡς τὸ εἰκός. καί ποτε τούτου ἐκεῖσε ἐνδιατρίβοντος, εἴτε δὴ καὶ δειπνοῦντος, ὡς λόγος, συνέβη ναῦν τινὰ μυριοφόρον ἐξ οὐρίας πλέουσαν ἀναπεπταμένοις δὴ τοῖς ἱστίοις τῷ μεγέθει τὸν λιμένα κατασκιάσαι καὶ τὸν βασιλέα εἰς θάμβος ἐπαγαγεῖν. ἐπύθετο οὖν αὐτίκα τίνος τε ἡ ὁλκὰς εἴη καὶ ὅ τι φέροι τῶν ἐδωδίμων. ὡς δὲ τῆς Αὐγούστης ἤκουσεν καὶ λαθεῖν τοῦτο οὐκ ἦν, τότε μὲν ἐφησυχάσαι λέγεται καὶ διαπέμψαι τὸν καιρὸν μέχρι τῆς ἧς εἰώθει ἡμέρας κατὰ τὰς Βλαχέρνας ἰέναι. ἐπεὶ δ' ἥ τε ἡμέρα παρῆν καὶ ὁ τοῦ πλοίου ὅρμος δῆλος ὑπῆρχε τῷ βασιλεῖ ἀναμαθόντι διά τινος, τῆς εἰς τὸ πλοῖον φερούσης ἀπήρχετο P 56 ὁδοῦ· ἦν δὲ κατὰ τὸν Βόσπορον. καὶ ἐπείπερ παραγενόμενος παρὰ τὴν πρύμναν ἔστη τῆς νεὼς ἀκολουθούσης τῆς τάξεως, ἠρώτα τὴν σύγκλητον οὐχ ἅπαξ δὴ μόνον ἀλλὰ καὶ δὶς καὶ τρίς, ὅτου

13 λιμένα Combefisius, λειμῶνα P

visus est, qui procurandae rei publicae magnam diligentiam ac curam haberet, nunc pro tribunali sedens, nunc singulis septimanis, uti dictum est, in publicum procedens.

4. Unde quia suburbana quaedam aspectu iucunda atque amoena haud raro principum animos ad se pelliciunt, ipse muros palatii ad mare vergentes ab antiquis fundamentis diruens, et ad solaria (ubi prius cum lacus esset, imperatoris filium aquis suffocari contigerat) hortos faciens, inde levamen aliquod animo quaerebat, seque his, ut par est, oblectabat. illic quandoque versante Theophilo, sive etiam, ut fama est, cenante, contigit navim quandam onerariam praegrandem pansis velis, secundo vento appulsam, ingenti mole umbra portum obtegere ac imperatorem in stuporem agere. percontabatur igitur statim, cuiusnam illa esset quidve annonarum adveheret. ubi porro Augustae esse audivit, resque notior erat quam ut latere posset, tunc quidem siluisse aiunt, diemque exspectasse quo ipsi moris erat Blachernas procedere. cumque dies appetiisset, atque ubi navis statio esset ex quodam didicisset, versus eam contendit iter, ad Bosporum scilicet. veniens itaque stipatus obsequio, et ad puppim positus, senatum rogavit, neque id semel sed iterum atque tertio, num quid alicui deesset eorum quae in usum fami-

δή τις ἔχοι χρείαν τῶν ἐδωδίμων, σίτου ἢ οἴνου ἤ τινος ἄλλου τῶν κατ' οἶκον ἀναλισκομένων. ὡς δὲ πολλάκις ἐρωτηθέντες μόλις ἅπαξ ἀπεκρίθησαν μηδενὸς λείπεσθαι μέχρι τῆς σῆς εὐμοιροῦμεν δεσποτείας τε καὶ βασιλείας, καὶ προστιθέντων μηδὲν εἰδέναι τῶν ὧν ἐρωτώμεθα, "ἀλλ' οὐκ ἴστε" ἔφησεν "ὅτι με ὑπὸ θεοῦ βασιλέα γενόμενον ἡ Αὐγούστα καὶ σύμβιος ναύκληρόν με εἰργάσατο; καὶ τίς πώποτε, μετὰ πικρίας λέγων τοῦτο ψυχῆς, βασιλέα Ῥω- B μαίων ἢ τὴν αὐτοῦ γαμετὴν ἔμπορον ἐθεάσατο;" καὶ ἐπὶ τούτῳ ἀναπολογήτων μενόντων, ἐκέλευσεν αὐθωρὸν μόνους ἐξιόντας τοὺς ἀνθρώπους τὴν ναῦν ἐκείνην παραδοῦναι πυρὶ αὐταῖς ἀγκύραις καὶ ἱστίοις καὶ τοῖς ἄλλοις πᾶσιν ἀγωγίμοις, πολλὰ κατειπὼν ὕστερον καὶ παντοίαις ὕβρεσι τὴν δέσποιναν περιβαλών, ὡς καὶ αὐτῆς ἐπαπειλῆσαι ἐξαγαγεῖν τῆς ζωῆς, εἴγε δὴ ἔκτοτε τοιοῦτόν τι ποιοῦσα φωραθείη.

5. Ἀλλὰ πατρίδα μὲν ἡ Θεοδώρα (τοῦτο γὰρ ὄνομα τῇ Αὐγούστῃ) Παφλαγονίαν ἐσέμνυνεν, καὶ χωρίον Ἔβισσαν, γεννήτορα δὲ Μαρῖνον οὐκ ἄσημόν τινα ἢ ἰδιώτην τὴν τύχην, δρουγγάριον δὲ ἢ τουρμάρχην κατά τινας, καὶ μητέρα Θεοκτίστην τὴν οὕτω C Φλωρίναν κατονομαζομένην, ἀμφοτέρους εὐσεβείᾳ ἐντεθραμμένους καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν οὐκ ἐξαρνουμένους μέν, ὡς κατ' ἐκεῖνο πάντες καιροῦ, ἀσπαζομένους δὲ καὶ ἐνστερνιζομένους ὑπερφυῶς. ἀλλ' ἡ μὲν Θεοδώρα διαδήματι βασιλείας πάλαι

4 μηδὲ P   7 λέγω?   19 ἐκτεθραμμένους P

liae cedunt ac annonae sunt, triticum scilicet et vinum aliudve edulium. cumque saepius rogati vix tandem respondissent nullius se egere quandiu illo rerum domino ac imperatore feliciter gauderent, ac se penitus quo spectaret illa interrogatio nescire addidissent, "at nescitis" inquit "me, qui dei nutu ac voluntate imperator existam, ab Augusta ac coniuge nauclerum factum esse?" additque indignabundus "num quis unquam imperatorem Romanum eiusve coniugem mercaturam exercere vidit?" tuncque adeo cum nemo responsum daret, egressis duntaxat viris qui in navi erant, eam confestim cum ancoris et velis, ac quicquid mercium erat, igni succendit, multum postea vituperans, nulloque non convicio dominam onerans, ac vel necem minitans, si porro eiusmodi aliquid factitare unquam deprehenderetur.

5. Ceterum Theodora (hoc enim Augustae nomen) Paphlagoniam patriam honestabat, oppidum Ebissam: parentes Marinum patrem, virum non obscurum aut privatae sortis hominem, sed qui drungarius exstiterit vel (ut aliis placet) tribunus: matrem habuit Theoctistam cognomento Florinam, ambos piis moribus rectaque in fide educatos, ac qui venerabilium imaginum cultum, pro omnium eius aetatis hominum genio atque haeresi, minime abnegassent, sed ardentissimo eas studio oris manusque et sinus amplexu venerarentur. porro Theodora regia pridem ex impe-

δὴ κατέστεπτο, καὶ ἡ αὐτῆς μήτηρ Θεοκτίστη ζωστή τε καὶ πατρικία τετίμητο. αὕτη δὴ οὖν ἡ Θεοκτίστη κατὰ τὸν ἑαυτῆς οἶκον, ἔνθα δὴ ἡ τῶν Γαστρίων μονὴ τὴν πῆξιν ἔχει τὰ νῦν καὶ ἵδρυσιν
D (ἣν δὲ τοῦτον ἐξ ἐκείνου τοῦ πατρικίου ἐξωνησαμένη Νικήτα), τὰς τῆς Θεοδώρας θυγατέρας μετακαλουμένη (πέντε δὲ ἦσαν τὸν ἀριθμόν, ἥ τε Θέκλα καὶ Ἄννα Ἀναστασία τε καὶ Πουλχερία καὶ ἡ Μαρία) ἄλλαις τε δωρεαῖς αἷς ὑπάγεσθαι τὸ θῆλυ πέφυκεν ἐδεξιοῦτο, καὶ ἰδίᾳ παραλαμβάνουσα οὐ μαλακίζεσθαι οὐδὲ μένειν θηλείας ὅπερ ἦσαν ἐξελιπάρει καὶ καθικέτευεν, ἀνδρίζεσθαι δὲ καὶ τῆς μητρῴας θηλῆς ἄξια διανοεῖσθαι καὶ πρέποντα, τὴν πατρῴαν μὲν αἵρεσιν ἀπορριπιζομένας, καταφιλούσας δὲ καὶ κατασπαζομένας τὰς τῶν σεπτῶν εἰκόνων μορφάς. καὶ ἅμα ταύτας εἰς χεῖρας ἐμβάλλουσα (ἐφυλάττοντο δὲ αὐτῇ ἔν τινι κιβωτίῳ), τῷ
P 57 προσώπῳ καὶ τοῖς χείλεσιν ἐπιτιθεμένη ἡγίαζέν τε αὐτὰς καὶ πρὸς τὸ ἐκείνων φίλτρον διήγειρεν. τοῦτο οὖν ἐνδελεχῶς ποιοῦσα καὶ ταῖς ἐγγόνοις τὸ περὶ τὰς εἰκόνας φίλτρον ἀναζωπυροῦσα οὐκ ἔλαθε τὸν Θεόφιλον, πυνθανόμενον "ὅ τι τε αὐταῖς παρὰ τῆς μάμμης δεδώρηται καὶ ὅ τι χάριτος ἐξείργασται ἄξιον. αἱ μὲν γὰρ ἄλλαι τούτου τὰς πεύσεις ἀγαθὰ φρονοῦσαι ὥσπερ τινὰς λαβὰς ἐρρωμένως παρέτρεχον· ἡ δὲ Πουλχερία ἅτε ἡλικίᾳ καὶ νῷ νηπιάζουσα τάς τε φιλοφροσύνας ἔλεγε καὶ τὸ πλῆθος τῶν ὀπωρῶν, συνηρίθμει δὲ καὶ τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, οὕτω δὴ
B ἁπαλὰ φρονοῦσα καὶ λέγουσα ὡς νινία πολλὰ εἴη αὐτῇ κατὰ τὸ

ratorum more corona donata, mater quoque Theoctista zostae quam vocant (id est cingulo donatae) ac patriciae dignitatem consecuta erat. ibi itaque Theoctista in domum suam, quam eo loco sitam habebat ubi modo Gastriorum exstructum monasterium est, exque Niceta patricio emerat, Theodorae filias invitans (quinque illae numero erant, Thecla et Anna Anastasiaque et Pulcheria et Maria) cum aliis munusculis, quibus demulceri hic sexus solet, blandiebatur, tum seorsum assumens hortabatur ut supra sexum suum saperent animosque viriles ac materno lacte dignos assumerent, abominantes paternam haeresim sacrasque venerabilium imaginum amplexantes ac exosculantes effigies; simulque in manus assumens, quippe quas in cista quadam repositas habebat, vultui labiisque admovens puellas sanctificabat, inque earum amorem illas excitabat. hoc illa cum identidem factitaret, ardensque erga imagines desiderium neptibus frequens accenderet, non fefellit res Theophilum. is enim aliquando cum filias interrogaret quid ex avia munerum accepissent, quidve humanioris officii blanditiarumque in eas collatum esset, reliquis interrogationem eius tanquam muscipulam solerti animo constanter declinantibus, Pulcheria non magis aetate quam sensu immatura, quam blande tractatae essent referre, ac quam variis pomis donatae, unaque venerabilium imaginum venerationem adiungere, atque ita rem

κιβώτιον καὶ ταῦτα τῇ κεφαλῇ τε καὶ τοῖς προσώποις ἐπιτίθησι μετὰ τὰ φιλήματα. ταῦτα γοῦν τὸν βασιλέα εἰς μανίαν ἦγεν ὑπολαλούμενα. ἀλλὰ πρᾶξαι μέν τι τῶν δριμυτέρων ἢ πικροτέρων εἰς αὐτὴν ἐκώλυε τοῦτον τό τε τῆς γυναικὸς αἰδέσιμον καὶ ἡ εὐλάβεια, καὶ ἡ παρρησία δὲ πρὸς τούτοις οὐκ ἔλαττον (καὶ γὰρ ἦν τοῦτον ἀριδήλως σκώπτουσα καὶ διελέγχουσα ἐπί τε τοῖς καθ' ἡμέραν τῶν ὁμολογητῶν διωγμοῖς καὶ τῇ δηλωθείσῃ αἱρέσει, καὶ μόνη μικροῦ φανερὰν ποιοῦσα τὴν πρὸς αὐτὸν τῶν πάντων ἀπέχθειαν), ἀπέτεμνεν δὲ μόνον τὴν πρὸς αὐτὴν τῶν τούτου θυγατέρων ἄφιξιν, καὶ διεκώλυε γίνεσθαι συνεχῆ.

6. Τούτοις ἀδελφὰ καὶ τῇ βασιλίδι Θεοδώρᾳ συμβέβη- C
κεν. ὑπῆρχέ τι τῷ βασιλεῖ παρακεκομμένον ἀνδράριον, τοῦ Ὁμηρικοῦ Θερσίτου διενηνοχὸς κατ' οὐδέν· Δένδερις ὄνομα τούτῳ, ἄσημά τε φθεγγόμενος καὶ γέλωτας κινῶν καὶ θυμηδίας ἕνεκεν τοῖς βασιλείοις ἐνδιαιτώμενος. οὗτος γοῦν εἰσπηδήσας ποτὲ κατὰ τὸν τῆς βασιλίσσης κοιτωνίσκον κατέλαβεν αὐτὴν θείας εἰκόνας περιειλημμένην καὶ τοῖς ἑαυτῆς ὄμμασιν μετὰ σπουδῆς προσάγουσαν. ταύτας ὑπ' ὄψιν ἰδὼν οὗτος ὁ παραπαίων τί τε εἰσὶν ἐπυνθάνετο, καὶ πλησιέστερον διέβαινεν. ἡ δὲ "τὰ καλά μου" ἔφησεν οὕτως ἀγροικικῶς "νινία· καὶ ἀγαπῶ ταῦτα πολλά." κατὰ τὴν τράπεζαν τηνικαῦτα εἱστιᾶτο ὁ βασιλεύς, καὶ δὴ πρὸς αὐτὸν εὐ- D
θὺς διαβάντος ἤρετο αὐτὸν ὅποι ποτὲ ἐτύγχανεν ὤν. ὁ δὲ παρὰ τὴν μάναν ἔφησεν εἶναι, τὴν Θεοδώραν οὕτω λέγων, καὶ θεάσασθαι ἐν αὐτῇ καλὰ νινία τοῦ προσκεφαλαίου ἐξαίρουσαν. συνῆκεν

simplici sensu verbisque narrare, plures illi in arca esse puppas, quas osculata vultui orique admoveret. ob quae furore percitus imperator est: ne quid tamen durius in socrum statueret, obstitit mulieris tum reverentia tum probitas ac religio. nec praeterea eius minor erat loquendi arguendique fiducia. etenim genero palam exprobrabat, ac propter quotidianas confessorum persecutiones eum arguebat; sola denique fere omnium in eum odia ipsi patefaciebat. unum duntaxat, ne aviam in posterum adirent, aut certe ne sic crebro, illis interdixit.

6. Geminum fere est quod Augustae obtigit. alebatur in aula delirus pumilio et Homerici Thersitae persimilis, Denderis nomine, impeditae linguae, risum movere aptus, ioci duntaxat causa in regiam adhibitus. is quandoque in Augustae sacrum cubiculum subito irrumpens ipsam sacras osculantem imagines easque oculis devote adhibentem offendit. has coram delirus homo intuitus interrogat quidnam essent, propiusque visurus accedit. ad quem Augusta, ita subrustice, "meae sunt pulcrae puppae, quas valde diligo." imperator tum mensae accumbebat; vidensque hominem ad se propere venientem, ex eo quaesivit ubinam fuisset. respondet ille apud manam (sic Theodoram appellans), vidisseque illam ex pulvinari pulcras puppas proferentem. intellexit itaque imperator,

οὖν ὁ βασιλεύς, καὶ πλήρης ὀργῆς γεγονώς, ὡς ἐξανέστη τῆς τρα-
πέζης, πρὸς αὐτὴν ἀπῄει, ἄλλαις τε πολλαῖς ὑβρισίαις αὐτὴν
ἐπαντλῶν καὶ εἰδώλων λάτριν ἀκολάστῳ γλώττῃ αὐτὴν ἀποκαλῶν,
καὶ ἅμα διεξῄει τοὺς λόγους τοῦ παραπαίοντος. ἡ δὲ τέως μὲν
τὸν θυμὸν καταστορεννύουσα "οὐ τοῦτό ἐστιν" ἐξ ἑτοίμου ἔλεγεν,
P 58 ὦ βασιλεῦ, οὐ τοῦτο, ὡς ὑπείληφας σύ· τῷ δὲ κατόπτρῳ μου
ἤμην ἀτενίζουσα μετὰ τῶν θεραπαινίδων, καὶ τὰς ἐκεῖσε τικτομέ-
νας ἰδὼν ὁ Δένδερις μορφὰς ἐλθὼν ἀπήγγειλεν ἀφρόνως τῷ δε-
σπότῃ καὶ βασιλεῖ." οὕτω μὲν οὖν ἐκείνου τέως κατέσβεσε τὸν
θυμόν· τὸν Δένδεριν δὲ μετ' οὐ πολλὰς ἡμέρας παιδείᾳ καθυπο-
βάλλουσα πέπεικε σωφρονεῖν, οὕτω πως λέγουσα ὡς μήποτε λέγειν
περὶ τῶν καλῶν νινίων τινί. καί ποτε παρὰ πότον ἐγκαυχώμενος
καὶ τῆς δεσποίνης κατεπαιρόμενος ὁ Θεόφιλος ἠρώτα τοῦτον περὶ
αὐτῆς, εἰ πάλιν ἄρα τὰ καλὰ νινία ἡ μάνα ἀσπάζεται. ὁ δὲ τοῖς
χείλεσι τὴν δεξιὰν χεῖρα ἐπιθεὶς καὶ τῇ ἀριστερᾷ τῶν ὄπισθεν με-
B ρῶν λαβόμενος "σίγα, σίγα περὶ τῶν νινίων" ἀντέφησεν, "βασι-
λεῦ." ταῦτα μὲν οὕτω.

7. Καί τινος δὲ κατὰ πόλεμον ἀνδραγαθιζομένου, χεῖρά τε νεανικὴν καὶ ἵππον ἔχοντος δεξιόν, συνέβη τούτου δὴ τὸν στρατηγόν, ὑφ' ὃν ἐτέλει ὁ στρατιώτης, ἔρωτι κατασχεθῆναι τοῦ ἵππου, ὑφ' οὗ ὁ ἄνθρωπος σέσωστο καὶ πολλάκις ἐκ θανάτου ἐρύετο. ἐπεὶ γοῦν τοῦτον πολλάκις ἐξαιτησάμενος πᾶσί τε τρόποις καὶ χάρισι (καὶ γὰρ ὑπισχνεῖτο πολλὰ διδόναι τῷ ἀνθρώπῳ) ἀπέτυχε τῆς αἰτήσεως, ἦγε δὲ καὶ βίαν ὁ στρατηγὸς καὶ οὐδ' οὕτως εἶχε

plenusque ira, ut e mensa surrexit, ad eam vadit, multisque aliis conviciis compluens etiam idololatram effreni ore appellavit, deliri hominis sermones simul referens. at illa, mariti interim iram leniens, responso in promptu quaesito "non ita est" inquit "o imperator, non ita est ut tu suspicaris: sed cum in speculum una cum ancillis oculos ipsa intenderem, resultantes in eo formas contuitus Denderis, pictas imagines esse veniens domino ac imperatori insipienter nuntiavit." sic itaque eius interim iras exstinxit: Denderin vero paucis abhinc diebus castigans sapere deinceps docuit, ita insinuans "cave unquam de pulcris puppis ulli loquaris." adeoque cum Theophilus aliquando a potu iactabundus adversusque Augustam sese efferens de ea illum interrogaret, num iterum mana pulcras puppas exoscularetur, Denderis dextra manu ori imposita, ac sinistra posteriora tenens, "tace, tace de puppis," inquit, "o imperator." atque haec ita gesta sunt.

7. Porro cum miles quidam, vir in bello strenuus, manu forti atque equo agili praeditus esset, contigit ut dux, sub quo militabat, eius equi amore caperetur, quo is scilicet non raro incolumis elatus e praelio fuerat mortemque evaserat. cum ergo oblatis saepius precibus amplaque mercedis pollicitatione repulsam tamen pateretur, ac neque vim minas-

τὸν ὑπακούοντα, διεδέξατο τοῦτον τῆς ἧς εἶχεν ἀρχῆς, πολλὰ καὶ πρὸς τὸν Θεόφιλον κατειπὼν τοῦ ἀνδρός. ἦν οὖν ὁ στρατιώτης C ἐν ἑαυτῷ, καὶ τὸν ἵππον ἔχων ἐντρύφημα. παρῴχετο δὲ καὶ χρόνος ἱκανός, ὁ τὸν ἄνδρα πρὸς πόλεμον ἐκ φιλονεικίας καλῶν, ἀλλὰ καὶ καταδαπανῶν αὐτόν, οἷα φιλεῖ τοῖς δυστυχοῦσι δεινῶς. ἐγένετο οὖν ἵππου ἀγαθοῦ ζήτησις παρὰ Θεοφίλου κατὰ τὸν τῆς δυστυχίας καιρὸν τοῦ ἀνδρός· διὸ καὶ διὰ γραμμάτων πάντας ἐν τέλει καὶ ἀξιώμασιν ἀνερευνῶν ἐκέλευε τοιόνδε καὶ τοιόνδε ἀποστεῖλαι αὐτῷ. ὅθεν λαβόμενος ὁ στρατηγὸς ἀφορμῆς ἀφείλετο τοῦ ἀνδρὸς τὸν ἵππον καὶ ἄκοντος, καὶ πρὸς βασιλέα ὡς οἰκεῖον ἀπέσταλκεν. αὕτη ἡ αἰτία, καὶ τοῦ ἵππου δὲ ἡ στέρησις. ἐπεὶ δὲ κατά τινα περιπέτειαν πάντας ἐκέλευσεν ὁ βασιλεύς, καὶ τοὺς οἱᾳδήποτε αἰτίᾳ πεπαυμένους, ἐξιέναι πρὸς πόλεμον, καὶ τὸν ἄν- D δρα τοῦτον ἐξεληλυθότα ἵππου στερούμενον ἀγαθοῦ ἀπήγαγε τῆς ζωῆς, γυναῖκα καταλελοιπότα καὶ τέκνα πτωχά. τί οὖν ἡ γυνή; καὶ τὸ φιλήκοον ἀκούουσα τοῦ βασιλέως καὶ φιλοδίκαιον, καὶ τῷ τοῦ ἀνδρὸς φίλτρῳ ἐκκαιομένη, καὶ τοῖς τέκνοις ὅπως καὶ χορηγοίη οὐκ ἔχουσα τὰ πρὸς ζωήν, τὴν βασιλεύουσαν καταλαμβάνει, καὶ τὸν Θεόφιλον, ἐν ᾗ ἡμέρᾳ εἴθιστο πρὸς Βλαχέρνας ἀπιέναι, τοῦτον δὴ τοῦ ἀνδρὸς αὐτῆς ἵππον ἀναβαίνοντα κατιδοῦσα, γονυπετοῦσα καὶ κατολοφυρομένη ἐδέετο τοῦ βασιλέως, τὸν χαλινὸν τοῦ ἵππου κατέχουσα, καὶ ἀνεδίδασκεν πῶς αὐτῆς τε εἴη ὁ ἵππος P 59

19 Βλαχέρναις P; quod nescio an tueatur collatum illud p. 71[b]: πρὸς τῷ καταπροδόντι τοῦτον στρατεύματι διεσώθησαν.

que adhibens quicquam efficeret, hominem gradu movet, multisque apud Theophilum viro obtrectat. miles ergo domi privatus degebat ac equum in deliciis habebat. fluxerat interim longum tempus, cum partim quadam aemulatione hominem ad bellum provocaret, partim vero etiam maerore conficeret, uti illis fere accidit quos adversa fortuna dire afficit. contigit itaque ut quo tempore ille adversa fortuna premebatur, Theophilus equum generosum quaereret; missisque literis primores omnes ac magistratus seu duces eiusmodi equum diligenter quaerere, et ad se mittere iubet. praetor arrepta occasione a viro vel invito ablatum equum ut rem suam imperatori mittit. hoc crimen, et haec equi amissio. orta vero bellica aliqua necessitate rebusque consternatis iusserat imperator ut omnes quovis modo militia soluti ad bellum proficiscerentur; quo factum ut hic quoque generosi illius equi praesidio nudatus inter militandum necatus sit, relicta paupere vidua et liberis. quid ergo mulier, cum et imperatorem aures facile praebentem et iuris ac aequi tenacem audiret, ingentique viri desiderio flagraret, nec haberet unde liberis ad victum necessaria subministraret? urbem regiam petit, ac Theophilum, quo die ad Blachernas exire solebat, viri ipso equo insidentem conspicata, in genua procumbens eiulansque ac frenum equi tenens supplex orat, docetque hunc equum suum esse, nec alium quam eum ipsum viri

καὶ οὐκ ἄλλος τις ἀλλ' αὐτὸς αἴτιος τῆς τοῦ ἀνδρὸς σφαγῆς. ἐκπλαγὴς οὖν ὁ βασιλεὺς γενόμενος ἐν τῇ παρρησίᾳ τῆς γυναικὸς καὶ περιθαμβής, καὶ τῶν λεγομένων εἰδὼς οὐδέν, τέως μὲν αὐτὴν ταμιευθῆναι διωρίσατο τῆς αὐτοῦ ἄχρι ἐπανόδου πρὸς τὰ ἀνάκτορα, καὶ καλεῖν ταύτην καὶ δὴ ἔφησεν τὴν γυναῖκα μετὰ σπουδῆς ἐπαναδραμών· καὶ ἥδε παρέστη εὐθέως, ἐκδιδάσκουσά τε πάντα καὶ διεξιοῦσα σαφῶς. κελεύει οὖν τόν τε ἀφικέσθαι τὸν στρατηγὸν ὁ βασιλεύς, καὶ περὶ τοῦ ἵππου ζήτησιν ποιεῖ νεανικήν. ὡς δ' οἴκοθεν ὁ στρατηγὸς καὶ οὐκ ἄλλυθεν, ἀλλ' οὐδ' ἐξ ἁρπαγῆς B *τὸν ἵππον ἀποσταλῆναι διεβεβαίου, παρίστησι κατὰ πρόσωπον τὴν ἄνθρωπον ἔλεγχον τῶν λεγομένων καὶ κατήγορον. οὐκ ἔφερεν οὖν ὁ στρατηγὸς τῷ ψεύδει καταλαμπρύνεσθαι τὴν ὄψιν τῆς γυναικὸς ἐνορῶν, καὶ ἅμα ἱκέτης γίνεται ἐλεεινὸς καὶ τοῦ βασιλέως τοὺς πόδας λαμβάνει μετὰ κλαυθμοῦ. τί οὖν ὁ βασιλεύς; ἐκείνην μὲν τὴν γυναῖκα μετὰ τῶν αὐτῆς παίδων ἀδελφοὺς ἐξ ἴσου καὶ κληρονόμους τῆς ἐκείνου δείκνυσιν ὑποστάσεως, μεθίστησί τε τῆς ἀρχῆς αὐτόν, καὶ πᾶσι κατάδηλος γίνεται ἡ δικαία κρίσις αὐτοῦ καὶ τὸ πρὸς τοὺς ἅρπαγας φιλαπέχθημον.*

8. *Οὐχ ἧττον δέ γε καὶ ταῖς οἰκοδομαῖς ἐγκείμενος τὴν* C *ἑαυτοῦ ἐδείκνυτο ἐπιμέλειαν. τείχη τε γὰρ τὰ χθαμαλώτερα ἐκ βάθρων ἀναδειμάμενος, τὸ γῆρας ὥσπερ ἀποξύσας καὶ πρὸς ὕψος μετὰ κάλλους ἀπάρας, ἄβατα πάντῃ πεποίηκε τοῖς ἐχθροῖς, ἃ*

2 ἐκπλαγεὶς P   5 καὶ δὴ] τότε δή?   7 τόν] αὐτόν?
22 ἐξάρας?

necis auctorem esse. in stuporem egit imperatorem ingens illa mulieris fiducia; vehementiusque miratus, nec eorum quae dicebantur quicquam intelligens, interim quidem servari mulierem iubet, dum in palatium ipse rediisset. cito itaque reversus feminam accersit. mox illa praesto est, docetque omnia clare, ac rem omnem exponit. iubet itaque imperator praetorem sisti, et de equo acriter inquirit. illo autem non aliunde nec per vim ac rapinam, sed ex sua domo affirmante misisse, producitur in conspectum mulier, reum de vi peractura. eius mox praetor aspectu haud sibi iam de mendacio blandiri; moxque supplex miserabilem in modum lugens atque eiulans imperatoris pedes adstringit. quid tum ille? viri facultates viduae atque liberis ratis portionibus hereditario quasi iure adscribit, eumque magistratu movet; atque in eum modum iusta illius sententia, ac quantopere iniquos raptores odisset, cunctis innotescit.

8. Nec minus aedificiis operose exstruendis suam ille diligentiam probavit. nam urbis muros, qui humiliores essent, a fundamentis exaedificans, eius velut senium abstersit, eaque altitudine cum pari pulchritudine extulit ut aegre deinceps ab hostibus conscendi possint; qui et

καὶ μέχρι τοῦ νῦν τὴν τούτου προσηγορίαν ἐμφαίνουσιν ἐγγεγραμμένην ἔχοντα ἐν αὐτοῖς. οὐ μὴν δὲ ἀλλὰ καὶ πόρνας ἀπελάσας ἐξ οἰκημάτων, καὶ καθάρας ὅλον ἐκεῖνον τὸν χῶρον, ξενῶνα τὴν ἐκείνου φέροντα προσηγορίαν, κάλλει τε κάλλιστον καὶ μεγέθει μέγιστον, εὔπνουν τε καὶ εὔοπτον, δι' ὧν τὰ φθοροποιὰ μὲν παθήματα ἀποκλύζονται, τὰ σωτηριώδη δὲ ἐπιγίνονται ἀλεξήματα, κατεσκεύασεν. οὕτως εἶχεν ἐκεῖνος πρὸς πόρνας. πλὴν ὅτι γέ D *φασιν αὐτόν ποτε κάλλει θεραπαινίδος τῆς Θεοδώρας ἁλόντα συμφθαρῆναι αὐτῇ, ῥᾳθύμως τότε βιοῦντα· ἐπεὶ γοῦν ᾔσθετο τῆς ἐκ τοῦ καλοῦ διαμαρτίας, καὶ ἄλλως οὐδὲ τὴν Θεοδώραν τοῦτο λαθοῦσαν, κατηφιῶσαν δὲ καὶ αὐχμῶσαν καὶ στυγνάζουσαν, ἔκτοτε ἐξειπεῖν αὐτῇ, ἐπομνύμενον καὶ φρικτῶς τὰς χεῖρας ἐπαίροντα πρὸς θεὸν ἦ μὴν τότε καὶ μόνον διολισθεῖν, καὶ συγγνώμην ἐπιζητεῖν παρὰ τῆς ἑαυτοῦ γυναικός. πρὸς τούτοις οἶκόν τινα καὶ ἀνάκτορα ταῖς ἑαυτοῦ θυγατράσιν παρὰ τὸν οὕτω καλούμενον χῶρον τὰ Καριανοῦ πλουσίᾳ χειρὶ ἐξανέστησέν τε καὶ ἤγειρεν, ὧν λείψανά τινα καὶ κολωνοὶ τῆς ἐκείνων μνήμης μέχρις ἡμῶν δια-* P 60 *σώζονται.*

9. *Ἐπεὶ δὲ παλαιῷ ἔθει ἑπόμενος ἐβούλετο τοῖς τῆς Ἄγαρ τὰ τῆς αὐτοκρατορίας ποιῆσαι κατάδηλα, εἴτε δὴ κοινωνοὺς εὐφροσύνης λαμβάνων εἴτε μᾶλλον τῷ φοβερὸς μέλλειν ὁρᾶσθαι αὐτοῖς, πρὸς τὴν τοιαύτην ἄξιον διακονίαν κρίνει Ἰωάννην τὸν τότε μὲν σύγκελλον, αὐτοῦ δὲ πρότερον, ὡς ἔφθημεν εἰπόντες,*

hactenus eius nomen literis expressum celebri memoria retinent. quin et meretrices ex aedibus deturbans, totumque eum locum emundans, illic domum hospitalem summa pulchritudine ingentique amplitudine, auris salubrem, amoenos habentem prospectus, suo ex nomine condidit; quibus rebus noxiae passiones morbique eliminantur ac salutaria remedia praestantur. eo scilicet animo erga scorta affectus erat. aiunt quidem eum quandoque, cum tunc paulo licentius viveret, unius ex Theodorae puellis specie captum, cum ea foedatum esse: at ubi tamen se ab honesti tramite abreptum vidit, ac alioqui nec Theodoram rem fefellisse (cui turpe facinus ingentem maestitiam ac squallorem animique dolorem afferret), iureiurando illi confessum esse, manibusque tremendum in modum ad deum sublatis hac se duntaxat vice lapsum omnino affirmasse, eiusque delicti ab ea veniam petere. ad haec domum quandam celsaque tecta ac palatia filiabus suis, ad locum quem Cariani dicunt, ingenti sumptu exstruxit atque erexit; quorum hactenus reliquiae aliquae atque rudera memoriam conservant.

9. Quia vero ex antiquo more ea quae erant Augustae maiestatis imperiique Romani volebat Agarenis conspicua facere, sive ut laetitiae socios assumeret, sive potius ut sui illis terrorem iniiceret, idoneum iudicat ac dignum qui istiusmodi munus exsequatur Ioannem tum syncellum eiusque antea, ut in superioribus diximus, praeceptorem. virum

διδάσκαλον. πολιτικῆς γὰρ εὐταξίας τοῦτον πλήρη τυγχάνοντα, οὐ μὴν δὲ καὶ τῇ αἱρέσει τούτου συμπαραμένοντα, ἔτι γε μὴν καὶ τὸ πρὸς τοὺς ἀντιρρητικοὺς λόγους κεκτημένον δραστήριον, ἠγάπα
B οὗτος καὶ διαφερόντως τῶν κατ' αὐτὸν ἁπάντων ἐσέμνυνεν· οὗ δὴ χάριν καὶ πρὸς τὸν τῆς Συρίας ἄρχοντα ἐξαπέστειλεν, ἄλλα τε δοὺς αὐτῷ πολλὰ οἷς θαυμάζεται βασιλεία Ῥωμαίων καὶ τῶν ἀλλοφύλων γένος ἐπτόηται, προσεπιδοὺς δὲ καὶ χρυσίον κεντηναρίων τεσσάρων ὑπερβαῖνον ποσότητα. ἀλλὰ τὰ μὲν τῷ ἀμεραμνουνῇ ὡς δῶρα ἀπέσταλκεν, τὸ χρυσίον δέ, ὡς εἴη τῷ Ἰωάννῃ εἰς φιλοτιμίας ἐπίδοσιν, ἐπιδείξεώς τε χάριν ἅμα καὶ αὐξήσεως· εἰ γὰρ ἄμμου δίκην ὁ ἀποσταλεὶς τὸ χρυσίον ἔχει σπείρειν ὡς βούλεται,
C πολλῷ δή που μᾶλλον τὸν ἀποστείλαντα ἐπὶ πλούτου θημῶνας θαυμάζεσθαι χρή. διὸ καὶ σκεύη πρὸς τούτοις δύο ἐκ χρυσοῦ τε καὶ λίθων πολυτελῶν τὴν σύστασιν ἔχοντα, ἃ ἡ κοινὴ γλῶττα καὶ μὴ καθαρὰ καλεῖ χερνιβόξεστα, αὐτῷ ἐπιδέδωκεν, πάντοθεν ἐξαίρων τὸν ἀπόστολον αὐτοῦ καὶ κοσμῶν. ὃς δὴ ἀφικόμενος καὶ τὰ Βαγδὰ ἄρτι καταλαβὼν πολὺς μὲν ἐφαίνετο ἐκ τῆς ἔνδον περινοίας καὶ λόγου τοῦ προφητικοῦ, πολὺς δὲ ἐκ τοῦ ἔξωθεν ἐπανθοῦντος πλούτου αὐτῷ καὶ σεμνότητος, οὐ μικρά τινα τοῖς ἀποστελλομένοις καὶ πρὸς αὐτὸν φοιτῶσι διδούς, μεγάλα δὲ καὶ τῷ
D βασιλεῖ τῶν Ῥωμαίων μόνον κατάλληλα. ἐκ τούτου ἐθαυμάζετό

8 τεσσαράκοντα margo Combef. 12 πλούτῳ P, corr in margine. 18 προφορικοῦ?

namque civilis ordinis componendi scientia instructissimum, eiusque haeresis quam ille coleret longe tenacem, ad haecque disputandi solertia acrem, cum primis diligebat, ac prae omnibus sui ordinis maximo in honore habebat. ob hanc itaque causam etiam ad Syriae principem legavit, cum alia plura illi tribuens, quibus Romanum imperium sui admirationem consciscit alienigenasque in stuporem agit, tum vero etiam auri immensam summam, et quae auri centenaria quattuor excederet. verum priora quidem muneris loco ameramnunae missa: aurum vero ad Ioannis munificas elargitiones spectabat, ostentationisque causa, simul ac augendae opinionis. nam si ei qui legatione fungitur, instar arenae pro libito aurum licet spargere, potiori longe ratione, qui destinavit, ob divitiarum acervos ingentesque thesauros stupori futurus est. idcirco etiam duo vasa auro gemmisque compacta, ipsa lingua vulgari ac quae impurior sit Graece dicta χερνιβόξεστα (nos malluvia dicamus), praeterea tribuit; quo suum is legatum magnifice gloria efferret atque honestaret. cumque adeo venisset ac Bagda civitatem ingressus esset, egregie ex mentis solertia vaticiniorumque peritia clarus habetur, egregie quoque ex divitiis omnique exteriori cultu ac maiestate; non exigua quidem his qui ad se missi essent aut qui ipsi sponte obviam venirent praebens, sed magnifica, et quae unum duntaxat Romanum imperatorem decerent.

τε, καὶ τὸ αὐτοῦ διαπρύσιον ἐγίγνετο ὄνομα. ἀλλὰ πρῶτον μὲν ἄρτι τοῖς ὁρίοις τῶν βαρβάρων προσβὰς ἐξέπληξέ τε πάντας, καὶ τῆς ἐρωτήσεως χάριν αὐτῷ ὑπηντηκόσιν καὶ ὅπως ἔχοι πυνθομένοις μόνον ὁ βασιλεύς, τῇ δαψιλείᾳ τῶν δώρων καὶ τοῦ χρυσίου θαυμάσαι τούτους ἐποίησεν. τότε δὴ πλησιάσας τῷ Ἰσμαὴλ καὶ κατὰ πρόσωπον στάς, καὶ ἀπαγγείλας τοὺς ἐκ βασιλέως λόγους αὐτῷ, ἐπεὶ ἀπηγγέλκει, ἄπεισι πρὸς τὸ ἀναπαύσεως καταγώγιον. μᾶλλον δὲ P 61 καὶ μᾶλλον βουλόμενος ἐξᾶραι τὰ Ῥωμαίων πράγματα, τοὺς ἐφ᾽ οἱαδηποτοῦν αἰτίᾳ πρὸς αὐτὸν φοιτῶντας, μεγάλῃ τε καὶ μικρᾷ, σκεῦός τι ἀργύρεον χρυσίου πληρῶν ἑκάστῳ ἐπεδίδου φιλοτιμούμενος. καί ποτε δὲ τοῖς βαρβάροις συνεστιώμενος τῶν εἰρημένων δύο χειρονίπτρων τοῖς ὑπηρετοῦσι παρήγγειλεν ἀπολέσαι τούτων ἑκουσίως τὸ ἕτερον, ὃ εἰς ὑπηρεσίαν ἐκέκτητο. ὡς δὲ θροῦς τις οὐκ ἀγεννὴς ἐπὶ τῇ ἀπωλείᾳ τούτου ἐγένετο, καὶ πάντες οἱ βάρβαροι τῷ κάλλει τούτου καὶ τῇ σεμνότητι, ἔτι γε καὶ τῇ μεγαλοπρεπείᾳ βεβλημένοι τὴν ψυχὴν πολλὴν συζήτησιν ἐποιοῦντο καὶ ἔρευναν, καὶ B πάντα κάλων, τὸ δὴ λεγόμενον, ἔσειον, ὡς ἂν εἰς φῶς ἀχθῇ τὸ κλαπέν, τηνικαῦτα οὗτος τὸ ἕτερον ἐκβαλεῖν κελεύσας, καὶ "τοῦτο ἔα φθείρεσθαι" ἐπειπών, εἰς θάμβος ἦγε τοὺς Σαρακηνούς, τὴν τοιαύτην ζήτησιν αὐτοῦ καταπαύσαντος. ὅθεν καὶ ὁ ἀμεραμνουνῆς ἀντιφιλοτιμούμενος, καὶ τούτου δεύτερος ὀφθῆναι μὴ βουλόμενος,

3 τῆς] τοῖς?

hinc illi admiratio longeque ac late pervolans nominis claritas. ceterum ubi primum barbarorum fines attigit, cunctos in stuporem egit; eosque qui amicae percontationis causa obviam illi procederent, et hoc solum, quomodo imperator haberet ac quam prospera uteretur valetudine, quaererent, munerum aurique munificentia ac copia ingenti admiratione afficiebat. tunc sane ad Ismaelem accedens et in conspectum admissus, imperatoris illi sermones referens, cum perorasset, refectionis causa in diversorium secedit. eoque animo incitatus ut res Romanas magis magisque efferret, quisquis ad eum quavis ex causa maioris minorisve momenti accederet, argenteum vasculum auro nummisque plenum munifica ei largitione tribuebat. quandoque vero communi mensa cum barbaris epulans malluviorum, quae diximus, alterum, cuius illi usus in ministerio erat, ministris praecipit ut consulto amitterent. tumque non levi orta turbatione ac clamore, quod sic illud amissum esset, ac cum omnes barbari prae vasis pulchritudine et lepore ingentique pretio, iacturam aegre ferentes, nullam non diligentiam quaerendo adhiberent, ac, quod aiunt, nullum non funem investigando moverent, ut quod furto ablatum erat in lucem prodiret, iubens ille proferri alterum, servoque mandans ut prius illud perire sinat, quod sic ulterius scrutari inhibuerat, Saracenos in stuporem vertit. hinc quoque ameramnunes et ipse munifici nomen ambiens, atque id cavens ne ullatenus illi impar videretur, cum donis aliis

ἄλλοις τε δώροις αὐτὸν ἐθεράπευεν, οἷσπερ αὐτὸς οὐχ ἡλίσκετο
ἀλλ' ὡς χοῦν αὐτοῦ κατενώπιον ἔρριπτεν, καὶ ἐπεδίδου αἰχμαλώ-
C τους ἑκατὸν ἄρτι τῆς φρουρᾶς ἐξαγαγὼν καὶ ἀμφιάσεσι κοσμήσας
εὐπρεπέσι, τὰ τῆς αἰχμαλωσίας περιελόμενος ῥάκια. ἀλλὰ καὶ
οὗτος ἐπῄνει μὲν πάνυ καὶ ἀπεδέχετο τοῦ διδόντος τὸ μεγαλόδω-
ρον, ἐλάμβανε δὲ οὐδαμῶς, εἰπὼν τούτους ἐν ἀνέσει μὲν τέως καὶ
ἐλευθερίᾳ μένειν παρ' ἑαυτοῖς, μέχρις ἂν τὴν ἀντισήκωσιν ἐξεργά-
σεται καὶ ἄλλους αἰχμαλώτους Σαρακηνοὺς ἐπιδοὺς ἐκείνοις τοὺς
ἡμετέρους ἐκλήψεται. τοῦτο γοῦν γενόμενον ἐξέπληξε τὸν Σαρα-
κηνόν· καὶ οὐκέτι ὡς ξένον ὡς οἰκεῖον δὲ ἡγούμενος τοῦτον συνε-
χῶς μετεκαλεῖτο, καὶ θησαυροὺς ἐδείκνυε τοὺς ἑαυτοῦ καὶ τὰ τῶν
D οἰκημάτων κάλλη καὶ τὴν αὐτοῦ σεμνοπρέπειαν, καὶ οὕτως δὴ τι-
μῶν γε τοῦτον ἐφαίνετο, ἄχρις οὗ μεγαλοπρεπῶς πάλιν πρὸς τὴν
Κωνσταντινούπολιν ἐξαπέσταλκεν. ὃς καὶ πρὸς τὸν Θεόφιλον
ἄρτι ἐξεληλυθώς, καὶ τὰ τῆς Συρίας πρὸς αὐτὸν διεξερχόμενος,
ἔπεισε τὰ τοῦ Βρύου ἀνάκτορα πρὸς τὴν τῶν Σαρακηνῶν κατα-
σκευασθῆναι ὁμοίωσιν, ἔν τε σχήμασι καὶ ποικιλίᾳ μηδὲν ἐκείνων
τὸ σύνολον παραλλάττοντα, ἐκείνοις τούτου παρισταμένου καὶ
κατὰ τὴν Ἰωάννου ἐξήγησιν τὰ τῶν ἔργων ἐκπερατοῦντος, ὃς ὄνο-
μα μὲν Πατρίκης οὕτω καλούμενος ὠνομάζετο, τῇ τῶν πατρικίων
δὲ τιμῇ ἐσεμνύνετο, τοῦτο μόνον περιττότερον ἐργασάμενος, τὸ
P 62 κατὰ τὸν κοιτῶνα μὲν ἀνεγεῖραι ναὸν εἰς ὄνομα ὑπεραγίας δεσποί-
νης ἡμῶν θεοτόκου, κατὰ δὲ τὸ προαύλιον τῶν τοιούτων παλα-

2 καὶ om P

eum accipit (quorum ille splendore nihil captus est, sed instar pulveris coram proiecit), tum captivos centum recens carcere eductos ablatisque captivorum pannis ornato vestitu indutos, amplum scilicet munus, donavit. verum is quoque valde quidem laudat probatque dantis munificentiam, munus tamen interim respuit, aitque interim illos quidem remissius indultaque libertate gaudentes apud se acturos, donec ipse paria faciat, redditisque aliis Saracenis captivis hosce Romanos recipiat. res sic transacta stupore Saracenum affecit. nec iam ut hospite, sed ut domestico ac necessario illo utebatur, continue ad se invitans, suosque illi thesauros et domorum elegantiam, ac si quid augustius gentis moribus habebatur, visendum ostendebat; eoque illum visus est honore colere, quoadusque magnifice rursus Cpolim remisit. reversus autem ille ad Theophilum ex legatione, resque illi Syriae enarrans, suasit ut Bryense palatium ad Saracenicarum aedium similitudinem exstrueret, eadem figura ac varietate, ut nihil prorsus in utrisque diversum occurreret. praefectus operi exque Ioannis relatione exsecutus est vir Patricius nomine, qui et ipsa patricia dignitate fulgebat. unum hoc amplius habuit Theophili molitio, quod ad sacrum cubiculum sub invocatione sanctissimae dominae nostrae dei genitricis sacram aedem exstruxit, ut et templum

τίων τὸν τρίκογχον ναὸν κάλλει τε κάλλιστον καὶ μεγέθει πολλῶν διαφέροντα, καὶ τὸ μὲν μέσον εἰς ὄνομα τοῦ ἀρχιστρατήγου, τὰ δὲ ἑκατέρωθεν τούτου εἰς μαρτύρων γυναικῶν ἁγίων ὀνόματα.

10. Καὶ περὶ μὲν τὰ τοιαῦτα ἐδόκει τε καὶ ἐνομίζετο μεγαλοπρεπὴς ὁ Θεόφιλος καὶ θαυμαστός· περὶ δὲ τοὺς πιστοὺς ἡμᾶς καὶ τοὺς τὰς σεπτὰς καὶ θείας εἰκόνας προσκυνοῦντας οἷος! ὡς βάρβαρός τις καὶ αὐστηρός, πάντας παρελάσαι φιλονεικῶν B ἐπὶ τούτῳ δεινούς. οἱ μὲν γὰρ πρὸ αὐτοῦ (Λέων δὲ ἦσαν καὶ Μιχαὴλ ὁ τούτου πατήρ) ὁ μὲν ἐθέσπισεν μή τινι τῶν γεγραμμένων εἰκόνων, κἂν εἴ που γραφόμεναι τύχοιεν, τὴν ἅγιος φωνὴν ἐγχαράττεσθαι, ὡς οὐκ ἄλλῳ τινὶ ταύτην ἁρμόζει ἐπιγράφεσθαι ἢ τῷ θείῳ οὐκ εὐστόχως βαλὼν τῷ νῷ· πῶς γάρ, εἴγε καὶ αὐτῆς τῆς θεός φωνῆς ὑψηλοτέρας οὔσης μεταδοὺς ὁ θεὸς τοῖς ἀνθρώποις, τοῖς οὐ φύσει, θεοῖς δέ φημι, εἴγε αὐτὸς διὰ τοῦ προφήτου ἦν ὁ φθεγξάμενος, τῆς ἅγιος ἀποστερήσει ταπεινοτέρας οὔσης C κατὰ πολύ; πλὴν ὁ μὲν τοῦτο, φησί, θεσπίσας ἦν, ἅτερος δὲ ὁ Λέων τὸ μηδὲ προσκυνεῖσθαι· ἐγὼ δὲ τὸ μηδὲ χρώμασι ταύτας τυποῦσθαί τε καὶ μορφάζεσθαι, καθὸ χαμαιπετῆ ὄντα οὐ χρὴ πρὸς ταῦτα ἐπτοῆσθαι, πρὸς μόνην δὲ τὴν ἀλήθειαν σκοπεῖν. ἐντεῦθεν οὖν καθῃροῦντο μὲν κατὰ πᾶσαν ἐκκλησίαν αἱ θεῖαι μορφαί, θηρία δὲ καὶ ὄρνιθες ἀντὶ τούτων ἀνεστηλοῦντο καὶ ἐνεγρά-

14 οὐ φύσει θεοῖς, θέσει δέ interpres.

triconchum pro palatii atrio (velut triplici apside), longe illud pulcherrimum ac multis mole praestans. ac media quidem porticus caelestis militiae principis Michaelis nomine dicata est; utrinque vero positae, sacrarum mulierum dicatae nomine, quae ipsae martyria dedicarunt.

10. Atque his quidem in rebus magnifici nomen admirationemque meruit Theophilus: erga fideles vero, ac qui venerandas sacrasque imagines colerent, qualem se exhibuit? plane ut barbarum durumque, ac qui decessores omnes tyrannos eo nomine odioque superare contenderet. fuerunt illi Leo ac Michael eius pater, cuius sanctio fuerat ut nulli pictarum imaginum, quovis illae loco pictae haberentur, nomen *sanctus* adscriberetur; quod eum titulum ac vocem uni duntaxat deo convenire arbitraretur. non felici satis coniectura. quomodo enim, cum et vocem *deus* longe sublimiorem, hominibus, non natura sed adoptione diis, deus impartiat, si quidem ipse per prophetam ait "ego dixi, dii estis," (Psalm. 81 6) sancti vocem longe abiectiorem his ablatam velit? haec enimvero Michaelis lex atque sanctio. alter vero, scilicet Leo, nullam eis venerationem habendam constituerat. "at ego" inquit "iubeo ne coloribus quidem esse pingendas, eo quod non deceat humilem degenerique animi proposito rerum eiuscemodi admiratione defigi, inque solam veritatem omnis mentis intentio dirigenda sit." divinae itaque effigies in cunctis ecclesiis deiiciebantur, earumque loco bestiarum aviumque simulacra erigebantur ac pictis coloribus repraesentabantur, belluinam

φοντο, τὴν θηριώδη καὶ ἀνδραποδώδη τούτου διάνοιαν ἐξελέγχοντα. ἐντεῦθεν βεβήλοις χερσὶ δι' ἀγορᾶς τὰ ἱερὰ κειμήλια ἐφυ-
D βρίζοντο καὶ ἄλλως ἐρριπτοῦντο κατὰ τῆς γῆς πυρὶ διδόμενα, καὶ κοινὰ τὰ τίμια ἐλογίζοντο, ὅσα τὰς θείας ἔφερον ἐγκεκολαμμένας μορφάς. ἐντεῦθεν πλήρη μὲν τὰ πολιτικὰ δεσμωτήρια τῶν διὰ τιμῆς ἀγόντων αὐτάς, τῶν γραφόντων, τῶν μοναζόντων, τῶν ἐπισκόπων, τῶν ποιμένων, τῶν ποιμαινομένων, πλήρη δὲ τὰ ὄρη τε καὶ τὰ σπήλαια τῶν ὡς κακούργων ἀναιρεθέντων λιμῷ τε καὶ δίψει, καὶ τῶν ἐκ πολιορκίας δεινῆς οὐκ ἐπ' ἔλαττον. ἄρτι γὰρ ἀβάτους τηρεῖσθαι τοῖς μοναχοῖς τὰς πόλεις ἐγκελευσάμενος, καὶ πάντη τούτους ὡς ἀποτρόπαιον ἀπελαύνεσθαι θεσπίσας, ἀλλὰ
P 63 μηδὲ κατὰ χώραν ὁρᾶσθαι τολμᾶν, εἰργάσατο τούτων τὰ μοναστήρια καὶ ἡσυχαστήρια περιφανῶς πολυάνδρια καὶ κοσμικὰ καταγώγια. τινὲς μὲν γὰρ αὐτῶν προδοῦναι τὴν ἀρετὴν καὶ τὸ ἱερὸν ἔνδυμα οὐμενοῦν θέλοντες λιμῷ τακέντες καὶ κακουχίαις ἐξέλιπον· οἱ δὲ πρὸς τοσοῦτον ἀγῶνα μηδ' ἀντοφθαλμεῖν δυνάμενοι τῶν ἐνδυμάτων μὲν κατωλιγώρησαν, τὴν ἑαυτῶν δὲ σωτηρίαν πως ᾠκονόμησαν· ἕτεροι δὲ ῥαθυμότερον διαζῶντες τὸν ἄνετον καὶ ἐκλελυμένον ἠσπάσαντο βίον, τῶν θείων ὕμνων καὶ ᾠδῶν
B καὶ ἐσθήματος ἀφειδήσαντες, τὸ μηδὲ τούτους τελεῖσθαι τοὺς συλλόγους τὸν τύραννον βούλεσθαι, ἃ πολλάκις καὶ μόνα δύνανται τηρεῖν καὶ οἷον χαλινός τις εἶναι τοῖς πρὸς τὰ πάθη ἀτάκτως κατολισθαίνουσιν.

20 τῷ?

ac illiberalem Theophili arguentia insaniam. exinde sacrosancta donaria in foro impuris manibus ignominiose tractabantur ac temere in terram iactabantur ignique tradebantur, profanaque ac communia pretiosa reposita ac cimelia habebantur, quaecunque divinas formas insculpta habebant. hinc publici carceres iis pleni qui cultum illis adhibebant, pictoribus, monachis, episcopis, pastoribus, subditis. montes quoque ac speluncae iis replebantur, qui velut malefici fame et siti, haud secus ac in obsidione hostili, dire conficiebantur. cum enim sanxisset ne monachis ullam in urbem liber esset ingressus, et ut velut mundi piacula omnino arcerentur, ac ne ruri quidem tuto videri sinerentur, qua utique molitione atque opera eorum monasteria locaque solitudini ac silentio dedita mortuorum palam sepulcra reddidit saeculariumque hospitia. nam quidam eorum, cum ut virtutem sacrumque habitum proderent induci non possent, fame aerumnisque confecti defecerunt: alii vero tanto certamini impares, ac nec adversum ausi intueri, habitum quidem neglexerunt, suam tamen salutem quoquomodo procurarunt: alii denique segnius vitam instituentes, delicias ac luxuriam consectati sunt, ne divinarum quidem laudum et canticorum habitusque rationem habentes, eo quod his quoque conventibus tyrannus illis interdictum vellet, qui vel soli non raro servare possint ac velut frenum temere in vitia prolabentes coerceant.

11. Πλὴν οὐκ ἦν πάντῃ τὴν παρρησίαν καὶ ἐλευθερίαν ἰδεῖν τῶν ἀνθρώπων ἀποφοιτήσασαν, ἀλλὰ τῶν θερμοτέρων τινὲς μὲν καθ' εἷς τινὲς δὲ συστάδην, ὡς οἱ τῆς τῶν Ἀβρααμιτῶν μονῆς ὁρμώμενοι, αὐτῷ λογικῶς ἔκ τε τῶν εἰρημένων τοῖς πατράσιν ἡμῶν Διονυσίῳ τε τῷ θείῳ καὶ Ἱεροθέῳ καὶ Εἰρηναίῳ ἀπεδείκνυον ὡς οὐ χθὲς καὶ πρῴην ἡ τῶν μοναχῶν πολιτεία τε καὶ κατάστασις C ἐπινενόηται, παλαιὰ δέ τις καὶ ἀρχέγονος καὶ τοῖς ἀνθρώποις ἐπέραστος. οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν θείων εἰκόνων ἐκτύπωσιν σύντροφόν τε τῶν ἀποστόλων καὶ ὁμοδίαιτον ἀπεδείκνυον, εἴγε Λουκᾶς μὲν ὁ θεῖος τὴν τῆς θεοτόκου μορφὴν ἐνετύπωσεν, αὐτὸς δὲ Χριστὸς ὁ δεσπότης ἡμῶν καὶ θεὸς τὴν ἑαυτοῦ ἐπί τινος ὀθόνης ἀπομαξάμενος ἀχειρότευκτον ἡμῖν ἐγκατέλιπεν. οὗτοι γοῦν οἱ θειότατοι ἄνδρες τὴν τοῦ τυράννου μανίαν καὶ θηριωδίαν ἐκκαλεσάμενοι τῷ σφόδρα παρρησιασθῆναι μετὰ πολλὰς ἑτέρας βασά- D νους τῆς πόλεως ἐξώσθησαν, πρὸς δὲ εὐκτήριον προδρόμου τὸ οὕτω καλούμενον τοῦ Φοβεροῦ κατὰ τὸν Εὔξεινον πόντον πεφευγότες, καὶ ταῖς τῶν μαστίγων ἀφορήτοις φοραῖς τελείως καταπονηθέντες, τῆς ἄνω λήξεως ἠξιώθησαν· ὧν καὶ τὰ ἱερὰ σώματα ἐπὶ πολὺ ἄλλως ἐρριμμένα πρὸς τοὔδαφος, μηδὲ τῆς ταφῆς εὐμοιρηκότα, σῶα διετηρήθησαν καὶ ἀλώβητα, μέχρις ὅτου τοῖς πιστοῖς γενόμενα φανερὰ ἐκηδεύθησάν τε καὶ καταλλήλως τοῖς ὑπὲρ Χριστοῦ μαρτυρήσασιν ἐτιμήθησαν.

11. Nec tamen fieri poterat ut prorsus ex humana vita dicendi libertas exulare videretur. sed eorum qui maiori fervore ducebantur, quidam singuli, quidam vero conferto agmine, veluti Abrahamitae monachi, hominem adorientes, erudite, ac tum ex sanctorum patrum dictis, admirandi nimirum Dionysii et Hierothei ac Irenaei, demonstrarunt non nuper ac recens adinventam monachorum vivendi rationem et disciplinam, sed esse perantiquam priscaeque originis magnoque in pretio hominibus habitam; tum sacrarum imaginum efformationem ab apostolorum iam aevo illisque familiarem ostenderunt, quando et divinus Lucas sanctae deiparae imaginem penicillo ac coloribus expressit, ipseque adeo Christus dominus ac deus noster linteo impressam sui imaginem nulla manus opera elaboratam nobis reliquit. hoc modo divinissimi isti viri cum tyranni dementiam ac saevitiam prae summa dicendi libertate irritassent, post multos alios cruciatus urbe eiecti sunt; qui cum ad praecursoris oratorium sic nuncupatum Phoberi (velut tremendi dicas), in Ponto Euxino situm, confugissent, verberum diris ictibus prorsus confecti caelestem beatitudinem consecuti sunt. horum sacra pignora diu multumque in solo temere iactata atque proiecta nec sepulturae honorem consecuta integra illaesaque servata sunt, donec tandem fidelibus agnita atque elata conveniente honore iis qui pro Christo martyrium sumpserunt donata sunt.

P 64 12. *Τούτοις ἐφάμιλλος καί τις γενόμενος μοναχός, ἄρτι δὲ πρὸς ἀρχὴν τῆς ἱερωσύνης ἀναδραμὼν καὶ ζήλου πλησθείς, τὸν τύραννον ἐλέγξαι διέγνωκε καὶ περὶ τῶν ἁγίων εἰκόνων πεῖσαι, εἰ δυνατόν. καὶ δὴ κατὰ πρόσωπον αὐτοῦ στὰς ἄλλα τε διεξῄει πολλὰ καὶ τὸ τοῦ ἀποστόλου Παύλου ῥητόν, τοῦτο δὴ τὸ φάσκον "εἴ τις ὑμῖν εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω." ἀλλὰ καὶ τούτῳ πληγὰς ἐπιθεὶς οὐκ ὀλίγας, ἐπεὶ σοφώτερα λέγειν διέγνωκεν αὐτοῦ τε δυνατώτερα εἰπεῖν, πρὸς τὸν Ἰωάννην ἐξαπέσταλκεν, καθηγητὴν αὐτοῦ γεγονότα τε καὶ διδάσκαλον, δια-* B *λεκτικαῖς ἀποδείξεσι χρώμενον καταβαλεῖν αὐτὸν ἐγκελευσάμενος. ἀλλὰ καὶ τοῦτον ὁ γενναῖος ἀγωνιστὴς οὐ ταῖς σοφιστικαῖς καὶ διαλεκτικαῖς ἀποδείξεσι, τοῖς ἀποστολικοῖς δὲ καὶ εὐαγγελικοῖς ῥήμασιν ἀφωνότερον ἰχθύων ἀποδείξας τέως μὲν ἀπὸ τούτου ἐγένετο, ὕστερον δὲ πρὸς τὸ Καλὸν οὕτω λεγόμενον ἀποδημήσας ὄρος, Ἰγνάτιόν τινα θεοφόρον ἄνδρα καταλαβὼν χειροτονίας τε ἠξίωσεν, καὶ περὶ τῶν μελλόντων πραγμάτων τε καὶ βασιλέων ἀναδιδάξας, ἄχρι καὶ τοῦ φιλοχρίστου Λέοντος καὶ τῶν τέκνων αὐτοῦ διαμείνας, πρὸς κύριον ἐξεδήμησεν.*

C 13. *Ἐπεὶ δὲ πάντας τοὺς τὰς θείας ἐκτυποῦντας μορφὰς ἐξ ἀνθρώπων ποιεῖν ὁ τύραννος ἐνενόησεν ἢ τὸ ζῆν αἱρουμένους ἐμπτύειν τε καὶ ὡς βέβηλά τινα ἐπ' ἐδάφους ῥιπτεῖν καὶ καταπατεῖν καὶ οὕτω σώζεσθαι, καὶ τὸν μοναχὸν Λάζαρον (περιβόητος*

12. His assimilis parique clarus facinore monachus quidam, nunc vero ad sacerdotii arcem subvectus divinaque aemulatione plenus, tyrannum arguere constituit ac, si fieri posset, colendas sacras imagines illi persuadere. adeoque hominem coram conveniens cum alia multa disputat, tum apostoli eam auctoritatem urget, quae ait, si quis vobis annuntiaverit praeter quam quod accepistis, anathema sit (Gal. 1 8). verum hunc quoque multis verberibus affectum, cum sapientiorem quam pro sui ratione ac disputando acriorem tyrannus adverteret, ad Ioannem suum quondam praeceptorem ac magistrum misit, iubens ut dialecticis eum rationibus ac argumentis deiiceret. verum hunc quoque praeclarus certator, non sophisticis ac dialecticis rationibus, sed apostolicis evangelicisque testimoniis, pisce magis elinguem cum reddidisset, illo hactenus solutus est. postea vero ad montem Calon dictum (ac si pulchrum nomines) veniens, ac illic divinum quendam virum deoque afflatum Ignatium offendens, ab eo ordinationis munus consecutus est, deque rerum ac imperatorum successionibus vaticinatus, ad Christi amantem Leonem Augustum ac liberos eius perseverans, ad dominum migravit.

13. Porro cum Theophilus divinarum imaginum pictores omnes e medio tollere statuisset, aut si vitae suae mallent consulere, sacras imagines conspuere ac velut profana quaedam solo allidere et conculcare iussisset, ut hoc facto incolumitatem suam redimerent, Lazarum quoque

δὲ τηνικαῦτα κατὰ τὴν ζῷα γράφουσαν ὑπῆρχε τέχνην) βιάζεσθαι τὸν ἄνδρα διέγνωκεν. ἀλλὰ καὶ τοῦτον κρείττω μὲν τῶν θωπειῶν κρείττω δὲ καὶ τῆς αὐτοῦ γνώμης εὑρίσκων, οὐχ ἅπαξ ἢ δὶς ἀλλὰ καὶ πολλάκις ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος, τοσοῦτόν ταῖς βασάνοις κατῄκισεν ὡς πρῶτον μὲν συναπορρέειν τὰς σάρκας τῷ αἵματι καὶ μηδὲ ζῆν ὅλως ὑπονοεῖσθαι παρὰ πολλῶν. ἐπεὶ δὲ τῷ δεσμωτηρίῳ τοῦτον αὖθις ἐγκαθειργμένον μόλις τε ἀναρραΐσαντα διήκουσε, D *καὶ τῇ ἑαυτοῦ τέχνῃ ἐνασχολούμενον τὰς τῶν ἁγίων ἐν πίναξιν ἀναστηλοῦν μορφάς, πέταλα σιδηρᾶ ἀπανθρακωθέντα ταῖς παλάμαις αὐτοῦ τεθῆναι προσέταξεν. ἐβόσκετο οὖν τὸ πῦρ τὰς σάρκας αὐτοῦ καὶ κατενέμετο, ἄχρι ποτὲ ἀπαγορεύσας ἔκειτο ἡμιθνής. ἀλλ᾽ ἔδει τοῦτον ὑπὸ τῆς χάριτος διατηρεῖσθαι καὶ τοῖς ὕστερον ἔναυσμα· ὅθεν ἐπεὶ τὰ τελευταῖα πνεῖν τὸν ὅσιον ἀνεμάνθανεν, ἱκετείαις τῆς Αὐγούστης καί τινων ἄλλων οἰκειοτέρων τῆς εἱρκτῆς μὲν ἀπέλυσεν, ὁ δὲ πρὸς τὸν ναὸν τοῦ προδρόμου τὸν οὕτω καλούμενον τοῦ Φοβεροῦ ἐναπεκρύβη, ἔνθα καὶ τῶν πληγῶν συνουσῶν* P 65 *αὐτῷ εἰκόνα διέγραψε τοῦ προδρόμου τὴν καὶ μέχρις ἡμῶν διασωζομένην τε καὶ ἰάσεις ἐπιτελοῦσαν πολλάς. καὶ τότε μὲν ταῦτα, μετὰ δὲ τὴν τοῦ τυράννου ἀποβίωσιν, τῆς ὀρθοδοξίας ἀναλαμψάσης, τὴν ἐν τῇ Χαλκῇ εἰκόνα τοῦ θεανθρώπου Ἰησοῦ Χριστοῦ οἰκείαις οὗτος χερσὶν ἀνεστήλωσεν. ὃς καὶ καλούμενος ὑπὸ τῆς περιφανοῦς Θεοδώρας συγγνώμην δοῦναί τε καὶ αἰτήσασθαι τῷ ταύτης ἀνδρί, "οὐκ ἄδικος ὁ θεός" ἔφη, "ὦ βασίλισσα, ἐπι-*

monachum ea aetate pingendi arte celebrem in sua vota cogendum esse putavit. unde cum et adulationibus superiorem nec suae quicquam voluntati cedentem offendisset, cum ille non semel et iterum sed et saepius eum reprehendisset, adeo diris ipsum verberibus subiecit, ut primum una cum cruore carnes dissilirent ac ne vivere quidem multis aestimaretur. ubi autem in carcere inclusum, paulo mitius ab aegritudine habentem artemque repetentem, sacras denuo in tabellis imagines pingere audivit, laminas ferreas candentes eius palmis admoveri iussit. igne itaque eius depascente carnes tamdiu duravit, donec victus malo semianimis iacuit. verum decebat ut divina gratia eum posteris velut igniculum incolumem praestaret. quoniam igitur tyrannus eum iam animam agere audierat, Augustae supplicationibus nonnullorumque aliorum ex intimis magisque necessariis motus ipsum e carcere dimisit. ita demum, in praecursoris templo, quod Phoberi vocant (velut dicas terribilis), se occultavit; ubi etiam aegre ex plagis habens eiusdem praecursoris imaginem depinxit, quae et hactenus exstat multosque aegrotantium morbos depellit. atque haec hactenus. exstincto autem tyranno cum rectae fidei lux affulsisset, dei hominis Iesu Christi imaginem in Chalce porta (id est aerea) suis ipse manibus excitavit. tum invitante illustri Theodora ut viro veniam daret atque rogaret, "non iniustus" inquit, "o Augusta, est deus, ut nostrae dilectio-

λαθέσθαι τῆς ἡμῶν ἀγάπης καὶ τῶν πρὸς αὐτὸν κόπων, ἐκείνου
B δὲ τὸ μῖσος καὶ τὴν ὑπερβάλλουσαν μανίαν καὶ προτιμῆσαι." ἀλλὰ ταῦτα μὲν ὕστερον.

14. Καί ποτε δὲ τὸν ὁμολογητὴν Θεοφάνην καὶ Θεόδωρον τὸν αὐτοῦ ἀδελφόν, ἐπείπερ λογιότητι διαφέροντας ἀνεγίνωσκε τῶν πολλῶν, κατὰ τὸν τοῦ Λαυσιακοῦ τρίκλινον ἐξεκάλει δημοσίᾳ διαλεξομένους περὶ τῆς πίστεως· καὶ "ἄγε δή" φησίν, "ὑμεῖς ὦ κατάρατοι, τίσι πειθόμενοι ῥήσεσι τῆς γραφῆς καὶ τεθαρρηκότες τὰ εἴδωλα" ἀφέτῳ δὴ γλώσσῃ καὶ μιαρᾷ τὰς ἁγίας εἰκόνας οὕτω καλῶν "προσκυνεῖτε, καὶ τοὺς πολλοὺς καὶ ἀκεραίους καλῶς ἔχειν
C οὕτω ποιεῖν διαβεβαιοῦσθε;" καὶ ἄλλ' ἄττα προσετίθει βλάσφημα καὶ ἀπηχῆ κατὰ τῆς εἰκόνος Χριστοῦ τοῦ θεοῦ γεγωνοτέρᾳ φωνῇ. καὶ οὗτοι δὴ μακάριοι, "ἐμφραχθείη τὸ στόμα" εἰπόντες "τὸ κατὰ τοῦ θεοῦ λαλοῦν ἄνομα," καὶ τούτῳ δὴ τὸ θράσος αὐτοῦ καταβαλόντες (οὐ φέρει γὰρ βασιλεὺς ἄδικος κατὰ πρόσωπον ἐλεγχόμενος), τὸν θῶπα τέως ὑποκρίνεται, καὶ παρὰ τῶν προφητῶν ἐζήτει μαρτυρίας εἰς αὐτὸ τοῦτο ἐναγούσας, τὸ προσκυνεῖσθαι αὐτάς. τοῦ δὲ μακαρίου Θεοφάνους ῥῆσίν τινα ἐκ τῆς τοῦ Ἡσαΐου προσάγοντος προφητείας, οὐκ ἔχειν οὕτως ταύτην ὁ Θεόφιλος ἀντέλεγεν, καὶ ἅμα τὴν ἑαυτοῦ βίβλον ἀνελίττων ἐδείκνυε τοὺς
D λόγους πιστούς. ὡς δὲ νενοθεῦσθαι ὑπ' αὐτοῦ οὐ ταύτην δὴ μόνον ὁ ἅγιος ἐπεβόα, ἀλλὰ καὶ πάσας τὰς εἰς αὐτοῦ χεῖρα βίβλους

13 δὴ] οἱ? an δὴ οἱ? 20 ἐδεικνύει vulgo et hoc loco et alio quodam supra correcto.

nis nostrorumque eius causa laborum ac aerumnarum obliviscatur, illiusque odii exsuperantisque insaniae maiorem rationem habeat." verum haec postea.

14. Quia autem Theophanem confessorem eiusque fratrem Theodorum, quam pro vulgi usu, maiore praestare eruditione non ignorabat, sibi eos ad Lausiacum triclinium quandoque sisti publice de fide disputaturos iussit. atque ibi "agedum" inquit, "exsecrabiles vos, quibusnam scripturae locis ac testimoniis persuasi idola" (sic nimirum sacras imagines impotenti impuroque ore vocans) "colitis, simplicique vulgo ut sic faciant operae pretium esse asseritis?" aliaque blasphema atque absona adversus Christi dei imaginem clariori voce magisque contenta adiecit. ad haec cum beati viri dicerent "obstruatur os, quod loquitur adversus deum iniquitatem" (Psalm. 62 12), eoque vocis tonitruo tyranni audaciam depressissent (non enim rex iniustus patienter sustinet, cum in faciem arguitur), interim blandiri simulat, exque prophetis in eam ipsam rem, et quibus suadeatur adorandas esse imagines, testimonia afferri rogat. cumque vir beatus Theophanes locum aliquem ex Isaiae prophetia adduceret, respondit Theophilus eum locum non sic habere; simulque librum suum evolvens vera se loqui exque codicis fide ostendebat. ibi Theophanes vociferari, non hunc modo librum, sed et omnes qui in

ἐληλακυίας, ἐκείνην ἔλεγε προστιθεὶς τὴν βίβλον ἰέναι πρὸς αὐτὸν τὴν κατὰ τὴν πατριαρχικὴν ἐν τῷ Θωμαΐτῃ κατὰ τήνδε τὴν θέσιν κειμένην βιβλιοθήκην εἰς τῶν λεγομένων βεβαίωσιν. ἐπεὶ γοῦν ἀπέσταλτό τις καὶ θᾶττον ἢ λόγος ἤγαγεν, ἑκὼν μὲν ὁ βασιλεὺς περὶ τὴν τοῦ ῥητοῦ εὕρεσιν ἡμάρτανεν καὶ ἀλλαχοῦ ἀνείλιττεν αἰσχυνόμενος· ὡς δ' ὑπὸ τοῦ μακαρίτου Θεοφάνους ἀνεδιδάσκετο, δακτυλοδεικτοῦντος ὡς ἔτι τρία φύλλα διαβιβάσας τὸ ζητούμενον καταλάβοις, τότε δὴ μὴ φέρων τὴν ἐκ τῶν ἀνδρῶν παρρησίαν, P 66 ἀλλὰ καὶ τὴν ἀλήθειαν ἔχειν οὕτως εἰδώς, τὸ τῆς μακροθυμίας μέχρι τοῦ νῦν ἐπίπλαστον ἀπορρίψας καὶ τὸν θῆρα ἀνακαλύψας "οὐ δίκαιον" ἔφησε "βασιλέα ὑπὸ τοιούτων ἀνδρῶν ἐνυβρίζεσθαι." ὅθεν προσέταξεν ἐν τῷ τοῦ Λαυσιακοῦ μεσοκηπίῳ ἀπαχθέντας ἀνὰ διακοσίων ῥάβδων τυφθῆναι, καὶ τῷ μετώπῳ αὐτῶν ἐπιγραφῆναι βαρβαρικῶς ἐγκεντηθέντας οὓς συνέθηκε λήρους ἰαμβικούς. εἰσὶ δὲ οὗτοι.

πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες
ἔστησαν εἰς σύστημα τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ B
σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρὰ δεινὰ δυσσεβόφρόνως,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες

14 ἐκκεντηθέντας P 18 σύστασιν P, corr in margine.

Theophili manus venissent, ab eo corruptos esse; illum ad se afferrent codicem, dicens, qui in patriarchali bibliotheca sancti Thomae tali pluteo ac loco exstaret, ad fidem verbis faciendam. missus itaque quispiam est, dictoque citius librum attulit. imperator de industria a loco aberrat, inque alia parte verecundia ductus evolvit. cum autem beatus Theophanes ostenderet intentoque digito monstraret fore ut tribus foliis evolutis in locum incideret, tunc sane non ferens ille virorum dicendi libertatem, sibique ipse veritatis conscius, simulatae hactenus patientiae larvam abiiciens feramque detegens, "haud" inquit "aequum ut a talibus imperatori illudatur." iubet itaque in interiorem Lausiaci hortum adductos ducentis unumquemque fustibus concidi; inque eorum frontibus barbarico more punctim incisis, infuso atramento, ineptos hosce iambos, ipsomet eorum auctore, inscribi iussit. "cunctis ad urbem accurrere affectantibus, castissimos in qua dei verbum pedes fixit, generi salutem ut humano daret, apparuere et isti venerando in loco, superstitiosi, erroris vasa pessima. et inde, multa postquam perfidi deo facinora patravissent turpia impie, ut desertores, vertere iussi sunt solum. fugaque in urbem

οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας.
ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν
κατακρίνονται καὶ διώκονται πάλιν.

τούτου δὲ θᾶττον γενομένου ἐκεῖνοι μὲν τὸν τῆς ὁμολογίας καὶ μαρτυρίας ἀνεδήσαντο στέφανον, οὗτος δὲ ὁ σοβαρὸς καὶ πάντων
C ἀθλίων ἀθλιώτερος πᾶσιν ἐδείχθη βλάσφημος καὶ διώκτης καὶ τῶν πώποτε κακοδόξων κακοδοξότερος.

15. Πρὸς τούτοις δὲ καὶ Μιχαὴλ τὸν σύγκελλον τῆς κατὰ τὴν ἁγίαν πόλιν ἐκκλησίας σὺν ἑτέροις πολλοῖς ἀσκηταῖς κατὰ τὴν φυλακὴν ἐγκαθεῖρξεν, τῇ πολυχρονίῳ κακώσει ὑπάξαι μηχανώμενος.

Τὰ μὲν δὴ κατὰ τῶν πιστῶν καὶ ἁγίων τοιαῦτα αὐτοῦ τὰ νεανιεύματα· καὶ τὸν μὲν δι' ἡμᾶς ὀφθέντα ἄνθρωπον, θεὸν ὄντα ἀληθινόν, οὕτως ὕβριζέ τε καὶ τοὺς ἑαυτοῦ ἁγίους θεράποντας οὐχ οὕτω βραχεῖ χρόνῳ καὶ περιωρισμένῳ κατὰ πάντα δὲ
D τὸν ἑαυτοῦ χρόνον τῆς ζωῆς ἐκάκου καὶ ἀνηκέστοις ὑπεβάλλετο συμφοραῖς. (16) ὕμνους δέ τινας ποιῶν καὶ στιχηρὰ μελίζων ᾄδεσθαι προετρέπετο· μεθ' ὧν καὶ τὸ τοῦ τετάρτου ἤχου "εὐλογεῖτε," ἐκ τοῦ κατὰ τὴν ὀγδόην "ἄκουε κόρη" ᾠδὴν μεθαρμοσάμενος καὶ ῥυθμὸν παρασχών, ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ εἰς πάντων ἐπήκοον ᾄδεσθαι διωρίσατο. φέρεται δὴ καὶ λόγος τις ὡς αὐτὸς οὗτος ὁ Θεόφιλος ἔρωτι τοῦ μέλους βαλλόμενος, καθάπερ πατέρες

14 ὑβρίζεται P   ἀληθινοὺς Cedrenus et Scylitzes.   16 ὑπέβαλλε ταῖς σ.?

hanc delati, imperii caput, non destitere ab impia vecordia. compuncti igitur, facinorosi veluti, notis ex urbe damnati pelluntur hac quoque." his itaque statim peractis, isti quidem confessionis et martyrii coronam reportarunt: at ferox imperator, omnes miseros maiori ipse miseria superans, blasphemi sibi nomen ac persecutoris apud omnes ascivit, et ut omnium, quotquot unquam fuerunt, haereticorum pessimus haberetur.

15. Praeterea Michaelem quoque, sanctae civitatis (Hierosolymorum scilicet) ecclesiae syncellum, cum aliis multis monachis in carcerem compegit, longi temporis maceratione eos se subacturum sperans.

Atque haec eiusque generis Theophili adversus fideles sanctosque facinora. et in eum quidem, qui cum verus deus esset, propter nos homo factus est, in hunc modum contumeliosus erat, sanctosque eius famulos, non ita brevi ac definito tempore, sed quandiu superstes fuit, aerumnis conficiebat extremisque malis affligebat. (16) quaedam vero cantica edens versusque ac modulos pangens canere ea iussit; in quibus et "benedicite" quarti toni ex ode octava "audi filia" concinnans rythmumque apponens in dei ecclesia cunctis audientibus cantari praecepit. sed et fama est eundem ipsum Theophilum, sic modulati cantus amore

περὶ τὰ ἔκγονα, κατὰ τὴν μεγάλην ἐκκλησίαν ἐν φαιδρᾷ πανηγύρει οὐ παρῃτήσατο τὸ χειρονομεῖν, δοὺς τῷ κλήρῳ αὐτῆς λίτρας P 67 ὑπὲρ τούτου χρυσίου ἑκατόν. καὶ τὸ στιχηρὸν δὲ τὸ κατὰ τὴν βαϊοφόρον, "ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ λαοί," τῆς ἐκείνου φασὶν εἶναι τόκον ψυχῆς.

17. Ἐπεὶ δὲ καὶ τὸν τῆς κεφαλῆς κόσμον ὀλίγον πως ἐκ φύσεως ἔφερε καὶ ψιλὸς τὰς τρίχας ὑπῆν, ἐθέσπισεν ἁπανταχῇ ἐν χρῷ ταύτας ἀποκείρειν καὶ μή τινα Ῥωμαῖον ὄντα τοῦ τραχήλου περαιτέρω φέρειν συγχωρεῖν· εἰ δέ τις φωραθῇ, πολλαῖς αἰκιζόμενον μάστιξι πρὸς τὴν τῶν προγόνων Ῥωμαίων ἐπανάγεσθαι ἀρετήν· τούτῳ γὰρ καὶ οὗτοι τριχώματι ἐσεμνύνοντο. ὅθεν καὶ νόμον ἐξέθετο τοῦ μή τινα διόλου κατατολμᾶν περαιτέρω τοῦ αὐχένος προβαίνειν ἐᾶν.

18. Ἔδει δὲ ἄρα καὶ τὰ κατ' αὐτὸν καὶ τὴν αὐτοῦ συγγέ- B νειαν προνοήσασθαί τε καὶ διοικῆσαι κατὰ τὸ τούτῳ δοκοῦν· καὶ διὰ τοῦτο, ἐπεὶ πέντε μὲν ἔτυχε τηνικαῦτα θυγατέρων ὑπάρχειν πατήρ, ἔρημος δὲ ἀρρενικῆς ὡρᾶτο γονῆς, τὴν πασῶν ἐσχάτην Μαρίαν ὑπερβαλλόντως ἠγαπημένην οὖσαν τῶν ἄλλων ᾠήθη δεῖν συζεῦξαι ἀνδρί. ὁ δ' ἀνὴρ τῆς τῶν Κρηνιτῶν κατήγετο γενεᾶς, χώρας τῆς τῶν Ἀρμενίων, Ἀλέξιος τοὔνομα, Μουσελὲ τὴν ἐπωνυμίαν, τῷ εἴδει ὡραῖος, ἀκμάζων τὴν ἡλικίαν, οἰκῶν κατὰ τὸ τῆς ἀκροπόλεως μέρος, κατὰ τὰς οὕτω καλουμένας τῆς Κρηνιτίσσης

4 ἐκείνης P   10 αἰκιζόμενος P

illectum, ac velut se parentes ad filios ac nepotes habent, haud a dignitate officioque alienum putasse solenni quandoque festo in magna ecclesia manu gestuque certa lege movendo cantoribus praeire, eam in rem centum auri libris eius ecclesiae clero tributis. modulum quoque in die festo palmarum, "exite gentes, exite et populi," eius ingenii fetum esse dicunt.

17. Quia vero a natura paucos rarosque capillos habebat ac recalvaster erat, lege sanxit crines ad cutem ubique detondendos, nec ulli Romanorum fas esse ultra collum demissos gestare. sin autem aliquis legis transgressor deprehensus esset, multis emendatum verberibus, ad pristinam Romanorum virtutem revocandum esse. nam hac quoque illi honestabantur caesarie. lege itaque cautum ne quis omnino ultra collum capillos demittere audeat.

18. Quia vero suas quoque illum res affiniumque disponere exque arbitrio componere decebat, quod quinque tunc filias nec ullam hactenus masculam prolem susceperat, ex illis natu minimam sibique prae reliquis eximie caram, Mariam nomine, statuit viro nuptum tradere. delectus maritus ex Crenitarum gente, Armenius patria, Alexius cognomento Moseles, forma elegans ac florenti aetate, ad arcis partem in Crenetissae

C οἰκίας· ὃν πρῶτον μὲν τῇ τῶν πατρικίων καὶ τῶν ἀνθυπάτων τιμήσας ἀξίᾳ διὰ τὸ πρὸς τὴν θυγατέρα τούτου φιλόστοργον, ἔπειτα δὲ καὶ μάγιστρον καὶ Καίσαρα τὸ ἔσχατον ἀνηγόρευσεν, στρατεύματά τε δοὺς ἱκανὰ πρὸς τὴν Λογγοβαρδίαν ἐξέπεμψεν, χρείας τηνικαῦτα κατεπειγούσης τινός. καὶ ὁ μὲν ἀπήει καλῶς τὰ κατ᾽ αὐτὸν ἀνύων, καὶ ὡς ἐδόκει τῷ βασιλεῖ· καὶ διὰ τοῦτο ἤκμαζε μὲν ὁ πρὸς αὐτὸν πόθος τοῦ βασιλέως, συνήκμαζε δὲ καὶ ὁ ἐξ ἀνθρώπων φθόνος αὐτῷ, καί τινες ἐλοιδόρουν καὶ βλάσφημά τινα ἔφασκον κατ᾽ αὐτοῦ, ὡς τῆς τε βασιλείας ἐπιθυμεῖ καὶ δεῖ ποτὲ τὸ ἄλφα τοῦ θῆτα κατακυριεῦσαι. ὅθεν ἐπεὶ τὰς κατ᾽ αὐτοῦ συρραφείσας διαβολὰς
D ὁ Καῖσαρ Ἀλέξιος διακήκοεν, τὸν φθόνον ὥσπερ κατευλαβούμενος πολλὰ τοῦ βασιλέως ἐδέετο οἰκτεῖραι τοῦτον καὶ συγχωρῆσαι πρὸς τὸν μονήρη βίον μετατάξασθαι. ἀλλὰ τότε μὲν οὔτ᾽ ἐκεῖνος συνεχώρησεν, τὴν χηρείαν τῆς θυγατρὸς προβαλλόμενος, καὶ ὁ ῥηθεὶς Καῖσαρ ἔμενεν ἐφ᾽ ἡσυχίας πολλῆς τοῖς δημοσίοις ἐνασχολούμενος πράγμασιν. ὡς δὲ τὸν Μιχαὴλ ἐγέννησεν ὁ Θεόφιλος, καὶ ἡ τούτου μὲν θυγάτηρ τοῦ Καίσαρος δὲ γαμετὴ τὸν βίον μετήλλαξεν, ταύτην μὲν τοσοῦτον τετίμηκεν ὡς καὶ τὸν χοῦν αὐτῆς ἐν λάρνακι θεῖναι περιηργυρωμένῃ καὶ προνόμιον δοῦναι διὰ λελαξευμένων ἐν αὐτῇ ἰάμβων ἀσυλίας τοῖς ἐφ᾽ οἵοις δήποτε ἐγκλήμασιν ἀνθρώποις ἁλοῦσιν καὶ προσφυγοῦσιν ἐκεῖ· τὸν Ἀλέξιον δὲ
P 68 λάθρα μεταταξάμενον καὶ τὸ μοναχικὸν μεταμφιασάμενον ἔσθημα, ἐπεὶ μὴ ἠδύνατο πεῖσαι τοῦ πάλιν αὐτὸ ἀποβαλεῖν, μόλις

dictis aedibus habitans. huic patricii primum ac proconsulis, quo erat in filiam amore, collata a Theophilo dignitas est; tum vero etiam magister, ac demum Caesar ab eo creatus, copioso instructus exercitu in Longobardiam, rebus ita poscentibus, mittitur. eo Alexius profectus cum esset, praeclare ei res cesserunt exque soceri voto. quo factum est ut crescente in eum imperatoris amore ac desiderio una quoque hominum in eum invidia magis augesceret. non deerant qui criminarentur et maledicta quaedam in eum iactarent, quasi dominandi cupido ipsum incessisset, ac fore ut *A* in *Θ* quandoque imperium usurparet. quamobrem ubi haec in se per calumniam composita rescivit Alexius Caesar, velut timens cavensque invidiam, multis apud imperatorem precibus agebat ut suae misertus sortis ad monastica eum vota transire pateretur. verum tunc quidem nec Theophilus annuit, filiam marito viduam grave esse obiiciens, ac, quem diximus, Caesar multa cum quiete ac securus publicis rebus operam dabat. ubi autem ille Michaelem filium susceperat, ipsiusque filia ac Caesaris uxor diem obierat, illam quidem usque adeo coluit, ut et eius cineres in arca argenteis laminis obducta condiderit, insculptisque in ea iambis cuiuscunque flagitii reis eo confugientibus asyli ius constituerit: Alexium vero, qui clam mutaverat ordinem ac monasticum habitum susceperat, cum nulla vi aut suasione ab instituto posset deducere, aegre eius consectandi veniam fecit, multis expro-

συγχωρῆσαι, πολλοῖς ὀνείδεσι περιβαλὼν οἷς οὐ μετ' αὐτοῦ ἔκρινεν εἶναι ἀλλ' ἐν παραβύστῳ που καὶ γωνίᾳ. ὅθεν ἐδίδου τούτῳ δωρεὰν τό τε κατὰ Χρυσόπολιν βασιλικὸν μοναστήριον, προσέτι μὴν καὶ τὸ τοῦ Βυρσέως καὶ τὸ τοῦ κατὰ τὸν Ἐλαίαν. ἀλλ' ἐκεῖνος τῷ κατὰ τὴν Χρυσόπολιν ὄντι ἐνδιαιτώμενος, ἐπεί ποτε περιπάτου ἐδεήθη καὶ κατὰ τὸν Ἀνθεμίου τόπον ἐγένετο, βασιλικῶν τηνικαῦτα τυγχάνοντα τῶν μαγγάνων, ἔλεγεν δὲ ὡς ἕκαστον τῶν B σεμνείων τῶν οἰκοδομούντων φέρει τὴν κλῆσιν ἀθάνατον, εἵλετο τοῦτον διὰ βασιλικῆς προστάξεως ἐξωνήσασθαι καὶ ἴδιον κατασκευάσαι. ὃ καὶ διὰ τῆς βασιλίδος Θεοδώρας ἐγένετο, τῆς αὐτοῦ πενθερᾶς. ὅθεν καλῶς ἐποικοδομήσας καὶ εἰς μοναχικὴν τάξιν ἀγαγὼν ἐκεῖσε τὸν βίον ἐκλιμπάνων ἐτέθη, τὸν τάφον καὶ τὴν αὐτοῦ ἄνωθεν ἐπιγεγραμμένην εἰκόνα μάρτυρα ἔχων τῶν λεγομένων. οὐ μὴν ἀλλὰ καὶ ὁ τούτου ἀδελφὸς Θεοδόσιος πλησίον τέθειται αὐτοῦ, πατρικίων τιμῇ ἐγκαταλεγείς, πολλὰ γνωρίσματα τῆς αὐτοῦ ἀρίστης βιώσεως ἐν τῷ μοναστηρίῳ καταλιπών. C

19. Ἐγκειμένων δὲ τῶν Ἀγαρηνῶν καὶ μετὰ πολλῶν μυριάδων τοῦ Ἰβραὴμ κατὰ Ῥωμαίων ἐκστρατεύοντος, καὶ ὁ Θεόφιλος ἔρωτι φιλοτιμίας καὶ γενναιότητος ἐπὶ πόλεμον ἔξεισιν, ἄνανδρον οὐδὲν οὐδὲ μαλακὸν ἐννοῶν· εἰ γάρ τι καὶ δέος προσῆν, ἀλλ' ἡ τῶν σὺν αὐτῷ ἀνδρῶν κατὰ πολέμους πεῖρά τε καὶ γενναιότης ἀπέτρεπε τοῦτο καὶ πόρρω ποι ἐναπέπεμπε. Θεόφοβος οἱ ἄνδρες

brans quod secum et in aula versari nollet, sed obscurus et in angulo mallet vitam agere. idcirco regium monasterium ad Chrysopolim ei tribuit; ad haec etiam Coriarii, et quod erat ad Elaeam. at vero cum in Chrysopolitano commoraretur, ac quandoque commodae deambulationis causa ad locum Anthemii dictum, ad Armamentarium tunc imperatorium spectantem, venisset, secum reputans singula quaeque monasteria conditorum nomina viridi semper ac immortali memoria servare, impetrato imperatoris mandato illum coemere statuit, suique iuris factum exstructo monasterio exornare; quod et Theodorae Augustae, illius socrus ope, concessum est. loco itaque pulchre aedificiis ornato inque monasterii formam usumque composito, illic ipse vivere desinens humatus est; eiusque quod dictum a nobis est fidem facit cum illius sepulcrum, tum quae olim ex eius nomine illic posita imago est. quin et eius germanus Theodosius prope conditus est, qui patriciam dignitatem consecutus multa optimae vitae suae documenta in eo monasterio reliquerat.

19. Porro Agarenis ingruentibus, illorumque duce Ibraimo cum multis myriadibus in Romanos expeditionem movente, Theophilus quoque magni animi fortisque laudem ambiens, nec quicquam timidum aut molle animo versans, expeditionem et ipse suscipit. nam etsi timoris aliquid inerat, suorum tamen rei militaris peritia et virtus, id quantum erat, facile avertebat ac procul depellebat. virorum alteri Theophobus,

*καὶ Μανουὴλ ἐκαλοῦντο. ἀλλ' ὁ Μανουὴλ δεινὸς ἐπ' ἀνδρείᾳ,
καὶ τοῖς ἐναντίοις ἅπασι γνώριμος· ἐξ Ἀρμενίων γὰρ τὴν γένεσιν
D ἦν, καὶ τοῦ στρατοῦ τῶν Ἀνατολικῶν ἐπὶ τοῦ Λέοντος προηγού-
μενος, καὶ τοῦ πρὸ αὐτοῦ Μιχαὴλ ἱπποκόμων ὁ πρῶτος· πρωτο-
στράτορα τοῦτόν φασιν. δηλώσει δὲ καὶ τὸν Θεόφοβον ὁ λόγος,
ὅθεν τε καὶ ὅπως ἐκ Περσῶν καταγόμενος τῷ βασιλεῖ γέγονε γνώ-
ριμος καὶ τὴν ἀδελφὴν αὐτοῦ εἰς γάμον ἡρμόσατο. εἰς πρεσβείαν
τίς ποτε τῶν ἐκ βασιλικῆς σειρᾶς Περσῶν ἀφικόμενος πρὸς τὴν
Κωνσταντίνου, οὐκ ἐκ νομίμου συναφείας κρυφίου δὲ καὶ λα-
θραίας τοῦτον γεννηθῆναι ποιήσας ἐξαπεδήμησεν. ἐπεὶ δὲ νόμος
P 69 τοῖς Πέρσαις ἀπαράβατος μή τινα τῆς παρ' αὐτῶν ἀρχῆς ἐγκρατῆ
γενέσθαι, εἰ μὴ τῆς βασιλικῆς μετέχῃ σειρᾶς, ἐξέλιπον δὲ ἐκ τῶν
συνεχῶν πολέμων καὶ τῇδε κἀκεῖσε μετασκηνώσεων ὑπὸ τῶν Ἀγα-
ρηνῶν ἐλαυνόμενοι οἱ τῆς βασιλικῆς φυλῆς, ἀλλὰ καὶ λόγος ἐφέ-
ρετο πολὺς περὶ αὐτοῦ παρὰ τῶν ἐν Περσίδι μενόντων, ὡς ἦ τις
κατὰ τὸ Βυζάντιον ὠνομασμένος Θεόφοβος (καὶ γὰρ ἦν δοθεὶς
ὑπὸ τοῦ τηνικαῦτα σπείραντος τοῦτον πατρός), ἔδοξε τοῖς ἀρίστοις
τῶν Περσῶν κρύφα τινὰς ἐκπέμψαι τοῦ ζητουμένου εἰς ἔρευναν.
καὶ δὴ καταλαβόντες τὴν ἡμετέραν μόγις τοῦτόν ποτε τῇ μητρὶ
συνόντα καὶ κατὰ τὴν Ὀξεῖαν ἐνδιαιτώμενον προσεφεύρισκον. ἐπεὶ
B γοῦν οὐκ ἔκ τινων μόνον ἰνδαλμάτων ἀλλὰ καὶ αὐτῶν τῆς ψυχῆς
καὶ σώματος γνωρισμάτων ὁ ζητούμενος ἐδηλοῦτο τότε καὶ ἐγνω-*

1 *ὁ μὲν Μανουήλ?* 16 *διαδοθείς* margo Combef.

alteri Manuel nomen erat. porro Manuel fortitudine spectabilis ipsis quoque hostibus universis notus erat. ex Armeniis namque ortus, Leone imperatore Orientalium copiis praefuerat, decessorisque eius Michaelis equisonum princeps, quem protostratorem vocant, exstiterat. de Theophobo etiam dicendum, unde et quomodo ex Persarum stirpe natus in imperatoris notitiam venerit eiusque sibi sororem matrimonio iunxerit. quidam regia Persarum satus prosapia aliquando Cpolim fungendae legationis causa venerat. is non ex legitimo coniugio, sed occulto concubitu suscepto Theophobo, urbe discessit. quoniam autem apud Persas inviolabili iure lex obtinet, cavens scilicet ne quis aliter regni compos efficiatur, quam si ex regia ortus stirpe sit, regiaeque familiae viri continuis bellis ac Agarenis huc illuc sedes mutare cogentibus ac pellentibus defecerant, cumque alioqui apud eos qui Persidis regionem colebant, multus de eo rumor percrebuisset, esse quendam Byzantii Theophobum nomine (quem ipsum rumorem eius tunc pater sparserat), visum est Persarum satrapis ac proceribus occulte quosdam mittere, qui rem diligenter inquirerent. hi itaque ad Romanum devecti orbem aegre tandem aliquando Theophobum cum matre versantem ad Oxiam inveniunt. quia vero quem sic quaerebant, non obscuris solum indiciis sed et ipsis animi

ρίζετο, πρόσετι μὴν καὶ τῶν ἐκ γειτόνων ἐμαρτύρει τις τὴν γενομένην τῇ γυναικὶ πρὸς τὸν Πέρσην συνάφειαν (οὐ γάρ τι κρυπτὸν ὃ τοῖς πολλοῖς οὐ γνωσθήσεται), δήλους ἑαυτοὺς οἱ ἀπεσταλμένοι ποιοῦσι τῷ βασιλεῖ καὶ τὰ τοῦ δράματος σαφηνίζουσιν, εἰρήνην καὶ σπονδὰς καὶ παντὸς τοῦ ἔθνους ὑποταγὴν καθυπισχνούμενοι, εἰ τοῦτον αὐτοῖς ἐπιδοῦναι οὐ παραιτήσεται. ἐγεγήθει γοῦν τοῖς ὑποσχεθεῖσιν ὁ βασιλεύς, καὶ ἐπείπερ οὕτως ἔχουσαν εὕρισκε τὴν ἀλήθειαν, ἐν βασιλείοις τοῦτον αὐλίζεσθαι καὶ κατασκηνοῦν ποιεῖ, C μαθήμασί τε καὶ παιδείᾳ ἐπιμελούμενον.

20. Ἔστι δὲ καὶ ἄλλος λόγος περὶ τοῦ Θεοφόβου (καλὸν γὰρ ἀμφοτέρους εἰρῆσθαι), μικρὸν μὲν κατὰ τὴν ἀρχὴν διενηνοχέναι δοκῶν, τἆλλα δὲ ὅμοια σώζων τῶν γεγραμμένων καὶ πάρισα· ἔστιν δὲ ὅς οὐκ ἀπὸ πρέσβεώς τινος τὴν νόθον σπορὰν δέξασθαι τοῦτόν φησιν, ἀλλὰ κατά τινα περιπέτειαν τῶν ἐν πολέμοις συμβαινόντων καὶ τὸν τούτου πατέρα, εἴτε βασιλεύοντα εἴτε καὶ βασιλέως ἐγγὺς ὄντα κατὰ συγγένειαν, φυγεῖν ἐκ Περσίδος καὶ πρὸς τὴν βασιλεύουσαν πένητα διαθλοῦντα βίον προσρυῆναι, κἀκεῖσε D καπηλίδι τινὶ γυναικῶν δουλεύοντα ὀψέ ποτε τῷ ταύτης ἔρωτι καὶ νομίμῳ συναφείᾳ τοῦτον ἐναποτεκεῖν. ἀλλ᾽ ὁ μὲν ἐξ ἀνθρώπων ἐγένετο, ἀστρονομίᾳ δέ τινι καὶ μαντείᾳ (καὶ γάρ φασι ταύτας τὰς ἐπιστήμας ἀκμάζειν ἔτι παρὰ Πέρσαις) μαθεῖν περὶ τοῦ Θεοφόβου, ζητοῦσιν αὐτοῖς εἴ ἐστι πού τις ἐκ βασιλικῆς φυλῆς καταγό-

corporisque notis propriis innotescebat, isque ille ipse esse agnoscebatur (ac nec ex vicinis quidem deerat qui feminam cum Persa rem habuisse testaretur, cum nihil occultum sit quod non tandem in vulgi notitiam veniat), se demum qui missi fuerant imperatori prodentes totam rei fabulam aperiunt, pacem foedera gentemque omnem subiectum ire polliciti, si modo Theophobum ipsis dedere non abnueret. gavisus promissis Theophilus, quodque rem niti veritate didicerat, morari Theophobum in aula illicque disciplinis imbui ac erudiri iubet.

20. Sed alia quoque de Theophobo fertur narratio, praestatque eam quoque referre. et videtur quidem haec a priori nonnihil differre, quod ad initia attinet; sequentibus tamen similis est atque eadem exhibet. sic ergo se illa habet, non ullius legati notham sobolem Theophobum esse, vel ea satum ratione quam prior ferebat narratio, sed belli quodam vario casu rerumque vicissitudine cogente eius quoque parentem, sive rex erat sive stirpis regiae, ex Perside fugisse, inque regia urbe pauperem tolerantem vitam civibus adhaesisse; atque illic tabernariae mulieris mancipatum obsequiis, post longos tandem annos, illius amore legitimoque copulatum coniugio hunc suscepisse, inque eum modum in vivis esse desiisse; quadam vero astronomia ac vaticinio (nam has artes etiamnum aiunt apud Persas vigere) didicisse de Theophobo, dum quaerunt an ullus uspiam regia stirpe illis satus exstet. cumque adeo ex-

μενος, καὶ ἐπείπερ ἔμαθον, σπουδῇ ἐπὶ τὴν Κωνσταντίνου θεῖν εἰς τὴν τοῦ ζητουμένου ἔρευναν. γνωστὸν οὕτως γενέσθαι τῷ P 70 *βασιλεῖ, καταληφθέντος αὐτοῦ. ἐπείπερ οὖν ἡ τούτου ἐμφάνεια καὶ κατὰ τὸν βίον παρουσία ἅπασιν ἐγνώσθη τοῖς κατὰ τὴν Περσίδα διὰ τῶν ὑποστρεψάντων ἀποστόλων, ἡδὺ πᾶσιν ἐφάνη καὶ ἐφετὸν τοῦ ἀπόστασίν τινα ἐννοῆσαι ἀπὸ τῶν τῆς Ἄγαρ, τῇ δὲ τῶν Ῥωμαίων ἀρχῇ προσχωρῆσαι, ὡς ἂν τοῦ κατὰ γένος ἀρχηγοῦ εὐμοιρήσειαν.* (21) *ἔτυχε δὲ ἄλλως ὁ τῶν Περσῶν ἀρχηγὸς Βάβεκ ἤδη πενταετίαν ἔχων ἐξ ἀμεραμνουνῆ ἀποστὰς καὶ πτέρναν ἐπάρας κατ' αὐτοῦ ἐν χιλιάσιν ἑπτά· ὃς καὶ πόθῳ πρὸς τὸν Θεόφοβον καὶ φόβῳ τῷ ἐξ οὗ ἀπέστη Ἀγαρηνοῦ πρὸς τὴν Ῥωμαϊκὴν ἐπικρά-* B *τειαν κατὰ πόλιν Σινώπην ἔρχεται, καὶ τῷ βασιλεῖ ἑαυτόν τε καὶ τὸ ὅλον ἔθνος ὑπήκοον τέθεικεν. διά τοι τοῦτο τόν τε Θεόφοβον ὁ Θεόφιλος τιμῇ τῇ πατρικίων ἐναριθμεῖ, καὶ τῇ ἑαυτοῦ ἀδελφῇ πρὸς γάμον ἐκδίδωσι, συναρμόζεσθαί τε ἕκαστον τῶν Περσῶν νομοθετεῖ τοῖς Ῥωμαίοις καὶ κατ' ἐπιγαμίαν ἅπτεσθαί τε καὶ συνείρεσθαι, πολλοὺς τούτων τοῖς βασιλικοῖς ἐμπρέπειν ἀξιώμασι πεποιηκώς. ἀλλὰ καὶ κώδιξι στρατιωτικοῖς αὐτοὺς ἀναγράφεται, καὶ τάγμα οὕτως καλούμενον Περσικὸν ἐγκατέστησε, καὶ τοῖς κατὰ πόλεμον ἐξιοῦσι Ῥωμαίοις κατὰ τῶν Ἀγαρηνῶν ἐναριθμεῖσθαι προσέταξε.*

C 22. *Τούτοις γοῦν τεθαρρηκὼς ὁ Θεόφιλος, ἐπεὶ καὶ ἄλλως ᾔδει τούτους ἀνδραγαθιζομένους, εἰς πόλεμον κατὰ τῶν Ἀγαρηνῶν ἔξεισι καὶ τοῦ Ἰβραὴμ καθ' ἡμῶν, ὡς εἴρηται, ἐκστρατεύσαν-*

1 ἐπὶ τὴν] τὴν ἐπὶ P

stare didicissent, ad eum vestigandum Cpolim festine accurrisse; eoque deprehenso, sic imperatori rem innotuisse. cum itaque per nuntios in Persidem reversos cunctis per eam regionem innotuisset eum detectum vitaeque superstitem esse, gratum omnibus visum est ac expetendum Agarenorum iugum quovis modo excutere, Romanoque adiungi imperio, ut suae stirpis ducem liceret obtinere. (21) erat vero praeterea Persarum dux Babec nomine: is annos iam quinque ab ameramnune defecerat, inque eum cum septem milibus calcaneum levarat. is tum desiderio erga Theophobum tum Agareni metu, a quo defecerat, ad Romanorum ultro dicionem in urbem Sinopem concesserat, seque ipse ac totam gentem imperatori subiecerat. idcirco Theophilus tum patricia dignitate Theophobum auget suaeque sorori matrimonio iungit; tum lata lege Persis omnibus libera cum Romanis coniugia facit, et ut matrimoniorum cum eis foedera iungere liceat, multis eorum regiis honestatis dignitatibus, eorumque nominibus in militares codices relatis, sicque ex illis constituta legione quam Persicam vocant, Romanis adversus Agarenos ad bellum procedentibus eam connumerari iussit.

22. His ergo viris fretus Theophilus, quod et alias bello strenuos sciret, adversus Agarenos proficiscitur, cum et Ibraemus, uti dictum est,

τος. ἐπείπερ γοῦν ἐγγὺς ἀλλήλων ὅ τε τῶν Σαρακηνῶν ἀρχηγὸς ἐγεγόνει καὶ ὁ Θεόφιλος, ἔδει δὲ καὶ βουλῆς, ὁ μὲν Μανουὴλ οὐ δίκαιον ἔφησε βασιλέα Ῥωμαίων πρὸς ἀμεραμνουνῆ πολεμεῖν, ἀλλά τινα μέρος λαβόντα τῶν στρατιωτικῶν ἐξιέναι κατὰ πρόσωπον τῶν ἐχθρῶν, καὶ ἅμα μεθ' ἡμέραν τοῦτο ποιεῖν, ὁ Θεόφοβος δὲ εἶναι μὲν ἐπὶ παρατάξεως τὸν βασιλέα ἐβούλετο, νύκτωρ δὲ ἐπιτεθῆναι αὐτοῖς μετὰ τοῦ τῶν Περσῶν πεζικοῦ, καὶ ὅτε πάλιν δεήσειεν, D ἐπικυκλῶσαι τὸ ἱππικόν. ἀλλ' οὐκ ἔπεισε τὸν βασιλέα, εἰπόντων πολλῶν, σφετεριζομένου τοῦ Θεοφόβου τὴν τῶν Ῥωμαίων δόξαν καὶ διὰ τοῦτο βουλομένου ἐν νυκτὶ πολεμεῖν· πλὴν ἔδοξεν εἰς τοὐμφανὲς μεθ' ἡμέραν συρρῆξαι τὸν πόλεμον. καὶ ὁ μὲν Ἰβραήμ, εἴτ' ἄλλως καταλαζονευόμενος εἴτε δὴ καὶ φόβῳ βασιλέως περιστοιχιζόμενος, μέρος λαβὼν τοῦ στρατοῦ ἀνεχώρησεν, Ἀβουχάζαρ δὲ πρὸς τὸν κατὰ βασιλέως πόλεμον μετὰ μυριάδων ὀκτὼ ἐξαπέστειλεν, οἳ καὶ καρτερῶς ἄγαν ἀνδρισαμένων ἀμφοτέρων ἐπὶ πολύ, τέλος ἐνδοῦναι τὰς σχολὰς μετὰ τοῦ δομεστίκου P 71 καὶ πρὸς φυγὴν τραπῆναι ἐξεβιάσαντο. ὅθεν ὁ βασιλεὺς μετὰ τῆς βασιλικῆς φάλαγγος καὶ δύο χιλιάδων Περσῶν, προσόντος τούτοις καὶ τοῦ Θεοφόβου, ἐπί τινος βουνοῦ σέσωστο, τὸν περὶ ψυχῆς κίνδυνον ὑφορώμενος. καὶ ἄχρι μὲν ἑσπέρας πολὺς ἦν ὁ περὶ αὐτὸν πόλεμος, τῶν μὲν ἐλπιζόντων τοῦτον ἐπὶ χεῖρας λαβεῖν, τῶν δὲ ἀνταμυνόντων καὶ μὴ προδοῦναι τοῦτον διακαρτερούντων.

9 ὡς σφ.?

etiam ipse in nos movisset. cum itaque ambae iam acies, ac tum Agarenorum princeps tum Theophilus in vicino essent, essetque res in deliberationem vocata, Manuelis ea sententia fuit, indignum videri Romanorum imperatorem cum ameramnune conserta acie pugnare; unum aliquem cum parte exercitus in eum immittendum, idque interdiu factitandum esse. contra Theophobus praesentem in acie imperatorem adesse suadebat; noctu tamen congrediendum, impressione facta per Persicas pedestres copias; ac tum postea cum necesse fuerit, equestres turmas praesto fore, quae hostilem exercitum essent conclusurae. verum non acquievit imperator, multis idcirco pugnam noctu conserendam suadere Theophobum dicentibus, ut sibi ipsi Romanorum vindicaret gloriam. aperto itaque Marte decretum ut cum hoste congrederentur. ceterum Ibraemus, incertum num arrogantia ductus an imperatoris metu conterritus, parte exercitus assumpta recessit, immisso Abuchazar cum octoginta milibus armatorum ad pugnam conserendam. diu utrinque fortiter dimicatum; tandem scholae cum domestico adversae aciei impetu coactae cedere ac fugam inire. hincque adeo imperator cum cohorte praetoria et duobus Persarum milibus, una etiam adiuncto Theophobo, in collem quendam saluti metuens evasit. acriter ad vesperam usque circa illum pugnatum, aliis capturos se imperatorem confidentibus, aliis ulciscen-

διὸ νυκτὸς ἄρτι γενομένης κρότοις χειρῶν τε καὶ ἀλαλαγμοῖς ἐχρῶντο οἱ μετὰ τοῦ βασιλέως, χαίρειν προσποιούμενοι, κιννύραις τε καὶ χορδαῖς καὶ ἄλλως βουκίνων φωναῖς τὸν αἰθέρα περιεδό-
B *νουν, ἐλπίδας οὐ τὰς τυχούσας τοῖς ἐχθροῖς θέλοντες περιποιῆσαι. ὃ καὶ συνέβη· μίλια γὰρ ἓξ ὑποχωρῆσαι τούτους εἰς τοὐπίσω τινὰ κατορρωδοῦσι προσβολήν τε καὶ κύκλωσιν προσεγένετο. ὅθεν ἀδείας τυχόντες μικρᾶς οἱ περὶ τὸν βασιλέα, πόρρω που νυκτῶν φυγῇ χρησάμενοι τὴν σωτηρίαν ἐπραγματεύσαντο, καὶ πρὸς τῷ καταπροδόντι τοῦτον στρατεύματι καὶ τὰ νῶτα δόντι τοῖς ἐχθροῖς διεσώθησαν. μέμψεσι μὲν οὖν πολλαῖς ὁ βασιλεὺς τὸ προδεδωκὸς στράτευμα καθυπέβαλεν, χάρισι δὲ καὶ τιμαῖς διαφερόντως τοὺς περὶ τὸν Θεόφοβον ἐγέραιρεν. ὅθεν οἱ Πέρσαι ἔρωτι διαπύρῳ*
C *πρὸς τὸν Θεόφοβον ἐξεκαίοντο, καὶ θυμηδίᾳ τινὶ ἀρρήτῳ ἀναθαρρυνόμενοι μετ' αὐτοῦ τὸν κατ' Ἀγαρηνῶν ὑποδύεσθαι πόλεμον ἐλιτάνευον, καὶ τρέπειν τούτους ἐξ ἀηττήτου δυνάμεως ἐβεβαίουν· διὸ καὶ ὁ βασιλεὺς ἡγεμονεύειν αὐτῶν ἐβούλετο τὸν Θεόφοβον.*

23. *Τῷ δ' ἐπιόντι ἐνιαυτῷ ἔξεισι πάλιν μετὰ δυνάμεως ὁ Θεόφιλος, καὶ κατὰ τὸ Χαρσιανὸν πολλὰ ἐκ τῆς προτέρας νίκης τῶν Ἰσμαηλιτῶν ἀπαυθαδιαζομένων καὶ ἀλαζονευομένων, τούτοις συμπλακεὶς πολλούς τε χειροῦται τούτων, καὶ λείαν λαμβάνει ὡς τῶν πέντε καὶ εἴκοσι ἄχρι χιλιάδων, καὶ μετὰ νίκης λαμπρᾶς πρὸς τὴν βασιλεύουσαν ἐπανέρχεται. ἔτυχε γοῦν τις τῶν ἐπὶ χειρῶν*
D *εὐφυΐᾳ ὀνομαστῶν αἰχμάλωτον ληφθῆναι Ἀγαρηνῶν. τούτῳ με-*

tibus nec eum prodere sustinentibus. nocte itaque superveniente, qui cum imperatore erant, simulata gaudii specie perstrepere manibus, conclamare, cinnyris, chordis, aliasque buccinarum sonitu aerem strepitu implere; quo nimirum ingentes sibi auctas spes novique subsidii opinionem conterrendis hostium animis ingererent. quod et ita contigit. hoc enim ipsum illi suspicantes, ac ne in ipsos hostes irrumperent ab eisque circundarentur, ad sex milia passuum recessere. imperator cum suis aliquantum periculo sublevatus fuga salutem expedivit, et ad exercitum qui prodiderat ac turpiter terga dederat incolumis evadit. ac quidem proditorem exercitum imperator acrius obiurgat, summam vero Theophobo suisque gratiam habet, praemiisque ac honoribus magnifice accepit. hinc Persae ferventi in Theophobum amore incensi, incredibilique gaudio animati, uno illo duce Agarenorum sibi bellum concredi postulant, invictaque animi vi certam sibi compressis hostibus pollicentur victoriam. quamobrem etiam imperator Theophobum Persarum ducem fore decrevit.

23. Insequenti anno Theophilus rursus copias adversus Ismaelitas educit, ac cum eis ex superiori victoria elatis ac ferocientibus ad Charsianum congressus, multis eorum subiugatis, captivos ad viginta supra quinque milia abducit; illustrique potitus praeda ad urbem Augustam redit. inter captivos Agarenos nonnemo fuit manuum agilitate celebris.

γάλας τὰς κατὰ πόλεμον ἀρετὰς δι' ἐγγράφων ἐγκωμίων ὁ τῶν σχολῶν προεστὼς ἐμαρτύρει, καὶ ἐβεβαίου ὡς εἴη τε δεξιὸς περὶ τὴν ἱππασίαν καὶ τὴν τοῦ σώματος ῥώμην γενναῖος, καὶ ὅτι δυσὶ δόρασι χρώμενος περὶ τὴν ἱππασίαν [μὲν] ἐντέχνως ἄγαν καὶ εὐφυῶς πρὸς τοὺς κατ' αὐτοῦ διαβαίνει. ἐπεὶ γοῦν ἐν τῷ τῶν ἵππων ὁμιλλητηρίῳ ὁ τοῦ δομεστίκου θρίαμβος ἐτελεῖτο, προηγεῖτο δὲ οὗτος τῷ τοῦ σώματος μεγέθει καὶ τῷ τῆς ψυχῆς ἀναστήματι τοὺς περὶ αὐτοῦ λόγους ἐπισφραγίζων, ἐκέλευσέ πως ἰδὼν ὁ βασιλεύς, καὶ τοῖς ἐπαίνοις κλαπείς, ἵππον τε τὸν ἄνδρα ἐπιβῆναι καὶ P 72
δόρατα λαβόντα δύο τὴν εὐφυΐαν τούτου καὶ ἀριστείαν ἁπάσῃ τῇ πόλει ἐνδείξασθαι. καὶ δὴ τούτου γενομένου καὶ τοῖς ἀπειροτέροις τέρψιν παρέχοντος τῇ ὁράσει, Θεόδωρος ὁ Κρατερὸς οὕτω λεγόμενος, ὁ καὶ μετὰ βραχὺ ἀρχηγὸς τῆς τῶν ἁγίων μβ' μαρτύρων φάλαγγος γεγονώς, πλησιάζων τῷ βασιλεῖ ἐξεμυκτήριζε τὸν Ἀγαρηνόν, ἀνδρεῖον οὐδὲν φάσκων οὐδὲ καταπληκτικὸν ἐνδεικνύμενον. ᾧ καὶ χαλεπήνας ὁ βασιλεύς "ἀλλὰ δι' ἰσχύος ἔχεις αὐτός, ὦ θηλυδρία καὶ ἄνανδρε, τοιοῦτόν τι ἐργάσασθαι;" καὶ ὃς αὐτίκα "δύο μέν, βασιλεῦ, μὴ μαθὼν οὐδὲ μεταχειρίσασθαι δόρατα δύναμαι· οὐδὲ γὰρ ἐν πολέμῳ τοιαύτης χρεία ἀδολεσχίας· ἑνὶ δὲ B
δόρατι χρώμενος τὴν εἰς θεὸν πεποίθησιν ἔχω βεβαίαν ὡς κρημνίσω τε τοῦτον καὶ τοῦ ἵππου καταβαλῶ." τὴν παρρησίαν γοῦν μὴ φέρων ὁ βασιλεὺς ἦ μὴν ἔφησε, κατὰ τῆς κεφαλῆς αὐτοῦ τὸν ὅρκον ἐπαγαγών, θανάτῳ παραδοῦναι τὸν ἅγιον, εἰ μὴ τοὺς λό-

hunc scholarum praeses bellica virtute eximium, eius scripto consignatis laudibus, perhibebat; asserebatque equitandi arte praeclare industrium ac corporis robore strenuum, eiusmodi denique qui in equis duplici solerter hasta hostem aggrederetur. quod igitur in circo domestici triumphus agebatur, inter captivos primo is loco incedebat, corporis ipsa proceritate animique superbia ac celsitate de ipso sparsum rumorem confirmans. videns itaque imperator, eiusque celebri fama motus, conscenso equo duplicique arrepta hasta artis suae ac solertiae specimen spectante coram tota civitate exhibere iubet. id cum fieret et rei spectaculum imperitiores afficeret, Theodorus cognomento Craterus (is qui non multo post sanctorum quadraginta duorum martyrum cohortis dux exstitit) ad imperatorem accedens Agarenum subsannare, nihilque eum quod fortis animi sit quodve stuporem iniicere debeat ea molitione praestare etiam atque etiam asserere. ad quem indignabundus imperator "num vero, effeminate tu et evirate, eiusmodi aliquid, qua polles fortitudine, possis praestare?" contra Craterus "duabus quidem hastis, o imperator, nec didici nec uti valeo: nam nec nugarum eiusmodi usus aliquis in bello existit: una vero arrepta, dei fretus auxilio, equo deiectum iri hominem ac excussum prorsus confido." tunc imperator dicendi illam libertatem non ferens, per caput suum iurare Cratero, se ei vitam erepturum, nisi

γους ὄντως εἰς ἔργον ἀγάγοιεν. ἵππον οὖν ἀναβὰς ὁ Θεόδωρος καὶ
δόρυ λαβὼν ἐν χεροῖν θᾶττον ἢ λόγος ἐν οὐ πολλαῖς περιόδοις τὸν
Σαρακηνὸν κατεκρήμνισε, καὶ μέγα τούτῳ φρονεῖν δέδωκεν οὐδα-
C μῶς. ὁ μὲν οὖν βασιλεὺς ᾐσχύνθη ἅτε δὴ καταβεβλημένον ἰδὼν
τὸν Σαρακηνὸν ὑπ' ἀνδρὸς εὐνούχου καὶ οὐ γενναίου τινός, παν-
οῦργος δὲ τέως ὢν καὶ τὴν ἀρετὴν αἰδούμενος τοῦ ἀνδρὸς ἐφιλο-
φρονήσατο μὲν λόγοις αὐτόν, στολάς τε καὶ περιβολὰς αὐτῷ τὴν
πολιτείαν αἰδούμενος ἐδωρήσατο.

24. Ἄρτι δὲ πάλιν τοῦ ἔαρος ἱσταμένου καὶ τοὺς μαχητὰς
κατ' ἀλλήλων ὁπλίζοντος, ὁ Θεόφιλος δύναμιν πολλὴν ἠθροικὼς
κατὰ τῶν Σαρακηνῶν ἔξεισι, καὶ τὸν ὅσιον Μεθόδιον τῆς εἱρκτῆς
ἀναρρυσάμενος καὶ μεθ' ἑαυτοῦ ἐπαγόμενος, οὐ νῦν μόνον καὶ
πρῶτον ἀλλ' ἀεὶ τοῦτο ποιῶν καὶ πλησίον που ἔχων αὐτόν, εἴτε
D τοῦ ἀσαφῆ ἕνεκεν καὶ πολλοῖς ἄγνωστα διαλύειν καὶ γνώριμα τού-
τῳ ποιεῖν διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν (καὶ γὰρ ἐτύγχανε
τῶν ἀποκρυφῶν ἄγαν ζητητικὸς ὁ Θεόφιλος), εἴτε δή τινας ἐπανα-
στάσεις φυλαττόμενος παρ' αὐτοῦ παθεῖν διὰ τὸν κατὰ τῶν ἁγίων
καὶ σεπτῶν εἰκόνων πόλεμον. οὐ μικρῶς γὰρ ἐδόκει τιμᾶν τὸν
ἄνδρα καὶ σέβεσθαι τὸ τῆς πολιτείας ἔκκριτον καὶ φιλόθεον· διά
τοι τοῦτο ἄγειν μεθ' ἑαυτοῦ ἀλλ' οὐ κατόπιν ἀπολιμπάνειν ἐφαί-
νετο τούτῳ σεμνόν. καὶ δῆτα προσπεσόντων ἀλλήλοις τῶν στρα-
τευμάτων, καὶ τῶν Ἰσμαηλιτῶν καθυπερτερούντων, συνέβη τὸν

1 ἀγάγοι? 12 καὶ πρῶτον] δὲ πρ. P

re ipsa quod verbis iactaverat impleret. mox ergo Theodorus conscenso equo arreptaque hasta manum conserens, dicto citius nec longo ambitu, Agarenum equo datum praecipitem altum sapere non sivit. puduit imperatorem, dum non a viro quodam magnifice strenuo, sed ab evirato prostratum Saracenum vidit. interim tamen, callido vafroque consilio, virique virtutem reveritus, amice verbis accipit, donatque vestibus honoris causa, civium animos offendere veritus, si quid homine aliter uteretur.

24. Iam vero rursum vere appetente ac bellatores viros inter se committente, Theophilus ingentibus contractis copiis contra Saracenos proficiscitur, educto e carcere sibique adiuncto sancto Methodio. neque vero tunc primum fecit, sed et semper factitabat, penes se virum habens, sive ut eius sapientiae vi obscura vulgoque ignota dissolveret eaque ipsi aperiret (erat enim Theophilus abstrusarum rerum operosus investigator), sive id cavens, ne quas is turbas se absente ob sacrarum imaginum amolitionem in urbe excitaret. praecipui enim civium, inque eis viri religiosi, Methodium pluris faciebant eumque impense colebant. idcirco una secum adducere, non post se relinquere, ex officii ratione Theophilo videbatur. itaque commissa utrinque acie ac Ismaelitis su-

βασιλέα πως περικυκλωθέντα ὑπὸ τῶν ἐχθρῶν κινδυνεύειν περὶ ψυχῆς, ὅτε δὴ καὶ Μανουὴλ ὁ στρατηγέτης δεινὸν ἡγησάμενος καὶ πέρα τοῦτο δεινὸν δορυάλωτον βασιλέα γενέσθαι, τοὺς περὶ [P 73] αὐτὸν ἀναθαρρύνας καὶ "ὦ ἄνδρες" εἰπών, "τὰς μελίσσας αἰδεῖσθε, αἳ τοῦ βασιλέως κατόπιν τῷ φίλτρῳ βαλλόμεναι πέτανται," εἰσῄει ὥσπερ τις λέων περὶ τῶν τέκνων βαλλόμενος, τὸν βασιλέα ζητῶν. ὡς δ' εὗρεν ἀποκαμόντα καὶ τὴν σωτηρίαν μὲν ὑπὸ δειλίας ἀπογνόντα, προφασιζόμενον δὲ ὡς μὴ βούλεσθαι τὸν λαὸν λιπόντα διαφυγεῖν, "ἄγε δή" ἔφησεν, "ὦ βασιλεῦ, ἀκολούθει μοι εὐρεῖαν τὴν φάλαγγα ποιοῦντι καὶ πολλοὺς ἀποσφάττοντι." ὡς [B] δ' ὁ Μανουὴλ ἐξῄει καὶ τὸν ἑπόμενον δεδιότα πολλὰ καὶ κατεπτηχότα βασιλέα οὐκ εἶχεν, αὖθις ἐρρήγνυ μετὰ πολλῶν τὴν φάλαγγα, τοῦτον ἐξελέσθαι βουλόμενος. ὡς δ' ἡμάρτανεν αὖθις, καὶ τρίτον δὲ ἐκ στερροτέρας ψυχῆς τὴν συνέχουσαν φάλαγγα τὸν βασιλέα διέκοψεν, καὶ πλησίον ἐγεγόνει τούτου, ὡς καὶ ἱμᾶσι τὸν ἐπιφέροντα τοῦτον ἐπιδῆσαι ἵππον καὶ αὖθις ὑπεξερύσασθαι ἐτύγχανεν. ἐτρώθη τὴν ψυχὴν ὁ ἀνήρ, βασιλέα Ῥωμαίων αἰχμάλωτον γενέσθαι φοβούμενος καὶ τῶν ἐχθρῶν ὑποπόδιον· ὅθεν ταχυ- [C] τέραν ἅμα καὶ δεξιωτέραν τὴν ὑποστροφὴν ποιήσας, καὶ θάνατον ἀπειλήσας αὐτῷ εἰ μὴ τούτῳ συνακολουθήσειεν, ὀψὲ καὶ μόλις τοῦ κινδύνου διέσωσεν, ὀλίγων τινῶν κατόπιν διακρουόντων τὸν

2 an δεινὸν ἡγησάμενος τοῦτο καὶ πέρα δεινῶν? cf. p. 103[b], 130[a], 451[b].

perioribus, contigit circumventum imperatorem in vitae periculum adduci. quando etiam exercitus ductor Manuel, grave prorsus omnique maius dedecore reputans, si Romanorum imperator ab hostibus caperetur, suorum animos concionis verbis recolligens, sicque eos allocutus, "eia viri, apes reveremini, quae suum regem, eius vi amoris percitae, pone volant," leonis instar catulorum causa dimicantis medios cuneos imperatorem quaesiturus irrumpit, animoque fatiscentem inventum, et ex ignavia salutem desperantem, ac causantem nolle se relicto exercitu eam fuga expedire, hortatus est ut se illi praeeunti ac multorum strage iter aperienti comitem daret. postquam vero erumpentem timens pavensque imperator e vestigio secutus non est, iterum cum multis aciem perrumpit, ut a periculo virum eruat. ac ne tum quidem voti compos effectus, tertio demum firmiori proposito cuneum imperatori undique affusum ipsumque coartantem dirimens, ad eum usque pervadit, adeo ut et equum, cui insidebat, loris alligare ipsumque rursus liberare contigerit. animo saucius erat, quo metu Romanorum imperatorem ductum iri captivum atque hostibus calcata cervice suppedaneum fore pertimescebat. idcirco velocius simul maiorique solertia repetitis vicibus reversus, mortem quoque minatus, nisi ille sequeretur, aegre tandem periculo exemit, paucis quibusdam a tergo insequentem hostem reprimentibus, suisque incolu-

πόλεμον, καὶ τοῖς ἑαυτοῦ ἐγκατέλεξε. διὸ τιμαῖς τε τοῦτον ἐφαμίλλως ἐδεξιοῦτο καὶ πρεπούσαις δωρεαῖς ἐθεράπευεν, εὐεργέτην καὶ σωτῆρα πολλάκις ἀποκαλῶν.

25. *Ἀλλ' ὁ φθόνος ἴσχυσε κατ' αὐτοῦ, καὶ ὁ κατὰ πολλῶν καὶ τοσούτων μυριάδων ἀνδραγαθήσας καὶ τῶν ἐχθρῶν διασώσας τὸν βασιλέα ὑπ' ὀλίγων οἰκείων κατεπαλαίετο. ὅθεν εἰς*
D *καθοσίωσιν καὶ ἐπιβουλὴν παραλόγως ἐκ λοιδορίας ἐγκληθείς, καὶ πολὺν εἶναι τὸν φθόνον τὸν κατ' αὐτοῦ ἐνιδών, ἐπεὶ διά τινος πιστοῦ ἀνεμάνθανεν, δούλου μὲν πρότερον ὄντος τοῦ Μανουήλ, τότε δὲ ἐκ χαρίσματος οἰνοχοοῦντος τῷ Θεοφίλῳ καὶ ἐξυπηρετοῦντος, ὡς μέλλοι τοῦτον ἀποτυφλοῦν καὶ ὀφθαλμῶν ποιῆσαι χωρίς, ἀποστασίαν τολμᾷ καὶ πρὸς Ἀγαρηνοὺς μετατίθεται, μέγας παρ' αὐτοῖς ὀφθεὶς καὶ τιμαῖς ταῖς μεγάλαις τιμώμενος. ἐνέκειτο γοῦν κατὰ τῶν πλησιαζόντων αὐτοῖς ἐχθρῶν, οἳ οὕτω δὴ Κορμάτοι καλοῦνται, πολύς, καὶ νίκας οὐ τὰς τυχούσας ἐποίει ἅτε δὴ καὶ*
P 74 *πείρᾳ καὶ συνέσει διαφέρων πολλῶν. καὶ τὸ δὴ κρεῖττον λόγου, ὅτι μετὰ τῶν αἰχμαλώτων Ῥωμαίων καὶ καθειργνυμένων ἐν φυλακαῖς ταῦτα εἰργάζετο, πίστιν αὐτοῖς δοὺς ὑπὲρ αὐτῶν ὡς οὐ φεύξονται· ὅτε καὶ τὸ Χορασὰν λέγεται κατασχεῖν καὶ τῷ ἀμεραμνουνῇ ὑποτάξαι οὐ τῷ διαφέρειν μόνον εἰς ἀνδρίαν αὐτοῖς, ἀλλὰ καὶ τῷ καινῶς πως καὶ παρηλλαγμένως ὀφθῆναι αὐτοῖς· ἥ τε γὰρ τῶν σχημάτων μεταβολὴ καὶ ἡ τῶν φωνῶν παρὰ δόξαν μεταλλαγὴ εἰς*

mem reddidit. idcirco pari in eum benevolentia Theophilus ipsum honoribus accipiebat, benefactoremque ac servatorem suum vocitans congruis muneribus colebat.

25. Ceterum maior in eum vis invidiae fuit; ac qui tot milibus armatorum unus obstiterat exque mediis hostibus imperatorem liberaverat, paucorum aulae familiarium suaeque gentis hominum malis artibus superatur. maiestatis ergo ac insidiarum per summam improbitatem ex calumnia reus agitur; summamque vim invidiae advertens, ac a fidelissimo quodam, qui olim quidem servus illius fuerat, tunc vero principis gratiam meritus Theophilo a poculis erat eique ministrabat, certior factus fore ut ab eo oculis orbaretur, defectionem molitur seque ad Agarenos transfert, a quibus vir longe spectabilis habitus magnisque honoribus donatus est. itaque vicinos Agarenis hostes (Cormatas dicunt) graviter infestabat, nec leves strages illorum victor dabat, ut qui bellicae rei peritia ac solertia supra communem vulgique usum praestaret. quodque nec satis dici sermone possit aut ratione pensari, tanta haec facinora per Romanos captivos, ac qui vincti in carceribus essent, ei militantes exsequebatur, data Agarenis fide minime ab eis fugituros. quando etiam Chorasan cepisse ferunt ac ameramnunae subiecisse. isthaec vir tantus conficiebat non insigni tantum fortitudine sua, sed et quod novam quandam nec usitatam rationem inire videretur: ordinum enim et aciei alia aliaque compositio tesseraeque ac vocum inopinata mutatio in animi an-

δειλίαν ἐμπίπτειν ἠνάγκαζε τοὺς πολεμίους. οὐ μὴν δὲ ἀλλὰ καὶ πολλῶν ἀτιθάσσων θηρίων κατασινομένων αὐτοὺς καὶ βλαπτόντων ἐλευθερώσας, καὶ μεγάλων αἴτιος καλῶν αὐτοῖς γεγονώς, διαφε- B ρόντως ἠγαπήθη αὐτῷ τε τῷ ἄρχοντι καὶ τῇ γερουσίᾳ αὐτοῦ.

26. Ἀλλ' ἐπεὶ μετάμελον τῷ βασιλεῖ ἐνεποίησε ταῦτα διακούοντι καὶ λύπης αἴτιος κατέστη πολλῆς, πάντα κάλων ἐδόκει τούτῳ κινεῖν ὥς ἂν τὸν ἄνδρα μετακαλέσοιτο καὶ παλινδρομῆσαι ποιήσειεν. ὅθεν οἱ μὲν εἰρηνικὰς σπονδὰς διὰ τοῦ μοναχοῦ ποιῆσαι τοῦτόν φασιν Ἰαννοῦ, πρὸς καιρὸν τοῦ κατὰ τὰς φυλακὰς διαλλαγίου, καὶ πρὸς τὰ ἴδια μεταγαγεῖν, ὅτε καὶ χρυσοβούλλιον τούτῳ καὶ ὅρκους ἀπαθείας δι' αὐτοῦ τε καὶ ἑτέρων προτέρων C πολλῶν ἐξαπέστειλεν. οἱ δὲ δι' αὐτοῦ μὲν τοῦ Ἰαννοῦ, οὐ μὴν οὕτως διὰ φανερᾶς ἐντεύξεως καὶ συντυχίας, κρυπτῆς δὲ καὶ ἀδήλου πολλοῖς, ἣ τὸν Ἰαννὴν γνώμῃ τοῦ Θεοφίλου ἀφ' ἡμῶν μεταστήσασα καὶ μεταμφιάσασα καὶ τοῖς ῥακοδυτοῦσιν Ἴβηρσι καὶ μοναχοῖς τοῖς πρὸς τὰ Ἱεροσόλυμα μετὰ λιτῆς φοιτῶσιν ἐξομοιώσασά τε καὶ συγκαταμίξασα τῷ ἐν ᾧ διῃτᾶτο οἴκῳ ὁ Μανουὴλ κατὰ τὸ Βαγδᾶ ἐγκατέστησεν ἐπαιτεῖν τε προσποιησάμενον καὶ τὴν τοῦ βασιλέως μετάνοιαν ἀναδιδάσκοντα. καὶ μάρτυρας τῶν εἰρημένων τό τε τοῦ βασιλέως ἐγκόλπιον καὶ τὸ χρυσοβούλλιον ἐδίδου, D συμπάθειάν τε καὶ παντελῆ τῶν κακῶν ἀμνηστίαν εὐαγγελιζόμενα· ἃ καὶ λαβὼν εἰς χεῖρας ὁ Μανουήλ, καὶ οἱονεὶ τὴν ψυχὴν ἀνακαείς, τὴν οἴκαδε ἐμελέτα ἐπάνοδον. ἐπεὶ γοῦν ἔκ τε τοῦ χρόνου

gustias ac pavorem hostes coniiciebat. nec solum adversus hostes strenue egit, verum etiam a feris bestiis regioni vastitatem afferentibus eos liberavit, multorumque eis bonorum auctor, principi pariter eiusque proceribus summe carus fuit.

26. Verum cum eius percrebescente fama Theophilum rei paeniteret, nec levis dolor inde eum incessisset, nullum non funem movendum statuit, ut virum ad se revocaret ad seque redire compelleret. unde alii quidem per Iannem monachum, quo tempore missus est ad commutandos captivos, pacis eum foedera iniisse ac Manuelem ad se revocasse ferunt, quando etiam literas et securitatis fidem iureiurando firmatam per eum pluresque illo priores misit. alii eiusdem quidem Iannis opera rem peractam malunt, non tamen sic aperto colloquio, sed occulto ac vulgo obscuro, ita nimirum ut Iannes iubente Theophilo profectus sit, habituque mutato ac pannis indutus Iberis atque monachis Hierosolymam voti causa proficiscentibus, unum illorum simulans, sese adiunxerit, eoque habitu Manuelis domum Bagdae subierit. illic mendici ea specie ad eum aditum nactus imperatorem paenitere docuit, verbisque fidem fecit illius prolata collari cruce ac literis, quibus is securum redderet omniumque offensarum oblivionem sancte promitteret. acceptis in manus Manuel literis, incenso ardoribus animo, serio cogitat in patriam domumque reverti. quia igitur temporis ipsa longinquitate rebusque ad-

καὶ τῶν πρότερον ἡμῖν εἰρημένων αὐτοῦ κατὰ τῶν πολεμίων ἔργων ἡ πρὸς αὐτὸν πίστις οὐ μείωσιν αὔξησιν δέ τινα καθ' ἑκάστην ἐλάμβανεν, μηνύει τῷ ἀμεραμνουνῇ ὡς ἐφέσεως ἔχοι καὶ κατὰ τῶν Ῥωμαίων στρατεῦσαι, καὶ τοὺς ἐχθρούς, οἳ κατεῖπον αὐτοῦ πρὸς τὸν βασιλέα, ἀμύνασθαι, καὶ κατὰ τὴν Καππαδοκίαν τὰς οἰκήσεις ἔχοντας· καὶ σὺν αὐτῷ καὶ τὸν υἱὸν ἠξίου πέμπεσθαι τὸν P 75 *ἀμεραμνουνῇ εἰς πλείονα τῶν ὑπονοουμένων ἀσφάλειαν. κατανεύει τοῖς αἰτηθεῖσιν ὁ Ἰσμαήλ, καὶ κατὰ τῶν ὧν ἐπεθύμει ἐξέπεμπεν. ὡς δὲ πλησίον που τοῖς τῶν Ῥωμαίων ὁρίοις ἐγίνοντο, δῆλα ποιεῖται τὰ κατ' αὐτὸν τῷ Καππαδοκίας στρατηγῷ καὶ τὴν εἰσαῦθις πρὸς Ῥωμαίους ἐπάνοδον, καὶ ἅμα ἐδίδασκεν ὡς χρὴ κατὰ τὸν δεῖνα τόπον λόχον τινὰ καὶ ἐνέδραν γενέσθαι, ἵν' ὅταν ἐκεῖσε δὴ γένωμαι, τὰ μὲν Σαρακηνῶν κοῦρσα ἐπ' ἄλλον δή τινα τόπον ἐξελαύνειν ποιήσας μετὰ τοῦ λόχου δὴ γένωμαι καὶ πρὸς τὰ Ῥωμαίων ἤθη ἐπαναδράμω αὐτός. ὃ καὶ γέγονεν· ἄρτι γὰρ ἐκεῖσε δή που* B *ἐπλησίαζεν, καὶ πολλὰ τὸν τοῦ Ἰσμαὴλ υἱὸν κατασπασάμενος "ἄπιθι" ἔφη "ὑγιής, ἄπιθι, τέκνον πρὸς τὸν πατέρα σου· ἐμὲ δὲ ἴσθι πορευόμενον οὐ πρὸς ἄλλον, πρὸς δὲ τὸν ἐμὸν ὄντως βασιλέα καὶ κύριον." διασωθεὶς δ' ἐκεῖθεν πρὸς τὴν βασιλεύουσαν εἰς τὸν ἐν Βλαχέρναις θεῖον ἐπεφοιτήκει ναόν, τὸν Θεόφιλον εἰδὼς οὐ τὴν τυχοῦσαν ἔχοντα πίστιν εἰς αὐτόν. ὅθεν καὶ μάγιστρος τιμᾶται, καὶ σύντεκνος ἔκτοτε χρηματίζει αὐτοῦ, καὶ δομέστικος προβιβάζεται τῶν σχολῶν. εἰσὶ μὲν δ' οἳ φυγῇ μὲν χρήσασθαι*

7 *τὸν τοῦ ἀμερ.?* 9 *δῆλα ποιεῖ?* an *δηλοποιεῖ?* 23 *δ'*] *δή?* an *τοι?*

versus ameramnunae hostes, quas supra rettulimus, bello praeclare gestis suam illi magis ac magis in dies probarat fidem, nec ulla iam suspicione laborabat, significat hoc sibi animo constitutum, ut et adversus Romanos educat et inimicos (suos apud imperatorem delatores) ulciscatur, qui in Cappadocia sedes habebant. ac quo magis institutum celet, ipsum ameramnunae filium secum mitti rogat. annuit petenti Ismaelus, ac in quos expetierat hostes Manuelem emittit. ubi iam Romanos pene fines attigerat, Cappadociae praetorem de suis rebus monet, seque rursus ad Romanos redire significat, simulque certo loco locandas insidias docet, "ut cum" inquit "illuc venero, Saracenorum praedonibus alio dimissis, in Romanorum ipse cuneum incidam, atque ita ad patrios lares revertar;" uti etiam factum est. ubi enim prope iam ad locum accesserat, Ismaelis filium prolixe salutans ac osculans "abi" inquit, "abi, fili, incolumis ad patrem tuum; scito vero non ad alium me proficisci quam ad meum verum imperatorem ac dominum." salvus inde receptus Cpolim in sacram Blachernensem aedem venit, erga quam sciret Theophilum non vulgarem habere fidem. quocirca etiam magistri honore donatur, exindeque Theophili compater audit, et scholarum domesticus praefici-

τὸν Μανουὴλ φασι πρὸς τοὺς ἐξ Ἄγαρ, καὶ διὰ τὴν Θεοφίλου, ὡς εἴρηται, ἐπανελθόντα σπουδήν, οὐ μὴν καθοσίωσιν ἐγκληθέντα ἐπὶ Θεοφίλου φυγεῖν, ἐπὶ Μιχαὴλ δὲ τοῦ Τραυλοῦ τοῦ τούτου C πατρός, εἴτε καὶ μίσει τῷ πρὸς αὐτὸν φερόμενον, εἴτε δὴ καὶ παλαιὰν δεδοικότα μῆνιν αὐτοῦ.

Χειροτονεῖται δὲ καὶ Ἰαννὴς ἐπίσκοπος Κωνσταντινουπόλεως κατὰ τὴν εἰκάδα πρώτην τοῦ Ἀπριλλίου μηνός, ἡμέρᾳ πρώτῃ, ἆθλον ἀσεβείας καὶ ἀπιστίας καὶ τοῦ μὴ τὰς θείας εἰκόνας προσκυνεῖν τὴν ἱερωσύνην ἀπενεγκάμενος.

27. Ζητητικῷ δὲ τῷ Θεοφίλῳ τυγχάνοντι καὶ ἄγαν ἐγκειμένῳ περὶ γνώσεως τῶν μελλόντων βασιλεύειν ἀνδρῶν, γύναιόν τι ληφθὲν ἐκ τῶν Ἄγαρ κατὰ τοὺς πολέμους τούτους Πύθωνος κατεχόμενον πνεύματι παρά τινων ἀνεμάνθανε. τοῦτο οὖν ἤγαγέ τε παρ' ἑαυτῷ ὁ Θεόφιλος, καὶ τίνες εἶεν ὧν ἡ βασιλεία διαρκέσει D ἐπὶ πολὺ ἐπυνθάνετο. ὡς δὲ σοῦ μὲν διάδοχον τὸν σὸν υἱὸν καὶ γαμετὴν ἀπεφοίβασέ τε γενέσθαι καὶ ἐμαντεύσατο, μετέπειτα δὲ τοὺς Μαρτινακίους ἐπὶ πολὺ τῆς βασιλείας κατασχεῖν, αὐτίκα τοῦτον τὸν Μαρτινάκην, καί τοί γε προσῳκειωμένον αὐτῷ πως κατὰ συγγένειαν, πρὸς τὸ μονάζειν ἀπέκειρεν, καὶ τὸν ἑαυτοῦ οἶκον θεοῦ καὶ μοναχῶν ἐναπέδειξεν ἐνδιαίτημα. οὐ τοῦτο δὲ μόνον ἀλλὰ καὶ πολλὰ τῶν μελλόντων τὸ γύναιον ἀπεθέσπισεν· τόν τε γὰρ Ἰαννὴν τοῦ πατριαρχικοῦ θρόνου πόρρω που γενέσθαι ἐνεσήμανεν, καὶ τὴν τῶν σεπτῶν εἰκόνων ἀναστήλωσιν κατεσάφησεν.

tur. non desunt qui dicant fugisse quidem Manuelem ad Agarenos, ac Theophili opera, uti dictum est, fuisse revocatum, non tamen maiestatis accusatum Theophilo imperante fugisse, sed Michaele Traulo eius patre, sive odio in illum defecerit, sive quod veteres eius inimicitias suspectas haberet.

Interim vero etiam Iannes Cpolitanus episcopus ordinatur, Aprilis vigesima prima, die dominica, impietatis praemium perversaeque fidei ac sacris imaginibus negati cultus sacerdotium consecutus.

27. Porro Theophilus dum curiosior est inquirendi studio, et ut futuram imperatorum successionem vaticinio condiscat operosius incumbit, mulierem quandam superioribus bellis ex Agarenis captam, Pythonico spiritu obsessam, quorundam relatione accipit. eam itaque accersit, ac quinam in longum tempus imperio potituri sint ex illa quaerit. ad quem vates, successurum eius filium cum coniuge, Theophilo respondit: postea vero fore ut Martinaciorum genus annos plures imperium teneat. illico itaque Martinacem hunc, etsi ipsi affinitate coniunctum, raso capite Theophilus monachum facit, eiusque aedes in domum dei ac monachorum domicilium redigit. neque hoc solum, sed et alia plura mulier vaticinata est, nempe Iannem patriarchali sede deiectum iri, sacrarumque imaginum revocandam religionem ac cultum. quare vehementi do-

οἷς τὴν ψυχὴν ὁ Θεόφιλος ἐπώδυνος γεγονὼς καὶ δυσαπόνιπτα
P 76 *ταῦτα φέρων ἀεὶ πολλὰ πολλάκις ἐπῇδε τῇ ἑαυτοῦ γαμετῇ, πρὸς δὲ καὶ λογοθέτῃ Θεοκτίστῳ παρῄνει καὶ πλήθει κατεδέσμει ὅρκων τοῦ μήτε τὸν Ἰαννὴν ὑπερορίας τυχεῖν μήτε μὴν τὰς εἰκόνας προσκυνήσεως. τοσοῦτον δὲ ἄρα τὰ περὶ τῆς βασιλείας ἠρεύνα τε καὶ ἐξιχνίαζεν ὡς καὶ παρὰ τοῦ Ἰαννοῦ ἐν λεκανομαντείᾳ τὸν μέλλοντα Βασίλειον τὴν τοιαύτην ὑπειληφέναι ἀρχὴν καθαρῶς ἐνιδεῖν. οὐ μὴν δὲ ἀλλὰ καὶ Κωνσταντῖνον τὸν κατὰ τὸν Τριφύλιον τὰ αὐτῷ συμβησόμενα διετράνου τὸ γύναιον, πολλὰ λιπαροῦντα καὶ πυνθανόμενον· αὐτόν τε γὰρ καὶ τοὺς αὐτοῦ υἱεῖς κληρικοῦ σχῆμα ἐπὶ τοῦ Βασιλείου διαμειφθῆναι· ὃ καὶ γέγονεν. καὶ Γεώργιον*
B *δὲ τὸν τὰς στρατιωτικὰς δέλτους ἐπειλημμένον ἐπὶ σφενδόνῃ τῇ κατὰ τὸν ἱππόδρομον ἀποκτανθῆναι, καὶ τὴν ὕπαρξιν αὐτοῦ τῷ βασιλικῷ ἀνειλῆφθαι ταμείῳ. καὶ ταῦτα μὲν ὧδέ πῃ κατὰ Πλάτωνα......*

28. *Τῷ δ' ἐπιόντι ἔτει πρὸς τὸν κατ' ἀλλήλων πόλεμον οἵ τ' Ἀγαρηνοὶ καὶ ὁ Θεόφιλος ἐξελθόντες ἔμειναν ἄπρακτοι παντελῶς ἀλλήλους καταπτοούμενοι, καὶ πρὸς τὴν ἑαυτῶν ἐπανέστρεφον. κατὰ δὲ τὸν αὐτὸν καιρὸν ὅ τε χαγάνος Χαζαρίας καὶ ὁ Πὲχ πρὸς τὸν αὐτοκράτορα Θεόφιλον ἔπεμπον πρεσβευτάς, τὸ κάστρον ὅπερ οὕτω Σάρκελ κατονομάζεται αὐτοῖς κτισθῆναι ἐξαιτούμενοι, ὅπερ ἑρμηνεύεται μὲν Λευκὸν οἴκημα, ἔστι δὲ καὶ κατὰ*
C *τὸν Τάναϊν ποταμόν, ὃς τούς τε Πατζινακίτας ἐντεῦθεν καὶ αὐτοὺς διείργει τοὺς Χαζάρους ἐκεῖθεν, ἔνθα καὶ Χαζάρων ταξεῶται*

lore concitus Theophilus, remque altius mente retinens, saepenumero Augustam, ad haec et Theoctistum logothetam monebat ac hortabatur multisque sacramentis adigebat, ne unquam Iannem patriarchali sede deiici autve imagines coli paterentur. tantam vero operam vestigandis istiusmodi imperatorum successionibus posuit, ut et Iannis ex pelvi divinatione Basilium imperii arcem suscepturum perspicue viderit. praeter imperatorem aliis quoque ex ea sciscitantibus mulier respondit. in his Constantino Triphylio, multum roganti ac enixe eventura quaerenti, praedixit fore nimirum ut ipse ac filii Basilio imperatore clericalem habitum induerent; quod et evenit. Georgio quoque militarium tabularum ac matricularum praefecto praedixit fore ut in Circi funda necaretur eiusque substantia fisco addiceretur. et haec quidem hactenus iuxta Platonem ....

28. Anno sequenti Agareni et Theophilus expeditione utrinque suscepta, utrinque abs se metu re integra domum redierunt. eodem fere tempore chaganus Chazariae ac Pechus missa legatione imperatorem rogant ut castrum Sarcel nuncupatum, quod interpretatione nominis domus candida dicatur, ipsis aedificet. porro locus est ad Tanaim fluvium, quo hinc inde Patzinaces et Chazaritae disterminantur; ubi et Chaza-

καθέζονται τριακόσιοι κατὰ χρόνον ἐναλλασσόμενοι. ὧν τῇ αἰτήσει καὶ παρακλήσει πεισθεὶς ὁ Θεόφιλος τὸν σπαθαροκανδιδάτον Πετρωνᾶν τοῦ ἐπονομαζομένου Καματεροῦ, μετὰ χελανδίων βασιλικοπλωΐμων καὶ τοῦ Κατεπάνω τῆς Παφλαγονίας ἀπέστειλεν, εἰς πέρας τὴν τούτων αἴτησιν κελεύσας ὑπαγαγεῖν. ὃς ἅμα τῷ τὴν Χερσῶνα καταλαβεῖν τὰς μὲν μακρὰς νῆας ἐκεῖσέ που προσορμίσας ἐπὶ τῆς χέρσου κατέλιπεν, τὸν δὲ λαὸν ἐν στρογγύλαις εἰσαγαγὼν ναυσὶ μέχρι τοῦ Ταναΐδος διεβιβάσθη, ἔνθα καὶ τὴν πόλιν ἔδει τούτοις οἰκοδομεῖν. ἐπεὶ δὲ λίθων ὁ τόπος ἠπόρει, ἐκ D
μὲν τῶν μικρῶν καχλήκων τοῦ ποταμοῦ ἄσβεστον, ἐκ δὲ τῆς ὑποκειμένης γῆς πηλὸν ἐγκαύσας διὰ καμίνων, καὶ βίσαλον ἐργασάμενος, τὴν ὁρισθεῖσαν αὐτῷ δουλείαν μόγις μέν, ἐπεραίου δὲ διὰ πολυχειρίας λαμπρῶς, καὶ πρὸς τὴν βασιλεύουσαν ἐπανέστρεφεν. ἐδίδου δὲ καὶ περὶ τοῦ Χερσῶνος τῷ βασιλεῖ γνώμην τε καὶ βουλήν, οἷς εἰς πεῖραν τῶν ἀνθρώπων ἦλθεν καὶ τῶν τόπων ὁμοῦ, καὶ "οὐκ ἄλλως ἄρξεις τῆς χώρας καὶ τῶν τόπων ὁλοσχερῶς ἢ στρατηγὸν προχειριζόμενος ἴδιον, ἀλλ' οὐ τοῖς ἐκείνων ἄρχουσί τε καὶ πρωτεύουσι καταπιστεύων σαυτόν." οὐδὲ γὰρ οὐδ' ἡμέτερός πω τῆς ἐκείνων προνοούμενος ἐξαπεστέλλετο στρατηγός, ἀλλ' ὁ λε- P 77
γόμενος πρωτεύων μετὰ καὶ τῶν πατέρων τῆς πόλεως τὰ πάντα ἦν διοικῶν. ἐπὶ τούτῳ ὁ βασιλεὺς Θεόφιλος οὐκ ἄλλον ἀλλὰ τὸν εἰρημένον Πετρωνᾶν, ὡς ἔμπειρον κρίνας τοῦ τόπου, πρωτοσπαθάριόν τε ἐτίμησεν καὶ στρατηγὸν ἐξαπέστειλεν, τόν τε πρωτεύοντα

4 καπετάνῳ P: cf. p. 300[c]. 21 ἐπεὶ P

ritae praesidiarii trecenti, commutatis vicibus per tempus alii aliis substituti, stationem habent. horum postulatis annuens imperator Petronam Camateri (sic dicti) spatharocandidatum cum classe regia et Paphlagoniae capitaneo misit, rem praestituros quam illi rogaverant. ubi autem Chersonem appulsus est, longiores naves in terram subductas illic in statione relinquit, rotundis vero impositas copias ad Tanaim usque, quo loco exstruendum illis oppidum erat, traiecit. quia autem locus lapides non habebat, ex fluvii glarea calcem facit; exque subiecta humo lutum in lateres excoquens, ardua quidem molitione, laborantium tamen multitudine magnifice perfecto opere domum redit. reversus vero Petronas imperatorem de Chersone monet, ut qui gentis mores locique genium expertus didicerat, non aliter regionis oppidorumque pleno iure compotem fore, quam si proprium urbi gentique praesidem ducemque praeficeret; non indigenis proceribus ac primatibus res suas crederet. hactenus enim nemo regionem procuraturus Cpoli praeses mitti solebat; sed quem illi primatem vocant, una cum patribus civitatis cuncta gubernabat. imperator approbato consilio ipsum quem diximus Petronam, usu regionis peritum iudicans, protospatharii dignitate auctum praesidem

καὶ τοὺς ἄλλους θεσπίσας ὑπείκειν ἀνενδοιάστως αὐτῷ· ἐξ ὅτου περ καὶ μέχρι ἡμῶν ἐκράτησεν ἀπὸ τῶν ἐντεῦθεν εἰς Χερσῶνα προβάλλεσθαι στρατηγούς. οὕτω μὲν οὖν ἥ τε τοῦ Σάρκελ οἰκοδομὴ ἐγένετο καὶ ἡ πρὸς τοὺς Χερσωνίτας τῶν ἐντεῦθεν ἀποστολὴ στρατηγῶν.

29. *Ἔξεισι δὲ πάλιν ὁ Θεόφιλος κατὰ τῶν Ἀγαρηνῶν ἐμ-*
B *βριθέστερος, τῆς πατρικῆς ἡττᾶσθαι τόλμης ἀνέραστος ὤν. ὅθεν καὶ πορρωτέρω πρόεισι τῆς Συρίας, ὁμοῦ μὲν κείρων τὴν γῆν καὶ πορθῶν, ὁμοῦ δὲ λαφυραγωγῶν αὐτὴν καὶ αἰχμαλωτίζων, καὶ πόλεις παραλαμβάνων ἄλλας τε δύο καὶ μέχρις ἐδάφους καταστρεφόμενος, καὶ αὐτὴν δὲ τὴν Σωζόπετραν ἐκπολιορκήσας πατρίδα τυγχάνουσαν τοῦ ἀμεραμνουνῆ, ὑπὲρ ἧς ἐγένετο ἐκεῖθεν διὰ γραμμάτων προτρέψασθαι ἀναχωρεῖν τὸν Θεόφιλον ἐκ τῆς πατρίδος αὐτοῦ, κἂν οὐκ εἶχέ πως τὸν ἀκούοντα. καὶ ταῦτα μὲν διοικησάμενος πρὸς τὴν βασιλεύουσαν ἐπάνεισιν ὁ Θεόφιλος, τῷ Θεοφόβῳ*
C *τὰ τῶν Περσῶν ἐνδιαθέσθαι προτρεψάμενος καὶ αὖθις διὰ ταχέων ἐπαναδραμεῖν πρὸς αὐτόν. ἀλλ' οἱ Πέρσαι συσχόντες αὐτὸν κατὰ τὴν Σινώπην βασιλέα καὶ ἄκοντα ἀνεκήρυξαν· ὃς αἰδοῖ τε καὶ φόβῳ πρὸς τὸν βασιλέα βαλλόμενος ἀνένευέ τε καὶ δεινὰ πείσεσθαι τούτους ἔλεγεν ἐπὶ τῷ τολμήματι. ὅθεν πλέον κατορρωδοῦντες αὐτοὶ τὰς ἐκ βασιλέως ἀπειλὰς εἴχοντο μὲν τῆς γνώμης αὐτῶν, εἶχον δὲ καὶ αὐτὸν ἐν μέσῳ παραθαρρύνοντες. ἀλλ' ὁ Θεόφοβος λάθρα τὰ τελεσθέντα δηλοῖ τῷ βασιλεῖ, καὶ ἐνωμότως πληροφορεῖ ὡς οὐκ αὐτὸς ἐκεῖνοι δὲ τῶν τολμηθέντων ὑπαίτιοι. ἀλλ' ἐκεί-*

mittit, primario ac reliquis civibus imperans ut nulla tergiversatione misso praesidi obaudiant. hincque percrebuit ut praesides Chersoni praeficiantur. atque in eum modum tum praesidium Sarcel exstructum est, tum deinceps missi Byzantio Chersonem praesides.

29. Porro Theophilus maioribus rursum animis adversus Agarenos proficiscitur, paterna se minorem audacia videri aegre ferens. longe itaque in Syriam progressus obvia quaeque vastat depraedatur diripit, duasque captas civitates solo tenus diruit; quin et ipsam expugnat Sozopetram ameramnunae patriam, a qua ille ut recederet scriptis literis etiam atque etiam rogaverat; quanquam Theophilus ei minime obtemperavit. hisque adeo gestis Cpolim reversus est, relicto Theophobo cum mandatis ut res Persarum componeret iisque compositis festine ad eum rediret. at Persae eum Sinope detinentes, reluctantem sane, imperatorem consalutarunt. is partim imperatoris reverentia et cultu, partim metu deterritus, rem detrectabat, diraque passuros pro hac temeritate ausuque aiebat. quocirca illi minis territi obfirmatius haerere proposito, animosque Theophobo, quem medium habebant, facere. ille porro clam imperatori rem significat, iureiurando confirmans non se, sed Persas huius auctores facinoris esse. ac tum quidem Theophilus voluntatem

νου τε ὁ βασιλεὺς ἀσμένως ἀποδέχεται τὴν προαίρεσιν καὶ πρὸς τὰ βασίλεια εἰσκαλεῖ, τὴν ἀρχαίαν εὐκληρίαν ἀποδιδούς· συγγνώμην τε ἅπασι τοῖς ἄλλοις καὶ ἀμνηστίαν κακῶν δοὺς τῆς Σινώπης, D εἴτε δὴ καὶ Ἀμάστριδος, ποιεῖ ἐκδημεῖν. καὶ ἐπείπερ εἰς πολυπληθίαν ἐνέδωκάν τε καὶ ηὔξησαν ὡς εἰς τρεῖς μυριάδας ἐληλακέναι, οὐ συμφέρον ἐδόκει τῷ βασιλεῖ τούτους ἐλευθέρους εἶναι καὶ ἀνειμένους, ἀλλὰ καλῶς σκεψάμενος ἑκάστῳ θέματι χιλιάδας δύο ἀπέσταλκεν, ὑπὸ χεῖρα τελεῖν τοῖς εἰς στρατηγίαν τεταγμένοις· ἐφ᾽ ὧν καὶ τουρμάρχας ἐπιστατεῖν ἐξετίθετο. ὅθεν ἄχρις ἡμῶν τὴν προσηγορίαν Περσῶν αἱ τῶν θεμάτων τοῦρμαι κεκλήρωνται, ἐφ᾽ οἷς διεσπάρησαν. τοῦτο γοῦν τὸ τόλμημα θρασύτερόν πως καὶ ἰταμώτερον δόξαν τῷ Θεοφίλῳ αὐτούς τε διασπαρῆναι καὶ διανεμηθῆναι ἐποίησεν καὶ τὸν Θεόφοβον μετ᾽ οὐ πολὺ ἀπήγαγε P 78 τῆς ζωῆς. ἐγένετο δέ τι καὶ δεύτερον αἴτιον, ὃ δηλώσει πάντως ὁ λόγος κατὰ τὸν οἰκεῖον καιρόν.

30. Ὁ δὲ ἀμεραμνουνὴς τοσοῦτον ἐτρώθη τὴν ψυχὴν ἐπὶ τῇ καταλήψει τε καὶ πορθήσει τῆς πατρίδος αὐτοῦ ὡς πανταχοῦ θεσπίσαι τε καὶ κηρῦξαι πᾶσαν ἡλικίαν ἔκ τε Βαβυλωνίας καὶ Φοινίκης καὶ Κοίλης Συρίας Παλαιστίνης τε καὶ τῆς κάτω Λιβύης συναθροιζομένην ἐπὶ ταῖς ἀσπίσιν αὐτῶν ἐγγράψαι Ἀμόριον, τὴν κατ᾽ αὐτοῦ διάβασιν μετὰ θρασύτητος αἰνιττόμενος. συνήγετο γοῦν καὶ κατὰ τὴν Ταρσὸν πολὺς ἐξ ὀλίγων ἐγένετο, μανίᾳ ἐπὶ B

5 ἐπέδωκαν?

Theophobi approbavit, et in aulam revocato pristinam dignitatem restituit. Persis quoque delicti veniam dedit, iniuriarumque promissa oblivione eos Sinope, sive etiam Amastride, excedere iubet. et quoniam in ingentem iam multitudinem excreverant (nam summa eorum ad triginta milia assurgebat), haud e re visum Theophilo ut eos liberos atque solutos esse permitteret. utili itaque consilio bina milia in singula themata dividit, qui sub illorum ducibus forent, sub quibus etiam tribuni eorumque turmarum praefecti illis praeessent. hincque factum ut hactenus Persarum nomen cohortes illae ac turmae retineant, in quas dispersi fuere. audacius itaque ac procacius facinus visum Theophilo tum illos suspectos in eum modum dispersit, tum non multo post Theophobo necem attulit. quanquam alia quoque causa, quam omnino pro loci opportunitate narraturi sumus, accessit.

30. Ceterum ameramnunes ob expugnatam direptamque patriam tanto ictus animi dolore est sicque excanduit, ut undique ex Babylone et Phoenicia et Coelesyria Palaestinaque et inferiore Libya conscripto exercitu ingentibusque conductis copiis, clipeis omnium inscribi iusserit Amorium, susceptam a se contra id oppidum expeditionem illudque bello tentandum cum audacia innuens. collegit igitur copias; et apud Tarsum ex paucissimis ingens subito numerosusque apparuit, ob patriae

τῇ τῆς πατρίδος αἰσχύνῃ πυρπολούμενος τὴν ψυχήν. ἀντεπεξῄει δὲ καὶ ὁ Θεόφιλος κατὰ τὸ Δορύλαιον, τριῶν ἡμεροδρομιῶν πόρρω που τοῦ Ἀμορίου διακείμενον. πολλῶν οὖν συμβουλευόντων μετοικῆσαι τὸν ἐν Ἀμορίῳ οἰκοῦντα λαὸν καὶ τέως ὑπεκδραμεῖν τὴν ἄσχετον φορὰν τῶν Σαρακηνῶν (πολὺς γὰρ ηὔξητο καὶ λαὸν ἐπήγετο ἄληκτον), ἄτοπον μὲν ἐφαίνετο τοῦτο τῷ Θεοφίλῳ καὶ ἄνανδρον, καλὸν δὲ καὶ πρὸς ἀνδρίαν εὔοδον τὸ μᾶλλον ἐποχυρῶσαι C αὐτὸ καὶ στρατηγοῦ γενναίου διασῶσαι βουλαῖς. Ἀέτιος ἦν οὗτος ὁ πατρίκιος καὶ τῶν Ἀνατολικῶν στρατηγός. ἐπεὶ δὲ καί τινος πολυχειρίας ἐδέετο, καὶ ταύτην ἀπέσταλκεν ὁ Θεόφιλος ὡς πανταχόθεν ἀντιστησομένου καὶ τὸν ἐχθρὸν ἐκνικήσοντος. ἐπὶ τούτοις ἐδίδου δὴ ἡγεμόνας καὶ ἄρχοντας τοὺς μετὰ βραχὺ μαρτυρήσοντας, Θεόδωρόν τε τὸν Κρατερὸν καὶ Θεόφιλον καὶ τὸν Βαβούτζικον· οἵτινες οὐ μόνον ἐκείνου τοῦ λαοῦ ἀλλὰ καὶ τῆς φάλαγγος τῶν τεσσαράκοντα δύο μαρτύρων γεγόνασιν ἀρχηγοί.

31. Ἐπεὶ γοῦν κατὰ τὴν Ταρσὸν ὁ τῶν Σαρακηνῶν ἐπέστη μετὰ φρονήματος καὶ λαοῦ ἡγεμών, οὐκ ἀθρόως τούτῳ μαντευομένῳ καὶ συμβουλευομένῳ ἐφαίνετο καλὸν χωρεῖν πρὸς Ἀμόριον, D ἀπόπειραν δὲ πρότερον λαβεῖν τῆς τῶν Ῥωμαίων δυνάμεως διὰ τοῦ υἱοῦ αὐτοῦ μέρος λαβόντος τοῦ στρατοῦ καὶ κατὰ τοῦ βασιλέως χωρήσαντος. "εἰ γὰρ οὗτος" φησί "νικήσειεν, ἕψεται πάντως ἡ νίκη καὶ τῷ πατρί· εἰ δὲ μή, καλὸν ἡσυχάζειν, οὐκ ἐπακολουθούσης μοι τῆς νίκης." λαβόντος γοῦν αὐτοῦ Ἄμερα τὸν τηνικαῦτα

suae ignominiam furore exaestuans. sed et Theophilus adversus illum profectus Dorylaeum pervenit, quod tridui itinere ab Amorio abest. fuere multi qui imperatori auctores essent ut Saracenorum, maiori vi quam quae inhiberi posset irruentium, impetum declinans Amorii incolas alio transferret. ingentes nimirum esse illorum copias immensumque exercitum. id enimvero infame parumque virile ratus Theophilus, praeclarum fortisque animi consilium putavit, ut urbem communiret ducisque strenui rationibus atque opera incolumem praestaret. electus in eam rem Aetius patricius ac Orientalium dux. quia vero etiam iustis copiis opus erat, has quoque Theophilus mittit, quo undique hosti obsisteret ac victoriam illi praeriperet. ad haec cohortibus illos praefecit qui paulo post futuri erant martyres, Theodorum cognomento Craterum et Theophilum ac Babutzicum. hi non modo missi tunc exercitus, sed et cohortis quadraginta duorum martyrum principes exstiterunt.

31. Postquam igitur Saracenorum princeps, ingentes ipse animos spirans ac exercitu potens, Tarsum venit, recte coniicit, habitoque cum suis consilio iudicat, haud e re sua esse ut statim Amorium petat. tentandum prius imperatoris exercitum, immisso in eum cum copiarum parte filio suo. "si enim filius" inquit "victor exstiterit, patrem quoque haud dubia sequetur victoria: sin autem secus contigerit, praestat quiescere, cum ipsa mihi victoria haud praesto sit, ac comes exspectanda." as-

διέποντα τὴν Μελιτηνὴν καὶ Τούρκους ὡσεὶ χιλιάδας δέκα, μετὰ πάσης τῆς ἐξ Ἀρμενίων στρατιᾶς καὶ τοῦ ἄρχοντος τῶν ἀρχόντων, κατὰ τὸν Δαζημόνα προσέβαλεν. ἀπήει καὶ ὁ Θεόφιλος κατ' αὐ- P 79 *τοῦ στρατόπεδον ἔχων οὐκ ἀγεννές, ἔκ τε Περσῶν καὶ τῶν δυτικῶν καὶ τῶν πρὸς τὸν ἀνίσχοντα ἥλιον συνιστάμενον. ὡς δὲ κατὰ τὸν Ἀνζὴν οὕτω χῶρον καλούμενον ἐγίνετο, ἰδεῖν ἐπεθύμει τὸ τῶν ἐναντίων ἄθροισμα πρὸ τῆς προσβολῆς. ἐπί τινα γοῦν λόφον καὶ τῶν ἄλλων ὑπερβεβηκότα χῶρον ὁ δομέστικος τῶν σχολῶν λαβὼν ἀνήνεγκεν Μανουήλ, καί πως ἐκ στοχασμοῦ βραχύτερον ἐδόκει τὸ τῶν Σαρακηνῶν πλῆθος· οὐ μὴν πρὸς τοῦτο συντιθεμένου τοῦ Μανουὴλ ὁ τῶν δοράτων ἴσος ἐδόκει ἐσμός. "ἀλλ' ὦ" φησί "βασιλεῦ, τὸ καρτερὸν στοχαζόμενος, τὸν ἐκ δοράτων καλαμῶνα ἀμ-* B *φοτέρων διάθρει." ἐπεὶ γοῦν ἰσχυρότερός πως οὐχ ὁ ἴδιος ἀλλ' ὁ τῶν ἐναντίων ἐδόκει στρατός, βουλὴν ἐδέοντο ἀρτύειν νεανικήν· ἡ δὲ ἦν ἔκ τε Μανουὴλ συνισταμένη καὶ Θεοφόβου, νυκτὸς ἐπιτεθῆναι τοῖς πολεμίοις. ἀλλ' ἕτεροι κρεῖττον εἶναι τὴν ἡμέραν ἀντέφησαν, οἷς καὶ ὁ βασιλεύων ἐπέπειστο. ὡς δ' οὖν ἔλαμψεν ἡ ἡμέρα, μάχης καρτερᾶς γενομένης, ἐκθύμως τῶν βασιλικῶν ἀγωνισαμένων ταγμάτων, οἱ Ἰσμαηλῖται ἐνέκλιναν εἰς φυγήν, ἀφέντες τὸ πολεμεῖν. ἀλλ' οἱ Τοῦρκοι ἐπιμόνῳ χρώμενοι τοξείᾳ, καὶ τὸ καταδιῶκον τῶν Ῥωμαίων ἀνακεκρουκότες, ἱστάναι ἀλλ' οὐ φεύ-* C *γειν ἔπεισαν τοὺς Σαρακηνούς· ὅθεν ἑαυτοὺς πάλιν συστησάμενοι,*

9 Scylitzes et Cedrenus *βαρύτερον*. 21 *ἑστάναι?*

sumpto itaque amera tum Melitines praeside ac Turcorum decem milibus omnique Armeniorum exercitu ac praeside praesidum, ad Dazemonem castra posuit. contra hunc profectus Theophilus, non contemnendo ex Persis exque occidentalibus et orientalibus conflato exercitu. ubi autem ad locum sic nuncupatum Anzen venit, statuit Saracenorum copias quam numerosae essent dispicere, antequam acies congrederentur. Manuel itaque scholarum domesticus in tumulum locumque ceteris editiorem Theophilum duxit; quantumque coniectura assequi licebat, hostium copiae minores videbantur. tamen hastarum, consentiente quoque in hoc Manuele, cum par copia videretur, "sed, o imperator," inquit, "robur coniiciens utriusque exercitus densam hastarum segetem considera." postquam itaque robustiorem suo hostium exercitum Theophilus indicavit, cogitabant quidnam strenui audaciorisque consilii molirentur. nempe suadebant Manuel et Theophobus noctu aggrediendos hostes: reliqui vero duces interdiu ineundam pugnam suaserunt, quibus ipse quoque imperator assensus est. hac ergo praelata sententia, prima statim luce acerrimum praelium commissum est. quo in praelio imperatoris ordinibus fortiter dimicantibus, Ismaelitarum acies in fugam inclinatur. verum Turcis assiduo sagittarum iactu atque grandine insequentes Romanos inhibentibus, facti Saracenis animi, ut fugam sistentes frontem verte-

καὶ τοῖς τόξοις δὴ γενναίως πόρρωθεν βάλλοντες, ἑτεραλκῆ τὴν μάχην ἐποίησαν. οἷς μὴ δυνάμενος ὁ τῶν Ῥωμαίων προσεγγίσαι στρατός, ἀλλ᾽ οὐδὲ πόρρωθεν κατιδεῖν τῷ βάλλεσθαι καρτερῶς, νῶτα κλίναντες τὸν βασιλέα κατέλιπον. οὐ μὴν οἱ τῶν βασιλικῶν ταγμάτων ἔξαρχοι μετὰ τῶν Περσῶν τοῦτο δρᾶσαι ἢ ἐννοῆσαι τετολμήκασιν, ἀλλὰ περιστάντες τῷ βασιλεῖ σώζειν ἐβούλοντο, κύκλῳ τῶν ἐχθρῶν πάντοθεν περιστοιχησάντων αὐτοὺς καὶ βαλλόντων D *αὐτούς. κἂν ἀπώλοντο πανδημεί, εἰ μὴ νὺξ ἐλθοῦσα καὶ βραχύς τις ὄμβρος ἐπιγενόμενος τὰς μὲν νευρὰς χαλαρὰς εἰργάσατο αἷς ἠμύνοντο καὶ τὸ κράτος εἶχον οἱ ἐναντίοι, αὐτοῖς δὲ ἄνεσιν τὴν ἐκ βελῶν περιεποίησεν καὶ σωτηρίας μόλις ἐνέδωκεν ἀφορμάς.* (32) *βαθείας γὰρ ἤδη τῆς νυκτὸς γενομένης, ὡς ἠσχόλητο περὶ τὰς φυλακὰς ὁ Μανουήλ, γλώττῃ πως τῇ Σαρακηνῶν τὸν Περσῶν ὅμιλον σπένδεσθαί πως πρὸς αὐτοὺς διήκουσε, καὶ συνθέσθαι τούτους αὖθις τὸ στράτευμα τῶν Ῥωμαίων καταπροδοῦναι καὶ* P 80 *πρὸς τὴν ἐξ ἧς ἀπέστησαν χωρεῖν κεφαλήν. δῆλα γοῦν τῷ βασιλεῖ λάθρα ποιεῖ, καὶ ἑαυτὸν σώζειν μετὰ λογάδων ἠξίου καὶ μὴ περιμένειν τὴν ἅλωσιν. καὶ "πῶς ἔσται τοῦ τοσούτου λαοῦ" ἐπερωτήσαντος τοῦ βασιλέως "ἡ σωτηρία, ἐμοὶ προσμεινάντων;" "σοί" φησί "μόνον ἔστω, βασιλεῦ, τὸ σώζεσθαι ἐκ θεοῦ· οὗτοι δὲ ταχέως τὰ κατ᾽ αὐτοὺς διοικήσουσιν." ὀψὲ γοῦν κατὰ τὸ περίορθρον τοῦ βασιλέως φυγῇ χρησαμένου καὶ πρὸς τὸ Χιλιοκόκω-*

11 *ἐφορμάς* P   22 *Χιλιόκωμον?*

rent. se ipsos itaque iterum colligentes, eminusque fortiter iacula contorquentes, pugnae sortem mutarunt. Romani propius accedere pedemque conferre non valentes, ac nec procul aspicere quos sagittis hostes configerent, terga vertunt relicto imperatore, praetorianarum legionum ducibus ac Persis nihil tale vel factitandum ac ne animo quidem cogitandum sibi indulgentibus; sed agmine imperatorem cingentes hoc satagebant, ut praesenti eum periculo eximerent, cum undique fusa hostium agmina iugi sagittarum imbre conclusos obruerent. omnesque ad unum cecidissent, nisi et nox ingruens tenuisque delapsus imber, arcuum nervis, quibus se hostes tuebantur ac superiores erant, relaxatis, a tanto illo sagittarum imbre Romanos tantisper securos praestitisset, ac aegre tandem parandae salutis illis occasio fuisset. (32) intempesta nocte cum Manuel agendis excubiis omni opera intentus esset, Persas audit cum Saracenis ipsa eorum lingua colloquentes ac paciscentes, nempe pollicentes Romanum se exercitum proditeros, atque ad eum, a quo defecerant, principem esse reversuros. rem ille statim imperatori secreto denuntiat, hortaturque ut cum delectis suae saluti consulat, nec exspectet dum in hostium manus veniat. quaerente illo "at qui fiat ut tanta militum turba, qui mihi adhaeserunt, incolumis abeat?" "tibi modo" inquit, "imperator," deus salutem praestet; reliqui mox suis rebus consulent." tandem ergo sub ipsum diluculum imperatore fuga elapso, et

μον διασωθέντος, οἱ λειποτάκται τῶν στρατηγῶν τῷ βασιλεῖ προσαπαντήσαντες ἀναξίους ἔφασκον εἶναι τῆς ζωῆς, βασιλέα ἐν πολέμῳ καταπροέντας, καὶ ἅμα τοῖς ἑαυτῶν ἐγυμνοῦντο ξίφεσι καὶ B τοῖς ποσὶν ὑπετίθουν αὐτοῦ, δάκρυσι βρεχόμενοι παρειάς. ἀλλ' ὁ Θεόφιλος τρωθεὶς ἐκείνων μᾶλλον αὐτοῦ τὴν ψυχὴν τῷ παραδόξῳ τοῦ πράγματος, "εἰ ἐγώ" φησί "σέσωσμαι ἐκ θεοῦ, σωθήσεσθε καὶ ὑμεῖς ἀγωνιζόμενοι κατὰ τῶν ἐχθρῶν."

Τοῦτο οὖν τὸ παρὰ ἐχθρῶν στρατήγημα καὶ ἡ νυκτερινή πως λαλιὰ τῶν Περσῶν, ταὐτὸν δὲ καὶ σπονδὴ εἰπεῖν, τοῖς μὲν Θεοφόβου ἐχθροῖς καὶ θάνατον ψηφιζομένοις αὐτοῖ δευτέρα τις γέγονεν αἰτία καὶ ἀφορμὴ εὔκαιρος εἰς διαβολήν, (33) τῷ δ' ἀμεραμνουνῇ ἀκηκοότι νίκης οὐ μικρᾶς καὶ κατὰ τοῦ Ἀμορίου καταδρομή. ἥνωτο γοῦν κατὰ τὴν τοῦ βασιλέως πατρίδα ἀμφότερα C τὰ στρατόπεδα, αὐτοῦ τε τοῦ ἀμεραμνουνῇ καὶ τοῦτο δὴ τὸ προπολεμῆσαν σφοδρῶς τοῦ υἱοῦ, καὶ χάρακα περιέβαλλον καὶ τῆς πολιορκίας ἀπήρχοντο. καὶ τέως ἀπόπειραν ἐποίει ἀποστραφεὶς κατὰ Δορύλαιον ὁ Θεόφιλος τοῦ δώροις αὐτὸν ἐκεῖθεν ἀποστῆσαι καὶ πρὸς τὰ οἰκεῖα ποιῆσαι παλινοστῆσαι. ἀλλ' οὐ πείθεται, ἐνδομυχοῦσαν φέρων τὴν τῆς πατρίδος αὐτοῦ ἅλωσίν τε καὶ πόρθησιν. μᾶλλον μὲν οὖν ἐξουθένει καὶ ἀνδράποδον ἐκάλει τε καὶ δειλόν, μυκτηρίζων καὶ διακωμῳδῶν οἷς οὐ πρὸ τούτου τούτῳ ἀλλὰ νῦν ἐπὶ ξυροῦ ἑστῶτι ἐπείθετο. εἶχε μὲν οὖν καὶ τοὺς ἀποσταλέντας D

cum ad Chiliococomum evasisset, quos desertis ordinibus terga dedisse duces commemoravimus, occurrentes indignos se vita profitebantur, qui imperatorem in pugna prodidissent; iamque suis ipsi gladiis pectora nudabant, atque ad eius se pedes oppleti lacrimis provolvebant. verum Theophilus, inaudito rei spectaculo prae illis animo saucius, "cum ego divina ope" inquit "incolumis evaserim, evadetis et vos, si cum hoste fortiter pugnaveritis."

Hoc ergo hostium stratagema Persarumque noctu cum eis collocutio (idemque est ac si foedus dicas) Theophobi inimicis eiusque necem machinantibus altera ad calumniam ac opportuna occasio fuit. (33) porro ameramnunes audita suorum non levi victoria, nihil iam cunctatus Amorium aggreditur. coniuncti itaque ad Theophili patriam ambo exercitus, ipsius scilicet ameramnunae et filii, qui iam fortiter dimicaverat, valloque ducto coepta obsidio est. interim imperator Dorylaeum reversus ameramnunae animum muneribus tentabat, num his delinitum ab expeditione revocare posset et ad sua remittere. haud vero ille paret, alto pectore dirutae patriae ac vastatae iniuriam ferens. quin immo legationem spernit, mancipium vocat ac ignavum, graviterque subsannat ac ludibrio habet, quod non ante ipsi morem gesserit, sed modo cum in novaculae acie res posita sit. retinet vero etiam quos ille legatos mise-

πρέσβεις αὐτόθι που, τῶν δρωμένων ἐπόπτας καὶ μάρτυρας. (34) καὶ δὴ χρόνου παρῳχηκότος διέφυγεν ἂν ἡ πόλις τὸν ὄλεθρον, τῷ πᾶσαν ἰδέαν πολιορκίας τῶν μὲν ἐνδεικνυόντων τῶν δὲ καταβαλλόντων, καὶ πολλῶν ἀνῃρημένων ἐξ ἀμφοτέρων ἀνδρῶν, τῶν μὲν ἀμυνομένων τῶν δὲ πολιορκούντων, ἀπράκτων δὲ τέως μενόντων τῶν Ἀγαρηνῶν καὶ τῆς πολλῆς ὀφρύος κατασπωμένων τῷ πλῆθος ἀνῃρῆσθαι λαοῦ. καὶ γὰρ ὡσεὶ χιλιάδες ἑβδομήκοντα P 81 ἐκλελοιπότες εὑρέθησαν μετὰ τὴν ἅλωσιν ἀριθμούμενοι. ἀλλ' οὐκ ἦν παρελθεῖν τὴν ἐκ θεοῦ μάχαιραν ἠπειλημένην ἄνωθεν, οἷς ὑβρίζετο τὸ θεῖον αὐξανομένης δὴ τῆς αἱρέσεως. διὰ τοῦτο ἀνήρ τις τῶν ὑποβεβηκότων (Βοϊδίτζης οὗτος ἐκαλεῖτο ὁ ἄθλιος) μέλλουσιν ἤδη πως ἀναχωρεῖν καὶ πρὸς τὴν οἰκείαν μετ' αἰσχύνης παλινοστεῖν "τί" φησίν, "ὦ οὗτοι," γράμματα διὰ βελῶν πεπομφώς, "τοσοῦτον τεταλαιπωρηκότες μέλλετε ἀποφοιτᾶν, κεκμηκότες ἄπρακτα καὶ πεπονηκότες; ἔλθετε τοιγαροῦν κατὰ τοὺς πύργους ἐκείνους, ἔνθα μὲν βοΐδιον ἄνωθεν λίθινον ἔξωθεν δὲ λέων B ἐκ μαρμάρου ἐφίσταται· κἀκεῖσέ μοι περιτυχόντες, τὰ ὑμέτερα δηλαδὴ φρονοῦντά τε καὶ διευθετοῦντα, καὶ ἄλλως ἀσθενεστέρων πεφυκότων ἔνθα δὴ τῶν ἐπάλξεων, ἐγκρατεῖς τε τῶν ἔσω γενήσεσθε καὶ ἐμὲ πολλοῦ ἄξιον κρίνετε." ἦλθον κατὰ τὸν λόγον ἐκείνου, καὶ εἰσῆλθον ἅμα τῇ προσβολῇ, παίοντες καὶ τιτρώσκοντες τοὺς καταλαμβανομένους. οὐκ ἦν δὲ ὅστις τῶν ἀποθνησκόν-

2 δὴ] τοι?

rat, quos ipsis oculis rerum inspectores ac testes adhiberet. (34) ac vero tempore praelabente evasisset urbs quoque excidium, dum hi nullam non machinam adhibent, quibus urbes expugnari solent, illi fortiter depellunt; multique desiderati, dum sic pugnaci contentione utrinque certatur. hactenusque Agareni irrito conatu laborant, multisque suorum peremptis ac longe diminuto ipsorum exercitu altos illos animos ponunt: ad septuaginta enim milia, censu habito, post captam urbem inventa illis desiderari. verum fieri non poterat ut transiret quem deus caelitus gladium intentaverat, ob contumelias quibus haeresi in dies augescente ab eis excipiebatur. idcirco plebeius quidam exque populi faece (Boiditzes misello nomen erat) illis iam recessuris et cum probro ad sua reversuris, inter missilia iactis literis, ita suggessit. "quid vos, amici, tantis exantlatis laboribus, re infecta aerumnis confecti recessuri estis? venite ergo ad eas turres, ubi superne lapideus bubulus, foris vero leo marmoreus impositus est, meque ibi invenientes, qui eadem vobiscum sentiam ac religionis cultu coniunctus existam; ac cum alioqui ea in parte imbecilliora sint propugnacula, compotes urbis efficiemini ac me plurimum coletis." veniunt itaque ut praemoniti erant, moxque aggressi ingrediuntur, trucidantes ac vulnerantes, si quos obviam habebant. qui

των οὐκ ἦν. πάντες δὲ ἀνῃροῦντο καὶ ἔπιπτον ποταμοὺς κινοῦντες ἐξ αἵματος. οὕτω μὲν οὖν αἱρεῖται τὸ Ἀμόριον καὶ χερσὶν ἀνόμων ἀνομωτέρως προδίδοται, ἐκείνων μόνον ζώντων τῶν μέχρι τοῦ Βαγδὰδ παραπεμφθέντων, τῶν κατὰ τὰ θέματα τελούντων μεγιστάνων τε καὶ κραταιοτέρων ἀνδρῶν, οἷς καὶ οἱ μβʹ μάρτυρες C συνηρίθμηντο. οἱ δ᾽ ἄλλοι ἅπαντες μαχαίρας πολεμικῆς ἐγίνοντο τρόπαιον. οὐδὲ γὰρ οὐδ᾽ οὕτως ἔπεισε τὸν ἐχθρὸν ὁ Θεόφιλος πρέσβεις δευτέρους ἀποστείλας, ἐπὶ κεντηναρίοις διακοσίοις ἐξωνήσασθαί τε καὶ τῶν ἐχθρῶν λυτρώσασθαι τὸν αἰχμάλωτον λαόν, εἰ δ᾽ οὖν, ἀλλὰ τούς γε τέως πρὸς γένος αὐτῷ πλησιάζοντας καὶ ἐπὶ συμμαχίαν αὐτῷ ἀποσταλέντας ἐκεῖ. ἀλλὰ μέγα μὲν οὖν γαυριῶν μέγα δέ γε φυσῶν ἐκείνους τε τοὺς πρώτους καὶ τοὺς δευτέρους τούτους ἀνταπέστειλε πρέσβεις, καταμωκώμενός τε καὶ πλύνων ὕβρεσι, "τοσούτοις μόνοις" φάσκων "ἐξωνήσασθαι βούλεσθε κεντηναρίοις, ἔνθα τῶν χιλίων μέχρι φιλοτιμίας ἕνεκα καὶ D δωρεᾶς ὑμῖν κατανάλωται;" οἷς καὶ τὴν καρδίαν παθὼν ὁ Θεόφιλος, καὶ ὥσπερ ὑπὸ πυρός τινος ἀναζέων ἢ ἐλαυνόμενος, ἐδεῖτο τοῦ περιψύχοντος ὕδατος ἐκ χιόνος προσφερομένου. χλιαροῦ δέ πως τῷ τῆς καρδίας καύσωνι δοκοῦντος, συνέβη κἀκεῖνον ἐξ ἐκείνης τῆς πόσεως δυσεντερίας νόσῳ περιληφθῆναι καὶ ἄκοντα, καὶ τῇ νόσῳ ταύτῃ τοῦ γενέσθαι ἐκτός. καὶ τὰ μὲν κατὰ τὸ Ἀμόριον οὕτως.

10 γένους?

necem effugeret, nullus erat. caedebantur et cadebant omnes, ac cruoris rivi late diffluebant. sic itaque captum Amorium, maiorique scelere ac improbitate impiorum manibus proditum. illi tantum mortem effugerunt, qui Bagdad usque missi sunt, viri scilicet per themata ac legiones proceres fortissimique, quibus etiam connumerati sunt quadraginta duo martyres. reliqui omnes hostili gladio perempti sunt. nam nec secundis missis legatis, qui ducentis centenariis eos qui bello capti essent de exercitu ab hostibus essent redempturi, barbari animum Theophilus ullatenus inflexit; nec modo alios, sed ne eos quidem licuit liberare qui se affinitate contingerent illucque suppetias ab ipso missi essent. verum ille immensum glorians, fastuque tumens ac superbiens, utrosque tam primos quam secundos legatos prolixe derisos probrisque onustos ac complutos remisit, hoc unum adiiciens: "num tam paucis centenariis vultis redimere, qui munificentiae ac liberalitatis ostentandae causa ad mille usque centenaria expendistis?" ex his Theophilus cordis dolore affectus, ac velut igni quodam exaestuans, aquam ex nive expressam sibi afferri postulavit; quae in tanto illo pectoris aestu cum prope tepida illi videretur, imprudens dysenteriae morbo ex illa potione corripitur, eaque aegritudine moritur. hactenus ea quae spectant ad Amorium.

35. *Κατὰ δὲ τὴν οἰκείαν χώραν παλινδρομήσας ὁ Ἀγαρηνὸς τοὺς εἰρημένους ἀρχηγοὺς ἐν φρουρᾷ τινὶ σκοτεινῇ τῷ ξύλῳ* P 82 *ἀσφαλισάμενος καθεῖρξεν, βραχεῖ τινὶ ὕδατι καὶ ἄρτῳ τούτους ἐντειλάμενος ἀποζῆν. ἐν τοσούτῳ δὲ σκότει ἀσφαλείᾳ κατείχοντο ὡς μήτε κατὰ τὴν σταθερὰν μεσημβρίαν μικρόν τι αὐγάζεσθαι, ἀλλ' ἢ τῇ ἀλλήλων φωνῇ γινώσκεσθαί τε μόνῃ καὶ μόνων τῶν φυλάκων ἀπολαύειν, τῶν ἄλλων στερουμένους ἀνθρώπων, καὶ ὡς ἐν ἐρημίᾳ βαθυτάτῃ διάγειν. τούτοις τοῖς δεινοῖς ἐπὶ ἑπτὰ ὅλοις ἔτεσι προσεκαρτέρησαν. ἄρτι δὲ κατὰ τὴν πέμπτην τοῦ Μαρτίου μηνὸς ὁ τὸ Ἀμόριόν τε προδοὺς καὶ τὸν Χριστὸν ἀρνησάμενος Βοϊδίτζης κατὰ τὴν φυλακὴν γενόμενος, Κωνσταντῖνον ἄνδρα φρόνιμον καὶ σοφίᾳ ἐντεθραμμένον φωνήσας (Κωνσταντῖνος δὲ* B *οὗτος ἦν ὑπηρετῶν τῷ πατρικίῳ κατὰ τὴν ἐν λόγῳ γραφήν), οὐ χρήζειν ἔφη τινὰ τῶν ἐντὸς παρεῖναί σοι καὶ τῶν ἐμῶν τυγχάνειν μυστηρίων ἀκροατήν. ὡς δ' οὐδένα παρεῖναι ὁ Κωνσταντῖνος καθωμολόγει, "ἄγε μοι" ἔφησεν, "ὦ φιλτάτη καὶ γλυκεῖα ψυχή (γινώσκεις γὰρ τὸν ἀρχῆθεν πόθον σου συμφυέντα μοι), βουλήθητι μετὰ τοῦ πατρικίου τῷ πρωτοσυμβούλῳ συνεύξασθαι καὶ μαγαρίσαι τὴν αὔριον, ἵνα μὴ παρανάλωμα γίνησθε μαχαίρας καὶ αἰκισμῶν. τοῦτο γὰρ αὐτῷ διὰ σπουδῆς ἔχοντι καὶ μελετῶντι συμφέρον ἡγησάμην σοι ὡς φίλῳ δηλοποιῆσαι πιστῷ. θέλησον* C *γοῦν αὐτῷ μὲν κατὰ τὸ φανερὸν συνεύξασθαι, θεῷ δὲ τὰ κρυπτὰ*

35. Agarenus porro ad suam regionem reversus, quos diximus proceres compedibus vinctos in tenebricoso quodam ergastulo inclusit, brevi aqua ac pane vitam sustentare iubens. tantis vero obsitus tenebris locus erat sicque arta tenebantur custodia, ut nec alto meridie lucis quicquam eis splendesceret. una vox erat, qua alter alterum dignoscebant: nulla eis cum aliquo, praeterquam cum custodibus, consuetudo: cum aliis penitus sublata; nec aliter quam in altissima eremo vitam agebant. tantis malis ad annos septem conflictati sunt. iam autem quinta martii Amorii proditor et a Christo apostata, Boiditzes, in carcerem veniens, vocato Constantino viro prudente et sapientiae studiis educato (hic namque Constantinus, ut historiae monumenta testantur, Patricio ministrabat in scribendis literis), "haud" inquit "opus est quenquam tecum intus esse, eaque audire quae tibi secreto commissurus sum." cumque Constantinus neminem adesse affirmasset, "age" inquit "carissima mihi ac dulcissima anima: scis enim quo te pridem desiderio medullitus prosequar. ne, quaeso, renuas in crastinum, adiuncto tibi Patricio, una cum protosymbulo comprecari ac Saracenorum more caeremoniari, ne utrumque gladio ac verberibus confici contingat. cum enim id ille imprimis velit ac moliatur, operae pretium putavi ut tanquam fido amico rem tibi manifestam facerem. velis ergo in manifesto una cum illo vota reddere oreque tenus orare: deo autem, qui occulta scrutatur, intus animo

ἐτάζοντι πίστευε κατὰ ψυχήν, καὶ τῆς αὐτοῦ οὐχ ἁμαρτήσετε αἰωνίου ζωῆς." τούτοις οὐ μαλακισθεὶς μηδὲ φρεναπατηθεὶς ὁ ἀήττητος "ἀπόστηθι" ἔφη "ἀπ' ἐμοῦ, ἐργάτα τῆς ἀνομίας, ἀπόστηθι." καὶ ἅμα τῷ λόγῳ ἀπεφοίτησεν, διηγησάμενος ἰδίᾳ τῷ πατρικίῳ τῶν λεχθέντων μὲν οὐδὲν φανερόν, ἵνα μή τις δειλανδρίας ἐναποτεχθῇ αὐτῷ λογισμός, μόνον δὲ ὅτι θανάτου ψῆφος ἐς αὔριον καθ' ἡμῶν ἐξενήνεκται. εὐχαρίστησεν ἐπὶ τούτοις τῷ θεῷ ὁ πατρίκιος, καὶ διαθέμενος τὰ κατ' αὐτὸν διὰ Κωνσταντίνου τοὺς συμπαρόντας ἅπαντας εἰς πάννυχον ὑμνῳδίαν ἀνίστησιν. D

(36) ἕωθεν δὲ μετὰ σοβαρᾶς τις φαντασίας ἄρχων ἐξεληλυθὼς τοὺς προεξάρχοντας μόνους τῶν ἄλλων ἐξελθεῖν ἐπιτρέπει. καὶ δὴ ἐξίασιν ἄνδρες δύο καὶ τεσσαράκοντα, καὶ εὐθὺς κλεισθῆναι προστάττει τὴν φυλακήν. ἠρώτα γοῦν πόσον ἔτος αὐτοῖς ἐστὶν κατὰ τὴν φρουράν, καὶ ἄλλας ἐκίνει βαττολογίας, κατηκόους τούτους βουλόμενος τῶν αὐτοῦ ποιῆσαι φλυαριῶν. ἀλλ' οὗτοι τό τε ἔτος ἀποκριθέντες, ὡς ἕβδομον, καὶ πρὸς τοὺς ἐκείνων ἐκ τῆς θείας γραφῆς ῥωμαλέως καὶ μετὰ γενναίας ψυχῆς ἀντιταχθέντες λόγους, τὴν ἐπὶ θάνατον φέρουσαν κατεκρίθησαν. ὡς δὲ κατὰ P 83
τὸν Εὐφράτην ἐγένοντο, καὶ περὶ αὐτὸν ἡ πόλις αὐτῶν ᾠκοδόμηται Σάμαρα, ἐλέγχειν ἐπειρᾶτο τὸν Κρατερὸν Θεόδωρον ὁ ἀλιτήριος, εἴ πως ἀλλὰ τούτῳ γε πείσει τὸν θάνατον ἐξαρνήσασθαι. καὶ "πῶς" ἔφη "σὺ Θεόδωρε παρρησιαζόμενος διὰ θανάτου φοιτᾶν ἐλπίζεις πρὸς θεόν, οὗ τὰς σωτηρίας, ὡς φατέ, οὐκ ἠγάπησας

crede; nec ab aeterna, cuius ille auctor est ac qua muneratur, vita excidetis." his nihil emollitus aut mente deceptus invictus pugil "discede a me" inquit, "operarie iniquitatis, discede." hisque dictis statim recessit, nihil eorum quae seorsum audierat Patricio locutus, ne qua illi timidior cogitatio obreperet. hoc solum ait, latam in eos in diem crastinum mortis sententiam. his auditis Patricius deo gratias egit; suisque rebus dispositis socios omnes Constantino adiutore excitat, ut totam noctem insomnem ducant in divinis laudibus ac canticis. (36) mane igitur quidam praeses superbo incessu fastuque egressus eos duntaxat qui inter reliquos primores essent exire iubet. exierunt igitur viri quadraginta duo, moxque claudi carcerem praecipit. interrogat ergo quotum iam annum in carcere agant, aliaque inepta, eo animo ut suas illi nugas audirent. ad annum quod attinet, septimum respondere; robusteque ex divina scriptura fortique animi proposito confutatis Agarenorum sermonibus, mortis sententiam exceperant. cumque ad Euphratem venissent, ad cuius oram eorum civitas Samara exstructa est, Theodorum Craterum miser ille conatur coarguere, si qua illi ratione liceret defugiendam mortem suadere. "quonam vero modo" inquit, "Theodore, mortis compendio ad deum te evasurum confidis, certoque rem speras, qui salutaria

ἐντολάς; οὐδὲ γὰρ ἂν ἐξ ἱερατικοῦ κλήρου, ᾧ σὺ πάλαι ἐγκατελέξω, πρὸς σχῆμα ἦλθες τῶν λαϊκῶν· οὐδὲ χεῖρας ἀθώους οὔσας
B αἱμάτων σου νῦν ἐν πολέμοις ἐπλήρους πάλιν αὐτὰς τῶν μολυσμάτων τε καὶ μιασμάτων." καὶ ὁ Θεόδωρος οὐκ ἐμβραδύνας, μηδέ τινα χρόνον ἀναβαλλόμενος, "διὰ τοῦτο" ἔφη "καὶ τὸ ἐμὸν ἐκχέαι αἷμα οὐ κατοκνήσω, ἵνα μοι λύτρον τε καὶ λουτρὸν τῶν πεπλημμελημένων ἀναφανὲν τὴν βασιλείαν δώῃ αὐτοῦ, ἢ ἀποδράσας τίς σου τῶν οἰκετῶν καὶ αὖθις ἐπανακάμψας τήν σοι φίλην λειτουργίαν ἐκτελοίη, εἰς τὴν συγγνώμης χώραν ἀλλ' οὐκ ἀγνωμοσύνης χωροίη." καὶ ἅμα εἰς τὸ τῆς ἀθλήσεως εἰσῄει ὥσπερ τις Ὀλυμ-
C πιονίκης στάδιον, καὶ πρὸς τὸν πατρίκιον Κωνσταντῖνόν φησι, τὴν ὑφέρπουσαν ὥσπερ αὐτοῦ δειλίαν καὶ φόβον ἀποσοβῶν, "ἄγε δή, ὦ στρατιῶτα Χριστοῦ, τὸ πρόκριτος εἶναι πάντων ἡμῶν πρὸς τὸν ἐπὶ γῆς βασιλέα λαχών, πρῶτος καὶ τὸν τοῦ μαρτυρίου ἀναλάμβανε στέφανον." ὁ δ' ἱερὸς Κωνσταντῖνος "σοὶ μᾶλλον ὡς γενναίῳ καὶ κρατερῷ" ἔφη "τὸ τοιοῦτον προσῆκεν ἀξίωμα, ὅθεν ἀκόλουθον ἕξεις με, σαυτὸν πρῶτον εἰς θάνατον παραδιδούς." ἐπιρρώσαντες οὖν ἀλλήλους τοῖς παρακλητικοῖς, κατὰ τὰς κοσμικὰς ἀξίας πρὸς τὸν διὰ μαρτυρίου ἕκαστος ἐχώρει δὴ θάνατον, πάντων θαυμαζόντων τὴν μετὰ πεποιθήσεως καὶ γενναίας τούτων
D ψυχῆς ἄθλησιν. ἀλλὰ ταῦτα μὲν ὕστερον.

7 ἢ] ἢ εἰ?

eius mandata, uti vos vocatis, non dilexeris? nonne ex sacerdotali clero, cui pridem adscriptus fueras, laicorum habitum institutumque amplexus es? nonne manus, cum a sanguine insontes essent, nunc iterum inter praelia sordibus ac inquinamentis replebas?" ad quem Theodorus nihil cunctatus nullaque mora "haec ipsa" inquit "causa est cur neque sanguinem fundere recusem, quo nimirum pretium ille ac lavacrum mihi effectus illius mihi regnum conciliet, quemadmodum tu, si quis servorum fugerit, ac postea reversus, cui obsequio mancipare placuerit, illud recte exsequatur, venia dignum habueris, non quasi improbum castigabis." ita locutus certaminis stadium haud secus ac Olympicis certaminibus victor quispiam ingreditur, aitque ad Constantinum Patricium, subrepentem ei formidinem metumque velut depellens, "age, rogo, Christi miles, qui apud terrenum regem nobis omnibus maiores honores consecutus sis, primus quoque martyrii lauream accipe." ad quem sacer Constantinus "tibi potius velut strenuo exque nominis ratione κρατερῷ (victori scilicet et robusto viroque forti) ea convenit dignitas; unde me habebis comitem, cum primum te deo victimam obtuleris." sicque mutuo hortatoriis verbis sese confirmantes, pro eo ac quisque saeculari militia maiori dignitate fulserat, ad mortem per martyrium contendebant, cunctis eorum cum fiducia generosoque proposito certamen mirantibus. verum haec postea.

37. *Τότε δὲ ὁ βασιλεὺς Θεόφιλος οὐ φέρων τὴν ἐκ τῶν Ἀγαρηνῶν ἧτταν καὶ ἀδοξίαν, πατρίκιον Θεοδόσιον, ὃς οὕτως ἐλέγετο ὁ Βαβούτζικος, πρὸς τὸν ῥῆγα Φραγγίας ἐξαποστέλλει, στρατεύματα ἐκεῖ αἰτῶν γενναῖά τε καὶ πολυάνθρωπα. οὐδὲ γὰρ χειρῶν ἀσθενείᾳ ἢ ψυχῆς μαλακότητι τοὺς ἑαυτοῦ κέκρικεν ἡττᾶσθαι ποτέ, φυγομαχίᾳ δὲ καὶ ταὐτὸν εἰπεῖν προδοσίᾳ τοῦτο πάσχειν ἀεί. ἀλλὰ καὶ ἂν ἔλαβεν πεῖραν καὶ τῶν ὧν προσεκαλεῖτο ἐθνῶν δύναμιν καὶ ἰσχὺν [ᾔσθετο] (μετ᾽ εὐφροσύνης γὰρ τὴν πρὸς βασιλέα ἐπικουρίαν ὁ ῥὴξ ἀπεδέδεκτο) καὶ αὖθις κατὰ τῶν Ἀγαρηνῶν* P 84 *ἐστράτευσεν ὁ δυστυχὴς Θεόφιλος (ταύτην δὲ τὴν προσηγορίαν ἐκ τοῦ ἀεί πως ἡττᾶσθαι κατὰ πόλεμον ἐκληρώσατο), εἰ μὴ ὁ ἀποσταλεὶς Θεοδόσιος ἐκ τοῦ βίου γενέσθαι προέφθασεν. ἐκείνου τε γὰρ ἡ ἀποβίωσις τὸν στρατὸν ἐκεῖνον πρὸς τὴν βασιλεύουσαν ἐλθεῖν οὐ πεποίηκε, καὶ τοῦ βασιλέως ἐπικρατήσασα ἡ τῆς δυσεντερίας νόσος θανατεῖν ἐποίει ἀλλ᾽ οὐ πρὸς ὅπλα χωρεῖν.*

38. *Ὥρα δὲ καὶ τὰ τοῦ Θεοφόβου εἰς μέσον θεῖναι καὶ πᾶσι καταστῆσαι σαφῆ. ἔκ τε γὰρ τῆς εἰρημένης ἤδη κατὰ τῶν Ἀγαρηνῶν ἐν νυκτὶ τὸν πόλεμον συστήσεσθαι αἰτίας, ἀλλὰ καὶ* B *τῆς κατὰ τὴν νύκτα γενομένης λαθραίας ὁμιλίας πρὸς τοὺς Σαρακηνούς, ὡς ἔφαμεν, καὶ ἄλλοθεν δέ ποθεν κατ᾽ αὐτοῦ λοιδορίαι καθοσιώσεως ἐπιφυεῖσαι καὶ αὐξηθεῖσαι μισητὸν εἰργάζοντο τὸν ἄνδρα καὶ φοβερόν. καὶ ἐπεὶ μὴ οἷός τε ἦν ἀντισχεῖν, εὐεξαπά-*

15 *θανατᾶν?* an *δυσθανατεῖν?* 18 *καὶ*] *δὲ* P

37. Tum vero Theophilus imperator, quam ab Agarenis cladem probrumque acceperat, animo non ferens, Theodosium patricium, cui Babutzicus nomen erat, ad regem Franciae mittit, fortes inde auxiliarios ac numerosas copias ad se mitti petens. existimabat enim suos nunquam virium imbecillitate aut molliore animo victoria cecidisse, sed pugnae detrectatione, seu (quod idem est) proditione, id illis semper accidisse. ac plane rem experturus erat, ac gentium, quarum auxilia rogaverat, sensisset potentiam, siquidem Francorum rex legationem libens habuerat, nec missurum se armatos abnuebat, novaque rursus acie infortunatus Theophilus (hoc enim ille sibi nomen asciverat, quod in praeliis semper victus exiret) in Agarenos expeditionem suscepisset, nisi quem ille miserat Theodosius prius in humanis esse desiisset. nam tum illius mors in causa fuit ne Francorum auxilia in urbem regiam venirent; tum dysenteriae invalescens morbus imperatori mortem attulit, non etiam resumendi arma facultatem fecit.

38. Porro tempus est ut et Theophobi res in medium producamus ac cunctis eas notas faciamus. ex ea enim, quam dixi iam, nocturna illi adversus Saracenos insinuata pugna, quin et ex nocturno clanculum cum Saracenis, quo de supra, habito colloquio, nec non aliis quibusdam orta in eum auctaque maiestatis crimina exosum virum reddebant et formidolosum.

τητον ὄντα εἰδὼς τὸν Θεόφιλον, φυγαδείᾳ χρησάμενος πρὸς τὴν Ἄμαστριν (πόλις δὲ αὐτὴ Ποντική) μετὰ τέκνων ὁμοῦ χωρεῖ τε καὶ γυναικῶν καί τινων ἐκκρίτων ἀνδρῶν. ἀνήγετο οὖν στόλος εὐθὺς κατ' αὐτοῦ, καὶ πόλεμος σφοδρὸς ἐξηρτύετο ὡς πρὸς ἐχθρὸν C *τοῦ βασιλέως κατάδηλον, καὶ τοῦ τοιούτου στόλου ἀρχηγὸς ὁ τῆς βίγλης δρουγγάριος οὕτως Ὠρύφας λεγόμενος. ἀλλ' ὁ Θεόφοβος τὸν τοῦ θεοῦ φόβον ἐν ἑαυτῷ συλλαβὼν οὐκ ἔφησε δίκαιον εἶναι Χριστιανὸν ὄντα αἵμασιν ἀνθρώπων χαίρειν πιστῶν· ὅθεν ὑπείκει τῷ βασιλεῖ ὅρκοις δελεασθείς, καὶ πρὸς αὐτὸν ἐπανάγεται τοῖς ὅρκοις θαρρῶν. ἀλλ' ὁ Θεόφιλος τούτους θέμενος εἰς οὐδὲν νῦν μὲν εἱρκτῇ τινὶ καὶ φρουρᾷ τῇ κατὰ τὸν Βουκολέοντα τοῦτον τίθησι, φρουρεῖσθαι προστάξας· μιᾷ δέ τινι τῶν ἡμερῶν, ἐπεὶ ἔγνω ἑαυτὸν ἤδη ἀποβιοῦντα καὶ τὰ ἔσχατα πνέοντα, κελεύει ἐν νυκτὶ ἐξ αὐθεντίας ἀποτμηθῆναι οἷόν τι πικρὸν αὐτοῦ ἐντάφιον* D *καὶ λυπηρόν, καὶ πρὸς ἑαυτὸν τὴν ἐκείνου ἀχθῆναι κεφαλήν. ἐπεὶ γοῦν ἤχθη κατὰ τὸ πρόσταγμα, τῇ ἑαυτοῦ χειρὶ τὴν ἐκείνου ῥῖνα λαβὼν "νῦν γε" ἔφησεν "οὐδὲ σὺ Θεόφοβος οὐδ' ἐγὼ Θεόφιλος." εἰσὶ δὲ οἱ τὸν θάνατον τοῦ Θεοφόβου τῷ Ὠρύφᾳ ἀλλ' οὐ τῷ βασιλεῖ διδόασιν, φάσκοντες ὡς ἅμα τῷ πιστεῦσαι τούτῳ αὐτόν, τὴν κεφαλικὴν ἐπαγαγεῖν τιμωρίαν αὐτῷ λάθρα διὰ νυκτός. ἐκεῖθεν οὖν διαβεβόηται μέχρι τοῦδε παρὰ Πέρσαις μὴ ὄψεσθαι θάνατον τὸν Θεόφοβον ἀλλ' ἐν ἀφθαρσίᾳ διαζῆν, τῷ κρύβδην ἀλλ' οὐκ ἀναφανδὸν τὸν ἐκείνου θάνατον γενέσθαι ποτέ.*

et quia is non satis obniti poterat, cum Theophilum facilis ad calumniam ingenii non nesciret, fuga se cum liberis et uxoribus aliisque delectis viris ad Amastridem Ponti urbem recepit. mox ergo in eum missa classis, graveque omni armorum apparatu, tanquam adversus apertum imperatoris hostem, instructum bellum. classi praeerat excubiarum drungarius Ooryphas nomine. verum Theophobus pro nominis ipsa ratione, concepto intra semet ipsum dei timore, "iniquum," ait, "qui sit Christianus, fidelium cruore gaudere." cedit itaque Theophili iuramentis deceptus, iisque fretus ad eum reducitur. verum ille eorum spreta religione hactenus quidem in Bucoleonis carcere includi ac servari iubet: quadam vero die, cum se iam mori ac supremum spiritum agere cognosceret, noctu velut acerbam tristemque sepulcralem victimam ex potestate meroque arbitrio obtruncari praecipit exsectumque caput ad se deferri. ubi allatum pro eo ac mandaverat fuit, arrepto manu illius naso "nunc" ait "neque tu Theophobus nec ego Theophilus." non desunt vero qui Theophobi necem Ooryphae adscribant, non Theophilo; ac dicant, cum primum se ille ei dedidit, noctu ab eo ac secreto capitis poenam excepisse. hinc apud Persas fama percrebuit, non visurum mortem Theophobum, sed incorruptae vitae perennitatem consecutum esse, eo quod eius mors nunquam palam prodita est.

39. *Κατὰ δὲ τὸν αὐτὸν καιρὸν Κρῆτες παντὶ στόλῳ ἀρά-* P 85 *μενοι τὴν παράλιον ἐδῄουν τῶν Θρακησίων καὶ ᾐχμαλώτιζον. παρὰ τοσοῦτον δὲ αὐτῶν ἐχώρουν τὰ νεανιεύματα καὶ τὰ στρατηγήματα παρ' ὅσον οὐ τὴν αἰγιαλῖτιν μόνον ἐπειρῶντο καταδραμεῖν, ἀλλὰ καὶ κατὰ τῶν ἐν τῷ ὄρει, ὅπερ οὕτω καλεῖται Λάτρος, ἐνσκηνούντων καὶ τῶν μοναύλιον βίον ἀσπαζομένων γυμνῷ τῷ ξίφει χωρεῖν καὶ Μυσῶν λείαν τὰ ἐκεῖσε ποιεῖν. ἀλλὰ Κωνσταντῖνος ὁ κατὰ τὸν Κοντομύτην τηνικαῦτα τὴν πρόνοιαν τοῦ θέματος τούτου ποιῶν, ἐπείπερ ἔξω πρὸς τὴν χέρσον ἐγένοντο, ὡς δελφῖνας τούτους ἀπέσφαξε καὶ γενναίᾳ χειρὶ τῇ ἀφανείᾳ πάντας παρ-* B *έδωκεν. καὶ κατὰ τὸν τῆς αὐτοκρατορίας δὲ χρόνον αὐτοῦ καὶ τὸν Ὀκτώβριον μῆνα, εἰς ἰνδικτιῶνα ὀγδόην, ὁ τῶν Ῥωμαίων στόλος ἐν τῇ νήσῳ τῇ Θάσῳ καταναυμαχηθεὶς ἄρδην ἅπας ἀπώλετο. καὶ κατὰ τὸ ἑξῆς δὲ τὰς Κυκλάδας νήσους, ἀλλὰ μὴν καὶ τὰς ἄλλας ἁπάσας, ὁ τῶν Ἰσμαηλιτῶν κατασύρων στρατὸς οὐκ ἐπαύετο. καὶ αὖθις ἐν Ἀβασγίᾳ ὅ τε Θεόφοβος καὶ ὁ τῆς Θεοδώρας ἀδελφὸς Βάρδας ἀποσταλέντες μετὰ στρατιᾶς ἰσχυρῶς ἐδυστύχησαν, ὀλίγων ἄγαν ἐκεῖθεν ὑποστρεψάντων. ἀλλὰ καὶ αὐχμοὶ καὶ πάλιν χειμῶνες ἐξαίσιοι καὶ ὅλως ἀνωμαλίαι καὶ δυσκρασίαι* C *κατὰ τὸν ἀέρα γινόμεναι ἐκάκουν τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ, ἐξ ὧν σιτοδεῖαι καὶ λιμοὶ καὶ γῆς ἐκ σεισμῶν ἀνατιναγμοὶ οὐκ ἦν ὅτε μὴ ἐγίνοντο κατὰ τὴν αὐτοῦ ἅπασαν τῆς βασιλείας ἡμέραν.*

11 *τὸν αὐτὸν τῆς?*

39. Circa idem tempus Cretenses plena educta classe Thraciae maritima populari praedasque agere ac captivos abigere. eo usque autem processit illorum insolentia ac bellicus furor, ut non solum maritimam depraedari conarentur, sed et in eos qui montem sic dictum Latrus habitant, ac vitam monasticam agunt, strictis gladiis irruerent, eorumque omnem suppellectilem Mysorum, quod aiunt, praedam facerent. Constantinus tamen Contomytes eius tunc provinciae praefectus, quod relictis navibus longius in terram excurrerant, velut delphinos in continenti deprehensos iugulavit cunctosque strenua manu internecioni dedit. eodem quoque Theophilo imperatore mense Octobri, indict. 8, Romanorum classis in Thaso insula navali praelio expugnata tota penitus periit. deincepsque Cyclades insulas, quin et alias omnes, diripiendi ac populandi Ismaelitarum classis atque exercitus nullum finem fecit. iterum quoque Theophobus et Augustae frater Bardas cum exercitu in Abasgam missi infaustis adeo ominibus rem gesserunt, ut pauci admodum ex illa expeditione reduces fuerint. sed et nimii aestus ac rursus exuberantes pluviae prorsusque aëris inaequalitas intemperiesque terram ac colonos laedebant, indeque rerum penuria ac fames. vix quoque vel unum diem, quandiu ille rerum potitus est, terra motibus quati destitit.

40. Ἐπεὶ δὲ ὅλην ἐκκενώσας τὴν τοῦ σώματος οὐσίαν τῇ τῆς γαστρὸς διαρροίᾳ καὶ φθόῃ, ὡς μηδαμοῦ στῆναι τῆς ψυχῆς ἔτι δυναμένης ἀλλ' ἀποπτῆναι αὐτῆς ζητούσης καὶ ἀποστῆναι, ἐδεδίει [δὲ] περὶ τοῦ υἱοῦ καὶ τῆς αὐτοῦ γαμετῆς, ἐν τῇ Μαγναύρᾳ πάντας ἐκκλησιάσας [ὅτε] καὶ μόγις κλίνης ὑπὸ τῶν ἐπιτηδείων
D κουφισθεὶς καὶ ἀρθείς, καὶ πολὺ ἀθροίσας πνεῦμα ἐν στεναγμῷ, "ἄλλος μὲν" ἔφη "ἀπολοφυρόμενος ἐν τοιαύτῃ νόσῳ καὶ καταιγίδι τὸ τῆς νεότητος ἄνθος ἐξετραγῴδησε καὶ τὴν τοσούτην εὐδαιμονίαν, αἷς ὁ ἐξ ἀρχῆς φθόνος ἐπιβασκαίνων με δεινῶς τὰ νῦν ἐποφθαλμίζει καὶ ἐξ ἀνθρώπων με ποιεῖ. ἐγὼ δὲ τὴν τῆς γαμετῆς μου χηρείαν προορῶν καὶ τὴν τοῦ υἱοῦ δυσποτμίαν καὶ ὀρφανίαν, πρὸς δὲ καὶ διακόνων ἤθεσι καλοῖς ἐντραφέντων καὶ θεραπείαις καὶ τῆς ἐμῆς συγκλήτου καὶ γερουσίας τὴν στέρησιν, ἀνακλαίομαι, ὦ παρόντες, καὶ ἀποδύρομαι οἷς τε ὑμᾶς χειροήθεις ὄντας καὶ πραεῖς καταλιμπάνων πρὸς ὃν οὐκ οἶδα πορεύομαι βίον, καὶ ἀλ-
P 86 λάσσομαι δόξαν ἀνθ' ἧς οὐδ' ὅλως ὅ τι μοι προσαπαντήσεται ἔγνωκα. ἀλλὰ μέμνησθέ μου τέως τῆς ἧς οὐκέτι γλώττης ἀκούσεσθε καὶ ἣν ὅτε πικρὰ τοῦ πρέποντος ἕνεκεν καὶ συμφέροντος· καὶ τὴν μετὰ θάνατον εὔνοιαν εἴς τε υἱὸν καὶ γυναῖκα διαβαίνουσαν ταμιεύσασθε, ἐκεῖνο πάντως προσενθυμούμενοι, ὡς ὁποῖός περ ἕκαστος τῷ πέλας τούτου γενήσεται, τοιοῦτον καὶ αὐτῷ τὸ πρὸς τὸ μέλλον συμβήσεται." τοιούτοις ῥήμασι τῆς βασιλικῆς

10 τῆς om P

40. Quia vero corporis omnem substantiam ventris diarrhoea taboque exhauserat, nec usquam iam anima sisti poterat, sed avolare ac abscedere quaerebat, de filio atque uxore sollicitus eorumque securitati cavens communem omnium conventum ad Magnauram indicit. ibi aegre sublevantibus lectoque tollentibus necessariis, copiosum cum gemitu ducens spiritum, "alius" inquit "istiusmodi affectus aegritudine, tantoque quatiente turbine, iuventutis florem dire lamentaretur tantamque hanc felicitatem; quibus iam olim insidiatus livor, nunc quoque graviter obtuens, humanis me rebus extrudit. at ego uxoris futuram viduitatem praevidens filiique orphani sortem miseram, ministrorum item atque servorum qui probis moribus ac obsequiis innutriti sunt, mei denique senatus ac procerum privationem, vehementius defleo atque deploro, o vestra praesentium concio, quod vos mansuetos mitesque relinquens ad eam quam nescio vitam proficiscor, gloriamque commuto, cuius loco quid mihi eventurum sit ignoro. verum hactenus meae memores linguae estote, quam nunquam amplius estis audituri; quae et acerba, pro eo ac honesti atque utilis ratio exposcebat, quandoque locuta est, nuncque cum e vivis excessero, benevolentiam in filium uxoremque recurrentem reponite, istud omnino cogitantes, fore ut qualis quisque in proximum suum exstiterit, tale ei quoque in futurum contingat." verbis eiusce-

πάντας κατακηλούσης γλώττης καὶ ἡμερούσης, οὐκ ἦν ὅστις ἀδάκρυτος ἦν, οὐδ᾽ ἦν εἰκάσαι τὸν ἀναπεμφθέντα ἐκ τῶν παρόντων στεναγμόν τε καὶ ὀδυρμόν.

41. Μικρὸν οὖν ἔτι ἐπιβιώσας κατὰ τὴν εἰκάδα τοῦ Ἰανουαρίου B μηνὸς τὸν βίον μετήλλαξεν, τῆς βασιλείας γενόμενος ἐγκρατὴς μῆνας τρεῖς ἐπὶ δώδεκα ἔτεσιν, πολλὰ τοὺς τῆς ὀρθοδόξου πίστεως περιεχομένους παρ᾽ ὅλον αὐτοῦ τὸν βίον μυσαττόμενός τε καὶ χειμῶνα πάντα κατὰ πᾶσαν ὥραν καιροῦ ἐπάγων αὐτοῖς ἀφειδῶς, ἀνθ᾽ ὧν ἕνεκεν καὶ τὸ δυστυχὴς ὄνομα παρὰ παντὸς ἀνθρώπου ὥσπερ τινὰ κλῆρον ἐπήγετο, μηδέποτε τρόπαιον στήσας κατὰ τῶν ἐχθρῶν βασιλικόν τε καὶ ἀξιέπαινον, μήτε μὴν τὴν προτέραν ἧτταν ἀναμάχεσθαι δυνηθείς, καίτοι γε ὀκτωκαίδεκα πολέμους παρ᾽ ὅλην αὐτοῦ τὴν ζωὴν κατὰ τῶν ἐχθρῶν συστήσας, καὶ τοσαυτάκις C αὐτοῖς συμπλακεὶς καὶ πρὸς παρατάξεις χωρήσας οὐκ ἀγεννεῖς. ἀλλὰ τοῦτον μὲν οὕτω καταστρέψαντα τὸν βίον ἐνταῦθα καταλιπόντες ἐπὶ τὰς καταλοίπους οἰκοδομὰς αὐτοῦ που περὶ τὰ ἀνάκτορα οὔσας βαδιούμεθα, ἀξιολογωτάτας οὔσας καὶ μνήμης τυχεῖν ἱκανάς.

42. Εὐθὺς γοῦν ἀπὸ τοῦ Κυρίου εἰσιὼν κατὰ τὸ πρόσωπον ὑπαντώσας εὑρήσεις αὐτάς. ὅ τε γὰρ Καριανός, ὃς οὕτω φέρει τὴν κλῆσιν διὰ τὸ ἀπὸ τῆς γραδώσεως ἔχειν ἀπὸ λίθου Καριανοῦ οἷόν τινα πλατὺν ποταμόν, ὃ καὶ χρηματίζων σήμερον βε- D

16 περὶ] ἐπὶ P 21 ἐπὶ?

modi imperatoris lingua concionem omnem deliniente atque mulcente, in ea qui lacrimas teneret nullus erat, maiorque omnium pectore erumpens gemitus ac eiulatus quam ut ullus satis coniectura assequi queat.

41. Paucos hinc dies vitae superstes vigesima die Ianuarii naturae debitum solvit, imperio potitus annos duodecim menses tres. adversus rectae fidei professores per omnem vitam odium implacabile gessit, nullumque non turbinem omni hora ac quavis occasione nulla eis venia indulgentiaque adhibuit; quo factum est ut infortunati nomen apud omnes velut hereditario quodam iure reportarit. nunquam pro imperii maiestate ac laude dignum adversus hostes tropaeum erexit, ac neque acceptam cladem resarcire unquam satis potuit, idque cum octodecies per omnem vitam suscepta adversus hostes expeditione toties cum illis signa contulerit, nec contemnendas copias pugnam commissurus duxerit. verum Theophilo sic vita functo a nobis relicto, ad reliqua eius aedificia exstantia in palatio procedamus, utpote praemagnifica dignaque memoria.

42. Statim itaque a Cyrio ingredienti aedificia illa in faciem incurrent. nam et Cariani domus, sic dicta quod a gradibus quandam velut fluminis planitiem Cariano strata lapide exhibeat, quae et hacte-

στιάριον τῶν ἀποθησαυριζομένων πέπλων [ἐκ] σηρικῶν, τῆς ἐκείνου προνοίας ἔργον ἐστίν, οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ γείτων αὐτοῦ κεχρυσωμένην ἔχων ὀροφὴν Τρίκογχος, ἐκ τοῦ σχήματος τὴν κλῆσιν λαχών· τρισὶ γὰρ κόγχαις μετεωρίζεται, μιᾷ μὲν κατὰ τὴν ἀνατολὴν συνοικοδομούμενος, ἣ καὶ ἐκ τεσσάρων κιόνων Ῥωμαίων ὑποστηρίζεται, δυσὶ δὲ ἐγκαρσίαις, κατὰ ἄρκτον καὶ μεσημβρίαν φημί. τὸ πρὸς δύσιν δὲ τοῦ οἴκου μέρος ὑπὸ δύο μὲν κιόνων ἀνέχεται, τριῶν δὲ πυλῶν τὴν ἔξοδον δίδωσιν. τούτων ἡ μέση μὲν
P 87 *ἐξ ἀργύρου κατεσκεύασται, αἱ ταύτης δὲ ἑκατέρωθεν ἐκ γεγανωμένου χαλκοῦ. ἡ ἔξοδος εἰς τὸ καλούμενον οὕτω Σίγμα ἐξάγει, ἐκ τῆς πρὸς τὸ στοιχεῖον ὁμοιότητος τὴν ἐπωνυμίαν λαβόν, ὃ ἴσην τε καὶ ὁμοίαν τοῦ Τρικόγχου τὴν εἰς τοὺς τοίχους ἐπανθοῦσαν ὡραιότητα φέρει· ἐκ γὰρ λακαρικῶν παμποικίλων τοῦτό τε κἀκεῖνο μαρμάρωται. ἀλλὰ τοῦτο μὲν τὴν ὀροφὴν ἔχει στερράν τε καὶ λαμπράν, ὅτι καὶ πεντεκαίδεκα κίοσιν ἥδρασται ἐκ λίθου δοκιμίνου· διὰ στύρακος δὲ πρὸς τὸν θεμέλιον αὐτοῦ κατιὼν τὴν αὐτὴν ἔχοντα τοῦ σχήματος εἰκόνα τε καὶ ὁμοίωσιν εὑρήσεις, ἐννέα πρὸς*
B *ταῖς δέκα κίοσιν διαβασταζόμενον, καὶ τὸν περίπατον ἔχοντα κατεστρωμένον ἐκ λίθου πιπεράτου. τούτου δὲ πλησίον τοῦ περιπάτου, ἐνδότερόν που καὶ ἀνατολικώτερον, Τετράσερόν τι ὁ τεχνίτης ἐξήγειρεν, τρισὶ καὶ αὐτὸ κόγχαις διειλημμένον κατὰ τὴν εἰκόνα τοῦ ἐπικειμένου αὐτῷ Τρικόγχου. ἀλλὰ τὴν μὲν μίαν πρὸς τὴν ἀνατολήν, τὰς ἑτέρας δὲ δύο μίαν μὲν πρὸς τὴν δύσιν θατέ-*

nus sericarum vestium penus est, ac vestiarium vocatur, illius curae opus est. sed et illi vicinum Triconchum, auro obductum tectum habens, cui ex figura nomen est. triplici enim concha assurgit, una ad Orientem exstructa, quae et quattuor columnis Romanis (porphyreticas vocant) fulcitur, duplicique obliqua ad aquilonem et meridiem. ea porro domus pars quae ad occidentem spectat, duabus columnis sustinetur tribusque portis exitum praebet. harum media argento conflata, utrinque illi adiacentes aere splendent. exitus ad locum ducit Sigma appellatum, ab eius elementi affini figura. parem Sigma Triconcho in parietibus effulgentem venustatem praefert: utrumque enim varii coloris marmoribus incrustatum est. quod autem Sigma vocant, tectum firmum habet ac praemagnificum, quindecim columnis ex lapide Docimino fultum. hinc per styracem ad eius fundamentum descendens eandem cum superioribus figuram habere invenies ac compositionem, novemdecim columnis subnixum, constructa porticu piperato lapide. prope hanc porticum, paulo interius magisque ad orientem, aliud quidpiam Tetraserum excitavit artifex, ipsum perinde triplici concha comprehensum, ad similitudinem imminentis illi Triconchi; quarum una quidem ad orientem spectat, duarum vero aliarum alteram ad occidentem, alteram ad meridiem compre-

ραν δὲ πρὸς τὴν μεσημβρίαν συμπεριείληφεν. τὸ δὲ ἀρκτῷον μέρος ἐκ δύο κιόνων ἀληθινοπιπέρων ἔχει διανειργόμενον Μυστήριον· οὕτω τὴν κλῆσιν ἔχει τοῦτο κατάλληλον. καὶ ἡ αἰτία ὅτι καθάπερ τὰ ἄντρα συνεπηχῶν ἀβλαβῆ τὴν ἠχὼ διαπέμπει πρὸς τοὺς ἀκούοντας· καὶ εἴ τις τῷ τοίχῳ πλησιάσας τῆς ἀνατολικῆς C κόγχης εἴτε δὴ καὶ δυτικῆς ἐν μυστηρίῳ τι εἴπῃ καὶ καθ' ἑαυτόν, ἐκ διαμέτρου τε καὶ ἀντιπέρας ἱστάμενος ἕτερος, εἰ τὸ οὖς τῷ τοίχῳ ἐπιθῆται, τῆς ἐν μυστηρίῳ λαλουμένης ἐκείνης φωνῆς αὐτήκοός πως γενήσεται. τοιοῦτόν τι περὶ αὐτὸ θαῦμα ἐγγίνεται.

43. Τούτῳ δὴ τῷ οἴκῳ παρεπεπήγει πως καὶ συγκατεσκεύασται ὁ τοῦ Σίγμα περίστυλος, ὁ πρότερον ἡμῖν εἰρημένος. ἐκ δὲ τούτου ὕπαιθρόν τι καὶ ἐξάερον κέχυται, μέσον μὲν φιάλην ἔχον χαλκῆν, ἐξ ἀργύρου τὸ χεῖλος ἔχουσαν ἐστεμμένον· ἣ διάχρυσον στροβίλιον ἔχουσα οὕτω κατωνόμασται, μυστικὴ τοῦ Τρι- D κόγχου φιάλη, ἔκ τε τοῦ πλησίον ᾠκοδομημένου Μυστηρίου καὶ τοῦ τρικόγχου οἰκήματος ἐπωνυμίαν λαβοῦσα. ἐκ δὲ ταύτης αὐτοῦ που πλησίον καὶ ἀναβάθραι ἑστήκασιν ἐκ Προικοννησίου λίθου λευκοῦ, καὶ μέσον τῶν εἰρημένων ἀναβαθμῶν τροπικὴ ἐκ μαρμάρων, ὑπὸ δύο λεπτοκαλάμων κιόνων ἐστηριγμένη. αὐτοῦ που παρὰ τὴν πλευρὰν τοῦ πρὸς τὸ εὖρος Σίγμα καὶ δύο χαλκᾶ λεοντοχάσματα ἐπεπήγεισαν. ἀλλὰ ταῦτα μὲν ὕδωρ ἐκφέροντα τὸ κοῖλον ἅπαν τοῦ Σίγμα ἐπλήρουν τοῦ νάματος, τέρψιν οὐ μι-

4 **συνεπηχοῦν?**

hendit: quae autem pars ad aquilonem vergit, duplici columna veropiperina discretum Mysterium habet, sic rite pro rei ratione nuncupatum, eo quod haud secus ac specus resonans repetitum sonum omnem (is Echo dicitur) ad audientes transmittit: sic, sive quis ad orientalis sive ad occidentalis conchae parietem accedens silentio ac secum ipse loquatur, exque diametro ac ex adverso recta alius stans parieti aurem admoveat, vocem silentio dictam, ac si in aurem quis locutus esset, distincte audit. tale nimirum est quod ibi miraculum exhiberi contingit.

43. Huic aedi adiunctum unaque constructum eius, quod dicebamus, Sigma peristylium. post haec subdivale quoddam atrium effunditur, mediam habens phialam aeream, cuius labrum argento coronatum. haec auream habens cochleam sic appellata est, mystica Triconchi phiala, ex vicino scilicet utroque aedificio, mysterio ac Triconcho, nacta ut sic vocaretur. eodem prope loco iuncti exstant gradus ex Proeconnesio candido lapide; mediaque eorum, quos diximus, graduum marmorea apsis, duplici ordine graciliorum columnarum fulta. sunt et ibi, ad latus orientale Sigma, aerei leones duo hiantibus faucibus erecti. hi aquam evomentes, mediamque omnem aream Sigma latice compluentes, non exiguam

κρὰν παρέχοντα· ἡ δὲ δὴ φιάλη κατὰ τὸν καιρὸν τῶν δοξίμων, P 88 πιστακίων καὶ ἀμυγδάλων, ἀλλὰ μὴν καὶ κουναρίων πεπληρωμένη, κονδίτου ἐκ στροβιλίου ἐκδιδομένου, πᾶσιν ἐκίρνα καὶ παρεῖχε τρυφᾶν τοῖς ὅσοι δι᾽ ἐφέσεως εἶχον τῶν ἑστηκότων ἐκεῖ, πᾶσι μὲν ἀναντιρρήτως τοῖς ἐκ θυμέλης, πλέον δὲ τοῖς ἐξ ὀργάνων ψάλλουσι καὶ τὸ σύντονον. κατὰ μὲν δὴ τὰς ἀναβάθρας ὁ δῆμος ἅπας ἱστάμενος καὶ τὸ πολίτευμα μετὰ τῶν περατικῶν ταγμάτων τὴν τάξιν ἐπλήρουν τὴν βασιλικήν, μέσον αὐτῶν δηλαδὴ κατὰ τὴν εἰρημένην μαρμάρινον τροπικήν, εἰ μὲν τύχοιεν, ἔχοντες καὶ τὸν δομέστικον τῶν σχολῶν μετὰ τοῦ ἐσκουβίτου καὶ τῶν δύο δημάρ- B χων, τοῦ τε πρασίνου τοῦ τε βενέτου, πλησίον μὲν τοῦ δομεστίκου ἱσταμένου τοῦ τῶν βενέτων δημάρχου, πλησίον δὲ τοῦ ἐσκουβίτου τοῦ τῶν πρασίνων, εἰ δὲ μὴ τύχοι ἐνίοτε δομέστικος καὶ ὁ ἐσκούβιτος, ἀλλὰ τέως τούς γε δημάρχους ἔχοντες. τούτων ἔφορος ἦν ἁπάντων ὁ βασιλεύς, καὶ θυμηδίας ἁπάσης πληρούμενος, ἐν χρυσῷ διαλίθῳ θρόνῳ καθήμενος, καὶ μὴ πρότερον ἐξανιστάμενος, ὡς καὶ τακτικὰ βιβλία καὶ βασιλικὰ διαγορεύουσιν, ἢ τῶν σκιρτημάτων ἐκείνων ἐπαπολαῦσαι διὰ τῆς θέας καὶ τῶν πολιτικῶν ἐξαλμάτων. οὕτω μὲν ταῦτα καὶ διὰ τοῦτο τῷ Θεοφίλῳ κατεσκευάσθησαν, τοσοῦτος δὲ ἔρως ἦν τούτων αὐτῷ ὡς καὶ τὰς συνήθεις τῶν πραγμάτων ἀντιλήψεις καὶ καθ᾽ ἡμέραν προελεύσεις ἐν C αὐτῷ δὴ Τρικόγχῳ ἐκτελεῖν. οὗ καὶ κατὰ πρόσωπον τῆς ἐξ ἀρ-

7 ὑπηρετικῶν margo. 11 μὲν] δὲ P 21 καθ᾽] μεθ᾽ P

praebent voluptatem. phiala autem, quo tempore nuces et amygdala frugesque aliae ac poma esui apta sunt, condito plena, se ex cochlea effundente, quisquis astantium vellet, miscebat praebebatque delicias, cunctis quidem haud dubie thymelicis, iis tamen amplius qui ex organis contentiusque psallebant. in gradibus consistens omnis populus et magistratus una cum officialibus imperatoris comitatum implebant, medium habentes, in ea scilicet quam dicebam marmorea apside, si quando adesse contingeret, etiam scholarum domesticum cum excubito et duobus factionum, Prasinae scilicet atque Venetae, tribunis, ita ut Venetae quidem factionis tribunus staret iuxta domesticum scholarum, Prasinae vero tribunus iuxta excubitum; sin autem quandoque domesticum excubitumque deesse contingeret, eos saltem habentes quos diximus tribunos. horum omnium inspector erat imperator, omni iucunditate repletus, in aureo gemmisque distincto sedens solio, nec prius surgebat, ut libris bellica ipsaque imperatorum domestica continentibus statutum est, quam gesticulationibus eiusmodi civiumque tripudio delectatus esset. ita haec, inque eum usum a Theophilo exstructa. tanto autem horum amore tenebatur, ut consuetas causarum lites in Triconcho ipso dirimeret et quotidie ad ipsum procederet: cui etiam a fronte portae argen-

γύρου κατεσκευασμένης τῶν πυλῶν ἀνεστηκυῖά ἐστιν ὀροφὴ τέσσαρσι κίοσι μετεωριζομένη ἐκ Θετταλικοῦ, τοῦ καὶ πρασίνου, λίθου. ἀντικρὺ δὲ ταύτης καὶ κατὰ μέτωπον, πλησίον δὴ τῶν εἰρημένων ἀναβαθμῶν, κατὰ τὸ πρὸς δυσμὰς μέρος τοῦ Σίγμα τρίκλινοι πεφυκότες τῷ Θεοφίλῳ ἐξῳκοδόμηνται· Πυξίτης ὄνομα τῷ ἑνί τε καὶ κατωτέρῳ, ἅτερος δὲ ἀνώνυμος μὲν ἀνώτερος δέ, καὶ αὐτοῦ τὸν βασίλειον κλῆρον ἐν ἑαυτῷ διαιτᾶσθαι λαχών. τούτου δὴ Πυξίτου κατὰ τὴν πλευρὰν στίχοι λελατόμηνται, ἀσηκρῆτις ὄντες γεννήματα Στεφάνου μὲν ἔχοντος τοὔνομα, οὕτω δὲ D τοῦ Καπετωλίτου προσαγορευομένου. οἱ δὲ κατὰ τὸν τοῦ Σίγμα περίδρομον ἐγκολαφθέντες τοῦ οἰκουμενικοῦ διδασκάλου (Ἰγνάτιος οὗτος ἐκαλεῖτο) τυγχάνουσιν. κατὰ τὸ εὐώνυμον δὲ μέρος, ὡς πρὸς ἀνατολὰς τοῦ Σίγμα, ἕτερός τις τρίκλινος ἐξήρτηται, ὃς Ἔρως μὲν ἐπικέκληται, ὁπλοθήκη δὲ αὐτῷ ἐχρημάτιζεν. ἐντεῦθεν οὐκ ἄλλο τι ἢ ἱστορημένας ἀσπίδας καὶ ὅπλα παντοῖα ἴδοι τις ἐν αὐτῷ, καὶ ταύταις τοὺς τοίχους διαμορφουμένας, ὡς τὸ εἰκός. καὶ τὰ μὲν ἐξ αὐτοῦ τοῦ Τρικόγχου ἄχρι δὴ τῶν δυσμῶν οὕτως ἔνεστιν ἰδεῖν τοὺς ἀνεγηγερμένους οἴκους ἐκεῖ· κατὰ δὲ τὸ πρὸς ἀνατολὰς μέρος ἴδοις μὲν καὶ τὸν Μαργαρίτην προσαγορευόμενον. P 89 τρίκλινος οὗτος ἐκ βάθρων τῷ Θεοφίλῳ ἀνεστηκώς, ὃς ὀκτὼ μὲν κίοσιν ῥοδοποικίλοις τὸν ὄροφον στηρίζεται, τοὺς τοίχους δὲ ζῴοις πεποικιλμένους παντοδαπῶς καὶ τὸ ἔδαφος ἔχει ἐκ Προικοννησίου λίθου καὶ συγκοπῆς ἅπαν κατεστρωμένον. ἴδοις δὲ καὶ τοῦ ἐν

20 ἐνεστηκώς· ὃ P   22 καὶ om P

teae sublime quattuor columnis Thessalici marmoris, quod est viride, tectum imminet. e regione autem illius et a tergo, haud procul ab iis quos diximus gradibus, ad Sigma occidentalem partem, quae exstant triclinia, Theophilo auctore sunt exstructa. Pyxites nomen uni ac inferiori: alterum, quod est superius, caret nomine, in quo etiam palatini clerici vestiri solent. ad Pyxitis latus insculpti sunt versus, Stephani a secretis Capetoliti vena producti: qui autem in Sigma porticu exstant exarati, Ignatii sic nuncupati universalis magistri, ingenii monumenta sunt. ad laevum latus, velut ad Sigma orientalem partem, aliud quoddam triclinium imminet, cognomento Eros; quod illi armorum penus erat. hinc non aliud quis in eo videat quam clipeos omnisque generis arma in parietibus depicta, inque illis, ut par est, coloribus manuque ac penicillo expressa. inque eum modum a Triconcho ad occiduas usque partes excitatas ibi aedes liceat conspicere: ad orientem autem etiam videas quam vocant Margaritam. est autem illa triclinium a fundamentis a Theophilo excitatum, cuius tectum columnae octo Rhodio marmore variae fulciunt: muri omnis generis pictis animalibus variegati, pavimentum omne Proeconnesio stratum lapide et tessellatum. videre etiam licet or-

αὐτῷ κοιτῶνος ἐκ τεσσάρων μὲν κιόνων Βαθυΐνων τὸν χρυσῷ κατάστικτον κύκλον τῆς ὀροφῆς ἀνεχόμενον, ἐκ τεσσάρων δὲ Θετταλικῶν τὰς στοὰς ἀνεγηγερμένας καὶ βασταζομένας, τοῦ τε ἀνατολικοῦ μέρους καὶ τοῦ μεσημβρινοῦ, τοὺς τοίχους δὲ καὶ τὸ ἔδαφος ὁμοίως τοῖς Μαργαρίτου κατεστρωμένα λαμπρῶς. οὗτος μὲν ὁ B κοιτὼν εἶχεν ἐν ἑαυτῷ διαιτώμενον τὸν Θεόφιλον ἀπὸ τῆς ἐαρινῆς μεσημερίας μέχρι τῆς μετοπωρινῆς καὶ αὖθις· ἄρτι δὲ τῆς χειμερινῆς γειτνιαζούσης τροπῆς κατὰ τὸν ἄλλον μετῳκίζετο κοιτῶνα τὸν κατὰ τὸν Καριανὸν τρίκλινον, καὶ αὐτὸν ὑπ᾽ ἐκείνου ᾠκοδομημένον διὰ τὰς τῶν νότων ἰσχυροτέρας καὶ βιαιοτέρας πνοάς· ὃ καὶ νῦν τοῦ παππίου ἔστιν ἰδεῖν καταγώγιον. οὐχ ἧττον δὲ κατόψει καὶ τὸ ἐκεῖσε δὴ ἡλιακὸν ὑπ᾽ ἐκείνου καταβεβλημένον κατὰ πρόσωπον τοῦ βορρᾶ, ἐξ οὗ δὴ ὡρᾶτο καὶ τὸ παλαιὸν τζουκανιστήριον, ἐκεῖσε τηνικαῦτα τυγχάνον, ἔνθα καὶ ἡ νέα ἔκτισται ἐκκλησία καὶ αἱ δύο φιάλαι εἰσὶν καὶ τὸ μεσοκήπιον ὑπὸ Βασιλείου C τοῦ ἀοιδίμου γενόμενα βασιλέως. καὶ πρὸς μὲν τὸ ἀνατολικὸν μέρος αὗται αὐτοῦ αἱ οἰκοδομαί· πρὸς δὲ τὸν νότον πρῶτον μὲν αὐτὰ τὰ ἡλιακὰ προτείνας, ὡς ἡμῖν πρότερον εἴρηται, καὶ τοὺς νῦν ὄντας κήπους ποιήσας κουβούκλεια προσεδείματο, τόν τε Καμιλᾶν οὕτω λεγόμενον καὶ τὸ πλησίον ἐκείνου κουβούκλειον δεύτερον καὶ τὸ τούτου πάλιν κατὰ τάξιν πλησίον τρίτον, ὃ καὶ νῦν τῆς Αὐγούστης ἐστὶ βεστιάριον. ἀλλ᾽ ὁ μὲν Καμιλᾶς ἐξ κίοσιν ἐκ Θετταλικοῦ λίθου, τοῦ καὶ πρασίνου, τὴν χρυσοκατάστικτον ὀρο-

7 *ἰσημερίας?* μεσοπωρινῆς P

bem camerae cubiculi quod illic est, auro distinctum et quattuor columnis Bathuinis suffultum; quattuor item Thessalicis sustentatas porticus, tum orientalis lateris tum meridialis. eius parietes et pavimentum magnifice strata perinde ac Margaritae. versabatur in eo cubiculo Theophilus ab aequinoctio verno ad aequinoctium autumnale ac deinceps. iam autem appetente hiemali solstitio ad aliud cubiculum in Cariani triclinio commeabat, quod ipse construxerat; in quo ab australium ventorum vehementioribus flatibus se protegeret. cubiculum hoc nunc papiae domicilium est. nec minus videbis, quod illic exstat, sic dictum Solare ab eo ad aquilonem fundatum; ex quo conspiciebatur, quod tunc illic erat, vetus Sphaeristerium, ubi et nova exstructa ecclesia; suntque duae phialae et hortus interior, ab inclitae memoriae Basilio imperatore effecta. et quidem ad plagam orientalem haec sunt eius aedificia: ad austrum vero, productis primum Solaribus, uti superius diximus, hortisque, qui nunc sunt, constitutis, praeterea etiam cubicula exstruxit, quod Camilam vocant, alterumque illi vicinum; quodque iterum prope illud ordine tertium est: ac modo Augustae vestium penus (hoc est vestiarium) est. ceterum Camilas, sic dictum cubiculum, tectum quidem habet auro distinctum, quod columnae sex Thessalici lapidis (hoc est viridis) sublime

φὴν μετεωριζόμενος, τῶν δὲ τοίχων τὰ κάτω μὲν ἔχων ἐξ ὁμοίων κατεστρωμένα πλακῶν, τὰ δ' ἄνω ἐκ χρυσοαυγῶν ψηφίδων ἀγάλ- [D] ματά τινα τρυγῶντα καρπούς, ἔτι δὲ καὶ τοὔδαφος ἐκ λίθων Προικοννησίων, συνῳκοδομημένον ἔχει καὶ εὐκτήριον, δύο περιέχον βήματα, ἓν μὲν εἰς ὄνομα τῆς ὑπεραγίας δεσποίνης θεοτόκου, θάτερον δὲ εἰς ὄνομα τοῦ ἀρχιστρατήγου Μιχαήλ. ὑποβεβηκὸς δὲ τούτου μεσόπατόν ἐστιν, ὃ τὴν μὲν σκοπιὰν διὰ μαρμαρίνου κλουβίου πρὸς τὸν Χρυσοτρίκλινον ἔχον εἰς βιβλιοθήκην ἀφώρισται παρὰ Κωνσταντίνου τοῦ φιλοχρίστου πορφυρογεννήτου βασιλέως· οὗπερ τὸ ἀριστητήριον αὖθίς ἐστιν ἐκ λίθων μὲν Βαθυΐνων τοὺς τοίχους ἔχον λελαμπρυσμένους, ἐκ συγκοπῶν δὲ καὶ διαφόρων χροιῶν τὸ ἔδαφος πᾶν. τὸ δὲ μετὰ τὸν Καμιλᾶν κουβούκλειον [P 90] δεύτερον, τὴν ὀροφὴν ὁμοίαν τῷ προτέρῳ ἔχον καὶ ὑπὸ τεσσάρων κιόνων ἐστηριγμένον δοκιμίνων, τὸ ἔδαφος ἐκ Προικοννησίου λίθου κατέστρωται, τῶν τοίχων, ὡς τὸ πρότερον, τὸν μὲν ἀέρα ἐκ χρυσοειδῶν ψηφίδων ὅλως κατηγλαϊσμένον φέρον, δένδρα δέ τινα καὶ ποικίλματα ἐκ πρασίνων ἔχοντα τὸ λεῖπον ψηφίδων ἀναπληρούμενον. τὸ τούτῳ δὲ ὑποβεβηκός, ὃ καὶ Μεσόπατος λέγεται, εἰς οἴκησιν τῶν τὴν γυναικωνῖτιν πεπιστευμένων καρτζιμάδων ἐστίν. τὸ δὲ τρίτον μετὰ τοῦ κουβουκλείου, τὸ καὶ νῦν τῆς Αὐγούστης [B] βεστιάριον χρηματίζον, ὁμοίαν ἔχει τούτοις τὴν ὀροφὴν καὶ τοὔδαφος ἐκ λευκοῦ λίθου Προικοννησίου κατεστρωμένον, τοὺς τοί-

15 ὡς τὸ add Combefisius.

fulciunt. parietum inferiores quidem partes similibus marmoreis crustis constratae sunt; superiores vero exhibent statuas quasdam ex tessellis compositas, quae poma decerpunt. praeterea vero etiam pavimentum ex Proeconnesio lapide stratum. una quoque exstructum oratorium, duo continens altaria, alterum sanctissimae dei genitricis nomine, alterum Michaelis principis caelestis militiae. subiectus ei xystus, per clatrum marmoreum in triclinium Aureum adspectans, bibliothecae usui addictus a Christi amante Constantino Porphyrogenneto; cuius rursus cenaculum parietes quidem ex Bathuino lapide splendidos habet, pavimentum vero omne ex tessellulis marmoreis varii coloris compositum est. quod Camilam sequitur alterum cubiculum, tectum priori simile habet, Dociminis quattuor columnis subnixum, pavimentum Proeconnesio stratum lapide. parietum aërem (inferiores scilicet partes) quemadmodum primum cubiculum aureis tessellis ubique exornatum habet: reliquum vero, ubi deficiunt tessellulae, arbores quaedam versicoloresque figurae implent ex Prasino marmore. huic subiectum cubiculum, quod et medius xystus seu ambulacrum dicitur, exsectorum gynaeceo praefectorum domicilio addictum est. tertium denique, una cum cubiculo, quod nunc Augustae vestium penus est (id est vestiarium), simile his tectum habet. pavimentum candido lapide Proeconnesio stratum; parietes omnes, non tunc qui-

χους δὲ ἅπαντας ὑπὸ εἰκόνων ὕστερον ἀλλ' οὐ τότε καταγλαϊσθέντας ὑπὸ τοῦ υἱοῦ Μιχαήλ. τὸ τούτῳ δὲ ἡνωμένον καὶ συμπεφυκὸς κατώγεον ἑπτὰ μὲν κίοσι Καριανοῖς τὴν ὀροφὴν στηρίζεται, πέντε μὲν πρὸς μεσημβρίαν δύο δὲ πρὸς ἀνατολήν, τοίχοις δὲ δύο ὠχύρωται, ἐκ πλακῶν Ῥωμαίων καὶ Πηγανουσίων καὶ Καριανῶν, C πρὸς δὲ καὶ πρασίνων καλλωπιζομένοις ποταμίων Θετταλικῶν· Μουσικὸς οὗτος κατονομάζεται διὰ τὴν τῶν μαρμάρων ἀκριβῆ συγκοπήν, ὅθεν καὶ τὴν τοῦ ἐδάφους λείωσιν ἐκ διαφόρων μὲν σχημάτων ἐκ διαφόρων δὲ καὶ ὡραίων λίθων ἐξηρτυμένην ἔχει. εἴποις ἂν αὐτὸ ἰδὼν λειμῶνα εἶναι διαφόροις ἄνθεσι βρύοντα. τούτῳ πρὸς μὲν δύσιν κατὰ πλευρὰν κουβούκλειον ἥνωται τὴν τῶν μαρμάρων ὡραιότητα κατὰ πάντα φέρον ἐφόμοιον, ἔτι δὲ καὶ κίοσι πέντε Καριανοῖς, τρισὶ μὲν πρὸς μεσημβρίαν δύο δὲ πρὸς δυσμάς, D τὴν ὀροφὴν βαστάζουσιν. ἕτερον δὲ πρὸς πόδας τούτου ἐστίν, εἰς δύο μὲν δόμους διῃρημένον, τῷ Αὐγουστιακῷ δὲ πλησιάζον κοιτῶνι· ἔνθα καὶ Λέων ὁ φιλόχριστος βασιλεὺς εὐκτήριον τῆς ἁγίας Ἄννης ἐδείματο καὶ αὐτὸ ἐκ τεσσάρων μὲν κιόνων Βαθυΐνων τὴν ὀροφὴν ἀνεγειρόμενον, τὸ ἔδαφος δὲ ἐκ λίθου λευκοῦ Προικοννησίου, πρὸς τοὺς τοίχους ἐκ Βαθυΐνων πλακῶν διαμορφούμενον. ἀλλὰ τοῦτο μὲν τῷ τῆς Αὐγούστης πλησιάζει κοιτῶνι, ὡς ἔφαμεν· ἐκεῖνο δὲ τὸ πρὸς δύσιν τοῦ Μουσικοῦ τὴν μὲν κάθοδον ἐν τῷ προρρηθέντι ἔχει κοιτῶνι διὰ κλίμακος, ὁμοίως δὲ καὶ τὴν P 91 εἴσοδον· εἰσάγει δὲ καὶ πρὸς τὸ καινούργιον, κοιτῶνα καὶ τρίκλι-

23 κινούργιον P: cf. p. 204B.

dem sed postea, Michaele Theophili filio imperatore, pictis imaginibus egregie ornati. eius quod huic coniunctum cohaerensque diversorium est, tectum columnis septem Carianis fulcitur; quinque ex meridiali plaga, duabus ex ea quae ad orientem spectat, muro duplici munitur, quibus porphyretici Peganusiique et Cariani, necnon et Prasini, undulati denique Thessalici marmoris crustae ornamentum praebent. appellatur diversorium istud ac aula Musicus ob marmorum vario colore compositorum insignem elegantiam, unde et pavimenti faciem ex diversis figuris diversisque ac pulcherrimis lapidibus egregie concinnatam habet. dicas videndo pratum esse diversis floribus scatens. huic ad occidentale latus aliud cubiculum adhaeret, eadem marmorum elegantia instructum. ad haec tectum illius columnis quinque Carianis, tribus ad meridiem, duabus ad occasum, sustentatur. aliud vero est ad eius pedes, in duas aedes divisum, haud longe ab Augustae sacro cubiculo; ubi etiam Christi amans Leo imperator sanctae Annae exstruxit oratorium; cuius ipsius tectum columnis quattuor Bathuinis fulcitur, pavimentum ex Proeconnesio candido lapide, ad parietes Bathuini marmoris crustis distinctum. verum istud Augustae sacro cubiculo vicinum est, uti diximus: quod autem ad Musici occiduum latus est, ita consertum est ut ex illo per scalam in sacrum idem cubiculum descensus atque aditus pateat. inducit vero et

νον ὃν Βασίλειος ὁ ἀοίδιμος ἔκτισε βασιλεύς, καὶ πρὸς τὸν πόρτικα τοῦ πέμπτου κουβουκλείου, ἐν ᾧ τὸ τοῦ ἁγίου Παύλου εὐκτήριον ὑπὸ Βασιλείου τοῦ ἀοιδίμου ἵδρυται βασιλέως.

44. Ταῦτα μὲν οὖν ἐν τοῖς ἀνακτόροις κατά τε βορρᾶν καὶ νότον ὑπὸ Θεοφίλου μὲν ἀνῳκοδόμηνται, ὑφ' ἡμῶν δὲ ἱστορίᾳ παραδίδονται, ὅτι μὴ βουλόμεθα τὰ ἐκείνου ἔργα, ὁποῖά ποτ' ἂν ᾖ, λήθῃ παραδίδοσθαι, εἰς διάγνωσιν τῆς ἐκείνου περὶ τὸν βίον προαιρέσεως. ἀλλὰ καὶ τοὺς τρικλίνους, τόν τε οὕτω καλούμενον Λαυ- B σιακόν, προσέτι δὲ μὴν καὶ τὸν Ἰουστινιανοῦ, ἐκεῖνος τοῖς χρυσοειδέσι ψήφοις ἐκόσμησε· καὶ τὴν καλάθωσιν ἐκ τῶν Βασιλίσκου τοῦ τυράννου παλατίων μεταγαγὼν τῷ Λαυσιακῷ περιέθηκεν. καὶ ἕτερον δὲ τρίκλινον μετὰ τεσσάρων κουβουκλείων σεμνῶν τε καὶ λαμπρῶν, ὧν τὰ δύο μὲν πρὸς τὸ μεσόπατον τοῦ δευτέρου κουβουκλείου τοῦ μετὰ τὸν Καμιλᾶν, ὑπὸ τεσσάρων ἁψίδων τὴν χρυσοειδῆ ὀροφὴν ἔχοντα, πρὸς τὴν Πορφύραν εἰσίν, ἥτις οὕτω λέγεται διὰ τὸ τὴν δέσποιναν ἐκεῖσε ἔκπαλαι διανέμειν τὸ ὀξὺ ταῖς ἀρχοντίσσαις C κατὰ τὸν τῶν βρουμαλίων καιρόν· ἕτερα δὲ δύο πρὸς τὸ μέρος τοῦ Λαυσιακοῦ, ἐξ ὧν καὶ τὴν πρὸς αὐτὸν ἔχει κατασκοπήν, εἰργάσατο μέν, ἐκ λίθου Προικοννησίου τὰ ἐδάφη καταστρώσας αὐτῶν, καὶ ἐκ χρωμάτων ἀλλ' οὐ μαρμάρων τοὺς τοίχους ὡραΐσας, ὑπὸ ἐμπρησμοῦ δὲ ὅμως ἀφανείᾳ παρεδόθησαν. καὶ Θέκλα δὲ ἡ τούτου πρώτη θυγάτηρ τὸ κατὰ τὰς Βλαχέρνας κουβούκλειον, ἔνθα καὶ

ad novae fabricae cubiculum tricliniumque, a Basilio inclitae memoriae imperatore conditum: ad porticum item quinti cubiculi, quo loco exstat sancti Pauli oratorium, ab inclitae memoriae Basilio imperatore excitatum.

44. Haec in palatio ad aquilonem et austrum a Theophilo constructa aedificia, nobis autem, qui nolumus aliquid eorum quae gessit, quicquid tandem illud sit, oblivioni tradi, quo nimirum eius animus demerendi cives neminem lateat, literarum monumentis tradita. sed et triclinia, tum cui Lausiaci nomen tum quod Iustiniani aedificatio est, auro rutilis tessellulis ornavit; capitula quoque ex Basilisci tyranni palatio translata Lausiaco adhibuit. aliud item triclinium cum quattuor splendidis ornatisque cubiculis, quorum duo versus mesopatum xystumque secundi cubiculi, quod est post Camilam, tectum auro rutilum quadruplici apside habentia, ad Porphyram dirigunt. palatii locus est ita dictus, quod illic more olim recepto Augusta nobiles matronas sub brumalium tempus coccino purpuraque impartiat. duo alia cubicula ad partes Lausiaci, ex quibus etiam in ipsum aspectum habet, exaedificavit, pavimento strato Proeconnesio lapide ac parietibus vario colore, quanquam non ex marmore, ornatis; quae tametsi talia erant, incendio perierunt. sed et Thecla eius filiarum natu maxima cubiculum, ubi et

τὸ τῆς πρωτομάρτυρος Θέκλης εὐκτήριον ἵδρυται, ἐκ τοῦ μὴ ὄντος ἤγαγεν εὐμορφότατον· ἐκεῖσε δὲ καὶ τὸν βίον οὖσα κλινοπετὴς ἐξέλιπεν.

P 92

ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΜΙΧΑΗΛ ΤΟΥ ΥΙΟΥ ΘΕΟΦΙΛΟΥ.

ΛΟΓΟΣ Δ.

Τοιούτῳ μὲν τέλει βίου ὁ Θεόφιλος ἐχρήσατο, τὴν δὲ βασιλείαν Μιχαὴλ ὁ τούτου υἱὸς διεδέξατο, τρίτον ἔτος διανύων ἀφ᾽ οὗ εἰς τὸν βίον προήχθη τῇ μητρὶ αὐτοῦ Θεοδώρᾳ. τῶν δὲ πραγμάτων ὑπῆρχον φροντισταὶ καὶ ἐπίτροποι οὓς ὁ Θεόφιλος κατέλιπεν, ὅ τε Θεόκτιστος ὁ εὐνοῦχος, τηνικαῦτα κανίκλειος καὶ λογοθέτης
B τοῦ δρόμου τυγχάνων, καὶ ὁ πατρίκιος Βάρδας ὁ τῆς Αὐγούστης ἀδελφός, καὶ Μανουὴλ ὁ μάγιστρος ἐκ τῶν Ἀρμενίων καταγόμενος, ὃς καὶ θεῖος ἀπὸ πατρὸς τῆς δεσποίνης ὑπῆρχεν. ἐπεπήγει μὲν οὖν τὰ πολιτικά, καὶ καλῶς τέως τὰ πράγματα διηυθύνετο, ἔμελλε δὲ καὶ ἡ τῶν θείων εἰκόνων προσκύνησις ἀνακαινίζεσθαί τε καὶ πρὸς τὴν ἀρχαίαν παλινδρομεῖν αὖθις τιμήν. καὶ δὴ Μανουὴλ νόσῳ πιέζεται δεινῇ καὶ χαλεπῇ· πρὸς ὃν εἰσρέοντες μοναχοὶ
P 93 τοῦ Στουδίου (καὶ γὰρ ἦν αὐτῷ πίστις οὐκ ἀγεννὴς πρὸς αὐτούς)

Theclae protomartyris oratorium est, cum sit pulcherrimum, a fundamentis excitavit; quo etiam loco in lecto decumbens vivere desiit.

MICHAELIS THEOPHILI F. IMPERIUM.

LIBER IV.

Istiusmodi vitae finem nacto Theophilo Michael eius filius, illius successor, imperium capessivit, annos tres natus, ex quo eum parens Theodora partu effuderat. rerum curatores ac procuratores fuerunt, quos ei pater reliquerat, Theoctistus eunuchus per id tempus caniclio praefectus ac dromi logotheta, Bardasque patricius ac Augustae frater, nec non Manuel magister ex Armeniis oriundus, qui et Augustae patruus erat. firmato itaque rei publicae statu, et cum rerum hactenus recta gubernatio foret, futurum erat ut et imaginum cultus instauraretur pristinumque honorem illae rursus reciperent. ad Manuelem itaque diro morbo gravique conflictatum ingressi Studiani monachi, quippe quibus ille fidei

ἀνάκλησιν τῆς ὑγιείας ὑπισχνοῦντο ῥᾳδίαν τε καὶ ταχεῖαν γενέσθαι, ἢν μόνον τὴν τῶν ἁγίων προσκύνησιν εἰκόνων αὐτός τε θελήσῃ καὶ τοὺς κρατοῦντας πείσοι θεσπίσαι ἁπανταχοῦ. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐκ τῶν ἄλλων ὀρῶν πολλοὶ τῶν θεοφόρων πατέρων προσφιλεῖς τούτῳ τυγχάνοντες, ἐκεῖθεν τὰς ἀρχὰς πρὸς αὐτὸν λαβόντες ὅτε τῶν Ἀρμενιακῶν ἐστρατήγει, προσφοιτῶντες καὶ ἐπὶ τοῖς ὁμοίοις παρακαλοῦντες ἔπεισαν ὀρθὰ φρονῆσαί ποτε καὶ τὸ ποθούμενον ὑποσχέσθαι αὐτοῖς, εἰ μόνον ῥάων γένοιτο· ὃ καὶ γέγονε τῇ αὐτῶν πρὸς τὸν θεὸν εὐχῇ καὶ σπουδῇ. (2) ἐπεὶ γοῦν οὗτος τῆς νόσου ἀπήλλακτο καὶ οἱ μοναχοὶ τῆς πρὸς τὸ πρᾶγμα σπουδῆς οὐκ B ἠμέλουν, ἀλλὰ παρακλήσεσι χρώμενοι τῶν πρὸς θεὸν ὑποσχέσεων ἠξίουν μεμνῆσθαι, πλήρη τοῦτον τοῦ θείου ζήλου εἰργάσαντο· καὶ δὴ τοῖς συνεπιτρόποις ἀνακοινώσας τὰ τῆς βουλῆς, καὶ πείσας ὡς ἔστι καλὸν ἀρχὴν δεξιὰν τοῖς πράγμασιν ἐπιθεῖναι, καὶ μεταρρυθμίσας αὐτοὺς καὶ πρὸς τὸ ἑαυτοῦ βούλημα ἀγαγών, πρὸς τὴν Θεοδώραν εἰσῄει τὰ περὶ τῆς ὑποθέσεως κοινολογησόμενος. καὶ ἐκείνη μὲν θεοφιλὴς καὶ ὄντως βασίλεια, ἐπεὶ περὶ τῆς ὀρθοδοξίας ἤκουσε, "τοῦτο" ἔφη "καὶ δι' ἐπιθυμίας ἦγον ἀεὶ καὶ μελετῶσα διέλειπον οὐδαμῶς· ἀλλ' ἡ τῶν πολλῶν συγκλητικῶν καὶ τῶν ἐν τέλει τῇ τοιαύτῃ προσανακειμένων αἱρέσει πληθὺς ἐκώλυεν ἄχρι τῆς σήμερον, οὐχ ἧττον δὲ καὶ οἱ τῆς ἐκκλησίας ὑπερμαχοῦντες μητροπολῖται, καὶ μάλιστα ὁ πατριάρχης, ὃς μικρὰν C

14 ὑποθεῖναι? cf. 1 19.

plurimum habebat, facili negotio citoque recuperandam sanitatem pollicentur, si modo tum ipse sanctarum imaginum cultum approbet, tum illius quovis loco sanciendi imperatoribus auctor existat. multi praeterea ex aliis montibus divinorum patrum Manueli amicitia iuncti ex eo tempore quo is Armeniacorum dux erat, ad eum venientes eademque rogantes ad rectum tandem eum sensum trahunt, et ut quod ipsis in votis erat polliceatur, si solum morbo levaretur; quod et illorum ad deum precum instantia consecutus est. (2) postquam itaque ille morbo liberatus est, nihil rem monachi negligendam ducunt, sed obsecrando eorum quae sancte deo pollicitus esset meminisse rogabant; qua admonitione divina aemulatione eius prorsus animum incenderunt. communicato itaque cum sociis procuratoribus consilio, cum illis persuasisset operae pretium esse bono res statu ab exordio ipso componere, illisque in suam traductis sententiam, ad Theodoram ingreditur ea de re commune consilium habiturus. at illa, quippe religiosa matrona vereque regina atque Augusta, ubi de recta fide audivit, "hoc" inquit "semper et desideraveram, nec versare animo unquam cessabam, etsi hactenus plurium senatorum procerumque, qui illi studeant haeresi, ingens deterruit numerus, ne quid hactenus eius rei molirer. nec minus qui tuendae ecclesiae sibi partes vindicant, metropolitae omniumque maxime patriarcha. is nam-

ἔχοντα τῆς τοιαύτης αἱρέσεως τὸν ἐμὸν ἄνδρα τὴν ῥίζαν ἐκ τῶν γονέων ἐπὶ πλεῖον ηὔξησέ τε καὶ στερεωτέραν εἰργάσατο ταῖς αὐτοῦ εἰσηγήσεσί τε καὶ πυκναῖς παραινέσεσιν, εἰς χαλεπὰς αἰκίας καὶ βασάνους ἐκτραπῆναι τοῦτον ποιήσας, ἃς ἐκεῖνος ὁσημέραι κατὰ τῶν ἁγίων εὕρηκεν, ἀλείπτης τε καὶ διδάσκαλος τῶν τοιούτων κακῶν ὁ ἄθλιος γεγονώς." "καὶ τί γοῦν οὕτω, δέσποινα, φρονοῦσάν σε καὶ βουλευομένην τὰ κάλλιστα τὸ κωλῦον ἐστίν" D ἀντέφησαν "μὴ καὶ εἰς ἔργον ταῦτα ἀχθῆναι καὶ τὴν πάνδημον ταύτην κελεῦσαι εἰς πέρας ἐλθεῖν ἑορτήν;" εὐθὺς γοῦν μετακαλεσαμένη τὸν τῆς βίγλης δρουγγάριον (Κωνσταντῖνος δὲ οὗτος ἦν, ὁ τοῦ πατρικίου Θωμᾶ καὶ μετὰ ταῦτα γεγονότος λογοθέτου τοῦ δρόμου πατήρ) δηλοῖ τῷ πατριάρχῃ ὡς πολλοὶ πολλαχόθεν συνεληλυθότες εὐλαβεῖς τε καὶ μοναχοὶ δέησιν ἐποιήσαντο πρὸς τὴν βασιλείαν ἡμῶν τοῦ τὰς πανσέπτους κελεῦσαι ἀναστηλωθῆναι εἰκόνας. εἰ μὲν οὖν ὁμόλογος εἶ τούτοις καὶ σύμφωνος, καὶ δὴ τὸν P 94 παλαιὸν κόσμον ἡ τοῦ θεοῦ ἐκκλησία ἀπολαμβανέτω· εἰ δ' ἀμφίβολος καὶ τὴν γνώμην οὐκ ἔχων εὐθῆ, τοῦ μὲν θρόνου ἔξω γενοῦ καὶ τῆς πόλεως, κατὰ δὲ τὸ προάστειόν σου μικρὸν διάβηθι, μέχρις ἂν σύλλογος τῶν ἁγίων πατέρων γένηται μετὰ σοῦ· οἵδε γὰρ ἕτοιμοι διαδικάζεσθαί τε καὶ διαλέγεσθαι καὶ πείθειν σε περὶ τούτων κακῶς λέγοντα." (3) κατὰ τὸν ἐν τῷ πατριαρχείῳ Θετταλὸν (τρίκλινος δὲ οὕτω κατονομαζόμενος) τηνικαῦτα ἀνέκειτο ἐπὶ σκίμποδος, τὰς βασιλικὰς ἀγγελίας δεχόμενος· ὃς ἅμα τῇ ἀκοῇ τῶν

que, cum maritus exiguam quandam huius haeresis radicem a maioribus traxisset, eam longe auxit doctrinisque suis ac crebris hortamentis robustiorem fecit, auctor nimirum illi effectus, ut ad verbera tormentaque adiiceret animum, quorum quotidie adversus sanctos novus artifex erat, taliumque ei malorum miser incensor ac doctor fuit." tum illi "ecquid vero causae est, Augusta, cum sic sentias ac optime consulas, quidve impedit, ne hoc opere impleas hancque communem totius plebis laetitiam festamque lucem peragi iubeas?" statim ergo accersito biglae Drungario (erat hic Constantinus Thomae patricii postmodumque dromi logothetae pater) patriarchae denuntiat plures undique viros pietate spectabiles, monachos item convenientes supplicationem Augustis obtulisse, ut omni colendas veneratione imagines restitui iubeat. si igitur ita confitearis hisque consentias, dei ecclesia vetus ornamentum recipiat; sin autem haesitas nec recte sentis, relicta sede ac urbe in suburbanum tuum tantisper recede, dum sancti patres una tecum conveniant. his enim in promptu est ut iudicio tecum contendant ac disputent, maleque de imaginibus loquenti ac sentienti, quod sanioris mentis sit, suadeant. (3) erat Iannes in patriarchalium aedium triclinio, quod Thessalum vocant, in lectulo iacens, cum ad eum regia mandata perlata sunt; moxque auditis

λόγων βληθεὶς τὴν ψυχὴν τὸν μὲν ἀποκομιστὴν τούτων, οὐδὲν ἕτερον φήσας ἢ βουλεύεσθαι περὶ τούτων καλῶς, ἅμα τῷ λόγῳ B ἀπέσταλκεν, καὶ θᾶττον ἢ λόγος ἐγχειρίδιόν τι λαβὼν τὰς κατὰ γαστέρα φλέβας ἀπέτεμεν, ἃς ᾔδει δειλίαν μὲν καὶ οἶκτον ἐκ τῆς τοῦ αἵματος δαψιλοῦς ἐκχύσεως ἀποτεκεῖν τοῖς πολλοῖς, θάνατον δὲ ἤ τινα κίνδυνον οὐδαμῶς. θροῦς οὖν καὶ βοὴ εὐθύς τις περιήχει τὴν ἐκκλησίαν, οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς βασιλικὰς ἀκοάς, προφθάνουσα τὸν δρουγγάριον, ὡς ἡ δέσποινα ἐκ κελεύσεως τὸν πατριάρχην κατέσφαξεν. τῶν γοῦν λεγομένων ἐταστὴς ἀκριβὴς ὁ πατρίκιος Βάρδας ἀποσταλεὶς αὐτάς τε τὰς πληγὰς ἐκ προνοίας γενομένας ἠρέμα πως κατεφώρασεν, καὶ τὸ δρᾶμα τὸν ἔλεγχον οὐ C διέφυγεν, αὐτῶν τῶν θεραπόντων κατειπόντων αὐτοῦ, καὶ τὰ τῆς τομῆς ὄργανα (φλεβοτόμα δὲ ἦν) εἰς μέσον καθυποβαλλόμενα. ἔκτοτε οὖν οὐδενὸς.., ὡς ἐπὶ τοιαύτῃ αἰτίᾳ καὶ γνώμῃ αὐτοφόνῳ ἐπειλημμένος, ἀπηλαύνετο μὲν καὶ τῆς ἐκκλησίας ἐξωθεῖτο ὁ ἀλιτήριος, κατὰ τὸ προάστειον αὐτοῦ τὸ οὕτω λεγόμενον περιορισθεὶς τὰ Ψιχά, εἰσήγετο δὲ ὁ πολλοῖς πόνοις καὶ κόποις τὰ τῆς ἀρετῆς σώσας ἀδιαλώβητα, καὶ τῆς ἐγχρονίου μὲν καθείρξεως, καὶ ταύτης σαπρώσης, ὡς ἔοικεν, τὴν τῶν τριχῶν ἀπόρροιαν κληρωσάμενος, D παρὰ θεοῦ δὲ καὶ τῆς βασιλίδος Θεοδώρας τὴν τῆς ἐκκλησίας κυβέρνησίν τε καὶ πηδαλιούχησιν· Μεθόδιος οὗτος ἦν ὁ μέγας καὶ τῆς ἐκκλησίας ἀήττητος πρόμαχος.

animo perculsus unum hoc respondit, se de his probe deliberaturum; idque locutus mandatorum latorem dimisit. ac dicto citius arrepto in manus cultello seu lanceola ventriculi venas secat, ex quibus effluente sanguinis copia exterrendum vulgus ac miseratione tangendum sciebat, mortem vero aut periculum aliud nullum sibi creandum timebat. confestim ergo tumultuantium clamor ac vociferatio ecclesiam circumstrepere; quin et ipsas regias aures ante reditum ipsius drungarii occupare, patriarcham imperatrice auctore interfectum esse. missus itaque Bardas patricius, qui rumores istos diligenter exquireret, vulnera de industria inflicta sensim deprehendit; nec fabula coargutionis lucem effugit, cum ipsi famuli delatores essent et incisoria venarum instrumenta seu scalpella in medium proferrent. exinde igitur nulla cuiusquam miseratione, ut qui talis reus criminis suaeque ipsius animae insidiator deprehensus esset, expellitur, eiectusque miser ecclesia in suburbanum suum ita dictum Psichae (ac si Micas dicas) relegatur; inducitur vero is qui multis laboribus atque aerumnis integram ac illibatam virtutem conservaverat, ac cui ex diuturno, ut par est, carceris paedore atque foetore pili defluxerant, quanquam ei dei nutu ac Theodorae Augustae assensu ecclesiae gubernatio clavusque debebatur, magnus scilicet invictusque ecclesiae defensor Methodius.

4. Σκόπει δὲ καὶ ὅπως ἐν ταὐτῷ συναγαγούσης τῆς γενναίας
καὶ τῷ ὄντι βοηθοῦ γεγονυίας τῷ ἀνδρί, ἀλλ' οὐκ ἐναντίας, τοὺς
ὅποι ποτὲ γῆς ὄντας ὀρθοδόξους, καὶ τὴν παρρησίαν ἀναλαβέσθαι
θεσπίσασα "ἄγε δὴ" ἔφησεν, "ὦ κλῆρος θεοῦ καὶ πατέρες, ἐμοῦ
P 95 τὴν τῶν ἱερῶν καὶ πανσέπτων ἀναστήλωσιν εἰκόνων ὑμῖν χορηγού-
σης καὶ διδούσης ὅτι μάλιστά μου μετ' εὐμενείας, ἀντεπιθεῖναί
μοι δικαίαν χάριν καὶ αὐτῇ δεσποίνῃ οὔσῃ βουλήθητε, οὐ ταπει-
νήν τινα καὶ μικράν, ἵνα μηδὲ χάρις νομίζοιτο, οὐδὲ τοῖς διδοῦσιν
ὑμῖν ἢ ἐμοὶ αἰτουμένῃ ἀνάρμοστόν τε καὶ ἀσύμφορον, ἐπιτηδείου
δὲ καὶ μονίμου καὶ παρὰ θεῷ εὐαποδέκτου καθεστώσης καὶ νομι-
ζομένης. ἡ δέ ἐστιν ἡ εἰς τὸν ἐμὸν ἄνδρα τε καὶ βασιλέα περὶ
τούτων διαβαίνουσα συγγνώμη τε καὶ συγχώρησις καὶ ἀμνηστία
παρὰ θεοῦ τῆς τοιαύτης διαμαρτίας· ὡς εἰ μὴ τοῦτο γένηται,
B οὔτ' ἐμὲ σχοίητε ἐπακολουθοῦσαν ὑμῖν οὔτε τὴν τῶν σεπτῶν εἰκό-
νων προσκύνησιν καὶ ἀνάρρησιν, ἀλλ' οὐδὲ τὴν τῆς ἐκκλησίας
ἀνάληψιν." (5) καὶ ἅμα τὸν λόγον κατέπαυσεν. "ὅτι μὲν οὖν
δίκαια," ἡ ὀρθόδοξος ἐκκλησία καὶ ὁ ταύτης ἐξάρχων Μεθόδιος
ἔφασαν, "δέσποινα, ἐξαιτῇ, οὐδ' ἡμεῖς ἔχομεν ἀπαναίνεσθαι·
δίκαιον γὰρ τοῖς εὐεργέταις καὶ ἄρχουσι τὰς προσηκούσας χάριτας
ἀντεπιτίθεσθαι δαψιλῶς, ὅταν μὴ τυραννὶς ἄρχῃ χείρ, ἀλλ' ἔστι
γνώμη θεοφιλής. ἀλλ' οὔπω θεοῦ δίκην ἡμεῖς τὸν πρὸς ἄλλον

21 οὐ τῆς θεοῦ δίκης margo Combef.

4. Sed et Theodorae animum considera, quomodo scilicet generosi pectoris matrona, et quae vere marito adiutor exstiterit, non illi adversata sit, in unum congregatis quotquot usquam erant orthodoxis, factaque regio diplomate libera dicendi sentiendique licentia, sic eos allocuta sit. "eia" inquit, "dei hereditas ac patres mei. cum humanissime sacrarum venerabiliumque imaginum restitutionem vobis indulgeam atque praebeam, rogo ut mihi, quae praesertim domina sim ac Augusta, iustam gratiam munusque reponatis, non id vile aut exiguum, ut nec muneris atque gratiae nomen mereatur, ac tum vobis, qui daturi estis, tum mihi flagitanti haud satis congruum aut utile videatur, sed conveniens illud ac perenne, quodque deo acceptum merito existat ac habeatur, nempe ut viro meo ac imperatori eorum quae in causa imaginum deliquit indulgentia veniaque praestetur, tantumque scelus oblivione a deo deleatur. sin autem minime feceritis, neque me vestra sequentem decreta habebitis, neque venerabilium imaginum adorationem praeconiumque a me impetrabitis, nec vero ecclesiam recipietis." (5) expleto mox sermone, orthodoxa ecclesia, ac qui eius praeses erat Methodius, "iusta" inquiunt "est, Augusta, petitio tua; neque nos possumus ire infitias. aequi enim ac iusti ratio postulat ut a quibus beneficia consecuti sumus, praesertim principibus, convenientes gratias largiter rependamus, tum praesertim, cum non tyrannica manus imperat, sed mens pia est et religiosa. eum tamen qui in aliam vitam commigravit, a poenis illi a deo

βίον διαβεβηκότα δυνατοὶ ἐξαιρεῖσθαι, τὰ ὑπὲρ ἡμᾶς φανταζόμενοι. C δυνατοὶ μὲν ἡμεῖς, καὶ κλεῖς οὐρανῶν πιστευθέντες παρὰ θεοῦ, τοῖς βουλομένοις πᾶσιν ἀνοιγνύναι αὐτάς· ἀλλὰ τοῖς κατὰ βίον τοῦτον ἔτι οἰκονομουμένοις, πρὶν ἀλλαχοῦ μεταστῶσιν· ἔστιν δ' ὅτε καὶ τοῖς μεθισταμένοις, ὅταν τε μικρὰ τὰ σφάλματα ᾖ καὶ μετάνοια τούτοις προσῆν. τοῖς δ' ἤδη μετὰ πονηρῶν ἐλπίδων ἀπάρασι καὶ πρόδηλον φέρουσι τὴν κατάγνωσιν οὐχ οἷοί τε τὰς εὐθύνας διαλύειν τούτοις ἡμεῖς." (6) καὶ ἡ δέσποινα, εἴτ' ἀληθῶς εἴτε καὶ ἄλλως τῷ τοῦ ἀνδρὸς ἀναθερμανθεῖσα φίλτρῳ (ὅπερ D ἐστι, καὶ ἡμεῖς συγκατατιθέμεθα), ἦ μὴν ἐνωμότως τὸν ἱερὸν ἐκεῖνον θίασον ἐβεβαίου ὡς μεγάλα τραγῳδούσης καὶ κατολοφυρομένης καὶ πάντα ἐκτραγῳδούσης κατὰ τὸν τῆς ἐξόδου τούτου καιρόν, καὶ διαγραφούσης ὡς οἷα ἐπακολουθήσει ἡμῖν μεμισημένοις ἐν τηλικαύτῃ πόλει περὶ τῆς τοιαύτης αἱρέσεως, εὐχῶν στέρησις, ἀρῶν ἐπέκτασις, λαοῦ ἐπανάστασις, εἰσῄει τούτῳ μετάμελος τῆς αἱρέσεως. καὶ ταύτας ἅμα αἰτησάμενός τε καὶ κατασπασάμενος ζεούσῃ ψυχῇ, ἐμοῦ ἐν χερσὶ καθυποβαλούσης, τοῖς ἀπάγουσιν ἀγγέλοις τὸ πνεῦμα παρέδωκεν. ταύτης ἐκεῖνοι ἀκηκοότες δὴ τῆς φωνῆς, καὶ τὸν τρόπον τῆς Αὐγούστης εὐλαβηθέντες (ἦν γάρ, εἰ P 96 καί τις, φιλόχριστος), καὶ ἅμα τὴν τῶν ἁγίων εἰκόνων ζητοῦντες τιμήν, κοινῇ ψήφῳ καὶ γνώμῃ τῆς μὲν ἁμαρτίας ταύτης, εἰ οὕτως τοῦτ' ἔστιν, συγγνώμην ἔφασαν εὑρήσειν παρὰ θεῷ, καὶ ἅμα

3 αὐτούς?

constitutis, maiora nobis quam pro nostra facultate arrogantes, haud quaquam liberare possumus. licet quidem nobis (inque eam rem claves caelorum concreditas a deo accepimus) omnibus qui velint aperire, sed his duntaxat qui in hac vita adhuc disponuntur, priusquam in alteram commigraverint. quin etiam quandoque his ipsis qui e vita emigraverint, cum levia sunt delicta, quibus nec desit paenitentia. his autem qui spe non bona vivis excesserint feruntque palam suae damnationis sententiam, poenas diluere minime possumus." (6) tum Augusta, sive id vere sive alioqui nimia in maritum succensa amoris vi (quod plane ita est, nosque assentimur), iureiurando tamen sacro illi choro affirmabat, cum sub eius exitus horam ingentem luctum ederet, direque lamentaretur et deploraret, ac coram exponeret quanta eum suosque istiusmodi haeresis invidia in tanta civitate consecutura essent, nempe a precibus abdicatio, dirarum prolixa vis, populi defectio, subiisse illi rei paenitudinem, simulque imagines petiisse, ac ferventi animo, eadem ipsa Augusta in manus porrigente, exosculatum esse, abducentibusque angelis spiritum tradidisse. hac illi voce audita, Augustaeque mores indolemque reveriti, quippe cum femina omnium religiosissima Christique amans esset, ac cum alioqui sanctarum imaginum cultum instaurari exquirerent, communi sententia ac suffragio, dummodo se res Theophili ita haberent, eius veniam delicti se a deo exoraturos dixere, simulque rei scriptam

δι᾽ ἐγγράφου ἀσφαλείας τὴν πίστιν τούτου τῇ δεσποίνῃ ἐδίδοσαν. ἐφ᾽ οἷς τὴν ἐκκλησίαν ἀπολαβόντες, καὶ τῷ Μεθοδίῳ ἁγιωτάτῳ τὴν τῆς ἀρχιερωσύνης ἀποδεδωκότες τιμήν, τῇ πρώτῃ τῶν ἁγίων νηστειῶν κυριακῇ σὺν αὐτῇ τῇ δεσποίνῃ πάννυχον ὑμνῳδίαν ἐν τῷ κατὰ τὰς Βλαχέρνας ἱερῷ τεμένει τῆς ὑπεραγίας ἡμῶν δεσποίνης
B καὶ θεοτόκου τετελεκότες, τῇ ἕωθεν μετὰ λιτῆς τῷ μεγάλῳ τοῦ θεοῦ λόγου τεμένει καταλαμβάνουσι· καὶ τὸν κόσμον αὐτῆς αὖθις ἀναλαμβάνει ἡ ἐκκλησία, τῆς ἁγίας μυσταγωγίας τελειωθείσης ἁγνῶς. καὶ ἡ μὲν ὀρθόδοξος οὕτω προέκοπτεν ἐκκλησία, ἀνακαινιζομένη ὡς ἀετός, τὸ τῆς γραφῆς, πάντων τῶν αἱρεσιωτῶν ἐν πάσῃ τῇ ὑφ᾽ ἡλίῳ καθαιρέσει ὑποβληθέντων καὶ τοῦ ἀρχιερέως αὐτῶν· Ἰωάννης οὗτος ἦν, ὁ διὰ τὴν οἰκείαν ἀσέβειαν Ἰαννὴς παρὰ τῶν εὐσεβῶν ὀνομασθείς, οὐκ ἐπηλύτης καὶ ξένος, αὐτόχθων δὲ καὶ τῆς βασιλίδος ταύτης τῶν πόλεων βλάστημα (φύεσθαι δὲ
C καὶ ἐν ἀμπέλῳ βάτον ἠκούσαμεν), οὐδ᾽ ἐξ ἀσήμου τινὸς ἀλλὰ καὶ λίαν εὐγενοῦς καταγόμενος σειρᾶς, τῆς οὕτω τῶν Μοροχαρζαμίων λεγομένης.

7. Οὗτος οὖν, ἵνα καὶ τὰ κατ᾽ αὐτὸν ἡ ἱστορία δηλώσῃ, τῆς μονῆς τῶν μαρτύρων Σεργίου καὶ Βάκχου τῆς ἐν τοῖς Ὁρμίσδου διακειμένης ἡγούμενος ἄνωθεν καὶ τῷ βασιλικῷ κλήρῳ καταριθμούμενος, διαφερόντως παρὰ Μιχαὴλ ἠγάπητο τοῦ Τραυλοῦ, εἴτε μόνῳ τούτῳ τῷ κοινωνὸς εἶναι τῆς τούτου αἱρέσεως, εἴτε καὶ
D τῷ διαφέρειν ἐπὶ λογιότητι δόξαν τινὰ ἐσχηκώς. πλὴν ἠγάπητο

6 ἐν τῷ? 11 καὶ] μετὰ?

cautionem Augustae tradidere. interea recepta ecclesia, sanctissimoque Methodio pontificali honore sublimato, sanctorum ieiuniorum prima dominica, una cum Augusta, peractis in sacra sanctissimae dominae nostrae deique genitricis Blachernensi aede in dei laudibus et canticis nocturnis vigiliis, mane solenni supplicatione ac pompa ad magnum dei verbi templum veniunt, riteque peracta re sacra suum rursus ecclesia ornatum recipit. inque eum modum proficiebat orthodoxa ecclesia, et ut verbis scripturae utar (Psalm. 102 5), renovabatur ut aquila, proscriptis toto terrarum orbe cunctis haereticis, eorumque antistite, Ioanne scilicet, cui a fidelibus ob suam impietatem Iannis nomen inditum est. fuit vero ille non advena aut barbarus, sed indigena ipsaque ortus urbe regia. nam et ex vite rubum enasci auditum est. at neque obscura satus prosapia, sed valde nobili, stirpe scilicet quam Morocharzamiorum vocant.

7. Hic ergo, ut eius res scripto consignemus, monasterii sanctorum martyrum Sergii et Bacchi, quod ad Hormisdae aedes situm est, olim praepositus ac palatino adscriptus clero, Michaeli Balbo imperatori carissimus fuit, sive eo solum nomine, quod haeresis illi socius erat, sive quod excellentis eruditionis sibi nomen quaesierat illaque eius fama per-

καὶ τοῦ Θεοφίλου διδάσκαλος ἐγκαθίστατο. καὶ οὗτος ἐπεὶ τὰς τῆς βασιλείας ἔσχεν ἡνίας, σύγκελλον μὲν πρότερον τοῦτον τιμᾷ, εἶθ' ὕστερον καὶ πατριάρχην καθίστησι Κωνσταντινουπόλεως, προγνώσεις τινὰς διὰ λεκανομαντείας καὶ γοητείας αὐτῷ ἀπαγγέλλοντα. καὶ ἡ γοητεία τοιαύτη. ἔθνους ποτὲ τρισὶν ὑφ' ἡγεμόσι στρατηγουμένου ἀπίστου τε καὶ σκληροῦ τὴν τῶν Ῥωμαίων χώραν κατατρέχοντός τε καὶ καταληϊζομένου, καὶ ὡς εἰκὸς ἀθυμοῦντος ἐπὶ τούτῳ τοῦ Θεοφίλου καὶ τοῦ ὑπηκόου παντός, ἀποσκευάζεσθαί που τὴν ἀθυμίαν οὗτος συμβουλεύει καὶ θάρρους πληρωθῆναί τε καὶ χαρᾶς, εἴγε μόνον τῇ τούτου ἐπακολουθοίη βουλῇ. ἡ δὲ ἦν P 97 τοιαύτη. ἐν τοῖς εἰς τὸν εὔριπον τοῦ ἱπποδρομίου ἱδρυμένοις χαλκοῖς ἀνδριᾶσιν ἐλέγετό τις εἶναι ἀνδριὰς τρισὶ διαμορφούμενος κεφαλαῖς, ἃς κατά τινα στοιχείωσιν πρὸς τοὺς τοῦ ἔθνους ἀρχηγοὺς ἀνῆγεν. σφύρας οὖν μεγίστας σιδηρᾶς ἰσαρίθμους ταῖς κεφαλαῖς προσέταττε γενέσθαι, καὶ ἀνδράσιν ἐγχειρισθῆναι αὐτὰς τρισίν, ἐπὶ χειρῶν γενναιότητι διαφέροντας· κατὰ δέ τινα ὥραν νυκτερινὴν πρὸς τὸν εἰρημένον ἀνδριάντα πλησίον στάντας αὐτοῦ, καὶ τὰς σφύρας ἐπὶ χεῖρας ἐν μετεώρῳ ἔχοντας, ἡνίκα τούτοις κελεύσειεν, μεθ' ὑπερβαλλούσης δυνάμεως ὁμοῦ ταύτας κατενεγκεῖν, ὡς ἐξ ἑνὸς κρούσματός τε καὶ πλήξεως τὰς τοιαύτας ἀποτε- B μεῖν κεφαλάς. τούτοις τοῖς λόγοις εὐφρανθείς τε ἅμα καὶ ἐκπλαγεὶς ὁ Θεόφιλος ἐκέλευσε τὸ ἔργον ἐπαγαγεῖν. ὡς οὖν παρῆσαν πόρρω δὴ τῶν νυκτῶν οἱ μὲν ἄνδρες τὰς σφύρας κατέχοντες, ὁ δὲ

19 κελεύσαιεν P

crebuerat. utut sit, illi carissimus fuit, ac Theophili praeceptor constituitur. Theophilus vero suscepto imperio primum eum syncelli dignitate ornat; tum deinde patriarcham Cpolitanum praeficit, cum is illi divinatione ex pelvi vates ac praestigiis quaedam auguratus esset. fuit autem divinatio eiusmodi. gens quaedam infidelis saevaque tribus ductoribus Romanae dicionis terras locaque incursabat, exque ea praedas agebat; quae res, ut par est, Theophili animum omniumque subditorum maestos anxiosque habebat. Iannes dimissa illa animi aegritudine optime de rebus sperare ac gaudere iubet, si modo illius consiliis parere in animum induxerint. consilium tale erat. inter aereas statuas in circi Euripo erectas statua quaedam triceps exstare ferebatur. haec ille capita sua quadam devotione et consecratione in gentis illius duces refert. tres ergo ingentis molis fabricari malleos iubet, totidemque robustissimis viris tradi. quadam vero noctis hora viros illos ad eam statuam prope se stantes malleosque ad ictum sublimes tenentes, cum ipse mandaverit, summa vi capita ferire praecipit, unoque velut ictu ac conatu ea exscindere. recreatus verbis Theophilus, simulque stupore affectus, rem exsequi iubet. veniunt itaque intempesta iam nocte viri quidam

Ἰωάννης διὰ λαϊκοῦ ἐνδύματος ἑαυτὸν περικρύπτων, ὡς ἂν μὴ κατάδηλος γένηται, καθ' ἑαυτὸν ὁ Ἰωάννης τοὺς στοιχειωτικοὺς λόγους ὑπειπὼν καὶ τὴν ἐνοῦσαν τοῖς ἄρχουσι δύναμιν εἰς τὸν ἀνδριάντα μεταγαγών, ἢ μᾶλλον τὴν οὖσαν πρότερον ἐν τῷ ἀνδριάντι καταβαλὼν ἐκ τῆς τῶν στοιχειωσάντων δυνάμεως, παίειν ἕκα- C στον προστάττει νεανικῶς τε καὶ ἰσχυρῶς. καὶ οἱ μὲν δύο ἰσχυροτάταις χρησάμενοι καταφοραῖς τὰς δύο τοῦ ἀνδριάντος κεφαλὰς ἀπέκοψαν· ὁ δ' ἕτερος μαλακώτερον ποιήσας τὴν πληγὴν μικρὸν μὲν κατέκλινεν, οὐ μὴν καὶ ὅλην τοῦ σώματος ἀπέτεμεν τὴν κεφαλήν. τούτοις οὖν καὶ τὰ κατὰ τοὺς ἡγεμόνας ἐπηκολούθει. ἔριδος γάρ τινος κραταιᾶς ἐπεισπεσούσης αὐτοῖς καὶ ἐμφυλίου μάχης, ὑπὸ τοῦ ἑνὸς οἱ δύο τῶν ἡγεμόνων πίπτουσι κατὰ τὴν κεφαλῶν ἐκτομήν, τοῦ τρίτου μόνου διασωθέντος μέν, οὐχ ὑγιῶς δέ. οὕτως εἰς τὸ μηδὲν εἶναι τὸ ἔθνος χωρῆσαν πρὸς τὰ οἰκεῖα αὖθις μετὰ φυγῆς ἀφώρμα καὶ συμφορᾶς. ἀλλὰ τὰ μὲν τῆς γοητείας οὕτως, (8) τῷ δὲ γόητι τούτῳ ἀδελφὸς ἦν σαρκικός, ὄνομα Ἀρ- D σαβήρ, τὴν τύχην πατρίκιος παρὰ Θεοφίλου τιμηθείς. τούτῳ γοῦν προάστειον κατὰ τὸ εὐώνυμον μέρος τοῦ ἐκπλεομένου Εὐξείνου ἐν τῇ μονῇ τοῦ ἁγίου Φωκᾶ προσῆν, οἰκοδομὰς μεγίστας ἔχον καὶ πολυτελεῖς στοάς τε καὶ βαλανεῖον καὶ πρὸς τούτοις δεξαμενάς. ἐκεῖσε δὴ ὁ πατριάρχης συχνὰς ποιῶν καταγωγὰς λέγεταί τι ὑπόγειον κατασκευάσαι ἐνδιαίτημα τῶν Τροφωνίου παρόμοιον, ὄπισθεν δὲ τῆς ἀνοιγομένης θύρας κατὰ τὸ πρόχειρον πυλίδα εἶναί τινα

10 τοὺς om P

malleos ferentes: Ioannes vero laici habitu sese occultabat, ne cognosceretur. tum ille magico carmine recitato, eaque fortitudine quae in ducibus erat in statuam translata, seu potius, quae in statua ex superioribus daemonum invocationibus haerebat, deiecta destructaque, viros omni conatu statuae capita ferire imperat. horum bini validissimis ictibus duo statuae capita decusserunt: tertius aliquanto remissius feriens nonnihil ille quidem depressit, non tamen etiam totum a corpore caput abscidit. haud fere aliter cum gentis ducibus actum est. orta enim inter eos gravi concertatione, cum illa in bellum civile evasisset, ducum unus et alter sub tertio capitis abscissione cadunt, uno duntaxat superstite, sed non plene sano. sic gentis rebus in nihilum redactis, ad suas rursus sedes turpi fuga ac clade redit. ac quidem eiusmodi Iannis praestigiae. (8) huic porro praestigiatori frater carnalis erat, Arsaberus nomine, patricii honorem a Theophilo consecutus. huic suburbanum ad Euxini sinistram enavigati partem, ad sancti Phocae monasterium, aedificiis maximis ac splendidis, porticibus, balneis ac praeterea cisternis instructum fuit. illic crebro solitum diversari patriarcham subterraneum quoddam domicilium, Trophoniano haud absimile, construxisse ferunt.

διὰ βαθμίδων οὐκ ὀλίγων ἐκεῖσε δὴ τοὺς θέλοντας παραπέμπουσαν. ἐκεῖνο γοῦν αὐτοῦ πονηρὸν ἐργαστήριον. ἐκεῖσε δὴ τούτῳ τινὲς νῦν μὲν ἐταμιεύοντο θαλαμηπολούμεναι, μονάζουσαί τε καὶ ἄλλως τὸ κάλλος γυναῖκες μὴ διαφθείρουσαι, αἷς συνεφθείρετο· νῦν δὲ μαντεῖαι δι' ἡπατοσκοπίας καὶ λεκανομαντείας καὶ γοητείας P 98
καὶ νεκυομαντείας ἐνηργοῦντο, ταύταις προσχρωμένου κοινωνοῖς τε καὶ βοηθοῖς. ὅθεν πολλάκις καί τινα προλέγειν τούτῳ συνέβαινε τῇ τῶν δαιμόνων συνεργείᾳ ἀληθῆ, οὐ τῷ Θεοφίλῳ μόνῳ ἀλλὰ καὶ ἑτέροις τοῖς τούτου ὁμόφροσιν. ἀλλὰ τοῦτο μὲν τούτου τὸ μιαρὸν ἐνδιαίτημα ὀψέ ποτε πρὸς Βασίλειον τὸν τηνικαῦτα παρακοιμώμενον ἀπεμποληθὲν παρὰ τοῦ ἀδελφοῦ εἰς ἱερὸν μετηνέχθη φροντιστήριον, οὐκ ἐκεῖνο μόνον ἀλλὰ καὶ τὰ λοιπά, καθὼς αὐτῷ διαφέροντα ἦν· καὶ ἐκ βάθρων ἡ τοῦ ἁγίου μεγαλομάρτυρος ἀνιδρύθη μονή.

9. Τότε δὲ οὗτος καὶ πᾶσα ἡ αὐτοῦ, ὡς εἴρηται, συμμο- B
ρία τῇ καθαιρέσει ὑποβληθέντες οὐχ ἡσυχῇ παραπέμπειν τὸν ἑαυτῶν βίον ἐδοκίμαζον, ἀλλ' ἔτι καὶ κατὰ τῶν ἁγίων εἰκόνων ἐνεανιεύοντο. μετὰ γοῦν τὴν καθαίρεσιν ὑπερορίας ἔν τινι μονῇ γεγονώς, εἰκόνος μιᾶς κατὰ τὸν ὄροφον ἱστορημένης καὶ ἀτενῶς οἷον ἀτενιζούσης αὐτῷ, μὴ φέρων οὗτος ὁρᾶν τὴν ἐκείνης πρὸς αὐτὸν ἐπικατιοῦσαν θέαν, καθαιρεῖσθαι ταύτην διά τινος οἰκέτου προστάττει καὶ τοὺς ὀφθαλμοὺς κατορύττεσθαι, τοῦτο μόνον ἐπιλέγων, ὡς τὴν ταύτης οὐ δύναμαι μορφὴν ἐνορᾶν. ἤκουστο γοῦν

in eius postico in promptu fores erant, multis inde gradibus intromittentes eos qui intus penetrare vellent. haec itaque illius nefanda officina. illic modo ad cubiculi thalamique delicias cum sacrae virgines tum aliae insigni forma mulieres condebantur, quibuscum meretricio ritu foedaretur; modo iecinorum inspectiones exque pelvi divinationes ac praestigiae aliae mortuorumque evocationes, his illi sociabus ac adiutoribus, exercebantur. hincque adeo non raro non solum Theophilo sed et aliis eiusdem sententiae atque haeresis hominibus vera quaedam daemonum ope praedicebat. hoc enimvero impurum eius domicilium, aliquando tandem a fratre Basilio tum accubitori venditum, in sacrum transiit monasterium. neque id modo, sed et quae ad illum attinebant reliqua: sanctique magni martyris Phocae a fundamentis erectum monasterium est.

9. Ceterum ille eiusque omnis sodalitas, uti dictum est, in eum modum cessare iussi ac depositi, haud sibi quiete transigendam vitam putaverunt, verum adhuc quidpiam adversus sacras imagines moliti sunt. sacerdotio itaque motus, cum in monasterio quodam exsul versaretur pictaque imago quaedam in tecto velut intentis in eum oculis esse videretur, non ferens ille imaginis sic de alto quasi intuentis aspectum, per unum e famulis tolli eam iubet atque eius oculos effodi, unum hoc addens, non posse se eius effigiem formamque intueri. audivit haec Au-

ταῦτα τῇ δεσποίνῃ, καὶ τῇ προσηκούσῃ μάστιγι καὶ παιδείᾳ διὰ
C σκυτάλης καθυποβέβλητο. (10) ἀλλ' οὐδ' οὕτως ἦν ἀγαπητὸν
αὐτῷ τῆς ἡσυχίας ἐρᾶν, μῶμον δέ τινα καὶ ὥς ἐπειρῶντο τῷ ἐν
ἁγίοις Μεθοδίῳ προσάπτειν, καὶ μῶμον εἰς γυναικὸς φθορὰν
παῖδα κεκτημένης μονογενῆ (Μητροφάνης οὗτος ἦν, ὁ μετ' οὐ
πολὺ τῆς Σμύρνης καθηγησάμενος), ἣν καὶ χρυσίων ἱκανῶν ἐξω-
νησάμενοι καὶ ἅμα καθυποσχόμενοι εἰ μόνον τούτοις συμφήσειεν,
πολλὰ κατελέγοντο πρὸς τὴν δέσποιναν καὶ τοὺς ἐπιτροπεύοντας
τοῦ παιδὸς αὐτῆς. βῆμα γοῦν εὐθέως καὶ κριτήριον φρίκης γέ-
μον ἐκ πολιτικῶν ἀνδρῶν συγκροτούμενον καὶ ἐκκλησιαστικῶν.
D οὐ τῶν εὐσεβῶν τις ἀπῆν, οὐ τῶν ἀσεβῶν, οὐ τῶν μονήρη βίον
ἐπειλημμένων, οὐκ ἄλλος τις τῶν ἀκούειν ἢ λαλεῖν δυναμένων·
τοὺς μὲν γὰρ ἡ πρὸς τὸ ξένον τῆς λοιδορίας κατηφιῶντας οἷον ἐνῆ-
γεν αἰδώς, τοὺς δ' ἡ τοῦ κροτεῖν καὶ χαίρειν ὑπ' ἀκρασίας ἡδονή.
ἤγοντο γοῦν οἱ κατηγοροῦντες εἰς μέσον, καὶ τῶν λεγομένων ἡ ἄν-
θρωπος ἔλεγχος. ὁ δὲ ἅμα τῇ παραστάσει τῆς γυναικός, οὐδὲν
ὑποστειλάμενος οὐδαμῶς, ὅπως τε ἔχεις κυρία, ταύτην ἐπηρώτα
εἰς ἐπήκοον (καὶ γὰρ ἦν αὐτῷ γνώριμος ἐκ πολλοῦ δι' ἀρετήν),
καὶ ὅπως ὁ δεῖνα καὶ ὁ δεῖνα, περὶ τοῦ ταύτης ἀνδρὸς καὶ τῶν
P 99 προσηκόντων αὐτῇ· οὕτως τούτῳ ἐπήνθει τὸ ἄπλαστον. οἱ δὲ
μᾶλλον ἐκβοήσαντες ἐγαυρίων ὑφ' ἡδονῆς, τὰ τῆς κατηγορίας
ἐπαύξοντες καὶ σαφῆ τὸν ἔλεγχον δόντες λοιπόν. ὡς δ' οὗτος
μόλις τῆς κατηγορίας ἐπῄσθετο, ζήλῳ πυρωθείς, ὡς ἂν μὴ δι'

gusta, ac qua virum decebat castigatione, scuticae taureisque subiecit. (10) at ne sic quidem ut quietus ageret in animum inducebat; sanctumque Methodium structa in eum calumnia circumvenire tentabant. haec autem in eo erat, constuprasse scilicet mulierem unici filii matrem, id est, Metrophanis, eius videlicet qui haud multo post Smyrnensis episcopus fuit. hanc auri multa vi conducentes, aliaque polliciti, modo eorum fraudi acquiesceret, acriter apud Augustam eiusque filii procuratores accusant. mox itaque formidolosum tremendumque tribunal ponitur, exque utroque ordine, civili scilicet sacroque, iudicium cogitur. nemo non piorum, nemo non impiorum aderat; monachi omnes, ac quisquis audire poterat aut loqui, praesto erant. alios pro criminis novitate maestos pudor adduxerat, alios insultandi cupido, et ut petulantia oblectarentur. producuntur ergo accusatores in medium, et quae reum erat peractura, mulier coram sistitur. Methodius, simul atque mulier adstitit, nihil quicquam veritus deque solita subtrahens comitate et salutatione, cunctis audientibus ex ea percontari "quonam te modo habes, domina?" dudum enim virtutis nomine illi nota erat. "quonam modo hic atque ille?" de marito iisque qui ullo eam modo contingebant. tantus in eo candor ac simplicitas efflorebat. adversarii maiori clamore sublato, aucta inde accusatione superbe gaudio gestiebant, iamque aperte crimen se evicturos putabant. is porro, ubi tandem calumniam sensisset, zelo succensus, ne

αὐτοῦ τὰ τῆς ἐκκλησίας κινδυνεύοι καὶ τοῦ Χριστοῦ, ἄλλον μὲν εἶναι καιρὸν αἰδοῦς ἄλλον δὲ ὑποστολῆς καὶ σεμνότητος, μικρὸν ἐκ τοῦ θρόνου μετεωρίσας αὑτὸν καὶ πρὸς ἑαυτὸν τὸν κόλπον συναγαγὼν γυμνὴν ἐδείκνυεν τὴν αἰδώ, τεθαυματουργημένην ἔχων καὶ οὐ κατ' ἄνθρωπον, καὶ ἅμα διηγεῖτο τὴν θαυματουργίαν, ὡς B πρὸ πολλοῦ κατὰ τὴν πρεσβυτέραν Ῥώμην γενόμενος, σφριγώντων ἔτι καὶ ἐνακμαζόντων τῶν παθῶν, ἔρως τις αὐτὸν ἐξέκαιεν θερμότερον ἢ καὶ κατὰ πάθους ὁρμήν. ἐπεὶ γοῦν ἐκινδύνευεν καὶ περιγενέσθαι τούτου οὐκ ἦν οἷός τε, τὸν κορυφαῖον Πέτρον τὼ χεῖρε πρὸς τὸν ναὸν ἐκπετάσας ἐξελιπάρει τυχεῖν τινὸς ἐπικουρίας καὶ ἀρωγῆς. καὶ δὴ τῷ κόπῳ τῆς εὐχῆς ὀψὲ πρὸς ὕπνον κλιθείς, φανῆναί οἱ τὸν ἀπόστολον ἐκείνου τοῦ μέρους ἁπτόμενον καὶ τὰς ὁρμὰς σβεννύοντα τῶν παθῶν, τοῦτο μόνον προσεπιλέγοντα τὸ C "ἀπολέλυσαι δὴ τῆς τῶν παθῶν ἐπικρατείας, Μεθόδιε." τούτοις ἐκεῖνος τὸν μακρὸν ἐκεῖνον πέπεικε σύλλογον, αἰσχύνης πλήσας τοὺς τῆς ἀληθείας ἐχθρούς. οὐ μὴν ὁ μάγιστρος Μανουὴλ τούτοις ἠξίου λύεσθαι τὰς κατηγορίας, ἀλλὰ καὶ τῇ γυναικὶ ἠπείλει ἦ μὴν ἀπαγαγεῖν τῆς ζωῆς, εἰ μὴ τὴν πᾶσαν διδάξῃ ἀλήθειαν. καὶ ἥ γ' εὐθέως ἔκπυστον καὶ σαφῆ τὴν πᾶσαν δραματουργίαν ποιεῖ, τόσου καὶ τόσου λέγουσα χρυσίου ἐξωνηθῆναι, καὶ ἔτι ἐν τινί μου τῶν κιβωτίων, οὕτως ὡς ἐδόθη, σεσημασμένον ἐστὶ καὶ D πεφύλακται σφραγῖδι αὐτῶν. αὐθωρὸν οὖν ἀποστείλαντες ἐκεῖνό

2 εἶναι] εἰδὼς εἶναι Combef. 4 γυμνὸν P

quid eius causa ecclesiae res Christique honor labefactarentur, nempe non nesciens aliud pudoris aliud subticendi ac gravitatis tempus esse, paululum se a throno subrigens sinumque ad se colligens verenda nuda ostendit miraculo arefacta, nec qualia virorum esse solent; simulque ut se res habuerit gestumque miraculum sit, referebat. cum nimirum pridem iam ad seniorem Romam venisset, adhucque in ipso ferverent ac vigerent carnis libidines, maiore quam pro affectus ipsa vi amore exarsisse. hinc itaque aucto periculo, ac cum vim tantam libidinis non posset superare, Petrum apostolorum principem expansis ad eius templum manibus exorasse ut ab eo opem aliquam impetraret. dumque tandem precandi labore fessus in somnum sese reclinasset, visum in somnis apostolum, qui eam tangendo partem libidinis sensum omnem exstingueret; simulque dixisse, "Methodi, liberatus es a libidinum tyrannide ac dura vi." his ille fidem tanto illi conventui fecit, ac veritatis hostes pudore implevit. nolebat tamen magister Manuel his obiecta crimina dilui. quinimmo mulieri minitabatur, se illi vitam adempturum, nisi rei omnem veritatem doceret. illa porro totam statim fabulam eloquitur ac palam facit, tanto se redemptam esse, auri pondo accepisse, adhucque in arcula, uti acceperat, signatum subque illorum sigillo domi se habere. confestim ergo cum misissent, mulieris illa indicatione inventum in arca

τε, ὡς ἔφησεν ἡ γυνή, εὗρον τὸ χρυσίον κατὰ τὴν κιβωτὸν καὶ ἤγαγον. καὶ οὗτοι τῇ τοῦ πατριάρχου συμπαθείᾳ καὶ παρακλήσει πρὸς τοὺς κρατοῦντας οὐ ποινῶν καὶ βασάνων, ὧν ἦσαν ἄξιοι, ἀλλὰ συγγνώμης ἠξίωντο, τοῦτο μόνον εἰς ἔκτισιν λαβόντες καὶ τιμωρίαν τὸ ἀνὰ πᾶν ἔτος ἐν τῇ τῆς ὀρθοδοξίας πανηγύρει μετὰ λαμπάδων ἀπὸ τοῦ ἐν Βλαχέρναις σεβασμίου σηκοῦ τῆς θεομήτορος πρὸς τὸν θεῖον καὶ περιώνυμον τῆς σοφίας ἀφικνεῖσθαι νεὼν καὶ τὸ οἰκεῖον ἐνηχεῖσθαι αὐτοῖς ὠσὶν ἀνάθεμα διὰ τὴν πρὸς τὰς
P 100 *θείας εἰκόνας ἀπέχθειαν· ὃ καὶ τηρούμενον ἐφάνη ἐπὶ πολὺ καὶ τῆς αὐτῶν μέχρις ἐταμιεύθη ζωῆς. καὶ ἡ μὲν ἐφ' ἱκανὸν αὐξηθεῖσα τοιαύτη αἵρεσις τοιοῦτον δὴ εἶχε καὶ τὸ πέρας ἐκ τοῦ θεοῦ· ἀνέλαμψαν δὲ αἱ θεῖαι τῶν ἁγίων εἰκόνων μορφαί, οὐ θεϊκῶς ἡμῖν λατρευόμεναί τε καὶ τυπούμεναι, σχετικῶς δὲ καὶ σεβασμίως τὴν δι' αὐτῶν πρὸς τὰ πρωτότυπα ἡμῖν τιμήν πως διαπορθμεύουσαι.*

11. *Ταύτην ἄγουσα τὴν ἑορτὴν ἡ Θεοδώρα δι' ἡδονῆς εἱστία ποτὲ ἐν ταὐτῷ τὸ τῆς ἐκκλησίας πλήρωμα πᾶν κατὰ τὰ ἐν*
B *τοῖς Καριανοῦ ἀνάκτορα, ἅ, ὡς εἴρηται πρότερον ἡμῖν, τῶν ἑαυτοῦ ἕνεκεν θυγατέρων ὁ Θεόφιλος ἐνεδείματο. οὐκ ἦν γοῦν ὅστις οὐ παρῆν ἐκεῖ τῶν ἱερέων καὶ ὁμολογητῶν. τούτοις ἐναρίθμιοι Θεοφάνης τε ὁ τῆς Σμύρνης καὶ ὁ αὐτοῦ Θεόδωρος ἀδελφός. ὡς οὖν τὰ τῆς εὐωχίας παρήκμασεν καὶ εἰς βρῶσιν τὰ τραγήματα μετὰ τῶν πλακούντων παρέκειντο, συνεχῶς ἀτενιζούσης τῆς βασι-*

aurum ac allatum est. accusatores, miserante patriarcha serioque rerum dominos exorante, non quarum rei erant poenas dederunt iustaeque ultionis supplicia tulerunt, sed veniam consecuti sunt, ea duntaxat indicta multa, ut quotannis solenni restitutarum imaginum die (ὀρθοδοξίας festum vocant) praelucentibus facibus a venerabili dei genitricis Blachernarum aede ad divinum celeberrimumque sapientiae templum venirent, dictumque in eos anathema ob eorum in sacras imagines odium suis ipsi auribus audirent. quod in multos annos servatum est, ac quoad illi vitae superstites fuerunt. ac quidem tantis aucta compendiis eiuscemodi haeresis talem quoque dei nutu finem accepit, pristinoque splendore divinae sacrarum imaginum effigies formaeque effulserunt, quas non divinis ipsis honoribus colamus ac velut deos pingamus, sed quibus relative certoque venerationis cultu ad exemplaria ipsasque principes formas honorem transmittamus.

11. Festum hunc diem cum Theodora gaudio celebraret, collectum omnem ecclesiae coetum in Cariani triclinio, quod in palatio est, epulis quandoque recreabat. has nempe aedes, ut in superioribus a nobis dictum est, Theophilus in filiarum usum exstruxerat. sacerdotum nemo deerat, nemo confessorum inter illos aderant Theophanes Smyrnensis episcopus eiusque frater Theodorus. vergente ad finem convivio cum iam placentae ac bellaria apponerentur, intentis crebro in eos oculis,

λίδος καὶ τὰ ἐν τῷ μετώπῳ γράμματα τῶν πατέρων καθορώσης καὶ στεναζούσης συνέβη πως τούτους ὥς ἐξ ὁμολόγου ἀντοφθαλμῆσαι καὶ ταύτην ἐνιδεῖν ἀτενιζούσης αὐτοῖς. φησάντων γοῦν ὥς C τίς ἄρα, δέσποινα, ἡ αἰτία τῆς πρὸς ἡμᾶς σου ὁράσεως ἀτενοῦς; τὴν ἐκ τῶν γραμμάτων ἔφη θαυμάζειν καρτερίαν ὑμῶν καὶ τὴν τοῦ ταῦτα δράσαντος ἀπήνειαν εἰς ὑμᾶς. καὶ ὁ μακαρίτης Θεοφάνης μηδὲν εὐλαβηθείς τε καὶ τῶν προησφαλισμένων διανοηθεὶς "ὑπὲρ ταύτης" ἔφησε "τῆς γραφῆς εὖ μάλα τρανῶς ἐν τῷ τοῦ θεοῦ ἀδεκάστῳ δικαστηρίῳ διαδικάσομαι σὺν τῷ ἀνδρί σου καὶ βασιλεῖ." τούτῳ περίλυπος γενομένη, ἀλλὰ μὴν καὶ σύνδακρυς, "καὶ ταῦτα" ἔφησεν ἡ βασίλεια "ἡ ὑπόσχεσις καὶ αἱ δι' ἐγγράφων ὁμολογίαι ὑμῶν, ὡς μὴ μόνον συγκεχωρηκέναι ἀλλὰ καὶ πρὸς ἀγῶ- D νας ἐνάγειν καὶ καλεῖν;" "οὔ" φησιν ὁ πατριάρχης αὐθωρὸν ἀναστὰς καὶ οἱ λοιποὶ τῶν ἱερέων, "βασίλεια, οὔ· ἀλλ' ἕξει βεβαίως τὰ ἡμέτερα, τῆς ὀλιγωρίας τούτων λογιζομένης οὐδέν." οὕτω μὲν οὖν ἐσιγάσθη ταῦτα, καὶ τὰ τῆς ἐκκλησίας ἔθη ἀκύμαντα.

12. Καὶ ἑτέρα δέ τις αἵρεσις οὕτω τῶν Ζηλίκων λεγομένη ἀναφανεῖσα, σὺν τῷ ἑαυτῆς ἀρχηγῷ Ζῆλι ὀνομαζομένῳ, φέροντι δὲ τὴν τῶν ἀσηκρήτων ἐν πρώτοις τιμήν, ἐθεραπεύθη τε καὶ πρὸς θεοσέβειαν μετηνέχθη ἐν προόδῳ βασιλικῇ, τῆς τοῦ μύρου μόνου

16 ἔθη] ἐσώθη?

legensque inscriptas eorum facies, altos animo gemitus Augusta trahebat. sed et illos, ut par est, contigit oculos advertere sicque in ipsos intentos Augustae oculos observare. quaerebant ergo, quid causae esset cur sic Augusta intentos oculos ipsis obverteret. ad quos illa mirari se illorum patientiam, quod sic vultus literis insculpti sustinuissent, illiusque immanitatem a quo eiusmodi poenam sustulissent. tunc beatus Theophanes nulla ductus reverentia, nec quod sancte patrum conventus promiserat animo cogitans, "huius" inquit, "scripturae causam adversum virum tuum ac imperatorem clare admodum, deo incorrupto iudice, disceptabimus." gravi sermo Augustam dolore affecit, effusaque in lacrimas "haecne" inquit "vestra promissio ac scripta cautio est, quod non solum non ignoscitis verum etiam in ius vocare vultis?" "non ita" ait, "non ita," surgens statim patriarcha ac reliquus sacerdotum coetus. "promissa" inquiunt "rata manent, spreto horum virorum contemptu." sic itaque ista pacata sunt assertaque ecclesiae moribus tranquillitas est.

12. Sed et alia quaedam haeresis (sic dicta Zelicum) orta, una cum suo auctore Zeli dicto, qui a secretis erat hacque potissimum dignitate fulgebat, curata et ad saniorem sensum traducta, in imperatoris solenni pompa, illius sectatoribus sola unguenti unctione cum novis albis

P 101 μετὰ καινῶν ἐμφωτίων τε καὶ ἐσθημάτων καταξιωθέντων χρίσεως τῶν ἀντιποιουμένων αὐτῆς, καὶ τελειωθέντων λαμπρῶς.

13. Ὅ γε μὴν ἄρχων Βουλγαρίας (Βώγωρις οὗτος ἦν) θρασύτερον ἐξεφέρετο γυναῖκα τῆς βασιλείας κρατεῖν διακηκοώς· ὅθεν καί τινας ἀγγέλους ἀπέσταλκεν πρὸς αὐτήν, τὰς συνθήκας λέγων καταλύειν καὶ κατὰ τῆς τῶν Ῥωμαίων ἐκστρατεύειν γῆς. ἀλλ' αὐτὴ μηδὲν θῆλυ ἐννοοῦσα ἢ ἄνανδρον "καὶ ἐμὲ" αὐτῷ κατεμήνυεν "κατ' αὐτοῦ εὑρήσεις ἀντιστρατεύουσαν. καὶ ἐλπίζω μὲν κυριεῦσαί σου· εἰ δὲ μὴ γένηται καὶ ἐκνικήσεις με, καὶ οὕτω σου περιέσομαι, τὴν νίκην ἀρίδηλον ἔχουσα· γυναῖκα γὰρ ἀλλ' οὐκ
B ἄνδρα ἕξεις ἡττηθέντα σοι." διὰ τοῦτο μὲν οὖν καὶ ἐφ' ἡσυχίας ἔμεινεν, μηδὲν τολμήσας νεανιεύεσθαι, καὶ τὰς τῆς ἀγάπης αὖθις ἀνενέου σπονδάς. (14) καὶ δὴ ζήτησίν τινα καὶ πολλὴν ἔρευναν περί τινος μοναχοῦ, οὕτω καλουμένου Θεοδώρου τοῦ ἐπίκλην Κουφαρᾶ, εἴτε ἔκ τινων ὀνειράτων καὶ ὄψεως εἴτε ἄλλως πως, πρὸ πολλοῦ αἰχμαλωτισθέντος ἡ Θεοδώρα πρὸς τὸν ἄρχοντα Βουλγαρίας ἐποίει, καὶ αὐτὸν ἠξίου διὰ γραμμάτων ἀνερευνῆσαι καὶ τιμῆς ὅσης καὶ βούλοιτο ἀπολυτρώσασθαι τοῦτον αὐτῇ. ἠξίου δὲ καὶ οὗτος, ἀφορμὴν ἐκ τούτου λαβών, περὶ οἰκείας αὐτοῦ πρεσ-
C βεύειν ἀδελφῆς παρὰ τῶν Ῥωμαίων μὲν αἰχμαλωτισθείσης ποτέ, κατεχομένης δὲ νῦν ἐν τῇ τοῦ βασιλέως αὐλῇ. αὕτη δὴ οὖν πρὸς τὴν πίστιν καλῶς μετενεχθεῖσα, καὶ γράμματα κατὰ τὸν τῆς αἰχμα-

8 ἐλπίζομεν κυριεῦσαι P

tunicis (ἐμφώτια vocant) receptis, eoque candoris amictu ac pompa consummationem adeptis.

13. Ceterum Bulgariae princeps Bogoris nomine, audito feminam rerum potiri, ferocius ipse efferri. missis itaque ad Theodoram nuntiis minatur rupto foedere adversus eam se copias educturum. at illa, nihil muliebre aut non satis virile in animum inducens, ita renuntiavit, "me quoque vicissim adversum te offendes copias educentem, nec me victoria potituram diffido. sin autem minime contigerit ipseque me viceris, sic quoque ipsa superavero, penes quam manifesta victoriae iura futura sint, cum tibi non vir sed mulier victa concesserit." hoc responso perterritus barbarus quietem bello praetulit, nihil ferocius moliri ausus, amicitiaeque rursus foedera renovavit. (14) inter haec Theodora omni diligentia perquirendum statuit sic nuncupatum Theodorum monachum cognomento Cupharam, sive quibusdam insomniis visoque monita, sive alia ratione inducta: is vero diu ante inter captivos fuerat abductus. mittit ergo ad Bulgariae principem, datisque literis rogat ut hominem sedulo perquiri iubeat, quo libuerit pretio ex ipso redimendum. ille vicissim occasionem nactus missis legatis sororem ad se remitti petit, Romanorum quondam excursionibus captam, et quae tunc in aula servaretur. haec itaque ad Christi fidem probe translato animo, doctaque literas per

λωσίας παιδευθεῖσα καιρόν, καὶ ἄλλως τὴν τῶν Χριστιανῶν τάξιν τε καὶ περὶ τὸ θεῖον αἰδῶ τε καὶ δόξαν, ὥς ἔστι, θαυμάζουσα διαφερόντως, ἐπεὶ τῆς ἐπανόδου τῆς πρὸς τὸν ἀδελφὸν τετύχηκεν, οὐ διέλιπεν ἐκθειάζουσά τε καὶ παρακαλοῦσα καὶ σπέρματα καταβάλλουσα τῆς πίστεως πρὸς αὐτόν. ὁ δὲ (ἦν γὰρ παρὰ τοῦ εἰρημένου Κουφαρᾶ μικρά τινα παιδευθεὶς καὶ τῶν μυστηρίων κατηχηθείς) τοῦτον μὲν ἀποστείλας τὴν οἰκείαν ἐλάμβανε μισθὸν ἀδελφήν· D πλὴν ἔμενεν ὅπερ ἦν, ἀπιστίᾳ κατισχημένος καὶ τὴν αὐτοῦ θρησκείαν τιμῶν. ἀλλά τις πληγὴ περιπεσοῦσα θεήλατος (λιμὸς δὲ ἦν, οὕτω μᾶλλον τῶν παχυτέρων καὶ γαιωδεστέρων, ὡς ἔοικεν, μεταπαιδευομένων καὶ τὰ κακὰ μεταμανθανόντων) τὴν αὐτοῦ ἐπολιόρκει καὶ κατέτρυχεν γῆν. καὶ ὃς θεὸν ἐκεῖνον ἠνάγκαζεν ἐπικαλεῖσθαι πρὸς ἄμυναν τῶν δεινῶν, τὸν ὑπὸ τοῦ Θεοδώρου μὲν πολλάκις καὶ τῆς αὐτοῦ ἀδελφῆς θαυμαζόμενόν τε καὶ σεβόμενον, ὡς εἰκός. τυχόντες οὖν τῆς ἀπαλλαγῆς τῶν δεινῶν, οὕτω δὴ πρὸς θεοσέβειαν μετατίθεται, καὶ τῆς τοῦ λουτροῦ παλιγγενεσίας καταξιοῦται, καὶ Μιχαὴλ κατονομάζεται κατὰ τὸ ὄνομα τοῦ βασιλέως, P 102 παρὰ τοῦ πρὸς ἐκεῖνον ἀποσταλέντος ἀρχιερέως ἀπὸ τῆς βασιλίδος τῶν πόλεων. (15) καί τι δὲ τοιοῦτον ἐπισυμβῆναι φασίν, ὡς ἔρωτα δεινὸν περὶ τὴν κυνηγεσίαν τὸν Βώγωριν ἄρχοντα κεκτημένον ταῦτα καὶ κατά τινα οἶκον τῶν ἑαυτοῦ, ἐν ᾧ συνεχῶς ἀφικνεῖτο, θελῆσαι ἐξιστορῆσαι, νύκτωρ ὡς ἂν ἔχοι καὶ μεθ᾽

2 ἔστι] εἰκός?

eas captivitatis moras, omnemque praeterea Christianorum ordinem inque deum reverentiam ac de illo opinionem, uti par est, plurimum admirata, cum ad fratrem reversa esset, nullum unquam finem faciebat praedicandae illi Christianae institutionis et obsecrandi fideique ac pietatis in eo semina iaciendi. ille iam pauca quaedam ab eo quem diximus Cuphara didicerat, primaeque institutionis rudimenta audierat. misso itaque monacho commutationis iure sororem recepit. mansit tamen id quod erat, infidelitate scilicet laborans suaeque adhuc cultor superstitionis. ceterum plaga quaedam divinitus illata, famis scilicet (sic enim comparatum, ut qui addictiore indole crassiorique ingenio sunt ac terreni, erudiantur malaque dedoceantur) illius infestans regionem direque affligens, deum, cuius saepius, ut par est, Theodorus sororque laudes prosecuti essent ac cuius erant cultores, malorum depulsorem invocare cogit. quo a malis liberante Bogoris veram amplectitur fidem, ac lavacrum regenerationis ab episcopo qui ab urbe regia missus fuerat consecutus, ex imperatoris nomine Michael appellatur. (15) sed et aliquid eiusmodi accidisse aiunt. nempe cum Bogoris princeps venatione supra modum delectaretur, haec quoque in domo quadam, in quam frequens concedebat, voluisse depingi, ut noctu perinde interdiuque iis spectacu-

ἡμέραν τὰ τοιαῦτα τῶν ὀφθαλμῶν ἐντρυφήματα. ὡς γοῦν ὁ
τοιοῦτος αὐτὸν ἔρως ἐπεισῆλθεν, μετακαλεῖται μοναχόν τινα τῶν
καθ᾽ ἡμᾶς Ῥωμαίων ζωγράφον· Μεθόδιος ὄνομα τῷ ἀνδρί. τοῦ-
B τον οὖν στάντα κατὰ πρόσωπον ἔκ τινος θείας προνοίας οὐ τὰς ἐν
πολέμῳ ἀνδροκτασίας ἢ τὰς ζῴων καὶ θηρίων ἐπικελεῦσαι γράψειν
σφαγάς, ἀλλ᾽ ἃ βούλοιτο, τοῦτο μόνον ἐπειπὼν ὡς εἰς φόβον τοὺς
ὁρῶντας ἐκ τῆς θέας ἐνάγεσθαι βούλοιτο καὶ ἅμα παρακαλεῖσθαι
πρὸς ἔκπληξιν ἀπὸ τῆς γραφῆς. μηδὲν γοῦν οὗτος πρὸς φόβον
ἕτερον ἐνάγειν ἢ τὴν τοῦ θεοῦ δευτέραν εἰδὼς παρουσίαν, ταύτην
ἐκεῖσε καθυπέγραψεν, καὶ τοὺς δικαίους ἐντεῦθεν τὰ βραβεῖα τῶν
πόνων ἀπολαμβάνοντας, ἐκεῖθεν δὲ τοὺς πεπλημμεληκότας τοὺς
τῶν βεβιωμένων δρεπομένους καρποὺς καὶ πρὸς τὴν ἠπειλημένην
C κόλασιν ἀπελαυνομένους τε καὶ ἀποπεμπομένους σφοδρῶς. ταῦτ᾽
οὖν, ἐπειδὴ πέρας εἶχεν ἡ γραφή, κατιδών, καὶ δι᾽ αὐτῶν τὸν
τοῦ θεοῦ φόβον ἐν ἑαυτῷ συλλαβών, καὶ κατηχηθεὶς τὰ καθ᾽
ἡμᾶς θεῖα μυστήρια, νυκτῶν ἀωρὶ τοῦ θείου μεταλαγχάνει βαπτίσ-
ματος. ἐφ᾽ ᾧ καταφανὴς γεγονὼς τὴν ἐκ παντὸς τοῦ ἔθνους αὐ-
τοῦ καθυφίσταται ἐπανάστασιν, οὓς καὶ μετά τινων ὀλίγων κατα-
πολεμήσας, τὸν τοῦ θείου τύπον σταυροῦ ἐν κόλποις περιάγων
αὐτοῦ, τοὺς καταλοίπους οὐκέτι κρύφα, πάντα δὲ ἀναφανδὸν
ἐποίησε καὶ αὐτοὺς ἐπιθυμοῦντας Χριστιανούς. ἐπεὶ γοῦν μετε-
D τέθη πρὸς θεοσέβειαν, γράφει δὴ πρὸς τὴν δέσποιναν περὶ γῆς,
πλήθει στενούμενος τῷ ἑαυτοῦ, καὶ ἀξιοῖ παρὰ ταύτης παρρησια-
στικώτερον ὡς ἤδη ἓν ἀλλ᾽ οὐ δύο ὄντων αὐτῶν, πίστει τε καὶ φι-

lis oculos pasceret. hoc itaque amore captus monachum quendam ex nostris Romanum pictorem, Methodium nomine, accersit. ubi autem virum coram habuit, divino quodam nutu ac providentia "nolo" inquit, "depingas hominum in bello caedes aut bestiarum ferarumque iugulationes, sed quod videntibus solo adspectu terrorem iniiciat ac quod pictis coloribus in stuporem agat." is vero, quem non lateret nihil perinde terribile esse ac secundum domini adventum, hunc illic graphice omnique artis conatu depinxit; atque hinc iustos praemia laborum percepturos statuit, illinc scelerum reos male gestorum fructus decerpentes, iudice nimirum ad intentata propellente supplicia duriusque a se repellente. haec princeps absoluta tabella ut oculis conspexit, exque adspectu dei in se timorem concepit, divina denique edoctus Christianorum mysteria, intempesta nocte divini baptismatis munus consequitur. non latuit ea res, gentisque totius defectionem ascivit. ille parva suorum manu, divinum crucis signum in sinu suo circumferens, oppido rebelles fundit; nec iam occulte sed palam omnino reliquos, ipsos quoque rei avidos, Christianos facit. ad veram itaque fidem ac pietatem translatus ad Augustam scribit agros impetraturus, angustioribus scilicet quam pro suorum multitudine dicionis illius terminis; eoque maiori fiducia rogat, quod

λίᾳ συνδεθέντων τῇ ἀρραγεῖ, καὶ ἑαυτὸν ὑποθήσειν καθυπισχνεῖτο καὶ εἰρήνην ἐργάσασθαι ἀΐδιόν τε καὶ ἀδιάπτωτον. ἡ δὲ εὐμενῶς τε ἤκουσεν αὐτοῦ, καὶ δέδωκεν ἐρήμην οὖσαν τηνικαῦτα τὴν ἀπὸ τῆς Σιδηρᾶς, ταύτης δὴ τότε ὅριον τυγχανούσης Ῥωμαίων τε καὶ αὐτῶν, ἄχρι τῆς Δεβελτοῦ, ἥτις οὕτω καλεῖται Ζάγορα παρ' αὐτοῖς. οὕτω μὲν οὖν ἅπασα ἡ Βουλγαρία πρὸς εὐσέβειαν μετερρυθμίσθη, θεοῦ πρὸς τὴν οἰκείαν μετακαλεσαμένου γνῶσιν αὐτούς, P 103 καὶ οὕτως ἐκ μικρῶν σπινθήρων τε καὶ πληγῶν· καὶ οὕτω γῆς τῆς τῶν Ῥωμαίων ὡς ἄλλης τινὸς ἐπαγγελίας ἀξιωθέντες πρὸς κοινωνίαν ἄρρηκτον καθυπέβαλον ἑαυτούς.

16. Εἶχε μὲν οὖν οὕτω τὰ κατὰ τὴν δύσιν λαμπρῶς τε καὶ ἐτεθρύλητο πανταχοῦ. ἐφ' οἷς ἀγαλλομένη ἐκείνη, καὶ οἷον τρόπαια ἐπιθεῖναι μείζω δι' ἐφέσεως ἔχουσα, καὶ τοὺς κατὰ τὴν ἀνατολὴν Παυλικιανοὺς ἐπειρᾶτο μετάγειν ὡς βούλοιτο πρὸς εὐσέβειαν ἢ ἐξαιρεῖν καὶ ἀπ' ἀνθρώπων ποιεῖν· ὃ καὶ πολλῶν κακῶν τὴν ἡμετέραν ἐνέπλησεν. ἡ μὲν γὰρ πέμψασά τινας τῶν ἐπ' ἐξουσίας (ὁ τοῦ Ἀργυροῦ καὶ ὁ τοῦ Δουκὸς καὶ ὁ Σουδάλης οἱ ἀπο- B σταλέντες ἐλέγοντο) τοὺς μὲν ξύλῳ ἀνήρτων, τοὺς δὲ ξίφει παρεδίδουν, τοὺς δὲ τῷ τῆς θαλάσσης βυθῷ. ὡσεὶ δέκα μυριάδες ὁ οὕτως ἀπολλύμενος ἠριθμεῖτο λαός, καὶ ἡ ὕπαρξις αὐτῶν τῷ βασιλικῷ ταμιείῳ ... ἤγετο καὶ εἰσεκομίζετο. ὑπῆρχεν οὖν τῷ στρατηγῷ τῶν Ἀνατολικῶν (Θεόδοτος οὗτος ἦν ὁ κατὰ τὸν Με-

iam non duo sed unum existant, insolubili fidei amicitiaeque vinculo colligati. subiectum se illi fore pollicetur, pacemque sempiternam nec ulla unquam re convellendam cum ea habiturum. placuit Theodorae petitio, deditque Bulgaris regionem quae tum deserta erat, quicquid scilicet a Ferrea soli est (loci nomen est, limes eo tempore Romanorum ac Bulgarorum dicionis) ad Debeltum usque: Bulgari Zagoram vocant. per hunc itaque modum omnis Bulgaria ad pietatem Christique fidem transivit, deo ad suam illas cognitionem vocante, et quidem ex sic exignis scintillis plagisque; sicque agri Romani portionem velut aliam quandam rem promissam consecuti, Romanis se foederatos indivulsae societatis vinculo subiecerunt.

16. Hunc in modum se res occidentis praeclare habebant, celebrique fama ubique divulgabantur, quod ita compositae erant. porro Theodora successu elata, ac quasi maiora tropaea adiicere gestiens, Paulicianos quoque per orientem conatur ad veram transferre fidem, sin minus, exstirpare ac de medio tollere; quae res ingentibus malis Romanum orbem implevit. mittit itaque in eam rem procerum quosdam ac magistratuum. erant illi Argyri ducisque filii, et Sudales. hi alios in crucem agebant, alios gladio caedebant, alios maris profundo mergebant. sublati ad centum milia eiusce generis suppliciis; publicata substantia ac fisco illata. porro Theodoto Melisseno orientalium duci in

λισσηνὸν) ἀνήρ τις εἰς τὴν ὑπηρεσίαν καταριθμούμενος, Καρβέας ὀνόματι, τὴν τοῦ πρωτομανδάτωρος πληρῶν ἀρχήν, τῇ πίστει τῶν εἰρημένων τούτων Παυλικιανῶν ἐγκαυχώμενός τε καὶ σεμνυνόμενος. ὡς οὖν τὸν ἑαυτοῦ οὗτος ἀκήκοε πατέρα ἀνηρτῆσθαι τῷ ξύλῳ,
C πέρα δεινῶν τοῦθ᾽ ἡγησάμενος καὶ τὰ ἑαυτοῦ προσοικονομῶν φυγὰς μετὰ καὶ ἑτέρων πέντε χιλιάδων τῆς τοιαύτης κεκοινωνηκότων αἱρέσεως πρὸς τὸν τῆς Μελιτινῆς τηνικαῦτα κατάρχοντα Ἄμερα γίνεται, κἀκεῖθεν πρὸς τὸν ἀμεραμνουνῆ παραγίνονται. μετὰ δὲ πολλῆς ἀποδεχθέντες τιμῆς, καὶ λόγον ἀσφαλείας δόντες τε καὶ λαβόντες ὁμοίως, ἐξέρχονται μετ᾽ οὐ πολὺ κατὰ τῆς Ῥωμαίων γῆς, καὶ τῶν τροπαίων ἕνεκεν, ἐπεὶ πρὸς πολυπληθίαν ἐνεδίδοσαν, πόλεις τε κτίζειν ἐπιχειροῦσιν αὐτοῖς, τὴν οὕτω καλουμένην Ἀργαοῦν καὶ τὴν Ἀμάραν, καὶ αὖθις πολλῶν ἐκεῖσε ἐπιρρεόντων τῇ αὐτῇ κακίᾳ ἐνισχημένων καὶ ἑτέραν κτίζειν κατάρχουσι, Τεφρικὴν
D ταύτην κατονομάσαντες· ἀφ᾽ ὧν ὁρμῶντες πολλοὶ κατ᾽ αὐτὸ γινόμενοι, ὅ τε τῆς Μελιτινῆς Ἄμερ, ὃν οὕτω πως συμφθείροντες τὰ στοιχεῖα Ἄμβρον ἐκάλεσαν οἱ πολλοί, καὶ ὁ τῆς Ταρσοῦ Ἀλῆς καὶ αὐτὸς οὗτος ὁ Καρβέας ὁ δείλαιος, οὐκ ἔληγον αὐθαδῶς τῇ τῶν Ῥωμαίων γῇ λυμαινόμενοι. ἀλλ᾽ ὁ μὲν Ἀλῆς ἔν τινι τῶν Ἀρμενίων χώρᾳ ἄρχειν ἀποσταλεὶς ἐκεῖσε θᾶττον ἢ βουλῆς εἶχε τὸν βίον κατέστρεψε σὺν τῷ ἑαυτοῦ ἀκαίρῳ στρατῷ· ὁ δὲ Ἄμερ μετὰ τοῦ συνάρχοντος αὐτοῦ τοῦ Σκληροῦ (οὕτως ἐλέγετο) εἰς ἐμφύλιον
P 104 στὰς πόλεμον ἐκ φιλονεικίας ἐφθείρετό τε καὶ ἐκείνῳ ἀλλ᾽ οὐκ ἄλ-

11 ἐπεδίδοσαν?

ministerio erat Carbeas quidam, protomandatoris officium gerens, eorum quos dicebam Paulicianorum fide glorians ac sectae socius. is cum patrem suum suspensum patibulo audisset idque facinus iniquissime ferret, ac suis ipse rebus prospiciens, aliis quinque milibus eiusdem secum religionis assumptis, ad Melitinae amerem profugit; indeque ad ameramnunem profecti, omnique honore ac cultu ab eo suscepti, dataque et accepta fide, paulo post communibus studiis Romanam dicionem invadunt, et ut ex ea, quod in maximam iam multitudinem excreverant, tropaea erigerent; urbesque condere aggrediuntur, quam vocant Argaum et quam Amaram; ac rursus multis eo confluentibus eadem haeresi laborantibus, tertiam quoque aedificare incipiunt, quam Tephricem vocant; unde multi uno quasi agmine acieque coniuncti prodeuntes, nimirum Melitines Amer (quem vulgo corruptis elementis Ambrum appellarunt) Tarsique praefectus Ales atque hic miser Carbeas, populandae ferociter vastandaeque Romanae dicionis nullum finem faciebant. verum Ales in Armeniorum quandam provinciam cum imperio missus citius illic periit quam vota ferebant, una cum importuno exercitu suo. Amer autem cum collega, cui Sclerus nomen (velut durum dicas), civili bello suscepto, sua in eum contentione res suas labefactans, cum uno illo, non cum aliis pugna de-

λοις πολεμεῖν ᾤετο δεῖν. εἰς τοσοῦτον δὲ τούτοις ἡ ἔρις ἐπηύξητο καὶ ἀλλήλοις ἀντεστρατήγουν, ἄχρις ἂν εἰς δέκα μόλις ἔληγεν χιλιάδας ἡ τούτων ἰσχὺς ἐκ πεντήκοντά που καὶ μικρόν τι πρός. ἐπεὶ γοῦν οὗτος τῶν ἐχθρῶν ὑπερίσχυσεν, ἔγνω αὖθις θρασύτητι καταστρατηγούμενος κατὰ τὴν Ῥωμαίων ὅπλα κινεῖν, τῷ Καρβέᾳ ἑνούμενος. ἀντεστρατεύετο δὲ αὐτοῖς Πετρωνᾶς, τὴν τοῦ δομεστίκου τότε ἀρχὴν διοικῶν· λόγῳ μὲν γὰρ Βάρδα ταύτην διέπειν ἐδέδοτο, ἀλλ' ἐπεὶ σχολάζειν οὗτος ἠναγκάζετο ὡς ἐπίτροπος, τὸν ἀδελφὸν ἠξίου, στρατηγὸν ὄντα τῶν Θρακησίων, πράγματι ταύ- B την διέπειν καὶ διοικεῖν.

17. Πλὴν ἀνθορμᾶν κατὰ τῶν Ἰσμαηλιτῶν καὶ ἀντεπεξιέναι καὶ Μιχαὴλ ὁ βασιλεύς (ἄρτι γὰρ τὴν παιδικὴν ἡλικίαν παραμείψας πρὸς τὴν τῶν ἀνδρῶν ἠπείγετο) ἐβούλετό τε καὶ δι' ἐπιθυμίας εἶχεν ἀεί. ἔγνω δέ πως ταῦτα βουλευόμενος ἀπὸ τῶν ἐμφυλίων πρότερον, ὡς οὐκ ὤφειλεν, ἐναπάρξασθαι, οὐκ οἴκοθεν οὐδ' ἀφ' ἑαυτοῦ, τῇ δὲ τοῦ ἐπιτροπεύοντος Βάρδα γνώμῃ τε καὶ βουλῇ. ὅθεν δὲ καὶ ὅπως, δηλώσει καὶ ταῦτα ἡ ἱστορία· C κωφὸν γὰρ τῷ ὄντι πως καὶ διάκενον τὸ σῶμα τῆς ἱστορίας, ὅταν ἐστερημένας ἔχει τὰς αἰτίας τῶν πράξεων. ἀλλ' ἔνθα μὲν καὶ ἡμῖν ὑπὸ τοῦ χρόνου καλῶς οὐ διέγνωσται, συγγνώμην πάντως οἱ φιλομαθεῖς ἀπονέμοιεν τοῖς ἀληθεῖς ἀλλ' οὐ πλασματώδεις γρά-

21 τοῖς] τοὺς P

cernendum putabat. adeo autem eorum aucta contentio est sicque mutuis se cladibus confecerunt, ut cum quinquaginta milia aut paulo plures essent, ad decem vix milia exercitus omnis redactus sit. amer itaque hostium victor arma iterum adversus Romanos, Carbea belli socio, movere ducis ferocitate decernit. contra hos expeditionem facit Petronas, domestici tum munus administrans. quae dignitas nomine quidem ac titulo ad Bardam spectabat; quia tamen ille, quippe imperatoris tutor, ab ea cessare functione necesse habebat, a Petrona fratre, Thracensium duce, hanc sibi vicariam operam praestandam rogaverat.

17. Ceterum Michael ipse imperator adversus Ismaelitas proficisci expeditionemque suscipere, quippe qui pueritia egressus viriles prope annos attigerat, omnino volebat, reique huius iugi desiderio flagrabat. is vero eum primo animus incessit inque eam mentem inductus est non a se suoque ipse genio, sed cognatorum, quod ne unquam fuisset, Bardae scilicet curatoris sententia ac consilio. undenam vero ac quomodo res contigerit, hoc quoque subiecta rerum declarabit narratio. plane enim mutum propemodum atque inane historiae corpus videatur, quam deficiant rationes ac causae eorum quae gesta conscribuntur. cum autem ne nos quidem ob longiores temporis moras perspectam satis rerum causam habebimus, veniam prorsus tribuant studiosi lectores, quibus animo constitutum sit ut veras duntaxat, non quae ficticiae sint

φειν ἐθέλουσιν, ὧν οὐδὲ τῷ τυχόντι ἀπορία καθέστηκεν· ὅπου δὲ γνώριμος, δηλοῦν δεῖ ταύτην καὶ σαφῆ καθιστᾶν τοῖς ἀναγινώσκουσιν, ὡς οὐκ ἄλλοθεν πάντως ἢ ἐκ τούτων χορηγουμένης τῆς ὠφελείας αὐτοῖς.

D 18. Ἐγένετο δὲ τούτῳ τῷ Βάρδᾳ ἔρως τῆς βασιλείας οὐκ ἀγεννής, καὶ ἔρως οὐ κατὰ τοὺς ἄλλους, νῦν μὲν αὐξανόμενος νῦν δὲ ταῖς τοῦ λογισμοῦ ὁρμαῖς προσεπικοπτόμενος, ἀλλὰ δύσερώς τις καὶ δυσαπάλλακτος. μᾶλλον δέ, ἵνα τὸν λόγον πορρωτέρω ἀγάγωμεν, ἐγένετο δὴ τῷ Μανουὴλ πρὸς τὸν Θεόκτιστον, ἀμφοτέροις ἐπιτροπεύουσιν καὶ αὐτοῦ που κατὰ τὰ ἀνάκτορα διαιτωμένοις, διάφορά τις, ἣ καὶ καθοσίωσιν ἐπεκάλει καὶ λάθρα τα- P 105 χέως εἶχεν ὑπολαλούμενα αὐτῷ. ταύτην δὴ ὁ Μανουὴλ εὐλαβούμενος, καὶ τὸν φθόνον ἄμαχόν τινα καὶ δυσκαταγώνιστον ἐνορῶν, ᾠήθη δεῖν τοῦτον ἀκρωτηριάσαι καὶ καθελεῖν, εἰ μόνον γένοιτο πορρωτέρω τοῦ παλατίου. καὶ δὴ κάτεισιν εἰς τὸν οἶκον αὐτοῦ, κατὰ τὴν κινστέρναν τοῦ Ἄσπαρος ὄντα, ὃν εἰς σεμνείου τύπον ὕστερον ἐνηγάγετο καὶ τὸν χοῦν ἐκεῖσε κατέθετο. ἐκεῖθεν γοῦν ἑκάστοτε ἀφικνούμενος κοινωνὸς ἐγίνετο τῶν κατὰ τὰ ἀνάκτορα διοικήσεων. τοῦτον οὕτως οὐ δι' ἑαυτοῦ ἀλλὰ διὰ τοῦ Θεοκτίστου B ἀποσεισάμενος ὁ Βάρδας, ταὐτὸν δὲ εἰπεῖν καὶ ἀποφορτισάμενος, καὶ τὴν τύχην λαβὼν πρὸς τὸ ἑαυτοῦ σπουδαζόμενον κοινωνόν, ἐβουλεύετο καὶ αὐτὸς οὐκέτι δι' ἑτέρου δι' ἑαυτοῦ δὲ διανύσαι τὸ

2 δεῖ om P 17 ἀνηγάγετο?

(quarum etiam cuivis e vulgo in promptu facile copia sit), rationes scribamus. ubi autem liquido ea occurrerit, operae pretium lectoribus declarare ac palam facere, quod nusquam aliunde sed inde omnis eis utilitas captanda sit.

18. Ingenti Bardas imperandi desiderio flagrabat. erat in eo is amor, non pro aliorum more, qui modo inaugesceret, modo vero animi rationibus compesceretur ac tantisper interquiesceret, sed amor perdite amans atque impotens. imo, ut paulo altius sermonem repetamus, discordiarum aliquid Manueli cum Theoctisto intercesserat, qui ambo curatores erant inque aula degebant. ex ea Manuel maiestatis insimulatur; nec deerant qui cito illi in aurem insusurrarent. id Manuel criminis metuens, vimque invidiae insuperabilem nulloque facile conatu expugnandam videns, eam amputandam ac amoliendam putavit, si modo a palatio paulo longius recederet. se itaque domum recipit, quae ad Asparis cisternam posita erat; quam postea in religiosae domus formam redegit, ibique pulverem (corpusculum scilicet) deposuit. inde quotidie veniens iis intererat quae a tutoribus in palatio administrabantur. Bardas vero, qui non sua sed Theoctisti opera Manuelem sic aula submovisset et ut ita dicam, onus excussisset, arridente votisque favente fortuna, non iam alterius ope sed sua ipse opera cuncta conficere statuit,

πᾶν, καὶ τέως τὸν Θεόκτιστον καθελεῖν, ἵνα μὴ τῆς ἐπὶ τὰ πρόσω φορᾶς τοῦτον ἔχοι ἐμπόδιον καὶ ἅμα τὸν πολὺν ὄνειδον τὸν ἐπὶ τῇ νύμφῃ αὐτοῦ (καὶ γὰρ ὠνείδιζε τοῦτον διηνεκῶς) ἀπορραπίσοι καὶ πορρωτέρω ποιήσεται. (19) ὑπῆρχε γοῦν τῷ βασιλεῖ Μιχαὴλ παιδαγωγὸς ἀνάγωγός τε καὶ πόρρωθεν τρόπων τῶν εὐγενῶν. τοῦτον ἠξίου ὁ βασιλεὺς αὐτόν τε καὶ Θεόκτιστον καὶ τὴν μητέρα ἀνωτέρω τῶν βασιλικῶν ἀξιωμάτων ἀναγαγεῖν καὶ μείζονα τούτῳ C ἐπιβραβεῦσαι τιμήν. οὐκ ἐπείθετο γοῦν τούτῳ ὁ Θεόκτιστος, οὐδὲ ταῖς αὐτοῦ ἀρέσκειν ἀρεσκείαις ἠβούλετο, ἐπαξίως λέγων καὶ οὐκ ἀναξίως τὰ τῆς βασιλείας δεῖν διοικεῖν. τοῦτον ὄργανον τὸν παιδαγωγὸν ὁ Βάρδας λαβὼν πονηρὸν οὐκ ἐπαύετο ζιζάνιά τινα περὶ τοῦ ἀνδρὸς τῇ ἑαυτοῦ ἐνσπείρων καὶ τῇ τοῦ βασιλέως ψυχῇ, ἄλλα τε πολλὰ περὶ τῶν κοινῶν διοικήσεων λέγων, ὡς οὐ καλῶς οἰκονομοῦνται, καὶ ὅτι σοὶ καταλειφθείσης ὡς κληρονομίας τῆς βασιλείας πόρρω σου ταύτην οὗτος ποιεῖ, γάμον μητρί σου ἢ τῶν D ταύτης θυγατέρων μιᾷ ἐμμελετῶν, καὶ σοῦ τοῦ ταύτης υἱοῦ πόρρω πού ποιῆσαι τοὺς ὀφθαλμούς. ταῦτα γοῦν ὡς βέλη πήξας ἐν καρδίᾳ τοῦ βασιλέως διήγειρέ τε, καὶ ὅπως μὴ ταῦτα γένοιτο, συνετῆς ἔφασκε δεῖν καὶ ταχίστης βουλῆς. ὡς δὲ πολλάκις περὶ τούτου συνήρχοντο τοῦ πράγματος, μίαν ταύτην ἐκύρουν καὶ γνώμην ἀπέφαινον τοῦ ἐκ μέσου τὸν Θεόκτιστον ποιῆσαι δολοφονίᾳ τινὶ ἢ ὑπερορίᾳ. ἐδέδοκτο οὖν ταῦτα, καὶ πέρας ἔσπευδε τοῖς

20 ἐκύρουν γνώμην καὶ ἀπεφαίνοντο ἐκ?

atque interim Theoctistum, ne se is ab ulteriore progressu impediret, amovere, simulque ingens probrum ex nurus suae consuetudine (id enim ille continue ei exprobrabat) procul amoliri ac depellere. (19) nempe imperatori paedagogus erat, vir dissolutae vitae, et qui ab omni procul remotus esset morum ingenuitate. hunc Michael ex Barda et Theoctisto matreque maioribus in aula honoribus donari ac officiis poscebat. non parebat Theoctistus, nec ut illis eius votis morem gereret adduci se sinebat. aiebat enim, "quae sint imperii munera, ex meritorum ratione, non indignis esse conferenda." hunc ergo Bardas nequissimum nactus organum, zizania quaedam de Theoctisto in suo ipse imperatorisque animo seminandi nullum finem faciebat; aliaque complura praesenti rei publicae statui detrahebat. "non bene res administrari: relictum imperii heredem Michaelem Theoctisti opera a publicis longe muneribus arceri. nuptias cogitare cum Michaelis matre aut una filiarum; ipsum vero, qui filius sit, erutis oculis procul eiiciendum esse." his itaque velut spiculis alte imperatoris animo defixis eum proritabat, ac ne quid eiusmodi eveniret, prudenti promptissimoque consilio rem expediendam aiebat. saepius eam in rem cum convenissent, ea demum illis rata sententia, ac decretum est ut fraude aliqua doloque e medio tollendum Theoctistum aut certe exilio relegandum curarent. sic itaque visum consilio, urgebatque Bardas, ut quod ita animis sederat prompte exsequeretur.

P 106 βουληθεῖσιν ἐπάγειν· τὸ δὲ ἦν ἐν τῷ τοῦτον μέλλειν πρὸς τὸν Λαυσιακὸν ἐξέρχεσθαι μετὰ τὴν τῶν ἀναφορῶν διοίκησιν ἐπακολουθῆσαι μικρὸν τὸν βασιλέα, καὶ τοῦτο μόνον ἀνακραγεῖν τὸ "ἐπάρατε αὐτόν" τοῖς πραιποσίτοις. τότε ὁ Βάρδας ἐν τῷ Λαυσιακῷ συνεδρίαζεν. ὡς οὖν ὁ Θεόκτιστος προέκυπτεν ἐξιών, τὸ τοῦ Μιχαὴλ σύνθημα προτρέχον ἅμα καὶ προφθάνον τοῦτον ὁρῶν ἔγνω φυγῇ τὴν σωτηρίαν πραγματεύσασθαι. ἡ φυγὴ δὲ πρὸς τὸν ἱππόδρομον κατὰ τὰ ἀσηκρητεῖα· καὶ γὰρ ἐκεῖσε τότε τὸ τῶν ἀσηκρήτων ὑπῆρχε καταγώγιον. ἀλλ' ὑπὸ πολλῶν ὁ εἷς συλληφθεὶς B μένειν ἀλλ' οὐ φεύγειν κατηναγκάζετο· καὶ ξίφος ὁ Βάρδας γυμνώσας αὐτοχειρίᾳ τοὺς οἵτινες εἶεν διακωλύσοντες ἀμυνόμενος ἠπείλει, πρὸς τὸν φόνον τῶν ὑπὸ χεῖρα τινί. ἀλλὰ ψαῦσαι μὲν ἐτόλμησε τούτου τότε οὐδείς, ἀπήγετο δὲ πρὸς τὰ Σκῦλα, φρουρᾷ τέως παραδοθησόμενος, μέχρις ἂν τὰ κατ' αὐτοῦ ἀποφήναιντο. ὡς δ' οὐ ζῆν δέει τῆς Αὐγούστης αὐτὸν ἐβουλεύσαντο, ἵνα καὶ μὴ θᾶττον ἀπολυθῇ, τῶν καθ' ἑταιρείαν τινὰ ἐξαπέστειλαν γυμνὸν ἐπισείοντα ξίφος αὐτῷ. ὡς δ' οὖν εἶδε ξιφήρη τὸν ἄνθρωπον ἐπιόντα, κατὰ τοῦ σκάμνου οὗτος ὑπέδυ, τὰς λαβὰς βουλόμενος ἐκφυγεῖν· ἀλλ' ἔλαθε κατὰ γαστέρα πληγεὶς καὶ θανάτῳ C παραδοθείς, τῶν ἐγκάτων ἐκχυθέντων αὐτοῦ. ὅτε δὴ καὶ ὁ Μανουὴλ φοιβόληπτος ὥσπερ γενόμενος τῷ Βάρδᾳ καθαρῶς λέγεται ἀνειπεῖν

1 *βουλευθεῖσιν?* 12 *προστάττων τὸν* Combefis.

ea necis viro inferendae constituta ratio, ut Theoctistum referendi munere perfunctum, iisque quae aerarii erant expeditis ad Lausiacum exeuntem, brevi spatio imperator sequeretur; tumque his qui a sacro cubiculo sunt "tollendum hominem" inclamaret. considebat tunc Bardas in Lausiaco. Theoctistus vix pedem extulerat, cum Michaelis signum illud ipsi praeire ipsumque antecedere videns saluti fuga consulere conatur. fuga illi ad Circum, qua parte eorum qui erant A secretis, locus erat: tunc enim illorum ibi diversorium erat. verum unus a multis comprehensus gradum sistere cogitur ac fugam inhibere. Bardas stricto gladio ipse sua manu adacturum minatur, si quis opem ferre velit; simulque a quodam suorum satellitum eum interfici iussit. nemo tamen tunc ausus est ei manum iniicere. interim ad Scyla ducitur, sub custodia servandus, dum in illum sententia ferretur. cum tamen haud consultum putassent Augustae metu, ac ne citius liberaretur, ut diutius vivere eum paterentur, foederatorum cohortis unum aliquem mittunt, strictum ensem illi adacturum. ut autem sic stricto gladio invadentem Theoctistus advertit, ictus declinandi causa scamnum subiit. imprudens tamen, impacto in ilia gladio, effusis intestinis occubuit. tum quoque Manuelem velut numine actum sic clare Bardae denuntiasse ferunt,

"ξίφος γυμνώσας εἰς Θεοκτίστου φόνον,
ὅπλιζε σαυτὸν εἰς σφαγὴν καθ' ἡμέραν."

20. Ἀλλ' ὁ μὲν Θεόκτιστος οὕτω τὸ τοῦ βίου πέρας ἀπείληφεν, καὶ μετὰ τὴν αὐτοῦ σφαγὴν ὁ Βάρδας τὴν τοῦ κανικλείου φροντίδα καὶ τιμὴν εἰς ἑαυτὸν ἀνελάμβανεν· ἡ δὲ δὴ Θεοδώρα τούτων ὡς ᾔσθετο, λυσίκομος δὴ θέουσα, πολλὰ κατολοφυρομένη ἀνέκλαιεν καὶ ὀδυρμῶν τὰ βασίλεια ἐπλήρου, ἀραῖς ἀμφοτέρους καθυποβάλλουσα καὶ "ὦ ἀναιδεῖς καὶ παμμίαροι" λέγουσα "θῆρες, τί σὺ μέν, ἀχάριστον γέννημα, τὸν δεύτερόν σου πατέρα πονηρὰ D ἀντέδωκας ἀγαθῶν; καὶ σὺ βάσκανε δαῖμον καὶ πονηρέ," τὸν ἀδελφὸν ἐπιτραγῳδοῦσα, "τὴν ἐμὴν ἐμίανας ἀρχήν, καθαρὰν φυλαχθεῖσαν καὶ ἄχραντον; ἔστι θεὸς τῶν τολμωμένων ἔφορος, ὃς ἀμφοτέρους οὐκ ἀλλοίως ἀλλ' ὁμοίῳ θανάτῳ παραδώσει δήπου καὶ φονικῷ." καὶ ἅμα ἐπεθείασέ πως, τὰς χεῖρας πετάσασα, "ἴδοιμι ἐπιπεσοῦσαν, κύριε, ἴδοιμι τὴν τοῦ ἀνθρώπου τούτου ἐκδίκησιν." ταύτης οὖν ἔκτοτε τὰς πυκνὰς ἀρὰς μὴ φέροντες καὶ ὀνειδισμούς, καὶ ἅμα τὴν κατ' αὐτὸν ἐλαύνων ὁ Βάρδας ὁδόν, ἔγνωσαν καὶ ταύτην ἐκεῖθεν ἀπώσασθαι καὶ γυμνῇ χωρεῖν πρὸς ἅπαν αὐτοῖς τὸ δοκοῦν κεφαλῇ. ὅπερ ἐκείνη καταφωράσασα (καὶ P 107 γὰρ ἦν ἰδεῖν καὶ στοχάσασθαι δυνατὴ) ἀντιπράττειν οὐκ ᾤετο δεῖν, φόνους τῶν ἀνθρώπων καὶ ὁμοφύλων βλάβας ἐκφεύγουσα· τὸν δὲ τέως πλοῦτον, τὸν σήμερον ἐν τοῖς ἀνακτόροις ἀποθησαυριζόμενον, ἔγνω τῇ συγκλήτῳ ποιεῖν φανερόν, τὸν υἱόν τε τῆς

17 ἐλαύνας P

"semel ense districto in Theoctisti necem,
quotidianam porro accingere ad necem."

20. Verum hunc quidem Theoctistus vitae finem accepit, Bardas vero caniclii curam ac dignitatem in se transtulit. Theodora vero ubi immane illud scelus cognovit, passis comis discurrere, multoque eiulatu ac fletu aulam implere, filiumque et fratrem diris devovere. et "o immanes" aiebat "impurissimaeque bestiae? quid tu quidem, ingrata soboles, alteri parenti tuo bonorum mercedem mala rependisti? quid vero tu, invide daemon ac pessime (tragice in fratrem exaggerans), imperium meum, quod purum intemeratumque constiterat, polluisti? est deus huius tanti inspector sceleris, qui ambos non dissimili exitu, sed pari tandem neci tradet." simulque divino furore correpta, passis in caelum manibus, "videam, domine, videam in viri huius caput irruentem vindictam." eius itaque extunc crebras diras probraque non ferentes, ac cum simul Bardas occoeptam viam insequi vellet, eam quoque aula movendam statuere, nudoque (quod aiunt) capite quicquid libuisset patrare. quo illa deprehenso, ut erat mulier sagaci ingenio, haud rata resistendum, eo quod hominum caedes civiumque damna formidaret, congestarum hactenus in regia pecuniarum vim senatui exponendam du-

ἀφειδοῦς δαπάνης κωλύουσα καὶ τὴν ἑαυτῆς κηρύττουσα ἀρετήν. καὶ δὴ εἰς ἐπήκοον στᾶσα ἐξεβόησεν ὡς πρὸς τοῖς ἐνενήκοντα χίλια μὲν χρυσοῦ τῷ βασιλικῷ ταμιείῳ κεντηνάρια ἐναπόκεινται, ἀργυρίου δὲ ὡσεὶ τριῶν, καὶ τῶν μὲν εἶναι τὸν ταύτης ἄνδρα θησαυριστήν τε καὶ ποριστήν, τῶν δὲ αὐτὴν μὴ καταναλίσκειν φιλούσης καὶ κατασπαταλᾶν.

B 21. *Ἀλλὰ καίτοι τοσοῦτος ὁ βασιλικὸς ὢν θησαυρὸς εἰς οὐδὲν ἐχώρησε παντελῶς τῇ ἀπονοίᾳ τοῦ Μιχαὴλ καὶ ἀκαίρῳ φιλοτιμίᾳ. ταῖς γὰρ τῶν ἵππων ἁμίλλαις, εἴπερ τις ἕτερος, ἀγαλλόμενος, καὶ αὐτὸς ἐκεῖνος ἡνιοχεῖν (ὢ τῆς τότε ταπεινωθείσης τῶν Ῥωμαίων βασιλείας) οὐ παραιτούμενος, τῶν συμπαιζόντων αὐτῷ καὶ συνηνιοχούντων ἐκ τοῦ θείου βαπτίσματος τὰ τέκνα υἱοθετούμενος τὸν βασίλειον ἐξεκένου πλοῦτον, πεντήκοντα δὴ καὶ τεσσαράκοντα καὶ τὸ ἐλάχιστον ἑκάστῳ τριάκοντα χρυσίου λίτρας*
C *ἐπιχορηγῶν. ποτὲ δέ τινι πατρικίῳ (Ἱμέριος οὗτος ἐκαλεῖτο ὁ Χοῖρος, διὰ τὴν τοῦ προσώπου οὕτω κατονομαζόμενος ἀγριότητα) ἄλλως αἰσχρολογοῦντι κατὰ τὴν τράπεζαν καὶ ψόφον ἐκ τῆς βεβήλου αὐτοῦ γαστρὸς κατὰ πρόσωπον τοῦ βασιλέως καὶ τῶν συνδειπνούντων ἀφιέντι, ὡς καὶ τὸ φατλίον τὸ τούτους φωταγωγοῦν ἐκ τοῦ τηλικούτου ψόφου κατασβέσαι, τῷ παραδόξῳ τοῦ τοιούτου θαύματος χρυσίου λίτρας ἔδωκεν ἑκατόν. καὶ Χειλᾶ δὲ ἄλλοτε τοῦ σὺν αὐτῷ ἡνιοχοῦντος τὸν υἱὸν ἐκ τοῦ θείου λουτροῦ ἀναδεξάμενος ὁμοίως χρυσίου λίτρας δέδωκεν ἑκατόν. οὕτως ἐκεῖνος εἰς*

xit, ut et filii profusionibus obstaret et suam administrationem probaret. vocato ergo in concionem senatu, in omnium auribus sic clare stans dixit: "auri centenaria mille nonaginta, argenti ad tria milia, in aerario fiscoque regio reposita sunt. haec partim a marito, partim etiam a me post eius obitum (quae inanes sumptus oderim ac luxuriam) congesta partaque."

21. Quamvis autem tantae erant opes regiae ingentique adeo thesauro repositae ac cumulatae, Michaelis tamen dementia absurdisque et immodicis largitionibus in nihilum prorsus cessere. cum enim aurigationibus, si quis alius, delectaretur, nec equos ipse agere in Circo a se alienum putaret (o quam protrita tum abiectaque imperii dignitas!), eorum qui secum ludere ac ludicro hoc certare solebant, e sacro baptismate suscipiendis liberis fiscum exhauriebat; qui videlicet quinquaginta ac quadraginta trigintaque ut minimum auri libras in singulos eorum conferret. aliquando Himerio cuidam patricio (dictus hic Choerus, quod est "porcus," ab oris vultusque rusticitate), cum inter convivia turpibus verbis scurriliter luderet ac impudenter in faciem imperatoris coetusque convivantium ex impuro ventre suo pederet, ita ut ventris crepitu prolucentem ipsam facem exstinxerit, sic inauditae rei miraculo centum auri libras concessit. alias quoque Cheilae unius e sociis aurigis, suscepto quondam ex sacro baptismate filio, auri totidem libras

οὐδὲν δέον τὰ δημόσια κατανάλισκεν. ἐπεὶ δὲ ἐντὸς ὀλίγου καιροῦ D τὸν τοσοῦτον πλοῦτον ταῖς τοιαύταις σκηνικαῖς καὶ ἀθέσμοις κατανάλωσε πράξεσι, δεινὸς ἐραστὴς ὢν ἱπποδρομίας, ἦλθεν δὲ ὁ τῆς διανομῆς τῶν βασιλικῶν δωρεῶν καιρός, καὶ χρημάτων πόρος οὐκ ἦν δι' ὧν τὰ στρατεύματα φιλοτιμούμενα τὰς τῶν ἐχθρῶν παρατάξεις ἀμύνονται, τήν τε χρυσῆν ἐκείνην καὶ πολυθρύλητον πλάτανον καὶ τοὺς δύο χρυσοῦς λέοντας, πρὸς δὲ καὶ τοὺς δύο γρῦπας ὁλοχρύσους ὄντας καὶ σφυρηλάτους, καὶ τὸ ὁλόχρυσον ὄργανον, ἀλλὰ καὶ ἕτερα ἔργα τῆς βασιλικῆς ἐκθέσεως, ὁλκὴν ἔχοντα τῶν διακοσίων οὐκ ἔλαττον κεντηναρίων, χωνεύσας χαράξαι δέδωκεν ἐν τῷ βασιλικῷ ταμιείῳ. καὶ στολάς δέ τινας P 108 βασιλικὰς καὶ αὐγουστιακάς, ἀλλὰ καὶ τῆς συγκλήτου βουλῆς, τὰς μὲν ὁλοχρύσους τὰς δὲ χρυσοϋφάντους οὔσας ἐν τῷ εἰδικῷ, πρὸς τῷ τέλει, ἐκδέδωκεν ἐξαπορῶν, ὡς ἂν χαραχθῶσι. πλὴν οὐκ ἔφθασαν χωνευθῆναι, καὶ ἐκεῖνος μὲν ἐξ ἀνθρώπων ἐγένετο, ταύτας δὲ Βασίλειος ὁ ἀοίδιμος τὴν βασιλείαν λαβὼν καὶ καταλαβὼν ἔτι ἀλυμάντους ἀνεκαλέσατο, καὶ τὸ νῦν σενζάτον καλούμενον χαραχθῆναι ἐκελεύσατο, ἐκ τοσούτου πλούτου μηδὲν ἕτερον εὑρηκὼς ἢ χρυσίου κεντηνάρια τρία, μιλιαρίσια δὲ σακκία ἐννέα, ἃ καὶ δημοσιεύσας καὶ πᾶσι δῆλα ποιήσας ἀπωδύρετο τῆς συγκλή- B του ἐνώπιον τὴν ὅθεν ἔμελλε ποιήσεσθαι τῆς πολιτείας διοίκησιν.

18 ἐνεκελεύσατο?

tribuit: sic ille nulla fruge pecunias publicas insumebat. cumque brevi tempore scenicis illis ac nequissimis actibus tantas illas opes prodegisset, Circensium amator perditissimus, diesque regiis largitionibus constitutus appeteret, ac parandae pecuniae ratio deesset, quibus donati milites adversus hostium valide acies decertant remque tuentur Romanam, famosam illam auream platanum duosque aureos leones ac totidem gryphes, ipsos quoque ex auro solido ductiles, organumque auro solido fabrefactum, nec non reliquam regiae magnificentiae supellectilem, auri pondo non minus quam centenaria ducenta conflans, ex illis pecuniam fisco inferendam cudi praecepit. quin et regias quasdam tam imperatorum quam Augustarum vestes, adeoque etiam senatorias, alias ex auro solidas aliasque auro intextas, in regio aerario privato positas, penuria tandem pressus conflandas exposuit. quanquam illis necdum conflatis Michael e vivis exemptus est. inclitus autem Basilius, ipse imperio potitus, cum integras adhuc ac incolumes repperisset, ipsas recepit, ac quam nunc vocamus senzatum monetam cudi iussit, e tantis divitiis nihil inveniens praeter auri centenaria tria et miliarensium sacculos novem; quibus etiam in concionem allatis inque omnium oculis productis, deploravit coram senatu, unde tantis illis angustiis procuranda ipsi res publica foret.

22. Ἀλλὰ ταῦτα μὲν προϊόντος τοῦ χρόνου γεγόνασιν· τότε δὲ εἴθιστο Θεοδώρα κατὰ τὸν ἐν Βλαχέρναις θεῖον συχνῶς πως ἐπιφοιτᾶν ναόν, ὁμοῦ μὲν εὐχάς τινας ἀποδιδοῦσα θεῷ, ὁμοῦ δὲ καὶ τοῦ λουτροῦ μετέχουσα. ὡς γοῦν ὀψέ ποτε ἀφίκετο, τὸν Πετρωνᾶν ἀδελφὸν αὐτῆς ὄντα πέμψαντες ὁ Μιχαὴλ τε καὶ Βάρδας ἀποκείρουσί τε ταύτην μετὰ τὰς θυγατέρας ὁμοῦ, καὶ τοῖς κατὰ τὰ Καριανοῦ ἀνακτόροις τότε μὲν περιορίζουσιν· ὕστερον δὲ οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ δὶς ἀποστείλαντες εἰσεκόμισαν τὸν ἐνόντα C πλοῦτον αὐταῖς, καὶ κοινῶς πως καὶ ἰδιωτικῶς ἀλλ᾽ οὐ βασιλικῶς εἴασαν ζῆν. ἀλλ᾽ ἐκείνη μὲν μετ᾽ οὐ πολὺ τῶν τῇδε μεθίστατο, καὶ βασιλεὺς ὁ ἀοίδιμος Βασίλειος αὐτῆς τε τὸν νεκρὸν καὶ τὰς αὐτῆς θυγατέρας πρὸς τὸ τῆς μάμμης ἔπεμπε μοναστήριον ἐνδιαιτᾶσθαι, οὕτω τῶν Γαστρίων κατονομαζόμενον, καὶ ὁσίως ζῆν τε καὶ πολιτεύεσθαι. αὕτη μὲν οὕτως ἀπεβίω, ὄνομα τῷ υἱῷ, οὐχ ὡς ἐκεῖνοι, πονηρὸν ἀλλ᾽ ἀγαθὸν ἀπολιποῦσά τε καὶ σεμνόν. ἐδήλου δὲ καὶ ἡ πρὸ ταύτης βίβλος ὅθεν τε κἀκ τίνων ἐξέφυ καὶ D ὅπως ἦλθεν εἰς τὰ βασίλεια, καὶ τὰς αὐτῇ ὅσαι δὴ θυγατέρες ἐκ κοιλίας γεγέννηνται· δηλώσει δὲ αὕτη συγγένειαν αὐτῆς τὴν λοιπήν. ἦσαν οὖν οἱ δηλωθέντες ἄρρενες δύο ἀδελφοί, ὅ τε Πετρωνᾶς στρατηγὸς κατὰ τὸ Θρακήσιον καὶ πατρίκιος τηνικαῦτα, καὶ Βάρδας ὁ δηλωθείς, ὃς καὶ παρὰ Θεοφίλου εἴς τι τῶν οὐ δεόντων καταληφθείς, τῆς συνήθους προελεύσεως ἱσταμένης, κατὰ τὸ ὡρολόγιον ἐτύφθη μαγγλάβια ἑξήκοντα. ἀδελφαὶ δὲ

22. Verum haec postea contigerunt. tunc autem moris erat Theodorae, ut sacram Blachernensem aedem frequens adiret, tum ut vota quaedam deo redderet, tum vero etiam ut lavaret. cum itaque ex more quandoque eo se contulisset, Michael et Bardas misso Petrona illius fratre ipsam cum filiabus attonsam ad Cariani interim palatia relegant: postea vero non semel tantum sed et iterum missis ministris, illarumque fisco illata substantia, privatas, ac velut e vulgo feminas, non regio cultu vivere eas siverunt. verum haud multo post Theodora e vivis excessit. inclitus vero Basilius suscepto imperio, cum eius cadaver tum filias in aviae monasterium transtulit, quod Gastria vocant, ut illic morantes sanctae ac religiosae vitae institutis aetatem transigerent. sic quidem illa ex hac luce migravit, bonum nomen ac venerabile, non ut illi malum atque exosum, filio relinquens. ostendimus libro superiori undenam, et ex quibus Theodora orta parentibus, quomodo item in aulam venerit, quotque ex utero proles muliebris sexus fuderit: in hoc vero eius reliquum genus ac cognatos ostendemus. fuerunt itaque, quos diximus, duo masculi fratres, Petronas Thracensium dux ac tum patricius, Bardasque, de quo egimus. porro Petronas in quodam facinore a Theophilo deprehensus, cum consueta processio fieret, sexaginta verberibus ad horologium iussus est vapulare. sorores tres exstitere, quam

τρεῖς, ἥ τε εὐφήμῳ οὕτω καλουμένη ὀνόματι Καλομαρία καὶ Σο-
φία καὶ ἡ Εἰρήνη. ἀλλ᾽ ἡ μὲν Σοφία εἰς κοίτην ἐδίδοτο Κωνσταν-
τίνῳ τῷ κατὰ τὸν Βαβούτζικον, ἡ δὲ Καλομαρία Ἀρσαβὴρ τῷ P 109
τηνικαῦτα μὲν πατρικίῳ ἔπειτα δὲ καὶ μαγίστρῳ, [ἡ δὲ Εἰρήνη]
τῷ Εἰρήνης τῆς μητρὸς τοῦ μετὰ ταῦτα τὸν πατριαρχικὸν θρόνον
ἀντιλαβομένου Φωτίου ἀδελφῷ· μεθ᾽ οὗ καὶ δύο τεκνώσασα παῖ-
δας, Στέφανόν τε τὸν μάγιστρον καὶ Βάρδαν τὸν ἑαυτοῦ ἀδελφὸν
καὶ μάγιστρον, τὸν τοῦ πατρικίου Κωνσταντίνου καὶ στρατηγοῦ
Σικελίας, τὸν τοῦ Κοντομύτου γαμβρόν (ἐκεῖθεν γὰρ αὐτῷ καὶ
ἡ τοῦ Κοντομύτου ἐκληρώθη προσηγορία), τὴν συγγένειαν πρὸς
τὸν πατριάρχην ἔσωζε Φώτιον· ἐξάδελφοι γὰρ οἱ δύο μάγιστροι
οὗτοι τούτου ἐτύγχανον. αὕτη δὲ οὖν ἡ μήτηρ τῶν εἰρημένων,
ἐπεὶ τοῦ προτέρου ἀνδρὸς διὰ θανάτου ἡμάρτανεν, οὐχ εἵλετο B
καὶ δεύτερον ἰδεῖν μάτην ἀποβιοῦντα, ζῶσα δὲ χήρα καὶ τῇ ἑαυ-
τῆς συνοῦσα ἀδελφῇ κατὰ τὰ βασίλεια, αὐχμηρόν τινα καὶ τα-
πεινὴν ἐστολισμένη στολήν, ἔτι δὲ μὴν καὶ μέλαιναν, τὸν ὕπαρχον
ἀπολαμβάνουσα τῆς χειρός, οὐ μὴν δὲ καὶ τὸν τειχιώτην, ἀλλὰ
καὶ τὸν νούμερον συνεπαγομένη, κατὰ νουμηνίαν ἀπῄει βάδην τε
καὶ πεζῇ διὰ τῶν σχολῶν πρὸς τοὺς ἐν τοῖς δεσμωτηρίοις κατεχο-
μένους τῆς τε Χαλκῆς καὶ τοῦ Πραιτωρίου καὶ τῶν Νουμέρων,
τίνος τε χάριν ἀποκέκλεισται ἕνα ἐρωτῶσα καθ᾽ ἕνα καὶ διοικοῦσα
τοὺς μὲν δι᾽ ἑαυτῆς τοὺς δὲ διὰ τῆς πρὸς τὴν ἀδελφὴν ὑπομνή- C
σεως, ἑκάστῳ τῶν φρουρουμένων εὐλογίαν ἐπιχορηγοῦσα οὐ μι-
κρὰν καὶ ἐλεημοσύνην. καὶ τὰ μὲν κατὰ τὴν γυναικωνῖτιν οὕτω.

5 τὸν om P 9 τὸν τοῦ] τοῦ καὶ?

sic honorifico nomine Calomariam vocabant, et Sophia ac Irene. ex his Sophia nupsit Constantino Babutzico: Calomariam duxit Arsaber tum patricius ac deinde magister: [Irene autem] Irenes matris Photii (eius qui postea patriarcha fuit) fratri nupta fuit; ex quo etiam duobus susceptis filiis, Stephano magistro et Barda illius fratre atque magistro, qui Constantini patricii et Siciliae praetoris (qui et Contumites) gener fuit (hinc enim haec illi appellatio haesit), cum Photio patriarcha affinitatem servavit. ambo enim hi magistri illius nepotes ac consobrini fuere. horum mater, priore viro morte amisso, ut alterum quoque frustra morientem videret in animum inducere noluit. vivens itaque vidua et cum sorore in aula agens, squalida quadam atque humili induta veste, praefectum manu tenens, unaque assumpto tichiote ac cohortali duce, mensis cuiusque initio lento gradu pedesque per scholas ibat, ad eos qui vincti in Chalce et in praetorio atque Numeris tenerentur; singulosque causam carceris interrogans, ac tum sua ipsa opera tum suggestione ad sororem iis prospiciens, haud exiguam cuique benedictionem ac eleemosynam tribuebat. hactenus quae spectant ad feminas.

23. Ὁ δὲ Βάρδας ἦν ὅλος τὰ τῆς βασιλείας ἐπιτροπεύων καὶ διοικῶν, καὶ τῶν λοιπῶν διαφερόντως ὡς συγγενὴς τοῦ βασιλέως ἀγαπώμενος· ἔνθεν καὶ τὴν κουροπαλάτου, οἷον ἆθλον ἐπὶ τῇ ἀδελφῇ, τιμὴν ἀναδέχεται, καὶ κατὰ τῶν Ἰσμαηλιτῶν καὶ τοῦ Ἄμερ, ὥσπερ εἴρηται, ἀντιστρατεύονται μετὰ τοῦ Μιχαήλ, ἄρτι τελοῦντος αὐτοῦ εἰς ἄνδρας ἐξ ἀγενείων, δυνάμει πάσῃ τε καὶ χειρί. ὡς δ' οὖν τῆς τῶν ἐναντίων ἐπέβησαν γῆς, κατὰ πόλιν D Σαμόσατα λεγομένην, δυνάμει τε βρίθουσαν καὶ ἰσχύϊ, ἄγονται, καὶ ταύτην ἐπεχείρουν πολιορκεῖν. ἀλλ' ἐλελήθεισαν οὐ κατὰ Θεοδώρας αἴροντες χεῖρα, κατὰ δὲ πολυτρόπων ἀνδρῶν. ὡς μὲν γὰρ ἦν τρίτη τῆς ἐφεδρείας τούτοις ἡμέρα, ἡ πρώτη δὲ καὶ κυρία τῶν ἡμερῶν, ἔμελλον δὲ τὴν ἀναίμακτον μυσταγωγίαν ἐκπληροῦν ὡς ἂν τῶν ἁγίων μυστηρίων μετάσχοιεν, ἐξαίφνης, εἴτ' ἀφυλάκτως τελοῦντες αὐτά, εἴτε καὶ καταφρονητικῶς ἔχοντες πρὸς τὴν πόλιν δι' ἀπειρίαν ὡς μὴ πρὸς βασιλέα Ῥωμαίων ἆραι τολμῶντος χεῖρα τινός, κατὰ τὴν ὥραν ἐν ᾗ τῶν θείων ἔμελλον μετασχεῖν μυστηρίων, πάντοθεν μεθ' ὅπλων ἐκπεπηδηκότες τῆς πόλεως, P 110 οὐκ ἦν ἰδεῖν τὸν ὅστις Ῥωμαίων οὐκ ἐχρῆτο φυγῇ. ἔνθα καὶ ὁ Μιχαὴλ μόλις που τὸν ἵππον ἀναβὰς φεύγων καθωρᾶτο, ἀλλ' οὐ προπολεμῶν· οὕτω που μόγις ἐκσέσωστο, σκηνὰς αὐτὰς καὶ τὴν ὅση τούτοις θεραπεία προσῆν ἐκεῖ καταλελοιπώς. ἔνθα καὶ τὸν προμνημονευθέντα φασὶν ἀριστεῦσαι Καρβέαν τὸν τὴν Τεφρικὴν

23. Porro Bardas in procurando administrandoque imperio totus erat; ac velut qui imperatorem affinitate attingebat, prae reliquis illi carus ac dilectus erat. iccirco etiam velut in summotae sororis praemium curopalatae dignitate ornatur, unaque cum Michaele, qui efflorente iam lanugine annos viriles inibat, cum ingenti armorum apparatu ac exercitu adversus Ismaelitas et Amerem, ut supra dicebamus, proficiscitur. postquam itaque in hosticum progressi Samosata venerunt, urbem scilicet civium multitudine ac robore potentem, eius obsidionem aggrediuntur. nimirum non intellexerant non se adversus Theodoram levare manus, sed adversus vaferrimum hominum genus. tertia itaque obsidionis die, quae prima dierum ipsaque domina fuit, expleto iam fere incruento sacrificio,' ut sacris mysteriis impartirentur, repente (sive incaute illa peragebant, sive etiam rei bellicae imperitia urbem hostesque contemnebant, nullumque fore arbitrabantur qui levare manum adversus Romanum imperatorem auderet) ipsa hora qua mysteriis impartiendi erant, undique ex urbe armati irruentes tantum eis terrorem incusserunt, ut nemo impetum sustinere, nemo non fuga salutem expedire conspiceretur. ipse Michael vix in equum evadens fugientis specimen, non viri fortis eiusque qui prior in acie staret, dedit. sic aegre tandem servatus est, suis omnibus castrorumque impedimentis in hostium potestate relictis. illic Carbeae (cuius supra meminimus, qui et Tephrices con-

οἰκοδομησάμενον, καὶ πολὺν οὐ μόνον τοῦ χυδαίου φθόρον λαοῦ
κατεργάσασθαι, ἀλλὰ καὶ τῶν μεγάλων δὴ στρατηγῶν ζωγρείᾳ
λαβεῖν τόν τε τζαγγότουβον τὸν Ἀβεσαλὼμ καὶ Σηὼν τὸν παλατῖ-
νον, καὶ ἑτέρους ὑποστρατήγους καὶ τουρμάρχας ἄχρι τῶν ἑκα-
τόν. ἐτηροῦντο οὖν οἱ δηλωθέντες στρατηγοὶ μετὰ τὴν τοῦ πολέ-
μου παραδρομὴν ἐν τῇ φυλακῇ· καὶ δὴ χρήματα ἱκανὰ τῷ Καρ- B
βέᾳ ἐδίδοσαν, οἴκοθεν μεταπεμψάμενοι, τὴν αὐτῶν ἀπολύτρωσιν
ἐξαιτούμενοι. ὡς δ' ἔλαβεν ἐπὶ χεῖρας ὁ Καρβέας, ἠρώτα τὸν
Σηὼν εὐθὺς εἰ πρὸς ἀφροδίσια ἔχοι ἐρωτικῶς καὶ τὸ ἑαυτοῦ σῶμα
κίνησιν ἔχοι τὴν ἐμπαθῆ· ὡς δ' ἀπηγόρευσεν ὁ Σηὼν καὶ πάσχειν
τι τοιοῦτον ἀπέφησεν, ἠρώτα πάλιν τὰ ὅμοια τὸν Ἀβεσαλώμ.
ὁ δὲ τὴν αὐτοῦ φωράσας κακίαν καὶ μοχθηρίαν, εἴτε καὶ ἄλλως
ἀληθῶς, τοῦτό τε πάσχειν καὶ κίνησιν ὑπομένειν εἰπών, τούτῳ
μὲν "λυτροῦσαι" ἔφη "τῶν δεσμῶν," καὶ ἅμα ἀπέλυεν, τῷ δὲ C
Σηὼν "οὐ βούλεταί σε τὸ θεῖον λυθῆναι δὴ τῆς φρουρᾶς," καὶ
ἅμα ἐδίδου τούτῳ τὰ λύτρα τὰ δοθέντα αὐτῷ ὑπὲρ αὐτοῦ, καὶ τῇ
φρουρᾷ ἐγκατέκλειεν ἄχρις οὗ τὴν ψυχὴν ἀπεστάλαξεν.

24. Ἐπεὶ δὲ δεύτερος ἤδη χρόνος παρέδραμε καὶ μυριάδας ἤκουε τρεῖς κατὰ τῶν Ῥωμαίων ἐκστρατεύειν, τὴν ἧτταν αὖθις ὁ Μιχαὴλ ἀνακαλέσασθαι ἐπιθυμῶν, Θρᾷκάς τε καὶ Μακεδόνας μέχρι τῶν τεσσάρων συνηθροικὼς μυριάδων, ἐξῄει πρόθυμος κατ' αὐτοῦ. ὡς δὲ κατά τι χορτοφόρον πεδίον Κελάριον οὕτω λεγόμενον κατεσκήνητο, ἄρτι δὴ Ἄμερ αὐτῷ καταστρατηγῶν πορρω- D

ditor fuit) egregie aiunt virtutem enituisse, ut non solum gregarios multos atque obscuros interfecerit, verum magnos quoque duces ceperit, nempe Tzangotubum Abessalonem et Seonem Palatinum, aliosque legatos atque tribunos haud pauciores centum. servabantur ergo hi, quos dixi, duces in carcere transacto bello; ac quam Carbeas exegerat, ingentem vim auri domo advectam, redemptionis pretio persolverunt. Carbeas pretio accepto Seonem interrogat, "num venereorum amore afficiatur, motusque libidinosos in corpore sentiat?" negante illo, ac asserente "nihil se iis affici;" eadem iterum ex Abessalone percontatur. Abessalon autem comperta hominis nequitia ac dolo, sive etiam quod sic re ipsa afficeretur, "ita secum agi ac carnis motus molestos ferre" respondit. tum ei Carbeas "tu a vinculis liber esto," simulque dimisit; Seoni vero "certe non vult deus ut a carcere libereris," simulque restituto, quod acceperat, redemptionis pretio, donec efflavit animam in carcere eum tenuit.

24. Quia vero alter iam annus a superiori clade effluxerat, audiens Michael triginta milium in Romanam dicionem factam irruptionem, ac iterum accepta damna ex victoria cupiens resarcire, collectis ex Thracensibus ac Macedonibus quadraginta milibus alacer eis obviam venit. ubi autem ad locum quendam pascuis uberem Celarium dictum fixa tentoria essent, Amer iam infestis in eos signis procurrens, longius digres-

τέρω τῆς τετριμμένης ᾔει ὁδοῦ, πρὸς τὸ Χωνάριον ἐπισπεύδων.
ἐν δὲ τούτῳ ἐγγύτερόν τε γενόμενος καὶ χεῖρας δὴ προσβαλὼν καὶ
πόλεμον συνάψας νεανικὸν φεύγειν ἀλλ' οὐ μένειν τὸν βασιλέα
ἠνάγκαζεν. ἀλλὰ φεύγειν μὲν ἐπειρᾶτο, ἕως τὸν τῶν ἵππων ἀκμά-
ζειν δρόμον ἀλλ' οὐ διακόπτεσθαι ὑπελάμβανεν. καὶ δὴ σταθε-
ρᾶς τε μεσημβρίας ἐνούσης καὶ καύματος οὐκ ὀλίγου θάλποντος
ἐκ τῆς τοῦ ἡλίου φλογώσεως, κατά τινα ὀρεινὸν ἀναβαίνειν τόπον
βιάζονται, Ἀνζῆν οὕτω λεγόμενον, δυσπρόσοδόν τε καὶ τραχέσι
λίθοις οὐκ εὔοδον. ἐκεῖσε δὴ φεύγων ὁ βασιλεὺς ἐνηυλίζετο, καὶ
P 111 ἐκ ποδὸς ὁ Ἄμερ αὐτῷ ἐπακολουθῶν περικυκλοῖ, ὡς ἐν δικτύῳ
θέλων λαβεῖν. κἂν ἔλαβεν αὐτὸν δορυάλωτον, ἀλλ' ἡ τῶν βασι-
λικῶν ταγμάτων ἰσχὺς καρτερῶς ἀπομαχομένη καὶ τὸ τοῦ τόπου
ἀνεστηκός τε καὶ ὑπερέχον μικρόν τι τούτους διέσωσεν. ἔνθα καὶ
τὸν περὶ ψυχῆς αὐτῶν κίνδυνον ἀγωνιζομένων καὶ δεδιότων, βου-
λὴν ἠνάγκαζε τὸν Μανουὴλ λέγειν ὁ Μιχαὴλ τὴν ἀμφοτέρους δὴ
διασώσουσαν. ὁ δὲ τὰ δι' ὧν ἐστὶ φανερὸς ὁ βασιλεὺς ἀφελέσθαι
συμβουλευσάμενος, καὶ ἰδιωτικὸν ἀναλαβόμενον σχῆμα μετὰ λο-
γάδων ἀνδρῶν καὶ δυνάμει προεχόντων τὴν τῶν ἐχθρῶν ἔφη φά-
B λαγγα διαρρήξαντα ἔξω τούτων γενέσθαι περιφανῶς. ὡς δὲ καὶ
περὶ τοῦ παραμένοντος ὄχλου τε καὶ στρατοῦ δεύτερον ἐπυνθάνετο,
ὅπως δὴ σωθεῖεν, ὁ Μιχαήλ, "ἀλλὰ σὲ μὲν γένοιτο" φησίν,
"βασιλεῦ, σώζεσθαι ἀβλαβῆ, θεῷ δὲ μελήσει περὶ αὐτῶν· οὐ
γάρ ἐστιν ἐπ' ἴσης βασιλέα καὶ Ῥωμαίων τινὰ αἰχμάλωτον γενέ-
σθαι ἐχθροῖς." ἀλλαξάμενος οὖν τὴν ἐσθῆτα ὁ βασιλεὺς καὶ

sus ab strata publica, Chonarium tendebat. ibi consistens, acieque in pugnam directa, ac acri commisso praelio, imperatorem impressioni imparem ad fugam cogit. ac vero tamdiu ille fugae institit, quamdiu equorum vigere cursum et non intermittere ac lassescere existimavit. iam itaque media occupante die, exque solis ardoribus permolesto aestu, editum quendam locum Anzen nomine, accessu difficilem ac lapidibus asperum, coguntur ascendere. illic imperator ex fuga receptus stabulabatur; e vestigio autem secutus Amer, locum cingit, velut scilicet indagine imperatorem capturus. ac certe captivum cepisset, nisi Palatinae cohortes fortiter dimicando locique ipsa celsitudo et arduitas momenti aliquid ad salutem ei contulissent. agebatur periculum animae, cunctisque nimium conterritis cogit Michael Manuelem consilium edere, quo ambo praesens discrimen possint effugere. ergo auctor est imperatori, ut depositis regiis vestibus plebeioque ac vulgari amictu assumpto, cum lecta fortium virorum manu, perrupto fortiter hostium cuneo inde omnino evadat. cum vero etiam de turba ac militibus ibi relinquendis iterum ille percontaretur, quonam modo illorum quoque saluti consultum foret, infit Manuel "te utinam salvum recipi contingat, imperator: illorum autem deo cura erit. non enim paris aleae est imperatorem capi et unum quem e Romanorum castris." imperator itaque commutato habitu,

περὶ τὸν Μανουὴλ ὅλος γενόμενος ἔσπευδεν ἐπακολουθεῖν, τούτου μεθ' ἑτέρων διαρρηξάντων τὴν φάλαγγα. ἀλλ' ὅτε δὴ κατὰ τὸ δεινὸν ἐγένοντο καὶ παρατάξεως πλησίον που τῶν ἐχθρῶν, ἔρημος τῷ φόβῳ δυνάμεώς τε γενόμενος καὶ χειρῶν ἐναπομένειν ἠγάπα, ἀλλ' οὐ προτρέχειν αὐτοῦ. ὡς δ' ὁ Μανουὴλ τὴν φά- C
λαγγα διακόψας τε καὶ περισωθεὶς τὸν βασιλέα οὐκ εἶχεν ὁρᾶν, αὖθις τὴν κατόπιν ἔθει ὁδόν, τὸν ὑπὲρ αὐτοῦ κίνδυνον δεδιώς. ὡς δὲ πάλιν ἐγένοντο συμβολαὶ καὶ πολὺς φόβος συνέπιπτε τῶν Σαρακηνῶν, ἔγνω δὴ πορρωτέρω χωρήσειν ὁ Ἄμερ, νάματά τινα καὶ χορτάσματα ζητῶν, σημήνας τὸ ἀνακλητικόν· ὅτε καὶ τυχὼν ἀδείας ὁ Μιχαὴλ μόλις που ἐκεῖθεν διεσέσωστο ἀδεῶς, καὶ πρὸς τὴν βασιλεύουσαν ἐπανήρχετο.

25. Δεύτερος οὖν μόλις που παρῆλθε χρόνος, καὶ αὖθις ἐκστρατεύσας ὁ Ἄμερ σὺν τεσσαράκοντα χιλιάσι στρατοῦ ὁμοῦ μὲν τὴν Ἀρμενιακὴν ὁμοῦ δὲ καὶ τὴν πρὸς θάλασσαν Ἀμισὸν ἐξε- D
πόρθει τε καὶ κατεδουλαγώγει τῇ τοῦ κωλύοντος ἐρημίᾳ· ὅτε δὴ καὶ ταὐτὸν ἐκείνῳ τῷ ἄφρονι Ξέρξῃ λέγεται παθεῖν, καὶ κελεῦσαι ῥάβδοις τύπτειν τὴν θάλασσαν, ὅτι μὴ πορρωτέρω προκατεστόρεστο ἀλλ' ἐγγὺς αὐτὸν λεηλατοῦντα καταλαμβανομένη κεκώλυκεν. ἐφ' οἷς ἀσχάλλων ὁ Μιχαὴλ καὶ ἀδημονῶν ἐκέλευσε τὸν Πετρωνᾶν, ἀδελφὸν τῆς βασιλίσσης τυγχάνοντα καὶ τῶν Θρακησίων τὴν στρατηγίδα διέποντα, παντὶ σθένει συμπαραλαβόντα τὰς τῶν Ῥω-

8 φόνος?

totusque Manuelis lateri haerens, perrupto una cum sociis hostium cuneo sequi conatur. sub ipso vero rei discrimine, ac cum prope iam tentanda hostilis acies esset, prae formidine deficiente eum omni virtute ac manuum robore, remanere malebat quam Manueli praeire. Manuel perrupto agmine, ac cum ipse liberatus esset, nusquam conspecto imperatore, redit iterum, illius capitis periculum formidans. iterum vero facta congressione ac Saracenis oppido territis, visum Ameri paulo longius recedere, fluentaque ac pabula quaerentem receptui canere; quo tempore aegre tandem Michael sumpta audacia tuto evasit, et ad regiam urbem reversus est.

25. Alter vix annus transierat, rursusque egressus Amer cum quadraginta milibus, simul quidem Armeniacum tractum simulque maritimam Amisum depopulabatur ac diripiebat, eo quod militum praesidia deerant, quibus illis tuto satis prospectum esset. quo etiam tempore imitatum eum ferunt illud Xerxis insipientis animi facinus, ac iussisse mare virgis caedi, eo quod non longius porro constratum esset, sed e vicino praedas agentem a conatu prohiberet. haec graviter ferens Michael, aegroque inde animo, Theodorae fratrem Petronam, qui tum Thracensibus praeerat, omni conatu una assumptis Romanis legionibus adversus

μαίων δυνάμεις χωρῆσαί ποι κατ' αὐτοῦ καὶ μὴ παρορᾶν ἐπὶ P 112 πολὺ τὴν τῶν Ῥωμαίων καταληϊζόμενον γῆν. ὁ τοῦ Βάρδα τότε τῶν βασιλικῶν ταγμάτων τε καὶ σχολῶν ἦρχεν υἱός, παῖς ἔτι κομιδῇ περὶ δέκα ἢ ἐννέα ἔτη που ὤν· ὄνομα τούτῳ Ἀντίγονος. ὃ καὶ θαυμάζειν μοι ἔπεισιν, ὅπως ἀγχινοίας τε καὶ σοφίας, ὥς φασίν, ἀντιποιούμενος, ἑαυτῷ πάντα οἷον λαφύσσων καὶ προσαγόμενος, οὐχ ἑτέρῳ τὴν τοιαύτην ἐνεχείρει ἀρχὴν ἐν καιρῷ δεινῷ τε καὶ δυσχερεῖ. πλὴν ἐδίδου τὸ ταύτης προσωπεῖον τέως τῷ ἀδελφῷ. ὁ δ' ὡς τῶν βασιλικῶν ἤκουσε γραμμάτων πρὸς τὸν ἐχθρὸν αὐτὸν καθοπλιζόντων καὶ ἀνδραγαθεῖν παρακελευομένων, B ἀλλοιωθείς τε καὶ περὶ τῶν πραγμάτων τὴν ὅπως ἕξουσι καλῶς βουλευόμενος ἐν τῷ κατὰ τὴν Ἔφεσον Ἁγίῳ ὄρει προσήδρευεν, εἴτ' ἀπολεγόμενος εἴτε καὶ τῆς ἄνωθεν ἐπικουρίας δεόμενος. ἐκεῖσε γοῦν αὐτοῦ τὸ τέως ἐνδιαιτωμένου, φήμη τις ἄγγελος προτρέχουσα Ἰωάννην ἐκεῖνον μοναχόν τε καὶ περιβόητον, μακρὸν ὄντα τὸ εἶδος, ἀνυπόδετον τοὺς πόδας ἀεὶ καὶ κατὰ τὸ Λάτρος ἐνδιατρίβοντα, αὐτομολοῦντα διήγγειλεν. τοῦτον ἡσυχάζοντα καὶ τοῦ ἑαυτοῦ κελλίου μήποτε ἐξερχόμενον ὁ χρόνος ἐκεῖνος ἐθαύμαζεν. ὡς δ' οὖν περὶ τοῦ ἀνδρὸς ὁ πατρίκιος διακήκοεν ὡς ὅτι που πλησίον ἐστὶν ὀνάριον ἐποχούμενος, ἀπήντα θέων τὸν μοναχὸν καὶ τοὺς πόδας C αὐτοῦ κατελάμβανεν. ὁ δὲ μηδὲν μελλήσας "ἄπιθι" φησι "κατὰ τῶν Σαρακηνῶν τοῖς βασιλικοῖς πειθόμενος γράμμασιν, ἄπιθι· θεὸν γὰρ ἕξεις ῥυόμενόν σε καὶ προπορευόμενον, εἰ μόνον τὸν

eum proficisci iubet, nec ultra Romanam dicionem, quam sic hostis diriperet, despicere. Bardae tunc filius, praetorianorum ac scholarum dux erat, valde tum adolescens, novem aut decem circiter annorum, Antigonus nomine. quod et subit mirari, quomodo qui solertiae studere videretur ac prudens haberetur, sibi ipse omnia velut devorans ad seque trahens, non alteri eam praefecturam traderet, adeo praesertim molestis difficilibusque rei publicae temporibus. ceterum huius muneris personam interim fratri defert, et ut vicarias ipsi partes praestans domesticum ageret. auditis itaque ille imperialibus literis, quibus arma sumere adversus hostem iuberetur ac rem strenue agere, animo turbatus nutansque, atque ut bellum prospere gerere posset consilia agitans, in monte Sancto, qui Epheso adiacet, haerebat, sive despondens animum et quasi imperium detrectans, sive ut divinam opem imploraret. eo porro illic morante, rumor quidam praecurrens Ioannem illum monachum famaque celeberrimum, procera virum statura, nudis semper pedibus incedentem et in Latro domicilium habentem, ultro venire annuntiat. virum solitarium nec unquam cella exeuntem illa mirabatur aetas. audiens itaque de illo patricius, haud procul eum abesse asello invectum, festinus illi occurrit ac pedes eius complectitur. ad quem statim Ioannes "vade" inquit "contra Saracenos, imperialibus parens literis. vade: deum enim liberatorem tibique praeeuntem habebis, si modo omnis al-

αὐτῷ ἠγαπημένον Ἰωάννην ἀντ' ἄλλου τινὸς φυλακτηρίου ταῖς ἀσπίσι πάντων ἐγγεγραμμένον φέροις τρανῶς." καὶ ἅμα προσετίθει ὡς οὐκ ἄλλου τινὸς ἕνεκεν ἢ τούτου τὴν ἐνταῦθα πορείαν πεποίημαι. τούτου ταῖς εὐχαῖς καθοπλισθεὶς κατά τινα τόπον οὕτω λεγόμενον Πόσοντα, φυσικήν τινα ἀσφάλειαν διὰ πετρῶν ἔχοντα καὶ κρημνῶν, τὸν Ἄμερ καταλαμβάνει πανστρατιᾷ. τούτῳ καὶ ποταμὸς παραρρεῖ ἀπὸ τὸ ἀρκτῷον πρὸς τὸ μεσημβρινὸν ἐλαυνόμενος, [D] Λαλακάων ὀνομαζόμενος, καὶ λιβάδιον παράκειται Γῦριν ἀγροικικῇ φωνῇ καλούμενον. ἔγνω γοῦν ὁ Πετρωνᾶς ἐκεῖσε τοῦτον ἐναυλιζόμενον, καὶ πάντῃ ἔσπευδεν ἀδιεξόδευτόν τε καταστῆσαι καὶ ἄφυκτον. καὶ δὴ τοὺς μὲν τὸ ἀρκτῷον μέρος καθέξοντας στρατηγοὺς τῶν Ἀρμενιακῶν καὶ Βουκελλαρίων καὶ Κολωνείας καὶ Παφλαγονίας ἐπέστελλεν αὐθωρόν, τὸ δὲ μεσημβρινὸν τὸν Ἀνατολικῶν τὸν Ὀψικίου καὶ Καππαδοκίας στρατηγοὺς σὺν τοῖς Σελευκείας καὶ τοῦ Χαρσιανοῦ κλεισουράρχαις· αὐτὸς δὲ μετὰ τῶν βασιλικῶν τεσσάρων ταγμάτων καὶ τῶν Θρᾴκης καὶ Μακεδονίας [P 113] στρατηγῶν (καὶ γὰρ εἰρηνευόντων τῶν Βουλγάρων νόμος ἦν αὐτοῖς μετὰ τῶν Ἀνατολικῶν συγκινδυνεύειν καὶ συστρατεύειν) τὸ δυτικὸν μέρος κατείληφεν, ἔχων καὶ τὸ θέμα τῶν Θρακησίων μεθ' ἑαυτοῦ. ὡς γοῦν οὕτω πάντοθεν περιφρουρεῖσθαι καὶ ὡς θηρίον ἐναποκεκλεῖσθαι παρὰ Ῥωμαίων ὁ Ἄμερ ἀκήκοεν, ἔγνω δεῖν οἰωνίσασθαι, καί τινα τῶν αἰχμαλώτων μετακαλεσάμενος ἠρώτα τήν τε τοῦ τόπου προσηγορίαν καὶ τοῦ λιβαδίου τε καὶ τοῦ ποταμοῦ. ὡς δ' ὁ ἐρωτηθεὶς αἰχμάλωτος μικρὸν παραγραμμα-

terius amuleti loco, carissimum illi Ioannem in omnium scutis depictum palam gestaveris." adiecitque hanc unam nec aliam esse causam cur hoc iter susceperit. huius Petronas armatus precibus in loco quodam Poson nomine, ex rupibus petrisque praeruptis natura tutum, Amerem considentem invenit. hunc locum praeterfluit fluvius ab aquilone ad meridiem decurrens, nomine Lalacaon; pratumque adiacet, quod rustica voce incolae Gyrin dicunt. cognovit ergo Petronas illum ibi castra habere, nullamque non adhibet operam ut omnem illi exeundi ac salutem fuga expediendi viam praecludat. statim ergo Armeniacorum et bucellariorum, Coloniaeque ac Paphlagoniae duces mittit, qui ad Aquilonem positum latus teneant, duces autem Orientalium Obsiciique et Cappadociae cum Seleuciae et Charsiani clusurarum praefectis, qui latus Meridianum; ipse denique cum praetorianis quattuor cohortibus Thraciaeque ac Macedoniae ducibus (nam et lex erat ut Bulgaricis rebus pace compositis ipsi quoque Orientalibus bello socii accederent unaque pericula adirent) Occidentale occupat latus, secum etiam in armis Thracensium cohortem habens. ubi itaque Amer sic se undique vallatum ac ferae instar velut indagine cinctum a Romanis audivit, ad omina recurrendum putavit; accersitoque captivorum uno, ex eo interrogat loci nomen pratique et fluvii. captivus interrogatus paulum immutatis literis Ptoson-

B τίζων Πτώσοντα ἔφησεν ἀντὶ Πόσοντα, τὴν ἑαυτοῦ σημαίνειν πτῶσιν ὁ Ἄμερ διεσάφησεν, λαοῦ τε κάκωσιν παραφράζων τὸν ποταμόν, καὶ γυρισθῆναι δεινῶς αὐτοὺς παρὰ τῶν Ῥωμαίων ἐκ τῆς τοῦ λιβαδίου συνεμπτώσεως, ὅπερ ἐκαλεῖτο Γῦριν. "ἀλλ' ὅμως οὐκ ἀποκνητέον" φησίν, "ἀλλὰ διεγερτέον καὶ πρὸς τὸν αὔριον γενησόμενον πόλεμον ἀνδριστέον." καὶ ἅμα ὁπλίζεσθαι πάντας καὶ νεόσμηκτα δεικνύειν ὡς νεουργὰ τὰ ξίφη ἐκέλευσεν. ἐπεὶ δὲ ἡμέρα ἄρτι ἐξανατέλλουσα τὴν ὅπως περιγένηται τοὺς Ῥωμαίους ἀνοχὴν ἐπέφερεν, δεῖν ἔκρινε πρὸς μὲν τὸ ἀρκτῷον φυλάτ- C τοντας τὴν ἔξοδον αὐτῷ ἐκζητεῖν, ὡς δ' ἥ τε τοῦ τόπου κακία καὶ τῶν ἐκεῖσε ταχθέντων στρατηγῶν εὐανδρία ἀπήντα τοῦτον καὶ διεκώλυεν, ἐπὶ τὸ μεσημβρινὸν ὁρμᾶσθαι ἐξεβιάζετο. ὡς δὲ κἀκεῖθεν τὴν ὁμοίαν εὕρισκεν τῶν ἐναντίων παράταξιν, ἔγνω δεῖν ὑπὸ τοῦ τόπου ἐφελκόμενος (καὶ γὰρ ἦν λεῖος καὶ εὐπρόσιτος) τῶν λοιπῶν κατ' ἐκεῖνον μᾶλλον χωρεῖν, ᾗ καὶ τὸν Πετρωνᾶν ἑώρα κατασκηνούμενον καὶ φυλάττοντα. καὶ δὴ κρότῳ καὶ βοῇ κατὰ τῶν πολεμίων ἐφαλλόμενος οὐδ' ὅλως εἴκοντας τοὺς Ῥωμαίους ἐφεύρισκεν, ἀλλ' ἰσχυροτέρους καὶ αὐτὸν ἀνδρικῶς ἀντικρούοντας καὶ μᾶλλον ἀνθισταμένους νεανικῶς· διὸ καὶ μικρὸν D συσταλεὶς καὶ εἰς ἑαυτὸν αὖθις γενόμενος ἐπεβάρει πάλιν μετὰ δυνάμεως, ἐκπόρευσίν τινα καὶ κάθοδον ἑαυτῷ ποριζόμενος. ἀλλὰ καὶ αὖθις τούτῳ οὐκ ἐνδόντες ἀλλ' ὑπαντήσαντες καὶ ἀνα-

9 μὲν] τοὺς?

tem Posontis loco dixit. Amer ruinam sibi significare exposuit; fluvium quoque exercitus contritionem paraphrasi indicare sensit, direque eos vertendos a Romanis, ex prati incursu, quod Gyris vocaretur. haud tamen animum despondendum monet, sed robur excitandum inque crastinum fortiter pugna dimicandum; simulque omnes arma assumere, ac recens tersos gladios velut recens cusos ac fabrefactos iubet ostentare. quia vero illucens iam dies indutias aliquas vincendi Romanos videbatur offerre, tentandum putavit exitum, disiecta, qua parte aquilonare latus servabant, Romanorum acie. at ubi loci difficultas ducumque illic stationem habentium strenua opera conatum infregisset ac repressisset, ad meridianum latus impressionem facit. verum illic quoque pari adversariorum acie viam praecludente, statuit loci ipsa benignitate tractus (erat enim reliquis magis ad planitiem vergens accessuque facilior) illa potius parte irruere qua et Petronam videbat stationem habere. strepitu itaque ac clamore sublato in hostes irrumpens, ne minimum quidem cedentes, sed fortiores ipsumque strenue ex adverso comprimentes ac validiori manu resistentes, offendit. quamobrem etiam tantisper impetum cohibens, iterumque in se ipsum collectus, magna vi rursus impressionem facit, exitum aliquem inque plana descensum quaerens. ac ne tum quidem illi cedentes adversaque acie incurrentes ac retro cogentes, hinc

στρέψαντες τῷ συμπεφράχθαι, καὶ μέχρις τούτων τοῦτο ποιεῖν κατηνάγκασαν. ἐπεὶ δὲ πάντοθεν ἀναφανέντας καὶ ἄλλους ἄλλοθεν ἐκπηδῶντας τοὺς τὰ ἀρκτῷα καὶ μεσημβρινὰ μέρη κατοικοῦντας καθεώρακε, τότ' ἤδη τὴν σωτηρίαν ἀπογνοὺς καὶ τὰς φρένας ὥσπερ τινὶ κεραυνῷ βληθεὶς ἐχώρει κατὰ ξιφῶν, οὐδὲ προτέρων ἀμελῶν· ἔνθα καιρίαν πληγεὶς αὐτός τε πτῶμα γίνεται χαλεπόν, P 114 καὶ τῶν ἑαυτοῦ διασώζεται οὐδεὶς οὐδαμοῦ. ὡς δὲ τὸν τούτου υἱὸν μετά τινος φάλαγγος ἀποδρᾶναί που διήκουον, καὶ τοῦτον ὁ τοῦ Χαρσιανοῦ κλεισουράρχης καταλαβὼν οὐκ ἄποθεν χειροῦταί τε μετὰ τοῦ στρατεύματος καὶ τῷ στρατηγῷ φέρων δίδωσι Πετρωνᾷ. οὕτως μὲν οὖν ὁ Πετρωνᾶς τὰ κατὰ τοῦ Ἄμερ στήσας τρόπαια διὰ πολλῆς εἶχεν ἔκτοτε τὸν μοναχὸν αἰδοῦς καὶ τιμῆς, προφήτην ἄλλον ἀποκαλῶν. καὶ δὴ καὶ τὰ τῆς ψυχῆς τούτῳ ἀναθεὶς πρὸς τὴν βασιλεύουσαν εἰσελαύνει τοῦτον ἐπιφερόμενος, πρὸς τὸν βασιλέα καὶ τὸν Βάρδαν τὴν τοῦ ἀνδρὸς θειάζων καλῶς ἀρετήν. B καὶ [ἀλλ'] ὁ μὲν Πετρωνᾶς τὸ τοῦ δομεστίκου οὐκέτι προσωπεῖον καθυπεκρίνετο, ἀλλ' αὐτὴν ἐλάμβανεν ἐκ βασιλέως τιμήν· καὶ ὁ μοναχὸς τὴν πρὸς θεὸν ἐκδημίαν παρ' αὐτοῦ διδαχθεὶς τὸν Πετρωνᾶν ἀνεδίδασκεν ὡς διὰ ταχέων μέλλων ἀποδημεῖν. "καὶ ποῖ με δὴ" ὁ Πετρωνᾶς "ἀπαίρων τὸ σὸν ἀρνίον, ὁ ποιμήν μου καὶ ἐραστά, βούλει καταλιπεῖν;" μετὰ κλαυθμοῦ ἐπυνθάνετο. "ἆρα τούτῳ τῷ βίῳ; ἀλλὰ δέδοικα μὴ πρὸς τὸν πρότερον ὄλισθον αὖθις παραρρυῶ καὶ γένωνταί μοι τὰ ἔσχατα τῶν προτέρων οὐ κρείτ-

5 πρότερον?

inde obseptum eum tenendo, rem postmodum tentare vetuerunt. undique igitur exstantes acies videns, atque hinc illincque, qui ad aquilonem quique ad meridiale latus positi erant, irruentes conspiciens, desperata tum salute, ac velut fulmine ictus, in medios se enses primumque obvios inserit; ubi letali accepto vulnere cum ipse tristi fato cadit, tum suos omnes, ne uno quidem cladi superstite, perdit. eius filium cum cohorte quadam fugam arripuisse ubi rumor percrebuit, Charsiani clusurarum praefectus pone assecutus cum exercitu manu capit ac Petronae imperatori tradit. sic ergo Petronas erectis de Amere tropaeis, magna deinceps veneratione ac cultu monachum prosequebatur, alium eum divinum vatem vocans. atque adeo conscientia sua illi deposita, eum adducens, urbem Augustam petit, amplissimo apud imperatorem ac Bardam viri virtutem praeconio iure merito efferens. ceterum Petronas non iam ultra domestici personam simulacro gessit, sed regio munere ipse ea dignitate augetur. monachus cum se ad deum emigraturum divinitus cognovisset, Petronam rei admonet. ad quem ille lugens "ubinam vero" inquit "tu pastor meus ac amator oviculam tuam humanis excedens vis relinquere? num in hoc saeculo? at vereor ne in priora prorsus delicta diffluam, mihique posteriora nihil meliora prioribus

τονα.” “καὶ βούλει” φησὶν ὁ μοναχὸς “ἐμοὶ συνεπακολουθῆ- C σαι;” καὶ οὗτος “ναί, πάτερ” ἔφη, “μεθ’ ἡδονῆς.” καὶ δὴ νόσῳ καὶ οὗτος βληθεὶς ἅμα τῇ οἴκαδε ὑποστροφῇ ἐδήλου τὰ συμπίπτοντα τῷ ἀββᾷ, καὶ ἀντεδήλοῦτο φάναι ὡς μετ’ ἐμοῦ γενήσῃ μετὰ μικρόν, ὡς ᾐτήσω. καὶ δή τινων ἡμερῶν παρελθουσῶν ὁ μοναχός τε μετεκαλεῖτο πρὸς τὸν θεὸν καὶ οὗτος αὐθωρὸν ὡς ἐκ συνθήματος ἐπηκολούθει λαμπρῶς· καὶ τοσοῦτον ἦν κατὰ τὸν αὐτὸν καιρὸν ἀμφοτέρων ἡ ἐκεῖθεν ἀποδημία ὡς ἅτερος ἑτέρου, καίτοι γε μικροῦ τοῦ διαστήματος ὄντος, μὴ ἀκοῦσαι τὸν θάνατον. τοιούτῳ μὲν δὴ τέλει τοῦ βίου ὁ Πετρωνᾶς χρησάμενος λέ- D γεται, ἐτελεύτα δὲ καὶ πρὸ τούτου ὁ Μανουὴλ νόσῳ δή τινι κρατηθείς.

26. Μετέβαινε δὲ καὶ ὁ Βάρδας καὶ τὰς ἐκ βασιλέως ἤμειβε συνεχῶς τιμάς, ὥσπερ τις νέος γαῦρός τε καὶ φιλότιμος τὰς ποικίλας τῶν πρὸς τέρψιν στολάς. μετέβαινε γοῦν καὶ πρὸς τὴν Καίσαρος ἀνῄει δόξαν τε καὶ τιμήν, τοῦ Μιχαὴλ οὐ πρὸς ἕτερόν τι τῶν πολιτικῶν τοσοῦτον ἐπτοημένου ἢ θέατρα καὶ ἵππων ἁμιλλητήρια. καὶ τὸ δὴ χαλεπόν, οὐκ ἠγάπα μόνον θεατὴς εἶναι, εἴγε καὶ τοσοῦτον ἐσχόλαζεν, ἀλλὰ καὶ αὐτὸς ἡνιοχεῖν ὁ τῆς τῶν Ῥωμαίων βασιλείας, θέαμα τυγχάνων καὶ παίγνιον πᾶσι δὴ καὶ P 115 καταγέλως. οὕτως ὁ Βάρδας τοῦ ἀδελφιδοῦ ἐπετρόπευεν, καὶ οὐδὲ ζῆν, ὡς ἔοικεν, ἠθέλησεν, εἰ μὴ τοῦτον μεταπείσει τὸ ἀνδράποδον. πλὴν διῴκει τέως αὐτὸς τὰ πολιτικά, καὶ τῆς βασι-

fiant.” “num vero,” inquit monachus, “tibi animo sedet, ut me sequaris?” “ita, pater,” inquit, “lubentissime sequar.” morbo itaque et ipse correptus, statim ac domum rediisset, ea narrat quae abbati evenerant; vicissimque refert dixisse monachum “ipsum quoque,” uti petierat, “brevi morientem eum secuturum.” ac sane paucis elapsis diebus, cum monachus ad deum evocatur, tum statim Petronas velut ex condicto magnifice sequitur, ita nimirum ut quamvis brevi sic intervallo dissiti erant, ambobus simul emigrantibus, alter alterius mortis nuntium audire nequiverit. moritur vero et illo prior Manuel, morbo quodam detentus.

26. Sed et Bardas nullo fixus munere alias ex aliis continue dignitates profusa principis largitate mutabat, haud secus ac iuvenis quidam ac ambitiosus vario ad luxuriam cultu mutat vestes. mutata itaque functione ad Caesaris dignitatem gloriamque ascendit, cum Michael nulla alia rei publicae cura teneretur quam ut theatris ludisque Circensibus vacaret. quodque adeo gravius, non solum illis lubens spectaculis intererat tantamque operam navabat, sed et ipse Romani arcem imperii tenens equos agebat, cunctisque se ridiculum ac spernendum praebebat. ita Bardas Nepotis curatorem agebat; cui nec vita, ut par est, in votis esse debuisset, nisi a servili vitae hoc instituto illum avocaret. interim tamen negotia publica administrabat, ac sibi ipse imperium animo desti-

λείας κατεστοχάζετο ὡς αὐτὴν εὐκαίρως περιληψόμενος. ἀλλὰ ταῦτα μὲν εἰς τὸ μέλλον ἐταμιεύετο· τότε δὲ τῆς ἔξω σοφίας ἐπιμεληθεὶς (καὶ γὰρ ἦν τῷ τοσούτῳ χρόνῳ παραρρυεῖσα καὶ πρὸς τὸ μηδὲν ὅλως κεχωρηκυῖα τῇ τῶν κρατησάντων ἀγροικίᾳ καὶ ἀμαθίᾳ) καὶ διατριβὰς τῶν μαθηματικῶν κατὰ Μαγναύραν ποιήσας αὖθις ἀκμάζειν καὶ ἀνηβᾶν ταύτην ἐσπούδαζέ τε καὶ πε- B
φιλοτίμητο. καὶ τοῦτο τῶν ἔργων αὐτοῦ κάλλιστόν τε καὶ περιβόητον ὂν οὐκ ἴσχυσέ πως τὰς ἐνούσας ἄλλως κῆρας αὐτῷ ἀπονίψασθαι. ἦρχε δὲ καὶ τῆς τοιαύτης σχολῆς τὴν μὲν φιλοσοφίαν ἐξηγούμενος Λέων ἐκεῖνος ὁ μέγας τε καὶ φιλόσοφος, ὃς κατὰ συγγένειαν μὲν τοῦ ἐξαδέλφου τῷ πατριάρχῃ Ἰαννῇ ᾠκείωτο, τὸν θρόνον δὲ τῆς Θεσσαλονίκης κατέχων, ἐπειδὴ νῦν ἐκ καθαιρέσεως ἐσχόλαζεν, εἰς ταύτην προεβιβάζετο τὴν σχολήν, τὴν ἀμαθίαν πόρρω ποι ἀπελαύνων καὶ ἀποτρεπόμενος.

27. Ἄξιον δὲ μηδ' ὅπως εἰς γνῶσιν ἦλθεν ὁ τηλικοῦτος C
ἀνὴρ τῷ τότε κρατοῦντι παραδραμεῖν. Θεόφιλος δὲ ἦν, ὁ τοῦ Μιχαὴλ σπορεὺς καὶ πατήρ. οὗτος οὖν ἐπεὶ τὴν τῶν μαθημάτων εἰς ἄκρον ἐπιστήμην ἐξήσκησεν, τοσοῦτον χωρήσας διὰ πασῶν, τῆς φιλοσοφίας καὶ τῶν αὐτῆς ἀδελφῶν, ἀριθμητικῆς τέ φημι καὶ γεωμετρίας καὶ ἀστρονομίας, ἀλλὰ καὶ τῆς πολυθρυλήτου μουσικῆς, καὶ εἰς ἄκρον αὐτῶν ἐλάσας ὡς οὐδεμιᾶς ἕτερος σπουδῇ τε πολλῇ καὶ βίῳ ἀπράγμονι καὶ μεγέθει φύσεως, εὐτελεῖ D
τινὶ καταλύματι χρώμενος καὶ καταγωγίῳ τοὺς εἰς αὐτὸν φοιτῶν-

nabat, cuius quandoque sibi ipse compos fore videretur. ceterum haec quidem in futurum illi reposita: interim vero saecularis ac profanae sapientiae cura suscepta, cum iam plura lustra humaniores literae imperatorum barbarie ac inscitia obsolevissent ac prope exstinctae essent, mathematicarum disciplinarum scholis ad Magnauram constitutis, magnifice rursus florere ac velut repubescere eam fecit. nec tamen hoc Bardae facinus, quanquam summam praeferret honestatem gloriaque celeberrimum esset, eius noxas reliquas eluere valuit. praeerat huic scholae ac doctor philosophiae erat magnus ille ac philosophus Leo, sanguinis quidem prosapia Iannis patriarchae patruelis, gradu vero Thessalonicensis quondam episcopus. tunc autem cessare iussus atque amotus, quod iconomachorum haeresis cultor erat, huic negotio praepositus opera sua ac industria inscitiam procul abigebat atque fugabat.

27. Operae pretium autem videatur, ut et noverimus qua ratione vir tantus in eius qui tum rerum potiebatur notitiam venerit. erat is Theophilus Michaelis pater. hic ergo cum disciplinarum omnem scientiam perfecte excoluisset, sicque omnium disciplinarum, philosophiae eiusque germanarum (arithmeticae scilicet et geometriae, nec non astronomiae, quin et celebratissimae musicae) perfectionem nactus esset, tantumque in illis omnibus unus ipse profecisset quantum ne in una quidem quispiam alius, diligenti in eam opera, solitudinis tranquillo,

τὰς ἐπαίδευεν, ἐκδιδάσκων ἥντινα ἐπιστήμην καὶ βούλοιντο. ὡς δ' ἤδη χρόνος παρίππασεν καὶ τῶν μαθητῶν οὐκ ὀλίγοι κατὰ τὰς ἐπιστήμας προέκοπτον, συνέβη τινὰ νεανίαν τῶν ἑαυτοῦ φοιτητῶν, τῆς γεωμετρικῆς ἐπιστήμης ἄρτι τὸ πέρας κατειληφότα, ὑπογραφέα γενέσθαι τινὸς στρατηγίδα τάξιν διέποντος, καὶ προκοπῆς ἕνεκεν τοῦ βίου ἀγαπῆσαι τούτῳ ἀκολουθεῖν. ὡς δὲ κατὰ τὸν πόλεμον ἅμα τούτῳ ἐγένετο, ὑπὸ τῶν Ἀγαρηνῶν, οὐκ οἶδ' ὅπως, ζωγρεῖται καὶ τῶν ἐπιφανῶν τινὶ εἰς δουλείαν διὰ τὸ νέον τῆς
P 116 ἡλικίας δίδοται. Μαμοῦν ἐκεῖνος οὕτω καλούμενος τηνικαῦτα μὲν τῶν Ἰσμαηλιτῶν ἐτέλει ἀμεραμνουνῆς, ἄλλοις τε μαθήμασι σχολάζων Ἑλληνικοῖς καὶ δὴ καὶ γεωμετρίας ὡς ἐπὶ τὸ πλεῖστον οὐκ ἀμελῶν. λόγου δέ ποτε παρὰ τοῦ τὸν νεανίαν ἔχοντος δεσπότου κινηθέντος περὶ τῆς σπουδῆς ἀμεραμνουνῆ καὶ τῆς τῶν μαθημάτων ἐπιμελείας, ὡς δὴ καὶ περὶ τῆς γεωμετρίας ἔλεγεν, ἀκοῦσαι τούτου εἶπεν ὁ νεανίας ἐπιθυμεῖν καὶ τῶν αὐτοῦ διδασκάλων, ὡς καὶ αὐτοῦ τινὰ ἔχοντος ἐπιστήμην γεωμετρικήν. ὡς οὖν ἀνέμαθεν ὁ ἀμεραμνουνῆς, μετὰ περιχαρείας εἰσκαλεῖται πολλῆς, καὶ τὸν αἰχμάλωτον ἐπυνθάνετο εἰ γνῶσιν τῆς τοιαύτης
B κέκτηται ἐπιστήμης. καὶ ἐπεὶ τὴν συγκατάθεσιν ἐποιήσατο, ἔτι μὲν ἀπιστίαν πρὸς τοὺς ἐκείνου λόγους ὁ βάρβαρος κεκτημένος οὐκ ἔλεγεν ἑτέρους εἶναι ὑπὸ τὸν οὐρανὸν τῶν ἐκείνου διδασκάλων ἐκτός. ὡς δ' ὁ νεανίας ἔλεγεν τούτων διακοῦσαι ἐπιθυμεῖν καὶ

5 στρατηγίδος P 13 σπουδῆς τοῦ ἀμ.? 21 ἀπὸ τῶν οὐρανῶν P

ingenii dexteritate, in vili quodam tuguriolo discipulos erudiebat; et, quam quisque mallet scientiam docebat. cum autem longum iam tempus transisset multique eo doctore non paenitendos progressus fecissent, contigit ut eius discipulorum iuvenis quidam, summam per eum nactus geometriae peritiam, uni ducum a secretis, rei per eum familiaris compendium facturus, ad bellum proficiscenti se ultro comitem daret; dumque illic versatur, nescio quo casu in Agarenorum potestatem veniret, ac quod viridi florentique iuventa erat, illustrium uni servus dederetur. Mamum nomine tunc Ismaelitarum ameramnunes cum Graecanicis aliis disciplinis operam dabat, tum praecipue geometriae deditus erat. accidit autem ut eius, de quo diximus, iuvenis herus de ameramnunis in disciplinis diligentia sermonem domi haberet; cumque et geometriae meminisset, "eum" ait iuvenis "eiusque lubens magistros, quippe ipse geometriae non omnino rudis, audirem." id vero ut audivit ameramnunes, ingenti gaudio ad se adolescentem accersit, quaeritque ex illo "num eiusmodi scientiae cognitione aliqua praeditus sit." ait ille; necdum tamen barbarus ut dictis fidem accommodet in animum inducit, neminem geometriae gnarum arbitratus praeter magistros suos, qui in aula agerent. dicente illo "libenter se auditurum eorumque doctrinam explora-

τῆς αὐτῶν διδασκαλίας, εὐθὺς οὗτοι παραστάντες ἀπήρχοντο ταύτης, καὶ διεχάραττον τὰ τρίγωνά τε καὶ τετράγωνα σχήματα, καὶ τοὺς Εὐκλείδου κανόνας προσέφερον, καὶ τὸ μὲν ὅτι ἐδίδασκον ἀνδρικῶς καὶ ἐπιστημονικῶς, τοῦτο λέγοντες τοιαύτην ἔχοι τὴν κλῆσιν καὶ τοιαύτην τὸ ἕτερον, αἰτίαν δὲ καὶ λόγον, καὶ διότι οὕτως τε ἔστιν καὶ κλῆσιν ἔχοι, κατάλληλον ἀπεδίδοσαν οὐδαμῶς, ἀμάθειαν καὶ ἄγνοιαν, ἀλλ' οὐ στενότητα γλώττης πως ἔχοντες. C
ὡς οὖν τούτους γαυρουμένους ἑώρα καὶ μέγα φρονοῦντας ἐπὶ τῇ τῶν σχημάτων ὁ νεανίας καταγραφῇ, "τί" φησίν "ὦ οὗτοι, ἐπὶ παντὸς λόγου καὶ πράγματος τῆς αἰτίας τὸ κράτος ἐχούσης καὶ τοῦ διότι, ὑμεῖς τὴν ὕπαρξιν μόνον λέγοντες τοὺς τούτων παρατρέχετε λόγους ὡς οὐκ ἀναγκαίους; καὶ εἰς ταὐτὸν τὸν διδασκόμενον ἄγετε ὅπου καὶ τὸν μηδὲν παιδευόμενον μηδέ τι περὶ τούτων διαγινώσκοντα;" τῶν δὲ διαπορησάντων καὶ τὰς αἰτίας τούτων διευκρινεῖν καὶ διδάσκειν παρακελευομένων, ἐπεὶ διερμηνεύοντα καὶ σαφῶς λέγοντα ταύτας διήκουον, ὡς τοῦτο μὲν διὰ τόδε καὶ τοῦτο διὰ τόδε τὴν εἰρημένην ἔχει κλῆσίν τε καὶ γραφήν, D
καὶ ἅμα αὐτῶν ὁ νοῦς διηνοίγετο καὶ τῶν λεγομένων συνίεσαν, θάμβει λοιπὸν συσχεθέντες ἠρώτων ὁπόσους τὸ Βυζάντιον τοιούτους τρέφει ἄνδρας ἐπιστήμονας. ὡς δὲ πολλοὺς οὗτος ἔλεγεν καὶ ἑαυτὸν τῷ τῶν μαθητιώντων χορῷ ἀλλ' οὐ τῶν διδασκόντων κατέλεγεν, περὶ τοῦ διδασκάλου τοῦτον αὖθις ἐπανηρώτων, οὐ ζῶσιν ἔτι ἠρίθμηται καὶ ὑπεράνω πέφυκε γῆς. ὁ δὲ "ἔστι τε".

4 ἔχει? 11 τοῦ] τὸ P 22 οὐ] εἰ?

turum," illi statim adstantes geometrica auspicantur, figurasque triangulas et quadrangulas describunt, atque Euclidis canones afferunt; factumque, ac sic se rem habere, strenue ac erudite docent, sic nimirum istud vocari, hoc illius esse nomen: causam vero et rationem adscripti nominis, ac cur se res ita habeat, nullam illius momenti afferentes, meram suam inscitiam ac ignorantiam, sola linguae angustia pro eius verbositate non pressi, prodebant. tum iuvenis elato animo ventosos ob eam figurarum descriptionem videns, "cum in omni doctrina" inquit "ac negotio rei causa eiusque assignata ratio primas teneat, cur vos, res solummodo esse dicendo, quasi nullius frugis rationes omittitis, inque eandem classem eum qui doctus sit et eruditus, ac qui earum rerum ignarus, redigitis?" haesitantibus illis, et ut ipse causas distincte ederet atque doceret rogantibus, ubi exponentem ac perspicue dicentem audiere, "istud nimirum in causa esse cur hoc istud sortitum sit nomen, hocque illud, hancque adeo delineationem;" eoque loquente eorum animus aperiebatur, sermonemque intellexerunt; porro hominem admirari ac cum stupore percontari, "quotos Byzantium viros eius generis sicque eruditos aleret?" respondente illo "longe plurimos, ac se ex discipulorum, non ex magistrorum numero esse," rursus de doctore quaerunt,

ἔφησεν "ὑπὲρ γῆς," καὶ τὴν αὐτοῦ ἀρετὴν ἐξεθείασεν, ἀκτήμονα
βίον διάγειν λέγων αὐτὸν καὶ τοῖς πολλοῖς ἄγνωστον, ἐπὶ σοφίᾳ
P 117 διαλάμποντα. γράμματα γοῦν εὐθὺς ὁ Μαμοῦν πρὸς ἐκεῖνον δια-
χαράττει, τόνδε τὸν νοῦν περιέχοντα, "ὡς ἐκ τοῦ καρποῦ τὸ δέν-
δρον ἐπέγνωμεν, ἐκ τοῦ μαθητοῦ τὸν διδάσκαλον. ἐπεὶ γοῦν τόσος
ὢν περὶ τὴν ἐπιστήμην τῶν ὄντων δι' ἀρετὴν καὶ γνώσεως βάθος
ἄγνωστος εἶ τοῖς σοῖς συμπολίταις καὶ τῆς σοφίας καὶ γνώσεως
οὔπω τοὺς καρποὺς ἀπείληφας, ὅτι μηδὲ τιμῆς ἠξίωσαι παρ' αὐ-
τῶν, μὴ ἀπαξιώσῃς ἐλθεῖν πρὸς ἡμᾶς καὶ τῆς σῆς διδασκαλίας
μεταδοῦναι ἡμῖν. εἰ γὰρ οὕτω τοῦτο γένηται, τοὺς αὐχένας σοι
κλινεῖ γένος ἅπαν τὸ τῶν Σαρακηνῶν, καὶ πλούτου καὶ δωρεῶν
ἀξιωθήσῃ, ὧν οὐδεὶς πώποτε ἀνθρώπων ἠξίωται." ἐπιδοὺς οὖν
B τὰ γράμματα τῷ νεανίᾳ, καὶ δώροις αὐτὸν φιλοφρονησάμενος,
τὸν διδάσκαλον καταλαμβάνειν ἐκέλευσεν, καὶ τιμὰς εὐθὺς ὑπ-
ισχνεῖτο καὶ δωρεὰς καὶ αὖθις, εἰ βούλοιτο, τὴν εἰς οἶκον ἐπάνο-
δον, μόνον εἰ τοῦτον πείσειε τὴν τῶν Ῥωμαίων καταλιπεῖν γῆν.
ὡς τὴν βασιλεύουσαν ἔφθασε καὶ τοῦ διδασκάλου πρὸς πρόσωπον
ἕστηκεν, ἡ τούτου θέα ἀναφλέξασά τε καὶ οἷον θερμαίνουσα ὀλο-
φύρεσθαι κατηνάγκαζε, καὶ δάκρυσιν οὐ παρειὰς μόνον ἀλλὰ καὶ
τράχηλον καὶ στέρνα διάβροχα ἐμποιεῖν. καὶ τὸ πρῶτον ἀφασία
τῶν δρωμένων τὸν διδάσκαλον κατελάμβανεν, τίς τε εἴη οὐκ εἰδώς,
C καὶ ὅτου ταῦτα ἕνεκεν διαπράττοιτο· ἥ τε γὰρ τούτου μορφὴ ἀλ-

17 τὴν] γῆν P

"num adhuc vivat ac superstes sit." respondet vero "omnino superstitem esse," virique magnifice virtutem laudat, dicens inopem vitam agere, ac vulgo ignotum sapientia clarere. statim ergo Mamum ad hunc literas in hanc sententiam scribit. "ex fructu arborem, ex discipulo magistrum agnovimus. ergo tu, qui tanta rerum praeditus scientia ob virtutem ac scientiae altitudinem civibus tuis ignotus es, necdumque sapientiae ac scientiae fructus percepisti (quippe nullum ab eis honorem consecutus), ne dedigneris venire ad nos, tua nos doctrina impartiturus. hoc si feceris, tibi cervicem gens omnis Saracenorum inclinans tanta munerum ac divitiarum vi cumulabit, quanta nemini unquam hominum obtigit." his ergo literis adolescenti traditis, eoque liberaliter donato, ad magistrum iubet proficisci; rursusque honores ac munera pollicetur; ac si velit, etiam facultatem facturum redeundi in patriam, si modo Leoni, ut ad eos transeat Romano relicto orbe, suaserit. ubi itaque in urbem regiam venit, ac coram magistro adstitit, eius incensus aspectu, velutque calore exaestuans, in gemitus cogitur, nec solum genas sed et collum et renes rigat lacrimis. ac primum quidem rerum incertus magister haerere, cum nec quis ille esset exploratum haberet, nec sciret cuius gratia haec agerentur. adolescentis enim longiore mora

λοιωθεῖσα τῷ χρόνῳ καὶ τῇ τῆς αἰχμαλωσίας κακουχίᾳ ἀλλοῖον τὸν νεανίαν ἀλλ' οὐκ ἐκεῖνον εἶναι τὸν γνωριζόμενον ἀνεδίδασκεν. ὡς δὲ τὴν τούτου γνῶσιν κατὰ μικρὸν ἐδίδου, ὄνομα καὶ μαθήματα ἐπειπών, καὶ προσετίθει τὰ τῆς αἰχμαλωσίας καὶ τὴν αἰτίαν τῆς ἀπολυτρώσεώς τε καὶ ἀφίξεως, καὶ ἅμα εἰς χεῖρας ἐδίδου δὴ τὴν γραφήν, τότε δὴ κοινῇ τὴν τραγῳδίαν ἐπλήρουν καὶ θρηνῳδίαν. πλὴν οὐκ ἀκίνδυνον εἶναι λογισάμενος τὴν ἐκ τῶν ἐχθρῶν γραφήν, εἴ γέ ποτε κατάφωρος γένοιτο, τῷ λογοθέτῃ πρόσεισι (Θεόκτιστος οὗτος ἦν ὁ παρανάλωμα τῷ Βάρδᾳ γενόμενος) καὶ διηγεῖτο τὰ τοῦ αἰχμαλώτου πάντα καὶ μαθητοῦ, καὶ ἅμα δίδωσιν τὴν τοῦ ἀμεραμνουνῆ γραφήν. αὕτη ἡ αἰτία τῆς τοῦδε τοῦ D ἀνδρὸς πρὸς τὸν βασιλέα γνώσεώς τε καὶ οἰκείωσις. οὗτος ὁ μαθητὴς καὶ τοῦτο τὸ γράμμα τήν τε τοῦ Λέοντος σοφίαν ἐν ὑπαίθρῳ γενέσθαι ἐν γωνίᾳ τέως οὖσαν ἐποίησεν καὶ τῆς εὐτελείας ἐκείνης καὶ πενίας ἔξω παρήγαγεν. τό τε γὰρ γράμμα ἐμφανίζει τῷ Θεοφίλῳ ὁ λογοθέτης, καὶ προσκαλεῖται τοῦτον αὐτός, καὶ πλουτίζεται καὶ ἐν τῷ τῶν ἁγίων μ' ναῷ διδάσκειν δημοσίᾳ παρὰ τοῦ βασιλέως ἐπείγεται. οὐ πολὺς γοῦν χρόνος, καὶ ἐπεὶ διέγνω ὁ Μαμοῦν μὴ βούλεσθαι τὸν φιλόσοφον τῆς οἰκείας τὴν ἀλλοτρίαν ἀλλάξασθαι, διὰ γραφῆς ἐκτίθησιν ἀπορίας γεωμετρικῶν τε καὶ ἀστρολογικῶν ζητημάτων καί τινων ἑτέρων δυσδιαγνώστων κεφα- P 118 λαίων, καὶ τὴν λύσιν τούτων κομίσασθαι ἀξιοῖ. ὡς δ' οὖν ἕκαστον προσηκόντως ἡρμήνευσεν ὁ Λέων καὶ τὰς τούτων λύσεις ἐξέθετο, προσεφήρμοσέ τε τούτοις καί τινα προγνώσεως ἐκπλήξεως

24 τινας προγνώσεις?

immutata species, malisque captivitatis detrita, alium existimari praebebat quam qui notus erat. at ubi paulatim sui notitiam fecit, nomenque ac disciplinas edidit, et captivitatem adiecit, causamque redemptionis ac cur venerit, simulque literas in manus dedit, tunc sane communi ambo luctu planctuque soluti sunt. cum tamen Leo haud sibi tutum intelligeret, si quando ab hoste clanculum literas accepisse deprehenderetur, ad logothetam accedit (Theoctistus is erat, cui Bardas necem conscivit) ac captivi verba omnia et discipuli exponit, simulque ameramnunis literas tradit. sicque virum imperatori innotescere contigit, inque illius necessariorum numerum cooptari. hic discipulus ac epistola, quae hactenus in angulo delituerat, Leonis sapientiam in apertum produxit, adiectaque illa eum per egestatem vitae sorte exemit. logotheta namque Theophilo literas ostendit; quem ille accersitum ditat, publiceque doctorem in sanctorum quadraginta martyrum sacra aede praeficit. ubi non multis exactis diebus, intelligens Mamum haud ex animo Leoni esse ut natali solo relicto se ad eum conferret, geometricas quasdam ac astronomicas aliarumque scientiarum difficiles quaestiones solertia mentis solvendas ac exponendas mittit. Leo ubi rite singulas interpretatus esset ac uniuscuiusque solutionem edidisset, quaedam etiam admirationis

ἕνεκα, τότε δὴ μεγάλως ἐπὶ χεῖρας λαβόντα αὐτὰ τὸν ἀμεραμνουνῆ τρωθῆναι δὴ τῷ τούτου πόθῳ, καὶ μέγα ἀνακραγεῖν, τὸν ἄνδρα τῆς φιλοσοφίας καὶ τῶν μαθημάτων ὑπεραγάμενος. ὅθεν εὐθὺς οὐ πρὸς ἐκεῖνον πρὸς δὲ τὸν Θεόφιλον ἐπιστολὴν πέμπει, τὸν νοῦν τοῦτον ἐμπεριέχουσαν, ὡς ἐβουλόμην μὲν αὐτὸς ἀφικέσθαι σοι, ἔργον φίλου τε καὶ μαθητοῦ ἐκπληρῶν· ἐπεὶ δὲ ἥ τε προσανα-
B κειμένη μοι ἀρχὴ ἐκ θεοῦ καὶ ὁ πολὺς ὑπὸ τὴν χεῖρά μου τελῶν καὶ ἐξουσίαν λαὸς τοῦτο οὐ συγχωρεῖ, ἀξιῶ τὸν ὃν ἔχεις ἐπὶ φιλοσοφίᾳ καὶ ταῖς ἄλλαις ἐπιστήμαις περιβόητον ἄνδρα βραχύν τινα χρόνον ἐπαποστεῖλαι, καὶ συγγενέσθαι μοι τοῦτον πεῖσαι, τρόπῳ διδασκαλίας τῆς αὐτοῦ ἐπιστήμης μεταδιδόντα καὶ ἀρετῆς τῷ οὕτως ἔχοντι ἐμοὶ πρὸς ἐκείνας ἐρωτικῶς. πάντως δὲ οὐκ ἀναβολή τις γενήσεται ὅτι τε τῶν οὐχ ὁμογλώσσων ἐγὼ καὶ ὅτι τῆς πίστεως ἀλλότριος· ἀλλ' ὅτι μᾶλλον τοιοῦτος ὁ ἀξιῶν, πέρας ἡ αἴτησις λήψεται παρὰ φίλοις ἐπιεικέσι τε καὶ χρηστοῖς. χάρις δέ σοι κα-
C ταβληθήσεται ὑπὲρ τούτου χρυσίου μὲν εἴκοσι κεντηνάρια, εἰρήνη δὲ καὶ σπονδαὶ ἀΐδιοί τε καὶ ἀτελεύτητοι. τοσούτοις μὲν ἐκεῖνος τὴν αὐτοῦ ἐξωνεῖτο παρουσίαν καὶ ἄφιξιν· ἀλλ' ὁ Θεόφιλος ἀνταποκρίνας καὶ ἄλογον τὸ οἰκεῖον δοῦναι ἑτέροις καλὸν καὶ τὴν τῶν ὄντων γνῶσιν ἔκδοτον ποιῆσαι τοῖς ἔθνεσι, δι' ἧς τὸ τῶν Ῥωμαίων γένος θαυμάζεταί τε καὶ τιμᾶται παρὰ πᾶσιν, ἐκείνῳ μὲν οὐκ ἐπένευσε, τοῦτον δὲ διὰ τιμῆς πλείονος σχὼν τὸν Ἰωάννην τοῦ

16 ἑκατὸν margo Combef. 19 τῶν om P

causa futura praedicendi signa adiecit. tunc ameramnunes acceptis in manus literis maiorem in modum viri desiderio animo affici altumque vocem tollere, eius philosophiae ac disciplinarum defixus admiratione. mox ergo non ad Leonem sed ad ipsum imperatorem literas scribit, hunc fere continentes sensum. "statueram, quod est amici discipulique officium, ipse ad te venire: sed cum creditum mihi a deo imperium tantaque haec subiectae plebis multitudo id non permittant, rogo ut quem virum philosophia aliisque disciplinis longe celebrem habes, ad breve tempus mittas ac mecum versari iubeas, ut me sua ille doctrina ac virtute, quarum tanto amore flagro, impertiat. neque ob religionis gentisque diversitatem praestare rem differas: sed magis quod talis est qui rogat, finem facile vota habebunt inter probos ac mites amicos. pro hoc autem munere auri centenaria viginti reddemus, pacemque ac foedus perenne componemus." tantis ille redimendam viri praesentiam putavit, et quod is illi utendum praeberet. at Theophilus dato responso, nec consentaneum ratus bonum proprium aliis tradere, rerumque scientiam gentibus prodere, cuius causa Romanum genus ubique gentium admirationem habet honorique ducitur, eius minime votis annuit: Leonem vero maiori porro in honore lubens, Ioanni patriarchalem tum sedem

πατριαρχικοῦ τότε θρόνου ἀντιποιούμενον κατὰ τὴν Θεσσαλονικέων μητρόπολιν, καὶ ὡς πλήρη σοφίας ὄντα καὶ ὡς οἰκειούμενον τούτῳ κατὰ συγγένειαν, χειροτονεῖν ἐγκελεύεται. (28) ὃς ἐπεὶ D μετὰ τὴν χειροτονίαν κατὰ τὴν Θεσσαλονίκην ἐγένετο, εἶχε μὲν ἅπαντας τὴν αὐτοῦ εὐλαβουμένους τε καὶ τιμῶντας ἀρετήν, εἶχε δὲ μᾶλλον τιμῶντας τοῦτον λαμπρότερον ἔκ τινος αἰτίας ἣν ὁ λόγος δηλοῖ. περὶ τὰς τῶν καρπῶν γονὰς στεῖρά πως τοσοῦτον ὡρᾶτο ἡ γῆ καὶ ἄτεκνος κατ᾽ ἐκεῖνο καιροῦ ὡς καὶ θάνατον κατεπείγεσθαι. οὓς ἰδὼν τῷ τῆς συμπαθείας οἴκτῳ βληθεὶς μήτ᾽ ἀθυμεῖν παρῄνει μήτε μὴν συμφοραῖς ἐπαπόλλυσθαι, εἴγε δὴ βούλοιντο τῆς τοῦ θεοῦ ἐπικουρίας καὶ αὐτοῦ γε τυχεῖν. περί τινα γοῦν καιρόν, ὃν ἐκ τῆς ἀστρολογικῆς ἐδιδάσκετο ἀστέρων τινῶν ἐπιτολαῖς τε καὶ φάσεσιν ἀπόρροιάν τινα καὶ συμπάθειαν τοῖς περιγείοις P 119 προσγίνεσθαι, τὰ σπέρματα τῇ γῇ κατεβάλλετο καὶ ὑπὸ κόλπους ταύτης ἐδίδου, ὧν τοσαύτην γενέσθαι συνέβη εὐφορίαν τε καὶ εὐκαρπίαν, ἐπεὶ τὸ ἔαρ ἀνέτελλεν καὶ ὁ τοῦ θέρους ἐφεστήκει καιρός, ὡς πολλοὺς ἐπαρκέσαι χρόνους αὐτοῖς καὶ εἰς τὸ ἑξῆς, πάντως οὕτω τοῦ θεοῦ τὸν ἄμητον πολύχουν ἐνεγκαμένου ταῖς τῶν ἀναγκαζομένων λιτανείαις ἐπιδόντος καὶ ἱκετείαις, ἀλλ᾽ οὐ τῇ ἐκείνου περὶ τὰ τοιαῦτα ματαιοπονίᾳ. τοῦτο γοῦν τὴν ἐπὶ πλέον τῶν Θεσσαλονικέων ηὔξησε πρὸς τὸν ἄνδρα στοργὴν καὶ τὸ φίλτρον αὐτῶν διήγειρεν, ὡς εἰκός. (29) θαυμαζόντων δὲ πολλῶν B

administranti iubet ut eum Thessalonicensem metropolitam ordinet, virum scilicet sapientia ornatum, et qui sanguinis necessitudine ipsum contingeret. (28) ubi sacerdotio initiatus Leo Thessalonicam venit, omnium in se civium animos, ipsum pro virtute venerantium ac colentium, convertit. accidit vero etiam aliquid quod eam eius venerationem ac cultum magnificentius auxit. eo tempore tanta fuit terrae sterilitas omniumque frugum penuria, ut et mors iam immineret. visa autem Leo civium tanta miseria, miserantis animi affectu saucius, hortatur maestitiam ponere nec calamitatibus immori, si modo divinam opem consequi velint atque eius quoque auxilio iuvari. ad certum itaque tempus, quo ex astrologia didicerat ab stellarum quarundam exortu conspectuque benigniores quasdam e caelo influentias in haec inferiora demitti, sementem facere iubet inque terrae sinum iacere; quo facto tanta fertilitas frugumque ubertas appetente vere messisque tempore contigit ut in multos deinceps annos collecta annona suffecerit, ita plane deo uberem illam messem conferente, cum se facilem miserorum supplicationibus ac votis praebuisset, non quasi inanis illa astrologi observatio, tantae illius benignitatis causa exstiterit. ea tamen res Thessalonicensium erga Leonem amoris vim ac flammam, uti par est, maiorem in modum excitavit auxitque. (29) porro plerisque eius sapientiam mi-

περὶ τῆς αὐτοῦ σοφίας, καὶ ὅπως εἰς ἄκρον ἔφθασε πασῶν τῶν ἐπιστημῶν, λέγεται πρός τινα τῶν ἑαυτοῦ συνήθων φάναι "ὡς τὴν μὲν γραμματικὴν καὶ ποιητικὴν κατὰ τὴν Κωνσταντινούπολιν διατρίβων κατώρθωσεν, ῥητορικὴν δὲ καὶ φιλοσοφίαν καὶ ἀριθμῶν ἀναλήψεις κατὰ τὴν νῆσον Ἄνδρον γενόμενος· ἐκεῖσε γάρ τινι σοφῷ ἀνδρὶ ἐντυχὼν καὶ τὰς ἀρχὰς μόνον καί τινας λόγους παρ' αὐτοῦ λαβών, ἐπεὶ μὴ ὅσον ἐβούλετο εὕρισκεν, τῇ χέρσῳ ταύτης περινοστῶν καὶ μοναστήρια καταλαμβάνων καὶ τὰς ἀποκειμένας C *βίβλους ἀνερευνῶν τε καὶ ποριζόμενος, καὶ πρὸς τὰς κορυφὰς τῶν ὀρέων σπουδαιότερον ταύτας ἐμμελετῶν, πρὸς τὸ τῆς γνώσεως οὕτως ὕψος ἀνεβιβάζετο, ὅτε δὴ καὶ κόρον σχὼν τῶν μαθημάτων πρὸς τὴν βασιλεύουσαν αὖθις ὑπέστρεψεν, τὰ σπέρματα τῶν ἐπιστημῶν ταῖς τῶν βουλομένων διανοίαις καταβαλλόμενος." ἀλλὰ ταῦτα μὲν πρότερον· καὶ νῦν δὲ ἐπεὶ μετὰ τρεῖς χρόνους (τοσοῦτος δὲ ὁ τῆς τοῦ θρόνου ἀντιλήψεως χρόνος) ἐκ τῆς καθαιρέσεως αὖθις ἐσχόλαζεν, τῆς κατὰ τὴν Μαγναύραν μὲν οὗτος ἦρχε φιλοσόφου σχολῆς, ὁ δὲ δὴ τούτου φοιτητὴς Θεόδωρος τοῦ τῆς γεωμετρίας διαιτητηρίου προΐστατο, καὶ Θεοδήγιος τοῦ τῆς* D *ἀστρονομίας, καὶ Κομητᾶς τῆς τὰς φωνὰς ἐξελληνιζούσης γραμματικῆς· οἷς ὁ Βάρδας καὶ δαψιλῶς ἐπαρκῶν καὶ ἐκ φιλομαθίας πολλάκις ἐπιφοιτῶν καὶ τῶν διδασκομένων τὰς φύσεις ἐπιρρωννύς, ἐντὸς τοῦ καθήκοντος χρόνου ὥσπερ πτερὰ τοῖς λόγοις διδοὺς πτεροφυεῖν ἐποίει καὶ προβαίνειν εἰς τοὔμπροσθεν.*

rantibus, ac qua ille ratione ad omnium scientiarum apicem evaserit rogantibus, dixisse ferunt ad quendam sibi familiarem "grammaticam quidem ac poesin Cpoli morantem se didicisse, rhetoricam vero et philosophiam nec non arithmeticam in Andro insula versantem. illic enim cum docto quodam viro consuetudinem habuisse, ab eoque principiis duntaxat ac praeceptis quibusdam rationibusque imbutum, nec quantam desideraverat nactum eruditionis vim, vicinam continentem pervagando monasteriaque adeundo, atque in illis exstantes libros scrutando sibique comparando atque in montium iugis acri diligentia evolvendo et in eis meditando, ad tantae doctrinae fastigium evasisse. tumque abunde disciplinis expletum in urbem regiam rursus venisse, eorumque animis qui ipsius uti opera vellent scientiarum semina inspersisse." verum haec prius: modo autem, post tres annos (tot enim fluxerant ab arrepto sacerdotio) iterum cessare iussus ac gradu motus philosophiae scholam ad Magnauram regendam susceperat: Theodorus vero eius discipulus geometriae ludo praesidebat, Theodegius astronomiae, Cometas linguae Graecae grammaticae. iis Bardas dum large sumptus suppeditat, ac quo scientiarum desiderio accensus videbatur, saepe ipse quoque scholas frequentans discipulorumque animos confirmans, intra iusti temporis moras velut alas doctrinis addidit, eisque plumescendi (ut sic dicam) ac profectus maximi compendium fecit.

30. *Καὶ τοῖς τοῦ ἱπποδρόμου δὲ συνεχῶς ὁ Βάρδας ἑαυτὸν ἐδίδου κριτηρίοις, καὶ ἐραστὴς νομίζεσθαι ταύτης τῆς γνώμης φιλοτιμούμενος. ἔτυχε δ᾽ ἂν παρὰ πολλοῖς, τοῦ χρόνου τὰ γεγονότα καλύψαντος· ἀλλὰ πάλιν τὰ τῆς ἐκκλησίας κυκήσας τε καὶ* P 120 *ἀναταράξας, καὶ ἀντὶ γαλήνης φιλονεικίας αὐτῇ καὶ κακώσεων [καὶ] ὀλεθρίων αἴτιος γεγονώς, εἰκότως οὐ τὴν κρείττω δόξαν ἀλλὰ τὴν ἐναντίαν ἠνέγκατο. ἄρτι γὰρ τὸν βίον Μεθοδίου μετηλλαχότος, τέσσαρας μόνους χρόνους τὸν τῆς Κωνσταντινουπόλεως θρόνον κεκρατηκότος, Ἰγνάτιον μοναχὸν ὄντα καὶ τῆς μονῆς ἡγούμενον τοῦ Σατύρου, τὸν Νικηφόρου μὲν τοῦ βασιλέως ἔκγονον, υἱὸν δὲ Μιχαήλ, τὸν ἐπ᾽ εὐλαβείᾳ καὶ ἀρετῇ παντοίᾳ μαρτυρηθέντα πρὸς τὸν τῆς πατριαρχίας θρόνον ἀναβιβάζουσι καὶ τῆς οἰκουμένης τοὺς οἴακας ἐμπιστεύουσιν. οὗτος οὖν μετά τινας χρόνους τὸν Βάρδαν ἐπὶ τῇ τοῦ οἰκείου γυναίου ἀλόγως καὶ ἀναιτίως ἀποβολῇ τῆς αὐτοῦ δὲ νύμφης περιπλοκῇ τῆς ἐκκλησίας ἀπείργων,* B *ἐπεὶ μὴ τῶν θείων κανόνων ἠμέλει, τὴν ἣν ἐκείνῳ ἐδίδου ποινὴν τῆς ἐκκλησίας ἀποπεμπόμενος, ταύτην εἰσπράττεται παρ᾽ αὐτοῦ. καὶ ἵνα τὸν λιμὸν καὶ τὴν δίψαν παρῶ καὶ τὰς ἐπὶ γῆς τοῦ ἀνδρὸς ἐκτάσεις τε καὶ ῥαβδισμοὺς καὶ τὰς καθ᾽ ὅλον τὸ σῶμα ὠμοτάτας πληγάς, ἓν τοῦτο μόνον ἐγὼ εἰπὼν ἐπὶ τὰ συνεχῆ βαδιοῦμαι τῆς ἱστορίας.* (31) *παρεδίδου τὸν Ἰγνάτιον ὁ Βάρδας φρουρᾷ, καὶ φρουρᾷ ἀπηνεῖ τε καὶ χαλεπῇ· ἡ δὲ ἦν ἐν τῷ τῶν ἱερῶν ἀποστό-* C *λων τεμένει, οὐκ ἐν τῷ δὴ μεγάλῳ τε καὶ σεμνῷ, ἀλλ᾽ ἔνθα οἱ*

30. Idem Bardas in iudiciis in Circo agitari solitis assiduus erat, animique iuris aequique tenacis laudem ambiens vulgo utique adeptus esset, tempore obscurante ea quae illi iam iniqua patrata erant: quia tamen iterum res ecclesiae miscuit ac turbavit, rixaeque ei et malorum ac exitii auctor exstitit, pro tranquillitate, qua fruebatur, hinc merito non gloriam sed probrum labemque reportavit. etenim Methodio, ubi annos solummodo quattuor sedem Cpolitanam rexerat, ex humanis sublato, Ignatium monachum ac monasterii Satyri tum praepositum, Nicephori imperatoris ex filia nepotem ac Michaelis filium, virum scilicet omni pietatis atque virtutis laude clarum, qui rerum potiebantur ad patriarchalem sedem provehunt, eique orbis gubernacula concredunt. hic itaque post annos aliquot, dum Bardam Caesarem, quod nulla legitima causa aut crimine repudiata uxore cum nuru sua commiscebatur, neglecti canonum iuris non indiligens vindex et ultor, ecclesia arcet; quamque illi poenam indixerat, eiiciendo ab ecclesia, eandem ab eo vicissim sustinuit. atque ut famem sitimque praeteream, humique distento corpore verbera ac saevissimas membris omnibus plagas taceam, ubi unum hoc tantummodo dixero, occeptam historiae seriem repetam. (31) traditur a Barda Ignatius carceri, idque immani funestissimoque. fuit ille in sanctorum apostolorum delubro, non in magna ac venerabili apostolorum

τάφοι καὶ λέγονται καὶ εἰσίν. ἐκεῖσε δὴ ἐναποκλείσαντες ἔν τινι
τοῦτον τάφῳ τοῦ Κοπρωνύμου, ἐν κρυμῷ καὶ παγετῷ γυμνότερον
ὑπέρου, τὸ τῆς παροιμίας, ἐν μετεώρῳ ἐπικαθίσαντες τὰ τοῦ κρυ-
μοῦ καὶ χειμῶνος πάσχειν ἐξεβιάζοντο· τὰ δὲ ἦν ἡ δυσεντερία τε
καὶ τῶν ἐντὸς ἀναγκαίων ἐκ τῆς τοῦ ψύχους ὑπερβολῆς διὰ γα-
στρὸς ἀπόρροια καὶ θάνατος ἐκ τούτου πικρός. ἀπεβίω δ' ἂν ἐκ
τῆς τῶν φρουρούντων δεινότητος καὶ ὠμότητος (ἦσαν δὲ οὗτοι ὅ τε
Γοργονίτης Ἰωάννης καὶ ὁ Σκουτελόπτης Νικόλαος καὶ Θεόδωρος
D ὁ Μωρός), εἰ μή τις οἴκτῳ βαλλόμενος (Κωνσταντῖνος ἦν ὁ Ἀρ-
μενιακός) τῇ τούτων ἀπουσίᾳ ἐν τῷ μέλλειν σιτίζεσθαι ἐκεῖθέν τε
τὸν ἄνθρωπον κατεβίβαζεν, καὶ οἴνῳ βραχεῖ, ἔτι δὲ καὶ ἄρτῳ καὶ
μικρᾷ τινὶ περιθάλψει τὸ λυποῦν ἐπ' ὀλίγον παρεμυθεῖτο. ὡς δὲ
τὸ τῆς τιμωρίας ἀρκούντως ἐδόκει αὐτῷ, τότε δὴ ὑπερόριον μὲν
τὸν ἄνδρα τοῦτον κατὰ τὴν νῆσον Μιτυλήνην ποιεῖ· ἐπεὶ δὲ καί
τινες τῶν ἐπισκόπων ἀντέλεγον καὶ τὴν δίκην πόρρω που δὴ οὖσαν
καὶ ἀποφοιτήσασαν ἐπεκαλοῦντο καὶ οὐκ εἴ τι γένηται ἄλλον δέξα-
P 121 σθαι ἠπείλουν, ἀλλὰ τῆς ἐκκλησίας συναπορρήγνυσθαι, τὸν ἐκ τού-
του τάραχον δὴ κατευλαβηθεὶς ἔγνω καὶ τούτους ἀπάτῃ περιελθεῖν
καὶ ἀλωπεκῇ. ἰδίᾳ γοῦν καὶ κρυφῇ τούτων ἕκαστον μετακαλού-
μενος οὐ μικρόν τι καὶ ταπεινὸν ὑπισχνεῖτό τε καὶ ἐδίδου, εἰ μόνον
ἀποσταῖεν τοῦ Ἰγνατίου, ἀλλὰ τὸν θρόνον αὐτὸν Κωνσταντινουπό-
λεως. ὡς δ' ἐνεδίδοσαν ἅπαντες καὶ τῆς μὲν δόξης ἡττῶντο, τοῦ

3 τὸ om P 7 οὗτος P

aede, sed ubi et dicuntur sepulcra et exstant. ibi in quodam sepulcro includentes, quod Copronymi fuerat, geluque ac frigore (pistillo, quod proverbio dicitur, nudiorem) conficiendum in eius superioribus statuentes, in ea incommoda morbosque, qui eam aëris intemperiem sequi solent, ipsum coniecerunt, dysenteriam scilicet, intestinorumque gelu frigorisque exsuperantia per ventrem deiectionem, indeque acerbam mortem. ac plane ex custodum immanitate et saevitia ea exstinctus esset (erant illi Ioannes Gorgonites et Nicolaus Scuteloptes et Theodorus Morus), nisi quis miseratione tactus (Constantinus scilicet Armeniacus) illis tum per cibi sumendi occasionem absentibus eum inde demisisset, modicoque vino ac pane necnon tantillo quodam fomento nonnihil dolorem mitigasset. ubi autem Bardas sat eum poenarum dedisse existimavit, in insulam Mitylenem exilio relegat. quia vero nonnulli episcopi adversabantur, iusque in eo profligatum ac procul valere iussum obiectabant, quicquid denique contingeret, nullum alium se recepturos minabantur, quin immo ab ecclesia pariter scissum iri, hinc rerum turbationem veritus Bardas hos quoque dolo ac vulpina adoriendos putavit. singulos itaque seorsum ac clanculum ad se accersens non exiguum aliquid, aut quod merito spernendum videretur, tum pollicebatur tum dabat, modo solum ab Ignatio discederent; sed ipsam sedem Cpolitanam. cunctis vero ce-

δὲ καλοῦ ἕνεκεν καὶ νομίμου ἀντέλεγεν οὐδείς, τότε δὴ τότε ὑπετίθει ὡς ὁ μὲν βασιλεὺς αὐτοῖς τὰς ὑποσχέσεις μὲν ἐκπληρώσειεν, αὐτοὶ δὲ τὸ εὔσχημον τηροῦντές τε καὶ σεμνὸν ἅμα τῷ πρὸς αὐτὸν κληθῆναι μὴ πρὸς τὰ διδόμενα κατανεύσητε, ἵνα καὶ αὐτός, φησί, B τῆς ὑμῶν εἴη ὑπεραγάμενος ἀρετῆς. οὕτως δὴ ἕκαστον οὐχ ὁμοῦ ἀλλ' ἰδίᾳ καὶ κατὰ μόνας πρὸς τὸν Μιχαὴλ προσκαλούμενος μὴ αὐθωρὸν ἐπιπηδᾶν τῇ τιμῇ ἀνέπειθεν. καὶ οὗτοι μὲν ἐκ μόνου προσρήματος ἀξιούμενοί τε καὶ ἀπαρνούμενοι ἔλαθον ἑαυτοὺς παραδειγματίσαντες· τῆς γὰρ ἀρετῆς ἐξέπιπτον τῷ τῆς δόξης νικώμενοι ἔρωτι, καὶ ταύτης αὖθις ἡμάρτανον, ὅτι μὴ καλῶς ἀλλ' ἐπιβούλως τὸν Ἰγνάτιον παρεδίδοσαν. (32) οὕτως οὖν ἐπεὶ καὶ οὗτοι ἄνθρωποι ὄντες ἐφάνησαν καὶ οὕτω δὴ ἠπατήθησαν, Φωτίῳ C ἐπὶ σοφίᾳ μὲν ὄντι γνωρίμῳ ἀνδρί, κοσμικῆς δὲ τάξεως ἀντιποιουμένῳ καὶ τὴν τοῦ πρωτοασηκρῆτις δεδραγμένῳ τιμήν, τὸν θρόνον ἐδίδου τῆς Κωνσταντινουπόλεως. καὶ ἵνα δὴ καὶ τὰ αὐτῶν κραταιότερα ἀποφήνωσιν, τοποτηρητὰς μὲν ἐκ Ῥώμης ἐπ' ἄλλαις προφάσεσι (κατὰ γὰρ τῶν εἰκονομάχων) σταλέντας μεταπεμψάμενοι, κατὰ δὲ Ἰγνατίου μετὰ τοῦ καιροῦ γεγονέναι παρασκευάσαντες καὶ συνεδριάσαντες, καὶ ἐν τῷ τῶν θείων ἀποστόλων τεμένει δεδημοσιευμένῃ καθαιρέσει τοῦτον καθυποβαλόντες, ἐπεὶ τῆς ἐξορίας D μετεκαλέσαντο, πυγμαῖς τὰ πρόσωπα καὶ τοὺς ὀδόντας συνθλάσαντες, πᾶσαν σκοτόμαιναν κατὰ τῶν ἱερέων κακῶς, καὶ δεύτερος

22 Fort. κυκῶσι. margo Combef.

dentibus gloriaeque ambitu superatis, nec ut iuris aequique causa refragarentur ullam rationem habentibus, tunc nimirum singulos admonuit, impleturum quidem imperatorem quae erat pollicitus, illis tamen servandum quod ex decori honestique ratione existat; nec statim cum accerserit, acquiescendum ut oblata accipiam, "quo et ipse imperator vestrae" inquit "virtutis supra modum admirator existat." sic itaque singulis non simul sed seorsum vocatis, auctor est ne confestim in dignitatem involent. atque hi quidem ex sola salutatione rogati ac abnuentes, ipsi se ipsos imprudentes traducebant: gloriae enim amore superati virtutis fecere iacturam; nec gloriam sunt assecuti, quod non rite exque honesti ratione sed insidiose Ignatii causam prodiderant. (32) sic itaque his quoque humanum quid se passos ostendentibus, inque eum modum deceptis, Photio viro sapientiae laude claro, saeculari militia ac dignitate secretariorum principi, Cpolitanam sedem tribuit. atque ut gestis maius quid ad robur adiicerent, Romani antistitis vicarios, alia occasione Roma missos (adversus scilicet haeresim iconomachorum) accersentes adversusque Ignatium quaesita opportunitate coactoque concilio adducentes, in divinorum apostolorum sacra aede publicata sententia, Ignatium depositionis poenae subiiciunt; eique ab exilio revocato pugnis vultum contundunt confractosque dentes excutiunt, atrae noctis procellam adversus sa-

τῶν ὄντων ἐπὶ γῆς μηδέπω φανῇ. ἀλλ' ὅσα μὲν καὶ ἄλλα κατὰ πάντων ἱερέων ἐνεανιεύσατο, φυλακαῖς τε καὶ ὑπερορίαις καὶ ποιναῖς ὠμοτάταις ὁσημέραι παραδιδούς, ἵνα τῷ Φωτίῳ συγκοινωνήσωσι, βίβλοι τε πολλαὶ καὶ ὁ πᾶς οὐκ ἐπιλίποι χρόνος ἐκτραγῳδῶν.

33. Ἐντεῦθεν γοῦν τὰ μὲν τῶν Ῥωμαίων ἡ τῶν Ῥὼς ἐκά-
P 122 κου ἐπιδρομή (ἔθνος δὲ οὗτοι Σκυθικὸν ἀνήμερόν τε καὶ ἄγροικον), τόν τε Πόντον αὐτόν, οὐ μὴν καὶ τὸν Εὔξεινον, κατεπίμπρα καὶ αὐτὴν τὴν πόλιν περιεστοίχιζεν, τηνικαῦτα τοῦ Μιχαὴλ κατὰ Ἰσμαηλιτῶν ἐκστρατεύοντος. πλὴν ἀλλ' ἐκεῖνοι μὲν τότε θείας ἐμφορηθέντες ὀργῆς, Φωτίου τὸ θεῖον ἐξιλεωσαμένου τοῦ τῆς ἐκκλησίας τοὺς οἴακας ἔχοντος, οἴκαδε ἐκπεπόρευντο· καὶ μετ' οὐ πολὺ πάλιν τὴν βασιλεύουσαν πρεσβεία αὐτῶν κατελάμβανεν, τοῦ θείου βαπτίσματος ἐν μετοχῇ γενέσθαι αὐτοὺς λιτανεύουσα, ὃ καὶ γέγονεν.

B 34. Τὰ μὲν οὖν ἡ τούτων ἐκάκου ἐπιδρομή· τὰ δὲ ὁ τῆς Κρήτης στόλος ἀναγόμενος, ὡς κουμβαρίων ἄχρι εἴκοσι, ἑπτὰ γαλέας καί τινας σατούρας μεθ' ἑαυτοῦ ἐπαγόμενος, ἐληΐζετό τε καὶ κατεδουλαγώγει, νῦν μὲν τὰς Κυκλάδας νήσους περινοστῶν, νῦν δὲ ἄχρι Προικοννήσου τὴν παράλιον ἅπασαν. τὰ δὲ οἱ συνεχεῖς τῶν σεισμῶν ἐλυμαίνοντό τε καὶ πρὸς τοὔδαφος ἔβαλλον, νῦν μὲν καθ' ἣν ἡ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν ἀνάληψις ἑορτάζεται, τὸ πρὸς νότον τρίτον τοῦ Ἑξακιονίου πρὸς γῆν ἐδαφίζοντες, ναούς

8 μὴν καὶ] μὴν ἀλλὰ καί?

cerdotes miscentes, cui similis nulla unquam in terra exstiterit. quae vero quantaque alia Bardas adversus sacerdotum omnem coetum temere ausus sit, quos quotidie carceris maceratione exsiliisque ac poenis saevissimis, ut communione Photio iungerentur, addiceret, et libri complures et omnis posteritas tragice deflere nunquam desinet.

33. Exinde factum ut Rossi (Scythica illa gens immitis ac fera) Romanos agros vastarent ipsumque Pontum (haud sane etiam Euxinum) igni desolarent, ac quasi indagine regiam ipsam urbem (Michaele in expeditione adversus Ismaelitas occupato) cingerent. verum hi quidem abunde dei ira exsaturati, Photio, qui ad ecclesiae gubernacula sedebat, deum exorante urbique propitium reddente domum rediere; nec multo post legatis in urbem missis divinum efflagitantes baptismum, etiam impetravere.

34. Partim itaque haec Rossorum vastabat incursio; partim Cretensium advecta classis, ad viginti lintres (cymbaria vocant) galeas septem ac onerarias quasdam adducens, depraedabatur infestabatque, modo quidem Cycladas insulas, modo maritimam omnem regionem ad Proeconnesum usque pervagans: partim denique continui terrae motus labefactabant et solo tenus diruebant. horum unus, quo die domini ac salvatoris nostri in caelos recepti solennis memoria agitur, Exacionii tertiam

τε εὐπρεπεῖς καὶ οἴκους λαμπρούς, νῦν δὲ στήλας τήν τε κατὰ C Χρυσῆν πύλην τῆς πόλεως Νίκην ἐγκαθιδρυμένην τάς τε ἐν τῷ Δευτέρῳ κατὰ τὴν ἁγίαν Ἄνναν στερρῶς ἱσταμένας ἐγκατασείσαντες· ἣν ὁ μαθηματικὸς Λέων καταπεπτωκυῖαν ἰδὼν τὴν τοῦ δευτέρου ἐκ βασιλέως πτῶσιν ἔλεγεν ἐπαπειλεῖν καθαρῶς. μακρὸν εἴη λέγειν ποταμῶν ἀφάνειαν καὶ πηγῶν καὶ ἄλλ' ἄττα παθήματα κατά τε Ἰσαυρίαν καὶ καθ' ἑκάστην χώραν ἐπιγινόμενα.

Ἃ πάντα ὁ βασιλεύων ἐν δευτέρῳ θέμενος ὅλος εἴχετο τῶν ἱππικῶν ἀγώνων κατὰ τὸν ἐν Εὐξείνῳ ἀνεγηγερμένον ναὸν τοῦ ἁγίου Μάμαντος. (35) καί ποτε δὲ — ἀλλὰ συνήθειάν τινα διηγήσο- D μαι πρότερον, ἣ τὴν τῶν Σαρακηνῶν καθ' ἡμῶν ἐκστρατείαν διὰ πυρσοῦ ἐν ἀκαρεῖ ἐδήλου καὶ παρεγύμνου τῷ βασιλεῖ. ἔρυμά τι καὶ φρούριον τῇ κατὰ Κιλικίαν Ταρσῷ πλησιάζον καὶ γειτονοῦν οὕτω καλούμενον Λοῦλον ἔστιν. οἱ τεταγμένοι οὖν τοῦτο φρουρεῖν, ἅμα τῷ τὴν ἐκείνων ἰδεῖν ἐκδρομήν, διὰ φανοῦ δηλοῦσιν τοῖς κατὰ τὸν Ἀργαῖον βουνόν, καὶ οἱ αὖθις τοῖς κατὰ τὴν Ἰσάμον, καὶ οἱ τοῖς κατὰ τὸ Αἴγιλον, καὶ τοῦτο τοῖς κατὰ τὸν Μάμαντα πάλιν βουνόν· εἶτα τοῦτον ὁ Κύριζος διαδεχόμενος, καὶ αὖθις τοῦτον ὁ Μώκιλος, ἐκ τούτου δὲ ὁ τοῦ ἁγίου Αὐξεντίου P 123 βουνὸς τοῖς ἐν τῷ μεγάλῳ παλατίῳ κατὰ τὸ ἡλιακὸν τοῦ Φάρου ἐπὶ τούτου διαιταρίοις ἀφωρισμένοις ἐν βραχεῖ ἐποίει δὴ φανερά. ποτὲ γοῦν τοῦ Μιχαὴλ κατὰ τὸν εἰρημένον τοῦ μάρτυρος Μάμαν-

16 Cedren. ἐν Ἀργέῳ. Zonar. Ἀργαίῳ. Combef. 21 τούτῳ?

partem solo prostravit, eam scilicet quae ad austrum spectat elegantique cultu exstructa templa habet ac magnificas aedes: alter statuas evertit, tum scilicet Victoriam, quae ad Auream urbis portam collocata erat, tum quae in Deutero (velut Secundum dicas) ad sanctam Annam suis firmiter basibus fixae stabant. hanc Leo mathematicus collapsam videns, illius palam casum designare dixit, qui ab imperatore potentia proximus esset. longioris operae esset arefacta flumina ac fontes referre, aliaque tum in Isauria tum in singulis quibusque provinciis visa portenta.

Quae omnia imperator in secundis habens, equestribus certaminibus ad sancti Mamantis in Steno templum totus incumbebat. (35) quandoque autem — prius vero narrabo consuetudinem quandam, qua Saracenorum adversus Romanos eruptio, accensa facula, momento temporis indicabatur ac detegebatur. castellum quoddam ac praesidium Tarsi Ciliciae vicinum, Lulum nomine, exstructum est. in eo praesidiarii cum Saracenos incursionem expedire sentiunt, laterna significant his qui in Argaeo colle excubias agunt; iterumque qui in Argaeo, his qui in Isamo; hique vicissim his qui in Aegilo; Aegilum rursus his qui in colle Mamantis degunt: sequitur Cyrisus, huncque rursus Mocilus; ex eo Auxentii collis diaetariis, qui in magno Palatio ad Phari solare constituti erant, nulla mora periculi index erat. quandoque igitur, cum ad illud, quod diximus, Mamantis martyris templum Michael agendis equis se

τος ναὸν ἱππάσασθαι μέλλοντος καὶ τὸ σύνθημα τῆς ἱπποδρομίας δεδωκότος, ἐπεὶ κατὰ τὴν ἑσπέραν ὁ ἐκ τοῦ Φάρου φανὸς διὰ τοῦ παππίου ἐδήλου τὴν τῶν ἐθνῶν ἐκδρομήν, εἰς τοσοῦτον ἦλθεν ἀγῶνα καὶ φόβον ὁ βασιλεὺς δέει τοῦ μὴ παροφθῆναι τὴν ἡνιοχείαν αὐτοῦ παρὰ τῶν θεατῶν τῆς τοιαύτης ἕνεκεν ἀγγελίας, εἰς ὅσον
B ἄλλος τις ἦλθεν κινδυνεύων ὑπὲρ τῆς ψυχῆς καὶ τοῦ μὴ πλησιάσαι τούτους μᾶλλον ἀγωνιζόμενος. οὕτως ἐκεῖνος ἐθεατρίζετό τε καὶ οὐκ ᾐσχύνετο. ὅθεν ἵνα μήτε τις τῶν αὐτοῦ ἀγώνων ἀπολιμπάνοιτο μήτ' ἄλλο τι τῶν ἐκεῖθεν ἀνιαρῶν προσπῖπτον χαλαρωτέρους ποιήσῃ τοὺς θεατάς, μηκέτι τοὺς πλησιάζοντας φανοὺς ἐνεργεῖν προσέταξεν, ἀλλὰ σιγῇ βαθείᾳ καὶ λήθῃ τὰ τοιαῦτα παρακαλυφθῆναι μακρᾷ.

36. Ἄλλοτε δὲ πάλιν, ἵνα σαφεστέρα γένηται ἡ τοῦ ἀνδρὸς ἀναγωγία καὶ ἄνοια, αὐτοῦ ἐφ' ἅρματος ἱσταμένου καὶ τῆς
C βαλβῖδος μέλλοντος ἐκπηδᾶν (ἐπάτει δὲ βένετος, καὶ πράσινος ὁ λογοθέτης Κωνσταντῖνος, ὁ πατρικίου Θωμᾶ καὶ γεγονότος λογοθέτου τοῦ δρόμου πατήρ, λευκὸς δὲ ὁ Χειλᾶς καὶ ῥούσιος ὁ Κρασᾶς· οὐκ ἦν δὲ οὐδὲ τῷ πρωτοασηκρῆτις σχολάζειν, ὥσπερ οὐδὲ τῷ πρωτονοταρίῳ τοῦ δρόμου, ἀλλ' ὁ μὲν ἦν κομβινογράφος τῶν βενέτων, ὁ δὲ τῶν πρασίνων) — αὐτῶν οὖν ἐφ' ἅρματος ἱσταμένων μετὰ καὶ τῆς ἡνιοχικῆς στολῆς, καὶ ἐπαγγελίας φθασάσης ὅτι δεινῶς ὁ Ἄμερ κατατρέχει τε καὶ κατασύρει τὸ Θρακήσιον καὶ τοῖς Μαλαγίνοις πλησιάζει καὶ προσδοκῶνται ὅσον οὐδέπω δεινά, καὶ

accingeret, iamque equestris certaminis signum datum esset, quoniam ad vesperam Phari laterna, Papia accendente, hostes ingruere indicaverat, in tantas angustias metumque abreptus est (nempe veritus ne sua illa aurigatio auditione ea perculsos spectatores non satis attentos haberet) in quantas vix alius in vitae ipso periculo constitutus, quique diligentem potius operam iisdem hostibus propulsandis adhiberet. sic nimirum ille spectaculis indulgebat, nec eum eius rei pudebat. idcirco, ne quem illius certaminibus deesse contingeret, neve aliud quid tristis nuntii ea ignium indicatione languidiores spectatores redderet, e vicinis urbi speculis ignes accendi deinceps vetuit, altoque silentio ac longa oblivione talia aboleri praecepit.

36. Rursus alias (quo viri dissolutus animus ac vecordia clarius innotescat) cum in curru staret iamque equi carceribus emittendi essent (incedebat ipse Veneto habitu, Prasino logotheta Constantinus, Thomae pater dromi logothetae, albo Cheilas, ruseo Crasas: at neque protoasecretis neque protonotario dromi a Circi rebus vacabat, sed alter factionis Venetae combinationum, alter Prasinae scriba erat) — his itaque in curru, solenni equestribus ludis stola stantibus, allatoque nuntio Amerem graviter Thracensium regionem populari ac diripere iamque ad Malagina prope accedere, ac mala imminere: eaque re maesto animo deiectoque

ἐπὶ τούτῳ στυγνάσαντος μὲν τοῦ πρωτονοταρίου, ἀπαγγείλαντος δὲ D
μετὰ κατηφείας τὴν ἐκ τοῦ δομεστίκου τῶν σχολῶν ἀπόκρισιν καὶ
ἅμα ἐπὶ χεῖρας τὰ γράμματα φέροντός τε καὶ δεικνύοντος, "τίνι"
φησίν, "ὦ οὗτος, τόλμῃ χρησάμενος τοιαῦτα κατὰ τὸν ἀναγκαῖον
τοῦτον ἀγῶνά μοι διαλέγειν ἐπιχειρεῖς, τοῦτο μόνον σπουδάζοντι,
εἰ μὴ τὸν μέσον εὐώνυμον ἰδεῖν παρατετραμμένον; ὑπὲρ οὗ μοι
πᾶς ὁ ἀγών."

37. Καὶ οὐχὶ μὲν τούτῳ τῷ πόθῳ, ἢ εἰ βούλει γε, πάθει
ἡλίσκετο, ἑτέρων δὲ ἀπρεπεστέρων ἐκτὸς ἦν, ἀλλὰ καὶ μέτριον ἦθος
ἀμέτρως καταδιώκων ἐξέπιπτε τοῦ πρέποντος καὶ τῆς βασιλικῆς P 124
τιμῆς τὰ μάλιστα. καί ποτε γυναίῳ, ἧς τὸν παῖδα υἱοθετησάμενος ἦν, κατὰ τὴν ὁδὸν συντυχὼν ἐκ βαλανείου μὲν ἐρχομένῃ τὴν ἑαυτῆς δὲ κάλπιν ἐπὶ χεῖρας ἐχούσῃ, ἐκ τοῦ ἵππου ἀπορριφεὶς τοὺς μὲν ἄλλους ὅσοι ἐκ τῆς συγκλήτου τούτῳ ἐπηκολούθουν κατὰ τὰ ἐκεῖσε ὄντα ἀνάκτορα ἐξαπέστειλεν, ἀκόλαστα δέ τινα καὶ μυστικὰ ἀνδράρια ἑταιρισάμενος ἀπῄει μετὰ τῆς γυναικός, τὴν κάλπιν τῶν ἐκείνης χειρῶν ἀναλαβών, καὶ "ἄγε δή, ὦ γύναι, θαρροῦσα" ἐπέλεξεν "ἐμὲ κατὰ τὸ οἴκημά σου ἀπόδεξαι, ψωμοῦ πιτυρώδους ἔφεσιν ἔχοντα καὶ ἀσβεστοτύρου." δεῖ γὰρ τὴν ἐκείνου λέξιν B
εἰπεῖν. ἐπεὶ δὲ τῷ ξένῳ τοῦ θεάματος ἡ γυνὴ ἦν ἐνεὸς καὶ πάντων ἠπόρει, μήτε μὴν τράπεζαν μήτε τὰ ταύτης στολίζοντα ἔχουσα, ὁ Μιχαὴλ θᾶττον ἢ λόγος εἶχε στραφείς, τὸ ὃ ἔφερε σάβανον ἐκ

13 δὴ P   21 ταύτην?

vultu protonotario domestici scholarum responsum nuntiante, acceptasque ab eo literas in manibus habente ac ostendente, "qua" inquit "heus tu, audacia me tam necessario certamine occupatum istis de rebus interpellas, cum in hoc unum incumbam, ut eum qui medium tenet in laevam partem avertam? de quo mihi totum hoc certamen est."

37. Neque vero hoc duntaxat desiderio aut (si mavis) libidine perditoque amore laborans, ab aliis turpioribus immunis vitiis erat: sed praeterea dum modestiam citra modum sectatur, a decoro quam maxime excidit, eaque gravitate quae imperatorem condeceat. obviam quandoque mulierculam habuit, cuius e sacro fonte filium susceperat, e balneo redeuntem, ac quae manibus situlam gestaret. tum equo desiliens alios senatorii ordinis viros, qui ipsum comitabantur, haud procul in palatium abire iubet: ipse cum impuris libidinosisque, quos sibi asciverat, ex vulgi faece hominibus, mulierculam secutus, ablataque ei e manibus situla, "bono animo sis" inquit, "o mulier, meque tua domo accipe, furfuracei panis recentisque casei" (ἀσβεστοτύρου, praestat enim ipsam eius vocem ponere) "appetentiorem." cum autem mulier inaudita spectaculi novitate stuperet, omnique egestate premeretur, ac ne mensam quidem haberet aut lintea quibus illi sterneret, Michael dicto citius, asperiorem pannum

τοῦ βαλανείου ἔτι διάβροχον ὂν λαβών, ἀντὶ λεπτῆς ὀθόνης, ἣ τῇ τραπέζῃ ἐπίκειται, χρησάμενος, καὶ τὴν κλεῖδα τῆς γυναικὸς ἀφελὼν αὐτὸς ἦν τὰ πάντα, βασιλεύς, τραπεζοποιός, μάγειρος, δαιτυμών. ἐκβαλὼν δὲ τὰ ἃ εἶχεν τῆς πενιχρᾶς ἐκείνης ἡ κιβωτός,
C *εἱστιᾶτο ταύτῃ καὶ συνεδείπνει, τὴν μίμησιν πρὸς τὸν ἐμὸν ἀναφέρων Χριστὸν καὶ θεόν. κἀκεῖθεν βάδην αὖθις ἀπῄει πρὸς τὰ ἀνάκτορα, πολλῆς εὐηθείας καὶ ἀλαζονείας καὶ τύφου καταγινώσκων τῶν πρὸ τοῦ βασιλέων· οὗ ἐκεῖνοι λῆρον εἰ ἤκουσαν, "ἀλλ' οὐκ ἄλλως τρυφῶντα καὶ παίζοντα ταῦτα" ἔφησαν "ἐχρῆν σε ποιεῖν καὶ τὸν ἡμέτερον τύφον καταγινώσκειν, ἀλλὰ προπολεμοῦντα καὶ τῶν ἀναγκαίων σπανίζοντα καὶ τοῖς στρατιώταις σύνδειπνον ὄντα καὶ ἐραστήν, ἀλλ' οὐ γυναίων καπηλίδων καὶ μοχθηρῶν." ταῦτ' οὖν ἅπαντα μισητόν τε ἐποίει τὸν Μιχαὴλ καὶ τὴν τοῦ θεοῦ*
D *ἐκίνει δικαιοτάτην ὀργήν.*

38. *Καὶ τὸ δὴ χαλεπώτερον, ἡ τῶν ὧν εἶχε μεθ' ἑαυτοῦ φρατρία, Σατυροί τινες οὗτοι καὶ πρὸς πᾶσαν αἰσχρουργίαν ἀκόλαστοι· εἶπεν ἄν τις αὐτοὺς θιασώτας εἶναι Διονύσου καλῶς. οὓς ἐκεῖνος διὰ τιμῆς ἄγων τε καὶ αἰδοῦς, τῶν θείων κατολιγωρῶν, ἱερατικὰς στολὰς χρυσοϋφάντους τε ἐπετίθει καὶ ὠμοφόρια, καὶ ἄλλως ἠνάγκαζεν ἀσχημόνως τε καὶ ἀνάγνως τελεῖν τὰ ἁγνά, καὶ πατριάρχην τὸν ἔξαρχον τούτων ἐκάλει, οὕτω Γρῦλον καλούμενον, τοὺς δὲ λοιποὺς ἕνδεκα μητροπολίτας τῶν ἐξαιρέτων θρόνων τε*

ex balnei usu detergendis siccandisque corporibus, madentem adhuc inde a muliercula allatum accipiens, mappae loco linteique subtilioris pro mensae usu sternit, ereptaque mulieri clave unus omnia fit, imperatorisque et mensam instruentis coquique et convivae munus obit. productisque quae pauperculae mulieris penus erant, cum ea epulabatur ac concenabat, Christum meum ac deum bello eo facinore referens atque imitans. peracto convivio, lento pede in palatium redit, magnae stoliditatis et arrogantiae fastusque damnans superiores imperatores; cuius illi nugas si audivissent, utique dicturi essent "at non temere deliciis diffluentem atque ludentem haec te oportuit facere, fastumque nostrum damnare, sed cum prior belli labores desudares, parcoque victu militum amans cum eis lubens, non cum copis malisque ac impuris mulierculis concenares." haec itaque omnia exosum reddebant Michaelem, deique in illum iustissimam iram provocabant.

38. Quodque his gravius, quod secum habebat sodalitium (Satyri quidam ii erant, ganeones in omnem turpitudinem parati; dixisses Bacchi thiasotas), his ille honorem habens eosque colens, divinorum contemptu sacerdotales auro contextas vestes ac pontificum humeralia eis adhibebat, ad haecque turpiter ac impure, quae pura sunt, eos peragere cogebat. eius chori principem, sic nuncupatum Grylum, patriarcham vocabat; reliquos undecim praecipuarum illustriumque sedium metropolitas;

καὶ λαμπρῶν, οἷς εἰ μὴ καὶ αὐτὸς ἐκοινώνει, οὐδὲ βασιλεύειν ἠξίου· P 125 ὅθεν ὁ Κωλωνείας οὗτος ἐλέγετό τε καὶ ὀνομάζεται πρόεδρος. ἐπεὶ δὲ καὶ ᾄδειν ἐχρῆν αὐτοὺς καὶ τελεῖν τὰ μυστήρια, τὰς μὲν ᾠδὰς ἐξεπλήρουν διὰ κιθάρας, νῦν μὲν ἠρέμα πως οὕτω καὶ λιγυρῶς ἐπηχοῦντες, τὰ μυστικὰ μιμούμενοι, νῦν δὲ ἀνέτῳ φορᾷ καὶ διαπρυσίῳ, τὰς ἐκφωνήσεις δῆθεν τῶν ἱερέων. καὶ σκεύη δὲ διάχρυσα καὶ ἐκ μαργάρων συγκείμενα ὄξους τε καὶ σινήπεως ἐκπληροῦντες τοῖς οἷς ἐβούλοντο μεταλαμβάνειν ἐδίδοσαν, τῶν ἀχράντων οὕτω καταπαίζοντες μυστηρίων. οὗτος οὖν ὁ Γρῦλος καὶ ὄνῳ ἐπωχεῖτο τὰς δημοσίας προόδους τελῶν, καὶ τὸν τοιοῦτον θίασον B συνεπόμενον ἔχων ἠγάλλετο. καί ποτε συνέβη συντυχεῖν Ἰγνατίῳ τῷ μακαρίτῃ πατριάρχῃ κατὰ πρόοδον τῇ ἐκκλησιαστικῇ λιτῇ μετὰ τοῦ ἱερατικοῦ κλήρου ἐφεπομένῳ. ὡς οὖν εἶδεν αὐτὸν ὁ Γρῦλος, ἄσμενος τοῦ πράγματος ἑλόμενος ἐξῆρχέ τε τῶν κρουμάτων, καὶ τὸν φελόνην ἀναστείλας μετὰ τῶν αὐτοῦ συμμυστῶν εὐτονωτέρας τε ἔκρουε τὰς κιθάρας καὶ τοὺς εὐαγεῖς ἐκείνους λοιδορίαις καὶ αἰσχίστοις ἔβαλλε ῥήμασι. (39) καὶ Θεοδώραν δὲ τὴν ἑαυτοῦ μητέρα ἔτι ζῶσαν καὶ τοῖς ἀνακτόροις διαιτωμένην μετεκαλέσατό ποτε εὐλογηθησομένην παρ᾽ αὐτοῦ, πλασάμενος τοῦτον εἶναι τὸν μακαρίτην Ἰγνάτιον. ὡς οὖν ἐξῄει μετ᾽ εὐλαβείας καὶ αἰδοῦς ἡ ἱερωτάτη γυνή, ἔρριψεν εἰς τοὔδαφος ἑαυτὴν ἐξαιτουμένη εὐχήν (καὶ C γὰρ ἐλάνθανε τέως, τὴν γενειάδα κρύπτων κατὰ τὸ πρόχειρον),

21 γυνὴ καὶ ἔρριψεν?

quibus nisi ipse sodalis sociusque accederet, ne gratos quidem habebat imperii fasces. idcirco Coloniae praesulis sibi ipse nomen indebat. quia vero etiam cantillare divinaque peragere mysteria illis incumbebat, cantica modulosque explendo citharam adhibebant, modo sensim pulsantes, et ut illa stridulum argutumque sonum ederet, hoc aemulati quod sacerdotes secreto agitant; modo pulsu libero ac claro sonitu, pro eo ac sacerdotes sic clare quasi perorando pronuntiant. aurea quoque ac gemmis baccata vasa aceto ac sinapi implentes, atque illis impartientes qui erant percepturi, per eum modum impollutis mysteriis illudebant. accidit autem ut quandoque chorus hic beato Ignatio patriarchae obviam fieret, cum is supplicationis causa ex ecclesiastico ordine cum clericorum pompa procederet. hunc ut conspexit Grylus, lubentissime rem capessens pulsare auspicatur, retractaque casula cum sodalibus, contentiore citharae sonitu, sanctissimos viros conviciis compluit verbisque turpissimis fatigat. (39) quin Theodoram quoque matrem adhuc superstitem atque in palatio versantem quandoque ad se vocavit, quasi illo fausta ei precaturo, quem beatum Ignatium esse finxerat. ut ergo sanctissima mulier religiose animo incitata modesto cultu accessit, humi prostrata pro se vota concipi petit: latebat enim adhuc quis esset, cum is de facili bar-

ψόφον αὐθωρὸν ἐπαφεὶς δυσωδίας πλήρη καὶ ῥήματα ἀπρεπῆ τὰς ἐκείνης καὶ τῶν εὐσεβεστέρων εἰς ἑαυτοὺς ἐξεκαλεῖτο ἀράς, ἣ καὶ τὸ μέλλον ἀποφοιβάσασα τῆς τοῦ θεοῦ προνοίας τε καὶ χειρὸς ἔξω γενέσθαι διεσάφει τῷ Μιχαήλ.

Ἀλλ' οὐκ ἦν ἄνδρα παρατραπέντα δὴ τῆς εὐθείας καὶ ἀποστάντα τῆς ἀρετῆς ἀνακληθῆναι καὶ τῆς μακαρίας λαβέσθαι ὁδοῦ. D ὅθεν οὐδὲ πορρωτέρω δὴ τὰ κακά, ἀλλ' ἑαυτοῖς ἐκείνοις πλησιάζειν ἐποίουν οἱ τῶν τοιούτων αἴτιοι καὶ ἐφευρεταί. καὶ πρῶτον μὲν εἰς ἑαυτὸν ὁ Βάρδας ταῦτα ἐπέφερεν, μᾶλλον δὲ ὁ Θεόκτιστος ὁ κανίκλειος πρὸ αὐτοῦ, εἴτε δὴ τῷ παντελῶς τούτῳ χαρίζεσθαι πάντας δὴ ὁμοθυμαδὸν καὶ μὴ τῶν πονηροτέρων ἀνακόπτειν διδαγμάτων ὡς ἐπιτρόπων ἐπιχειρούντων, εἴτε δὴ τοῦ μὲν ἑνὸς ἀναστέλλοντος, τοῦ δ' ἑτέρου μὴ τὰ ἴσα φρονοῦντος ἐξ ἐριθείας καὶ συναναστέλλοντος, ἀλλ' ἐπιτρέποντος μᾶλλον, ὡς καὶ ἡμεῖς ἐν P 126 τοῖς καθ' ἡμᾶς χρόνοις τοιούτους ἐθεασάμεθα. πλὴν ἐπήγαγον εἰς ἑαυτοὺς τὰ κακά, καὶ ὁ μὲν Θεόκτιστος νῦν μέν, ὡς εἴρηται, σφαττόμενος, νῦν δὲ ταῖς αἷς ἐπεχείρει δουλείαις μὴ κατευοδούμενος. καὶ γὰρ πολλῶν στρατιῶν πολλάκις προκριθεὶς ἡγεμών, καὶ κατὰ πολλῶν ὁρμήσας πολεμίων νῦν τε καὶ πρὸ τούτου οὐδαμοῦ νικήσας ὑπέστρεψεν ἢ τὸ σύνολον τῶν ἐχθρῶν καθυπερτερῶν, ἡττώμενος δὲ καὶ πανωλεθρίᾳ τὰ στρατεύματα παραδούς, οὐκ οἶδα εἴτε φρονήσεως ἀμοιρῶν καὶ λόγου καὶ τῶν ἐγ πολέμοις ἀνδραγα-

13 ἐρεριθείας P, ἐρεσχελίας in margine.

bam tegeret. tum ille statim ventris crepitum foetoris plenum verbaque obscena edens, Augustae piorumque aliorum in se sodalesque diras excitavit. quae et filio vaticinata, divina providentia ac protectione prorsus extorrem fore praenuntiavit.

Verum fieri non poterat ut qui a recta via ac virtutis tramite abscesserat, ad meliorem iterum frugem rediret, ac quo beati praestamur, iter iniret. quapropter talium auctores et inventores non mala longius procurarunt, sed iidem ipsi sibi adsciverunt. primumque Bardas in suum illa caput vertit; quin illo quoque prior Theoctistus caniclio praefectus, sive quod omnes una quasi conspiratione homini indulgebant, nec pro tutorum munere, quo fungebantur, a nequioribus eum studiis revocare studebant; sive sane quod uno corripiente alter ex contentione non ipse pariter insolentiam reprimeret, sed ex genio potius eum agere permitteret; quorum exempla nec nostra aetate defuerunt. ut ut sit, mala certe illi in sua capita impulerunt. ac quidem Theoctistus, uti dictum est, modo iugulatur, modo in iis quae gerenda susceperat inauspicatissimus invenitur. multis enim saepius expeditionibus ducis potestate susceptis, pluresque hostium bello aggressus, cum modo tum antea nunquam victor reversus est aut prorsus hostibus superior, sed victus semper, iisque quas ducebat copiis internecione deletis, sive prudentia rationisque iudicio destituebatur ac rei bellicae rudis erat, cui nunquam navasset ope-

θημάτων ἀπείρως ἔχων ἅτε δὴ μήτε μελετήσας ταῦτα ποτέ, ἢ τινι B ἄλλῃ μείζονι αἰτίᾳ τῇ ὑπὲρ ἡμᾶς, ἢ καὶ τῇ εἰρημένῃ νυνί. καὶ γὰρ ἡλιακῶν ποτὲ ἐκλείψεων δύο γεγενημένων, κατὰ τῶν Ἀβασγῶν οὗτος προκριθεὶς στρατηγὸς θεομηνίας ἀπήλαυσε δυστυχῶς· οἱ μὲν γὰρ ναυαγίῳ περιπεσόντες περὶ τὴν ἑαυτῶν ζωὴν ἐδυστύχησαν, οἱ δὲ καὶ τῆς ξηρᾶς ἐπιβάντες ταῖς ἐκείνων δυστυχίαις συνεκοινώνησαν. καὶ οὗτος μὲν οὕτως ἀπώλετο ὁ στρατός· μετ' οὐ πολὺ δὲ πάλιν θρασύτερον ἁψάμενος τοῦ πολέμου ὑπὲρ τὰς τέσσαρας μυριάδας ἀπέβαλε τοῦ στρατοῦ. καὶ αὖθις κατὰ τῶν ἐν Κρήτῃ Ἀράβων στρατεύσας ἄπρακτος ὑπέστρεψεν, οὐκ ὀλίγους τῶν περὶ C αὐτὸν ἐκεῖσε καταλιπὼν διὰ τὸ φυγῇ χρησάμενον ἀθρόως ἀπαλλαγῆναι αὐτῆς. ἀλλὰ ταῦτα μὲν ἐκεῖνος πρότερον· (40) νῦν δὲ σύμβολά τινα προφανῆ καὶ κομητῶν ἐπιτολαὶ καὶ ὄψεις ὀνειράτων γινόμεναι τὰ μέλλοντα τῷ Βάρδᾳ δεινὰ παρεγύμνουν, οὐκ ἐξ αὐτομάτου πάντως ἢ καὶ ἄλλως ἀλόγῳ φορᾷ, προνοίᾳ δέ τινι τοῦ μὴ τὸν θάνατον ζητοῦντος ὡς τὴν ἐπιστροφὴν τοῦ ἁμαρτωλοῦ. κατὰ τὸν ὕπνον γοῦν ἔδοξεν οὗτος πρὸς τὸ τοῦ θεοῦ τέμενος, ᾧ ἐπώνυμον Σοφία, μετὰ τοῦ Μιχαὴλ ἐν πανδήμῳ πανηγύρει καὶ προελεύσει φοιτᾶν. ὡς οὖν ἀφίκοντο καὶ κατὰ μέσον ἐγένοντο D τοῦ ναοῦ, λευκοφόροι τινὲς ἀνεφαίνοντο δύο τὸν ἀριθμόν, τὸ σχῆμα ἀγγελοειδεῖς· ὡς δὲ προσωτέρω μᾶλλον ἐχώρησαν, ἄλλο μὲν ὁρῶσιν οὐδέν, ἐπὶ δὲ τῷ θρόνῳ τινὰ γηραιὸν ἐγκαθήμενον

5 ναυαγίᾳ? 12 δὲ] μὲν P 22 ἐπὶ] περὶ P

ram aut studium posuisset, sive alia quadam superiori nobis ratione, sive etiam illa quam modo dicebam. cum enim aliquando semel et iterum sol deliquium passus esset, Theoctistus adversus Abasgos summa ducis potestate exercitui praefectus dei iram infelicissime expertus est: pars enim naufragio vitam infeliciter amiserunt, pars in littus recepti ipsi nihilominus cladis socii extiterunt. ac quidem ille exercitus ita periit. nec longo post tempore praefidentius maiorique audacia bellum aggressus supra quadraginta milia de exercitu amisit. iterumque suscepta adversus Cretenses Arabes expeditione irrito conatu reversus est, non paucis suorum illic desideratis, eo quod fuga usus coeptum repente negotium deseruisset. verum haec ille prius. (40) tunc autem perspicua quaedam signa, orti cometae, visa insomnia, mala prodebant quae Bardam essent exceptura; ea vero non a casu seu alias caeco impetu, sed quadam illius providentia, qui non perinde mortem peccatoris atque ut convertatur, quaerit (Ezech. 18, 32). itaque sibi in somnis visus est ad dei templum, quod Sophiam vocant, una cum Michaele festivo totius populi conventu solennique pompa procedere; quo cum venisset et ad medium templi progressus esset, duos quosdam albis indutos angelica specie occurrisse; tumque ad ulteriora procedentes praeter senem in patriarchali solio residentem aliud nihil vidisse. hunc Petrum apostolorum

(Πέτρον εἶναι τοῦτον τὸν κορυφαῖον τῶν ἀποστόλων ὑπώπτευσαν) καὶ περὶ τοὺς ἐκείνου πόδας τὸν μακαρίτην Ἰγνάτιον καλινδούμενον καὶ τὴν παρ' ὧν ἐπεπόνθει δεινὰ ἐκδίκησιν ἰδεῖν ἐξαιτούμενον. ὁ δὲ ἐκείνῳ τε οἷα συμπάσχων ἔφησε δοῦναι οὐκ εἰς μακράν, καὶ P 127 τῶν ἐφεστώτων ἑνὶ (δύο δὲ τούτῳ χρυσοφοροῦντες ἐφαίνοντο) μάχαιραν οὐ μεγάλην δούς "ἄγε δή, ταύτῃ" ἔφησε "τὸν μὲν τῇ τῶν εὐωνύμων χώρᾳ ἐγκαταστήσας μεληδὸν διάτεμνε τὸν θεόργιστον," οὕτω δὴ τὸν Καίσαρα εἰπών, "τὸν δὲ ἄλλον ἀσεβότεκνον," οὕτω τὸν βασιλέα κατονομάσας, "κατάλεγε μὲν τοῖς δεξιοῖς, τὴν δ' ὁμοίαν δίκην ἀπεκδέχεσθαι πρόσειπε." καὶ ὁ μὲν ὄνειρος οὕτω δὴ ἐτελεύτα· ὁ δὲ ὕπαρ ἀλλ' οὐκ ὄναρ ἐστίν, (41) ἄρτι κατὰ τῶν Κρητικῶν πανδημεὶ μετὰ τοῦ Μιχαὴλ καθωπλίζετο, καὶ πρὸς τὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου ναόν, ὃς οὕτω δὴ Ὁδηγοὶ κατονομάζεται, προσφοιτήσας εἰσῄει μετὰ λαμπάδων τὸν B συντακτήριον ἐκπληρῶν. ὡς οὖν τοῖς ἀδύτοις πλησιάζων ἀπῄει, ἄφνω τῶν αὐτοῦ ὤμων ἡ χλανὶς ὀλισθήσασα αἰσθέσθαι τοῦτον καινοτέρων δεινῶν ἐνεποίησεν. καὶ αὐτὸς δὲ πρὸ μιᾶς ἡμέρας τοῦ μέλλειν αὐτὸν ἀπαίρειν ἀπὸ τῆς πόλεως, εἴτ' ἀφ' αὑτοῦ εἴτε καὶ ἄλλως ὑπὸ τοῦ μέλλοντος ἐλαυνόμενος, τοὺς φίλους συναγαγὼν εἰς ταὐτὸν καὶ συμποσιάσας μεμνῆσθαί τε τῆς αὐτοῦ παρῄνει φιλίας αὐτοὺς καὶ λεγάτα ὡς τοῦ βίου ἤδη γινόμενος ἔξω ἐπέδωκεν. ἀλλ' ἔδει ταῦτα τέλος λαβεῖν. ὡς οὖν κατὰ τῆς Κρήτης ἐξῄεσαν καὶ τῷ θέματι τῶν Θρακησίων ἐπέβησαν κατὰ Κήπους, τόπον

8 δὴ τὸν] τὸν om P

principem esse putaverunt, ad cuius pedes provolutus Ignatius acceptarum iniuriarum ultionem exposceret. senem miserationis affectu ductum brevi eum se ulturum respondisse; tumque uni adstantium, cum duo apparerent vestibus auro contextis splendide ornati, pugione tradito in haec verba locutum esse: "age dum" inquit, "hunc quidem ad laevam constituens, Theorgistum (ita Caesarem nominabat) membratim concide: alterum vero Asebotecnon (imperatorem scilicet ita appellans) in dextra quidem parte colloca, simile tamen supplicium ei denuntia." sic insomnium finem habuit, quod nec ipsum somnium sed veritas fuit. (41) destinabat Bardas in Cretenses una cum Michaele, assumptis omnibus copiis, expeditionem suscipere. veniens itaque ad sanctissimae dominae nostrae dei genitricis aedem, quam Hodegi vocant, se suaque illi commendaturus ac quasi vale dicturus, praelucentibus facibus ingressus est. in ipsis vero aedis penetralibus excussa subito ex eius humeris chlamys maximorum malorum praesagium dedit. idem pridie quam ex urbe discesserat, sive ipse ultro sive iam futurae rei urgente fato, convocatos amicos ac convivio acceptos monuit, suae in illos amicitiae memores essent, ac velut e vita migraturus eis legata distribuit. verum necesse erat ut illa finem acciperent. coepta ergo expeditione, cum in Thracensium regionem in locum cui Cepi nomen

τινὰ οὕτω κατονομαζόμενον, οἱ τούτοις ὑπηρετοῦντες προφθάσαντες τὰς σκηνὰς κατεπήγνυον ἁμίλλῃ χρώμενοι καὶ σπουδῇ. ἔνθα πως, εἴτε δὴ κατὰ πρόνοιαν εἴτε δὴ καὶ ἄλλως δι' ἄγνοιαν, τὴν μὲν τοῦ Μιχαὴλ ἐπὶ πεδιάδος χωρίου καὶ ὁμαλοῦ αὐλαίαν ἐκπεταννύουσιν, εἰς λόφον δέ τινα καὶ ὑπερανεστηκότα χῶρον τῆς γῆς τὴν τοῦ Καίσαρος· ὅπερ ὡς ἑρμαῖόν τι καὶ ἀπροσδόκητον κέρδος λαβόντες οἱ τῷ Μιχαὴλ κατεβόων τοῦ Καίσαρος, κατῃτιῶντο τὸ γεγονὸς καὶ τὰς κατ' ἐκείνου ἔρραπτον συμβουλάς. ἀλλ' ἔθραττεν αὐτοὺς καὶ νωθροτέρους πως πρὸς τὴν ἐγχείρησιν ἐποίει ἡ τοῦ Καίσαρος κραταιοτέρα ἰσχύς· ὅ τε γὰρ δομέστικος τῶν σχολῶν D Ἀντίγονος τούτῳ μᾶλλον, ἀλλ' οὐ τῷ βασιλεῖ, ὡς υἱὸς ἐπειθάρχει καὶ ἤγετο, οἵ τ' ἄλλοι δὴ στρατηγοί, καὶ ὁ τοῦ δρόμου τοὺς λόγους διδούς, οὕτω καλούμενος Συμβάτιος, ἐπὶ θυγατρὶ αὐτοῦ ὑπάρχων γαμβρὸς ἀναντιρρήτως τὰ ἐκείνου φρονεῖν ἠναγκάζετο. ἀλλ' ἔλαθεν οὗτος κλαπεὶς καὶ μᾶλλον τὸν φόνον τοῦ πενθεροῦ κατεργασόμενος. ὡς οὖν ἡ βουλὴ ἠρτύθη καὶ ὁ λόχος ηὐτρέπιστο καὶ οἱ τὸ ἔργον εἰς πέρας ἄγοντες ἕτοιμοι, σύνθημα ὁ Συμβάτιος ἀλλ' οὐκ ἄλλος εὐτρέπιστο. ἄρτι οὖν ἐξῄει τὰς ἀναφορὰς ἀναγνοὺς ἐξ αὐτῶν, καὶ τὸ σημεῖον ἐδίδου σταυρὸν εἰς τὸ πρόσωπον ἐγχαράττων αὐτοῦ. ἀλλ' αὖθις ἀναβολαί τινες ἦσαν καὶ ἀτολμίαι τῷ P 128 παρουσιάζειν καὶ κατὰ τὸ πρόσωπον ἵστασθαι τὴν τοῦ Καίσαρος ἑταιρείαν· ὅπερ ὁ Μιχαὴλ εὐλαβούμενος μὴ κατάφωρος γένηται καὶ καθ' ἑαυτοῦ ἐπισπάσῃ τὴν μάχαιραν, ἐθαρσοποίει τε τοὺς ἄνδρας διὰ πιστοῦ τινὸς καὶ θαρραλεωτέρους ἐδείκνυ ταῖς ὑπο-

pervenissent, qui priores locum occupassent, tentoria certatim ac diligenti opera figebant. in his accidit, sive id dedita opera sive per ministrorum imprudentiam, ut Michaelis tentorium humili planoque loco expanderetur, Caesaris autem in quodam tumulo pauloque editiori loco. hoc ita factum, ceu oblatum quoddam ac lucrum insperatum arripientes, qui Michaeli adversus Caesarem obtrectabant, viro calumniabantur eique insidias struebant. ingens tamen Caesaris potentia inimicos turbabat et ad audendum facinus segniores reddebat. tum enim Antigonus scholarum domesticus Bardae quam Michaeli, filius scilicet patri, propensius parebat honoremque habebat; tum duces alii, Symbatiusque dromi logotheta, Bardae ex filia gener, eius plane rebus studere cogebatur. verum nesciebat Bardas hunc fraude a Michaele in suas traductum partes, eique praecipuum necis auctorem fore. instructo ergo consilio paratisque insidiis, ac expeditis qui rem praestituri essent, non alii quam Symbatio concredita facinoris tessera est. iam ergo lectis relationibus Symbatius ab illis exierat, impressoque fronti crucis signaculo signum dederat. verum iterum morae atque timores, eo quod praesens ac in conspectu cohors Caesaris foederatorum erat. veritus itaque Michael ne inter has moras re detecta gladium in se traheret, per quemdam fidissimum coniuratos confirmat, bonaque ac honores pollicitus animis audentiores facit.

σχέσεσι καὶ τιμαῖς. κἂν παρῆλθεν τὸν κίνδυνον καὶ τὸν φόνον ὁ Καῖσαρ ἐξέφυγεν, τῷ δέει τούτων καταπλησσομένων καὶ ἀθυμίᾳ καταβαλλομένων· ἀλλὰ πάλιν δι' ἀποκρίσεως ἐδήλου τῷ Βασιλείῳ (παρακοιμώμενος δὲ οὗτος ἦν) τὴν ἐπὶ ξυροῦ ἑστῶσαν ἀνάγκην, καὶ ἀπελέγετο τὴν ζωήν, καὶ πρὸς τὸν φόνον καθώπλιζεν. ὧν
B *ἀκηκοὼς ὁ Βασίλειος, καὶ περὶ τοῦ βασιλέως κατορρωδῶν, ἀπορρῖψαι πείθει τὸ δέος αὐτούς, καὶ "ὢ τῆς ἀνδρίας" εἰπὼν "καὶ εὐτόλμου ψυχῆς" ἐπτέρωσέ τε ἄφνω αὐτοὺς καὶ εἰσπηδῆσαι πρὸς τὸν ἀγῶνα ἐποίησεν. οὓς ὁ Βάρδας ἀθρόως ξιφήρεις ἰδὼν καὶ καταπλαγεὶς ἔγνωκέ τε τὸν θάνατον καὶ πρὸς τοὺς πόδας ἔρριψε τοῦ βασιλέως αὐτόν. ἀλλ' οὐκ ἦν τοῦτον διεκφυγεῖν· ὅθεν αὐθωρὸν ἐκεῖθέν τε αὐτὸν ἀποσπῶσι καὶ μεληδὸν κατατέμνουσι, μηνὶ Ἀπριλλίῳ, εἰκάδι πρώτῃ, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης. εἶτα κοντῷ τὰ παιδογόνα τούτου ἀπαιωρήσαντες μόρια παραδειγματί-*
C *ζουσί τε καὶ θριαμβεύουσι. θορύβου δὲ πολλοῦ γενομένου καὶ ταραχῆς, ἦν ἰδεῖν καὶ τὸν Μιχαὴλ μικροῦ τὸν περὶ ψυχῆς θέοντα· ἀλλ' ὁ τῆς βίγλης δρουγγάριος (Κωνσταντῖνος δὲ ἦν) ἐν μέσῳ που συρρυεὶς τὸν πολὺν ἐκεῖνον διέλυσε θροῦν, εὐφημίαις τε βάλλων αὐτὸν καὶ παρατάξεις ἀνθοπλίζων κατὰ τῶν ἐπανισταμένων. ὁ μὲν δὴ Βάρδας οὕτως ἐξ ἀνθρώπων ἐγένετο, καὶ οὕτως ἡ κατὰ τῶν Κρητῶν διελύθη στρατιά, τοῦ βασιλέως κατὰ τὸ Βυζάντιον ὑποστρέψαντος.*

42. *Καὶ ἕτερον δὲ σημεῖον πρὸ δύο ἢ καὶ πρὸ τριῶν ἡμε-*

ac sane parum abfuit quin Caesar periculo tutus abiret necemque evaderet: tanto scilicet metu coniurati perculsi erant, sicque animis languebant. verum iterum misso nuntio Michael Basilio accubitori significat in novaculae acie constitutam rei necessitatem esse; desperare se vitam; ad Bardae necem se cito instruat. quibus auditis Basilius, deque imperatoris salute solicitus, timorem coniuratis excutit, hisque verbis "o audacem fortemque animum!" mox alacres reddidit et ad certamen facinusque aggrediendum impulit. Bardas eos strictis gladiis in se irruere contuens, terrore perculsus, praesentique vitae animadverso discrimine, ad imperatoris se pedes abiicit. haud tamen fieri poterat ut mortem effugeret. statim ergo inde avulsum membratim concidunt, mensis Aprilis vigesima prima, indictione quartadecima. tum eius genitalia conto praefixa per ludibrium ostentant atque traducunt. ingenti autem excitato tumultu magnaque orta turbatione, videre erat Michaelem vix non in vitae periculum adductum: verum Constantinus biglae drungarius in medium prorumpens ingentem illum tumultum compescuit, tum faustis ominibus Michaelem prosecutus, tum armatorum aciem tumultuantibus opponens. in hunc modum Barda sublato, missa Cretensi expeditione, imperator Byzantium rediit.

42. Sed et aliud signum ante duos tresve dies contigerat. Theo-

ρῶν τῷ Βάρδᾳ παρεσημαίνετο· ἡ γὰρ Θεοδώρα, εἴτ' ἄλλως θεοφορουμένη εἴτε δὴ καὶ ὑπό τινος τῶν μεμελετημένων διακούσασα, D *ἐσθῆτά τινα παγκάλην μὲν καὶ χρυσαῖς πέρδιξι πεποικιλμένην, οὐκ ἀναλογοῦσαν δὲ τῷ μήκει τῆς ἡλικίας αὐτοῦ ἀλλὰ καὶ πολὺ ἀποδέουσαν αἰνιγματωδῶς ἐξαπέστειλεν. τό τε γὰρ πέρδικας ἀλλὰ μή τινας ἄλλας τῶν ὀρνίθων ἐνυφᾶναι, ἀλλὰ μὴν καὶ τὸ τῆς ἐσθῆτος ἐνδέον εἰς δόλον ἐμπεσεῖν θᾶττον ἢ ἔδει προυσήμανεν.*

43. *Πλὴν ἀλλ' ὁ μὲν βασιλεὺς ὑπέστρεφε, τόν τε Βασίλειον, ἐπεὶ μὴ εὐμοίρει παιδός, υἱοποιεῖται καὶ τῆς τῶν μαγίστρων τιμῆς ἀξιοῖ. ἐπεὶ δὲ χρόνου προϊόντος τὰ κοινὰ διοικεῖν οὐχ οἷός* P 129 *τε ὁ Μιχαὴλ ἦν καὶ τῆς ἑαυτοῦ ἀφελείας ᾐσθάνετο καὶ ἅμα ἐπανάστασιν μελετᾶσθαι καὶ ἀποστασίαν παρὰ τῆς συγκλήτου διήκουεν τῷ τὰ τῶν Ῥωμαίων διοικεῖσθαι κακῶς, καὶ τὸ περιμάχητον διάδημα τῇ κεφαλῇ αὐτοῦ ἐπιτίθησι, καὶ βασιλέα τῇ ἡμέρᾳ πεντηκοστῆς, μηνὶ Μαΐῳ, εἰκάδι ἕκτῃ, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἀναδείκνυσί τε καὶ ἀναγορεύει κατὰ τὴν μεγάλην ἐκκλησίαν ᾗ ἐπώνυμον σοφία θεοῦ. ἀλλ' ὅστις μὲν οὗτος ὁ Βασίλειος καὶ ὅθεν, καὶ ὅπως ἦλθεν εἰς γνῶσιν τοῦ κρατοῦντος, ἡ κατ' αὐτὸν ἱστορία δηλώσει· τὰ νῦν δὲ τῆς βασιλείου δόξης ἀξιωθεὶς εἴχετο* B *μὲν τῆς βασιλείας, ἀπείχετο δὲ τῶν καθ' ἑκάστην ἁμιλλητηρίων καὶ ἱπποδρομιῶν καὶ τῶν περὶ τὸν αἰσχρότατον Γρῦλον καὶ ψευδοπατριάρχην αἰσχρουργιῶν, ὧν ἀκαίρως ἐνετρύφα ὁ Μιχαήλ.*

5 γὰρ] **μὲν** P 6 **ἀνυφάναι** P

dora namque (sive alias numine afflata, sive etiam alicuius relatu docta structas Bardae insidias) vestem quandam, eam quidem pulcherrimam aureisque perdicibus intextam, illius tamen staturae imparem longeque quam pro illa breviorem, sub aenigmate ad eum miserat. tum enim perdices, non aliae quaevis aviculae, temere intextae, tum et vestis ipsa brevitas, citius quam par esset eum dolo circumventum iri fuere praesagio.

43. Ceterum imperator domum revertitur, quodque nullam prolem sustulerat, Basilium magistri dignitate ornatum adoptat. tumque Michael impar ipse administrandae rei publicae et cum sua eum illa gerenda simplicitas stoliditasque non lateret, simulque audisset moliri senatum in eum defectionem propterea quia illo principe res Romanae male administrabantur, etiam diadema, rem palmariam ac expetendam, illius capiti imponit, ac die sacro pentecostes, Maii vigesima sexta, indictione quarta decima, imperatorem constituit, acclamatque in magna ecclesia, cui nomen dei sapientia existit. at quisnam fuerit hic Basilius ac cuias, quave ratione in notitiam imperatoris venerit, sequens rerum illi gestarum historia declarabit. iam itaque Augusti dignitate donatus imperii curis sese impendebat, seque a quotidianis ludicris ac Circensibus abstinebat, nec non a turpissimi pseudopatriarchae Gryli spurcitiis, quibus importune

(44) *πάντων μὲν γὰρ κόρον εἶναι καὶ τῶν αἰσχρῶν καὶ τῶν φυσικῶν εἴρηταί τε πολλοῖς, καὶ ἡ πεῖρα τούτων διδάσκαλος ἀκριβής· Μιχαὴλ δὲ τῷ τότε κρατοῦντι οὔτε τῶν ἱπποδρομιῶν οὔτε μὴν τῶν ἄλλων ἀκρατοποσίων τε καὶ αἰσχρῶν κόρος ἦν, ὥς φασίν. ἃ πειρώμενος κωλύειν ὁ Βασίλειος καὶ πορρωτέρω τούτων ποιεῖν*
C *αὐτόν, νῦν μὲν παραινέσεσι χρώμενος, νῦν δ' ἄλλως μῖσος παρὰ τῶν πολιτῶν καὶ τὰς παρὰ τῶν ἱερέων ἀρὰς καὶ τὰς τῆς συγκλήτου ἐπαναστάσεις προτιθεὶς καὶ οἷον ἐνώπιον αὐτοῦ ζωγράφων, ἔλαθε τῷ φθόνῳ ἑαυτὸν καθυποβαλών, καὶ ἀντὶ φίλου ἐχθρὸς καὶ μεμισημένος ὁ υἱοθετηθεὶς ἐνομίζετο. ἐντεῦθεν οὐ πολὺ τὸ ἐν μέσῳ, καί τινα ἄλλον, τοῦ βασιλικοῦ δρόμωνος ἐρέτην τηνικαῦτα τελοῦντα (Βασιλικῖνος οὗτος ἐλέγετο, καὶ ἀδελφὸς ἦν Καπνογένους ἐκείνου τοῦ τὴν ὑπαρχικὴν ἀξίαν ἠξιωμένου τὸ δεύτερον), ἀγαγὼν τὴν πορφύραν τε ἐνδύει καὶ τὸ διάδημα περιτίθησιν, καὶ τὰ παράσημα*
D *τῶν ὑποδημάτων περιβαλὼν ἐξάγει πρὸς τὴν σύγκλητον τῆς χειρὸς ἔχων αὐτόν, καὶ πρὸς τὴν γερουσίαν φησὶν ὡς ἔδει πάλαι με τοῦτον εἰς τουτονὶ τὸν περίβλεπτον κόσμον, ὦ ἄνδρες, ἐπαγαγεῖν.*

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος,
καὶ δεύτερον δὲ συμφυὲς πέλει στέφος,
ἅπαντα δ' ἁρμόζουσι πρὸς τὴν ἀξίαν·

καὶ ὅτι πόσον ἦν κάλλιον τοῦτόν με ποιῆσαι βασιλέα ἢ τὸν Βασίλειον, ἐφ' ᾧ μεταμεμέλημαι ἐφ' οἷς αὐτὸν ἐβασίλευσα." αὕτη τῆς καταλύσεως αὐτοῦ ἡ ἀρχή. τοῦτο πάντας περιηχῆσαν ἐκπλα-

Michael oblectabatur. (44) afferre demum omnia nauseam, turpia pariter et naturalia, tum vulgo ferunt, tum perspicue docet quae horum magistra experientia existit. Michaelem tamen tum rerum potientem, ut aiunt, nulla Circensium ludorum, at neque aliorum, compotationum turpiumque, satietas capiebat. haec Basilius cum prohibere vellet, ac Michaelem procul ab eis avocare modo quidem admonendo atque hortando, modo vero civium odia, sacerdotum diras, senatus prope rebellantes animos proponendo ac velut in tabella coram depingendo, illius sibi imprudens invidiam conflavit; hostisque loco amicus, ac qui adoptatus fuerat, ipse exosus habebatur. hinc brevi post Basilicinum quendam imperatoriae tunc celocis remigem, ac illius fratrem Capnogenis qui secundo praefecti dignitatem gessit, adducens purpura induit, impositoque diademate atque ocreis adhibitis, quod imperatorum insigne est, eo habitu manu sua ad senatum eduxit, ad eumque in haec verba oravit: "par erat, patres conscripsi, ut hunc olim vobis illustri hoc habitu virum producerem, cui inest

primum corona forma digna regia,
deinde cognatum diadema est huic viro,
suntque omnia dignitati convenientia.

quam vero praestabat hunc me potius quam Basilium imperatorem creare, quem et paenitet creavisse?" factum hoc ac verba exitii Michaelis origo exstiterunt. istud sic dictum omnium aures circumsonans nimium cunctis

γῆναί τε τούτους ἐποίησε καὶ ἀφασίᾳ καταληφθῆναι πολλῇ, ὅτι P 130 κατὰ τοὺς μυθικοὺς Γίγαντας βασιλέας σπαρτοὺς καθ᾽ ἑκάστην ἡμέραν ἀναδίδωσιν. ηὔξητο μὲν οὖν ἔκτοτε τὸ πρὸς τὸν Βασίλειον μῖσος, καὶ σφοδρότερον κατὰ τὴν τοῦ πυρὸς φύσιν ἐγίνετο, ὑπέκκαυμα ἔχον καὶ αἴτιον τὸ μήτε συμφθείρεσθαι βούλεσθαι τούτοις αὐτὸν μήτε μὴν συνεπάγεσθαι ταῖς ἀκολάστοις γνώμαις αὐτῶν. εἰς τοσαύτην γὰρ ὁ Μιχαὴλ πολλάκις ἄνοιαν ἐξ ἀκρατοποσίας καὶ μέθης ἐξώκειλεν ὡς κατ᾽ αὐτὴν μὲν καὶ τὸν ταύτης καιρὸν δεινά τινα καὶ πέρα δεινῶν ἐγκελεύεσθαι· τοῦ μὲν γὰρ ἀφαιρεῖσθαι τὰ B ὦτα καὶ ἄλλου τὴν ῥῖνα καὶ τὴν κεφαλὴν ἑτέρου προσέταττεν· ἃ εἰ μή τινες οἴκτῳ κρατούμενοι παρημέλουν καὶ πρὸς τὴν αὔριον ἔπεμπον, ἀνάκλησίν τινα καὶ μεταμέλειαν τοῦ ἀνδρὸς ἐκδεχόμενοι, ὅπερ καὶ ἦν, κἂν ἀπώλετο σύμπας ὁ παραμένων αὐτῷ καὶ συγκαρτερῶν. μικροῦ δὲ καὶ Βασίλειος συναπώλετο, τῆς παροινίας οὐκ ὀλιγάκις παίγνιον γεγονώς. ἀλλ᾽ ἐκαρτέρει καὶ ἔμενε μετάμελόν τινα γενηθῆναι κατὰ τὸν ἄνδρα ὀψὲ γοῦν ὑποτοπάζων. ἀλλ᾽ οὐκ ἦν τοῦτον ὥσπερ ἁρμάτειον τροχὸν ἐκ πρώτης ἡλικίας καμφθέντα, οὐδ᾽ ἂν εἴ τι γένοιτο, τὴν ἐξ ἀρχῆς εὐθυωρίαν λαβεῖν. τοιγαροῦν C μείζονα κατὰ Βασιλείου συρράπτει ἐπιβουλήν. ἡ δὲ ἦν ἐν τῷ κυνηγίῳ λόγῳ μὲν κατὰ τῆς θήρας ἔργῳ δὲ κατὰ τοῦ Βασιλείου τὴν τῆς λόγχης ῥῖψιν ποιῆσαί τινα τῶν ὑπασπιστῶν. καὶ τοῦτο αὐτὸς ὁ προσταγεὶς καὶ τὴν λόγχην ἀφεὶς κατὰ τὸν τῆς ἐξόδου και-

stuporem iniecit, et ut vox omnibus haereret fecit; quod fabulosorum more Gigantum satos Michael quotidie imperatores ederet. inde itaque auctum in Basilium odium, ac ignis instar vehementiori flamma exarsit, hoc scilicet eius fomento ac causa, quod una se cum eius sodalibus vitiis dedere non pateretur, nec illorum effreni licentiae morem gereret. in tantam enim saepius dementiam mero obrutus ac per ebrietatem Michael erumpebat, ut absurda quaedam modumque omnem iniuriae excedentia praeciperet, atque alii aures, alii nares, alii denique caput amputandum iuberet. ac nisi viri quidam misericordia moti negligenda putassent ac in crastinum distulissent, ea Michaeli quandoque revocanda sperantes, ac fore ut is eorum aliqua paenitudine duceretur (quod et contingebat), plane periissent quotquot illi aderant inque aula assidui ac domestici erant. quin et parum abfuit ne et ipse Basilius pari involveretur exitio, illius ebrii petulantiae non raro factus ludibrium. sustinebat tamen, ac tandem aliquando quadam ducendum paenitentia Michaelem existimabat. verum fieri non poterat ut iam a prima aetate, haud secus ac currus rota, inflexus, quicquid accidisset, nativam pristinamque rectitudinem reciperet. itaque atrociores adversus Basilium structae insidiae. in eo autem illae positae, ut inter venandum specie quidem feriendi feram, re vera autem configendo Basilio satellitum quidam hastam conciliaret. consilium hoc is ipse qui mandatum acceperat hastamque vibrarat, in

ρὸν ἐξαγορεύσας δῆλον πεποίηκε καὶ πιστόν. ἀφῆκε μὲν οὖν οὗ-
τος τὴν λόγχην ὁ κελευσθείς, διημάρτανε δέ· καὶ οὕτω σέσωστο
ὁ Βασίλειος, ἔγγιστα θανάτου γενόμενος, ὑπὸ τοῦ τὸν θάνατον
D *καταπεπατηκότος θεοῦ. ταῦτ᾽ οὖν ἔκπυστα γενόμενα πᾶσι καὶ*
φανερὰ τὴν κατ᾽ αὐτοῦ ἠκόνησε μάχαιραν. ἵνα γὰρ μὴ καὶ τὸν
Βασίλειον ὡς πρὸ μικροῦ τὸν Καίσαρα σφαττόμενον ἴδωσι, καὶ
πρὸ τούτου αὐτὸν Θεόκτιστον, εἴτε βουλῇ τῆς συγκλήτου βουλῆς
εἴτε γνώμῃ τῶν φιλούντων Βασίλειον (κοινὸς γὰρ καὶ κατ᾽ αὐτῶν
ὁ θάνατος ἐπηπείλητο) σφάττεται ὑπὸ τῶν προκοίτων τοῦ βασιλέως
ἀνδρῶν, κατὰ τὰ ἀνάκτορα τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος,
μηνὶ Σεπτεμβρίῳ, εἰκάδι τετάρτῃ, ἰνδικτιῶνος πρώτης, ἔτους
P 131 *ἑξακισχιλιοστοῦ τριακοσιοστοῦ ἑβδομηκοστοῦ ἕκτου, ὥρᾳ τῆς νυκ-*
τὸς τρίτῃ, βεβασιλευκὼς ἔτη μετὰ μὲν τῆς Θεοδώρας τῆς τούτου
μητρὸς τέσσαρα καὶ δέκα, καὶ μόναρχος δέκα καὶ ἕν, καὶ πρὸς
τοῖς τρισὶ μησὶ χρόνον ἕνα ὕστερον μετὰ Βασιλείου.

45. *Καὶ τὰ μὲν εἰρημένα σκηνικά τε ἅπαντα καὶ θεατρικά,*
ἄξιον δὲ μεμνῆσθαι καὶ τῶν ἐπαινετῶν. ἡ γὰρ τῶν ὧν ἔφερεν
ἀναθημάτων ἐν τῷ περιωνύμῳ ναῷ τῆς τοῦ θεοῦ σοφίας κατα-
σκευὴ φιλεργῶς τελεσθεῖσα καὶ φιλοτίμως ἐπαινετή. οὔτε γὰρ
B *τῷ δίσκῳ τῶν παλαιῶν τι κειμηλίων καὶ ἱερῶν, καὶ τῶν ἀφ᾽ οὗ*
γεγόνασιν ἄνθρωποι τεχνουργηθέντων ἐν ναοῖς, κατὰ τὸ μέγεθος
ἐξισάζεται, οὔτε τις εὐπρέπεια καὶ ὡραιότης τινὶ τῶν γενομένων
ἐπήνθησεν, πάντων ἐκεῖ τῶν ὡραίων καὶ τιμίων συνδεδραμηκότων·

vitae exitu constitutus suamet confessione cunctis manifestum fecit, et ut nihil inde ambigi possit. ac hastam quidem misit, a Basilio tamen aberravit. inque hunc modum servatus Basilius, in vitae proxime discrimen adductus, deo, qui mortem calcavit, illi salutis auctore. haec itaque cunctis prodita ac palam facta gladii in eum acuendi causa exstiterunt. ne enim etiam Basilium (uti nuper Caesarem et antea Theoctistum) tristi nece sublatum conspicerent, sive senatusconsulto, sive Basilii amicorum consilio (unum enim ac commune omnibus impendebat exitium) ab imperatoris ipsis excubitoribus in sancti praeclari martyris Mamantis palatio neci traditur, die vigesima quarta Septembris, indictione prima, anni 6376, hora noctis tertia. imperavit cum Theodora matre sua annos quattuordecim, solus undecim, posteaque adlecto Basilio annum unum menses tres.

45. Ac ea quidem quae hactenus dicta sunt scenica omnia et ad Circum ludosque spectantia: operae pretium vero est ut et eorum meminerimus quae laudem aliquam merentur. quae enim in celebratissimo dei sapientiae templo donaria obtulit, pro structurae ratione elegantia ac magnifica, laudem habent. neque enim ullum veteris ac sacrae supellectilis pignorum, sive illorum quae subtili arte elaborata, quo ex tempore homines esse coeperunt, sacris aedibus ornamento fuerunt, oblato ab eo disco vel mole aequatur vel pari elegantia est ac venustate: in cuius

καὶ τὸ ποτήριον δὲ τούτῳ λίαν κατάλληλον. οὐ μὴν δὲ καὶ ὁ εἰς φωταγωγίαν κατασκευασθεὶς αὐτῷ κύκλος, ὅπερ φασὶ πολυκάνδηλον, τινὶ τῶν ἄλλων ἡλάττωται, ἀλλὰ καὶ οὗτος ἐκ χρυσοῦ ὅλος γενόμενος, λίτρας ἔχων ἑξήκοντα, τῶν ἄλλων διαφέρει κατὰ πολὺ καὶ τούτῳ δίδωσι τὰ πρωτεῖα καὶ τὸ σεβάσμιον.

structuram, quicquid usquam venustum est ac pretiosum, videatur conflatum esse. accedit et calix, ipse quoque disco perquam affinis. quin et circulus multiplici in orbem sustentanda face ab eo fabrefactus (*πολυκάνδηλον* vocant) nulli usquam aliorum cesserit: totus namque ex auro conflatus librarum sexaginta pondo longe reliquis praecellit, palmarium sane opus ac plane augustum.

ΙΣΤΟΡΙΚΗ ΔΙΗΓΗΣΙΣ ΤΟΥ ΒΙΟΥ ΚΑΙ ΤΩΝ ΠΡΑΞΕΩΝ P 132

Β Α Σ Ι Λ Ε Ι Ο Υ

ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ,

ΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΒΑΣΙΛΕΥΣ ΕΝ ΘΕΩΙ ΡΩΜΑΙΩΝ, Ο ΤΟΥΤΟΥ ΥΙΩΝΟΣ, ΦΙΛΟΠΟΝΩΣ ΑΠΟ ΔΙΑΦΟΡΩΝ ΑΘΡΟΙΣΑΣ ΔΙΗΓΗΜΑΤΩΝ ΤΩΙ ΓΡΑΦΟΝΤΙ ΠΡΟΣΑΝΕΘΕΤΟ.

Ἦν μὲν προθυμία καὶ ἔφεσις ἐκ πολλοῦ ἐμπειρίαν πραγμάτων καὶ γνῶσιν ταῖς τῶν σπουδαιοτέρων ἐμφυτεῦσαι διανοίαις διὰ τοῦ ἀειμνήστου καὶ ἀθανάτου τῆς ἱστορίας στόματος, καὶ ἐβουλόμην, ἂν ἄρα οἷός τε ὦ, τοῦ σύμπαντος τῆς ἐν Βυζαντίῳ Ῥωμαϊκῆς ἀρχῆς χρόνου τῶν τε αὐτοκρατόρων καὶ τῶν ὑπ᾽ αὐτοὺς ἀρχόντων P 133

18 *μὲν*] *μοι* A i. e. editio Allatiana.

HISTORIA DE VITA ET REBUS GESTIS

B A S I L I I

I N C L Y T I I M P E R A T O R I S,

QUAM CONSTANTINUS DEI GRATIA ROMANORUM IMPERATOR, IPSIUS NEPOS, STUDIOSE AC DILIGENTER EX VARIIS NARRATIONIBUS CONGESSIT, AC SCRIPTORI CONTRIBUIT.

Cupienti olim animo accensoque desiderio rerum experientiam ac notitiam, sempiternae memoriae immortalisque historiae ore, studiosiorum animis inserere optabam. ac quidem statueram, si modo vires obsecundarent, omnis retro imperii Romani Byzantii imperatorum eisque subie-

καὶ στρατηγῶν καὶ ὑποστρατήγων καὶ τῶν καθ᾽ ἕκαστα τὰς ἀξιολογωτέρας τῶν πράξεων ἀναγράψασθαι. ἐπεὶ δὲ ἐδεῖτο τὸ πρᾶγμα καὶ χρόνου πολλοῦ καὶ πόνου συχνοῦ καὶ βιβλίων ἀφθονίας καὶ σχολῆς τῆς ἀπὸ τῶν πραγμάτων, ταῦτα δ᾽ ἡμῖν οὐ προσῆν, εἰς τὸν δεύτερον ἐξ ἀνάγκης ὑποβέβηκα πλοῦν, καὶ τέως ἑνὸς βασιλέως, ἐπὶ μέγα τὸ τῆς βασιλείας κράτος ὑψώσαντος, ὃς καὶ τῆς βασιλείας ἐπώνυμος ἦν καὶ μέγα ὄφελος τῇ πολιτείᾳ Ῥωμαίων ἐγένετο καὶ τοῖς πράγμασιν, ἐξ ἀρχῆς καὶ μέχρις αὐτῆς τελευτῆς τὰς πράξεις καὶ τὴν ὅλην ἀγωγὴν διηγήσασθαι, ὡς ἂν καὶ τοῖς B μετέπειτα μὴ ἀγνοῆται βασιλείου στελέχους ἐπὶ πολὺ τοῦ χρόνου παρεκταθέντος ἡ πρώτη πηγὴ καὶ ῥίζα, καὶ τοῖς ἐκγόνοις ἐκείνου οἴκοθεν εἴη ἀνεστηκὼς ὁ πρὸς ἀρετὴν κανών τε καὶ ἀνδριὰς καὶ τὸ ἀρχέτυπον τῆς μιμήσεως. εἰ δὲ ἐπιμετρηθείη καὶ χρόνος ἡμῖν ἔτι ζωῆς, καὶ γένηταί τις καὶ ἀπὸ τῶν νόσων ἐκεχειρία μικρά, καὶ μηδὲ τῶν ἔξωθεν εἴη τι ἐμποδών, ἴσως προσθῶμεν ἐχομένως καὶ τῆς ἄχρις ἡμῶν κατιούσης αὐτοῦ γενεᾶς τὴν ὅλην τῆς ἱστορίας ἀφήγησιν.

2. Πλὴν οὖν οὗτος ὃν ὁ λόγος νῦν ὑποδεῖξαι κατεπαγγέλC λεται, αὐτοκράτωρ Βασίλειος ὡρμᾶτο μὲν ἐκ τῆς Μακεδόνων γῆς, τὸ δὲ γένος εἷλκεν ἐξ Ἀρμενίων ἔθνους Ἀρσακίων. τοῦ γὰρ παλαιοῦ Ἀρσάκου, ὃς Πάρθων ἡγήσατο, ἐπὶ μέγα δόξης προελθόντος καὶ ἀρετῆς, νόμος τοῖς ὕστερον ἐχρημάτισε μὴ ἄλλοθεν βασι-

4 πράξεων A 14 ἀπὸ add A 15 μηδὲν P

ctorum magistratuum bellique ducum seu praetorum et legatorum singulorumque actus gestaque nobiliora scripto consignare. quod tamen istiusmodi provincia multo tempore continuoque labore et librorum copia atque a rerum cura negotiorumque strepitu otio indigeret, quae sane mihi deesse videbam, secundae necessario navigationi animum adieci, uniusque saltem imperatorum, qui maiestatem imperii mirum quantum promovit (qui ab imperio seu regno nomen habuit) Romanaeque rei publicae ac rebus ab initio ad vitae usque exitum plurimum profuit, res gestas vitaeque omne institutum ac rationem commemoranda mihi proposui, ne scilicet stirpis regiae diu multumque productae primus fons radixque posteros lateat, habeantque eius nepotes domestico exemplo erectam virtutis regulam et statuam atque principem formam, in quam imitationem intendant. sin autem etiam longiora adhuc praestabuntur vitae spatia, ac morborum etiam exiguae quaedam dentur indutiae, nec exteriorum curae impediant, continua forsan serie totius illius progeniei ad nos usque adiiciemus historiam.

2. Hic enimvero cuius nunc historiam profitetur oratio, Basilius imperator ex regione Macedonum trahebat originem, referebatque ad Armenios, Arsacidas genere. vetere enim Arsace, qui Parthorum imperium tenuit, ingentem virtutis et laudis gloriam consecuto, posteris lex inolevit non ab aliis quam ab Arsacis familia eiusque nepotibus Parthos

λεύεσθαι μήτε Πάρθους μήτε Ἀρμενίους, ἀλλὰ μηδὲ Μήδους, ἢ παρὰ τοῦ γένους Ἀρσάκου καὶ τῶν ἀπογόνων αὐτοῦ. οὕτως οὖν τῶν εἰρημένων ἐθνῶν ὑπὸ τῆς τοιαύτης βασιλευομένων σειρᾶς, κατά τινας χρόνους τοῦ Ἀρμενίων κατάρχοντος ἐξ ἀνθρώπων ἀποιχομένου συνέβη στάσιν γενέσθαι περὶ τὰ βασίλεια καὶ τοὺς διαδόχους τῆς τοιαύτης ἀρχῆς. Ἀρτάβανος οὖν καὶ Κλειένης οὐ D μόνον τῆς προγονικῆς ἐκπεπτωκότες ἀρχῆς, ἀλλὰ καὶ τὴν ζωὴν κινδυνεύοντες, τὴν βασιλεύουσαν ταύτην καταλαμβάνουσι Κωνσταντινούπολιν. Λέων ἦν ὁ μέγας τηνικαῦτα τὴν Ῥωμαϊκὴν διέπων ἀρχήν, ὁ Ζήνωνος πενθερός. οὗτος οὖν τοὺς ἄνδρας ὑποδεξάμενος καὶ ἀξίως τῆς περὶ αὐτοὺς εὐγενείας φιλοφρονησάμενος οἴκησίν τε καὶ δίαιταν τὴν προσήκουσαν ἐν τῇ βασιλίδι ἀπένειμε. μαθὼν δὲ τῶν ἀνδρῶν τὴν ἐκ τῆς πατρίδος φυγὴν καὶ πρὸς τὴν βασιλεύουσαν ταύτην καταφυγήν, καὶ ὡς εὐμενῶς ὑπὸ τῶν κρατούντων ἐδέχθησαν, ὁ τότε τὰ τῆς Περσικῆς διέπων ἀρχῆς γράμ- P 134 μασιν αὐτοὺς μετεκαλεῖτο, εἰς τὴν πατρῴαν ἡγεμονίαν ἐγκαταστῆσαι δῆθεν ὡς εὐνοῶν ὑπισχνούμενος, ἑαυτῷ δὲ τὴν τοῦ ἔθνους ἐντεῦθεν ὑποταγὴν μνηστευόμενος. δεξαμένων δὲ τούτων τὰ γράμματα καὶ περὶ τῶν πρακτέων ἔτι διασκοπουμένων, μηνύεται ταῦτα παρά τινος τῶν ἐξυπηρετούντων αὐτοῖς τῷ βασιλεῖ, καὶ ἡ ἐπιστολὴ ἐγχειρίζεται. γνωσθέντος δὲ τοῦ πράγματος, ὡς οὐκ αὐτοῖς τοσοῦτον τὴν ἀρχὴν ὅσον ἑαυτῷ τὸ ἔθνος ὁ Πέρσης ὑποτάξαι βουλόμενος τὴν τούτων ἐποιεῖτο μετάπεμψιν, ὅπερ οὔτε τοῖς

16 ἐγκαταστῆναι P

Armenios Medosque ipsos, qui regia potestate ipsis praesint, esse habituros. in hunc itaque modum, cum illae, quas dixi, gentes ab stirpe eiusmodi imperio regerentur, illo qui apud Armenios rerum potiebatur quandoque ex humanis sublato, contigit de iure regni deque principatus istiusmodi successoribus dissidium oriri. hincque adeo Artabanus et Clienes non solum avito imperio spoliati, sed et in vitae iam periculum adducti, in regiam hanc Constantini urbem veniunt. Leo Magnus tunc imperio praeerat, Zenonis socer. hic igitur viros suscipiens ac pro generis splendore magnifice pertractans, aedes ad habitandum congruaque victus stipendia in urbe regia illis assignavit. ut autem horum e patria fugam et in regnantem hanc urbem accessum omnique humanitate ab imperatoribus susceptos esse didicit is qui tum res Persicas administrabat, datis literis, benevolentiae in eos larva, in paternum se illos imperium restituturum pollicitus, re vera autem ea sibi molitione gentem conciliare ac subiicere satagens advocabat. acceptis literis, dum adhuc quid sibi facto opus deliberant, res per unum aliquem famulorum imperatori defertur ac epistola ipsa contraditur. rei itaque explorato momento, Persamque non tam illis imperium quam sibi gentem subiiciendam, quod sic invitabat, procurare haud dubia coniectura comperto, quod neque

B καλουμένοις οὔτε τῶν Ῥωμαίων ἐλυσιτέλει τοῖς πράγμασιν, πρόνοια γίνεται τοῦ μὴ τὸ τοῖς Πέρσαις δοκοῦν εἰς πέρας ἐλθεῖν. καὶ διὰ τοῦτο ὑποτεμνομένου τοῦ βασιλέως τήν, εἰ τύχοι, εὐχέρειαν τοῦ δρασμοῦ μετ' εὐπρεποῦς τοῦ σχήματος, ὡς ἐπ' εὐρυχωρίας δῆθεν καὶ ἀδείας πλείονος, εἰς Νίκην τὴν κατὰ Μακεδονίαν πόλιν μετὰ γυναικῶν καὶ τέκνων (καὶ αὗται γὰρ μετὰ ταῦτα αὐτοῖς ὑπεκλάπησαν) μετοικίζονται. τοῦ δὲ χρόνου ῥέοντος καὶ τῶν Σαρακηνῶν ἐπὶ μείζονος δυναστείας προαγομένων, τὴν ὁμοίαν πεῖραν τοῖς τῶν προτέρων ἀπογόνοις Ἀρσακιδῶν ὁ τότε ἀμερμνουνὴς προ-
C εβάλετο, καὶ διὰ γραμμάτων μετεκαλεῖτο αὐτοὺς εἰς τὴν προγονικὴν δῆθεν ἐξουσίαν τε καὶ ἀρχήν. φωραθέντος δὲ καὶ τοῦ τοιούτου δράματος Ἡρακλείῳ τῷ τηνικαῦτα βασιλεῖ, καὶ τῶν γραμμάτων ἐγχειρισθέντων, ἐπεὶ μὴ εὐνοίᾳ τούτων ἔγνω τὴν μετάπεμψιν γενομένην ἀλλ' εἰς πρόθεσιν οἰκείας ἐπικρατείας τῶν ταῦτα μηχανωμένων (ἤλπιζον γὰρ τὸ ἔθνος ἐκ τῆς πρὸς τὸν παλαιὸν Ἀρσάκην εὐνοίας ῥᾳδίως, εἰ τούτους ἔχοιεν μεθ' ἑαυτῶν, προσάξεσθαι οἱ Σαρακηνοί), διὰ τοῦτο καὶ εἰς Φιλίππους, μίαν καὶ αὐτὴν τῶν κατὰ Μακεδονίαν τυγχάνουσαν πόλεων, ὡς ἐπὶ μείζονος ἀσφαλείας μετῴκισε τούτους αὖθις ὁ βασιλεύς· εἶτα ἐκεῖθεν πάλιν ὡς ἐπὶ
D λαμπροτέρας πολιτείας καὶ καταστάσεως μετεβίβασεν εἰς Ἀδριανούπολιν. εὐθέτου δὲ τοῦ τόπου φανέντος αὐτοῖς, κατ' ἰδίαν ὥσπερ συνεστηκότες φατρίαν τε καὶ φυλὴν εἰς πλῆθος ἐγένοντο

14 πρόσθεσιν margo Combef. 16 προσάξασθαι A

his qui invitabantur nec vero Romanis rebus operae pretium erat, cura adhibetur ne istud Persarum consilium exitum habeat. quapropter succisa, si qua videretur, opportunioris fugae facilitate, honesti specie, velut ad liberiores agros et ut maiori securitate fruantur, imperator Nicem Macedoniae urbem cum liberis et uxoribus (nam et illas postea subduxerant) transfert. decursu autem temporis, Saracenorumque rebus in maiorem principatum crescentibus, eandem ac primis Arsacidarum nepotibus fraudem adhibet qui tum genti praeerat amermnunes, scriptisque literis ad avitam nimirum potestatem ac imperium revocabat. verum eiusce quoque consilii fabula ab Heraclio, qui tum rerum potiebatur, deprehensa, literisque percensitis, cum nulla eos benevolentia revocari intellexisset, sed ut haec machinantes eaque occasione Saraceni dicionem augerent (fore enim sperabant, si modo illos secum haberent, ut facile pro veteris Arsacis amore in suas partes gentem traherent), idcirco etiam Philippos, alteram et ipsam Macedoniae urbem, quasi maioris securitatis causa Nice remotos transmittit. hincque deinde velut illustriori civitate donandos, meliorique statu componendis eorum rebus, Adrianopolim transfert. viso autem eis idoneo aptoque loco, velut in propria consistentes

καὶ ἐπ' εὐπορίας κατέστησαν ἱκανῆς, τὴν πάτριον εὐγένειαν διασώζοντες καὶ ἀσύγχυτον τὸ γένος διαφυλάττοντες.

3. *Χρόνους δὲ ὕστερον, ἡνίκα Κωνσταντῖνος μετὰ Εἰρήνης τῆς μητρὸς ἐβασίλευεν, Μαΐκτης ἐκεῖνος, ἀφ' αἵματος Ἀρσάκου καὶ αὐτὸς ὤν, κατά τινα πρεσβείαν ἢ χρείαν εἰσῄει πρὸς τὴν περίβλεπτον ταύτην Κωνσταντινούπολιν· ὃς ἀνδρὶ περιτυγχάνει* P 135
κατὰ τύχην ὁμογενεῖ, Λέοντι καλουμένῳ, καὶ γνοὺς αὐτὸν ἀπὸ τῆς ἔξωθεν καταστάσεως καὶ περὶ τὴν κατὰ στολὴν ἰδιότητος οὐχ ἕνα τῶν τυχόντων καὶ ταπεινῶν ἀλλ' εὐγενῆ καὶ περιφανῆ, καὶ εἰς ὁμιλίαν αὐτῷ καταστὰς καὶ ταύτην ἐθάδα καὶ σύντροφον εὑρηκώς, ἐπεὶ τὸ γένος ἀνέμαθεν, καὶ τὴν ὁμοῦ οἴκησιν προκρίνει, τῆς οἰκείας τὴν ἀλλοτρίαν διὰ τὴν τοῦ ἀνδρὸς ἀρετήν· καὶ τὸ πρὸς αὐτὸν ἀσπασάμενος κῆδος μίαν τῶν αὐτοῦ θυγατέρων ἠγάγετο, ἐξ ὧν ὁ τοῦ ἱστορουμένου προῆλθε πατήρ, ὃς καλῶς ἀναχθεὶς καὶ δι' ἐπαινουμένης ἀγωγῆς καὶ τροφῆς εἰς ἄνδρας τελέσας, καὶ εὐεξίᾳ σώματος καὶ ῥώμῃ διαφέρων καὶ παντοδαπαῖς κοσμούμενος ἀρεταῖς, πολλοὺς ἐκίνει τοὺς δι' ἐπιγαμίας θέλοντας αὐτὸν οἰκειώ- B
σασθαι. γυνὴ δέ τις εὐγενὴς καὶ κοσμία κατὰ τὴν Ἀδριανούπολιν τὴν οἴκησιν ἔχουσα, ἀποιχομένου τοῦ ταύτης ἀνδρὸς σωφρόνως τὴν χηρείαν ἀνύουσα, (φήμη γάρ τις διέτρεχεν οὐ παντελῶς ἀμυδρὰ ἐκ τοῦ μεγάλου Κωνσταντίνου ἕλκειν αὐτὴν τὴν συγγένειαν) τῶν ἄλλων προτιμοτέρα τῶν τε καθ' οὓς παρῴκησεν ἐνομίσθη αὐτῷ, καὶ διὰ τοῦτο τὴν ταύτης θυγατέρα εὐγενείᾳ καὶ κάλλει διαφέρουσαν σώματος καὶ αἰδοῖ κεκοσμημένην ἠγάγετο· ἐξ ὧν

22 τε] γε?

tribu ac familia, multitudine aucti sunt, abundeque satis opibus cumulati, paternam nobilitatem servantes ac genus impermixtum.

3. Secutis vero temporibus, cum summam rerum Constantinus cum Irene matre administraret, Maictes ille ex Arsacis prosapia ducens originem, legationis causa seu alterius negotii obeundi gratia illustrem hanc Constantini urbem petens, atque in ea forte fortuna in eiusdem gentis ac familiae hominem, Leonem nomine, incidens, exque exteriori habitu gestuque nec non vestium proprio cultu non unum quem infimae plebis vulgique agnoscens, sed virum ingenuum ac spectabilem, consertoque sermone ac fabulando eius vim consuetam usuque familiarem inveniens, ubi genus cognovit, illius contubernium deligit, suaeque alienam habitationem pro viri virtute ac praestantia praefert, eiusque amplexus affinitatem filiarum unam sibi matrimonio iungit; ex quibus ortus illius parens cuius nunc historiam teximus. mulier vero quaedam nobilis et pudica Adrianopoli habitans, viro demortuo caste sobrieque in viduitate agebat: fama erat haud prorsus obscura, ex magno Constantino eam genus ducere. haec illi reliquis, iisque apud quos consederat, praestantior visa; eamque ob rem eius filiam, nobilitate ac corporis forma conspicuam ve-

*ἐβλάστησεν ἡ βασίλειος αὕτη ῥίζα Βασίλειος, πατρόθεν μὲν ἕλκων
τὴν ἐξ Ἀρσάκου συγγένειαν, ᾗ προείρηται· ἡ δὲ μήτηρ τῇ τε τοῦ
C μεγάλου Κωνσταντίνου συγγενείᾳ ἐκαλλωπίζετο καὶ ἀπὸ θατέρου
μέρους τὴν Ἀλεξάνδρου ηὔχει λαμπρότητα. ἐκ τοιούτων γεννητό-
ρων προελθὼν ὁ Βασίλειος εὐθὺς πολλὰ τῆς ὕστερον δόξης σύμ-
βολα εἶχεν ὑποφαινόμενα· ταινία τε γὰρ κοκκοβαφὴς παρὰ τὴν
πρώτην ἔκφυσιν τῶν τριχῶν ἑωρᾶτο περὶ τὴν κεφαλήν, καὶ περὶ
τὰ σπάργανα πορφύρεα βάμματα.*

4. *Ἦν δὲ μέχρι τότε τὸ γένος τῶν ἀπογόνων Ἀρσάκου
κατ' ἰδίαν ὥσπερ φατρίαν συνεστηκός, εἰ καὶ ταῖς ἐπιγαμίαις
πολλάκις τοῖς ἐγχωρίοις συνανεκιρνᾶτο, ἐν Ἀδριανουπόλει κεκτη-
μένον τὴν οἴκησιν. ἐπεὶ δὲ Κροῦμος ἐκεῖνος, ὁ τῶν Βουλγάρων
D ἄρχων, εἰς τὰς πρὸς Ῥωμαίους ἐξυβρίσας σπονδὰς πολέμιον χά-
ρακα τῇ Ἀδριανουπόλει ἐβάλετο, καὶ χρόνον προκαθίσας συχνὸν
ὁμολογίᾳ ταύτην διὰ τὴν τῶν ἀναγκαίων ἔνδειαν παρεστήσατο,
καὶ τοὺς ἐν αὐτῇ πάντας μετὰ καὶ Μανουὴλ τοῦ ἀρχιερέως τῆς
τοιαύτης πόλεως εἰς Βουλγαρίαν μετήγαγε, συνέβη μετὰ τῶν ἄλ-
λων καὶ τοὺς τοῦ Βασιλείου γεννήτορας, ἔτι τοῦτον ἐν τοῖς σπαρ-
γάνοις ἔχοντας, εἰς τὴν τῶν Βουλγάρων ἀπαχθῆναι γῆν· ἔνθα
τὴν οἰκείαν τῶν Χριστιανῶν πίστιν ἀνόθευτον διασώζοντες ὅ τε
θαυμάσιος ἐκεῖνος ἀρχιερεὺς καὶ ὁ σὺν αὐτῷ λαὸς πολλοὺς τῶν
Βουλγάρων πρὸς τὴν ἀληθινὴν πίστιν μετήγαγον τοῦ Χριστοῦ
P 136 (οὔπω γὰρ ἦν τὸ ἔθνος μετηνεγμένον πρὸς τὴν εὐσέβειαν) καὶ*

11 *ἐν* om P 16 *καὶ* post *μετὰ* om A

recundiaque ornatam, uxorem ducit; ex quibus regia haec radix Basilius succrevit, paterno quidem stemmate Arsacis, uti dictum est, prosapiam sibi vendicans, materno vero Constantini natalibus magnifice glorians, utroque demum Alexandri claritatem iactans. tali ex progenie ortus Basilius multa statim futurae gloriae sublucentia signa exhibuit. taenia namque quaedam coccinea tum primum enascentibus pilis circa caput visa, circaque fascias purpurei tinctus.

4. Hactenus Arsacis nepotum genus ipsum secum in propria quasi tribu contubernioque constiterat, quanquam haud raro, Adrianopoli sedes habens, etiam cum indigenis nuptiarum foedera commiscebat. quia vero Crumus ille Bulgarorum princeps, violatis quae illi cum Romanis intercedebant foederibus, hostili aggere cinctam Adrianopolim diuque ab eo obsessam, qua laborabat necessariorum penuria, ad deditionem coëgerat, civesque omnes ac incolas nec non etiam Manuelem eiusce urbis episcopum in Bulgariam transtulerat, accidit Basilii quoque parentes cum reliquis, illo adhuc in fasciis agente, in Bulgarorum regionem transferri; ubi propriam Christianorum fidem illibatam custodientes (tum scilicet mirabilis ille praesul, tum plebs illi pari captivitate comes) multos barbarorum ad veram Christi fidem adduxerunt (nondum enim gens illa animum ad pietatem transtulerat) multisque locis Christianae doctrinae

πολλαχοῦ τὰ τῆς Χριστιανικῆς διδασκαλίας κατεβάλοντο σπέρματα, τῆς ἐθνικῆς τοὺς Σκύθας πλάνης μεθέλκοντες καὶ πρὸς τὸ τῆς θεογνωσίας μετάγοντες φῶς. ἐφ᾽ οἷς πρὸς ὀργὴν κατ᾽ αὐτῶν κινηθεὶς Μουτράγων ὁ τοῦ Κρούμου διάδοχος αὐτόν τε τὸν ἱερώτατον Μανουὴλ καὶ πολλοὺς τοὺς ἐπὶ τούτῳ ἐνδεικνυμένους, ὡς οὐκ ἴσχυσε πειράσας πεῖσαι ἀποστῆναι Χριστοῦ, μετὰ πολλὰς αἰκίας τῷ διὰ μαρτυρίου θανάτῳ παρέπεμψεν. καὶ οὕτω συνέβη πολλοὺς τῶν τοῦ Βασιλείου συγγενῶν μαρτυρικῆς εὐκλείας τυχεῖν, ὡς μηδὲ τῆς ἐντεῦθεν σεμνότητος αὐτὸν ἀμοιρεῖν. ἄρτι δὲ ἐπισκεπτομένου θεοῦ τὸν λαὸν αὐτοῦ καὶ τὴν ἔξοδον αὐτοῖς πρυτανεύοντος B *(ὁ γὰρ τῶν Βουλγάρων ἄρχων μὴ δυνάμενος ἐπὶ πολὺ πρὸς τὰς Ῥωμαϊκὰς δυνάμεις ἀνταγωνίζεσθαι πάλιν εἰς ὑπόπτωσιν ἔνευεν), ἐν τῷ ἐπισυνάγεσθαι πρὸς τὸν ἄρχοντα τὸν εἰς τὰ οἰκεῖα ἀπολύεσθαι μέλλοντα λαὸν τῶν Χριστιανῶν, ἰδὼν τὸν παῖδα Βασίλειον τῇ τε μορφῇ ἐλευθέριον καὶ χαρίεν ὑπογελῶντα καὶ περισκαίροντα πρὸς ἑαυτὸν ἐφειλκύσατο, καὶ μῆλον θαυμαστὸν τῷ μεγέθει ἐπέδωκεν. ὁ δὲ παῖς ἀκάκως καὶ θαρραλέως τοῖς τοῦ ἄρχοντος ἐπερειδόμενος γόνασιν ἐν τῷ ἀπλάστῳ ἤθει τὴν οἰκείαν εὐγένειαν ἐπεδείκνυτο, ὡς ἐκπλαγῆναι μὲν τὸν ἄρχοντα, διαγριαίνεσθαι* C *δὲ λεληθότως τὴν δορυφόρον τάξιν αὐτοῦ.*

5. *Ἀλλ᾽ ἵνα τὰ ἐν μέσῳ συντέμω, ἐξῆλθεν εὐμενείᾳ θεοῦ πρὸς τὰ οἰκεῖα ἅπας ὁ ἀπαχθεὶς ὡς αἰχμάλωτος λαὸς τῶν Χρι-*

1 *τὰ*] *πρὸς τὰς* A   5 *ὡς* om A   18 *γούνασιν* A
19 *ὑπεδείκνυτο* P   20 *αὐτῷ* A

iecerunt semina, a gentilium errore Scythas retrahentes et ad divinae cognitionis lucem traducentes. quibus in illos ira percitus Crumi successor Mutrago, cum Manuelem virum sanctissimum tum alios plures eius rei delatos, cum tentando ad eiurandam fidem inducere nequivisset, variis tormentis excruciatos per mortem martyres consecravit. sicque contigit multos sanguinis necessitudine Basilio coniunctos eique affines martyrii gloria potiri, ut nec eius quae inde est honestatis posset expers videri. iam vero, cum plebem suam deus visitaret atque ei in patriam reditum praestaret (Bulgarorum enim princeps, Romanas diutius vires aciesque ferre non valens, collum rursus subdere annuebat), congregata apud eum, quae in patriam dimittenda erat, Christianorum turba, coniectis in puerum Basilium oculis, liberali forma decorum gratiusque subridentem ac circumsalientem, indole formaque delectatus illum ad se traxit, pomumque ei mirae magnitudinis dedit. puer vero animi candore cum pari fiducia principis incumbens genibus, morum illa simplicitate ingenuitatis suae illustre specimen dabat, adeo ut princeps etiam atque etiam admiraretur, stipatorum vero cohors secum ipsa tacita furore commoveretur.

5. Verum ut ea quae interea evenerunt paucis transigam, omnis ille Christianorum populus, sic velut captivus abductus, propitia dei boni-

στιανῶν, συνεξῆλθον δὲ καὶ οἱ τοῦ Βασιλείου γονεῖς, τὸν φίλτατον αὐτοῖς παῖδα προσεπαγόμενοι. ἐγένετο δέ τι περὶ αὐτὸν εὐθὺς κατὰ τὴν πρώτην ἡλικίαν θαυμάσιον, τὴν εἰς ὕστερον τύχην παραδηλοῦν, ὅπερ οὐ θέμις οἶμαι σιγῇ παρελθεῖν. τῷ γὰρ καιρῷ τοῦ θέρους τῶν τούτου γονέων ἐπὶ τὸν ἴδιον ἐξελθόντων ἀγρὸν
D καὶ τοῖς θερισταῖς ἐπιστατούντων καὶ διεγειρόντων συντόνως ἐργάζεσθαι, ὡς περὶ πλήθουσαν ἀγορὰν ἡ ἡμέρα προέκοπτε καὶ ὁ ἥλιος ἤδη σφοδρότερον ταῖς μεσημβριναῖς ἀκτῖσιν ἐπέφλεγεν, οἱονεί τινα σκηνὴν ἐκ τοῦ συνδέσμου τῶν ἀσταχύων σκευάσαντες ἐν ταύτῃ τὸν παῖδα κοιμηθησόμενον ἔθεντο, ὅπως τῆς ἀπὸ τοῦ ἡλίου θέρμης ἀβλαβῶς διέλθῃ τὸν καύσωνα. ἐν δὲ τῷ ἐκείνους ἐνασχολεῖσθαι τοῖς θερισταῖς ἀετὸς ἐπικαταπτὰς καὶ ἄνωθεν ἐπικαθίσας ἡπλωμέναις ταῖς πτέρυξι τὸ παιδίον ἐσκίαζεν. ἀρθείσης δὲ παρὰ τῶν ἰδόντων φωνῆς ὅτι ὄλεθρον ἴσως ἐπάξει ὁ ἀετὸς
P 137 τῷ παιδί, ἡ μήτηρ εὐθὺς οἷα μήτηρ φιλόστοργος καὶ φιλότεκνος πρὸς τὸν παῖδα ἐξέδραμεν. ἰδοῦσα δὲ τὸν ἀετὸν σκιὰν ταῖς πτέρυξι τῷ παιδίῳ περιποιούμενον, καὶ μηδὲ πρὸς τὴν ταύτης ἐκπλαγέντα ἐπέλευσιν ἀλλ' ὥσπερ χαριέντως πρὸς αὐτὴν ἀτενίζοντα, οὐκ ἠδυνήθη κατὰ τὸ πρόχειρον εἰς κρείττονα πεσεῖν λογισμόν, ἀλλὰ λίθον ἔβαλε κατ' αὐτοῦ· καὶ οὕτως ἀνέπτη ὁ ἀετὸς καὶ ὡς ἔδοξεν ἀπεχώρησεν. ἐκείνης δὲ αὖθις πρὸς τὸν ἄνδρα καὶ τοὺς ἐργάτας ὑποστρεψάσης, ὁ ἀετὸς κατὰ τὸ πρότερον σχῆμα παρῆν
B τὸ παιδίον ἐπισκιάζων, καὶ πάλιν ὁμοίως ἡ φωνὴ παρὰ τῶν θεα-

5 ἐπὶ] περὶ AP   17 παιδὶ P

tate ad propria migraturus exiit: Basilii parentes, ipsi quoque pari indulgentia exiere, dulcissimum pignus secum adducentes. contigit vero prima statim aetate mirabile aliquid circa ipsum, futurae eius fortunae certum praesagium; nec fas esse existimo ut silentio a nobis praetereatur. messis enim tempore, cum parentes in agrum exiissent messoribusque praeciperent et ad laborem strenue obeundum excitarent, cum differto foro, ut aiunt, altior dies procederet iamque sol meridianis radiis acrius adureret, constructo ex spicarum manipulis velut tentorio in eo puerum tantisper somno recreandum ponunt, et ad solaris eius caloris aestum illaesa valetudine transigendum. dumque messoribus animum advertunt, advolans aquila explicatisque desuper alis assidens puero praestabat umbraculum. sublatus videntium clamor, ne quid forte aquila puero noceat; moxque mater (carae scilicet prolis nimium amans) ad puerum accurrit, vidensque aquilam passis alis umbram puero ministrantem, ac nec eius quicquam adventu territam sed in eam gratiose oculos velut intendentem, ne sic quidem in promptu sanioris aliquid animi cogitare potuit, sed in eam lapidem iecit; quae statim avolavit et, ut videbatur, secessit. rursusque ea ad virum messoresque reversa, aquila priorem in modum puero assidens umbram faciebat. similique rursus

τῶν, καὶ ἡ μήτηρ πρὸς τὸ παιδίον, καὶ τῇ βολῇ τοῦ λίθου ὁ ἀετὸς ἀποσοβούμενος, καὶ ἡ τῆς μητρὸς πρὸς τοὺς ἐργαζομένους ἐπιστροφή. ἐναργέστερον δὲ ἄρα τῆς προνοίας δηλῶσαι θελησάσης ὅτι οὐ κατά τινα τύχης αὐτοματισμὸν ἀλλὰ θείᾳ προγνώσει τὸ τελούμενον δείκνυται, ἐκ τρίτου συνέβη τὰ ὅμοια, ὁ ἀετὸς ἐπὶ τὸ παιδίον, οἱ θεωροῦντες βοῶντες, καὶ ἡ μήτηρ ἐπὶ τὸν ἀετόν, καὶ ὁ ἀετὸς πρὸς βίαν καὶ μόλις ἀπαλλαττόμενος. οὕτω τῶν μεγάλων πραγμάτων ἀεὶ πόρρωθεν ὁ θεὸς προκαταβάλλεταί τινα σύμβολα καὶ τεκμήρια τῶν εἰς ὕστερον. τοῦτο δὲ καὶ εἰς τὴν ἐχομένην C ἡλικίαν οὐκ ὀλιγάκις γέγονεν ἐπ᾽ αὐτῷ, ἀλλὰ πολλάκις εὑρέθη ὑπὸ ἀετοῦ ἐν τῷ ὑπνοῦν σκιαζόμενος. ἀλλ᾽ ἐν οὐδενὶ σχεδὸν λόγῳ τότε ταῦτα ἐτίθετο· πρὸ τοῦ γὰρ ἐμφανεῖς καταστῆναι τὰς ἐν αὐτῷ ἀρετάς, κἂν μεγάλα τὰ προφαινόμενα ἠμελεῖτο καὶ παρελάνθανεν, οὐδενὸς δυναμένου ἐν οἰκίᾳ λιτῇ καὶ δημοτικῇ ὅπως ἔλθῃ ποτὲ βαλέσθαι εἰς νοῦν. πλὴν ἐπεὶ καὶ τὸ τούτοις ἐπὶ πλέον ἐνδιατρίβειν οὐ πόρρω τυχὸν δόξει τρόπου θωπεύοντος, καὶ νομισθῶμεν ἴσως ἀπορίᾳ τῶν περὶ αὐτὸν καλῶν ἐν τούτοις τὴν D ἱστορίαν ἀπασχολεῖν, τὰ τοῦ ὁμοίου εἴδους καὶ τῆς παιδικῆς ἡλικίας πάντα παρήσομεν, ἐπὶ δὲ τὰ ἔμπροσθεν τὸν λόγον σπουδῇ προαγάγωμεν, τὴν τῶν ἐπαίνων ἀπληστίαν ὥσπερ ἄλλο τι τῶν οὐκ ἐπαινετῶν ἀπωθούμενοι.

2 ἐκσοβούμενος A 3 καὶ ἐναργέστερον δὲ A 12 καταστῆσαι P 15 ἔλθοι A 16 δόξῃ A

ratione videntium sublatus clamor, matris ad filium cursus concitus, ictu lapidis submota aquila, mater ad messores reversa. cum vero divina providentia evidentius vellet ostendere non casu aliquo aut fortuna sed divinae rem praescientiae esse quod gerebatur, tertio haec eadem contigerunt. aquila sursum puero imminens, videntium clamor, mater ad aquilam, aquila per vim aegreque tandem abscedens. sic deus semper magnarum procul rerum signa quaedam certaque futurorum indicia quasi fundamento praeiacit. quin et in sequentem aetatem hoc ipsum in eo non raro contigit, saepiusque inter dormiendum visus est ab aquila obtegi. sed horum tunc fere nulla ratio habebatur. antequam enim, quibus ille fulciebatur, virtutes patescerent, etsi magna erant quae praelucebant, negligebantur tamen et in occulto manebant, cum nemo in mentem inducere posset quomodo in tenui domo ac plebeia res evaderent. ceterum cum in his quoque diutius immorari haud procul forte ab assentationis indole abesse videatur, ut ne forsitan magnarum rerum honestarumque penuria in his stylum trahere ac historiam existimemur, quae eius generis sunt puerilisque aetatis omnia omittemus, atque ad ea quae sequentia sunt sedulo sermonem provehemus, ea scilicet ratione ut laudum vim insatiabilem, ceu quamvis rem aliam in laudis parte minime habendam, reiiciamus.

6. Τρεφόμενος τοίνυν ὁ παῖς παρὰ τῷ πατρί, καὶ αὐτὸν ἔχων τῶν πρακτέων ὑφηγητὴν καὶ τῶν ῥητέων ἐξηγητὴν καὶ διδάσκαλον καὶ παιδοτρίβην πρὸς ἅπαν σπουδαῖον καὶ ἐπαινούμενον, οὔτε μιξανθρώπου Χείρωνος ἐδεήθη ὡς Ἀχιλλεὺς οὔτε P 138 Λυκούργου νομοθέτου καὶ Σόλωνος οὔτε ὑπερορίου καὶ ξενικῆς ἀγωγῆς, ἀλλ' ὑπὸ τῷ φύσαντι μόνῳ τὰ τῶν καλῶν ἐξασκούμενος κάλλιστα, πρός τε τὸ θεῖον ὁσιότητα καὶ εὐσέβειαν καὶ πρὸς τοὺς τεκόντας αἰδῶ καὶ εὐπείθειαν, πρὸς γεραιτέρους ὕπειξιν καὶ πρὸς ἥλικας καὶ φυλέτας ἄδολον εὔνοιαν, πρὸς δυνάστας ὑποταγὴν καὶ πρὸς πένητας ἔλεον, ἐν πάσαις ταῖς ἀρεταῖς ἐπιδήλως ἐξέλαμψεν, σώφρων ἐκ νέου καὶ ἀνδρεῖος ἀναφαινόμενος, τήν τε ἰσότητα μετὰ φρονήσεως ἀγαπῶν καὶ διαφερόντως τιμῶν, καὶ ἐν μηδενὶ τῶν ταπεινοτέρων κατεπαιρόμενος· ἐξ ὧν εὔνοια παρὰ πάντων αὐτῷ καὶ τὸ πᾶσιν εἶναι προσφιλῆ καὶ ἐράσμιον.

B 7. Ἤδη δὲ αὐτοῦ τὴν παιδικὴν παραλλάξαντος ἡλικίαν καὶ πρὸς τὴν τῶν μειρακίων ἐλάσαντος καὶ τοῖς ἀνδρικωτέροις καιρὸν ἔχοντος προσβαίνειν ἐπιτηδεύμασιν, ἐξέλιπε τὸν βίον ὁ φύσας πατὴρ καὶ πρὸς τὴν ἐκεῖθεν ἀπῆρε κατάστασιν, πένθος δὲ καὶ θρῆνος κατὰ τὴν οἰκίαν, ὡς εἰκός, ἐπεκώμαζε· χηρεία περὶ τὴν μητέρα καὶ ὀρφανία περὶ τοῦτον τὸν κράτιστον καὶ αἱ ἐντεῦθεν ἀνίαι καὶ θλίψεις ἐφύοντο, ἐπέρρει δὲ καὶ φροντίδων ἐσμὸς τῆς κατὰ τὸν βίον διοικήσεως ἕνεκα· ἔρρεπε γὰρ πρὸς τοῦτον εὐθὺς

8 γέροντας P 10 ἐξέλαμπεν A 17 προβαίνειν P

6. Puer itaque apud patrem educabatur, eumque agendorum praeceptorem, dicendorum interpretem, atque ad omnia quae virtutis sunt ac laudem habent magistrum nactus ac eruditorem, non Chirone gemino velut Achilles opus habuit, non Lycurgo legislatore, non Solone, non externa ac peregrina disciplina morumque institutione, sed uno illo institutore honesti palaestra praeclarissime exercens ac colens erga deum sanctos piosque mores, erga parentes verecundos animoque obsequendi pronos, erga senes cedendi modestia faciles, erga aequales ac tribules nullo doli fuco benevolos, erga potentes ac magistratus subditos, erga denique pauperes misericordia impensos, virtutum omnium compendio luculenter effulsit, a puero pudicus ac sobrius virilique animo, aequalitatis ac prudentiae amator cultorque eximius, in nulloque adversus humiliores spiritus tollens aut superbiens; quibus rebus omnium sibi conciliabat animos, cunctisque desiderio atque amori habebatur.

7. Iam vero emensa illi pueritia, ad adolescentiae annos provecta aetate propeque matura ut ad validiora studia transiret, pater in vivis esse desinens ad futuri aevi statum translatus est. hinc luctus planctusque ac maeror, ut par est, domum irrumpere; matri viduitas, huic optimo orbitas ac quae inde tristitia, aerumnarum moles desolatae familiae obturbare. sollicitudinum examen rei familiaris procurandae causa. omnis statim ad eum domus devoluta cura; uni illi matris, uni germanorum in-

πᾶσα ἡ περὶ τὸν οἶκον ἐπιμέλεια καὶ ἡ πρόνοια τῆς μητρὸς καὶ
τῶν ἀδελφῶν. ἐπεὶ δὲ ἡ ἀπὸ γεωργίας ἐπικουρία μικρά τις καὶ C
ἀγεννὴς ἐδόκει αὐτῷ, ἐβουλεύετο πρὸς τὴν βασιλεύουσαν εἰσελθεῖν
καὶ τὰ τῆς οἰκείας ἀρετῆς ἐπιδείξασθαι κἀντεῦθεν ἑαυτῷ τε καὶ
τοῖς αὐτοῦ προσπορίσαι τὰ δέοντα καὶ μεγαλωφελῆ τὴν προστα-
σίαν ἐπιδείξασθαι καὶ προμήθειαν· ᾔδει γὰρ ἐν ταῖς μεγάλαις
καὶ μάλιστα ταῖς βασιλευομέναις τῶν πόλεων τὰς δεξιὰς φύσεις
εὐδοκιμεῖν καὶ τοὺς τῶν ἄλλων κατά τι προέχοντας ἐπὶ λαμπρο-
τέρας τύχης γνωρίζεσθαι, ἐν δὲ ταῖς ἀδοξοτέραις τῶν πόλεων καὶ
ταπειναῖς, ὥσπερ ἐν ταῖς κωμητικαῖς ἀναστροφαῖς, ἀμαυροῦσθαι
καὶ φθίνειν τὰς ἀρετάς, καὶ αὐτὰς ὑφ' ἑαυτῶν ἐν τῷ μὴ ἐπιδεί- D
κνυσθαι μηδὲ θαυμάζεσθαι πρὸς τὸ ἐξίτηλον χωρεῖν καὶ μαραί-
νεσθαι. διὰ ταῦτα μὲν ἡ πρὸς τὴν βασιλεύουσαν εἴσοδος ἐδόκει
αὐτῷ λυσιτελὴς καὶ συμφέρουσα, ἀνθεῖλκε δὲ καὶ κατεῖχεν ὁ τῆς
μητρὸς πόθος καὶ τὸ θέλειν ἐπικουφίζειν ταύτης τὰ δυσχερῆ,
αὐτῆς ἐκείνης μάλιστα τὰς γηροτρόφους ἐλπίδας προβαλλομένης
καὶ τὴν ἐγγύθεν ἀπαιτούσης ἐπικουρίαν καὶ ὑπουργίαν ἐν τοῖς
καθήκουσιν.

8. Ἐπεὶ δὲ κυριωτέραν ἔδει τὴν θείαν γενέσθαι βουλὴν
καὶ τοῦτον πρὸς ὅπερ ἀφώριστο κατὰ μικρὸν ὁδῷ βαδίζοντα ἀνελ- P 139
θεῖν, ὀνειράτων ὄψεις πείθουσι τὴν μητέρα ὑπενδοῦναι αὐτῷ καὶ
ὑπεῖξαι τῆς πρὸς τὴν πόλιν ὁρμῆς, μᾶλλον δὲ αὐτὴν ἐκείνην παρ-
ορμῆσαι αὐτὸν καὶ προτρέψασθαι τὴν βασιλεύουσαν πόλιν κατα-

2 τις] τε P 11 φθείρειν codex Barberinus. 21 αὐτοῦ P

cumbit diligentia. quia vero, quae ab agricultura peti solent subsidia, ipsa exigua viliaque esse videbantur, ad reginam urbium proficisci deliberabat, atque inde sibi suisque ex honesti ratione compendia parare, patrociniumque clientibus magnifice utile ac curam exhibere. noverat enim in magnis urbibus, ac potissimum regiis, industrias indoles inclarescere, eosque qui dote aliqua vulgo praecellant splendidiori fortuna enitere, in ignobilioribus vero ac ingloriis, velut in rusticanis paganisque commerciis, obscurari ac corrumpi virtutes, ipsasque a se, quod non ostentandi copia sit nec vero admirationi laudique habeantur, exolescere ac marcescere. quamobrem e suis illi rationibus videbatur ut se ad urbem Augustam conferret: retrahebat tamen ac detinebat matris amor, et quod eius levare molestias vel maxime cuperet, quodque adeo illa alendae spes senectutis obiiceret, vicinamque opem ac obsequium in his quae officii essent deposceret.

8. Quoniam tamen necesse erat ut victoriae partes divino consilio cederent, paulatimque quasi via, ad quod fuerat praeordinatus, Basilium decebat ascendere, somniorum visa matri suadent ut illi morem gerat ac acquiescat volenti se in urbem conferre; quin immo ipsa in eam rem eum

λαβεῖν καὶ ἐπιδείξασθαι τὸν τῆς ψυχῆς λειμῶνα καὶ τὰ τοῦ γενναίου φρονήματος προτερήματα. ἔδοξε γάρ ποτε ὄναρ ἡ μήτηρ ὁρᾶν μέγιστον ἐξ αὐτῆς ἀναβλαστῆσαι φυτόν, ὡς ἡ Κύρου μήτηρ εἶδε τὴν ἄμπελον, καὶ τοῦτο ἐπὶ τῆς οἰκίας αὐτῆς ἑστάναι ἄνθεσί τε κομῶν καὶ καρπῷ βρῖθον, χρυσοῦν τε εἶναι τὸ ἀπὸ γῆς τούτου μέγα στέλεχος, καὶ τὸ κλάδος καὶ τὰ φύλλα χρυσοειδῆ. τοῦτο B *δὲ πρός τινα τῶν συνήθων καὶ περὶ τὰ τοιαῦτα κατευστοχεῖν δοκούντων διηγησαμένη ἐπὶ λαμπρᾶς καὶ μεγάλης τύχης ἔσεσθαι δηλοῦν τὸν υἱὸν αὐτῆς ἤκουσε. καὶ αὖθις δὲ μετά τινα χρόνον ὀλίγον ὁρᾷ κατὰ τοὺς ὕπνους ἄνδρα τινὰ γηραιόν, οὗ πῦρ ἐξῄει ἀπὸ τοῦ στόματος, διαρρήδην λέγοντα πρὸς αὐτὴν ὅτι ὁ ἀγαπώμενος ὑπὸ σοῦ ὁ υἱός σου Βασίλειος τῆς τῶν Ῥωμαίων βασιλείας παρὰ θεοῦ τὰ σκῆπτρα ἐγχειρισθήσεται, καὶ δεῖ σε προτρέψασθαι τοῦτον πρὸς τὴν Κωνσταντινούπολιν εἰσελθεῖν. ἡ δὲ πρὸς τὴν χαρμόσυνον ταύτην ἀγγελίαν διαχυθεῖσα καὶ πλήρης γενομένη χα*C*ρᾶς προσεκύνησέ τε τὸν γηραιὸν ἐκεῖνον καὶ "τίς εἶ" εἶπεν αὐτῷ, "ὦ κύριέ μου, ὁ μὴ ἀπαξιώσας ἐποφθῆναι τῇ δούλῃ σου, ἀλλ' οὕτως εὐφρόσυνα εὐαγγέλια προσκομίσας μοι;" ὁ δὲ "Ἠλίας" φησίν "ὁ Θεσβίτης εἰμί," καὶ ἀπέπτη τῶν ὀφθαλμῶν. διυπνισθεῖσα οὖν ἐκείνη, καὶ ταῖς δεξιαῖς ταύταις ὄψεσι, μᾶλλον δὲ θείαις ἀποκαλύψεσιν οἷον ἀναπτερωθεῖσα καὶ ζωπυρήσασα, προθύμως αὐτὴ παρώρμα καὶ ἐξέπεμπε τὸν υἱὸν πρὸς τὴν βασιλεύουσαν, καὶ οἷα μήτηρ ἐνουθέτει καὶ παρεκάλει τόν τε θεῖον φόβον διηνεκῶς ἔχειν ἐν τῇ ψυχῇ, καὶ νομίζειν ἀεὶ τὸν τῆς προνοίας*

incitet, ac adhortetur ut Byzantium veniat, vernansque gratiis animi pratum ac generosae mentis praestantes dotes exhibeat. videbatur enim sibi quandoque parens in somnis videre maximam ab ipsa enasci arborem, velut olim Cyri mater vitem viderat, eamque supra domum stantem, comantem floribus fructibusque onustam. maiorem e terra stipitem (truncum scilicet) aureum surgere, ramosque et folia auro rutila praeferre. cumque necessariorum cuidam earumque rerum coniectori existimato idoneo rem rettulisset, claram haec audivit magnamque filio protendere fortunam. rursusque non multo post videt in somnis virum senio gravem, ignem ex ore mittentem, in haec clare verba ipsam alloquentem, "carissimo tibi filio Basilio concredenda a deo sunt imperii Romani sceptra ac gubernacula; ideo necesse est horteris eum ut Cpolim vadat." mater iucundo hoc nuntio diffusa plenaque gaudio, senem venerata, "ecquis" inquit "tu, domine mi, qui mihi ancillae tuae non solum apparere dignatus es, sed et nuntium sic laetum afferre?" cui ille "Elias" inquit "Thesbites sum;" atque hoc dicto ex oculis evolavit. a somno ergo excitata, faustisque hisce visis seu potius divinis revelationibus spe sublata novaque flamma accensa, alacris ipsa filii hanc profectionem urgebat, et ut Augustam urbem peteret incitabat; proque matris munere admonebat ac obsecrabat ut et dei timorem continue in animo haberet, eiusque

ὀφθαλμὸν πᾶσαν πρᾶξιν αὐτοῦ καὶ πᾶν νόημα ἐφορᾶν καὶ μηδὲν ἀνάξιον τῆς τοιαύτης ἐφορείας σπουδάζειν, ἀλλὰ τῷ προσήκοντι D καταστήματι τὰς οἰκείας ἀρετὰς ἐπιδείξασθαι καὶ ἐν μηδενὶ τὴν προγονικὴν καταισχῦναι εὐγένειαν.

9. Ἄρας οὖν ἐκ Μακεδονίας τῆς Θρᾴκης πρὸς τὴν ἄρχουσαν ταύτην τῶν πόλεων πασῶν ἐπορεύετο, τῶν δυνατῶν τινὶ καὶ περιφανῶν προσμῖξαι βουλόμενος καὶ εἰς θεραπείαν καὶ δουλείαν αὐτοῦ ἑαυτὸν ἀποτάξαι καὶ καταστῆσαι. καὶ τὸ μεταξὺ διανύσας διάστημα, καὶ κατὰ τὰς χρυσᾶς πύλας τῆς βασιλίδος γενόμενος, καὶ δι᾽ αὐτῶν ἤδη καταφερομένης τῆς ἡμέρας εἰσελθών, πλησίον τυγχάνοντι τῷ τοῦ ἁγίου μάρτυρος Διομήδους προσπελάζει μοναστηρίῳ, καὶ ἀπὸ τῆς ὁδοιπορίας κατάκοπος ὢν αὐτοῦ που πρὸ P 140 τοῦ πυλῶνος ἐν τοῖς ἐκεῖσε βάθροις ἀτημελῶς οὕτως ἐπιρρίψας ἑαυτὸν ἀνεπαύετο. καὶ δὴ περὶ πρώτην τυχὸν φυλακὴν νυκτὸς ὄναρ τῷ τῆς μονῆς καθηγουμένῳ ὁ μάρτυς Διομήδης ἐφίσταται, κελεύων ἐπὶ τὸν πυλῶνα τῆς μονῆς ἐξελθεῖν καὶ ἐξ ὀνόματος καλέσαι Βασίλειον, καὶ ὃς ἂν αὐτῷ ὑπακούσῃ καλοῦντι, τοῦτον εἰσαγαγεῖν εἰς τὸ μοναστήριον καὶ ἐπιμελείας ἀξιῶσαι, τροφῆς τε καὶ σκέπης καὶ ἐνδυμάτων καὶ πάσης μεταδόντα τῆς ἐνδεχομένης χρείας καὶ θεραπείας· κεχρισμένον γὰρ εἰς βασιλέα τυγχάνειν παρὰ θεοῦ, καὶ αὐτὸν μέλλειν εἰς ἀνοικοδομὴν καὶ αὔξησιν τῆς B παρούσης γενέσθαι μονῆς. ὡς δὲ φαντασίαν ἄλλως καὶ κενὸν διανοίας ἀνάπλασμα δόξας τὸ ὁραθὲν ὁ ἡγούμενος ἐν οὐδενὶ λόγῳ

12 πρὸς A 16 ἐπὶ] περὶ AP

providentiae oculum suas omnes actiones animique sensa ac rationes inspicere existimaret, eaque inspectione indignum aliquid moliri serio caveret, sed convenienti modestia animique praesentia suarum specimen virtutum daret, nec ullo scelere aut noxa avitam ingenuitatem macularet.

9. Profectus ergo ex Macedonia Thraciae ad hanc urbem omnium reginam iter arripuit, hoc animo agitans ut se potentiorum cuidam illustriumque virorum adiungeret, illiusque obsequiis ac servitio operam studiumque addiceret. emensoque itinere, et cum ad urbis Aureas portas venisset, inclinata iam ac deposita per eas ingressus die, ad sancti martyris Diomedis monasterium, quod prope erat, accedens, ex via fessus, ibidem pro foribus in gradibus pro vestibulo positis sic neglectim proiecto corpore quiescebat. et ecce, circa primam fere noctis custodiam, martyr Diomedes monasterii praefecto in somnis astans ad fores monasterii iubet exire, exque nomine Basilium compellantem, quisquis vocanti obaudierit, hunc inducere in monasterium ac curare diligenter, ciboque et tecto et vestimentis, omni denique necessario cultu ac obsequio, quoad per facultatem licuerit, impartiri atque fovere: esse enim a deo unctum in imperatorem, ipsumque exstruendo augendoque monasterio operam quandoque collaturum. verum cum ille, visum temere oblatum inaneque mentis commentum arbitratus, quod ita conspexerat, nullo loco praece-

ἔθετο, ἀλλὰ πάλιν ἑαυτὸν τῷ ὕπνῳ ἐκδέδωκεν, ἐκ δευτέρου βλέπει καὶ ἀκούει τὰ ὅμοια. ὡς δὲ καὶ ἔτι νωθὴς καὶ ὑπνώδης, ὡς ἔοικεν, ὢν οὐκ ἀνέφερεν, ἐκ τρίτου βλέπει τὸν μάρτυρα, οὐκέτι πράως καὶ ἱλαρῶς παρακελευόμενον ἀλλὰ σφοδρῶς ἀπειλοῦντα καὶ μάστιγας τῷ δοκεῖν ἐπιφέρειν πειρώμενον, εἰ μὴ θᾶττον ὑπηρετήσει πρὸς τὰ λεγόμενα. τότε δ' οὖν μόλις οἱονεὶ ἀνανήψας καὶ τὸν γείτονα θανάτου ὕπνον τῶν ὀφθαλμῶν ἀποτιναξάμενος τῷ C πυλῶνι ἐφίσταται, καὶ κατὰ τὸ τοῦ μάρτυρος πρόσταγμα ἐξ ὀνόματος ἐκάλει Βασίλειε. ὁ δὲ εὐθὺς ἀπεκρίνατο "ἰδοὺ ἐγώ, κύριε· τί προστάσσεις τῷ δούλῳ σου;" εἴσω δὲ αὐτὸν τῆς μονῆς ποιησάμενος, καὶ ἰδὼν ῥυπῶντά τε καὶ αὐχμῶντα καὶ πολὺν ἐπὶ τοῦ προσώπου τὸν ἥλιον φέροντα, τῆς δεούσης ἐπιμελείας καὶ θεραπείας ἠξίωσεν καὶ πάσης φιλανθρωπίας μετέδωκεν. εἶτα τὸ μυστήριον παρ' ἑαυτῷ φυλάττειν καὶ πρὸς μηδένα ἐκλαλῆσαι διὰ τὸ κινδυνῶδες εἰσηγησάμενος, τὴν τοῦ μάρτυρος αὐτῷ ἐφανέρωσε πρόρρησιν καὶ πρὸς τὸ μεμνῆσθαι μετὰ τὴν ἔκβασιν ἠσφαλίσατο. D τοῦ δέ, ὡς ὑπὲρ αὐτὸν ὄντος τοῦ πράγματος, μηδὲ παραδέχεσθαι δόξαντος, ἀλλὰ μᾶλλον δι' αὐτοῦ ἀξιοῦντος εἰσοικισθῆναι καὶ πρὸς δουλείαν δοθῆναι τῶν ἐμφανεστέρων τινί, προθύμως ἑαυτὸν εἰς τοῦτο ἐπέδωκεν ὁ ἡγούμενος. καὶ ἐπεὶ συνήθως εἶχε πρὸς τὴν τοιαύτην μονὴν καὶ πολλάκις ἐτύγχανεν ἐκεῖσε φιλίως φοιτῶν ὁ τοῦ βασιλέως Μιχαὴλ καὶ Βάρδα τοῦ Καίσαρος συγγενής, ὃν ὑποκοριζόμενοι Θεοφιλίτζην ἐκάλουν, ἐπώνυμον φέροντα τὸν Παι-

7 τῷ om P 11 ῥυποῦντα καὶ P 12 τὸν om P

ptum habuisset, sed se rursum somno dedisset, eadem iterum videt auditque. et cum adhuc etiam segnior somnoque gravis, ut videbatur, se non colligeret, tertio martyrem videt, non iam blande ac hilariter praecipientem sed atrociter minitantem, plagasque, ut apparebat, inferre tentantem, ni citius iussa praestaret. tunc itaque velut aegre emergens mortique vicinum somnum oculis excutiens ad fores venit; et ut ei martyr praeceperat, ex nomine vocat Basili. cui ille statim respondit "ecce ego, domine. quid iubes servo tuo?" introducens vero in monasterium, cum squalore ac sordibus obsitum solisque ardoribus longe exustum conspexisset, convenientem curam obsequiumque adhibuit ac omni humanitate accepit. tum monens ut secretum penes se teneat, caveatque cuiquam evulgare ob rei periculum, martyris illi indicat vaticinium, et ut post eventum meminisset iureiurando obstringit. cum autem Basilius nec acceptare videretur, ut quod res eius modum excederet, sed potius rogaret ut eius insinuatione nobiliorum cuiusdam obsequiis pro comitatu operam addicere liceret, impigre se praestiturum praefectus in se recepit. quodque monasterio familiarius utebatur saepiusque amice invisebat Michaelis imperatoris Bardaeque Caesaris consobrinus (Theophilitzen quasi subblandiendo ac mi-

δευόμενον, τούτῳ συνέστησε τὸν Βασίλειον ὁ ἡγούμενος· ἐτύγχανε γάρ πως τὸ Θεοφιλίδιον τοῦτο γαῦρον ὂν τῷ φρονήματι καὶ μεγαλοφροσύνης οὐκ ἀφεστώς, ἀλλὰ εἰς σπουδὴν ἔχον γενναίους P 141 ἄνδρας καὶ εὐειδεῖς καὶ εὐήλικας καὶ ἐπ' ἀνδρίᾳ μάλιστα καὶ ῥώμῃ σώματος διαφέροντας κεκτῆσθαι περὶ αὐτὸν καὶ ἐπὶ τούτοις μέγα φρονεῖν καὶ σεμνύνεσθαι· οὓς εὐθὺς ἦν ὁρᾶν σηρικαῖς τε κοσμουμένους ἐσθῆσι καὶ τῇ ἄλλῃ κατάστολῇ διαπρέποντας. τούτοις καταλεγέντα τὸν νέηλυν νεανίαν Βασίλειον, καὶ κατὰ πολὺ προέχειν δόξαντα τῶν λοιπῶν κατά τε σωματικὴν ἀλκὴν καὶ ψυχικὴν ἀνδρίαν, πρωτοστράτορα αὐτοῦ πεποίηκεν ὁ Θεόφιλος, καὶ ἡμέραν ἐξ ἡμέρας ἐπὶ πλέον ἠγαπᾶτο παρ' αὐτοῦ καὶ ἐπὶ τοῖς οἰκείοις προτερήμασιν ἐθαυμάζετο· ἐφαίνετο γὰρ καὶ κατὰ χεῖρα γενναῖος καὶ κατὰ ψυχὴν συνετὸς καὶ πρὸς τὸ κελευόμενον πᾶν ὀξύς τε καὶ B ἐπιτήδειος.

10. Ἡ δὲ μήτηρ αὐτοῦ διηνεκῶς ποτνιωμένη περὶ αὐτοῦ, καὶ διὰ τὸ μήπω μαθεῖν ὅπως αὐτῷ τὰ τῆς ἀποδημίας εὐώδωται δυσθυμοῦσά τε καὶ ἀσχάλλουσα, βλέπει πάλιν κατὰ τοὺς ὕπνους μέγα φυτὸν κυπαρίσσῳ προσεοικός, κατὰ τὴν αὐλὴν αὐτῆς ἑστηκός, φύλλοις τε χρυσοῖς πυκαζόμενον καὶ χρυσοῦς τοὺς κλάδους καὶ τὸ στέλεχος ἔχον, οὗπερ ὕπερθεν ὑπὲρ κορυφῆς ὁ ταύτης υἱὸς Βασίλειος ἐκαθέζετο. διυπνισθεῖσα δὲ καὶ μεθ' ἡμέραν τινὶ τῶν εὐλαβῶν γυναικῶν, ἣ νυκτὸς καὶ ἡμέρας κατὰ τὴν Ἄνναν ἐκείνην οὐκ ἀφίστατο ἀπὸ τοῦ θείου ναοῦ ἀλλὰ ταῖς εὐχαῖς καὶ νηστείαις C

8 καὶ om P 22 Ἄννην P

forma vocabant; cognomen viro Paedeuomeno), ei praefectus Basilium commendat. erat enim minor hic Theophilus magnis cogitationibus inflatus, nec a magnificentia abhorrens, sed qui viros strenuos formaeque elegantia ac statura conspicuos potissimumque fortitudine atque robore praestantes in comitatu habere studebat, sibique illis placebat ac honestari ambiebat. vidisses statim sericis indutos ac reliquo cultu egregie ornatos. his adlectum recens admodum quaesitum iuvenem Basilium, ac tum corporis robore tum animi virtute longe reliquis praestare visum, suum protostratorem fecit, maiorique in dies amore prosequebatur, ac pro eximiis eius dotibus admirabatur. cernebatur enim et manu strenuus atque animo prudens, et ad praestandum quicquid iniunctum esset oppido promptus et solers.

10. Eius porro mater continue quiritans maerensque ac dolens quod nondum didicerat, quam illi prospere cessisset profectio quam susceperat, ingentem rursus in somnis videt arborem cupresso similem in impluvio suo stantem, aureis foliis frondosam ramisque aureis ac trunco diffusam, in cuius vertice Basilius ipsius filius assidebat. experrecta igitur die sequenti mulieri cuidam religiosae, quae velut Anna illa diu noctuque a divino templo non discedebat, sed orationi et ieiunio vaca-

ἐσχόλαζε, τὰ τῆς ὄψεως διηγήσατο. ἡ δὲ εὐθυμεῖν τε παρῄνεσεν ἐπὶ τῷ υἱῷ, καὶ τὸ ὁραθὲν ἐπικρίνασα βεβαίως δηλοῦν ἀπεφήνατο βασιλέα Ῥωμαίων γενέσθαι σου τὸν υἱόν. τοῖς προτέροις οὖν καὶ τοῦτο προσλαβοῦσα λοιπὸν ἡ μήτηρ οὐκέτι περὶ αὐτοῦ ἐδυσφόρει οὐδὲ ἤσχαλλεν, ἀλλὰ τρεφομένη ταῖς ἐλπίσι καὶ τὴν ἄνωθεν ἀντίληψιν ἐκδεχομένη ἀνέθαλλεν.

11. *Συνέβη δὲ κατ' ἐκεῖνον τὸν χρόνον τὸν κύριον τοῦ Βασιλείου Θεόφιλον διά τινας τοῦ δημοσίου δουλείας παρὰ τοῦ βασιλεύοντος Μιχαὴλ καὶ Βάρδα τοῦ Καίσαρος ἀποσταλῆναι εἰς*
D *Πελοπόννησον. συνῆν δὲ αὐτῷ καὶ ὁ Βασίλειος, εἰς τὴν ἀφορισθεῖσαν αὐτῷ δουλείαν καθυπουργῶν. γενόμενος δὲ κατὰ τὰς Πάτρας τῆς Ἀχαΐας ὁ εἰρημένος Θεόφιλος εἰσῄει εἰς τὸν τοῦ πρωτοκλήτου ἀποστόλου Ἀνδρέου ναὸν προσευξόμενος. ὁ δὲ Βασίλειος περὶ τὴν οἰκείαν διακονίαν, ὡς ἔοικεν, ἀσχολούμενος οὐ συνεισῆλθεν αὐτῷ, ἀλλ' ὕστερον καταμόνας τὸ ὀφειλόμενον καὶ αὐτὸς τῷ ἀποστόλῳ σέβας ἀποδιδοὺς πρὸς τὸν τοιοῦτον ναὸν παραγέγονε. μοναχὸς δέ τις ἐκεῖσε ποιούμενος τὰς διατριβὰς καὶ τὸν πλείονα χρόνον ἐν τῷ τοῦ ἀποστόλου σχολάζων ναῷ τὸν μὲν Θεό-*
P 142 *φιλον εἰσελθόντα ἰδὼν οὔτε διανέστη οὔτε ἐπηύξατο οὔτε τινὸς ἠξίωσε ῥήματος, μηδὲ τὴν περὶ αὐτὸν ὡς εἰκὸς δορυφορίαν καὶ λαμπρότητα αἰδεσθείς· ὕστερον δὲ τοῦ Βασιλείου εἰσερχομένου ὑπεξανέστη τε ὡς τινι τῶν κρειττόνων καὶ τὴν ἐξ ἔθους τοῖς βασιλεῦσιν εὐφημίαν προσήνεγκεν. ὅπερ τῶν ἐκεῖσε τυχόντων ἰδόντες*

6 *εἰσδεχομένη* A 14 *συνῆλθεν* P

bat, visum narravit. iussit illa bono animo esse de filio, visumque interpretata certissime innuere affirmavit Basilium eius filium Romanorum imperatorem fore. iam itaque prioribus aliis istud quoque mater praesagium adiungens, haud amplius maerebat ac discruciabatur, sed spe bona lactata exspectansque divinum auxilium senectam recreabat.

11. Contigit autem per hoc tempus ut Basilii herus Theophilus, exposcentibus publicae rei negotiis, a Michaele imperatore et Barda Caesare in Peloponnesum mitteretur. fuit et Basilius illi comes, cui addictus erat ministerio, in comitatu navans operam. veniens autem Patras Achaiae, quem dicebam, Theophilus, in sancti Andreae primum vocati apostoli, preces oblaturus, templum ingreditur. Basilius autem circa ministerium suum, ut par est, occupatus cum illo minime intravit; sed postea seorsum, debitum et ipse cultum apostolo redditurus, ad idem templum venit. quidam vero monachus illic sedes habens ac temporis partem longe maximam terens, apostoli templo assiduus, Theophilum ingredientem videns nec assurrexit nec illi bene precatus, ac nec verbo consalutandum duxit, nec stipantem cohortem, ut par est, reveritus, nec viri splendorem ac dignitatem. postmodum vero intrante Basilio velut uni ex dignioribus assurrexit, ac quam moris est imperatoribus, salutationem adhibuit. id ita gestum cum praesentium aliqui in oculis vidis-

καὶ ἀκηκοότες τινὲς τῇ κατὰ τοὺς τόπους ἐκείνους εὐγενεῖ καὶ πλουσιωτάτῃ γυναικί, ἣ Δανηλὶς ἀπὸ τοῦ ταύτης ἀνδρὸς ὠνομάζετο, ἀπαγγέλλουσιν. ἐκείνη δὲ διὰ πείρας τὸν μοναχὸν γινώσκουσα, ὅτι προορατικοῦ χαρίσματος κατηξίωται, οὐκ ἐγένετο περὶ τὸ λεχθὲν ἀμελής, ἀλλὰ μετακαλεσαμένη τὸν μοναχὸν διῆλθε προσονειδίζουσα. "τοσοῦτος χρόνος ἐξ οὗ σοι γνώριμος" ἔφη B "τυγχάνω, πάτερ πνευματικέ, καὶ οἶδάς με πάντως οὖσαν ὑπὲρ τοὺς πολλοὺς καὶ τῶν ἐν τῇ χώρᾳ ταύτῃ ὑπερέχουσαν καὶ προάρχουσαν, καὶ οὐδέποτε οὔτ' ἐπηγέρθης θεασάμενός με οὔτε ἐπηύξω μοι, ἀλλ' οὐδὲ τῷ υἱῷ ἢ τῷ ἐκγόνῳ μου τὴν τοιαύτην τιμὴν ἀπένειμας. καὶ πῶς νῦν ἄνθρωπον εὐτελῆ καὶ ξένον μηδὲ γνώριμον τοῖς πολλοῖς ἰδὼν καὶ ὑπεξανέστης καὶ ὡς βασιλέα ἐτίμησας;" ὁ δὲ εὐλαβὴς ἐκεῖνος μοναχὸς πρὸς αὐτὴν ἀπεκρίνατο ὅτι οὐχ ὡς σὺ λέγεις, ἕνα τῶν τυχόντων εἶδον τὸν ἄνδρα ἐγώ, ἀλλ' ὡς μέγαν βασιλέα τῶν Ῥωμαίων ὑπὸ Χριστοῦ κεχρισμένον εἶδον, καὶ ἐξανέ- C στην καὶ ἐπευφήμησα· τοῖς γὰρ ὑπὸ θεοῦ τετιμημένοις ὀφειλομένη πάντως ἐστὶ καὶ ἡ ἐξ ἀνθρώπων τιμή." διατρίψαντος τοίνυν ἐν τοῖς ἐκεῖσε μέρεσιν ἐπὶ χρόνον τινὰ τοῦ κυρίου τοῦ Βασιλείου, καὶ τὰς ἐπιτραπείσας αὐτῷ τοῦ δημοσίου δουλείας ἀνύσαντος καὶ ἀνατρέχειν πρὸς τὴν βασιλεύουσαν μέλλοντος, ἐπεὶ ἔτυχεν ἀσθενείᾳ σώματος ληφθεὶς ὁ Βασίλειος, αὐτόθι καταλιμπάνεται. ἐπιμελείας δὲ τῆς προσηκούσης τυχὼν μετὰ χρόνον τινὰ τῆς νόσου κρείττων ἐγένετο καὶ πρὸς τὴν ἄνοδον καὶ αὐτὸς ἡτοιμάζετο. μετακαλεσαμένη δὲ αὐτὸν ἡ προρρηθεῖσα γυνὴ Δανηλὶς πολλοῖς καὶ

sent audissentque, praenobili cuidam ac opulentissimae iis in locis matronae, cui a viro Danelis nomen, denuntiant. illa vero, quae certo sciret experimento monachum futurorum praescientiae dono decoratum esse, nihil segnis dictum arripuit. accersito itaque monacho in haec fere verba exprobrabat. "tot anni sunt, pater spiritalis, ex quo tibi nota sum; nec plane latet quam pro vulgi ratione me longe praestare locique incolis praecellere ac in eis quasi principem esse; nunquam tamen videns assurrexisti aut bene precatus es; at neque filio meo aut nepoti eiuscemodi honorem detulisti. quid igitur causae est cur nunc vilem hominem et peregrinum nec vulgo notum videns, et assurrexeris et imperatoris honore colueris?" cui pius ac religiosus monachus "non ut tu loqueris, unum quem e vulgo vidi, sed velut magnum imperatorem a Christo unctum conspexi, et assurrexi, faustisque ominibus prosecutus sum, ac ei acclamavi. quos enim deus honoravit, his prorsus etiam humanus honor debetur et cultus." postquam igitur Basilii herus tempus aliquod in Achaia moratus, expletisque quae illi iniuncta erant publicis negotiis, Byzantium erat reversurus, Basilius, quod eum morbo corripi contigerat, ibi relinquitur. convenienti autem cura ei adhibita, brevi morbo levatus, ad reditum se et ipse accingit. accersens vero, quam dicebam, matrona Danelis multis magnisque eum donis accipit, prudenter

D μεγάλοις δεξιοῦται χαρίσμασιν, ἐμφρόνως πάνυ καὶ συνετῶς ὥσπερ
τινὰ σπόρον εἰς ἀγαθὴν αὐτὰ καταβαλλομένη χώραν, ἵνα ἀμήσῃ
παμπολλαπλασίονα ἐν εὐθέτῳ καιρῷ· δέδωκε γὰρ αὐτῷ καὶ χρυ-
σὸν ἱκανὸν καὶ ἀνδράποδα πρὸς ὑπηρεσίαν τριάκοντα καὶ ἐν ἱμα-
τισμῷ καὶ διαφόροις εἴδεσι πλοῦτον πολύν, μηδὲν ἕτερον ἐπιζητή-
σασα τὸ πρότερον παρ' αὐτοῦ ἢ τὸ ποιήσασθαι πνευματικῆς ἀδελ-
φότητος σύνδεσμον πρὸς Ἰωάννην τὸν ταύτης υἱόν. ὁ δὲ ὡς ὑπὲρ
αὐτὸν μᾶλλον οὖσαν διωθεῖτο τὴν ἔντευξιν διὰ τὸ δοκοῦν τῆς γυ-
P 143 ναικὸς περιφανὲς καὶ τὸ αὐτοῦ κατὰ τὸ ὁρώμενον εὐτελές. ὅμως
πλείονα παράκλησιν δεξάμενος ὑπ' αὐτῆς τοῦτο πεποίηκε. καὶ
τότε οἱονεὶ ἐπὶ πλέον θαρρήσασα εἶπε φανερῶς πρὸς αὐτὸν ὅτι σε
ὁ θεὸς μέγαν ἄνθρωπον ἔχει καὶ ἐπὶ μεγάλης μέλλει τιμῆς ἀν-
υψοῦν, καὶ οὐδὲν ἕτερον ἐπιζητῶ ἢ ἀπαιτῶ παρὰ σοῦ πλὴν ἵνα
ἀγαπᾷς καὶ ἐλεῇς ἡμᾶς. ὁ δὲ τῆς γῆς ἐκείνης ἁπάσης, εἰ δυνατόν,
κυρίαν αὐτὴν ἀποφῆναι, εἰ τοῦτο ἔσται, κατεπηγγείλατο. καὶ
οὕτως ἐκεῖθεν ἀπάρας ἀνῄει καὶ αὐτὸς πρὸς τὴν βασιλεύουσαν καὶ
τὸν αὐτοῦ κύριον. ἀπὸ δὲ τῶν ἐντεῦθεν αὐτῷ προσγεγονότων
χρημάτων μετὰ τὴν ἐπάνοδον ἐξωνήσατο κτήματα κατὰ Μακεδο-
B νίαν μεγάλα, καὶ κατέστησεν ἐπ' εὐπορίας ἅπαντας τοὺς προσή-
κοντας ἱκανῆς, καὶ γέγονε πλούσιος καὶ αὐτός, ὥσπερ ταῖς ἀρε-
ταῖς, οὕτω δὴ καὶ τοῖς κτήμασι καὶ τοῖς χρήμασι. συνῆν δὲ
ὅμως τῷ κυρίῳ αὐτοῦ καὶ διηκόνει αὐτῷ.

5 ἐπιζητοῦσα P 20 ἱκανῶς P

omnino ac sapienter velut sementem quandam in bonum arvum mittens, ut longe multiplices inde fruges locuplete messe opportuno tempore decerperet. dedit enim illi cum iustam satis auri vim, tum triginta ad obsequium mancipia; in vestibus quoque aliaque diversi generis supellectili opes nimias numeravit, nihil aliud ab eo prius exigens quam ut spiritalis fraternitatis necessitudinem cum Ioanne filio suo necteret. reiiciebat ille, velut supra facultatem ac dignitatem, quod sic ea poscebat, pro matronae scilicet, quae videbatur, claritate, suaque ipsius, quantum oculis cernebatur, abiecta vilique sorte. ea tamen magis magisque hortante atque rogante animum tandem accommodavit. tum mulier, velut maiori assumpta fiducia, ad eum palam infit, "magnum te deus virum habet, magnoque honore est exaltaturus. ad me quod attinet, aliud a te nihil exigo, nihil quaero, quam ut diligas ac nostri miserearis." Basilius omnem eam provinciam, si fieri possit, illius se iuris facturum pollicetur, dum res dicto successerit. sicque inde profectus ipse quoque ad urbem Augustam et ad herum redit. porro ex cumulatis inde pecuniis ingentia praedia in Macedonia redemit, satisque affines omnes et consanguineos ditavit; ipseque, quemadmodum virtutibus, sic et possessionibus et pecuniis auctus divesque effectus est. mansit tamen cum hero, illius hactenus obsequio addictus.

12. *Κατὰ δέ τινα τῶν ἡμερῶν Ἀντίγονος ὁ πατρίκιος καὶ δομέστικος τῶν σχολῶν κλητόριον ἐν ταῖς βασιλικαῖς οἰκίαις, αἳ κατὰ τὴν πλησιάζουσαν τοῖς βασιλείοις αὐλήν, ᾠκοδόμησε καὶ πολυτελὲς ἐσκευάσατο, ἑστιάτορα καὶ δαιτυμόνα τὸν οἰκεῖον πατέρα Βάρδαν ποιούμενος. ὁ δὲ Καῖσαρ τοὺς μείζονας τῆς συγκλήτου καὶ τοὺς οἰκείους παραλαβὼν καὶ τοὺς συνήθεις πρὸς τὴν εὐωχίαν* C *ἀπήει, συμπαραλαβὼν καὶ τοὺς ἀπὸ Βουλγαρίας φίλους, συνήθως κατὰ τὸν τότε καιρὸν τῇ βασιλευούσῃ ἐνδιατρίβοντας. παρῆν δὲ τῇ ἑστιάσει καὶ Θεόφιλος ὁ τοῦ Βασιλείου κύριος οἷα συγγενὴς καὶ αὐτὸς τοῦ Καίσαρος, ἀλλὰ καὶ Κωνσταντῖνος ὁ πατρίκιος, ὁ τοῦ καθ' ἡμᾶς λογοθέτου τοῦ δρόμου καὶ ἐν φιλοσοφίᾳ ἄκρου καὶ ἀδωροτάτου περιφανῶς πατρικίου Θωμᾶ πατήρ. οἱ δὲ Βούλγαροι ἀεί πως οἰηματίαι καὶ καυχηματίαι τυγχάνοντες, ἐπεὶ ἔτυχον τότε μεθ' ἑαυτῶν ἔχοντες Βούλγαρον ἐπ' ἀνδρίᾳ σεμνυνόμενον σώματος καὶ ἄκρον ἐν παλαισμοσύνῃ ὑπάρχοντα, ὃν οὐδεὶς σχεδὸν μέχρι τότε τῶν προσπαλαιόντων κατέβαλεν, οὐκ ἀνεκτὸν ἐδόκουν* D *ἐπ' αὐτῷ φρονεῖν ἀλλ' ὑπὲρ τὸ μέτρον ἠλαζονεύοντο. τοῦ δὲ πότου προϊόντος καὶ θυμηδίας χορευούσης κατὰ τὴν τράπεζαν, λέγει ὁ μικρὸς ἐκεῖνος Θεόφιλος πρὸς τὸν Καίσαρα ὅτι ἔχω, δέσποτα, ἄνθρωπον ὃς ἐὰν κελεύῃς ἵνα παλαίσῃ μετὰ τοῦ περιβοήτου τούτου Βουλγάρου. μέγιστον γὰρ ὄνειδος τοῦτο Ῥωμαίοις, καὶ οὐδεὶς ὑποίσει τὴν ἀλαζονείαν αὐτῶν, εἰ οὗτος ἀκαταγώνιστος ἐν Βουλγαρίᾳ παραγένηται. τοῦ δὲ Καίσαρος γενέσθαι προστά-*

7 Βουλγάρων P 11 ἐν om A 14 Βούλγαρον ἔχοντες A 23 προσταξάμενος P

12. Quodam die Antigonus patricius et scholarum domesticus solenni mensae apparatu in regiis aedibus in propinquo regiae atrio opiparoque instructo convivio (*κλητόριον* vocant) patrem suum Bardam convivatorem ac epulonem facit. Caesar, una secum senatus primates affinesque ac necessarios assumens, praetereaque amicos Bulgaros, ex more Cpoli morantes, ad convivium venit. intererat epulis et Theophilus Basilii herus, eo quod etiam ipse Caesaris consanguineus erat: sed et Constantinus patricius, Thomae patricii pater, nostro hoc aevo cursus logothetae, viri in rebus philosophicis summi ac plane integerrimi. porro Bulgari semper iactandi fastu insolentes ac gloriabundi, cum secum Bulgarum haberent corporis viribus torisque praecellentem primasque in lucta sibi vindicantem, quem vix ullus usquam hactenus lucta deiecisset, haud ferendum putabant ut sibi de illo aliquid tribuerent, nisi supra modum arrogantes pene insultarent. compotatione itaque procedente ac hilaritate in mensa effuse tripudiante, ait pusillus ille Theophilus ad Caesarem, "habeo, domine, hominem in comitatu, qui, si iusseris, cum famoso illo Bulgaro sit luctaturus. maximo enim probro Romanis cedet, nec ullus erit qui illorum arrogantiam ferat, si iste in Bulgariam a nullo superatus redierit." iubet Caesar ita praestari; isque cuius memini,

ξαντος, ὁ προμνημονευθεὶς Κωνσταντῖνος πατρίκιος, σφόδρα φιλίως πρὸς τὸν Βασίλειον διακείμενος ἅτε καὶ αὐτὸς ἐξ Ἀρμενίων P 144 ἕλκων τὸ γένος, ἐπεὶ δίυγρον εἶδε τὸν τόπον ἐν ᾧ διαγωνίζεσθαι ἔμελλον, καὶ ἐδεδοίκει μή πως ὀλισθήσῃ τυχὸν ὁ Βασιλείος, αἰτεῖ προτροπὴν γενέσθαι παρὰ τοῦ Καίσαρος ἐκ ξύλων ἐπιρρανθῆναι πρίσμα κατὰ τὸ ἔδαφος. οὗ γενομένου συμπλακεὶς τῷ Βουλγάρῳ ὁ Βασίλειος, καὶ θᾶττον συμπιέσας καὶ περισφίγξας αὐτόν, ὡσεὶ δεσμόν τινα χόρτου κοῦφον καὶ ἄψυχον ἢ ἐξ ἐρίου πόκον ξηρόν τε καὶ ἐλαφρόν, οὕτω ῥαδίως αὐτὸν ἐπάνω τῆς τραπέζης μετεωρίσας ἀπέρριψεν. τοῦ δὲ γεγονότος οὐδεὶς τῶν παρόντων ἦν ὃς οὐ περιεῖπε καὶ ἐθαύμαζε τὸν Βασίλειον. ἐκπλαγέντες δὲ καὶ οἱ Βούλγαροι τὴν περιουσίαν τῆς εὐχερείας τε καὶ δυνάμεως ἔμειναν ἐνεοί. B ἀπ' ἐκείνης δὲ τῆς ἡμέρας ἤρξατο ἐπὶ πλέον ἡ τοῦ Βασιλείου φήμη εἰς πᾶσαν τὴν πόλιν διαφοιτᾶν, καὶ τοῖς ἁπάντων διεφέρετο στόμασιν, ἀπόβλεπτος ἤδη καθεστηκώς.

13. Ἦν δὲ παρὰ τῷ βασιλεῖ Μιχαὴλ ἵππος ἀφηνιαστὴς καὶ ἄτακτος σκληραύχην τε καὶ ἀγέρωχος, τὰ δ' ἄλλα γενναῖος καὶ ἀγαθὸς καὶ καθ' ἡλικίαν καὶ κάλλος καὶ τάχος μέγας καὶ θαυμαστός, ὃς εἰ ἔτυχε λυθεὶς τοῦ δεσμοῦ ἢ ἄλλως πως ἀφεθείς, λίαν ἦν δυσχερὴς εἰς χεῖρας αὖθις ἐλθεῖν καὶ πολλὰ πράγματα πρὸς τὸ κατασχεῖν παρεῖχε τοῖς ἱπποκόμοις. συνέβη δέ ποτε τὸν βασιλέα πρὸς θήραν ἐξελθόντα καὶ τὸν τοιοῦτον ἵππον ἐπιβεβη-

4 ὁ om P 6 πρίαμα μετὰ P 9 τῆς om P 18 μέγας] καὶ μέγας P

Constantinus patricius, amicitiae nexu Basilio coniunctissimus, quippe qui et ipse ex Armeniis originem trahebat, videns subhumidum arenae solum, qua colluctaturi erant, veritusque ne per eius lubricitatem Basilius pede offenderet ac laberetur, Caesarem rogat ut scobe lignorum locum conspergi praecipiat. factum est; consertaque Basilius lucta cum Bulgaro citius prehendens atque constringens, velut levem exsuccumque foeni manipulum aut ex lana vellus aridum ipsumque leve, haud magno molimine in mensam levans allisit. eo facinore nemo praesentium fuit qui non Basilio impensus animo sit eumque admiratione laudaverit. sed et ipsi Bulgari subigendi illa facilitate atque robore in stuporem acti conticuerunt. ex illa hora coepit per omnem civitatem Basilii fama magis percrebrescere, iamque factus conspicuus per omnium celebris ora volabat.

13. Erat porro apud Michaelem equus frena mordens et indomitus duraque cervice et superbus; ceterum generosus et bonus, statura et pulchritudine ac celeritate magnus ac admirandus. is freno solutus, seu alias liber dimissus, aegre admodum rursus ad manus veniebat, plurimumque negotii equisonibus detinere satagentibus facessebat. contigit vero aliquando ut imperator illo ipso equo venatum profectus sua ipse manu

κότα αὐτοχειρίᾳ ῥάβδῳ τυχεῖν λαγωοῦ. εὐθὺς οὖν ὑφ' ἡδονῆς C
ὁ βασιλεὺς θᾶττον ἐκ τοῦ ἵππου καθήλατο πρὸς τὸ σφάξαι τὸν
λαγωόν. ἄφετος δὲ ὁ ἵππος καταλειφθεὶς ἀπεσκίρτησεν, καὶ
πολλῶν συνδραμόντων, καὶ τῶν τε τοῦ ἱπποστασίου ἀρχόντων καὶ
μαγγλαβιτῶν καὶ λοιπῶν τῶν περὶ αὐτοὺς συγκινηθέντων, οὐκ ἦν
τινὶ δυνατὸν τὸν ἵππον λαβεῖν, ὥστε θυμωθέντα τὸν βασιλέα κε-
λεῦσαι, εἰ κρατηθείη, διακοπῆναι τοὺς ὀπισθίους αὐτοῦ τῶν πο-
δῶν. ὁ δὲ Καῖσαρ Βάρδας παρὼν ἐδεῖτο τοῦ βασιλέως μὴ διὰ
μίαν κακίαν τοσαύτην ἀρετὴν ἵππου μάτην παραπολέσθαι. ὁ
οὖν Βασίλειος συμπαρὼν τῷ κυρίῳ αὐτοῦ λέγει πρὸς αὐτὸν ὅτι εἰ
παραδράμω τὸν βασιλικὸν ἵππον καὶ ἀπὸ τοῦ ἐμοῦ ἵππου ἐκτινα- D
χθεὶς ἔποχος αὐτοῦ γένωμαι, ἆρα μὴ διὰ τὸ βασιλικοῖς φαλάροις
κεκοσμῆσθαι αὐτὸν ἀγανάκτησις παρὰ τοῦ βασιλέως γένηται κατ'
ἐμοῦ; τοῦ δὲ βασιλέως ὑπομνησθέντος καὶ κελεύσαντος τοῦτο γε-
νέσθαι, ἑτοίμως καὶ εὐφυῶς ὁ Βασίλειος τοῦτο πεποίηκεν. ὃ
θεασάμενος ὁ βασιλεύς, καὶ ἀγαπήσας τὴν μετ' ἀνδρίας εὐφυΐαν
αὐτοῦ καὶ σύνεσιν, εὐθέως ἀπὸ τοῦ Θεοφιλίτζη αὐτὸν ἀνέλαβέ τε
καὶ εἰς τοὺς βασιλικοὺς κατέταξε στράτορας. προσεῖχε δὲ καὶ
ἠγάπα αὐτόν, ὁρῶν αὐτοῦ τὸ πρὸς τοὺς ἄλλους ἐν πᾶσι διαφέρον P 145
κατὰ πολύ. διὸ καὶ πολλάκις ἐπιδειξάμενον κατενώπιον αὐτοῦ
εἰς τὴν τοῦ πρωτοστράτορος ἀξίαν ἐβίβασε.

14. Μετὰ δὲ ταῦτα κυνηγεσίου καταγγελθέντος εἰς τὸ
λεγόμενον Φιλοπάτιον, ἦν ὁ πρωτοστράτωρ κατὰ τὸν τύπον τοῦ

21 ἀνεβίβασεν?

fuste leporem feriret. quare statim volupe gestiens, leporem necaturus, equo desilit. liber equus dimissus resiliit, multisque concurrentibus, ac tum equili praefectis, tum manglabitis alioque circum comitatu navantibus operam, qui equum capere posset nullus fuit. quare ira accensus imperator, si teneri unquam equus possit, exscindendos iubet illius posteriores pedes. Bardas autem Caesar, qui rebus aderat, imperatorem rogabat ne tantam equi virtutem ob unum peccatum temere perderet. Basilius itaque, qui tum hero aderat, ei infit "si imperatoris equum praevertero, meoque ipse equo excussus illi insedero, numquid mihi succensebit imperator, quod ille eius phaleris stratus est ac ornatus?" insusurratur sermo auribus imperatoris; remque praestari iubet. Basilius prompte dextreque executus est. vidit imperator, unaque cum robore ac virtute industriam indolem ac sapientiam admiratus a Theophilitze eum statim tulit, suorumque stratorum ordini adlegit. adhibebatque animum ac diligebat, quippe qui ingentem eius in omnibus supra reliquum vulgus praestantiam videret. quapropter cum sui crebro specimen coram exhibuisset, in protostratoris dignitatem evexit.

14. Postea venatione indicta in loco cui nomen Philopatio, protostrator, uti moribus constitutum est, praeibat, ferens imperatoris clavam in

βασιλέως προπορευόμενος ἔφιππος, ἐπεφέρετο δὲ καὶ τὸ ῥόπαλον τὸ βασιλικὸν ἐπὶ τῆς ζώνης αὐτοῦ, ὃ βαρδούκιον οἶδε καλεῖν ἡ συνήθεια. θορύβου δὲ κινουμένου ἀπὸ τῶν συμπληρούντων τὸ κυνηγέσιον, ἐξέθορεν ἐκ τῆς ὕλης λύκος παμμεγεθέστατος, ὥστε σχεδὸν πάντας διαπτοηθῆναι καὶ εἰς ταραχὴν ἐμπεσεῖν. ὁρμήσας δὲ κατ' B αὐτοῦ ὁ Βασίλειος, καὶ ῥίψας ἐξόπισθεν τὸ βασιλικὸν βαρδούκιον, ἔτυχε τοῦ θηρίου κατὰ τὸ μέσον τῆς κεφαλῆς καὶ ταύτην ἐδιχοτόμησεν. ὁ δὲ Καῖσαρ ὄπισθεν τοῦ βασιλέως κατὰ τὸ εἰωθὸς πορευόμενος καὶ τὸ γεγονὸς θεασάμενος εἶπε πρός τινας τῶν συνεπομένων συνήθων αὐτοῦ καὶ γνωστῶν ὅτι οἶμαι πάσης τῆς γενεᾶς ἡμῶν τὴν κατάλυσιν τὸν ἄνθρωπον τοῦτον μέλλειν γενήσεσθαι· κατεστοχάζετο γὰρ καὶ τὸ πρὸς πάντα τούτου ἐπιτυχές τε καὶ εὐτυχὲς καὶ τὴν διὰ ταῦτα τοῦ βασιλέως διάθεσιν πρὸς αὐτόν. οὐ μόνον δέ, ἀλλὰ καὶ παρὰ Λέοντός φασι τοῦ τηνικαῦτα ἐπὶ παντοδαπῇ σοφίᾳ πρωτεύοντος ἀκοῦσαι αὐτόν, ἐν τῷ πολλάκις περὶ C τούτων πυνθάνεσθαι τοῦ ἀνδρός, πρῶτα μὲν ὅτι ὑπὸ νεανίσκου τινὸς εὑρίσκω τὴν κατάλυσιν τῆς ὑμῶν γενεᾶς· ἔπειτα, ὡς εἰς ἐμφάνειαν προέβαινεν ὁ Βασίλειος, καὶ τῷ δακτύλῳ τοῦτον ὑποδεῖξαι τῷ Καίσαρι, λέγοντα ὅτι οὗτος τυγχάνει ὃν ἔλεγον διάδοχον ὑμῶν μέλλειν ἔσεσθαι. ἐξ οὗ καὶ ὑφωρᾶτο καὶ ἐνήδρευεν ὁ Καῖσαρ ἀεὶ τὸν Βασίλειον, εἰ καὶ μηδὲν ἀκυρῶσαι ἠδύνατο τῶν ὑπὸ τοῦ θείου προκυρωθέντων βουλήματος· οὐ γὰρ οὕτως ἀπροσδόκητον ὡς ἄφυκτον ἀεὶ τὸ πεπρωμένον ἐστίν. καὶ ταῦτα μέν, εἰ καὶ κατὰ παράβασιν ἴσως, ἀλλ' οὐκ ἔξω τῆς ὑποθέσεως εἴρηται.

1 προπορευόμενος τοῦ βασιλέως P, omisso ἔφιππος. 12 τὸ om A

cingulo: barducium usus vocat. edito vero strepitu a venantium turba, lupus quam maximus e silva erupit, ut omnes fere conterriti turbarentur. porro Basilius impetu in eum irruens, barducioque imperatoris a tergo proiecto, caput medium ferit duasque in partes diffindit. Caesar pone imperatorem ex more incedens, remque conspicatus, ad quosdam amicorum ac necessariorum, qui illi comites erant, ait "arbitror virum hunc omnis nostrae familiae exitium fore." hinc enim coniiciebat, quod cuncta illi ex voto ac prospere cederent, quodque sic in eum ex ea dexteritate ac felicitate imperatoris animus propensus esset. neque propter hoc solum, sed quod etiam, ut aiunt, a Leone, viro in omni sapientiae genere primas obtinente, audierat, cum ex illo saepius sciscitatur "primum a quodam iuvene familiam vestram eversum iri invenio." deinde clariori effecto Basilio, etiam intento digito Caesari monstrasse, dicendo "hic est quem vestrum successorem dicebam fore." unde etiam suspectum habebant, nullumque finem insidias Basilio struendi Caesar faciebat, quanquam nihil ille irritum facere potuit eorum quae divina voluntate decreta erant. non enim sic inexspectata ut semper ineluctabilis est fatorum vis. et haec quidem, etsi forte per digressionem dicta sunt, non tamen extra rem.

15. Φιλοθήρου δὲ τοῦ βασιλέως τυγχάνοντος, καὶ πάλιν μετ' ὀλίγον κυνηγεσίου τε χάριν καὶ μετρίου περιοδεύματος κατὰ τὸν τῆς Ἀρμαμενταρέας λεγόμενον τόπον περάσαντος, εἶτα δουλι- D κίου κατ' ἰδίαν εὐτρεπισθέντος καὶ τοῦ βασιλέως ἐπὶ τραπέζης μετὰ Θεοδώρας καθεσθέντος τῆς οἰκείας μητρὸς καὶ τῶν ἰδίων συγγενῶν καὶ οἰκειοτέρων τῆς συγκλήτου, προσεκλήθη καὶ ὁ πρωτοστράτωρ τοῦ βασιλέως κελεύσαντος, καὶ καθεσθέντος αὐτοῦ ἤρξατο Θεοδώρα ἡ βασιλὶς πυκνότερον ἀτενίζειν καὶ ἀφορᾶν πρὸς αὐτὸν καὶ κατανοεῖν καὶ παρεπισκοπεῖν αὐτὸν ἀκριβέστερον. ἐπιγνοῦσα δέ τινα σύσσημα ἐν αὐτῷ κατ' ὀλίγον ἐλιποψύχησεν, ὥστε καὶ ὕδωρ ἐπιχεθῆναι αὐτῇ καὶ διὰ τοῦ ἀπὸ ῥόδων στάγματος τὸ πνεῦμα μόλις ἀνακαλέσασθαι, ὅτεπερ οἱ παρόντες ὑπανεχώρησαν. εἰς ἑαυτὴν δὲ ἐλθοῦσα καὶ ἀναλάμψασα παρὰ τοῦ υἱοῦ καὶ βασιλέως P 146 ἐπηρωτᾶτο, τί ἄρα τὸ γεγονὸς ἐπ' αὐτῇ, καὶ πόθεν οὕτως ἀθρόως ἐπισυνέβη αὐτῇ ἡ ἔκστασις. ἡ δὲ μόλις ἑαυτὴν ἐκ τῶν θορύβων τῶν φρενῶν συναθροίσασα ἔλεγεν ὅτι ὃν ἤκουον παρὰ τοῦ πατρός σου, δέσποτα καὶ τέκνον ἐμόν, μέλλειν ἐξολοθρεῦσαι τὴν γενεὰν ἡμῶν, οὗτός ἐστιν ὃν λέγεις Βασίλειον· τὰ σύμβολα γάρ, ἅπερ ἔλεγεν ἔχειν τὸν ἡμᾶς διαδέχεσθαι μέλλοντα, οὗτος ὁ ἄνθρωπος κέκτηται. ὅθεν τὸ πρᾶγμα ὅλον τῇ διανοίᾳ παραλαβοῦσα, καὶ ὥσπερ κατ' ὀφθαλμοὺς τὸν ὄλεθρον βλέπουσα, διαταραχθεῖσα ἐξέλιπον. ὁ δὲ βασιλεὺς τὸ δέος ἀφαιρῶν τῆς μητρός, καὶ εἰς τὸ καθεστὸς ἐπανάγων καὶ παραμυθούμενος, "κακῶς ὑπέλαβες" B

9 αὐτὸν om P 11 ἐκχεθῆναι P 13 ἀνακάμψασα P 20 τῇ διανοίᾳ om A περιλαβοῦσα P 23 καθεστὼς P

15. Cumque imperator venatu delectaretur, rursus post non multos dies venationis causa ac moderatae obambulationis ad Armamentareae (sic dictum) locum traiecit; tum cena seorsum parata, et imperatore cum Theodora matre aliisque affinibus et ex senatu magis necessariis ad mensam sedentibus, vocatus est protostrator imperatoris iussu; illoque sedente coepit Theodora imperatrix oculos in eum intendere et conspicere ac considerare exactiusque examinare, demum agnitis quibusdam in eo notis sensim animo linqui, ut vix tandem effusa in eam aqua et rosarum stillis animum revocaverit. tumque qui aderant se subduxerunt. recepto autem animo ac recreato, sciscitante ex illa filio et imperatore quidnam illi porro accidisset, quave de causa sic repente extra se facta esset, a mentis se aegre turbatione colligens, "quod nimirum" ait, "quem audivi a patre tuo, domine et fili mi, familiam nostram exstirpaturum, ille est quem tu Basilium vocas. quae enim is signa dicebat habiturum, qui noster heres et successor futurus esset, hic homo habet. hinc rem totam animo complexa ac velut iam oculis excidium usurpans, conturbata actaque vertigine animo defeci." imperator matris metum sedans, ad sanamque eam mentem revocans ac solans, "male suspicaris" inquit,

εἶπεν, "ὦ μῆτερ· ὁ γὰρ ἄνθρωπος οὗτος ἰδιώτης ἐστὶ καὶ πάνυ ἀφελής, ἀνδρίαν μόνον ἔχων, οἵαν ὁ πάλαι Σαμψών, καὶ οὐδὲν ἕτερον, ἀλλ' ὥς τις Ἐνὰκ ἢ Νεμβρὼδ ἐν ταῖς ἡμέραις ἡμῶν ἀναφανείς. ἐξ αὐτοῦ τοίνυν μηδένα φόβον ἔχε, μηδ' ὑπόνοιάν τινα κεκτήσῃ πονηράν." καὶ τότε μὲν οὕτως τὸ τοιοῦτον κῦμα ὑπὸ θεοῦ φρουρούμενος παρέδραμεν ὁ Βασίλειος.

16. Εἶχε δὲ κατὰ τοὺς χρόνους ἐκείνους παρακοιμώμενον ὁ βασιλεὺς τὸν εὐνοῦχον Δαμιανὸν τὸν πατρίκιον, τῷ γένει Σκλάβον, ὃς διὰ φιλοδέσποτον πάθος ἔλεγε πολλάκις τῷ βασιλεῖ καὶ C περὶ ἄλλων μέν τινων ὡς μὴ κατὰ τὸ δέον τῶν πραγμάτων ἐξηγουμένων, ἐξαιρέτως δὲ περὶ τοῦ θείου αὐτοῦ Βάρδα τοῦ Καίσαρος, ὡς τὸ πλεῖστον τοῦ κράτους εἰς ἑαυτὸν μετηγάγετο καὶ πολλάκις ἐκφέρεται τοῦ καθήκοντος, καὶ ἐκ τοῦ ἐνίας τῶν τοῦ Καίσαρος ἀνέτρεπεν διοικήσεων ἑτέρως ἔχειν τὰ πράγματα ἀναδιδάσκων τῷ βασιλεῖ. δι' ἃ συμπεισθεὶς ὁ Καῖσαρ ὑπὸ τῶν οἰκείων φίλων καὶ γνησίων παραινετῶν καὶ συμβούλων κατὰ τοῦ Δαμιανοῦ συσκευάζεται, καὶ πολλαῖς διαβολαῖς κατ' αὐτοῦ πρὸς τὸν βασιλέα χρησάμενος, καὶ πιθανῶς συνθεὶς τὰ κατηγορούμενα, μετεκίνησε D τὴν τοῦ βασιλέως γνώμην καὶ ἀπὸ τῆς περὶ τὸν Δαμιανὸν εὐνοίας μετέστησεν, ὥστε καὶ διαδέξασθαι πεῖσαι τῆς οἰκείας ἀξίας αὐτόν. ἐξωσθέντος οὖν ἐκείνου ἐχήρευε λοιπὸν ἐπὶ χρόνον τινὰ τὸ τοιοῦτον ἀξίωμα. ἀλλ' ὅταν ἡ πρόνοια πρὸς ὃ βούλεται συνελαύνῃ τὰ πράγματα, καὶ φρόνησις ἀπρακτεῖ καὶ πανουργία τοῖς οἰκείοις

14 ἀνατρέπειν P 19 τὸν om P

"o mater. hic enim homo idiota est et oppido simplex, robore duntaxat praeditus, velut antiquis temporibus Sampson, nec quicquam amplius; sed velut Enachus et Nembrodus nostro hoc aevo existit. nihil itaque ex illo timeas, nec sinistram ullam suspicionem geras." inque eum modum tum Basilius divino numine eiusmodi obortam procellam evasit.

16. Erat per haec tempora Michaeli accubitor eunuchus, Damianus nomine, genere Sclavus. is, pro ea propensione qua in herum ferebatur, haud raro cum de aliis nonnullis referebat non satis ex officii ratione negotia pertractantibus, tum praecipue de Barda Caesare imperatoris avunculo, quod nimirum potestatis partem longe maximam in se transferret, saepiusque aequi ac honesti metas excederet; nonnullas etiam Caesaris dispositiones evertebat, docens imperatorem aliter se res habere ac ille insinuaret. idcirco Caesar amicis suis, iisque qui ingenue animique candore admonere videbantur eique consulere, suadentibus, insidias in Damianum molitur; multisque apud imperatorem calumniis onerans, instructaque probabili accusatione, imperatoris ab eo animum avertit eiusque in eum benevolentiam sustulit, ut et dignitate movendi auctor illi exstiterit. expulso itaque Damiano ea dignitas per aliquod tempus vacavit. ceterum divina providentia, quo illi constitutum est, res agente,

σοφίσμασι περιδράσσεται. τοῦ γὰρ Καίσαρος καὶ πολλῶν ἄλλων ἐκεῖνόν τε καὶ τοῦτον εἰς τὸ τοιοῦτον ἐπαναβιβασθῆναι ἀξίωμα λογοποιούντων καὶ λεληθότως ἐπισπευδόντων, παρὰ πᾶσαν αὐτῶν ἐλπίδα μετὰ καιρὸν οὐ πολὺν προβάλλεται παρακοιμώμενον ὁ βασιλεὺς τὸν Βασίλειον, τιμήσας αὐτὸν καὶ πατρίκιον, καὶ γυναικὶ συζεύξας εὐμορφίᾳ σώματος καὶ κάλλει καὶ κοσμιότητι πρωτευούσῃ P 147 πασῶν τῶν εὐγενίδων σχεδόν, ἣ θυγάτηρ ἐτύγχανε τοῦ παρὰ πάντων ἐπ' εὐγενείᾳ καὶ φρονήσει λαλουμένου τότε τοῦ Ἴγγερος. τούτου δὲ γενομένου, καὶ καθ' ἑκάστην ἐπιδιδούσης τῆς τοῦ βασιλέως ἀγάπης πρὸς τὸν Βασίλειον, ὁρῶν ὁ Καῖσαρ καὶ τῷ φθόνῳ δακνόμενος καὶ ὑπὲρ τοῦ μέλλοντος ὀρρωδῶν πολλάκις τοὺς ἐπὶ διαβολῇ τοῦ Δαμιανοῦ γενέσθαι αὐτὸν βουλευσαμένους καὶ παρορμήσαντας ἐλοιδορεῖτο καὶ κατεμέμφετο, ἄφρονας αὐτοὺς καὶ κακοβούλους ἀποκαλῶν, "οἷς" φησίν "ἐγὼ παρὰ τὸ δέον πεισθείς, καὶ ἐξεώσας ἀλώπεκα, λέοντα ἀντεισήγαγον, ἵνα πάντας ἡμᾶς λαφύξῃ B καὶ καταβρώξηται."

17. Ἄρτι δὲ τοῦ βασιλέως Μιχαὴλ μετὰ Βάρδα τοῦ θείου Καίσαρος κατὰ Κρήτης ἐκστρατεύοντος, καὶ σοβαρώτερον τοῦ Καίσαρος χρωμένου τοῖς πράγμασι καὶ ἐξουσιαστικώτερον ἐκφέροντος τὰ προστάγματα, ἤρξαντο πυκναὶ καὶ συνεχεῖς αἱ κατ' αὐτοῦ διαβολαὶ καθ' ἑκάστην τῷ βασιλεῖ Μιχαὴλ διαγγέλλεσθαι. ἐν Κήποις δὲ γενομένων αὐτῶν (τόπος δὲ οὗτος κατὰ τὴν πρὸς

2 τοῦτον] ἄλλον P 7 πάντων P 17 θείου καὶ Καίσαρος?

cassa prudentia est suisque astutia ipsa capitur dolis. cum enim Caesar aliique plures alii alium Damiano sufficiendum loquerentur, remque clanculum pro cuiusque animi propensiore affectu solicitarent, praeter omnem illorum spem post breve tempus suo ipse nutu imperator Basilium accubitorem praeficit, patricii quoque collata dignitate, nuptumque data muliere corporis forma et venustate atque pudore inter omnes alias nobiles feminas fere principe, Ingeris filia, viri eo tempore apud omnes nobilitate ac prudentiae laude celeberrimi. hoc ita gesto, ac cum magis in dies imperatoris erga Basilium amor incresceret, videns Caesar invidiaque stimulatus ac futuri metu consternatus, eos qui ipsi insidiarum in Damianum auctores exstiterant inque eas impulerant, non raro maledictis ac convitiis incessebat, insulsos vocans ac inconsultos, "quibus" inquit "ego, supra quam decebat fidem habens, eiecta vulpe eius loco leonem induxi, ut nos omnes devoraret ac deglutiret."

17. Iam vero Michaele imperatore cum avunculo Barda Caesare adversus Cretam profecto, ac Caesare arrogantius rebus utente maiorique quam pro munere auctoritate imperia edente ac praecipiente, crebrae in eum quotidie ac continuae criminationes coeptae imperatoris Michaelis aures pulsare. Cepos cum venissent (est locus in Thracesiis

*Μαιάνδρῳ τῶν Θρᾳκησίων παράλιον) καὶ εἴτε κατὰ τύχην εἴτε
κατὰ σπουδὴν τῆς τοῦ βασιλέως αὐλαίας ἤτοι κόρτης ἐπὶ χθαμα-*
C *λοῦ καὶ ἐπιπέδου ταθείσης τόπου, τῆς δὲ τοῦ Καίσαρος ἐν ἀπό-
πτῳ καὶ ὑψηλῷ, ταύτης εὐλόγου δῆθεν δραξάμενοι ἀφορμῆς οἱ
πάλαι βαρυνόμενοι καὶ μισοῦντες τὸν Καίσαρα πολλὰς κατ' αὐτοῦ
ὡς ἐντρυφῶντος ἤδη καὶ φανερῶς εἰς τὸν αὐτοκράτορα ἐξυβρίζον-
τος, εἰ τοῖς ἄλλοις ἅπασιν οὐκ ἀρκούμενος κἂν τούτῳ φιλοτιμή-
σασθαι ἔσπευσεν, ἵνα χθαμαλὴ μὲν καὶ ταπεινὴ ἡ τοῦ αὐτοκράτο-
ρος σκηνὴ δείκνυται, ἡ δὲ ἐκείνου περιφανὴς καὶ μετέωρος. πει-
σθεὶς οὖν τούτοις ὁ βασιλεὺς κινεῖται πρὸς τὴν κατ' αὐτοῦ συ-
σκευὴν καὶ πρὸς τὴν βουλὴν καὶ σκέψιν τῆς αὐτοῦ ἀναιρέσεως·*
D *οὐ γὰρ ἠδύνατο φανερῶς κατ' αὐτοῦ τι εἰπεῖν ἢ ἀποφήνασθαι διὰ
τὸ ὁμότιμον σχεδὸν εἶναι καὶ κοινωνὸν τῆς ἀρχῆς, καὶ διὰ τὸ δε-
διέναι πάντας τὴν ἑταιριῶτιν αὐτοῦ φατρίαν καὶ σύστασιν, καὶ
τὸ πάντας τοὺς ἄρχοντάς τε καὶ στρατηγοὺς αὐτῷ προσανακεῖ-
σθαι καὶ πρὸς αὐτὸν μᾶλλον ἢ πρὸς τὸν βασιλέα ὁρᾶν, ὡς καὶ
μᾶλλον ἐκείνου τοῖς πράγμασι νήφοντος καὶ πρὸς τὸ δοκοῦν μετα-
φέροντος ἕκαστα, καὶ μάλιστα διὰ τὸ τὸν ἀνθύπατον καὶ πατρί-
κιον Ἀντίγονον τὸν υἱὸν αὐτοῦ δομέστικον τὸ τηνικαῦτα τῶν βασι-
λικῶν τυγχάνειν σχολῶν. πλὴν ἔσχε πολλοὺς ὁ βασιλεὺς τοὺς κοι-*
P 148 *νωνοῦντας αὐτῷ τοῦ βουλεύματος καὶ κατεπαγγελλομένους κατα-
πράξασθαι τὴν σφαγήν. ὡς οὖν κατὰ τὴν ἕω συνήθως ὁ Καῖσαρ*

1 τῶν om P 4 καὶ om P 5 fort. πολλὰ κατ' αὐτοῦ διαβάλλουσιν, vel διαβολὰς προβάλλουσι. Combef.

maritimus ad Maeandrum) ac, sive casu sive de industria, imperatoria aulaea sive cortinae in humili et depresso loco, Caesaris in conspicuo excelsoque expansae sunt. hac velut speciosa arrepta occasione, qui gravi pridem animo erant ac Caesarem oderant, multa in eum crimina iaciunt, ut qui iam insolesceret palamque in imperatoris contemptum iniuriamque prorumperet, dum reliquis omnibus non contentus vel in hoc ambitiosi animi specimen de industria quaesierat, ut imperatoris tentorium humile ac depressum esset, ipsius vero conspicuum excelsumque exstaret. his itaque persuasus imperator ad adornandas illi insidias convertit animum, deque eo tollendo serio cogitat ac deliberat. nec enim palam licebat in eum aliquid proferre aut decernere, quod pari fere dignitate fulgeret sociusque imperii esset, et quod omnes illius amicos et sodales foederatosque pertimescerent, cunctique proceres ac duces exercitus illi addicti essent, ad eumque magis quam ad imperatorem animum attenderent, eo quod prae illo magis rebus invigilaret singulaque arbitratu suo et nutu mutaret; sed praecipue ob proconsulem et patricium Antigonum, illius filium, tunc temporis praetorianarum scholarum domesticum. ceterum etiam habebat imperator multos eius sibi consilii conscios, ac qui ipsi in se recepissent caedem se perpetraturos. mane ita-

πρὸς τὴν τοῦ βασιλέως ἦλθε σκηνήν, καίτοι πονηρῶν οἰωνῶν προφανέντων αὐτῷ, ὅπως περὶ τῶν προκειμένων βουλεύσωνται, εὔθετον καιρὸν τοῦτον εἶναι νομίσας ὁ βασιλεὺς πρὸς τὴν τούτου ἀναίρεσιν διὰ νεύματος γνωρίζει τῷ πατρικίῳ Συμβατίῳ λογοθέτῃ τοῦ δρόμου τυγχάνοντι, ὃς καὶ γαμβρὸς ἦν τοῦ Καίσαρος ἐπὶ θυγατρὶ καὶ τῆς κατ᾽ αὐτοῦ βουλῆς ἐκοινώνει βασιλεῖ, ἐξελθόντι εἰσαγαγεῖν τοὺς αὐτόχειρας αὐτοῦ γενέσθαι ὀφείλοντας. ὃς ἐξελθὼν καὶ τὸ συγκείμενον σημεῖον πεποιηκώς, ὅπερ ἦν τὸ τοῦ σταυροῦ σημεῖον, τῇ οἰκείᾳ ὄψει ἐπισφραγίσασθαι, ἐπεὶ ἐκεῖνοι μαλακόψυχοι τυχὸν ὄντες ἀπεδειλίασαν καὶ πρὸς αὐτῷ τῷ δεινῷ γεγο- B νότες διὰ τὸ μέγεθος τῆς πράξεως ἰλιγγίασαν καὶ τριβὴ τοῦ χρόνου ἐγένετο, ἐν ἀμηχανίᾳ κατέστη ὁ βασιλεύς, καὶ διά τινος τῶν βασιλείων κατευναστῶν μαθὼν αὐτοὺς κατεπτηχέναι καὶ δειλιᾶν καὶ ἀναβάλλεσθαι τὸ ἐγχείρημα, τῷ ὄντι διανοίας τόλμημα καὶ φρενὸς ἀνδρείας καὶ εὐθαρσοῦς· καὶ τῶν ἔνδον τινὰ οἰκεῖόν τε καὶ πιστὸν ἐκπέμπει πρὸς Βασίλειον τὸν πατρίκιον καὶ παρακοιμώμενον, καὶ δηλοῖ μετὰ δέους αὐτῷ ὡς εἰ μὴ θᾶττον ἀναρρώσῃς τοὺς εἰς τὸ πρᾶγμα ηὐτρεπισμένους καὶ παρορμήσῃς αὐτίκα πρὸς τὸ ἔργον χωρῆσαι, πάντως οἶδα ὅτι εὐθέως ἐμὲ δεήσει ὑπὸ τούτου ἀναιρε- C θῆναι· ἀδύνατον γὰρ λαθεῖν αὐτὸν τὰ κατ᾽ αὐτοῦ μοι βεβουλευμένα, καὶ δόξετε μᾶλλον ὑμεῖς αὐτόχειρες καὶ σφαγεῖς χρηματίσαι μου. ἅπερ ἀκηκοὼς ὁ Βασίλειος, καὶ περὶ τοῦ βασιλέως μὴ

8 ὅπερ ἦν τὸ τοῦ σταυροῦ σημεῖον om P 10 μαλακώτεροι P
12 παρά A 20 αὐτὸν] αὐτῷ A

que Caesar ex more ad imperatoris tentorium venit, etsi mala omnia auguriaque illi ante visa erant, de praesentibus negotiis consilium cum eo habiturus. opportunum vero illud tempus ad eius caedem ratus imperator, nutu Symbatio patricio cursus logothetae, qui Caesaris filiam sibi matrimonio iunxerat ac coniurationis cum imperatore socius erat, indicat ut exiens sicarios inducat. egressus ille signum dat, quod inter illos erat constitutum, ut nempe signo crucis frontem consignaret. dato signo, molliore forsitan animo viros pavor incesserat, inque ipso sceleris articulo ob facinoris immanitatem vertigine correpti moras nectebant. hinc imperator consilii inops penitus haesitare; audiensque ex quodam sacri cubiculi ministrorum coniuratos animis consternatos ac formidolosos aggressionem differre (mentis sane sensusque generosi audacisque facinus!) ex cubiculi intimis domesticum quendam fidumque ad Basilium patricium et accubitorem mittit, metuque actus denuntiat "ni citius iis qui ad rem patrandam parati sunt animos addideris, utque statim manum operi admoveant eos impuleris, nae confestim novi ab eo me necatum iri. neque enim fieri potest ut ille non noverit quas in eum insidias struxi; vosque potius meae necis auctores videbimini esse ac sicarii." his auditis Basilius, anxiusque ne quid mali imperatori

τι πάθοι ἐν ἀγωνίᾳ γεγονώς, θᾶττον θαρραλέους ἐποίησε τοὺς δει-
λοὺς καὶ τοὺς τρέμοντας εὐθαρσεῖς, καὶ τῇ τοῦ βασιλέως αὐτοὺς
ὑπηρετήσασθαι βουλῇ διηρέθισεν. ὧν ὥσπερ μένους πλησθέντων
καὶ ἀθρόως εἰσπηδησάντων εἰς τὴν βασιλέως σκηνήν, ὁ Καῖσαρ,
ὅπερ ἦν, ἐπ' αὐτὸν δόξας εἶναι τὴν συνδρομήν, ἀναπηδήσας τοῖς
τοῦ βασιλέως περιεπλάκη ποσίν. ὃν ἐκεῖθεν ἑλκύσαντες οἱ αὐτό-
D χειρες πρὸ τῶν ποδῶν τοῦ βασιλέως ἀπέσφαξαν. πρώτην εἶχε
μετ' εἰκάδα ὁ μὴν ὁ Ἀπρίλλιος, τῆς τεσσαρεσκαιδεκάτης ἐπινεμή-
σεως. εὐθὺς οὖν ἡ στρατεία τῷ βασιλεῖ καταλύεται, καὶ πρὸς τὴν
βασιλεύουσαν ἐπανέρχεται.

18. Τῆς δὲ προνοίας ἀγούσης τὸν Βασίλειον εὐμηχάνως
πρὸς ὅπερ ἐβούλετο, εὐθέως μετὰ τὴν ἐκ τῆς στρατείας ὑποστρο-
φὴν υἱοποιεῖται τοῦτον ὁ βασιλεύς (ἐτύγχανε γὰρ καθάπαξ οἰκείας
γονῆς ἀμοιρῶν) καὶ τῆς τῶν μαγίστρων ὑπερλάμπρου τιμῆς ἀξιοῖ.
ἐφ' ὧν τῇ βασκανίᾳ διαρρηγνύμενος ὁ λογοθέτης Συμβάτιος, καὶ
μὴ δυνάμενος τὸν φθονούμενον καθορᾶν οὐκ ὀλίγην ἐπίδοσιν καθ'
P 149 ἑκάστην λαμβάνοντα, παραιτεῖται μὲν τὴν προσοῦσαν αὐτῷ μέχρι
τότε διακονίαν, ὡς μὴ δυνάμενος κατὰ τὴν βασιλεύουσαν ζῆν, τῆς
δὲ τῶν Ἰώνων ἤτοι Θρακησίων στρατηγίας αἰτεῖ τὴν ἀρχήν. οὗ
τὴν αἴτησιν ὁ βασιλεὺς ἐκπληρῶν προβάλλεται τοῦ εἰρημένου θέμα-
τος στρατηγόν. ὀλίγου δὲ διελθόντος καιροῦ, καὶ τῶν πραγμάτων
ἐπισφαλῶς σαλευόντων καὶ τῆς ἀρχῆς κραδαινομένης καὶ ζητούσης
τὸν προστησόμενον διὰ τὸ τὸν βασιλέα πρὸς ἄλλοις μᾶλλον εἶναι ἢ

1 πάθῃ A 8 ὁ post μὴν om A 12 τῆς om P 15 ῥηγνύμενος P 19 Ἰωάννην A, i. e. Ianninorum.

accideret, quam citissime pavidos audaces facit, terrore perculsos fiducia erigit, et ut imperatoris decreto asserviant impellit. velut itaque animis pleni, in imperatoris tentorium irrumpunt. Caesar, id quod erat advertens, in se suique tollendi gratia fieri concursum, resiliens ad imperatoris pedes provolvitur. quem inde extractum sicarii ante illius pedes iugularunt, mensis Aprilis die vigesima prima (id est a. d. 11. kal. Maias), 14 indict. statimque dimisso exercitu imperator Cpolim revertitur.

18. Verum providentia solerti Basilium ferente consilio, quo illi collibitum erat, illico reversus imperator ab illa expeditione Basilium in filium adoptat, quod ipse nullos prorsus liberos susceperat, et magistrorum praefulgente dignitate condecorat. his Symbatius logotheta invidia rumpitur; nec ferens videre, in quem sic livore exarserat, incrementis ingentibus in dies augescere, munere, quo hactenus functus fuerat, se ipse abdicat, quasi in urbe regia vivere non posset; Ionumque (id est Thracesiorum) praefecturam, et ut illis dux praeficiatur, deposcit. imperator votis annuens eius quod dicebam thematis ducem praeficit. parvo elapso tempore, cum res periculi salo iactarentur imperiumque nutaret ac praesidem curatoremque quaereret, quod imperator aliis potius rebus

πράγμασιν εἰς δέον εἰδέναι χρῆσθαι, πρότερον δὲ τὰ πολλὰ λανθάνειν διὰ τὸ τὸν κοινωνὸν τῆς ἀρχῆς Καίσαρα ἀεὶ τὰ κατεπείγοντα διοικεῖν καὶ αὐτῷ σχεδὸν ἀνακεῖσθαι τὰ πράγματα καὶ τὴν μέρι- B μναν πᾶσαν τῆς κοσμικῆς διοικήσεως, ἐγίνοντο καταβοήσεις τε καὶ διαγογγυσμοὶ κατὰ τοῦ βασιλέως παρά τε τῆς συγκλήτου βουλῆς καὶ τοῦ πολιτεύματος καὶ παρὰ πάντων σχεδὸν τῶν ὄντων ἐπὶ τῶν διοικήσεων καὶ μεταχειριζομένων τὰ πράγματα, ἔτι δὲ καὶ παρὰ τῶν στρατευμάτων καὶ παντὸς τοῦ πλήθους τοῦ ἀστικοῦ· ἃ διὰ τῶν οἰκειοτάτων ὁ βασιλεὺς γνούς, καὶ μόλις οἷον ἐπὶ βραχὺ ἀνανήψας, καὶ ἐπιγνοὺς τὴν οἰκείαν περὶ τὰ κοινὰ οὐ μόνον ἀμέλειαν καὶ ῥαθυμίαν ἀλλὰ καὶ ἀνεπιτηδειότητα καὶ ἀφέλειαν, καὶ ἐπανάστασιν ἢ ἀπόστασιν παρὰ τοῦ πλήθους εὐλαβηθείς, ἔγνω κοινωνὸν C τῶν πραγμάτων προσλαβέσθαι καὶ τῆς ἀρχῆς· καὶ ἐπείπερ πρὸ ὀλίγου υἱοποιησάμενος ἦν τὸν Βασίλειον, ᾔδει δὲ αὐτὸν οὐ μόνον ἀνδρίᾳ ἀλλὰ καὶ συνέσει τῶν πολλῶν διαφέροντα καὶ ἱκανὸν ἀναπληροῦν αὐτοῦ τὸ ἐν τῇ κυβερνήσει τοῦ κοσμικοῦ σκάφους ὑστέρημα, ἅμα καὶ τῆς θείας ἐναγούσης εἰς τοῦτο προνοίας αὐτόν, βεβαιοῖ πρὸς τοῦτο τὴν γνώμην αὐτοῦ ὥστε Βασίλειον βασιλέα . . . καὶ δὴ θεοῦ συνεφαπτομένου τῆς βουλῆς καὶ τοῦ πράγματος, κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς, ἐν ᾗ τοῦ πατρὸς ὁ παράκλητος πρὸς τοὺς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐφοίτησε μα- D θητάς, ἐν τῷ περιβλέπτῳ καὶ ἐπωνύμῳ τῆς τοῦ θεοῦ σοφίας ναῷ

7 μετεγχειριζομένων P   καὶ et 8 τῶν om P   13 τῆς om P
18 βασιλέα . . . om A   20 ἁγίας om P

animum adverteret quam ut ex officii ratione rem publicam gereret (et ante quidem non ita plerisque patebat, quod imperii collega Caesar urgentia quaeque administrabat, inque eum tota fere rerum moles omnisque Romani orbis administrandi cura incumbebat), adversus imperatorem expostulationes et querimoniae moveri, tum a senatu civiumque proceribus, tum fere ab omnibus quibus munera rerumque gerendarum cura commissa erat, nec non ab exercitibus urbanaque omni multitudine; de quibus per necessarios intimosque certior factus, vix tandem aliquantisper emergens suamque agnoscens procuranda re publica non modo negligentiam ac segnitiem, verum etiam ineptitudinem ac vecordiam, timensque ne multitudo concitata turbas cieret aut rebellaret, statuit rerum gerendarum adiutorem et imperii collegam sibi adhibere. quodque ante non multos dies Basilium adoptaverat, eumque non solum viribus sed et prudentia mentisque sagacitate reliquis vulgo praestare noverat, satisque idoneum ad supplendum quod ipsi in gubernanda orbis scapha industriae atque operae deerat, una quoque divina providentia rem promovente, in hoc animum consilio obfirmat, omninoque decernit ut Basilium imperatorem constituat. ac sane deo consilium prosequente reique adiutore, die ipsa pentecostes, qua patris ille paracletus in Christi deique nostri disci-

τὸν βασίλειον ὁ Βασίλειος περιτίθεται στέφανον, χειρὶ μὲν τοῦ τότε Μιχαὴλ βασιλεύοντος, ψήφῳ δὲ καὶ κρίσει Χριστοῦ τοῦ ἀεὶ βασιλεύοντος. ἕκτην πρὸς ταῖς εἴκοσιν εἶχεν ὁ Μάϊος μήν, τῆς τεσσαρεσκαιδεκάτης κατὰ Ῥωμαίους ἐπινεμήσεως.

19. Μαθὼν δὲ τὸ γεγονὸς ὁ Συμβάτιος κατὰ τὴν ἀπονεμηθεῖσαν αὐτῷ στρατηγίδα διάγων, οὐκ ἠδυνήθη τὸν διατήκοντα φθόνον αὐτῷ ἀνθρωπίνως ὑπενεγκεῖν, ἀλλὰ συναπομανέντα σχὼν καὶ Πηγάνην ἐκεῖνον τὸν πατρίκιον, ὃς τῆς κατὰ τὸ Ὀψίκιον ἡγεῖτο
P 150 στρατηγίδος, εἰς ἀπόστασιν βλέπουσι, καὶ μοῦλτον ἐξ ἀπονοίας ἔγνωσαν συνιστᾶν. ἀναπείσαντες δὲ καὶ τὰ ὑπ' αὐτοὺς στρατεύματα εἰς ἔργον ἐξάγουσι τὰ βουλεύματα, εὐφημοῦντες μὲν τὸν Μιχαὴλ ὡς βασιλέα διὰ τὸ ἐκ τούτου τὰ πλήθη ἐπάγεσθαι καὶ μὴ δοκεῖν πτέρναν ἀποστασίας αἴρειν κατὰ τοῦ αὐτοκράτορος, δυσφημοῦντες δὲ τὸν Βασίλειον καὶ μυρίαις πλύνοντες ὕβρεσι. φρυαξάμενοι δὲ ταῖς τοιαύταις ἀπονοίαις κατὰ τὸν τοῦ θέρους καιρόν, καὶ πολλοὺς ἀγροὺς τῶν κατὰ τὴν βασιλίδα δυνατῶν πυρπολήσαντες, καὶ ναῦς οὐκ ὀλίγας τῶν πρὸς τὴν βασιλεύουσαν
B ποιουμένων τὸν πλοῦν ἐν τοῖς ὅρμοις κατασχόντες καὶ κατακαύσαντες, ὡς ἔφθασεν ὁ χειμών, διαλύονται, διαδιδρασκόντων λάθρα καὶ κατ' ὀλίγους τῶν κοινωνῶν τοῦ τολμήματος. ὃ συνιδόντες οἱ τοῦ δράματος ἀρχηγοὶ φυγῇ τὴν σωτηρίαν λαβεῖν ἐπειράθησαν. καὶ ὁ μὲν Συμβάτιος εἰς τὸ τῆς Πλατείας λεγομένης πέτρας φρούριον ὑπεισέρχεται, ὁ δὲ Πηγάνης κατέχει τὸ Κοτυάειον.

8 τῆς om P 10 αὐτοῦ A 11 εἰς ἔργον ἐξάγουσι τὰ βουλεύματα om P

pulos venit, in celebri et a dei sapientia nuncupato templo Basilius regio diademate coronatur, manu quidem tunc imperantis Michaelis, calculo vero et iudicio Christi in perpetuum regis, a. d. 7 kal. Iunii, indictione secundum Romanos 14.

19. Ubi audivit Symbatius pro muneris ratione in provincia agens, invidiam qua contabescebat humane ferre non potuit; sed pari secum furore concitum habens Peganem patricium, qui Opsicii praefectus erat, ad defectionem attendunt animum tumultumque excitare parum caute constituunt. itaque in sententiam adductis ordinibus, quos obnoxios habebant, exsequuntur consilia: Michaelem acclamant ut imperatorem, quo scilicet inde multitudinem allicerent nec rebellionis calcaneum adversus imperatorem se levare ostenderent, Basilium vero maledictis impetunt omnique verborum procacitate lacerant ac conviciis compluunt. talique apparatu stulte admodum frementes messis tempore irrumpunt, multosque procerum agros urbi vicinos igni ferroque vastant, nec paucas naves Cpolim navigantium in stationibus deprehensas succendunt. hieme autem appetente dirimuntur, clam ac viritim sceleris sociis aufugientibus. quare tragoediae auctores saluti fuga consulere conati sunt. ac Symbatius quidem in castellum subit, quod Latae Petrae vocant, Peganes vero Co-

ἀλλ' εἰς οὐδὲν τῆς τοιαύτης ἐπινοίας ἀπώναντο· ὑπὸ γὰρ τῆς τοῦ βασιλέως ληφθέντες χειρὸς δέσμιοι πρὸς αὐτὸν ἀναφέρονται. καταλαμβάνουσι δὲ τοῦτον ἐν τοῖς τοῦ ἁγίου Μάμαντος παλατίοις διάγοντα· οὓς ἰδών, καὶ πολλὰ τῆς ἀπονοίας καὶ ἀταξίας ὀνειδίσας C τε καὶ λοιδορησάμενος, καὶ διὰ μαστίγων πρότερον ἐπεξελθὼν ἱκανῶν, ὕστερον ἐκδότους ταῖς τοῦ νόμου ποιναῖς ἐποιήσατο. καὶ ὁ μὲν Συμβάτιος ἀμφοτέρων τῶν ὀφθαλμῶν καὶ τῆς μιᾶς χειρὸς στερηθεὶς εἰς ἐξορίαν ἐκπέμπεται, ὁ δὲ Πηγάνης καὶ αὐτὸς τῇ τῶν ὀφθαλμῶν ὑποπεσὼν ἐκκοπῇ καὶ τῇ τῶν ῥινῶν διὰ ξίφους ἀνατομῇ, πρὸς ἐξορίαν καὶ αὐτὸς ἀποστέλλεται· οὓς ὁ γενναῖος βασιλεὺς Βασίλειος, ὅτε τὴν μόναρχον ἐξουσίαν ἐδέξατο, καὶ τῆς ὑπερορίας ἀνεκαλέσατο καὶ ταῖς πρὸ τῆς ἀποστασίας δωρεαῖς ἐφιλοτιμήσατο, καὶ μηδὲ ἴχνος μνησικακίας πρὸς αὐτοὺς ἐνδειξάμενος D καὶ ὁμοδιαίτους πολλάκις ἐποιεῖτο καὶ λόγοις παρεμυθεῖτο, καὶ ἔργοις εὐεργετῶν ῥᾷον αὐτοὺς ἐποίει φέρειν τὸ τῆς ἀνοίας ἀτύχημα.

Ἀλλὰ ταῦτα μὲν ὕστερον· τότε δὲ καὶ ἡ πρὸ πεντήκοντα καὶ τριακοσίων ἐτῶν πρόρρησις καὶ προφητεία τὸ τέλος ἐλάμβανεν Ἰσαὰκ τοῦ διορατικωτάτου τῶν ἱερέων καὶ μοναχῶν, ὃς ἐξ Ἀρσακιδῶν καὶ αὐτὸς καταγόμενος δι' ὁράματος ἔμαθεν ὅτι μετὰ τοσοῦτον χρόνον τὸν μεταξὺ ἐκ τῶν ἀπογόνων Ἀρσάκου μέλλει τις ἐπὶ τὰ τῆς Ῥωμαϊκῆς βασιλείας σκῆπτρα ἀναβιβάζεσθαι. γίνεται δὲ

1 κατώναντο P 3 διάγοντα om P 8 καὶ om P 11 μονάρχην P καὶ om P 21 τῶν om P

tyaium occupat. nihil tamen eo commento commodi consequuntur. capti enim ab imperatoris milite vincti ad eum adducuntur. agebat tunc imperator in S. Mamantis regiis aedibus; vidensque, multum vecordiam et temeritatem ac contumaciam non sine convicio exprobrans, prius verberibus affatim caesos, demum lege agens supplicio damnavit. ac Symbatius quidem utroque oculo effosso atque una manuum amputata in exilium mittitur: Peganes vero ipse quoque oculis spoliatus, naribusque ferro amputatis, relegatur. quanquam hos ipsos generosi pectoris imperator Basilius, postquam solus rerum potitus est, ab exilio revocavit, pristinaque omnia munera, quibus ante rebellionem gaudebant, liberaliter indulsit, ac ne vestigium quidem odii ostendens pro veteris iniuriae memoria saepius ad mensam secum adhibebat verbisque solabatur, ac beneficiis largus, cuius sibi per dementiam auctores exstiterant, infortunium levabat ac miseriam.

Verum haec postea. tunc vero etiam finem accepit quae ante annos trecentos et quinquaginta vaticinatio oraculumque praecesserat, Isaaci, viri inter sacerdotes atque monachos dono praenoscendi futura praecellentissimi. trahebat is quoque ex Arsacidarum gente originem, divinaque visione didicerat tot annorum decurso spatio fore ex Arsacis posteris, qui Romani imperii sceptra capesseret. res ex omnium voto suc-

κατ᾽ εὐχὴν τὸ πρᾶγμα τοῖς τε ἐν τέλει καὶ τῷ δήμῳ παντὶ καὶ
P 151 στρατοπέδῳ καὶ στρατηγοῖς καὶ τοῖς ὑπὸ τὴν ἀρχὴν ἀνὰ πάσαις
ταῖς χώραις καὶ πόλεσιν ἅπασι πλήθεσι· πάντες γὰρ ἐπιστῆναι τοῖς
πράγμασιν ηὔχοντο ἄνδρα καὶ τῆς ἐλάττονος τύχης πεῖραν δεξάμενον
καὶ ἐγνωκότα τοὺς κατὰ τῶν πενήτων ὑπὸ τῶν ὑπερεχόντων κονδυλι-
σμοὺς καὶ τὰς ἀδίκους ἐξ αὐτῶν ἀφαιρέσεις καὶ τὰς ὥσπερ ἀνα-
στάσεις τῶν ταπεινοτέρων καὶ τοὺς παρὰ τῶν ὁμοφύλων ἀνδραπο-
δισμούς, ἃ πάντα ἐπὶ τῆς τοῦ Μιχαὴλ βασιλείας ἔσχε καιρὸν διὰ
τὸ πρὸς ἄλλοις μᾶλλον εἶναι τὸν βασιλέα ἢ περὶ τῶν τοιούτων ἐθέ-
λειν σκοπεῖν.

B 20. Μᾶλλον δέ, ἐπεὶ ἐνταῦθα τοῦ λόγου ἐγενόμην, οἴο-
μαι δεῖν τὴν μὲν κατὰ τὸν βασιλέα Βασίλειον ἱστορίαν σχολάσαι
ἐπὶ μικρόν, ἄνωθεν δὲ ἀναλαβόντα δηλῶσαι διὰ βραχέων, ὡς
οἷόν τε, οἷος ἦν ὁ βίος τῷ βασιλεῖ Μιχαὴλ καὶ οἵοις πράγμασιν
ἔχαιρε καὶ ἐπὶ τίσι τὸν χρόνον καὶ τὴν πᾶσαν αὐτοῦ σπουδὴν καὶ
τὰ δημόσια κατανήλισκε χρήματα, ἵν᾽ ἐντεῦθεν εἰδέναι λογιζόμε-
νος ἔχοι πᾶς ὁ βουλόμενος ὅτι καὶ τὸν Βασίλειον θεία ψῆφος σα-
φῶς ἦν ἡ ἐπὶ τὸ ἄρχειν καλέσασα (ἀδύνατον γὰρ ἦν ὡς εἶχεν
C ἔχοντα συστῆναι τὰ πράγματα) καὶ ὅτι μετὰ ταῦτα αὐτὸς ὁ Μι-
χαὴλ καθ᾽ ἑαυτοῦ τὰ ξίφη ἠκόνησε καὶ τὰς τῶν ἀνελόντων αὐτὸν
ἐστόμωσε δεξιὰς καὶ εἰς τὴν οἰκείαν σφαγὴν διηρέθισε· τοσοῦτον
ἑαυτὸν τῶν καθηκόντων ἐξεδιῄτησε, καὶ τοσοῦτον πρὸς πᾶσαν

4 ηὔχοντο τοῖς πράγμασιν P

cessit, tum scilicet procerum ac nobilium, tum reliquae omnis plebis ac civium, militum quoque ac ductorum exercitus omniumque toto late imperio per provincias urbesque subditorum. omnes enim maxime peroptabant virum eiusmodi rebus praefici, qui tenuiorem ipse fortunam expertus procerum maiorumque in pauperes iniurias non nesciret iniquasque eorum rapinas, qui denique humiliorum a contribulibus tantum non excidia et direptiones plagiaque nosset. quae omnia Michaele imperatore occasionem tempusque nacta etiam etiamque vim roburque habuerant, cum ille aliis potius rebus animum attendebat quam ut publicis eiuscemodi curis operam ac studium poneret.

20. Enimvero cum huc usque devecta mihi oratio sit, operae pretium esse existimo ut Basilii imperatoris tantisper intermissa historia, re altius repetita, quoad fieri poterit, paucis narrem quae Michaelis imperatoris vita fuerit, quibus ille studiis delectaretur, et in quibus omne tempus atque operam perderet ac aerarium exhauriret; ut inde reputans nosse possit, quisquis voluerit, divino palam factum suffragio ut Basilius ad imperium vocaretur (fieri enim non poterat ut res, quo erant statu, consisterent) ipsumque in se ipsum Michaelem gladios strinxisse, atque eorum a quibus necatus est dexteras roborasse et in propriam caedem excitasse: sic nimirum ab omni se honesti rectique studio ex-

παράνομον ἐξεβακχεύθη πρᾶξιν, καὶ οὕτως τά τε θεῖα ἐξωρχήσατο καὶ πρὸς τοὺς τῆς πολιτείας ὁμοῦ καὶ τῆς φύσεως νόμους ἐξύβρισεν. συστησάμενος γὰρ περὶ ἑαυτὸν ἀσελγῶν καὶ μιαρῶν καὶ παμπονήρων ἀνθρώπων χορὸν δυσσεβῆ, καὶ τὴν τοῦ βασιλικοῦ μεγέθους ἀτιμάσας σεμνότητα, περὶ κώμους καὶ μέθας καὶ ἔρωτας ἀσελγεῖς καὶ αἰσχρὰ διηγήματα, ἔτι δὲ περὶ ἡνιόχους καὶ ἵπ- D πους καὶ ἅρματα καὶ τὴν ἐντεῦθεν μανίαν καὶ παρακοπὴν τῶν φρενῶν ὁ ἄθλιος διημέρευε, καὶ εἰς τοὺς τοιούτους ἀνθρώπους ἀφειδῶς ἐξεκένου τὰ δημόσια χρήματα. καὶ τὸ δὴ σχετλιώτατον, ὅτι καὶ αὐτὰ τὰ τῆς πίστεως ἡμῶν σύμβολα χλευάζων καὶ κερτομῶν, ἀντιτύπους τῶν σεμνῶν ἱερέων ἐκ τῶν περὶ αὐτὸν μίμων καὶ γελοίων καταστησάμενος, μυκτηρισμὸν καὶ χλεύην ἐτίθει ταῦτα καὶ γέλωτα. διηγήσομαι δέ τινα ἐξ αὐτῶν, οὐ πολλά, ἵνα ἀπὸ τῶν ὀλίγων γνῶτε καὶ τὰ λοιπά.

21. Ὅτι μὲν οὖν ἁρματηλάτης καὶ ἡνίοχος ἦν, ἐπὶ τοῦ P 152 δίφρου τῶν ἵππων μεθ' ἡνιόχου στολῆς καθεζόμενος καὶ πρὸς τοὺς διαύλους τῶν δρόμων τοῖς ἀντιτέχνοις διαμιλλώμενος ἔνδον τε τῆς βασιλευούσης καὶ τῶν βασιλείων καὶ ἔξω κατὰ τὰ ἐν τῷ τοῦ μάρτυρος Μάμαντος βασιλικὰ ἐνδιαιτήματα, καὶ ὅτι πάμπολλα χρήματα εἰς ταῦτα ἀνήλισκε, θεωρικῶν γενομένων τῶν στρατιωτικῶν, καὶ ἀπὸ τῶν πολεμικῶν τάξεων εἰς τὰς θυμελικὰς ὀρχήσεις καὶ λέσχας ὁ Ῥωμαϊκὸς ἐξεχεῖτο πλοῦτος, καὶ εἰς ἀσελγεῖς καὶ

15 ἐπὶ] ἐκ P   17 τε om P

torrem fecerat, sicque improba omni actione debacchari gloriae ducebat, ac sic divina ludicro habebat ac traducebat; sic denique civiles ac naturae leges violaverat. sibi enim impudicorum et impurorum scelestissimorumque ganeonum coetum adhibens, regiaeque maiestatis dignitatem indignis modis dehonestans, crapula et ebrietate et impuris amoribus obscenisque narratiunculis, tum etiam aurigis et equis et curribus ac (quae inde est) insania ac dementia vir miserabilis dies insumebat, inque eius generis monstra ac pestes publicas aerarii opes effundebat. quodque sane omnium miserrimum est, ipsa quoque nostrae fidei symbola irridens ac ludificans, ex mimico ac ridiculo suo comitatu constituens qui venerabilium sacerdotum coetus formam referrent, deridenda illa ac ostentui habenda exponebat. pauca ex illis referam, non plura, ut ex paucis cognoscatis et reliqua.

21. Quod is itaque aurigam ageret cursusque agitaret, equorum currui aurigae amictu ipse insidens et in cursibus reciprocis cum aemulis decertans, tum intra urbem ipsamque regiam, tum ruri in regiis aedibus quae in S. Mamantis sunt, immensamque pecuniae vim in istis insumeret, ita nimirum ut bellici sumptus in spectaculorum ac ludorum usum converterentur, Romanaeque opes in thymelica tripudia et nugas effun-

παρανόμους βακχείας καὶ ἔρωτας ἀσώτους ἀσώτως καὶ ῥύδην ἐξεφοροῦντο οἱ βασιλικοὶ θησαυροί, ὡς πᾶσι γνώριμον καὶ καταφανὲς B καθεστὼς παρήσειν μοι δοκῶ· ὅτι δὲ τὰ θεῖα κατέπαιζε, καὶ ἀπὸ τῶν συνόντων αὐτῷ μιαρῶν καὶ ἀσελγῶν ἀνδρογύνων καὶ πατριάρχην ἕνα ὠνόμαζε καὶ μητροπολίτας ἐκ τούτων ἀφώρισεν ἕνδεκα ὡς αὐτοῦ συμπληροῦντος τὸν δώδεκα ἀριθμόν, τοῦτο δὲ διηγήσομαι. τὸν γὰρ ἐναγῆ καὶ μιαρώτατον ἐκεῖνον Γρῦλλον τὸ τοῦ πατριάρχου ἐπιφημίσας ὄνομα, καὶ ἀρχιερατικῇ τοῦτον χρυσοστίκτῳ καὶ ὑπερλάμπρῳ κοσμήσας στολῇ καὶ ὠμοφόριον περιθείς, καὶ ἐν τάξει μητροπολιτῶν ἑτέρους ἕνα πρὸς τοῖς δέκα, ὡς εἴρηται, ἐκ τοῦ αὐτοῦ τῶν ὁμογνωμόνων αὐτῷ συνεδρίου σκευάσας, καὶ δωδέκα- C τον ἑαυτὸν Κολωνείας ὀνομάσας ἀρχιεπίσκοπον, καὶ κιθάραν ἕκαστον ἔσωθεν τῆς ἱερατικῆς στολῆς ἐπιφέρεσθαι δούς, καὶ ταύτας κάτωθεν ὑπηχεῖν προστάξας, οὕτω σὺν αὐτοῖς τὴν ἱερὰν δῆθεν παίζων καὶ κατορχούμενος ἐπετέλει μυσταγωγίαν καὶ λειτουργίαν, μετὰ τῶν παμμιάρων ὁ μιαρώτατος, μετὰ τῶν βεβήλων ὁ ἐναγής. καὶ ὅτε μὲν μυστηριώδης δῆθεν εὐχὴ ἐλέγετο, ἠρέμα τὰς κιθάρας ἔδει ὑποφωνεῖν· ὅτε δὲ ἱερέως ἐκφώνησιν ἢ λαοῦ ἀμοιβαίαν ἀπόκρισιν ὁ χρόνος ὑπέβαλλεν, ἐπὶ μέγα τὰς κιθάρας τῷ πλήκτρῳ κρουομένας ἔδει ἠχεῖν καὶ ἐξάκουστον αὐτῶν τὴν μελῳδίαν καθίστασθαι. εἶτα τοῖς σκεύεσι τοῖς ἱεροῖς, ἅ τινα λίθοις τιμίοις καὶ D μαργάρων κατεκοσμεῖτο φαιδρότησιν, ἐξ ἀργύρου καὶ χρυσοῦ

6 δωδέκατον P δὴ A 7 Γρῦλλον Barberinus, Γροῦλλον AP
16 παμμιαρώτατος P 19 ὁ χορὸς P

derentur, inque impuras et sceleratas bacchationes lascivosque amores thesauri regii prodige affluenterque exportarentur, ut quod omnibus notum sit ac manifestum, omittendum mihi esse duxi. quod autem res divinas ludos sibi fecerit, exque impuro obscenoque ac effeminato illi adhaerentium sodalitio patriarcham unum vocaverit, exque illis undecim metropolitas designarit, tanquam ipse ad complendum numerum duodecimus foret, id vero narrabo. profanum ac sceleratissimum Grullum patriarcham appellans, archieraticaque auro interstincta ac praefulgenti veste amiciens, tumque illi omophorium imponens, nec non in ordine metropolitarum alios undecim, uti dicebam, ex eodem sibi adhaerentium sodalitio constituens, ac duodecimum se ipsum coloniae archiepiscopum vocitans, praebens singulis citharam, quam sub sacerdotali amictu ferrent, et praecipiens ita tectas pulsare, sic cum illis ludens ac deridens traducensque rem sacram peragebat, cum scelestis scelestissimus, cum profanis impius. cum secreta precatio recitabatur, sensim ac lene citharis strepere iniunctum erat: cum vero sacerdotem vocem elevare vel chorum respondere tempus poscebat, tum illis graviter plectro pulsatis intonare decebat, melodiaque adstantium aures, et ut clare audirentur, circumsonare. ad haec sacris vasis, lapidibus pretiosis margaritarumque

κατεσκευασμένοις, ἃ καὶ λελειτουργηκότα πολλάκις τῇ θείᾳ μυσταγωγίᾳ ἐτύγχανεν, ἐν τούτοις τοίνυν σίνηπι καὶ ὄξος ἐμβαλόντες οὕτω μετεδίδοσαν τοῖς ὁμοίοις μετὰ πολλοῦ τοῦ μεταξὺ γέλωτος καὶ ῥημάτων αἰσχρῶν καὶ σχημάτων ἀποτροπαίων καὶ βδελυρῶν. εἶεν.

22. Τοῦ δὲ ἁγιωτάτου πατριάρχου Ἰγνατίου ποτέ, μετὰ πάσης τῆς περὶ αὐτὸν ἐκκλησιαστικῆς δορυφορίας καὶ τάξεως, λιτανείαις πρόοδον πρὸ τῆς πόλεως ποιουμένου καὶ πρός τινα πορευομένου θεῖον ναὸν μετὰ τῆς εἰωθυίας ἱερᾶς μελῳδίας καὶ κατα- P 153 στάσεως, συνέβη καὶ τὸν δυσσεβῆ καὶ βέβηλον τοῦ βασιλέως φατριάρχην Γρῦλλον, ἱερατικὴν στολὴν ἀμπεχόμενον καὶ ὄνῳ ἐποχούμενον, μετὰ τῶν δυσσεβεστέρων αὐτοῦ μητροπολιτῶν καὶ πάσης αὐτοῦ τῆς σκηνῆς τε καὶ Σατυρικῆς χορείας καὶ τάξεως, ἀκόλουθα τῶν οἰκείων πράξεων θυμελικῶς ἐπιτραγῳδοῦντας καὶ ᾄδοντας ἐξ ἐναντίας χωρεῖν. ὡς δὲ πλησίον ἐγένοντο, τοῖς ὤμοις τοὺς φελόνας μετεωρίσαντες καὶ τὰς κιθάρας εὐτονώτερον κρούσαντες, καὶ ῥήματα καὶ ᾄσματα πορνικὰ κατὰ τὸν φθόγγον τοῦ μέλους τοῦ ἱεροῦ ἀντεπᾴδοντες, καὶ Πανικῶς τε καὶ Σατυρικῶς σκιρτῶντες B καὶ κυμβαλίζοντες, καὶ ὡς ἀντιτέχνους τοὺς ἱερεῖς καὶ τὸν ἀρχιερέα μυκτηρίσαντες, τὴν διαβολικὴν χορείαν καὶ πορείαν διήνυον. πυθόμενος δὲ ὁ τοῦ θεοῦ ἀρχιερεὺς καὶ μαθὼν οἵτινές εἰσι καὶ παρὰ τίνος καὶ ἐπὶ ποίᾳ προφάσει συνέστησαν, πολλὰ καταστενάξας καὶ

8 λιτανείας A 10 τοῦ βασιλέως om P 19 ἱεροὺς A

fulgore intermicantibus, argentoque et auro conflatis, quibus non raro in sacris mysteriis usus fuerat, sinapi acetumque iniicientes, sic sodales multo cum risu verbisque turpibus et obscenis, spurcissimisque et exsecrandis gestibus, impertiebant. verum haec sinamus.

22. Cum aliquando sanctissimus patriarcha Ignatius, ecclesiastico omni coetu et ordine stipatus, pias supplicationes in pomerio extra muros obiret, et ad divinum quoddam templum consueta cantica modulando religiosa pompa modestiaque procederet, contigit ut et impius profanusque fatriarcha Grullus, sacerdotali stola indutus asinoque vectus, cum metropolitis eius ipsam impietatem maiori impietate superantibus omnique sua scena et Satyrico choro atque ordine, pro suorum operum ratione thymelicorum more nugas tragice exaggerando ac concinendo, adversis frontibus concurreret. cumque prope fuissent, reiectis in humeros sublatisque penulis plectroque graviore pulsatis citharis, verbaque meretricia ac cantiones ad sacrae modulum cantionis ex adverso cantillantes, Panumque in morem et Satyrorum tripudiantes ac cymbalis perstrepentes, velutque artis aemulos sacerdotes divinumque antistitem naso suspendentes, diabolicam choream iterque peragebant. sciscitatus vero dei praesul, discensque quinam essent et a quo quave de causa conflatus

*ἀποκλαυσάμενος τὸν κορυφαῖον τούτων καὶ αἴτιον, καὶ μετὰ δα-
κρύων τοῦ θεοῦ δεηθεὶς στῆσαι τὴν τοιαύτην βλασφημίαν καὶ
ὕβριν καὶ διασκεδάσαι παρὰ τὸν ᾅδην τοὺς δυσσεβεῖς, ἵνα μὴ*
C *βεβηλῶνται τὰ ἅγια καὶ τὰ μυστικὰ καὶ σεπτὰ διασύρωνται, τῆς
προκειμένης ὑμνῳδίας ἐχόμενος τὴν πορείαν διήνυεν.*

23. *Ἄλλοτέ ποτε ἐπὶ φαυλισμῷ δῆθεν τοῦ ἀοιδίμου τούτου Ἰγνατίου τοῦ πατριάρχου καὶ τῆς οἰκείας μητρὸς ἐμπαιγμῷ ὁ ἀνόητος καὶ παραπλὴξ βασιλεὺς τοιοῦτόν τι ἐδραματούργησεν. ἐν τῷ ὑπερλάμπρῳ Χρυσοτρικλίνῳ ἐπὶ τοῦ βασιλείου θρόνου προκαθεσθείς, καὶ τὸν αἰσχρότατον Γρῦλλον μετὰ τῶν ἀρχιερατικῶν ἐνδυμάτων ὡς εἰς ὄνομα τοῦ ἀληθῶς πατριάρχου πλησιαίτατα ἑαυτοῦ παρακαθισάμενος, καὶ τὴν ἀρχιερεῖ θεοῦ πρέπουσαν ἀπονέμων τιμήν, καὶ μετὰ τοῦ τῆς κεφαλῆς καλύμματος ἐπικρύψασθαι*
D *τὴν ἐξάγιστον γενειάδα πεποιηκώς, τὴν ἰδίαν μητέρα διά τινος τῶν θαλαμηπόλων εὐνούχων δηλοῖ ὡς ὁ ἁγιώτατος πατριάρχης Ἰγνάτιος ἐνταῦθα μετ' ἐμοῦ συγκαθέζεται, καὶ εἰ βούλει λαβεῖν τὴν εὐχὴν αὐτοῦ, ἐλθέ, καὶ μετ' ἐμοῦ τυγχάνεις αὐτῆς. ἐκείνη δὲ οἷα φιλευσεβὴς γυνὴ καὶ φιλόθεος, πόθον πολὺν καὶ πίστιν ζέουσαν πρὸς τὸν ἁγιώτατον κεκτημένη Ἰγνάτιον, σπουδαίως ἐκδραμοῦσα ὡς ἤκουσε, καὶ μηδὲ ἀτενίσαι δι' αἰδῶ δυναμένη, ἔξω δὲ πάσης κακίας καὶ ὑπονοίας τυγχάνουσα καὶ μηδέν τι φαῦλον ὑποτοπήσασα, προσέπεσε τοῖς ποσίν, ὡς ἐδόκει, τοῦ ἁγίου ἐκείνου*

1 τοῦτον A 9 τοῦ om P 12 ἑαυτοῦ om P

illis coetus, ab imo pectore ducto suspirio horumque principem atque auctorem deplorans, fusisque ad deum cum fletu precibus, ut eiuscemodi blasphemiae ac iniuriae finem imponeret impiosque penes infernum dissiparet, ne sancta profanarentur mysticaque ac veneranda sic procaciter irriderentur, institutum sibi iter hymnodiamque prosequitur.

23. Alia item vice, ut inclitum virum Ignatium patriarcham contumelia afficeret ipsamque parentem irrideret, amens menteque captus imperator tale quid comminiscitur. in praefulgido ac rutilanti aureo triclinio regia sede sublimis, impurissimo Grullo archieraticis vestibus induto, loco veri patriarchae proxima sede assidere iusso, ac qui dei antistitem decebat honore illi cultuque adhibito, compulsoque impurissimam ac nefandam barbam capitis integumento obtegere, matri suae per eunuchum quendam e sacro cubiculo mandat adesse sanctissimum patriarcham Ignatium ac secum sedere; et ut veniat, si eum bene sibi precari velit, ac una secum illius compos orationis fieri optet. illa, uti religiosissima deique amans, ingentem amoris vim ardentemque fidem erga sanctissimum patriarcham nacta, simulac audivit, festine egressa accurrensque, ac nec oculos tollere satisque intendere prae pudore valens, extraque omnem malitiam, nec pravi aliquid aut dolum suspicata, ad

ἀρχιερέως, καὶ ὑπὲρ αὐτῆς ἐδέετο εὔχεσθαι. ὁ δὲ παμμίαρος P 154 ἐκεῖνος τῆς καθέδρας ὀλίγον ὑπεγερθεὶς καὶ ἀπ᾽ αὐτῆς τοὐναντίον ἀποστραφείς, ὀνώδη ψόφον ἀπὸ τῶν μυσαρῶν ἐγκάτων ἀφείς, πρὸς αὐτὴν ἀπεφθέγξατο ὅτι ἵνα μὴ λέγῃς, κυρά, ὡς οὐδὲ κἂν τούτῳ σε ἠξιωσάμεθα. τοῦ δὲ βασιλέως ἀνακαγχάσαντος καὶ αὐτοῦ τοῦ παμβεβήλου παμμέγεθες ἐκγελάσαντος, καὶ πολλὰ καταφλυαρησάντων ἢ μᾶλλον τῷ παραφόρῳ τῆς γνώμης ἀλογώτατα ἐξοιστρησάντων, ἐπιγνοῦσα τὸ πλάσμα καὶ τὴν ἀπάτην ἡ βασιλίς, καὶ πολλὰ τῶν παρόντων καταστενάξασα, καὶ πλείστας ἀρὰς τῷ υἱῷ ἐπιρρίψασα, τέλος ἐξεῖπε πρὸς αὐτὸν ὅτι ἰδού, κακὸν τέκνον, ὁ θεὸς B τὴν χεῖρα αὐτοῦ ἀφείλετο ἀπὸ σοῦ, καὶ ἐδόθη σοι ἀδόκιμος νοῦς ποιεῖν τὰ μὴ καθήκοντα. καὶ ταῦτα εἰποῦσα καὶ μετ᾽ ὀδυρμοῦ θρήνων τὰς οἰκείας τρίχας ἐκτίλλουσα ἀνεχώρησεν. τοιαῦτα τοῦ γενναίου βασιλέως τὰ νεανιεύματα, καὶ τοιαύτη αὐτοῦ ἡ περὶ τὰ θεῖα καὶ τοὺς ἱεροὺς ἄνδρας ὁσιότης τε καὶ εὐλάβεια.

24. Τοιούτων δὲ καὶ χειρόνων πολλῶν καθ᾽ ἑκάστην παρὰ πάντα τὸν τῆς βασιλείας αὐτοῦ χρόνον παρ᾽ αὐτοῦ γινομένων, ἐπεὶ καὶ μετὰ τὸ προσλαβέσθαι καὶ ἀνυψῶσαι τὸν Βασίλειον περὶ τὰ ὅμοια ἀνεστρέφετο, ὁρῶν ταῦτα καὶ ἀκούων ἐκεῖνος λίαν ἐδυσφόρει καὶ ἠνιᾶτο καὶ τὴν ἑαυτοῦ ζωὴν ἀπελέγετο. βουλόμενος C δὲ πᾶσαν τὴν δυνατὴν ἐπιφέρειν βοήθειαν καὶ μηδὲν τῶν εἰς ἐπανόρθωσιν δοκούντων τείνειν παραλιπεῖν, πρότερον μὲν δι᾽ ἑτέρων

2 ἐπ᾽ P   15 ἱερεῖς A   21 τὴν om P

sancti antistitis, ut sibi videbatur, pedes procidit, rogatque pro se preces fundi. at scelestissimus ille paululum e sella sese erigens, eique dorsum obvertens, asinino crepitu ab exsecrandis exploso visceribus, sic eam affatus est, ne dicas, domina, quod ne hoc quidem te dignam duxerimus. his imperatore cacchinnos sustollente, ipsoque illo impurissimo risu procacissime effuso, plurimaque iis blaterantibus, seu potius male sano sincipite stultissime oestroque obgannientibus, commentum agnoscens, factamque fraudem, Augusta, altisque gemitibus nequissima deplorans, dirasque plurimas in filium iactans, ad extremum edixit. en, fili improbe, deus manum suam abstulit a te; datusque tibi est sensus reprobus, ut facias quae longe ab officio sunt. atque his dictis, et cum eiulatu ac lacrimis, crines vellens, recessit. talia generosi principis facta strenua. eiuscemodi illius circa divina sacrosque homines religiositas ac reverentia.

24. Cum talia atque his plura deterioraque, quamdiu rerum potitus est, ab eo in dies patrarentur, ac tum etiam cum Basilium imperii collegam adlegisset in iisdem versaretur, videns haec ille audiensque nimis graviter discruciabatur animoque dolebat, ac nec vivere sustinebat. hocque animo agitans, ut quam posset omnem medicinam adhiberet, nihilque quod ad emendationem spectare videretur omitteret, prius quidem conabatur per alios a talibus eum

ἐπειρᾶτο ἀπὸ τῶν τοιούτων ἀποτρέπειν αὐτὸν καὶ πρὸς τὸ δέον ἐπαναγαγεῖν, ἔπειτα ἐθάρρησέ ποτε καὶ αὐτὸς δι᾽ ἑαυτοῦ μετ᾽ εὐνοούσης γνώμης καὶ προαιρέσεως νουθετῆσαι τὸν βασιλέα, καὶ εἰ δυνατόν, ἀποστῆσαι τῶν τοιούτων ἀσεβημάτων, καὶ τοιάδε πρὸς αὐτὸν μεθ᾽ ὑποπεπτωκότος καὶ ταπεινοῦ διελέχθη τοῦ σχήματος. "δίκαιόν ἐστιν, ὦ δέσποτα καὶ βασιλεῦ, τοσούτων εὐεργεσιῶν τε D *καὶ δωρεῶν παρὰ σοῦ με καταπολαύσαντα καὶ εἰσηγεῖσθαι τὰ δέοντα καὶ ὑποτιθέναι τὰ ἄριστα καὶ ὑπομιμνήσκειν τὰ λυσιτελῆ καὶ σωτήρια. μισούμεθα, γίνωσκε, δέσποτα, μισούμεθα" (συγκατεμίγνυε γὰρ καὶ ἑαυτὸν διὰ τὸ ἀνεπαχθές, καίτοι μηδενὸς τῶν ἀτόπων αὐτῷ κοινωνῶν) "παρά τε τῆς πόλεως πάσης καὶ τῆς συγκλήτου βουλῆς, καὶ παρὰ τῶν ἀρχιερέων θεοῦ ἐπάρατοι καθεστήκαμεν, καὶ πάντες ἡμᾶς διαβάλλουσι καὶ κακίζουσιν. ὅτε δὲ καὶ τὸ ἐξ ἀνθρώπων εἰς οὐδὲν λογισώμεθα, δεδοικέναι καὶ τὴν ἀπὸ θεοῦ ἀγανάκτησιν χρή, καὶ φοβεῖσθαι μὴ πειραθῶμεν αὐτοῖ* P 155 *ὀργιζομένου καὶ χαλεπαίνοντος." ἀλλὰ ταῦτα λέγων πέτρας ἔσπειρεν καὶ αἰγιαλῷ προσελάλει καὶ σμήχειν ἐῴκει Αἰθίοπα· οὕτω δευσοποιὸς ἡ πονηρία γέγονε παρ᾽ αὐτῷ, καὶ οὕτως ἐξεκώφει πρὸς πάντα λόγον σωτήριον, βύων τὰ ὦτα ὡσεὶ ἀσπὶς πρὸς ἐπῳσματα. οὐ μόνον γὰρ οὐ μετεβάλλετο πρὸς τὸ ἄμεινον, ἀλλὰ καὶ αὐτὸν ἤδη ἐμίσει καὶ ἀπεστρέφετο, καὶ σὺν τοῖς θιασώταις αὐτοῦ καὶ συνοργιασταῖς διαβάλλων καὶ μυκτηρίζων ταῦτα τὴν πρὸς αὐτὸν*

4 *ἀποστῆναι* P 5 *τοῦ* om A 11 *αὐτῷ* om P 18 *ἐξεκεκώφει* P

studiis avocatum ad officium frugemque meliorem reducere; postea autem ausus tandem est et ipse per se animi benevolentia pronaque voluntate imperatorem corripere ac, si liceret, ab eiusmodi impiis dictis factisque avocare, taliaque ad eum submisso humilique animo gestuque et habitu disserebat. "aequum est, o domine augusteque, tantis a te beneficiis ac muneribus donatum monere quae officii sunt, optimaque documenta tradere, et quae utilia ac salutaria sunt in mentem revocare. exosi sumus (ne te lateat, domine) exosi sumus" nam se etiam ipse una miscebat ad vitandam invidiam, licet in nullo eorum quae ille turpia absonaque agebat socius illi accederet. "tum sane universae civitati tum senatui; deique sacerdotibus exsecrabiles devotique habemur; nec est qui non criminetur ac vituperet. quando vero etiam diras hominum atque odia nihili faciamus, at dei tamen formidolosa indignatio, timendumque est ne illius irati ac succensentis periculum malo nostro faciamus." verum haec dicendo petras seminabat littusque alloquebatur et Aethiopem lavare videbatur. sic alte insita infixaque illi haeserat improbitas; sic ad omne salutare monitum obsurduerat, aspidis in morem obturans aures ad incantamenta. non solum enim ad meliorem frugem non redibat, sed et iam monitorem oderat et aversabatur; haecque adeo inter sodales et orgiastas accusans irridensque alieno se ab eo animo innue-

ἀλλοτρίωσιν ὑπηνίττετο, εἶτα καὶ παρεδήλου τρανότερον. ὅπερ δὴ συννοήσαντες ἐκεῖνοι οἱ μιαροὶ καὶ ἀλάστορες κατ᾽ αὐτοῦ συνεκινοῦντο καὶ συνετάττοντο, καὶ τὰς διαβολὰς πιθανῶς ὑπεκρίναν- B το, αὐθάδειαν μὲν καλοῦντες αὐτοῦ τὴν σεμνότητα, καὶ τὸ μὴ μετέχειν τῶν ἡδονῶν δύσνοιαν ὀνομάζοντες καὶ τὸ μὴ συνεξαμαρτάνειν καταφρονεῖν. καὶ "πῶς γὰρ ἂν εἴποι σε ἀγαπᾶν" ἔλεγον "ὁ μὴ χαίρων οἷς χαίρεις αὐτός, μηδὲ σπουδάζων ἐκπορίζειν σοι τὰ καθ᾽ ἡδονήν;" οἷς δὴ μᾶλλον ὑπενδιδοὺς ὁ βασιλεὺς καὶ πειθόμενος θάνατον τῷ Βασιλείῳ ἐτύρευεν, καὶ ἀφορμὴν ἐζήτει τῆς ἀναιρέσεως εὔλογον, ἀλλ᾽ οὐχ εὕρισκεν. εἰς τοσοῦτον δὲ προῆλθε τὰ τῆς μανίας αὐτοῦ ὥστε πρὸς τὴν λαθραίαν χωρῆσαι ἀναίρεσιν καί τισι τῶν ἀπὸ τοῦ παλαμναίου συνεδρίου, οἷς τὰ πάντα ἐθάρ- C ρει, προτρέψασθαι, ὅταν εἰς θήραν ἐξέλθωσι, προφάσει τοῦ τὸ θηρίον βαλεῖν ἀκοντίσαι τὴν λόγχην κατ᾽ αὐτοῦ καὶ οὕτως αὐτὸν διαχρήσασθαι· ὅπερ εἷς, ὥς φασι, πεποιηκὼς καὶ ἀφεὶς τὸ ἀκόντιον αὐτοῦ μὲν ἥμαρτε, καὶ παραδραμὸν τὸ δόρυ προσεπάγη τῇ γῇ, αὐτὸν δὲ ὁ ἵππος αἴφνης τὸν χαλινὸν ἐνδακὼν καὶ συναρπάσας κατὰ τοῦ κρημνοῦ ἀπεδίσκευσεν, ὡς ἀπ᾽ ἐκείνου τοῦ πτώματος καὶ τὸ τέλος ἐλθεῖν ἐπ᾽ αὐτόν, ὅτε καὶ ἀνόνητα μεταμελόμενος, ὥς φασι, τοῖς συμμύσταις ἐπέσκηπτε μὴ τολμῆσαι κατὰ τοῦ ἀναιτίου ἐπιχειρεῖν τοῦ λοιποῦ, εἰ μὴ τολμῆσαι κατὰ τὸν ὅμοιον D ὄλεθρον πεσεῖν καὶ αὐτοί· καί τινα τῶν εὐλαβῶν προσκαλεσάμε-

1 ὑπαινίττετο AP 9 ἐθήρευεν P 19 εἰς P καὶ ἀνόνητα Combefis: δὲ ἀνόητα AP 21 τολμῆσαι] θελήσαιεν?

bat, tumque etiam clarius ostendebat. cumque scelesti illi ac pestes intelligerent, in eum commovebantur ac instruebantur, verisimilique ratione calumnias subornabant. nempe audaciam ac proterviam eius morum gravitatem vocabant; quod illi libidinum socius non accederet, malevolentiam; quod denique pari cum illis foedere non delinqueret, contemptum appellabant. "ecquinam fiat" aiebant "ut te diligere profiteatur, qui non gaudeat quibus tu delectaris, nec quae tibi ex animo sint subministrare studeat?" his magis cedens imperator fidemque habens inferendae Basilio necis occasionem captabat, eiusque tollendi rationem verisimilem quaerebat; sed nulla suppetebat. tantum vero illius furor processit, ut et ad occultam necem animum impulerit; quam nonnullis ex sicariorum illo collegio, quibus omnia credebat, commisit, ut nimirum venatum exeuntes, tanquam bestiam percussuri, hastam in eum mitterent eaque ratione necarent. id quendam patrasse ferunt, missoque spiculo, ab eo aberrasse, praevolansque telum humo defixum esse, equum vero repente mordentem frena una secum raptum per abrupta saxa praecipitem egisse, atque eo casu illum vitam finisse. quando et frustra paenitentia ductum aiunt sodalibus mandasse ne deinceps insontem aggredi auderent, nisi velint et ipsi eodem atque ille exitio vitam ponere; ac-

νος μετὰ τῶν λοιπῶν ἀτοπημάτων αὐτοῦ καὶ ἀνομιῶν καὶ τοῦτο ἐξωμολογήσατο καὶ ἐξηγόρευσεν.

25. Ὡς δ᾽ οὐκ εἶχε λοιπὸν εὑρεῖν ὁ βασιλεὺς πρὸς τὸ ἀνελεῖν αὐτὸν πόρον ἢ πρόφασιν, εἰς ἑτέραν ἦλθε βουλὴν πονηράν τε καὶ ἄθεσμον. ἐβουλεύσατο γὰρ ἐπεμβαλεῖν τοῖς σκήπτροις καὶ ἕτερον σύγκληρον. καὶ δὴ τὸν κατ᾽ ἐπωνυμίαν Βασιλικῖνον P 156 ἐκεῖνον, ἕνα καὶ αὐτὸν τοῦ παλαμναίου συνεδρίου τυγχάνοντα, φαῦλον καὶ μιαρὸν θηλυδρίαν τε καὶ φιλόκωμον, ἀπὸ τῆς Νικομήδους ὁρμώμενον, ὁμόγνιον ἀδελφὸν τοῦ κατὰ τὸν Καπνογένην Κωνσταντίνου, τοῦ δὶς τὴν τοῦ ὑπάρχου μετὰ ταῦτα ἐγχειρισθέντος ἀρχήν· τότε δὲ ἐν τοῖς ἐλαύνουσιν εἰς τὴν βασιλικὴν τριήρη κατειλεγμένος ἐτύγχανε. τοῦτον δὴ τὸν δυσώνυμον Βασιλικῖνον ἐνδύει ποτὲ τὴν πολυύμνητον βασιλικὴν πορφύραν καὶ τὸν περίοπτον καὶ ἐπίφθονον στέφανον χλαμύδα τε πάγχρυσον καὶ τὰ κοκκοβαφῆ καὶ διάλιθα πέδιλα καὶ τἆλλα τῆς βασιλείας ἐπίσημα, ἐξάγει τε αὐτὸν πρὸς τὴν σύγκλητον τῆς χειρὸς ἅμα κρατῶν καὶ ὑπουργῶν B αὐτῷ, ὡς ὁ Νέρων ἐκεῖνος πάλαι τὸν πολυθρύλητον Ἔρωτα, καί φησιν ἐπὶ λέξεως

ἴδετε πάντες ὑμεῖς, καὶ θαυμάσατε.
ἆρα οὐ πρέπει αὐτὸν εἶναι βασιλέα;
πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος,
τὸ δεύτερον δὲ συμφυὲς πέλει στέφος,
ἅπαντα δ᾽ ἁρμόζουσι πρὸς τὴν ἀξίαν.

8 φιλόκομον A 12 ἐτύγχανε om P 15 καὶ ante διάλιθα om P

cersitoque viro quodam religioso, cum aliis delictis suis ac sceleribus, hoc quoque sacra exhomologesi expiandum putavit.

25. Cum autem imperator nullam viam aut occasionem inveniret interimendi Basilium, ad alia consilia, scelerata quidem ac nefanda, vertitur. nempe secum ipse constituit ut et alium pariter heredem sceptris immittat. ac sane Basilicinum illum, sic appellatum, unum et ipsum nefarii illius collegii, hominem nequam ac sceleratum effeminatumque et gulae mancipium, Nicomedia oriundum, fratrem germanum Constantini Capnogenae, qui postea semel iterumque praefecti urbis munus adeptus est: tunc vero inter regiae triremis remiges adscriptus erat. hunc itaque infaustum Basilicinum quandoque regia, multis nominibus celebrata, induens purpura, spectabilique atque omnium votis expetenda capiti imposita corona, chlamydeque holoserica adhibita, et coccineis lapidibusque pretiosis interstinctis calceis, aliisque regiis insignibus, ad senatum eduxit manu tenens, eique pro ministri partibus obsequens, haud aliter ac Nero ille quondam decantatissimum Erotem. atque ad verbum ait "videte omnes, et admiramini. an non convenit ipsi regia dignitas? primum quidem species digna imperio: secundum autem congenita est corona, suntque dignitati congrua omnia. quanto melius erat me hunc

καὶ ὅτι πόσον ἦν κάλλιον τοῦτόν με ποιῆσαι βασιλέα ἢ τὸν Βασί-
λειον; ταῦτα πάντες οἱ κατὰ τὰ βασίλεια ἰδόντες τε καὶ ἀκούσαν-
τες ἔμειναν ἀχανεῖς, ἐκπληττόμενοι τὴν παράλογον ἐξ ἀφροσύνης
τοῦ βασιλέως ἐμβροντησίαν τε καὶ παρακοπήν. οὕτως ἦν ἄνθρω- C
πος ὑπὸ τῆς κατακοροῦς μέθης καὶ τῶν ἀθέσμων καὶ ἀσελγῶν
πράξεων ὅλως τῶν δεόντων ἐξεστηκὼς καὶ φρενοπλὴξ καὶ παρά-
φορος.

26. Πλὴν οὐ τὸ μειλίχιον μόνον καὶ λυαῖον καὶ τρυφηλόν
τε καὶ ἀνειμένον καὶ ἁπαλὸν καὶ παρακεκινηκὸς ἐκ τῆς μέθης
ἐκέκτητο τοῦ χαριδότου Διονύσου, ὃν μιμεῖσθαι ᾤετο καὶ ἐσπούδα-
ζεν· ἀλλὰ καὶ ὡς ὠμηστὴς πάλιν κατ' αὐτὸν ἐκεῖνον εἶχε τὸ ἐρι-
νυῶδές τε καὶ τιτανικόν, καὶ πολλάκις κωμικὴ παννυχὶς εἰς τρα-
γῳδίαν συμφορῶν ἐτελεύτησεν. ἔκ τε γὰρ τῆς μέθης παροινῶν
καὶ ἐκ τῆς εὐτυχίας παρανόμως εἰς ἅπαν ἐξώκειλε δυσσεβές. ὅτε
οὖν ὅλος τοῦ ἀκράτου καὶ τῆς μέθης ἐγένετο καὶ πάντῃ τὰς οἰκείας D
φρένας ἀπώλεσε, πρὸς φόνους ἐχώρει καὶ πρὸς ἀναιτίων ἀνθρώ-
πων ἀλλοκότους ποινὰς καὶ σφαγάς, καὶ τοῖς ὑπηρέταις ἐνεκε-
λεύετο, τὸν δεῖνα, φησί, καὶ δεῖνα λαβόντες τῷ δημίῳ παράδοτε,
καὶ ἑτέρου τοὺς ὀφθαλμοὺς ἐξορύξατε, καὶ ἄλλου τὰς χεῖρας καὶ
τοὺς πόδας ἐκκόψατε. καὶ οὗτος κεφαλῆς τιμωρείσθω, κἀκεῖνος
γινέσθω πυρίκαυστος. οὓς λαβόντες οἱ ὑπηρέται, καὶ τῷ ἔξω τῶν
φρενῶν αὐτὸν τυγχάνειν, ὅταν ἐξῆγε τὰς ἀποφάσεις, γινώσκοντες,

1 ὅτι] οὐ P 3 ἀχανῶς P 4 παρατροπήν P 9 τε om P
11 ὠμός τις P ἐκεῖνον om P

imperatorem fecisse quam Basilium?" haec qui in regia erant universi videntes et audientes, defixi steterunt, tantam viri vecordiam stupentes mentisque eversionem. sic nimirum prae immodica ebrietate scelestissimisque ac impurissimis actibus, quicquid prorsus honesti ac officii est excusserat, emotaeque mentis insanusque ac titubans ratione erat.

26. Neque tamen quod suave solum et solutum et deliciosum et remissum et molle et indecorum, ex Bacchi gratiarum datoris gaudiique, quem se et imitari putabat et ambiebat, sed rursus etiam crudelis, illius more, furiosum quidpiam Titanicumque praeferebat; nec raro comicum pervigilium in malorum illi desiit tragoediam. ex temulentia enim debacchans felicioreque fortuna ebrius in omnem nefarie impietatem proruebat. cum itaque totus mero madidus et temulentus erat, ac quicquid prorsus sanae mentis est excusserat, ad caedes animum adiiciebat innocentumque hominum atroces poenas ac neces imperabat. haec fere illius ad ministros iussa, "hunc illumque tollentes lictori tradite. alteri oculos effodite; alterius manus pedesque praescindite. hic capite luat; ille igne torreatur." eos ministri arripientes, cum scirent haud sanae mentis fuisse cum sententiam ferret, debebant illi quidem custodiae, non tamen

P 157 ἐμφρούρους μὲν αὐτοὺς ἐποίουν, ταῖς ποιναῖς δὲ οὐ καθυπέβαλλον. πολλάκις δέ, εἰ ἔτυχέν τις πρὸς ὃν οὐκ εἶχον ἡδέως ἀλλ' ἀπεχθῶς, ἀπεχρῶντο τῇ βασιλικῇ κελεύσει, καὶ τῇ τιμωρίᾳ τὸν ἀθῷον ἐξεδίκουν κατάδικον. εἶτα ὁ δείλαιος ἐκεῖνος καὶ ἄθλιος τότε μὲν οὐδ' ἐν οἷς ἔστιν εἰδώς, παρὰ τῶν κατευναστῶν τῷ βασιλικῷ προσανεκλίνετο σκίμποδι καὶ τῷ γείτονι τοῦ θανάτου ὕπνῳ ὡς ἀνδράποδον ἐξεδίδοτο· ἕωθεν δέ, τοῦ ὕπνου τοὺς ἐκ τοῦ οἴνου ἀτμοὺς καὶ τὴν παχεῖαν ἐκείνην ἀχλὺν μόλις ἀπὸ τοῦ ἐγκεφάλου διασκεδάσαντος, ἐξεγειρόμενος οὐδὲν τῶν ἐν τῇ ἑσπέρᾳ ἐμέμνητο,
B καὶ ἐζήτει πολλάκις τινὰς ἀφ' ὧν ἐν τῇ μέθῃ κατεψηφίσατο καὶ τῷ θανάτῳ ἐξέδωκε, μανθάνων δὲ παρὰ τῶν δορυφόρων τε καὶ ὑπηρετῶν ἃ ἐν τῇ ἑσπέρᾳ κατ' αὐτῶν ἐψηφίσατο, μετεμελεῖτο καὶ ἔστενεν. καὶ ἄλλοτε μὲν εὑρίσκοντο οἱ ζητούμενοι, ἄλλοτε δὲ ἀνόνητος ἦν αὐτῷ ἡ ἐπὶ τοῖς ἀνοσίοις τῶν ἔργων μετάνοια, τῶν ἐκδοθέντων ἀνῃρημένων. πάλιν δὲ τῆς ἑσπέρας καταλαβούσης, καὶ νεανικῶς τοῦ πότου πόρρω τῆς νυκτὸς μετὰ τῶν ἀλαστόρων ἔργων καὶ λόγων προκόπτοντος, ἐν τοῖς ὁμοίοις ἐγίνετο. ἅ τίς ἀκούων τε καὶ ὁρῶν, εἰ καὶ λιθίνην καρδίαν ἐκέκτητο ἢ παντάπασιν ἀναί-
C σθητος ἦν, μὴ πρὸς ὀργὴν ἐκινήθη καὶ διεθερμάνθη ποτὲ πρὸς τὴν τῶν ἀναιτίως ἀπολλυμένων ἐκδίκησιν; μηδὲ τὸν πρᾳότατον πάντων ἀνθρώπων Δαβὶδ ἀνασχέσθαι οἶμαι τὴν τοσαύτην τοῦ καθάρματος παροινίαν· ἠλιθιότης γὰρ καὶ ἀναλγησία, οὐ μακροθυμία ἐνταῦθα λογίζεται ἢ φειδώ.

4 καὶ ἄθλιος om P 10 ἐν om P

poenis addicebant: saepe vero, cum quis erat quocum non satis ipsis conveniebat eisque exosus erat, imperatoris mandato abutentes eum, etsi innocentem, veluti iudicio damnatum in poenam rapiebant. hinc miser ille, ne tunc quidem in quibus versaretur intelligens, a cubiculariis in imperatorio lectulo reclinatus vicino mortis somno veluti mancipium opprimebatur; mane vero, cum somnus vapores vini crassamque illam caliginem vix tandem discussisset, expergiscens nullius eorum quae pridie vesperi facta essent meminerat, saepiusque nonnullos ex illis quaerebat quos temulentus damnaverat mortique addixerat. audiens vero a stipatoribus et ministris quam in eos vesperi sententiam tulerat, ipsum facti paenitebat ac ingemiscebat. et aliquando quidem quaesiti inveniebantur, aliquando vero inutilis erat pro iis quae nefarie illi gesta erant paenitentia, illis sublatis in quos sententiam dixerat. rursus iterum mane, vinique potu in prolixam noctem cum nequissimis dictis factisque strenue protracto, eadem patrabat. haec vero quisnam audiat videatque, vel si saxeum illi pectus exque robore animus, qui non ira concitetur, nec aliquando ad eos ulciscendos qui innoxie pereant incalescat? nec mortalium omnium mitissimus David, ut arbitror, tantam piaculi petulantiam lenius sustineat. stoliditas enim et stupor est, non lenitas aut aequitas indulgentia haec seu ulciscendi subtractus vigor.

27. Ἤδη δὲ πάντων σχεδὸν τῶν ἀποθέτων χρημάτων ἐπιλειπόντων, ἐν τοῖς τοιούτοις ἀναλωθέντων αὐτῶν, ἀνάγκη ἐπήρτητο τοὺς ἐν τέλει πάντας φανερῶς ἀποσφάττεσθαι καὶ δημεύεσθαι τὰς οὐσίας αὐτῶν, ἵν' ἔχοι πόρον ὁ βασιλεὺς ἡνιόχοις καὶ πόρναις καὶ ἀσελγέσιν ἀνθρώποις χαρίζεσθαι. ἑβδομήκοντα γὰρ καὶ D ἐννακόσια κεντηνάρια κεχαραγμένου χρυσοῦ, χωρὶς ἀργύρου τοῦ τε ἀσήμου καὶ ἐπισήμου, καταλιπόντος Θεοφίλου τοῦ πατρὸς αὐτοῦ ἐν τῷ φύλακι τηρούμενα τῷ βασιλικῷ, ἔτι δὲ καὶ Θεοδώρας τῆς τούτου μητρὸς ἄλλα προσθείσης τριάκοντα καὶ ἀπαρτισάσης τὸν χίλια τῶν κεντηναρίων ἀριθμόν, ἐν οὐδὲ ὅλοις τεσσαρεσκαίδεκα χρόνοις, ἀφ' οὗ τὴν τῶν ὅλων ἐξουσίαν οὗτος ἐδέξατο, πάντα διεφόρησε καὶ ἀνάλωσεν, ὡς μηδὲν ἕτερον μετὰ τὸν αὐτοῦ θάνατον εὑρεθῆναι πλὴν τρία καὶ μόνα κεντηνάρια. καὶ πῶς δὲ οὐκ ἔμελλον ἐπιλιπεῖν, κἂν ἐκ ποταμῶν ἐπέρρει, οὕτως ἀσελγῶς καὶ ἀσώτως δια- P 158 σκιδνάμενα; ἡνιόχου γάρ ποτε παιδίον δεξάμενος τοῦ οὕτω καλουμένου Χειλᾶ ὁλόκληρον αὐτῷ κεντηνάριον ἐδωρήσατο. ἀλλὰ καὶ τῷ πατρικίῳ Ἱμερίῳ, ὃν Χοῖρον αὐτὸς μὲν ὁ βασιλεὺς διὰ τὴν τῆς ὄψεως ὠνόμαζεν ἀγριότητα, διὰ δὲ τὸ χοιρῶδες τοῦ βίου μᾶλλον καὶ ῥυπαρὸν ἄξιος ἦν τῆς τοιαύτης προσρήσεως, τούτῳ τοίνυν αἰσχρολογοῦντί ποτε κατενώπιον αὐτοῦ καὶ ταῖς ἀπὸ σκηνῆς φλυαρίαις καταχρωμένῳ, ἔκ τε τοῦ παντελῶς ἀπερυθριᾶσαι καὶ μηδὲν τῶν ἐπονειδίστων ὀκνῆσαι καὶ ψόφον ἀκόλαστον ἀπὸ τῆς

2 ἐπιλειπόντων om A 11 τῶν om P 13 μόνον A

27. Iam vero omni pene exhausto aerario, eius scilicet opibus in studiis rebusque eiusmodi foede dilapidatis necessario imminebat procerum omnium (patriciorum scilicet aut senatorum) una manifeste exspectata caedes bonorumque publicatio, ut non deessent imperatori sumptus, quibus aurigis meretricibus aliisque impuris hominibus ac ganeonibus gratificaretur. septuaginta namque supra nongenta auri signati centenaria praeter argenti rudis pariter ac signati vim, relicta a patre Theophilo atque in regio servata aerario, quibus mater Theodora triginta aliis superadditis mille centenariorum numerum compleverat, annis quattuordecim, ac ne integris quidem, quibus solus ipse rerum potitus est, plane distraxit ac dilapidavit, ut post eius mortem non plura tribus reperta sint. et quomodo non futurum erat ut deficerent, vel si ex fluviis influerent, cum sic perdite atque prodige dissiparentur? cum enim aliquando aurigae, cui nomen Chilae, filium ex sacro fonte suscepisset, integrum centenarium munificus donator erogavit. sed et patricio Himerio, quem Choerum (id est porcum) imperator ob oris asperitatem inelegantiamque vocabat, qui tamen ob porcis affinem sordidamque vitae rationem eo potius nomine dignus videbatur, quod aliquando ipso coram obscena verba effutiens et scenicis nugis abutens, omni prorsus proiecto pudore nihilque turpe ac probrosum a se alienum ratus, ganeonis crepitum ex scelerato ventre misisset, sic gravem valideque displosum

B μιαρᾶς ἀφέντος γαστρός, οὕτω βαρὺν καὶ σφοδρῶς καταιγίζοντα ὥστε καὶ τὸ φαῖνον φατλίον ἀποσβεσθῆναι, πεντήκοντα λιτρῶν ἐπιδόσει ἐτίμησεν ὡς Ἡράκλειόν τινα τοῦτον ἆθλον ἀνύσαντι. καὶ πρὸς τοὺς ἄλλους δὲ τῶν ὁμοίων αὐτῷ οὕτως ὑπέρμετροι αἱ δόσεις ἦσαν αὐτοῦ. ταῦτα δὲ εἰ μὲν εἰς στρατιώτας καὶ προμάχους καὶ ἀριστεῖς ἢ εἰς τοὺς ἐπ' ἄλλῳ τινὶ τῶν ἀγαθῶν διαφέροντας ἑτοίμως οὕτως προΐετο, μεγαλοψυχίας ἄν τις καὶ ἐλευθεριότητος καὶ τρόπου φιλοτίμου ἐνόμισε σύμβολα· ὅτε δὲ εἰς μίμους καὶ ἡνιό- C χους καὶ ὀρχηστὰς καὶ βωμολόχους καὶ κόλακας καὶ βδελυρίας ἁπάσης μεστοὺς ἀφρόνως διεσκορπίζετο, εἰς δέ τι τῶν σπουδαίων προήει οὐδ' ὀβολός, ἀσωτίας πάντως καὶ παροινίας καὶ ἐμπληξίας λογίσαιτ' ἄν τις εἶναι τεκμήρια. καὶ τούτων ἐπιλειπόντων ἤδη ἀνάγκη ἦν, ὥσπερ εἴρηται, καὶ ναοὺς περισυλᾶσθαι καὶ εὐαγεῖς οἴκους αἰχμαλωτίζεσθαι καὶ πάντας τοὺς πλέον τῶν ἄλλων κεκτημένους εἰς χρήματα ἀναιρεῖσθαι καὶ ἀποσφάττεσθαι. δι' ἃ δὴ πάντα συμφρονήσαντες τῶν ἐν τέλει οἱ δοκιμώτατοι καὶ τὸ ἔμφρον τῆς συγκλήτου βουλῆς, διὰ τῶν προκοιτούντων τοῖς βασιλεῦσι στρατιωτῶν, ἐν τοῖς παλατίοις τοῦ ἁγίου μάρτυρος Μάμαντος D ἀναιροῦσιν αὐτόν, ἐκ τῆς ἄγαν οἰνοφλυγίας ἀνεπαισθήτως τὸν ὕπνον τῷ θανάτῳ συνάψαντα. ὥσπερ γὰρ τοὺς σκορπίους καὶ ἔχεις μόνον ἰδόντες καὶ πρὶν ἢ τρῶσαι ἀναιροῦσιν οἱ ἄνθρωποι διὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς κακίαν, οὕτω καὶ τῶν ἀνδρῶν τοὺς

2 ἀποσεισθῆναι A 5 εἰ μὲν om A 7 οὗτος P 11 προΐει AP παρανοίας A 13 ἤπερ A

ut procellae in morem lucentem faculam flatu exstinxerit, quinquaginta libras, perinde ac si Herculeum hoc certamen confecisset, liberalis munerator congessit. sic quoque eius erga alios ei similes nepotes modum omnem praemia muneraque vincebant. haec porro si in milites primipilariosque ac viros strenuos, seu etiam alia virtute praestantes, sic proclivi liberalitate effunderentur, magnificentiae et liberalitatis magnique ac generosi animi signa non nemo arbitraretur: quod vero in mimos et aurigas et saltatores et scurras et adulatores et sordidissimos ac inquinatissimos quosque dementer dissipabantur, honesti vero ac virtutis praemio ne obolus quidem ministrabatur, prodigentiae omnino et dementiae et stupiditatis certa indicia esse existimet. quibus iam deficientibus necesse erat, uti dicebam, templa spoliari, religiosas sacrasque domos praeda temerari ac rapina, omnesque paulo reliquis locupletiores direptis facultatibus mactari et iugulari. quapropter probatissimi nobilium eque senatu prudentissimi, una conspiratione per milites pro sacro cubiculo excubantes in palatio S. Mamantis martyris, eum interimunt, sic nimirum ut immodica vinolentia consopitus absque ullo sensu somnum cum morte coniunxerit. quemadmodum enim scorpios et viperas semel intuiti homines ob innatum illis virus, antequam etiam vulnus infligant, statim necant, sic et venenosos cruentosque viros, antequam vulnerent

ἰώδεις καὶ φονικοὺς πρὸ τοῦ τρῶσαι καὶ ἀνελεῖν σπουδάζουσιν ἀποκτεῖναι οἱ ἐκ τούτων προσδοκῶντες τὸν κίνδυνον. καὶ οὗτος μὲν οὕτω βιούς, αἰσχρῶς τε καὶ ὀλεθρίως ἑαυτῷ καὶ τοῖς πράγμασι, τοιοῦτον καὶ τὸ τέλος ἐδέξατο, τῶν προβεβιωμένων ἐπάξιον.

28. Προάγεται δὲ εὐθὺς ἐπὶ τὴν πάντων ἀρχὴν ὁ μέχρι P 159 τοῦδε δευτερεύων ταύτης Βασίλειος, καὶ παρά τε τῆς ἐντίμου βουλῆς καὶ τῶν ὑποβεβηκότων ταγμάτων καὶ παντὸς τοῦ στρατεύματος καὶ τοῦ ὄχλου τοῦ ἀστικοῦ ὁ καὶ πρὸ τούτου δι᾽ ἱκετηρικῶν εὐχῶν ἐπιζητούμενος ἀναγορεύεται αὐτοκράτωρ Βασίλειος. ὃς ἅμα τῷ παρελθεῖν ἐπὶ τὴν τῶν ὅλων ἀρχὴν καὶ ἑαυτὸν καὶ τὰς τοῦ κράτους ἡνίας θεῷ ἀνατέθεικεν, εὐξάμενος ἐπὶ λέξεως τάδε "Χριστὲ βασιλεῦ, τῇ σῇ κρίσει τὴν βασιλείαν δεξάμενος σοὶ καὶ ταύτην καὶ ἐμαυτὸν ἀνατίθημι." προσκαλεσάμενος δὲ αὐτίκα τοὺς τῆς γερουσίας προκρίτους καὶ ἐν ἀξιώμασι προύχοντας, μετ᾽ αὐτῶν B τὸν τῶν βασιλείων θησαυρῶν ἀνέῳξε φύλακα· καὶ οὐδὲν ἕτερον ἐκ τοῦ τοσούτου τῶν χρημάτων πλήθους εὑρέθη πλὴν τρία καὶ μόνα, καθὼς ἤδη καὶ πρὸ ὀλίγου μοι εἴρηται, κεντηνάρια. ζητήσας οὖν ὁ βασιλεὺς τὴν τῆς ἐξόδου καταγραφήν, καὶ ταύτην εὑρὼν παρά τινι τῶν εὐνούχων γέροντι τῷ πρωτοσπαθαρίῳ Βασιλείῳ, καὶ γνοὺς ὅπου ταῦτα ἐχώρησε, βουλὴν περὶ τούτου τοῖς ἀρίστοις προύθηκεν· ὧν ἡ ψῆφος ὁμοφώνως συνᾴδουσα αὐτοὺς ἐκείνους τοὺς κακῶς ταῦτα λαβόντας ἀντιστρέψαι πρὸς τὸ δημό-

15 καὶ om A   16 θησαυρὸν A   20 τῶν πρωτοσπαθαρίων A

ac interficiant, student tollere qui ab eis creandum sibi periculum exspectant. sic ille, turpiter ac exitiose sibi pariter rebusque vivens, talem et finem nactus est, iis condignum quae per vitam gesserat.

28. Illico autem ad summam rerum provehitur, qui hactenus secundas in republica tenebat, Basilius; atque ab optimatibus inferioribusque ordinibus omnique exercitu et reliqua urbana plebe, qui et antea supplicibus a deo votis iis exposcebatur, imperator acclamatus est. is vero, mox ac reipublicae clavo admotus est, tum se ipse tum imperii habenas deo dicavit, haec verbis solennibus orans, "Christe rex, qui tuo iudicio ac nutu imperium adeptus sim, tibi illud pariter meque ipsum consecro." moxque accersitis senatus primoribus muniisque publicis ac dignitatibus praecellentibus, iis coram regiorum thesaurorum penum aperuit; nec aliud quicquam ex tanta pecuniarum vi inventum quam tria duntaxat, quemadmodum paulo ante dicebam, centenaria. quare indagans imperator expensi codicem, eoque invento apud senem quendam eunuchum, Basilium protospatharium, intelligensque quo illae abiissent, cum optimatibus eius rei causa consilium habuit. horum una concors sententia fuit, ipsos qui male acceperant, in aerarium referre oportere. im-

σιον, ὁ βασιλεὺς τὸ ἄγαν ὑποθραύων δίκαιον τὰς ἡμισείας ὧνπερ
C ἔλαβον ἕκαστοι ἀντιστρέψαι πρὸς τὸ βασιλικὸν ταμιεῖον ἐκέλευσε.
καὶ οὕτως συνέβη κἀκείνοις, εἰ καὶ ἀνάξιοι πάσης φιλοτιμίας
ἐτύγχανον, οὐκ ὀλίγον ἔτι περιλειφθῆναι τῆς δωρεᾶς, καὶ τῷ
βασιλικῷ θησαυροφυλακίῳ τριακόσια ἐπεισαχθῆναι κεντηνάρια,
ἀφ' ὧν ἐν τοῖς ἐπείγουσιν ἤρξατο χορηγεῖν καὶ δεόντως ὁ βασιλεὺς
διοικεῖν.

29. Κατὰ δὲ τὴν ἡμέραν καθ' ἣν ἐπὶ τὴν αὐτοκράτορα
ἦλθεν ἀρχὴν ὁ Βασίλειος, ὥσπερ ἐνδεικνυμένου θεοῦ τὴν ἐπὶ τὰ
κρείττω τῶν Ῥωμαϊκῶν πραγμάτων μεταβολήν, συνέβη πολλῶν
ἐπινικίων ἀγγελίαν τὴν βασιλεύουσαν ταύτην καταλαβεῖν καὶ ἀνάρ-
D ρυσιν πλήθους αἰχμαλώτων Χριστιανῶν ἀγγελθῆναι. πρόοδον
οὖν ὁ βασιλεὺς ἐπὶ τὸν μέγαν τοῦ θεοῦ ναὸν τὸν τῆς ἐκείνου σο-
φίας ἐπώνυμον ποιησάμενος, καὶ τὰς περὶ πάντων ὁμοῦ εὐχαρι-
στίας αὐτῷ ἀποδούς, ἐν τῷ ὑποστρέφειν ὑπάτευσεν, καὶ χρήματα
πολλά, οὐκ ἐκ τῶν δημοσίων (οὐδὲ γὰρ ἦν) ἀλλ' ἐκ τῶν οἰκείων,
ἃ ἐκέκτητο πρότερον, τοῖς ὑπηκόοις διένειμεν. καὶ ἡ τούτου δὲ
σύζυγος Εὐδοκία ἡ βασιλὶς ἅμα τοῖς υἱοῖς Κωνσταντίνῳ καὶ Λέοντι
ὑπατεύσασα πολλὰ τῇ πολιτείᾳ χρήματα ἀπὸ τῶν ἑαυτῆς ἐδωρή-
σατο. πλὴν εἰ καὶ τότε ἔτι ἐσπάνιζε χρημάτων ὁ βασιλεύς, ὥσπερ
P 160 εἴρηται, ἀλλὰ μετὰ ταῦτα προσεγένετο καὶ ἑτέρων χρημάτων πλῆ-
θος αὐτῷ ἱκανόν, τοῦτο μὲν θεοῦ διὰ τὸν πρὸς τοὺς πένητας ἔλεον
αὐτοῦ καὶ τὴν δικαιοσύνην πολλοὺς τῶν ὑπὸ γῆν θησαυρῶν ἐν

5 ἐπισυναχθῆναι A   6 ὁ om P   21 ἕτερον A

perator iudicii acrimoniam temperans, semissem receptorum in aerarium publicum singulis referendam sanxit. ita factum est ut et illis, etsi nulla digni munificentia erant, accepti muneris pars haud exigua cederet, et trecenta centenaria ad aerarium publicum redirent; unde in urgentibus negotiis subministrare coepit imperator, exque officii ratione rem publicam gerere.

29. Qua die imperii summam adeptus est Basilius, velut deo Romanarum rerum in melius mutationis indice multorum tropaeorum nuntii in Augustam hanc urbem advenerunt, multisque Christianis assertam ex captivitate libertatem ad eam perlatum est. pompa itaque progressus imperator ad magnum dei templum, cui ab eius sapientia nomen est, proque omnibus simul gratiarum actione perfunctus, redeundo consularia sparsit munera, ingentemque vim pecuniarum, non ex publicis (quae non suppetebant) sed ex propriis, quas ante possederat, in subditos plebemque distribuit. uxor quoque Eudocia cum liberis Constantino et Leone, pari et ipsa largitione, multas civibus pecunias ex suis erogavit. ac licet eo tempore imperator multa adhuc rei nummariae egestate premeretur, uti dictum est, postea tamen uberes satis opes adeptus est, partim quidem dei munere ac nutu ob eius in pauperes misericordiam ac aequitatem, multis sub terra occultis thesauris illo rerum potiente in lu-

ταῖς ἡμέραις αὐτοῦ εἰς φῶς εὐδοκήσαντος προελθεῖν, τοῦτο δὲ καὶ ἀπὸ τοῦ ἐν τῷ εἰδικῷ εὑρεθέντος χρυσοῦ, ὃν ὁ προβεβασιλευκὼς Μιχαὴλ τὰ κάλλιστα τῶν ἔργων συγχωνεύσας, λέγω δὴ τὴν χρυσῆν ἐκείνην καλουμένην πλάτανον καὶ τοὺς δύο ὁλοχρύσους γρῦπας καὶ τοὺς δύο χρυσοῦς σφυρηλάτους λέοντας καὶ τὸ ὁλόχρυσον ὄργανον καὶ ἕτερα τῶν ἐπὶ τῆς τραπέζης χρυσωμάτων ἔργα διάφορα καὶ τὰς βασιλικάς τε καὶ αὐγουστιακὰς στολὰς καὶ τὰς ἄρχουσι μεγάλοις ἁρμοζούσας ἐσθῆτας, πάσας τυγχανούσας χρυσοϋφεῖς· ἃ δὴ πάντα συγχωνεύσας, ὡς λέλεκται, εἰς τὰ καθ' B ἡδονὴν αὐτῷ ἔμελλεν ἀποχρήσασθαι· προαναρπασθέντος δὲ ἐκείνου εὑρέθη ὁ χρυσός, καὶ χαραχθεὶς εἰς ἅπαντα γέγονε χρήσιμος τῷ βασιλεῖ. δεῖ γάρ, φησί, χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. ἀλλὰ τοῦτο μὲν ὕστερον.

30. Τότε δέ, ἐπείπερ ἐπὶ τῶν τῆς ἀρχῆς οἰάκων ὑπὸ τῆς προνοίας προβιβασθεὶς ἐκάθισεν ὁ Βασίλειος, εὐθὺς ἀπὸ γραμμῆς, φασίν, ἄξιος ἐσπούδαζε φανῆναι τοῦ μεγέθους τοῦ πράγματος, καὶ νύκτωρ διηγρύπνει καὶ μεθ' ἡμέραν διεσκόπει, πάντα C κινῶν λογισμὸν καὶ πᾶν στρέφων βούλευμα, ὅπως ἀγαθοῦ τινὸς αἴτιος τοῖς ὑπ' αὐτὸν ἅπασι γένοιτο καὶ ὅπως ἐπὶ τὸ ἄμεινον ἐμφανῆ καὶ μεγάλην μεταβολὴν τὰ πράγματα δέξηται. καὶ πρῶτα μὲν ἐπὶ τὰς ἀρχὰς ἀδωρότατα τοὺς πάντων ἀρίστους ἐκλεγόμενος προεβάλλετο, οἷς ἦν καὶ οἴκοθεν, ἅτε ἀρίστοις οὖσι, καὶ ἀπὸ τῆς ἀκριβοῦς τοῦ βασιλεύοντος ἐπισκέψεως πρῶτον

cem productis; partim vero etiam ex auro quod in privato imperatoris aerario, quod nempe eius decessor Michael conflatis egregiae fabricae pulcherrimisque operibus (aurea scilicet sic vocata platano, duobus auro solidis gryphibus, totidemque auro ductilibus leonibus, auroque solido organo, variaque alia mensae supellectili ipsa aurea, imperialibusque et Augustiacis indumentis, magnorumque principum ac magistratuum vestibus, cunctis auro contextis), uti dictum est, reposuerat ac pro libidine abusurus erat. praerepto enim illo aurum repertum est, signatumque imperatori in omnibus perquam utile fuit. opus enim ait (Demosthenes Olynth. 1 p. 15) esse pecuniis; nec si desint, fieri posse aliquid eorum quae deceat. sed haec postea evenerunt.

30. Tunc vero quandoquidem ad imperii gubernacula divinae providentiae nutu Basilius sederat, statim a linea, ut aiunt, ipsisque carceribus sedulo operam posuit ut nihil rei magnitudini impar videretur. itaque noctu pervigil erat, interdiu animo dispiciebat, nullam non movens rationem, nullum non consilium versans, ut boni alicuius auctor subditis fieret et ut illustrem magnamque res mutationem in melius acciperent. hinc primum incorruptissimus ipse nullaque munerum sorde a recti libra declinans omnium optimos delectos promovebat, quibus partim a se ipsis, ut qui optimi erant, partim vero ab imperatoris sedula inspectione, primum opus ac studium erat ut prae reliquis a quovis mu-

ἔργον καὶ σπούδασμα τὸ πρὸ τῶν ἄλλων τὰς ἰδίας χεῖρας
καθαρὰς ἀπὸ παντοίου διαφυλάξαι λήμματος, εἶθ' οὕτως πασῶν
τῶν ἀρετῶν πλέον τιμῆσαι δικαιοσύνην, καὶ ἰσότητα παρασκευά-
D σαι ἐμπολιτεύεσθαι πανταχοῦ, καὶ τὸ μὴ καταδυναστεύεσθαι ὑπὸ
τῶν πλουτούντων τοὺς πένητας, μηδὲ ἀδίκως ζημίᾳ τινὰ ὑποβάλ-
λεσθαι, ἀλλὰ ῥύεσθαι πένητα καὶ πτωχὸν ἐκ χειρὸς στερεωτέρων
αὐτοῦ, καὶ κατὰ μικρὸν ἀναλαβεῖν τοὺς ἀνθρώπους οὕσπερ ἀπὸ
τῶν φθασάντων ᾔδει λειποψυχοῦντάς τε καὶ ἐκλείποντας, καὶ
ἀναρρωννύντας ἐπὶ τῆς ἀρχαίας ἅπαντας εὐετηρίας σπουδάζειν
ἀποκαθιστᾶν. ὧν καὶ διὰ τὴν ἐξ ἀρχῆς πρὸς τὰ βελτίω ῥοπήν
(τοιοῦτοι γὰρ πάντως οἱ ἐκλεγόμενοι) καὶ διὰ τὴν τοῦ κρατοῦντος
P 161 περὶ ταῦτα σπουδὴν καὶ ἐγρηγορυῖαν πανταχόσε περίβλεψιν εἰς πᾶν
τὸ δέον προθύμως ἀλλήλους ὑπερβαλέσθαι ἁμιλλωμένων, ἅπασα
μὲν ἀδικία εὐθὺς ἀπὸ πάντων ἠλαύνετο, καὶ τὸ δίκαιον ἐπαρρη-
σιάζετο, καὶ αἱ πρὶν ὑπὲρ τὰς Βριάρεω χεῖρες πρὸς τὰ ἀλλότρια
ἐκτεινόμεναι ἐκνεναρκωμέναις ὥσπερ καὶ παρειμέναις ἐῴκεισαν,
καὶ τὰ ἀσθενῆ πρὸ τούτου τῶν πενήτων μέλη ἐρρώννυντο διὰ τὸ
ἀδεῶς ἕκαστον τὴν οἰκείαν βῶλον ἐργάζεσθαι καὶ τὸν ἴδιον ἀμπε-
λῶνα καρποῦσθαι, καὶ τὴν ἐλαίαν καὶ τὴν συκῆν τὴν πατρῴαν
μηδένα εἶναι τὸν τολμῶντα ὑπὸ τὴν ἑαυτοῦ ποιεῖσθαι ἐξουσίαν,
B ἀλλ' ἕκαστον ἐν τῇ συνήθει καὶ πατρῴᾳ τούτων σκιᾷ ἀναπαύε-
σθαι. καὶ οὕτω μὲν περὶ τὸν ὑπὸ χεῖρα πάντα λαὸν τῶν τε χω-
ρῶν καὶ τόπων καὶ πόλεων τῆς ἑαυτοῦ ἐπικρατείας ὁ εὐσεβὴς διε-

20 αὐτοῦ P 22 περὶ om A

nere manus puras servarent; tum ut prae omnibus virtutibus iustitiam colerent, et ut ubique aequitas vigeret diligentem operam navarent, nec a divitibus pauperes opprimi vel quemquam innoxie noxam subire sinerent, sed inopem et egenum de manu fortiorum eriperent (Psalm. 34 10), paulatimque eos recrearent quos ob praeteritorum iniuriam animo delinqui noverant ac collabi, eosque sublevantes ad pristinam omnes felicitatem reparare studerent. hi porro, tum qua ipsi iam initio ratione ac sponte ad virtutem propensi erant (tales enim omnino deligebat) tum imperatoris circa haec solicitudine ac vigili in omnibus circumspectione, cum se mutuo in omni officii genere superare contenderent, statim omnis iniustitia ab omnibus procul facessere, ac iustitia omni palam coli libertate; manusque supra quam Briarei antea ad aliena rapienda extentae torpidis stupefactisque similes decidere; infirmaque prius egenorum membra robur viresque accipere, idcirco nimirum quod singulis suam libere exercentibus glebam, vineaeque proventu fruentibus avitaeque olivae ac ficus, nemo erat qui haec sibi quavis iniuria usurpare auderet, sed quisque in horum consueta avitaque umbra conquiesceret. in hunc se modum pius imperator erga omnes subditos habebat, tum qui ruri inque oppidis tum qui in urbibus agebant, quantum Romani imperii

γένετο βασιλεύς. εἰ δέ τις οἷον ὄζος κακίας ἔν τινι στερεῶς εὖ μάλα συναθροισθεὶς ὑπὸ τῶν κατὰ μέρος ἀρχόντων μεταβληθῆναι ἢ τέλεον ἐκκοπῆναι οὐχ οἷός τε ἦν, δι' αὐτοῦ ἐκείνου τοῦ βασιλεύοντος ἢ μετεβάλλετο ἢ ἀλλοίως πως τὴν ἰατρείαν ἐδέχετο. τέλεον γὰρ ἐξᾶραι πάντοθεν τὴν ἀδικίαν ὁ κράτιστος οὗτος φιλονεικῶν πανταχοῦ τε διατάγματα ἐξέθετο καὶ κατὰ πᾶσαν χώραν ἐξέπεμψεν, δι' ὧν πᾶσα δόσις μέχρι τότε τὸ εὔλογον ἔχειν δοκοῦσα διὰ C τὴν πονηρὰν ἀπὸ χρόνου συνήθειαν ἀνῃρεῖτο καὶ ἐξεκόπτετο, καὶ ἰσονομία πᾶσα καὶ δικαιοσύνη ὥσπερ ἀπό τινος ὑπερορίου φυγῆς ἐδόκει κατιέναι πρὸς τὸν βίον καὶ τοῖς ἀνθρώποις ἐμπολιτεύεσθαι.

31. Ἀλλὰ καὶ τοὺς εἰς τὸ κρίνειν ἐπιτηδείους, ἀπὸ μὲν μαθημάτων ἔχειν τὸ ἱκανὸν μαρτυρουμένους, ἀπὸ δὲ γνώμης καὶ προαιρέσεως τὸ εὐσεβές τε καὶ ἀδωρόληπτον, ἀξιώμασί τε τῆς ταπεινοτέρας βαθμίδος ὑπεραίρων καὶ ἀνυψῶν καὶ ῥογῶν ἐνιαυσίων ἐκθέσεσι καὶ σιτηρεσίων ἄλλων καὶ φιλοτιμιῶν παροχαῖς D δεξιούμενος κατὰ πᾶσαν σχεδὸν ἀγυιὰν καὶ πᾶν εὐαγὲς ἐνδιαίτημα ἐγκατέστησεν. ἐξαιρέτως δὲ τὸ λεγόμενον τῆς Χαλκῆς λαμπρότατον τὸ πάλαι καὶ ἀξιάγαστον οἴκημα, τῷ χρόνῳ καὶ τῇ τῶν κρατούντων ῥᾳθυμίᾳ, ἴσως δὲ καὶ ἀπό τινων ἐμπρησμῶν, κατὰ μέρη πολλὰ διαρρυὲν καὶ τὴν ὀροφὴν πονήσασαν ἐσχηκός, αὐτὸς καὶ πόνῳ καὶ δαπάναις συχναῖς ἀπεκάθηρέ τε καὶ περιεποιήσατο καὶ

12 μὲν] τῶν P   13 τὸ om P

sese dicio protrahebat. sin autem aliquis veluti malitiae ramus in aliquo valide nimis conglobatus a singularibus praefectis ac magistratibus aut convelli aut exscindi omnino non poterat, ipsiusmet imperatoris opera meliori fruge componebatur, aut certe variis aliis modis medicinam accipiebat. cum enim optimus hic imperator per omnem late dicionem iniustitiam prorsus exstirpare contenderet, ubique sancita edidit inque omnes provincias misit, quibus datio omnis ac praestatio, prae inolita olim prava consuetudine haud aliena a ratione visa, tollebatur ac exscindebatur, omnisque aequalitas ac iustitia velut a prolixo quodam exsilio ac fuga in vitae usum reduci interque homines novum videre videbatur.

31. Sed et qui ad iudicia idonei exque disciplinis in eam rem instructi satis animique sententia ac voluntate religiosi integrique noscebantur, collatis honoribus ab humiliori gradu sustollens atque exaltans, annuisque stipendiis et frumentatione aliisque muneribus liberaliter donans, per singulos propemodum vicos domosque religiosas constituit. potissimum vero, quam Chalces vocant, conspicuam olim ac admirandam aedem, temporis iniuria eorumque qui rerum potiti erant negligentia (forte etiam incendiorum vi) multis in locis labefactatam, obsoleto tecto ac collabente, ipse et labore et profusis sumptibus expurgavit atque re-

κοινὸν κατέστησε δικαστήριον, Ἀρείου τε πάγου καὶ Ἡλιαίας σεμνότερον. οὐ μόνον δὲ διὰ τῆς τῶν κριτῶν ἐκλογῆς τε καὶ προβολῆς τοὺς
P 162 ἀδικεῖσθαι λέγοντας τῶν δικαίων τυγχάνειν προενοήσατο, ἀλλὰ καὶ διὰ τῆς παροχῆς τῆς καθ᾽ ἡμέραν τροφῆς τῶν ἐπὶ τῇ παρὰ τῶν ἰσχυροτέρων βίᾳ ἑκάστοτε πρὸς τὴν βασιλεύουσαν ἀναγκαζομένων εἰσέρχεσθαι. δείσας γὰρ μὴ ἀπορίᾳ τῶν ἐπιτηδείων πολλάκις τινὲς πρὸ τοῦ πέρας τὴν κατ᾽ αὐτοὺς ὑπόθεσιν δέξασθαι τῶν τῇδε ἀναχωρήσωσι, πρόσοδον ἀρκοῦσαν ἀφώρισεν ἀφ᾽ ἧς οἱ ἐγκαλοῦντες κατά τινων ἀπετρέφοντο, ἕως τὴν ἀπὸ τοῦ δικαστοῦ ἀπόφασιν ἔλαβον. οὐ ταῦτα δὲ μόνα πρὸς τὴν παντελῆ τῆς ἀδικίας ἐπενοήσατο ἐξολόθρευσιν, ἀλλὰ καὶ ἑαυτὸν εἰς τὸ τοιοῦτον μέρος ἐπέδωκε· καὶ ὅταν ἔτυχε τῶν στρατειῶν σχολάζων καὶ τοῦ χρηματί-
B ζειν ταῖς ἁπανταχόθεν πρεσβείαις, αὐτὸς τῶν βασιλείων ὑποκατιὼν καὶ εἰς τὸ διὰ τοὺς πανταχόθεν εἰς αὐτὸ συντρέχοντας, ὡς ἔοικεν, λεγόμενον Γενικὸν καθεζόμενος τοὺς ὑπὸ τῶν εἰσπραττόντων τοὺς δημοσίους φόρους πολλάκις, οἷα συμβαίνει, διὰ τὸ μέγεθος τῆς ἀρχῆς ἀδικουμένους καὶ ὥσπερ εἰς κοινὸν πρυτανεῖον εἰς τὸ τοιοῦτον διαιτητήριον καταφεύγοντας καὶ τὰς οἰκείας ἐγκλήσεις προβαλλομένους μετὰ πόνου πολλοῦ καὶ συχνῆς ἐπιμελείας ἐξήταζεν, καὶ οὕτω τοῖς ἀδικουμένοις ἐπήμυνεν καὶ τοὺς ἀδικοῦντας ἔπαυε διὰ τῆς νομίμου τιμωρίας τοῦ μηκέτι τολμᾶν τὰ τοιαῦτα
C ποιεῖν. χρόνοις δὲ ὕστερον λέγεταί ποτε κατελθεῖν εἰς τὴν τοιαύτην διατριβὴν πρὸς τὴν τῶν ἀδικουμένων ἐκδίκησιν· ὡς δ᾽ ἔτυχεν

2 προσβολῆς A 8 οἱ om P 14 τοὺς] τὸ τοὺς AP

fecit, forumque iudiciale destinavit, Areopago Heliaeaque multo augustius. nec iudicum solummodo delectu ac promotione illis providit qui se iniuria laedi quererentur, sed et diurnis alimentis iis constitutis qui a potentioribus per vim quotidie in urbem traherentur. veritus enim ne necessarii commeatus penuria necdum absoluto negotio haud raro quidam urbe excederent, sufficientes constituit reditus, unde actores procurarentur, donec a iudice dicta eis sententia esset. nec ista modo eius inventa ad iniuriam penitus profligandam, sed et se ipsum in hanc dedidit partem. cum enim a ducendis exercitibus aut dandis responsis undequaque adventantibus legatis ei vacaret, ipse se aula subducens inque Genico posito tribunali (sic dicto loco, uti videtur, quod ex omni loco ad publicas rationes eo confluerent) eos qui a publicanis haud raro, ut fere contingit ob imperii amplitudinem, iniuria afficerentur ac velut ad prytaneum ad eiusmodi iudicii locum confugerent suasque expostulationes offerrent, magno labore assiduaque diligentia examinabat, atque in eum modum iis qui iniuria afficiebantur vindex sedebat; eos vero qui faciebant, poenis a lege praescriptis, ne talia deinceps auderent, deterrebat. subsecutis deinde temporibus fama est, cum ad eum iudicii locum atque palaestram accessisset illis vindex futurus qui ulla iniuria pul-

οὐδεὶς ἐγκαλῶν, ὑποτοπήσας ὑπό τινων τῆς πρὸς αὐτὸν εἰσόδου ἀνείργεσθαι, τοὺς περὶ αὐτὸν δορυφόρους ἀπέστειλε ζητοῦντας κατὰ πολλὰ μέρη τῆς πόλεως εἴ τις ἔστι κατά τινος ποιούμενος ἔγκλησιν· ὡς δ' ἐπανῆλθον οὗτοι μηδένα μηδαμοῦ εὑρηκέναι λέγοντες ἐγκαλοῦντα κατά τινος, δακρῦσαί φασι τὸν γενναῖον ἐκεῖνον ὑφ' ἡδονῆς, καὶ οὕτω τὴν εὐχαριστίαν ἀποδοῦναι θεῷ. ὁρῶν δὲ ὅτι ἔστι τις τοῖς πονηροῖς εἰς τὸ ἀδικεῖν ἀφορμὴ ἀπὸ τοῦ διὰ τὸ σύντομον τοῖς τῶν ἀριθμῶν μορίοις καὶ μέρεσι τοῦ ἡμίσεως καὶ ἕκτου D καὶ δωδεκάτου τυχὸν κεχρῆσθαι τοῖς παλαιοῖς ἐν ταῖς ἀναγραφαῖς τῆς τῶν φόρων εἰσπράξεως, ἠθέλησε καὶ τὴν τοιαύτην τῶν ἀδικεῖν βουλομένων περιελεῖν ἀφορμήν, καὶ διωρίσατο καὶ γράμμασι λιτοῖς, ἃ καὶ τοῖς ἀγροίκοις ἀναγινώσκειν ἐστὶν ἐν δυνατῷ, καὶ ὁλογράφοις καὶ φανεραῖς ταῖς ψήφοις τῆς δηλουμένης ποσότητος τοὺς τῶν ἀπαιτήσεων γράφεσθαι κώδικας, οἴκοθεν τὸ εἰς τοῦτο τάξας ἀνάλωμα καὶ τῶν χαρτίων καὶ τῆς γραφῆς καὶ τῶν γραφέων, πρὸς τὸ μὴ ἀδικεῖσθαι τοὺς πένητας. καὶ τοῦτο μὲν τοιοῦτον καὶ τοσοῦτον τῆς περὶ τὸ ὑπήκοον κηδεμονίας αὐτοῦ καθέστηκε γνώρισμα, καὶ ὅτι ὑπ' οὐδενὸς οὐδένα ἀδικεῖσθαι ἐβούλετο. καὶ P 163 τοιοῦτος μὲν ἦν περὶ τὰ πολιτικὰ καὶ δημόσια.

32. Μὴ βουλόμενος δὲ μηδὲ τῶν ἐκκλησιῶν τοῦ θεοῦ δοκεῖν ἀμελεῖν (πάντως γὰρ ὡς ἐν τῷ κοσμικῷ περιεχόμεναι σκάφει, ὑπὸ τὴν πρόνοιαν τοῦ κρατοῦντος καὶ αὗται τυγχάνουσιν, ἐκείνου

15 καὶ τῶν γραφέων om A 21 τῷ om P

sarentur, nemine expostulante, cum in mentem venisset ne forte ingressu ad ipsum prohiberentur qui damnum aliquod iniuste paterentur, ex stipantium cohorte misisse qui per varia urbis loca inquirerent, num quis adversus aliquem expostularet. ubi redierunt, nullum se invenisse dicentes qui querelarum aliquid adversus aliquem haberet, gaudio ferunt generosi pectoris virum in lacrimas effusum esse, atque in eum modum deo gratias egisse. ad haec considerans inde improbis iniuriae ansam fore, quod veteres conscribendis publicorum vectigalium tabulis brevitatis causa numerorum partibus ac apicibus, puta semissis sextantis atque unciae, uterentur, hanc quoque iniuriae occasionem ablaturus, statuit decrevitque ut literis simplicibus, quae vel rusticis lectu faciles essent, integrisque et apertis calculis quantitate notata, exactionum codices scriberentur, expensis de suo in chartas et scripturam ac scriptores constitutis, ne ulla pauperibus iniuria fieret. et hoc quidem tale tantumque illius erga subditos curae diligentiaeque indicium, quodque nemini ullam fieri iniuriam vellet; talisque in administratione civilium rerum et publicarum erat.

32. Cumque nollet videri ecclesiarum dei curam negligere (omnino enim, ut quae in mundi navigio contineantur, ipsae quoque imperatoris

δὲ καὶ μᾶλλον ἅτε θεοφιλοῦς καὶ πολλὴν περὶ τὰ θεῖα κεκτημένου εὐλάβειαν), ἐπεὶ γοῦν καὶ ταύτας οἷον εἶναι ἐν σάλῳ τινὶ καὶ ταράχῳ τυγχανούσας ἑώρα διὰ τὸ τῆς κοινῆς λύμης ὑπὸ τοῦ προάρξαντος καὶ ταύτας μεταλαχεῖν καὶ ἐξωσθῆναι μὲν τῆς οἰκείας καθέ-
B *δρας καὶ ποίμνης τὸν ἐννόμως τούτων κατάρχοντα, ἀντεισαχθῆναι δὲ ἕτερον, οὐδὲ τούτων ἠμέλησεν, ἀλλὰ διὰ κοινῆς συνόδου καὶ συνελεύσεως τῶν ἁπανταχόθεν ἀρχιερέων θεοῦ ταῖς ἐκκλησίαις τὸν σάλον κατὰ τὸ ἐνδεχόμενον ἔστησεν, τήν τε πρὸ τούτου ἑβδόμην ἁγίαν σύνοδον ἐπικυρώσας, καὶ τοὺς περιλιπεῖς τῶν εἰκονομάχων αἱρετικῶν τῷ ἀναθέματι δούς, καὶ τὸν γνήσιον νυμφίον τῇ ἐκκλησίᾳ καὶ τοῖς τέκνοις τὸν πατέρα κανονικῶς παρασχών, τὸν δὲ ἀντεισαχθέντα σχολάζειν κελεύσας ἕως τοῦτον πρὸς ἑαυτὸν μεταστήσει ὁ κύριος. καὶ οὕτω μὲν εὖ καὶ καλῶς τὰ κατὰ τὴν ἐκκλη-*
C *σίαν διέθετο, καὶ τὴν ἐνδεχομένην καὶ ταύτῃ γαλήνην τῇ οἰκείᾳ σπουδῇ καὶ προμηθείᾳ παρέσχετο.*

33. *Εὑρὼν δὲ καὶ τοὺς πολιτικοὺς νόμους πολλὴν ἀσάφειαν καὶ σύγχυσιν ἔχοντας διὰ τὴν ἀγαθῶν ὥσπερ καὶ πονηρῶν συναναστροφήν, λέγω δὴ τὴν τῶν ἀνῃρημένων καὶ πολιτευομένων ἀδιάκριτον καὶ κοινὴν ἀναγραφήν, καὶ τούτους κατὰ τὸ προσῆκον καὶ ἐνδεχόμενον προσφόρως ἐπηνωρθώσατο, τὴν τῶν ἀνῃρημένων ἀχρηστίαν περιελών, καὶ τῶν κυρίων ἀνακαθάρας τὸ πλῆθος, καὶ*

11 *τόν τε* P 13 *τὰ] καὶ τὰ* A 18 *τῶν* om P *καὶ πολιτευομένων — ἀνῃρημένων* om A

providentiae sunt obnoxiae, ac potissimum illius, viri scilicet religiosi ergaque divina veneratione cultuque longe propensi), has quoque velut in salo iactari tempestate videns atque turbari, eo quod noxam communem a decessore contraxerant, sedeque pulsus et a grege amotus fuerat qui eis legitime praeerat, alio in eius locum suffecto, tranquillare studuit; communique synodo ac conventu cunctis ex locis dei praesulum habito, quoad licuit, ecclesiarum procellam sedavit, tum superiorem septimam sanctam synodum confirmans, ac qui adhuc essent, iconomachos anathemate feriens, tum vero legitimum ecclesiae sponsum atque liberis patrem canonice reddens, subditiciumque atque intrusum, donec ipsum dominus ad se transferret, cessare iubens. sic itaque probe riteque res ecclesiasticae illi compositae, hacque ratione studio suo ac cura omnem ei possibilem tranquillitatem praebuit.

33. Cum item leges civiles multum obscuras atque confusas repperisset, ob bonarum scilicet atque malarum, ut sic loquar, permixtionem, quod nempe tum antiquatae tum quae vigebant nullo delectu ac communi uno corpore conscriptae haberentur, has quoque convenienter, ac quoad res ferebat, commode emendavit, antiquatis, quae iam nullius usus forent, sublatis, earum vero quae ratae essent multitudine plane ex-

ὥσπερ ἐν συνόψει, ἐν κεφαλαίοις διὰ τὸ εὐμνημόνευτον τὴν προτέρων ἀπειρίαν περιλαβών.

34. Ἀλλ' ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ παραφύεται φθόνος ὡς D
τοῖς γλυκέσι μάλιστα τῶν ξύλων οἱ σκώληκες, καὶ τῇ κοσμικῇ
εὐετηρίᾳ καὶ εὐθηνίᾳ βασκαίνοντα τὰ φαῦλα δαιμόνια διὰ πονηρῶν ἀνθρώπων πειρᾶται τὴν τῶν ἀγαθῶν συνταράξαι φοράν, ἐκ τούτων καὶ τούτῳ συσκευὴν ἐπιβουλῆς, μετὰ καὶ πρὸς φόνον ὁπλίζεται Συμβάτιος καὶ Γεώργιος μετὰ στίφους ἀποφράδων ἀνθρώπων καὶ δυσσεβῶν. οὐ συγχωροῦντος δὲ πάντως, οὐδ' ἀνεχομένου θεοῦ τὴν κακίαν δι' ἐλαχίστου αὖθις ἀναπαλαῖσαι τὴν οἰκείαν ἧτταν καὶ ἀπελάσαι τὴν εὐνομίαν καὶ δικαιοσύνην ἀπὸ τῆς γῆς,
κατάδηλος ἡ τούτων πονηρία καθίσταται ἀφ' ἑνὸς τῶν συνωμο- P 164
τῶν. ἀκολουθησάντων δὲ τῶν ἐλέγχων ἐπήρτητο μὲν ἀπὸ τῶν νόμων αὐτοῖς ἡ ἐσχάτη τιμωρία, τουτέστι, μετὰ καὶ δήμευσιν καὶ τῶν ὄντων ἁπάντων ἔκπτωσιν, καὶ ἡ τῆς ζωῆς αὐτῆς ἀλλοτρίωσις. ἀλλ' ἡ τοῦ γενναίου βασιλέως φιλανθρωπία μόνῃ τῶν ὀφθαλμῶν ἐκκοπῇ τὴν τιμωρίαν ὡρίσατο τέως τῶν προκαταρξάντων τῆς πονηρᾶς συμβουλῆς· καὶ πλέον δ' ἂν τὴν εἴσπραξιν ἐμετρίασεν, εἰ μὴ τὴν εἰς τούτους ἄκραν φιλανθρωπίαν ἐγίνωσκε καὶ ἄλλους προτρέψεσθαι πρὸς τὴν μίμησιν καὶ τότε εἰς ἀνάγκην
ὑπαχθῆναι αὐτὸν καὶ βαρυτέρας ἀνταποδόσεως. διὰ τοῦτο τῇ B
λεχθείσῃ ποινῇ τούτοις τε μετανοίας παρέσχε καιρὸν καὶ τοὺς λοι-

1 alteram ἐν om A 9 συγχωροῦνται P 20 προτρέψασθαι A

plicata, ac velut compendio, certis capitibus, ob faciliorem memoriam, priore illorum infinitate comprehensa.

34. Quia tamen invidia bonis semper adhaerescit, uti maxime lignis dulcibus adnascuntur vermes, malique daemones annuorum terrae proventuum frugumque ubertati invidentes pravorum hominum opera bonorum feracitatem conturbare conantur, ex horum numero ad imperatoris vitam insidiis ferroque appetendam instructi Symbatius ac Georgius cum hominum nefariorum ac impiorum turba. haud tamen omnino eis licuit, non sinente deo ut depressa devictaque malitia brevi quasi reparatis viribus convivisceret exque orbe aequitatem ac iustitiam pelleret. coniuratorum uno prodente eorum in apertum deducta machinatio est. subsecutis criminis indiciis evictaque causa, legum severitate extremum imminebat supplicium, ut nimirum bonorum omnium proscriptione damnatis etiam vita adimeretur. at generosi principis clementia una duntaxat oculorum effossione, eorum solummodo qui pravi consilii auctores exstiterant, poenam definivit; magisque ultionem moderatus esset, ni perspectum habuisset summa in eos clementia alios quoque ad idem scelus audendum provocatum iri, tumque adigendum se necessario ad atrociores poenas exigendas. idcirco ea, quam dixi, poena tum illis

πους τῶν πονηρῶν ἐσωφρόνιζε. βουλόμενος δ' ἐπὶ μᾶλλον ἀναστεῖλαι τὰς ὁρμὰς τῶν ἀδίκως ζητούντων ἀλλότριον θάνατον καὶ πᾶσαν αὐτῶν ἐλπίδα περιελεῖν, ἀνάγει πρὸς τὸ τῆς βασιλείας ἀξίωμα τοὺς τῶν παίδων καθ' ἡλικίαν προέχοντας, ἤδη βασιλικῶς ἀναγομένους καὶ παιδευομένους καὶ εἰς πᾶσαν ἐκλάμποντας ἀρχικὴν ἀρετήν, Κωνσταντῖνον καὶ Λέοντα, οἱονεὶ κραταιοτέρας ῥίζας καὶ πλείονας βαλλόμενος τῇ ἀρχῇ, καὶ τοὺς εὐγενεῖς τῆς βασιλείας ὄρπηκας ἐπὶ ταύτης ὑψῶν.

C 35. Ἀλλ' ἐπεὶ κατὰ τοῦτο τὸ μέρος ἐγενόμην τῆς διηγήσεως, βούλομαι καὶ περὶ τῶν λοιπῶν αὐτοῦ παίδων ἤδη διαλαβεῖν, ὅπως περὶ ἑκάστου αὐτῶν εὐσεβῶς ἐβουλεύσατο. κατὰ γὰρ τοὺς πάλαι τῶν εὐσεβῶν καὶ μακαρίων ἀνδρῶν, μᾶλλον δὲ καὶ ὑπὲρ ἐκείνους πολύπαιδα καὶ καλλίπαιδα καὶ τοῦτον ἔδειξεν ὁ θεός. μετὰ χρόνον τοίνυν τινὰ μεταδίδωσι τοῦ στέφους καὶ Ἀλεξάνδρῳ τῷ τρίτῳ υἱῷ· τὸν δὲ τούτων νεώτατον Στέφανον, ὡς τὸν Ἰσαὰκ ὁ Ἀβραάμ, προσάγει θεῷ καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἐγκαταλέγει καὶ ἀφιεροῖ. τὴν θήλειαν δὲ γονὴν ἰσάριθμον οὖσαν τῇ ἄρρενι ἐν D ἱερῷ σεμνείῳ τῆς πανευφήμου μάρτυρος Εὐφημίας καθιεροῖ καὶ ὡς δῶρον δεκτὸν καὶ ἀνάθημα θεῷ ἀνατίθησιν, καὶ σχήματι καὶ καταστολῇ κοσμήσας ὁμοίως ταῖς καθαρῶς καὶ ἀμιάντως τῷ ἀθανάτῳ νυμφίῳ νυμφευομέναις παρθένοις Χριστῷ. ταῦτα δὲ εἰ καὶ τοῖς χρόνοις ὕστερον τυχὸν γέγονεν, ἀλλ' οὖν ἐνταῦθα κείσθω

16 καταλέγει A

paenitentiae tempus praebuit, tum malos reliquos coercuit. studens autem maiorem in modum eorum reprimere animos qui iniuste aliorum caedibus inhiant, omnemque illis spem auferre, filios natu maiores Constantinum atque Leonem, regie iam educatos ac eruditos omnique virtute ex imperii ratione excultos, ad imperii dignitatem promovet, velut nimirum validiores pluresque radices in imperio mittens, et super eo nobiles imperii ramos sustollens.

35. Ad hanc porro historiae partem cum venerim, libet hic quoque de reliquis eius liberis instituto sermone, quomodo de singulis pie admodum statuerit, declarare. velut enim olim pietate conspicuos ac beatos viros, imo et supra illos, hunc quoque deus copiosa probaque sobole donavit. post aliquod itaque tempus etiam Alexandrum filiorum tertium Augusti corona impartivit. horum vero novissimum Stephanum, haud secus ac Abrahamus Isaacum, deo offert deique ecclesiae adlegit ac consecrat. filias totidem numero quot erant masculi, in sacro illustrissimae martyris Euphemiae monasterio devovet, ac velut munus acceptum hostiamque deo dicat, illas tum moribus tum habitu omnique apparatu ornans, quo decorari solent quae pure ac incontaminate immortali sponso Christo sponsae virgines copulantur. haec, licet subsecutis

συνημμένα, ὥσπερ τῇ φύσει, οὕτω δὴ καὶ τῇ διηγήσει τῆς τετρακτύος τῶν ἀδελφῶν.

36. *Ἐπεὶ οὖν τὰ οἴκοι καλῶς εἶχεν αὐτῷ καὶ κατὰ σκοπὸν εὐσεβῆ καὶ θεάρεστον, ἐκάλει δὲ αὐτὸν ἡ ζέουσα περὶ τῶν ὅλων φροντὶς καὶ πρὸς ὑπερορίους στρατείας, ὡς ἂν τοῖς οἰκείοις πόνοις καὶ τῇ αὐτοῦ ἀνδρίᾳ καὶ γενναιότητι πλατύνῃ μὲν τὰ ὅρια τῆς ἀρχῆς, πορρωτέρω δὲ συνώσῃ καὶ ἀπελάσῃ τὸ δυσμενές, οὐδὲ* P 165
τούτων ἠμέλησεν, ἀλλὰ πρῶτα μὲν τοὺς στρατιωτικοὺς καταλόγους ἐλαττωθέντας ἐκ τοῦ περικοπῆναι τὰς διδομένας τούτοις φιλοτιμίας καὶ ῥόγας καὶ τὰ βασιλικὰ σιτηρέσια διὰ νέων συλλογῆς τε καὶ ἐκλογῆς ἀνεπλήρωσεν καὶ διὰ τῆς τῶν δεόντων παροχῆς τε καὶ ἐπιδόσεως ἔρρωσεν· ἔπειτα γυμνάσας τούτους ταῖς τακτικαῖς μελέταις, καὶ τοῖς ἐνδελεχέσι πόνοις ἐμπείρους τῆς πολεμικῆς ἀγωνίας πεποιηκώς, καὶ εὐταξίας ὅτι μάλιστα λόγον ἔχειν ἐθίσας καὶ πεφροντικέναι τοῦ εὐπειθοῦς, οὕτω μετ᾽ αὐτῶν ὑπὲρ τῶν φυλετῶν B
καὶ συγγενῶν καὶ ὑπηκόων κατὰ βαρβάρων ἐστράτευσεν. ᾔδει γὰρ ὡς οὐδὲ τῶν βαναύσων καὶ χυδαίων τούτων τεχνῶν οὐδεμίαν ἔστιν εἰδέναι πρὸ τοῦ μαθεῖν, οὐδ᾽ ἔστιν ὅστις διδασκάλου χωρὶς οὔτε ὑποδηματοράφος, μήτι γε τῶν σπουδαιοτέρων τινὰ τεχνῶν κατωρθωκὼς φαίνεται. τὴν δὲ πολεμικὴν ἐπιστήμην ἢ τέχνην εἰ δίχα μαθήσεως καὶ ἱκανῆς ἐμπειρίας ἐξῆν εἰδέναι τῷ βουλομένῳ, οὐκ εἶχον ἄρα νοῦν ἀλλ᾽ ἐλήρουν οἱ πολλὰ περὶ τὸ μέρος τοῦτο πονή-

temporibus acta sunt, hic tamen posita sunto, uti natura, sic et narrandi ipsa serie, fratrum quaternioni coniuncta.

36. Rebus itaque sic illi domi probe religioseque ac deo placito scopo constitutis, cum ipsum ardens rei publicae cura ad externa quoque bella suscipienda impelleret, quo nimirum suis ipse laboribus et fortitudine animique magnitudine imperii fines proferret longiusque hostem propelleret ac abigeret, nec hanc sibi partem negligendam putavit. primum tamen militares cohortes inde imminutas quod consuetae largitiones et stipendia regiaeque annonae illis subtractae essent, novo delectu conscriptoque in eam rem milite replevit, necessariique commeatus subministratione ac elargitione roboravit. exinde militaribus operibus eos exercens, assiduisque laboribus disciplinae castrorum expertos ac prae omnibus servandi ordinis solicitos reddens, tribunisque suis atque ducibus obsequendi ritu instituens, una cum illis pro tribulibus et affinibus atque subditis adversus barbaros expeditionem suscepit. noverat enim nullam artem, ne mechanicam quidem ac vilem, sciri posse antequam addiscatur; nec quemquam esse qui sine magistro vel ipsam sutoriam (nedum aliquam nobiliorum artium, ac quae magnis sudoribus comparantur) adeptus satis videatur. scientiam vero seu artem militarem, si absque disciplina sufficientique ex rei usu peritia cuivis volenti parare liceret, haud sane mentis integrae fuissent, sed delirassent, qui plura circa hoc in commentariis de rebus bellicis diligenti opera tradiderunt,

C σαντες ἐν τοῖς τακτικοῖς συγγράμμασι καὶ οἱ μέγιστοι τῶν αὐτοκρατόρων καὶ στρατηγῶν, οἱ πολλὰ ἀπὸ πολλῶν τρόπαια συστήσαντες, ὧν οὐδεὶς ἐθάρρησε πώποτε μετ' ἀμαθοῦς καὶ ἀγυμνάστου λαοῦ εἰς πολεμίων παράταξιν ἐμβαλεῖν. ἀλλ' οὐκ ἔστιν οὔτε τὸν μὴ μαθόντα εἰδέναι οὔτε τὸν μὴ ἀσκήσαντα καὶ γυμνασάμενον ἀγωνίζεσθαι. διὰ τοῦτο καὶ ὁ γενναῖος οὗτος πρότερον γυμνάσας καὶ καταρτίσας τὰ τάγματα τὰ στρατιωτικά, καὶ τὴν νεοσύλλεκτον στρατιὰν ἀναμίξας τῇ παλαιᾷ, καὶ ταῖς ἁρμοζούσαις χορηγίαις καὶ δωρεαῖς λιπάνας αὐτῶν τὰ νεῦρα καὶ τονώσας τὰς δεξιάς, D οὕτω μετ' αὐτῶν προσέβαλε τοῖς ἐχθροῖς καὶ τὰ πολλὰ τρόπαια ἔστησεν καὶ τὰς μυρίας νίκας ἀνείλετο. διὰ βραχέων δὲ διηγήσομαι.

37. Καὶ κατάστασιν πόλεως ἐνευκαιρήσας καὶ σχολάσας πράξεσιν, ἔαρος ὑπολάμποντος τὰ ὅπλα ἀνείλετο καὶ μετὰ τῶν στρατιωτικῶν καταλόγων ξυνεξητάζετο, ἡγούμενος χρῆναι τὸν ὡς ἀληθῶς ἄρχοντα τοῦ οἰκείου προκινδυνεύειν λαοῦ καὶ ὑπὲρ τοῦ πᾶν ἀδεῶς διάγειν τὸ ὑποχείριον πόνους καὶ ταλαιπωρίας ἑκουσίως αὐτὸν ἀναδέχεσθαι. καὶ ἐπεὶ κατὰ τοὺς καιροὺς ἐκείνους ὁ τῆς P 166 Τεφρικῆς ἐξηγούμενος, ὃν Χρυσόχειρα κατωνόμαζον, ἐπ' ἀνδρίᾳ καὶ συνέσει διαφέρειν δοκῶν σφόδρα παρελύπει τὴν Ῥωμαίων χώραν καὶ τοὺς λαούς, καὶ πολλοὺς τῶν ἀγροίκων καθ' ἑκάστην αἰχμαλώτους ποιούμενος ἐφρόνει σοβαρὰ καὶ ὑπέρογκα, κατ' αὐτοῦ

6 καὶ om P   7 καὶ ante τὴν om P   10 προσέβαλλε A   12 post διηγήσομαι verba aliquot deesse videntur.   14 λάμποντος P   εἵλετο P   20 Ῥωμαίοις A. an ὑπὸ Ῥωμαίοις?

maximique imperatores ac duces exercitus, qui multa de multis tropaea erexerunt; quorum nemo unquam cum rudi milite nec bellicis laboribus subacto adversas acies tentavit. atqui fieri non potest ut is doctus sit qui non didicerit, vel ut certamine fortiter defungatur qui se minime exercuerit ac gymnasticae operam dederit. idcirco vir ille generosus exercitatis prius instauratisque militaribus ordinibus, admixtisque tironibus veteranorum numeris, ac convenientibus largitionibus muneribusque eorum impinguatis nervis dextrisque roboratis, sic cum illis adversus hostes congressus multa tropaea erexit et innumeras victorias reportavit. haec vero enarrabo quam paucis licebit.

37. Tranquillo igitur urbis statu, ac per eius opportunitatem navata rebus diligenti opera instructoque exercitu, vere arma capessivit, inter militares ipse ordines agens ac castra sequens; nempe hoc arbitratus, viro principi pro populo suo adeunda pericula, et ut subditi omnes secure ac quiete agant, sponte suscipiendos labores ac aerumnas. cumque ea aetate Tephricae princeps, cui Chrysochiri nomen erat, reliquis virtute praestare visus ac prudentia, Romanam dicionem ac gentem dire vastaret, quotidieque multos rusticorum captivos agens, superbe altumque saperet ac se reliquis praeferret, adversus illum eiusque urbem

καὶ τῆς ὑπ' αὐτὸν πόλεως ἐκστρατεύει ὁ βασιλεύς. τοῦ δὲ σοβαροῦ καὶ θρασέος ἐκείνου πρὸς τὴν γενναιότητα τοῦ ἐπιόντος στρατεύματος καὶ τὴν σύνεσιν καὶ ἀνδρίαν τοῦ αὐτοκράτορος ἐμφανῶς μὴ τολμήσαντος ἀντιστῆναι, ἀλλ' ὑποχωροῦντος καὶ μόνην τὴν οἰκείαν πόλιν φυλάξαι καὶ κρατύνεσθαι διεγνωκότος, ἐπῄει κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν ληϊζόμενος καὶ πορθῶν καὶ κατα- B τέμνων καὶ πυρπολῶν πάσας τὰς ὑπὸ τὸν Χρυσόχειρα χώρας καὶ κωμοπόλεις ὁ βασιλεύς, λείαν ἄπειρον καὶ αἰχμαλωσίαν περιβαλλόμενος. προσβαλὼν δὲ καὶ αὐτῷ τῷ ἄστει Τεφρικῆς, καὶ δι' ἀκροβολισμῶν καὶ προσεδρείας οὐχὶ μακρᾶς ἑλεῖν πειραθείς, ὡς ἑώρα καὶ τειχῶν καρτερότητι καὶ πλήθει βαρβαρικῷ καὶ ἀφθονίᾳ χρειῶν κατωχυρωμένον αὐτὸ καὶ δυσάλωτον, ἐπεὶ καὶ τὰ ἐκτὸς ἅπαντα δι' ἐλαχίστου χρόνου τῷ πλήθει τῆς στρατιᾶς κατηρείπωτο καὶ τὰ ἀναγκαῖα σχεδὸν κατηνάλωτο, ἀπέστη τῆς πρὸς τὴν πολιορκίαν χρονίου ἐπιμονῆς· τὰ δὲ περὶ αὐτὴν φρούρια τὴν Ἄβαραν καὶ τὴν Σπάθην καὶ ἕτερά τινα ἐκπορθήσας, καὶ ἄρας ἐντεῦ- C θεν ἀσινῆ τὸν περὶ αὐτὸν πάντα στρατόν, μετὰ συχνῶν, ὡς εἴρηται, λαφύρων καὶ ἀνδραπόδων ἐπανεχώρησεν.

38. Τῶν ἐν τῇ Τεφρικῇ τοίνυν τὸν πολὺν φόνον ἡ ἑτέρα τῶν Ἰσμαηλιτῶν πόλις θεασαμένη, ἣν Τάραντα λέγουσι, πρέσβεις πέμψασα εἰρήνης ἠξίου τυχεῖν καὶ ταῖς συμμαχίσιν ἐγγράφεσθαι. ὁ δὲ κράτιστος βασιλεύς, ὅσην πρὸς τοὺς ἀντιταττομένους ἀνδρίαν,

8 καὶ] δὲ καὶ P 12 κατοχυρούμ. Barberinus. 13 κατηρείπατο P 15 αὐτῆς A 18 υπανεχωρησεν Barberinus. 22 ἀνδρίαν — ὑποταττομένους om A

imperator exercitum ducit. eo autem, quantavis superbia ac audacia fretus erat, non auso palam adorientis exercitus generosos conatus experiri aut prudentiam roburque imperatoris tentare, sed secedente unumque hoc satagente, ut suam sibi servaret urbem atque assereret, ibat imperator nemine prohibente, diripiens vastansque et exscindens incendensque pagos omnes et oppida, quae Chrysochiris dicionis erant, immensa onustus praeda ingentemque captivorum multitudinem trahens. sed et ipsam adortus urbem Tephricam, eamque tumultuaria quasi pugna, non diutina obsidione conatus capere, videns et murorum firmitate et barbarorum multitudine annonarumque copia abunde munitam, ac quae aegre expugnari posset, quod praesertim omnis circum ager brevissimo tempore copiarum numerositate desolatus erat, ac pene exercitum necessarius commeatus defecerat, a diutina obsidione abscessit; circum vero positis praesidiis, Abara et Spatha aliisque quibusdam expilatis, illaeso inde cuncto sublato exercitu, cum multis, ut dictum est, spoliis ac captivis reversus est.

38. Ingentes Tephricae factas caedes alia Ismaelitarum urbs cum vidisset (Taracem vocant), missis legatis pacem expostulat et in sociarum urbium albo adscribi rogat. in his optimus imperator, quantum

τοσαύτην πρὸς τοὺς ὑποταττομένους ἐπιείκειαν ἐνδεικνύμενος, ἡτ-
D τήθη τε τῆς πρεσβείας καὶ τῆς εἰρήνης τοῖς αἰτοῦσι μετέδωκε, καὶ
σύμμάχους ἀντὶ πολεμίων τὸ ἀπὸ τοῦδε ἐκέκτητο. ἐκ τούτου ἄλλοι
τε οὐκ ὀλίγοι καὶ Κουρτίκιός τις Ἀρμένιος, ὃς εἶχε τότε τὴν Λό-
καναν καὶ συνεχῶς τὰς ἐσχατιὰς τῆς Ῥωμαϊκῆς ἀρχῆς ἐλυμαίνετο,
προσέφυγε πρὸς αὐτόν, καὶ τὴν πόλιν αὐτοῦ καὶ τὰ ὅπλα καὶ τὸν
λαὸν τῷ αὐτοκράτορι καθυπέταξε, θαυμάσας αὐτοῦ τὸ μετὰ τοῦ
ἀνδρείου ἐπιεικὲς καὶ μετὰ τῆς δυνάμεως δίκαιον.

39. Ἕως δὲ πρὸς αὐτὸν εἶχον τὸν νοῦν οἱ πολέμιοι, καὶ
περιεσκόπουν πρὸς ὃ μέρος ῥέψει, ἵνα πρὸς τὸ πονοῦν καὶ αὐτοὶ
P 167 συνασπίσωσι, κοῦρσον κατὰ τῆς λεγομένης Ζαπέτρας ἀπέστειλεν
ἐπιλέκτων πολεμιστῶν, οἳ σπουδῇ τὰ στενὰ τῆς ὁδοῦ διελθόντες
αὐτῇ τῇ πόλει προσπίπτουσι, καὶ ταύτην ἐξ ἐφόδου λαμβάνουσι,
καὶ πολλοὺς ἐν αὐτῇ κατασφάττουσιν, αἰχμαλωσίαν τε πολλὴν καὶ
λείαν λαμβάνουσι, καὶ δεσμίους χρονίους ἐξάγουσι τῆς φρουρᾶς.
εἶτα τὰς ἐφεξῆς πυρπολήσαντες χώρας καὶ τὸ Σαμόσατον ἐκπορ-
θήσαντες, καὶ τῇ αὐτῇ ῥύμῃ τὸν Εὐφράτην περάσαντες κατὰ
πολλὴν ἐρημίαν τῶν κωλυσόντων διὰ τὸ παραστρατοπεδεύειν τοὺς
πολεμίους τῷ βασιλεῖ, καὶ πολλὴν λαβόντες αἰχμαλωσίαν καὶ
λάφυρα, ὑπέστρεψαν πρὸς τὸν αὐτοκράτορα ἔτι πρὸς τῷ Ζαρ-
B νοὺχ ποταμῷ, ἔνθα τὸ Κεραμίσιον ἐστί, διατρίβοντα καὶ ἀργεῖν
μὲν δοκοῦντα, τὰ δὲ τοιαῦτα πανσόφως διὰ τῶν ὑπὸ χεῖρα κατα-
πραττόμενον.

3 ἀντὶ] ἐκ P   9 ἕως] ὡς P   21 Καραμίσιν P

erga adversarios fortitudinis robur, tantam erga subiectos moremque gerentes aequitatem ac clementiam ostendens, vinci se passus est ab oratoribus, pacemque rogantibus tribuens exinde pro hostibus illos socios nactus est. hinc cum alii non pauci, tum Curticius Armenus, Locanam tunc praesidio tenens Romanaeque dicionis fines assidue molestans, ad eum confugit, urbemque suam et arma et populum imperatori subiecit, illius aequitatem ac clementiam cum pari fortitudine ac iustitiam cum virtute admirans.

39. Interim vero intentis in eum hostium animis serioque observantibus quam in partem ille impetum verteret, ut laboranti opem ipsi ferrent, lectam bellatorum manum adversus Zapetram (sic dictam urbem) misit; superatisque velociter viae angustiis ipsam urbem adoriuntur primoque impetu capiunt, ac in ea multos trucidant, ingentique praeda ac spoliis potiti, qui pridem in ea vincti tenebantur, ex carcere liberant. tum vicinas terras incendunt, Samosatum diripiunt, eodemque impetu superato Euphrate, cum nullus usquam obsisteret (quod nimirum haud procul ab imperatore hostium castra locata essent), multis captivis ac ingenti praeda ditati ad imperatorem reversi sunt, adhuc prope Zarnuchum fluvium, ubi Caramisium est, morantem, desidis quidem similem, sed qui summa industria ac solertia per subditos talia designaret.

40. Ἐντεῦθεν ἄρας ὁ βασιλεὺς μετὰ παντὸς στρατοῦ τὴν ὡς ἐπὶ Μελιτηνὴν ἀπάγουσαν διῄει ὁδόν. πρὸς δὲ ταῖς ὄχθαις τοῦ Εὐφράτου γενόμενος, ὡς εἶδεν αὐτὸν ὥρᾳ θέρους πλημμυροῦντα καὶ πελαγίζοντα, τὸ δὲ προσκαθῆσθαι τῇ διαβάσει καὶ ταπεινὸν προσμένειν γενέσθαι τὸν ποταμὸν ἀγεννὲς ἐνόμισε καὶ ἀνάξιον τῆς περὶ αὐτὸν δυνάμεως, γεφύρᾳ τοῦτον ἔγνω διαλαβεῖν, καὶ πάντα πρὸς τὸ ἔργον σπουδῇ ηὐτρεπίζετο. θέλων δὲ τὸν κόπον παραμυθεῖσθαι τῶν οἰκείων στρατιωτῶν καὶ τοὺς πόνους ῥᾳδίως C ὑποφέρειν πεῖσαι, ἅμα δὲ καὶ ἑαυτὸν ἐν τοῖς ἑκουσίοις ἀποτρύχειν πόνοις, ἵνα εἰ καὶ ἀκούσιος πολλάκις συμβῇ, μὴ ξενοπαθῇ μηδὲ ἀήθης εὑρίσκοιτο, συνεφήπτετο τοῦ ἔργου τοῖς στρατιώταις καὶ μάλα προθύμως, καὶ τὰ μείζονα βάρη τοῖς οἰκείοις αἴρων ὤμοις πρὸς τὴν γέφυραν διεκόμιζεν. εἶδεν ἄν τις τότε ἰσομέγεθες βάρος οὗπερ ὁ βασιλεὺς ῥᾳδίως ἐβάσταζε, τρεῖς τῶν στρατιωτῶν ὁμοῦ μόλις διακομίζοντας. οὕτω δὲ τὸν Εὐφράτην περαιωθεὶς τὸ φρούριον εὐθὺς ὃ Ῥαψάκιον λέγεται ἐξεπόρθησεν. ἰδίᾳ δὲ τοὺς Χάλδους καὶ Κολωνιάτας τὴν μεταξὺ χώραν Εὐφράτου καὶ Ἀρσίνου D κελεύσας καταδραμεῖν, λείας πολλῆς καὶ ἀνδραπόδων δι' αὐτῶν ἐκυρίευσεν καὶ τὰ φρούρια τό τε Κουρτικίου καὶ τὸ Χαχὸν καὶ τὸ Ἄμερ καὶ τὸ Μουρινὶξ καλούμενον καὶ τὸ Ἄβδελα ἐξεπόρθησεν. αὐτὸς δὲ τῇ Μελιτηνῇ προσβαλών, εὐανδρούσῃ τότε καὶ πλῆθος ἐχούσῃ βαρβάρων συχνόν, οἳ πρὸ τῆς πόλεως μετὰ βαρβαρικῶν

2 Μελιτινὴν A, et infra Μελιτινῇ. 20 Ἄβδηλα A

40. Hinc discedens cum universo exercitu, quod ad Melitenem ducit, iter ingreditur. ubi autem ad Euphratis ripas venit, tumescentem aestivo tempore lateque exundantem fluvium videns, degenerisque animi nec illis quas ducebat copiis dignum ratus traiectui assidere, ac donec detumuissent aquae humiliore alveo exspectare, ponte iungendum constituit; cunctaque ad opus velociter instructa sunt. cupiens vero militum laborem lenire et ad eius molestias facile ferendas inducere, seque ipsum pariter spontaneis fatigationibus divexare, ne si quando, ut plerumque solet, inconsulto aliquid accidisset, novitate casus consternaretur aut malis insuetus inveniretur, sociam militibus operam, et quidem strenue admodum ac alacriter, adiungebat, maioraque onera suis ipse humeris ad pontem apportabat. vidisses tunc eius ponderis onus imperatorem facile ferre, cui vix tres simul milites pares essent. in hunc modum transmisso Euphrate statim praesidium Rhapsacium expugnat. seorsum vero Chaldos et Coloniatas regionem quae inter Euphratem et Arsinum effunditur iubens excurrere, ingenti praeda multisque captivis potitus est; castellaque, quod Curticii vocant et Chachon et Amer et Murinixum et Abdela, cepit ac diripuit. ipse Melitenem irrumpens, urbem eo tempore ingenti civium multitudine fretam affatimque barbarorum copiis munitam, quibus in occursum cum barbarico clamore ac stre-

ἀλαλαγμῶν καὶ φρυαγμάτων ἀπήντων αὐτῷ, τὴν οἰκείαν ἀρετὴν ἐπεδείξατο, ὡς μὴ μόνον τοὺς ὑπ' αὐτὸν ἀλλὰ καὶ τοὺς πολεμίους P 168 *περιφανῶς ἐκπλαγῆναι τὴν ἀνδρίαν αὐτοῦ καὶ εὐχέρειαν. ἐμφρόνως γὰρ ἅμα καὶ νεανικῶς προσμίξας τοῖς πολεμίοις, καὶ κατὰ χεῖρα γενναῖος φανεὶς καὶ τόλμῃ διαφέρων, καὶ παρὰ δεινὰ ὁρώμενος εὐθαρσής τε καὶ ἀκατάπληκτος, πρῶτος τοὺς ἀντιτεταγμένους ἐτρέψατο φόνῳ πολλῷ· εἶθ' οὕτως οἱ σὺν αὐτῷ τοὺς κατ' αὐτοὺς ἕκαστοι καὶ μέχρι τοῦ ἄστεος ἀναιροῦντες ἐδίωκον, ὡς πολλοῖς νεκροῖς τὸ πρὸ τῆς πόλεως πεδίον καταστρωθῆναι καὶ τὸ πρὸ τοῦ τείχους ὕδωρ αἵματι κερασθῆναι, πολλοὺς δὲ καὶ ζῶντας ἁλῶναι, καὶ ἄλλους τῷ δέει ἑκόντας αὐτομολῆσαι, τοὺς δὲ περιλειπεῖς εἰς τὸ ἄστυ συγκλεισθῆναι καὶ τοῦ λοιποῦ ἐξόδου παντάπασιν εἴργεσθαι.* B *ἔνθα διενοεῖτο μὲν ὁ βασιλεὺς μηχανάς τε πήγνυσθαι καὶ ἅπαν ὄργανον πολιορκητικὸν μεταπέμπεσθαι καὶ ἔργα τόλμης καὶ γενναιότητος περὶ τὴν τειχομαχίαν ἐνδείξασθαι· ὡς δὲ ἑώρα τὴν πόλιν τειχῶν τε περιβολῇ καρτερὰν καὶ πλήθει τῶν ἀπὸ τοῦ τείχους ἀμυνομένων δυσάλωτον, ἐπύθετο δὲ παρὰ τῶν αὐτομόλων καὶ ἐπιτηδείων ἔχειν ἀφθονίαν πολλὴν καὶ μὴ δεδιέναι χρονίαν πολιορκίαν, ἄρας ἐντεῦθεν τῇ Μανιχαίων προσέβαλε γῇ. δενδροτομήσας δὲ ταύτην καὶ τὰς οἰκίας πυρὶ δοὺς καὶ πᾶν διαφθείρων τὸ ἐν ποσί, τὸ Ἀργαοὺθ λεγόμενον αὐτῶν φρούριον καὶ τὸ Κουτακίου καὶ Στεφάνου καὶ Ῥαχὰτ ἐμπρήσας κατέσκαψεν.*

1 *ἀλαλαγῶν* A 3 *τὴν* om P 5 *παρὰ*] *περὶ* P. malim *παρὰ τὰ* 17 *δὲ*] *μὲν* AP

pitu effusis ipse suae virtutis egregium specimen dedit, ut non modo eius asseclae sed et hostes illius palam fortitudinem dexteritatemque stupore admirarentur. solerter enim fortiterque hostibus congressus, manuque fortem et audacia praestantem fidentisque animi virum ac interritum terribilibus praeferens, primus adversam aciem magna strage fudit; tumque alii sibi quique adversos obiectosque ad urbis usque portas caedentes persecuti sunt, ut exterius urbis pomerium multis cadaveribus consterneretur vallique muro circumducti aqua cruore misceretur, multi etiam vivi caperentur, alii metu perciti ipsi sponte transfugerent; reliqui denique in urbe includerentur, omnique postmodum exitu penitus arcerentur. in his cogitabat imperator machinas figere, cunctaque expugnandis urbibus aptata instrumenta convehere, audacisque ac strenui animi facinora tentandis muris designare: sed cum videret urbem moenium ambitu munitissimam, eaque tutantium multitudine ac robore captu difficillimam, audissetque a profugis necessario commeatu abunde instructam, nec diutinam timere obsidionem; inde discedens in regionem Manichaeorum irrupit, excisisque arboribus ac aedibus igni succensis cunctisque obviis devastatis eorum castellum Argauthum Cutaciique et Stephani et Rachatum concremans penitus evertit. postmodum subiecto

εἶτα τὸν ὑπὸ χεῖρα πάντα λαὸν πλουσίως φιλοφρονησάμενος, καὶ C τῶν ἀριστευσάντων ἕκαστον ἀριστείοις τιμήσας, μετὰ πολλῶν λαφύρων καὶ νικητικῶν στεφάνων ὑπέστρεψε πρὸς τὴν βασιλεύουσαν· καὶ διὰ τῶν Χρυσῶν πυλῶν εἰσελθὼν ὡς οἱ πάλαι κατὰ τὴν μεγαλόδοξον Ῥώμην τῶν αὐτοκρατόρων τοὺς θριάμβους κατάγοντες, καὶ τὰς παρὰ τοῦ δήμου νικητικὰς ἐκβοήσεις καὶ εὐφημίας δεξάμενος, καὶ πρὸς τὸ μέγα τῆς τοῦ θεοῦ σοφίας ἀνάκτορον, ὡς τὰς εὐχὰς καὶ τὴν προσήκουσαν εὐχαριστίαν ἀποδώσων, εὐθὺς ὡς εἶχεν ἐξ ὁδοῦ παραγεγονώς, καὶ ὑπὸ τοῦ τότε πατριαρχοῦντος τῷ τῆς D νίκης στεφάνῳ ταινιωθείς, ἀπεκατέστη εἰς τὰ βασίλεια.

41. Καὶ πάλιν αὐτὸν φροντίδες πολιτικαὶ διεδέχοντο, καὶ ταῖς ἀπὸ διαφόρων ἐθνῶν πρεσβείαις τὰ πρόσφορα ἐχρημάτιζε· καὶ πρὸς ὀλίγον τοῖς τέκνοις συνευφρανθεὶς καὶ τῇ γυναικί, καὶ τοὺς κατὰ τὸ ἄστυ περιελθὼν ἱεροὺς καὶ θείους ναοὺς καὶ τὰς εὐχὰς ἀποδούς, συνήθως ἦν αὖθις ἐπὶ τῶν πολιτικῶν διοικήσεων καὶ τῶν κρίσεων, τὴν περὶ τὸ ὑπήκοον κηδεμονίαν καὶ ἄγρυπνον πρόνοιαν ἐνδεικνύμενος. οὐ διελίμπανε δὲ ὅμως καθ᾽ ἑκάστην P 169 εἰς τὸν ἱερὸν καὶ θεῖον ναὸν εἰσιὼν καὶ ἱκετεύων τὸν κύριον, καὶ μεσίτας πρὸς τοῦτο τόν τε ἀρχιστράτηγον Μιχαὴλ καὶ Ἠλιοὺ τὸν προφήτην πρὸς θεὸν προβαλλόμενος, τοῦ μὴ πρότερον τοῦ βίου ὑπεξελθεῖν πρὶν ἢ τὸν τοῦ Χρυσόχειρος ὄλεθρον ἐπιδεῖν καὶ τρία βέλη τῇ αὐτοῦ καταπῆξαι μιαρᾷ κεφαλῇ. ὃ καὶ γέγονεν ὕστερον.

omni milite large copioseque muneribus accepto, ac qui singulari virtute fulserant, singulis decenti honorario donatis, multis auctus spoliis ac victoriae sertis in urbem reversus est; ingressusque per Aureas portas, quo fere ritu veteres imperatores in praemagnifica nobilique Roma triumphum agebant, faustis pro victoria populi acclamationibus ominibusque deducentibus, in magnum dei sapientiae templum ad vota congruamque gratiarum actionem deo persolvendam, statim ut erat ex itinere, profectus, atque a patriarcha victoriae corona redimitus, in regiam receptus est.

41. Rursus vero curae eum civiles solicitabant, diversarumque gentium oratoribus ad se convenientibus dandis responsis incumbebat; paululumque cum liberis ac uxore relaxato animo, ac sacrosanctis per urbem voti precumque causa templis religiose lustratis, ex more rursus civilibus administrationibus iudiciisque addicta opera, diligentiam ille suam vigilemque curam erga subditos ostentabat. nullum tamen faciebat finem quotidie in sacrum divinumque templum ingrediendi deumque supplicibus votis exorandi, intercessoribus ad deum adhibitis tum Michaele caelestis exercitus principe, tum Elia propheta, ne prius vita excederet quam Chrysochiris interitum videret ac tria tela impuro illius capiti infigeret; quod et postea contigit. sequenti enim anno, cum is

τῷ γὰρ ἐπιόντι χρόνῳ εἰς τὰς τῶν Ῥωμαίων ἐμβαλόντος χώρας τοῦ προμνημονευθέντος Χρυσόχειρος καὶ ταύτας ληΐζομένου, ἀποστέλλει κατ᾽ αὐτοῦ συνήθως ὁ βασιλεὺς τὸν τῶν σχολῶν ἐξηγούμενον. ὃς ἐξελθὼν καὶ πάντα τὸν Ῥωμαϊκὸν στρατὸν συμπαραλαβών, ἐπεὶ κατὰ πρόσωπον ἐμφανῶς ἀντιστῆναι πρὸς αὐτὸν ἀπε- B δειλία, τὰ τῶν Ῥωμαίων στρατεύματα συμπαρείπετο τέως αὐτῷ ἀπό τινος διαστήματος, καὶ τὰς μερικὰς ἀνεῖργε καταδρομάς, καὶ οὐ συνεχώρει κατὰ τῆς χώρας ἀδεῶς διασκίδνασθαι. ὡς οὖν τὰ μὲν δρῶν τὰ δὲ ἀπρακτῶν ὁ βάρβαρος, ἤδη καὶ τοῦ καιροῦ καλοῦντος αὐτόν, τῆς πρὸς τὰ οἰκεῖα ἐπανόδου ἐμνήσθη καὶ μετὰ λείας συχνῆς πρὸς τὴν ἰδίαν χώραν ὑπέστρεφεν, ἀφώρισε δύο τῶν στρατηγῶν ὁ τῶν σχολῶν ἐξηγούμενος, τόν τε τοῦ Χαρσιανοῦ καὶ τῶν Ἀρμενίων, μετὰ τῆς περὶ αὐτοὺς δυνάμεως ἕκαστον, ὥστε συμπαρομαρτεῖν καὶ ἐφέπεσθαι τῷ Χρυσόχειρι ἄχρι τοῦ Βαθυρρύακος, κἀκεῖθεν εἰ μὲν ἐπαφήσει κατὰ τῶν Ῥωμαϊκῶν ὁρίων C στρατόν, δῆλον τοῦτο τῷ δομεστίκῳ ποιήσασθαι, εἰ δὲ πρὸς τὸν οἰκεῖον φωλεὸν ἀμεταστρεπτὶ βαδίζων εἰσδύνειεν, ἐάσαντας τοῦτον αὖθις ἐπανελθεῖν πρὸς αὐτόν. (42) ἤδη οὖν τοῦ βαρβαρικοῦ στρατεύματος γεγονότος ἐν ἑσπέρας καιρῷ κατὰ τὸν καλούμενον Βαθυρρύακα καὶ αὐλισμένου κάτω πρὸς τὴν τοῦ ὄρους ὑπώρειαν, τῶν δὲ Ῥωμαϊκῶν στρατηγῶν καταλαβόντων τὰ τούτου μετεωρότερα καὶ τὸ μέλλον ἀποσκοπούντων, ἐμπίπτει τις ἔρις περὶ τῶν πρωτείων καὶ ἅμιλλα τοῖς τῶν δύο θεμάτων στρατιώταις καὶ

4 ὃς ἐξελθὼν om P   12 ἀφηγούμενος A   22 τῶν om A

quem dicebam Chrysochir Romanam dicionem invasisset eamque devastaret, misit ex more imperator in eum scholarum domesticum; assumptoque omni Romano exercitu, licet palam conserta acie cum illo pugnare non auderet, interim tamen Romanis cohortibus ex certo intervallo insequentibus, obstabat ne hinc inde excurrere ac palando per loca dispergi auderet. cum igitur barbarus, partim rebus ex voto cedentibus partim frustrato conatu, iam etiam tempore vocante, ad sua redire statuisset gravique onustus praeda domum rediret, scholis praefectus duobus ducibus, quorum unus Charsianis alter Armeniacis praeerat, praecipit ut cum iis quas ducebant cohortibus Chrysochirem pone sequantur usque ad Bathyrrhyacem; indeque, si quidem adversus Romanorum fines copias immitteret, id domestico significarent: sin recto itinere in suam se latebram reciperet, illo dimisso ad ipsum rursus redirent. (42) iam itaque ad eum qui dictus est Bathyrrhyaci locum, advesperascente die barbarorum devectus exercitus ad pedes montis consedit. Romanorum duces illius superiora occupant, ac quid eventurum sit dispiciunt. interim inter duorum thematum milites, et ordinum turmarumque ductores ac manipularios, contentio quaedam et pugna de virtutis praestantia in-

ταξιάρχαις καὶ λοχαγωγοῖς, τῶν μὲν τοῦ Χαρσιανοῦ ἑαυτοῖς ἐπιγραφόντων τὸ πρεσβεῖον τῆς κατ᾿ ἀλκὴν ἀρετῆς, ἔμπαλιν δὲ τῶν Ἀρμενιακῶν μὴ μεθιεμένων τῆς ἐν τοῖς πολέμοις ἀνδρίας τὸ πρω- D τεῖον ἐκείνους λαβεῖν. ὡς οὖν ἐπὶ πλέον τὰ τῆς φιλονεικίας αὐτοῖς ἐχώρει καὶ τὰ φρονήματα διηρέθιστο, λεχθῆναί φασι παρὰ τῶν πρωτευόντων τοῦ τῶν Ἀρμενιακῶν συστήματος ὡς ἵνα τί μάτην ἐν λόγοις ἕκαστοι θρασυνόμεθα καὶ αὐχοῦμεν διακενῆς, ἐξὸν τοῖς ἔργοις τὴν ἀμφισβήτητον ἀρετὴν ἐπιδείξασθαι; τῶν γὰρ πολεμίων οὐ μακρὰν ἀπεχόντων, ἔξεστιν ἐπὶ τῶν ἔργων φανῆναι τοὺς ἀριστεῖς καὶ ἐκ τῆς κατὰ χεῖρα γενναιότητος κριθῆναι τοὺς ὑπερέχοντας. τοὺς τοιούτους τοίνυν λόγους διακηκοότες οἱ στρατηγοί, καὶ τὴν πρὸς ἀνδρίαν ὁρμὴν καὶ προθυμίαν κατανοήσαντες τοῦ λαοῦ, P 170 συννοήσαντες δὲ καὶ τὴν ἀπὸ τοῦ τόπου βοήθειαν, ὅτι ἐξ ὑπερδεξίων τοῖς ἐν ἐπιπέδῳ κατηυλισμένοις μέλλουσιν ἐπιτίθεσθαι, διχῇ διαιροῦσι τὴν δύναμιν· καὶ τὸ μὲν ἔκκριτον αὐτῆς ἄχρις ἕκτης ἑκατοντάδος μετὰ τῶν γε τῶν στρατηγῶν προσβαλεῖν ἐκρίθη τῷ τῶν βαρβάρων στρατῷ, τὸ δὲ λοιπὸν τῆς εὐαριθμήτου Ῥωμαϊκῆς στρατιᾶς ἐς δόκησιν πλήθους αὐτοῦ που πρὸς τὰ μετέωρα συσκευάσαντες, καὶ σύνθημα δόντες καιροῦ, ἵν᾿ ὅταν οὗτοι προσβάλωσι τοῖς ἐχθροῖς, κἀκεῖνοι σὺν ἀλαλαγμῷ μεγίστῳ καὶ σάλπιγξι, συνεπηχούντων καὶ τῶν ὀρέων αὐτῶν, ἐκπληκτικὴν βοὴν ἀναρρή- B ξωσιν, αὐτοὶ τὰς πανοπλίας ἐνδύονται, καὶ ἀφανῶς διὰ νυκτὸς τῇ

6 τῶν om P 15 ταύτης A 16 Allatius Γετῶν manuducentibus Getis. προσβαλεῖν om A

cidit. Charsianitae virtutis, quae in fortitudine est, primatum sibi vindicabant: contra Armeniaci nihil se illa virtute iis impares omnino obnitebantur. augescente itaque rixa, et cum partium irritaretur ferocitas, ab Armeniacorum coetus primoribus in haec verba peroratum ferunt. "quid frustra verbis singuli ferocimus atque iactamus, cum in promptu sit virtutis specimen dare, qua de ambigimus? cum enim hostes haud longe absint, possunt qui viri praestantes existant, facinoribus editis inclarescere, ac qui forti robore praecellat, iudicio primas obtinere." his ergo ductores sermonibus auditis, militumque ad impressionem faciendam fortem animum atque alacrem considerantes, nec non ipsius loci opportunitatem haud leve sibi ad victoriam momentum afferre sentientes, quod e sublimi loco impetum in hostes erant facturi, qui in valle castra habebant, duas in partes copias dividunt. selectiorem manum ad sexcentos cum ipsis ductoribus in hostem irruere decernunt: reliqui numero non multi in sublimi starent, confertae multitudinis speciem praeferentes, data temporis tessera, ut cum illi hostem adorirentur, illico hi maximo cum plausu et tubis canentibus terribilem rugitum una quoque reboantibus montibus ederent. sic arma induunt, ac occulte per noctem ad ho-

στρατοπεδείᾳ τῶν δυσμενῶν πλησιάζουσι. πρὸ τῆς ἕω δέ, οὔπω τοῦ ἡλίου τὸ ὑπὸ γῆν τελείως παραλλάξαντος ἡμισφαίριον, βοῇ στιβαρᾷ παιανίσαντες καὶ τὸ "σταυρὸς νενίκηκε" συμβοήσαντες ἐπιτίθενται τοῖς ἐχθροῖς, συνεπαλαλαξάντων ἀπὸ τοῦ ὄρους καὶ τῶν λοιπῶν. εὐθὺς οὖν τῷ ἀνελπίστῳ καταπλαγέντες οἱ βάρβαροι, καὶ μήτε συστῆναι μήτε τὸ ἐπιὸν πλῆθος ὅσον ἐστὶ λαβόντες καιρὸν κατιδεῖν, μήτ' ἄλλο τι σωτήριον ἑαυτοῖς ἐκ τοῦ παραχρῆμα ἰσχύσαντες συνιδεῖν, ὥρμησαν πρὸς φυγήν, τῆς τοῦ βασιλέως τού- C τους πάντως ἐπιμόνου ἐκδειματούσης εὐχῆς καὶ συνελαυνούσης πρὸς ὄλεθρον. τῶν οὖν διωκόντων ῥωμαίων καὶ τοὺς μὴ συνόντας συνεχῶς ἐπιβοωμένων στρατηγοὺς καὶ τὰ τάγματα καὶ τὸν τῶν σχολῶν ἀφηγούμενον, καθάπερ αὐτοῖς συντέτακτο, καὶ τῶν φευγόντων εἰς πλείονα φόβον συνελαυνομένων καὶ ταραχήν, συνέβη μέχρι μιλίων τριάκοντα γενέσθαι τὴν δίωξιν καὶ τὸν μεταξὺ χῶρον ἀπείροις καταστρωθῆναι νεκροῖς. (43) ὅτε καὶ τὸν ἀναιδῆ καὶ θρασὺν ἐκεῖνον Χρυσόχειρα λέγεται, σὺν ὀλίγοις φεύγοντα τῶν περὶ αὐτόν, ἐπικαταδιώκειν Ῥωμαίων τινά, τὸ Πουλάδην παρωνύμιον φέροντα, ὃν συνέβη ποτὲ κατὰ Τεφρικὴν γεγονότα αἰχμάλωτον διὰ τὸ ἀστεϊσμοῦ μετέχειν καὶ χάριτος συνήθη καὶ γνώριμον D χρηματίσαι Χρυσόχειρι. ὃν ἰδὼν ὁ βάρβαρος τότε μετ' ἐνθουσιασμοῦ καὶ προθυμίας διώκοντα, ἐπιστραφεὶς "τί σοί" φησι "κακόν, ὦ ἄθλιε, διεπραξάμην, Πουλάδη, ὅτι με οὕτω καταδιώ-

3 καὶ τὸ — συμβοήσαντες om A   17 Ῥωμαῖον A

stium castra accedunt. summo autem mane, cum necdum sol emenso penitus subiecto nobis hemisphaerio emersisset, magna voce paeana cantantes, et "vicit crux" conclamantes, aggrediuntur hostem, simul reliquis de monte militarem conclamationem edentibus. at barbari subito re insperata perterriti, neque inter se coire nec contemplandae irruentium hostium multitudinis tempus habere, neque omnino quicquam salutare consulere posse, sed fugae se dare, imperatoris prorsus assidua ad deum precatione eos perterrente atque in interitum propellente. Romanis itaque insequentibus, absentesque duces atque ordines scholisque praefectum continue compellantibus, sicut fuerat praeceptum, aucto fugientium pavore ac tumultu ad trigesimum miliare persequuntur, interiectumque spatium cadaveribus consternunt. (43) inter haec etiam impudentem audacemque illum Chrysochirem, cum paucis suorum fugientem, Romanorum quendam, cognomento Puladem, persecutum ferunt, qui Tephricae quondam captivus, quod festivus esset ac lepidus, Chrysochiri innotuerat et ab eo in familiaritatem fuerat admissus. hunc ut vidit barbarus furiose alacrique animo insequentem, conversus ad eum "quid tibi" inquit "mali feci, miser Pulade, quod sic insane pertempturus me persequeris?" cui ille brevibus "quod nimirum munerum in me collatorum vicem me tibi hodie redditurum deo bene propitio, confido, pa-

κεις μανιωδῶς, ἐπιθυμῶν ἀνελεῖν με;" ὁ δὲ συντόμως ἀντέφησεν ὅτι τῶν εὐεργεσιῶν σου, πάτρων, τὴν ἀμοιβὴν ἀποδοῦναί σοι κατὰ τὴν παροῦσαν ἡμέραν πεποιθώς εἰμι ἐν θεῷ, καὶ διὰ τοῦτο καταδιώκω ὀπίσω σου. ὡς οὖν ὁ μὲν προῄει οἷα βεβλαμμένος τὰς φρένας ὑπὸ θεοῦ, ἀπεγνωσμένος τε καὶ δειλός, ὁ δὲ ἐφείπετο μετ' εὐτολμίας καὶ θάρσους νεανικοῦ, ἐντυγχάνει τάφρῳ βαθείᾳ ὁ διωκόμενος, ἣν ὑπερπηδῆσαι ὁ ἵππος ἐπεδειλία τε καὶ διώκλαζεν. καὶ P 171
ἕως περὶ ταύτην ὁ Χρυσόχειρ εἶχε τὸν νοῦν, βάλλει τοῦτον ὁ Πουλάδης κοντῷ κατὰ τῆς πλευρᾶς, καὶ εὐθέως περιδινηθεὶς τῷ ἀλγήματι κατερρύη τοῦ ἵππου. καὶ τῶν σὺν αὐτῷ τις, ᾧ Διακονίτζης ἦν τὸ ἐπώνυμον, ἀπὸ τοῦ οἰκείου ἵππου ῥίψας ἑαυτὸν ἐπιμελείας ἠξίου τὸν πεσόντα δεσπότην, καὶ τοῖς οἰκείοις γόνασι τὴν ἐκείνου κεφαλὴν ἐπιθεὶς τὸ συμβὰν ἀπωδύρετο. ἐν τοσούτῳ δὲ προσγίνονται τῷ Πουλάδῃ καὶ ἕτεροι, καὶ καθαλλόμενοι τῶν ἵππων τὴν τοῦ Χρυσόχειρος ἀποτέμνουσι κεφαλὴν λειποψυχοῦντος ἤδη καὶ ἐκλιμπάνοντος, συγκαταλέγουσι δὲ καὶ τὸν Διακονίτζην ἐκεῖνον τῷ τῶν λοιπῶν δεσμίων ἀριθμῷ. οὕτω δὲ παραδόξως B
καταπολεμηθέντων τῶν δυσμενῶν καὶ τοῦ Χριστιανικοῦ ὑψωθέντος καυχήματος, συντόμως μετὰ τῶν τῆς χαρᾶς ἀγγέλων προσαποστέλλεται βασιλεῖ ἡ τοῦ Χρυσόχειρος κεφαλή. ἐτύγχανε δὲ τηνικαῦτα διάγων κατὰ τὸ Πετρίον λεγόμενον, ἔνθα τὸ σεμνεῖον τῆς τῶν οἰκείων θυγατέρων διατριβῆς ἐχρημάτιζεν. καὶ τῆς κεφαλῆς προσενεχθείσης τῶν οἰκείων ἀναμνησθεὶς προσευχῶν, καὶ πρὸς

1 ἀπέφησεν P   7 ὑπεδειλία?   15 τὴν om P   16 ἤδη om P
23 προσενεχθείσης om A

trone; ideoque retro te insequor." praeibat itaque ille quasi mente captus ac attonitus, desperata salute, ac nimium pavidus: Pulades intrepide audacique animo insequebatur, donec ad altam foveam deventum est. substitit equus, prae voragine transilire trepidans titubansque. dumque circa eam Chrysochir animum intendit, huic Pulades conto latera transfigit; statimque doloris vi circumactus equo decidit. tum e comitatu unus, cui Diaconitzae nomen, se equo proripiens dominum collapsum procurabat, eiusque capite genibus suis apposito casum deplorabat. interim alii Puladae succrescunt, equisque exsilientes Chrysochiris fere exanimati caput a cervice revellunt. Diaconitzem vero ipsum quoque vinctis aliis adiungunt. sic pene inaudito eventu praeterque spem omnem debellatis hostibus ac Christianorum exaltata gloria, cito cum gaudii nuntiis Chrysochiris quoque caput imperatori mittitur. versabatur ille per id tempus apud Petrium, ubi monasterium erat, in quo eius filiae pietatis palaestra exercebantur. allato capite votorum suorum precumque memor, intentoque in eum cum lacrimis mentis oculo qui facit

τὸν ποιοῦντα τὸ θέλημα τῶν ἐπικαλουμένων αὐτὸν μετὰ δακρύων τὸν τῆς διανοίας ἐκτείνας ὀφθαλμόν, τόξον ἐνεχθῆναι καὶ βέλη C προσέταξε, καὶ θᾶττον τὴν νευρὰν ἐντείνας τρία κατὰ τῆς παλαμναίας κεφαλῆς ὀπισθοφανῶς ἀφῆκε βέλη, καὶ εἰς οὐδὲ ἓν ὅλως διήμαρτεν, ἐναγιασμόν τινα τοῦτον ἄξιον τοῦ δυσσεβοῦς προσαγαγεῖν αὐτῷ οἰηθεὶς ἀντὶ τῶν πολλῶν μυριάδων, ἃς ἐν πολλοῖς τῆς ἐπικρατείας αὐτοῦ κατηνάλωσεν ἔτεσι. καὶ τὰ μὲν κατὰ τὸν Χρυσόχειρα καὶ τὴν ἀνθοῦσαν τότε δύναμιν τῆς Τεφρικῆς τοιοῦτον τὸ τέλος ἐδέξατο συνεργείᾳ θεοῦ, ταῖς πολλαῖς ἱκεσίαις καμφθέντος Βασιλείου τοῦ εὐσεβῶς βασιλεύοντος.

44. Ἄρτι δὲ τοῦ ἀοιδίμου πατριάρχου Ἰγνατίου ὁσίως καὶ θεαρέστως τὸν βίον ἀνύσαντος, καὶ ὑπὸ πλουσίᾳ τῇ πολιᾷ καὶ τῇ κύκλῳ δορυφορίᾳ τῶν ἀρετῶν καὶ τῷ παρὰ πάντων μακαρισμῷ τὴν παροῦσαν ἀλλαξαμένου ζωὴν καὶ διαβάντος πρὸς τὴν ἀμείD νονα, ἀπέδωκεν αὖθις τὴν ἐκκλησίαν καλῶς τῷ μὴ καλῶς ἀντιποιεῖσθαι τὸ πρότερον δόξαντι, καὶ κατέστησεν ἐννόμως τότε καὶ κανονικῶς τὸν σοφώτατον Φώτιον ἐπὶ τὴν σχολάζουσαν καθέδραν τῆς βασιλίδος τῶν πόλεων. οὐ μὴν οὐδὲ πρὸ τούτου διέλειπε φιλοφρονούμενος αὐτὸν καὶ τιμῶν διὰ τὴν ἐν αὐτῷ παντοδαπῆ σοφίαν τε καὶ ἀρετήν, ἀλλὰ κἂν εἰ τῆς καθέδρας μετέστησεν, οὐδὲν τοῦ δικαίου θέλων ἄγειν ἐπίπροσθεν, ὅμως τῶν εἰς παραμυθίαν οὐδὲν ἐνέλειπε παρεχόμενος. ὅθεν κἂν τοῖς βασιλείοις διατριβὴν αὐτῷ

3 ἐκτείνας P 12 πολιᾷ] σκιᾷ A 14 προσοῦσαν A
20 κἂν] μὴν A

voluntatem invocantium eum, afferri ad se arcum ac sagittas praecepit, ociusque nervum tendens tres a tergo in sceleratum caput sagittas misit, ac ne in una quidem erravit, hanc quandam impietatis scelerumque dignam expiationem se illi adhibere ratus pro tantis hominum milibus, quos per multos sui principatus annos perdiderat. atque hunc finem habuerunt res Chrysochiris, sicque evanuit florentis tunc Tephricae potentia, opitulante numine inque rem pie imperantis Basilii assiduis precibus facto propitio.

44. Iam vero viro inclito patriarcha Ignatio sancte deoque placitis moribus vita perfuncto, opulentaque canitie ac virtutum obvallante choro cunctisque laudantibus virumque praedicantibus vivis exempto et ad meliorem vitam translato, ei rursus ecclesiam rite reddidit, qui non rite sibi ante eam vindicare visus erat; legitimeque ac canonice sapientissimum Photium in regiae urbis vacante sede constituit, quanquam ne prius quidem omni eum humanitate accipere honoremque habere cessabat, qua ille omnis generis sapientia atque virtute praeditus erat. verum quanquam sede deturbarat, quod sane nihil sibi iustitiae cultu potius esse volebat, nihil tamen quod solandae viri fortunae esset omittebat. unde

δοὺς τῶν οἰκείων παίδων ἀπέδειξε παιδευτὴν καὶ διδάσκαλον. οὕ-
τως οὐδένα, καθ' ὅσον οἷός τε ἦν, περιεώρα λυπούμενον, ἀλλὰ P 172
πᾶσιν εὐμενῶς τε καὶ προσηνῶς προσεφέρετο καὶ τὸν δυνατὸν τρό-
πον οὐκ ἠμέλει παραμυθούμενος.

45. Ἀλλὰ καίπερ οὕτω πατρικῶς τε καὶ κηδεμονικῶς πρὸς
τοὺς ὑπὸ χεῖρα διατιθέμενος, εἶχεν ὅμως τοὺς μισοῦντας, μᾶλλον
δὲ φθονοῦντας καὶ ἐπιβουλεύοντας αὐτοῦ τῇ ζωῇ. ὁ γὰρ οὕτω
λεγόμενος Κουρκούας ὑπὸ πλούτου καὶ τρυφῆς ἐξυβρίσας, ὡς
ἔοικε, τυραννίδος ἐρᾷ, καὶ ὁμοφρόνων πληθὺν συνωμότας λαβὼν
καιρὸν ἐζήτει τῆς ἐπιθέσεως. ὡς δὲ πρὸ τούτου τὰ τῆς συσκευῆς
ἐξ ἑνὸς τῶν συνωμοτῶν ἐμηνύθη τῷ βασιλεῖ, παραδίδονται τοῖς B
νόμοις οἱ πονηροί. ἀλλὰ πάλιν ἡ τοῦ γενναίου βασιλέως φιλαν-
θρωπία τὴν τῶν νόμων αὐστηρίαν παρέθραυεν καὶ τὰς ποινὰς ἐμε-
τρίαζε· διὸ τοῦ προεξάρχοντος ἐκκοπέντος τοὺς ὀφθαλμούς, οἱ
λοιποὶ διὰ τῶν εἰς τὸ σῶμα πληγῶν καὶ τῆς ἀφαιρέσεως τῶν τρι-
χῶν φιλανθρώπως ἐσωφρονίζοντο. καὶ οὗτοι μὲν οὕτως πατρικῶς
μᾶλλον ἢ δεσποτικῶς πρὸς τὸ καθεστηκὸς ἐπανήγοντο.

46. Αὐτὸν δὲ οὐκ εἴα καθεύδειν ἡ ὑπὲρ τῶν ὅλων φρον-
τὶς καὶ τὰ ἔτι περιλιπῆ τρόπαια. ἀλλὰ πρῶτον μὲν τὸ πλεῖστα
τὴν Ῥωμαϊκὴν ἐπικράτειαν ὠφελοῦν ὀχυρώτατον κάστρον, τὸ Λοῦ- C
λον λεγόμενον, τῇ φθασάσῃ περιττῇ ῥᾳθυμίᾳ καὶ τῇ τῶν λυσιτε-

15 τὸ om P

etiam assignato ei in regia habitaculo liberorum suorum institutorem ac disciplinis praefecerat. ita neminem, quoad licebat, maestis illius rebus negligebat, sed cunctis benigne placideque utebatur; ac quibus modis poterat, omni studio levamen adhibebat.

45. Quanquam vero sic patris humanitate erga subditos afficiebatur eorumque sedulo curam gerebat, non defuerunt tamen qui eum odio haberent, seu potius qui inviderent ac vitae insidiarentur. nam Curcuas, quem vocant, opibus deliciisque lasciviens tyrannidem, ut par est, affectabat, adiunctaque coniuratorum pari animorum consensu turba aggrediendae rei commodum tempus exspectabat. uno tamen ex coniuratis ante aggressionem instructas illi detegente insidias, traduntur legibus scelerati. iterum tamen generosi imperatoris clementia legum severitatem tantisper mitigavit ac poenas moderata est. excussis itaque oculis ei qui auctor coniurationis exstiterat, reliqui inflictis verberibus ademptisque capillis humanius castigati sunt. ac illi quidem in eum modum paterna magis indulgentia quam herili severitate ad officium sanioremque mentem sunt reducti.

46. Enimvero communes rei publicae curae, et quae superioribus tropaea restabant adiicienda, somnos ei divellebant. verum primum castrum Lulum Romanae rei utilissimum, ipsum munitissimum, superiorum temporum proiecta vecordia eorumque neglectu quae e re communi

λῶν ὀλιγωρίᾳ αὔτανδρον παρὰ τῶν Ἀγαρηνῶν ληφθὲν καὶ διὰ τὴν ἀπὸ τοῦ τόπου ἀσφάλειαν ὀχυρωθὲν καὶ κρατούμενον, τῇ οἰκείᾳ συνέσει καὶ ἐπιμελείᾳ ὁ βασιλεὺς καὶ τῷ ἀφθόνῳ τῶν δωρεῶν, πειθῷ καὶ βίαν προσαγαγών, τῆς βαρβαρικῆς ἐπικρατείας μετέστησε καὶ πρὸς τὴν προτέραν ἐξουσίαν τῶν Ῥωμαίων μετήγαγεν· ἀφ' οὗ καὶ τὸ Μελοῦος κάστρον πρὸς αὐτὸν ἑκουσίως μετέθετο καὶ δεσπότην ἑαυτοῦ τὸν αὐτοκράτορα ἀνηγόρευσεν. τὴν δὲ τῶν
D *Μανιχαίων πόλιν τὴν Καταβάταλα καλουμένην κατὰ τὸν καιρὸν ἐκεῖνον διὰ τῶν οἰκείων στρατηγῶν ἐξεπόρθησεν. ἀλλ' οὐ τοσοῦτον αὐτὸν ἡ δι' ἑτέρων πρόθεσις εὔφραινεν, ὅσον ἠνία τὸ μὴ τοῖς αὐτοῖ πόνοις καὶ κινδύνοις τὰ τρόπαια ἵστασθαι. διὰ τοῦτο αὖθις καὶ Κωνσταντῖνον τὸν πρῶτον τῶν υἱῶν προσλαβόμενος, ὡς ἂν αὐτὸν οἷα γενναῖον σκύλακα πολεμίων γεύσῃ φόνου καὶ αὐτὸς αὐτῷ διδάσκαλος τῶν τακτικῶν καὶ τοῦ πρὸς τοὺς κινδύνους εὐθαρσοῦς παραστήματος γένηται, σὺν αὐτῷ κατὰ Συρίας ἐξώρμησε, καὶ τὴν πρὸς τῷ Ἀργέᾳ Καισάρειαν τὴν πρώτην τῶν Καππαδόκων*
P 173 *πόλιν καταλαβών, καὶ τακτικῶς τὸν ὑπ' αὐτὸν ἐξοπλίσας λαὸν λογάδων, ἐκ τούτων μοῖραν ἀπέτεμε καὶ ὡς προδιερευνητὰς καὶ προδιόπτας ἔμπροσθεν ἐξαπέστειλε, καὶ κατόπιν αὐτὸς μετὰ τῆς βαρείας δυνάμεως εἵπετο, ἵνα ἐνεργοῦ μαχαίρας ἡγῆται τὸ ἀκμαιότατον, τὸ δὲ ἔτι στιβαρώτερον ἀπελαύνηται. οἳ τὰς ἐρήμους ὀξέως διαδραμόντες τὰ φρούρια, τό τε Ψιλοκάστελλον καὶ τὸ Παραμοκάστελλον, ἐξεπόρθησαν, καὶ τοὺς ἐν αὐτοῖς καταληφθέν-*

1 ἄντανδρον A 4 προσάγων P 5 κατήγαγεν P 8 τὴν om P 10 πόρθησις margo Combef. ὅσον om A ἠνιᾶτο μὴ AP 12 καὶ] τὸν P 15 ὥρμησε P 16 Ἀργέτᾳ A

forent cum omni oppidanorum turba ab Agarenis captum, obque loci securitatem iis munitum ac praesidio servatum, prudentia sua ac cura imperator, munerumque copia, qua vi qua suasione, barbarorum dicioni excussit Romanoque imperio iterum subiecit. ex quo et castrum Meluus se illi sponte dedidit, dominumque imperatorem agnovit. Manichaeorum urbem Catabatalam dictam eo tempore per duces suos excidit. non sic tamen delectabat quod per alios excisa esset atque direpta, ac moleste habebat quod non suis ipse laboribus tropaea erigebat. rursus itaque, assumpto Constantino filiorum natu maximo, ut tanquam generoso catulo hostium ei caedis gustum faceret, artisque militaris nec non fortis audacisque animi inter pericula ipse illi praeceptor foret, illo comite adversus Syriam profectus est; veniensque Caesaream, quae ad Argeum montem est, primam Cappadocum urbem, exque militari ratione suos exercens, avulsam ex eis selectorum partem velut rimatum ac speculatum regionem praemisit: ipse cum gravi militia pone ibat, ut pugnacis ensis vivida magis virtus praeiret, solidior sequeretur. desertis illi brevi superatis, arces Psilocastellum et Paramocastellum diripuerunt, inque illis

τας ἠνδραποδίσαντο. καταπλαγέντες δὲ τῷ δέει τῆς ἐπιούσης δυνάμεως οἱ τὸ τοῦ Φαλακροῦ λεγόμενον κάστρον οἰκοῦντες ἑκουσίως τῷ βασιλεῖ προσεχώρησαν. ὁ δὲ τοῦ Ἄμβρου υἱὸς Ἀπάβδελε Ἀναζάρβης ἀμέρας, ἕως μὲν μακρὰν ἀπεῖχεν ὁ βασιλεύς, B βαρβαρικῶς ἐθρασύνετο, τότε δὲ μετὰ τοῦ τῶν Μελιτηνῶν στίφους φυγῇ τὴν σωτηρίαν ἐπορίζετο, μόνην ἀσφάλειαν ἡγούμενος ἱκανὴν τὸ λαθεῖν ὅποι γῆς καταδέδυκεν. τῇ δὲ τῆς τοιαύτης ἐφόδου φθορᾷ καὶ τῆς Καϊσοῦ ἤτοι τῆς Κατασάμας καὶ τῆς Ῥοβὰμ ἤτοι τῆς Ἐνδελεχόνης ἡ πόρθησις γέγονεν, ἅμα δὲ καὶ ἡ τῆς Ἀνδάλου καὶ ἡ τῆς οὕτω λεγομένης Ἐρημοσυκαίας, ὅτε καὶ Σήμας ἐκεῖνος ὁ τοῦ Ταήλ, τὰς δυσχωρίας κατέχων τοῦ Ταύρου καὶ ἐξ ἐφόδου τὰς τῶν Ῥωμαίων λυμαινόμενος ἐσχατιάς, πρὸς τὸν βασιλέα κατέφυγεν.

47. Εἰ δὲ συντόμως καὶ ψιλῶς τὰ οὕτω μεγάλα οἱονεὶ κατ' C ἐπιδρομὴν ἀπαγγέλλομεν, μηδεὶς θαυμαζέτω, ἀλλὰ μηδὲ ἐγκαλείτω. ἅμα γὰρ τὴν ταχύτητα τῶν πράξεων ἐκείνων μιμεῖσθαι ἡ διήγησις ἔοικεν, καὶ διὰ τοῦτο οὕτως ἐστὶν ἁπλῆ τε καὶ ἐπιτρέχουσα· θᾶττον γὰρ ᾑρέθη τότε ἐκεῖνα καὶ τῶν πράξεων ἔλαβε τὴν συντέλειαν ἢ νῦν ἀπήγγελται. ἄλλως τε καὶ ἐπεὶ ὁ χρόνος ἤδη ῥεύσας διὰ μέσου πολὺς τὰ καθ' ἕκαστα τῶν ἔργων διὰ τῆς μεταξὺ σιγῆς οἷον ἠμαύρωσε, καὶ οὔτε παρατάξεων τρόπους οὔτε προσβολῶν ἐφόδους οὔτε φαλάγγων ἐκτάσεις καὶ συστολὰς οὔτε στρατηγημάτων ἐπικαίρους χρήσεις εἰδέναι καὶ ἀπαγγέλλειν ἔχο- D

4 Ἀναζάρβης ἀμέρας om A   5 μετὰ Μελετινῶν A   6 μόνον A   9 Ἀρδάλου A   10 ἐρήμου Συκαίας A   11 ὁ Τουταὴλ A, omissis τὰς δυσχωρίας - λυμαινόμενος ἐσχατιάς   23 ἐπαγγέλλειν A

repertos captivos duxerunt. adventantium copiarum metu exterriti Phalacri castri incolae sponte imperatori deditionem fecerunt. Ambri filius Apabdeles Anazarbi ameras, procul agente imperatore barbarico more ferociens, tunc eiusque praesentia Melitenensium se turmae commiscens fuga salutem expedivit, unum hoc sibi ad securitatem idoneum ratus, si lateret, quo cunque tandem terrae sinu atque latebra se abdidisset. huius irruptionis clade et Caisus sive Catasama, et Robana sive Endelechone diripiuntur: itemque Ardala et quam vocant Eremosycaea. tunc et Semas ille Taelis filius, qui Tauri montis angustiis insidens grassando Romanorum fines depopulabatur, ad imperatorem confugit.

47. Quodsi brevius simpliciusque ac quasi cursim sic magna annotamus, nemo miretur nec eo nomine criminetur: simul enim istiusmodi operum facinorumque celeritatem aemulari videtur; qua sic leviter simpliciusque transcurrit. citius enim tunc illa capta praesidia designataque facinora quam nunc a me narrata sunt. praeterea cum longi iam temporis mora res singulas gestaque facinora silentio velut obscurarit, ac nec pugnarum modos nec ex impetu aggressiones neque exporrectas contractasque phalanges nec stratagematum pro tempore usus vel scire possi-

μεν, οὐκ ἔστι περὶ τὰ κατὰ μέρος ἐγχρονίζειν καὶ οἷον ἐμφιλοχωρεῖν, ἐξ ὧν πλατύνεται τὸ διήγημα. τὰ δὲ ἀμάρτυρον ἔχοντα τὴν πίστιν, εἰ καὶ λέγεται πολλάκις, ἀλλ' ἡμεῖς ἀβασανίστως προσδέχεσθαι οὐ βουλόμεθα διὰ τὸ μὴ δόξαι πεπλασμένην μὴ γεγονότων πραγμάτων διήγησιν ἀνατιθέναι τῷ βασιλεῖ, μάλιστα ὅτι οὐδὲ ἐκεῖνος ἔτι ζῶν τὰ πρὸς χάριν θωπευτικῶς ὑποτρέχοντα ῥήματα ἐφαίνετο προσιέμενος. οἱ δὲ μηδὲ τὰ παρὰ πάντων ὁμο-
P 174 *λογούμενα δυνάμενοι ἢ σχολάζοντες παραδοῦναι γραφῇ σχολῇ γε ἂν περὶ τὰ ἀμφίβολα τὸν λόγον ἀπομηκύνοιμεν. ἀλλ' ἀνακρουέσθω καὶ καθ' ὁδὸν τῆς ἐξ ἀρχῆς διηγήσεως ὁ λόγος ἀνατρεχέτω.*

48. *Μετὰ ταῦτα τοίνυν τὸν Ὀνοπνίκτην λεγόμενον ποταμὸν καὶ τὸν Σαρὸν διαπεράσας ὁ βασιλεὺς μετὰ τοῦ στρατεύματος ἦλθε πρὸς Κουκουσόν, καὶ τὰς ἐκεῖσε λόχμας ἐμπρήσας καὶ τὴν ἄβατον τῇ τῶν δένδρων ἐκτομῇ βατὴν πεποιηκὼς τῶν ἐν ταύταις λόχων ἐκράτησε. πρὸς δὲ τὴν Καλλίπολιν καὶ Παδασίαν φθάσας, εἶτα διὰ δυσβάτων ὁδεύων ὁδῶν, τοῦ ἵππου ἀποβὰς πεζὸς διεξῄει τὰ στενὰ τῆς ὁδοῦ, διὰ τοῦ οἰκείου κόπου τὸ ἀσθενὲς τῶν*
B *ὑπὸ χεῖρα παραμυθούμενος. τηνικαῦτα δὲ τῇ Γερμανικείᾳ προσβαλών, ἐπεὶ τὸ ἀνθιστάμενον ἅπαν ἐκ ποδὸς ἐχώρει καὶ τοῖς τείχεσι συνεκλείετο καὶ οὐδεὶς τῶν πολεμίων ἐτόλμα εἰς χεῖρας ἐλθεῖν, τὰ περὶ αὐτὴν πάντα πυρὶ παραδοὺς καὶ τὰ πρὸ τῆς πόλεως κάλλη*

14 τῇ om P 16 πεζὸς om P 21 βάλλη A, ***vallibus ante urbem misere devastatis*** Allatius.

mus vel enuntiare, non est cur circa singula tempus teramus libenterque in illis immoremur, unde narratio dilatatur. quae autem nullo certo teste tradita sunt, etsi crebro rumore ferantur atque in ore vulgi volitent, nos tamen ut sine examine amplectamur induci non patimur, ne confictam eorum quae ne gesta quidem sunt narrationem imperatori appingere videamur. ac vel maxime, quod nec illi, cum in humanis adhuc ageret, quae alii velut assentandi gratia verba insinuarent, lubens videbatur admittere. nos vero, qui ne ea quidem quae omnium ore testata sunt scriptorum monumentis consignare valemus, aut per otium possumus, vix certe in iis quae dubia sunt sermonem protraxerimus. verum retroagatur oratio, et in viam recurrat quam sibi ab exordio narrationis proposuit.

48. Secundum haec imperator Onopnictem fluvium et Sarum cum exercitu traiecit, venitque Cucusum; ibique succensis lucis et arboribus excisis loca itineribus invia in commoda redegit, atque in eis palantes cohortes dissipavit. inde Callipolim et Padasiam cum venisset, locisque asperis ac confragosis iter haberet, equo descendens pedes ipse viae angusta emetiebatur, labore suo subditorum infirmas vires recreans. tum Germaniciam petens, cum adversarii omnes e vestigio cederent intraque moenia sese continerent, nec qui manum conserere auderet ullus esset, cunctis circa eam igni absumptis ac suburbanis misere desolatis atque

ὡς πεδίον δείξας ἀφανισμοῦ πρὸς Ἄδατα παρεγένετο. τῶν δὲ τῆς τοιαύτης πόλεως μὴ τολμώντων ἐν τοῖς ὑπαίθροις διαγωνίζεσθαι, ἀλλ' ἐντὸς τῶν τειχῶν συνελαθέντων καὶ διεγνωκότων τὴν πολιορκίαν ὑφίστασθαι, αὐτὸς τὰ πρὸ τῆς πόλεως καταληϊσάμενος, καὶ τὸ παρακείμενον πολίχνιον, ὅπερ ἐκάλουν Γέροντα, ἐκπορθήσας καὶ διαρπαγῆναι ἐφείς, καὶ προθυμοτέρους ἀπὸ τῶν ὠφελειῶν πρὸς τὸ πονεῖν τοὺς στρατιώτας πεποιηκώς, αὐτοῖς προσβάλλει C τοῖς τείχεσι, καὶ ταῖς πρὸς πολιορκίαν ἐκέχρητο μηχαναῖς, καὶ ἐπ' ἐλπίδος ἦν οὐ μικρᾶς διὰ τὸ βάρος τῆς περὶ αὐτὸν δυνάμεως κατὰ κράτος τὴν πόλιν ἑλεῖν. ὁρῶν δὲ τοὺς ἔνδον ἀδεῶς τὰ προσπίπτοντα φέρεσθαι, καὶ οὐ ταραττομένους ἐπὶ προδήλῳ σχεδὸν ὀλέθρῳ τῆς πατρίδος αὐτῶν, ἐφ' ὅτῳ πεποιθότες ὀλίγον αὐτοῦ λόγον τῷ δοκεῖν ποιούμενοι φαίνονται ἐπυνθάνετο. καὶ δὴ παρ' ἑνὸς ἀκούσας τῶν ἐγχωρίων ὡς ὑπό τινος τῶν παρ' αὐτοῖς εὐλαβῶν, εἴτε ἀπό τινος θειοτέρας γνώσεως εἴτε ἀπὸ ἐπιστημονικῆς μεθόδου γινώσκοντος, πληροφορίαν δεδεγμένοι τυγχάνουσιν οὐχ ὑπὸ σοῦ τοῦ νῦν πολιορκοῦντος αὐτούς, ἀλλ' ὑφ' ἑτέρου τινὸς τῶν κατὰ γένος σοι προσηκόντων, Κωνσταντίνου καλουμένου, πε- D πρωμένον εἶναι τὴν τοιαύτην ἁλῶναι πόλιν· καὶ διὰ τοῦτο τοῖς προσπίπτουσι μὴ ἐκπλήττεσθαι. τοῦ δὲ τὸν υἱὸν ἐπιδείξαντος καὶ ὡς οὕτω καλεῖται διδάξαντος, καὶ μηδὲ τὸ παρ' αὐτοῖς εἰπόντος διαπίπτειν πάντως πυθόχρηστον ἐν τῷ νῦν τὴν πόλιν ἁλίσκεσθαι, οὐ τοσοῦτον ὁ ἐξηγούμενος ἔλεγε τὸν Κωνσταντῖνον ἐκεῖνον εἶναι

6 ἐφείς] ἀφείς, ἐφ' οἷς P 9 περὶ] πρὸς P 18 κατὰ τὸ γένος P

vastatis Adatam pervenit. oppidani aperto Marte certare non ausi, intraque moenia compressi, obsidionem sustinere statuerunt. imperator suburbana depopulatus, excisoque vicino oppidulo cui nomen Gero, praedam militibus concessit; eiusque emolumento animosioribus redditis, eisque ad laborem addita alacritate, in muros ingruit, machinisque adhibitis spe fovebatur, eaque non levi, quibus fretus robustis copiis erat, urbem vi expugnatum iri. videns autem obsessos metu solutos oppugnationem ferre, iamque aperto fere patriae excidio nihil obturbari, sciscitabatur qua confidentia nullam sui rationem habere viderentur. audiensque ex quodam indigenarum, a viro apud eos religioso pioque, sive ille ex diviniore afflatu sive scientiae alicuius praeceptis instructus tenebat, certo se accepisse non ab illo qui nunc obsideret, sed ab alio quodam ei genere coniuncto, Constantino nomine, in fatis esse ut urbs diriperetur, eamque ob rem illius assultibus animum non despondere. illo filium monstrante, sicque eum vocari dicente, nec prorsus cassum fore vaticinium, tametsi illorum urbs ab eo caperetur, respondit is qui oraculum referebat, non adhuc illum esse Constantinum, qui illorum urbem esset

ὃς αὐτῶν μέλλει τὴν πόλιν ποιεῖσθαι ἀνάστατον, ἄλλον δέ τινα μετὰ χρόνον συχνὸν τῶν ἀπογόνων τῶν σῶν. ἐφ' οἷς ἐκεῖνος οἷον διοργισθείς, καὶ βουληθεὶς ἐξελέγξαι δι' ἔργου λόγον ἄλλως κενὸν τὸ λαλούμενον, συντονώτερον τῆς πολιορκίας ἀνθήψατο καὶ ἐνερ-
P 175 *γέστερον ἐχρήσατο ταῖς παρασκευαῖς. ὡς δὲ πάντα πονοῦντος αὐτοῦ ἑώρα μὴ προβαίνουσαν τὴν σπουδήν, μηδὲ ἐπί τινος ἀσφαλοῦς ἐλπίδος ἑδρασθῆναι ἠδύνατο, ἐνενόει δὲ καὶ τὴν ἐν ὑπαίθρῳ τοῦ πλήθους ἐν τόποις κρυμώδεσι κάκωσιν, τοῦ τοὺς πολεμίους ἑλεῖν κρεῖττον τὸ τοὺς οἰκείους περισώσασθαι λογισάμενος πρὸ χειμῶνος ἀναχωρῆσαι λυσιτελὲς ἐδοκίμασεν. καὶ οὕτω μὲν ταῦτα, ἡμῖν δὲ θαυμάζειν ἐπέρχεται τοῖς μετὰ τοσοῦτον χρόνον τῆς προρρήσεως ἐκείνης ἰδοῦσι τὴν ἔκβασιν, τίς ἡ ἐν τοῖς βαρβάροις ἐκείνοις καὶ οὐδὲ πάντῃ τὰ περὶ τὸν βίον ἢ τὸ σέβας χρηστοῖς ἀκριβὴς*
B *οὕτω γνῶσις καὶ τῆς ἀληθείας κατάληψις. καὶ γὰρ ἐκείνου μὴ δυνηθέντος τότε τὴν πόλιν ἑλεῖν, νῦν ἐπὶ τῶν ἡμετέρων χρόνων Κωνσταντῖνος ὁ τῆς πορφύρας βλαστός, ὁ Λέοντος μὲν τοῦ σοφωτάτου υἱὸς ἐκείνου δὲ υἱωνός, τὸ τοιοῦτον προτέρημα ἀπηνέγκατο καὶ ἐπεγράφη τῷ κατορθώματι τῆς παντελοῦς ἀπωλείας τῶν οἰκούντων τὴν Ἄδατα, ὡς ἦν ἄρα, καθ' Ὅμηρον, ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι, ἵνα τιμωρὸς ὁ παῖς τῶν εἰς τὸ παππῷον κράτος ἀποθρασυνθῆναι τολμησάντων περιφανῶς διασώζηται. ἀλλ' εἰς ἴχνος αὖθις ὁ λόγος παλινδρομείτω καὶ δηλούτω τὰ ἐφεξῆς.*

1 ὃς] ὃς ἐξ A   21 πατρῷον P   23 ἑξῆς P

eversurus, sed alium quempiam illius nepotum, post longam satis annorum seriem. his imperator prope ira concitus, satagensque ipso opere inanem temere sparsum rumorem, quod sic iactabant, evincere, maiori quam antea vi ac conatu oppugnationi instabat. videns vero, quicquid operae conferret, nihil se proficere nec ulla firma satis spe subnixum esse, consideransque non leve exercitus damnum, quod sub dio algente caelo noctes ageret, plurisque ducens suos incolumes servare quam hostes capere ac subigere, ante hiemem recedere operae pretium putavit. sed haec hactenus. nobis vero subit mirari, qui post tantum temporis vaticinii illius eventum conspeximus, quaenam tanta apud barbaros illos sicque exacta cognitio ac veritatis comprehensio, qui nec vitae nec religionis cultu admodum probati sint. cum enim ille tunc urbem capere non potuerit, nunc nostris temporibus Constantinus purpurae surculus, sapientissimi Leonis filius ac illius nepos, singulari sibi munere istud usurpavit; adscriptumque illi est facinus internecionis incolarum Adatae. proinde, ut auctor Homerus est, bonum erat defuncti filium relictum esse; quo nimirum ultor eorum quae in avi maiestatem illi proterve ausi fuerant palam filius servaretur. verum vestigium rursus oratio repetat, et quae sequentia sunt eloquatur.

49. Τότε τοίνυν ὁ βασιλεὺς πολλῆς αἰχμαλωσίας καὶ λαφύρων ἐμπλήσας τὸ στράτευμα, εἶτα τοὺς αἰχμαλώτους διὰ τὸ C δύσβατον καὶ πολὺ τῆς ὁδοῦ τῷ ξίφει κελεύσας ἀποφορτίσασθαι, ἐπανόδου ἐμνήσθη, πολὺ δέος αὐτοῦ τοῖς τῆς Ἄγαρ ἐκγόνοις ἀπολιπών. προσδοκήσας δὲ ὅμως ἐπίθεσίν τινα κατὰ τοὺς στενοὺς τῶν τόπων (ᾔδει γὰρ κακὴν εἶναι φωνὴν στρατηγοῦ τὸ οὐκ ἂν προσεδόκησα) καὶ λόχους ἐν τοῖς ἐπικαίροις ὑφεὶς πολλοὺς τῶν ἄλλους ἑλεῖν οἰομένων ἐζώγρησεν. ἅπερ ὁ Ἀβδελομὲλ ἐκεῖνος ἰδών, ὃς τῶν ἐκεῖσε τόπων ἐκυρίευε, πρέσβεις πέμψας ἀδείας καὶ εἰρήνης ἐδεῖτο τυχεῖν, εὐγνώμονα δοῦλον ἑαυτὸν γενέσθαι καθυπισχνούμενος καὶ τῶν ὑπ᾽ αὐτοῦ κρατουμένων φρουρίων καὶ τόπων ποιούμενος τὴν ὑπόστασιν καὶ ἐγχείρισιν. οὗ τὴν δέησιν ὁ βασιλεὺς δεξάμενος τὰ αἰτούμενα δέδωκε, καὶ σύμμαχον αὐτὸν τὸ ἀπὸ D τοῦδε κατὰ τῶν ὁμοφύλων εἶχεν ἐθελοντήν. ἐκεῖθεν δὲ πάλιν τὸ τοῦ Ἀργέου διελθὼν ὄρος καὶ πρὸς Καισάρειαν γενόμενος ἔκ τε Κολωνείας καὶ Λούλου ἐπινικίων ἀγγελίας ἐδέξατο. ἠκολούθει δὲ καὶ τὰ σύμβολα, λαφύρων καὶ αἰχμαλώτων πλῆθος, ἅπερ ἀπό τε φρουρίων τῆς Ταρσοῦ καὶ ἀπὸ Μανιχαϊκῶν ἐτύγχανε πόλεων. ἔνθα καὶ πλεῖστον ὄχλον τῶν Κούρτων προσενεχθέντα ἀποσφαγῆναι προσέταξεν· εἰς οὐδὲν γὰρ σχεδὸν ἐτύγχανον χρήσιμοι, καὶ προκαταπεπλησμένον ὕπαρχον τὸ στράτευμα οὐκ ἐβούλετο καὶ τούτους ἔχειν δύσχρηστον παρενόχλημα. ἐν Μηδαίῳ δὲ γεγονὼς ὑποστρέ- P 176 φων ὁ βασιλεύς, καὶ τιμὰς διανείμας τοῖς ὑπ᾽ αὐτὸν καὶ ἀναλό-

8 ἄλλων AP   11 φρουρίων] χωρίων P   12 ἐγχείρησιν AP

49. Tunc itaque imperator multis captis ac manubiis referto exercitu, ubi captivorum onus ob viae anfractus difficiles ipsamque eius longitudinem ense levari iusserat, ad reditum adiecit animum, ingentem sui metum Agaris nepotibus relinquens. timens vero ne se inter angusta locorum hostes adorirentur (noverat enim stultam eam imperatoris vocem esse, non putarum) suorum manipulis in subsessis opportune locatis, plures eorum qui se alios capturos arbitrabantur vivos cepit. his rebus Abdelomelis locorum reguli fractus animus; missisque oratoribus veniam ac pacem rogat, probum se servum exque animo deditum fore pollicitus, locaque subiecturum ac traditurum. votis annuens imperator postulata concessit, ac deinceps socium adversus tribules spontaneum habuit. hinc rursus Argeo monte pertransito cum Caesaream venisset, victoriae nuntios ex Colonia et Lullo accepit; signaque praesto erant, manubiorum et captivorum ingens copia ex Tarsi et Manichaeorum oppidis convecta. inter quos ingentem Curtorum oblatam turbam necari praecepit, quippe cum vix quicquam frugis ex illis exspectaretur, nec exercitus opimis iam spoliis onustus secum eos habere vellet ac advehere, inutile impedimentum itineris. Medaeum reductus imperator, sparsis in suos muneribus ac pro cuiusque virtute ac praestantia collatis honoribus,

γως τῆς οἰκείας ἕκαστον ἀρετῆς προβιβάσας καὶ φιλοφρονησάμενος, καὶ πρὸς παραχειμασίαν ἀφεὶς εἴχετο τῆς ὁδοῦ· καὶ τὴν βασιλεύουσαν φθάσας κατὰ τὸ πρότερον ἔθος διὰ τοῦ πατριάρχου τὸν τῆς νίκης ἐδέξατο στέφανον καὶ παρὰ τοῦ δήμου τὰς ἐπινικίους φωνάς.

50. *Ἤδη δὲ τοῖς οἰχομένοις χρόνοις ἀπανθησάσης καὶ παντάπασιν ἀπεσβηκυίας τῆς Τεφρικῆς, ἡ τῶν Ταρσιτῶν ἰσχὺς ἀναθάλλειν καὶ αὔξάνεσθαι ἤρχετο, καὶ πάλιν ὑπὸ τούτων αἱ τῶν Ῥωμαϊκῶν ὁρίων ἐσχατιαὶ συνεχῶς ἐπιέζοντο. τὸ τηνικαῦτα Ἀν-* B *δρέας ἐκεῖνος ὁ ἐκ Σκυθῶν πολλάκις ἠνδρίσατο κατ' αὐτῶν, καὶ τῆς περὶ αὐτὸν ἀναλόγως δυνάμεως πολλοὺς τῶν εἰς προνομὴν ἐκτρεχόντων καὶ τοῦ ὅλου ἀπορρηγνυμένους στρατεύματος ἀνῄρει καὶ αἰχμαλώτους ἐλάμβανε. καὶ ὡς ἱκανὰ τεκμήρια ἀνδρίας τε καὶ συνέσεως καθ' ἑκάστην ἐξέφερεν, εἰς τὸ τῶν πατρικίων προῆλθεν ὑπὸ τοῦ βασιλέως ἀξίωμα καὶ εἰς τὴν τῶν σχολῶν ἀρχήν. καὶ τότε δὴ μᾶλλον ἀπὸ μείζονος ἐξουσίας τε καὶ δυνάμεως πολλάκις ἐμφανέσι μάχαις πρός τε τοὺς ἀπὸ Μελιτηνῆς καὶ τοὺς ἀπὸ Ταρσοῦ παρετάξατο καὶ νενίκηκε. γράψαντος δέ ποτε πρὸς αὐτὸν τοῦ ἀμηρεύοντος τῆς Ταρσοῦ λόγους βλασφημίας καὶ απο-* C *νοίας μεστοὺς κατὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ θεοῦ καὶ τῆς ὑπεραγίας αὐτοῦ μητρός, ὅτι ἴδω τί σοι ὁ τῆς Μαρίας ὠφελήσει υἱὸς καὶ αὐτὴ ἡ τοῦτον γεννήσασα ἐν τῷ μετὰ δυνάμεως ἁδρᾶς ἀπιέναι με κατὰ σοῦ, λαβὼν ἐκεῖνος τὸ λοίδορον γραμμα-*

8 *ἀπὸ* AP 9 *ἐπιέζοντο* om A 15 *ἀπὸ* A *καὶ εἰς — ἀρχήν* om A 17 *ἀπὸ — τοὺς* om A 18 *καὶ νενίκηκε* om A 19 *βλασφήμους* A 23 *ἐπιέναι?*

omnique humanitate omnibus acceptis dimissisque ad hiberna cohortibus, iter prosequebatur. veniensque Byzantium priori more victoriae coronam patriarchae manu faustasque a populo triumphales voces accepit.

50. Iam porro annis superioribus Tephricae depressa potentia ac pene exstincta, Tarsitarum reviviscere ac augescere coeperat, rursusque Romanae dicionis fines iugiter infestabant. adversus illos per haec tempora Andreas ille Scytha haud raro fortiter egerat, proque copiarum suarum ratione multos eorum qui praedatum excurrebant a toto avulsos exercitu interfecerat atque ceperat. cumque adeo egregie in dies fortitudinis ac prudentiae argumenta satis ederet, patricii auctus dignitate ac scholis ab imperatore praefectus est. tuncque maiori potestate ac copiis acie conserta cum Melitenensibus Tarsensibusque et pugnavit et vicit. quandoque vero Tarsi amera, verba mittendo impietatis et amentiae plena adversus dominum nostrum Iesum Christum ac deum sanctissimamque eius parentem, "experiar" aiebat "an tibi commodum allaturus sit Mariae filius, ipsaque illius mater, ubi copiosa validaque manu adversus te profectus fuero." accepit ille conviciantis

τεῖον μετὰ δακρύων πολλῶν τῇ εἰκόνι τῆς θεομήτορος, ἠγκαλισμένον φερούσης καὶ τὸν υἱόν, προσανέθετο, ἐπειπὼν "ἴδε, ὦ μῆτερ τοῦ λόγου τε καὶ θεοῦ, καὶ σὺ ὁ προαιώνιος ἐκ πατρὸς καὶ ὑπὸ χρόνον ἐκ τῆς μητρός, οἷα ὠνείδισε καὶ ἐφρυάξατο κατὰ τοῦ σοῦ περιουσίου λαοῦ ὁ βάρβαρος οὗτος καὶ ἀλαζὼν ὁ νέος Σεναχηρίμ, καὶ γενοῦ βοηθὸς καὶ ὑπερασπιστὴς τῶν δούλων σου, καὶ γνώτω πάντα τὰ ἔθνη τὸ κράτος τῆς δυναστείας σου." ταῦτα D πρὸς θεὸν μετὰ συντριβῆς καρδίας καὶ δακρύων πολλῶν προσευξάμενος καὶ εἰπών, ἄρας τὰς Ῥωμαϊκὰς δυνάμεις ἀπῄει κατὰ Ταρσοῦ. καὶ δὴ κατὰ τὸν τόπον γενόμενος ὃς λέγεται Ποδανδός, ἔνθα καὶ ὁ ὁμώνυμος ῥεῖ ποταμός, τὸ βαρβαρικὸν εὗρεν ἀντιπαρατεττόμενον στράτευμα. προσβαλὼν δὲ μετὰ τῆς εἰς θεὸν πεποιθήσεως ὁ γενναῖος οὗτος μετὰ τῆς περὶ αὐτὸν ἁπάσης δυνάμεως, ἣν τοῖς παρακλητικοῖς τῶν λόγων πρότερον πρὸς τὸν ἀγῶνα ἐπέρρωσε, καὶ πολλὰ καὶ συνέσεως καὶ ἀνδρίας ἔργα ἐπιδειξάμενος, καὶ τῶν ὑπ' αὐτὸν δὲ ὑποστρατήγων ταξιαρχῶν τε καὶ λοχαγῶν καὶ σύμπαντος τοῦ πλήθους ἀνδρικῶς ἀγωνισαμένων, τρέπε- P 177 ται φόνῳ πολλῷ τὸ τῶν βαρβάρων πλῆθος, πρότερον αὐτοῦ πεσόντος τοῦ ἀμηρᾶ καὶ τῆς περὶ αὐτὸν ἀνθούσης πάσης δυνάμεως. ὀλίγοι δέ τινες τῶν ἐπὶ τοῦ χάρακος καὶ τῶν ἐν ἐσχάτοις που τεταγμένων, διαφυγόντες μόλις τὸν κίνδυνον, πρὸς Ταρσὸν ἀποσῴζονται. θάψας οὖν τοὺς οἰκείους, τοὺς δὲ πολεμίους εἰς ἕνα χῶρον συναγαγὼν καὶ μέγαν ἀπὸ τούτων ποιησάμενος κολωνόν,

2 φερούσῃ A προσειπὼν P 10 Ποδανεὺς A

epistolam, multisque lacrimis sanctae dei genitricis filium in sinu ac ulnis gestantis imagini eam apponens ait "vide, verbi deique mater, tuque, qui praeaeternus ex patre exque matre tempori obnoxius es, quantum barbarus iste insolensque ac novus Senachirim conviciatus sit fremueritque adversus populum tuum peculiarem. adiutor esto ac defensor servorum tuorum; sciantque omnes gentes robur potentiae tuae." haec ad deum contrito corde multisque lacrimis comprecatus atque locutus, assumptis Romanis cohortibus adversus Tarsum proficiscitur. atque ubi ad locum venit cui Podando nomen, ubi etiam recurrit fluvius eiusdem nominis, in adversam hostium aciem incidit; fiduciaque in deum posita vir fortis animi, cum omnibus copiis, iisque hortatoriis verbis ad pugnae aleam serio ante animatis, hostium impetum suscipit; multisque prudentiae ac fortitudinis editis facinoribus, nec non legatis centurionibus manipulariis ac reliqua omni militari turba strenue dimicantibus ingenti strage barbarorum exercitus funditur, ipso prius amera caeso, omnique eius florenti exercitu. pauci in castris extremaque acie constituti, vix periculo elapsi, Tarsum recipiuntur. suis itaque sepultis, hostibusque in unum locum aggestis magnoque ex eis instar tituli in

ὡς ἀντὶ στήλης εἴη καὶ τοῖς μετέπειτα, εἰς τὰ οἰκεῖα ὑπέστρεψε μετὰ λείας καὶ λαφύρων καὶ αἰχμαλώτων πολλῶν, σωφρόνως περὶ
B τὴν νίκην διατεθεὶς καὶ μόνου θεοῦ τὸ ἔργον ποιούμενος καὶ ἐκείνῳ ἐπιγράφων τὴν στρατηγίαν καὶ τὸ μέγα τοῦτο ἐκνίκημα. διὸ καὶ δείσας μὴ ἀπληστίᾳ νίκης καὶ τῇ ἐφέσει τοῦ πλείονος καὶ τὰ προϋπηργμένα, οἷα συμβαίνει πολλάκις, τὸ τῆς Νεμέσεως λυμήνηται φθονερόν, ἀπέσχετο τοῦ πρόσω χωρεῖν. δῆλα δὲ τὰ καταπραχθέντα τῷ αὐτοκράτορι ποιησάμενος ἐκωλύθη διὰ τὸν τῶν ὁμοτίμων φθόνον ἄξια τῶν ἔργων τὰ βραβεῖα λαβεῖν, οἳ συνεχῶς διεθρύλουν προκαταλαμβάνοντες τὰς βασιλικὰς ἀκοὰς καὶ τὸν ἄνδρα διαβάλλοντες ὡς ἐθελοκακήσαντα καὶ ἀποστερήσαντα Ῥωμαίους
C τὴν ἅλωσιν τῆς Ταρσοῦ· "ὅτε" γάρ φασιν "εἰς χεῖρας ἡμῶν ταύτην δέδωκεν ὁ θεός, εἰ ἐπεξῆλθε τῇ νίκῃ, τεθαρρηκότος τοῦ πλήθους οἷς κατειργάσαντο, ἀπωλέσαμεν ταύτην τῇ ῥᾳθυμίᾳ τοῦ στρατηγοῦ." ὑφ' ὧν πολλάκις λεγομένων ὁ βασιλεὺς παραπείθεται (ἀπατῶνται γὰρ πολλάκις καὶ φρόνιμοι λεγομένων αὐτοῖς τῶν καθ' ἡδονὴν) καὶ παραλύει τῆς ἀρχῆς τὸν Ἀνδρέαν ὡς μὴ τελείως ἐπεξελθόντα τοῖς κατὰ τῶν ἐχθρῶν ἀριστεύμασιν, καὶ ἀντ' ἐκείνου προβάλλεται εἰς τὸ τῶν ταγμάτων ἐξηγεῖσθαι καὶ παντὸς τοῦ στρατοῦ ἐκεῖνον τὸν Κεστὰ τὸν Στυππιώτην λεγόμενον,
D τήν τε Ταρσὸν ἐξελεῖν ὑπισχνούμενον καὶ ἄλλα πολλὰ καὶ γενναῖα ἀφρόνως οἰόμενον καταπράξεσθαι. (51) ὃς αὐτίκα πάσας τὰς

4 περιγράφων AP 9 τὰ om P 22 καταπράξασθαι P

monumentum exstructo tumulo, cum spoliis et manubiis multisque captivis ad sua reversus est, moderate se in victoria gerens, unique deo facinus adscribens, illique tribuens et militarem ducisque sic felici exitu solertiam et ingentem hanc victoriam. quare etiam veritus ne insatiabili victoriae ardore maiorisque compendii cupiditate ipsa iam parta, uti non raro usu venit, invida Nemesis labefactaret, impetu inhibito substitit. perlato ad imperatorem eorum quae illi strenue gesta erant nuntio, obstitit aemulorum pari dignitate invidia ne pro operum merito praemia digna reciperet. nempe occupantes imperatoris aures viroque detrahentes iugiter obtundebant, ac calumniabantur, quasi is consulto rem Romanam prodidisset atque Tarsi excidio privasset: "cum enim deus," aiebant, "in manus nostras tradidisset, si victoriam persecutus esset, pleno fiducia milite, ex pugnae iam illi consertae gloria, ducis ignavia nobis erepta est." dum haec saepius dicuntur, imperator falsa persuasione decipitur (falluntur enim plerumque etiam viri prudentes, per eos qui ea quae ex animo sunt ac placent illis loquuntur) abrogatoque Andreae imperio, ut qui strenuis facinoribus hostes insequendo non satis institisset, eius loco Cestam illum, Styppiotam dictum, ordinibus praeficit omnisque exercitus ductorem constituit, abs se Tarsum expugnatum iri pollicentem, aliaque multa et fortia se peracturum stolide nimis existimantem atque iactantem. (51) is statim Romanis omnibus

Ῥωμαϊκὰς δυνάμεις λαβὼν καὶ ἐξορμήσας κατὰ Ταρσοῦ ἔδειξε τὸν Ἀνδρέαν οὐκ ἐθελόκακον καὶ δειλὸν ἀλλὰ περιεσκεμμένον καὶ φρόνιμον καὶ ἄριστον στρατηγόν. ἡγησάμενος γὰρ τοὺς βαρβάρους ἑτοίμην λείαν καὶ οὐδὲν τῶν δεόντων προδιασκεψάμενος, οὐδὲ προλοχίσας, οὐδὲ στρατηγικῆς ἐμπειρίας καὶ εὐβουλίας ἐπάξιόν τι φρονήσας, πλησίον γίνεται τῆς Ταρσοῦ κατὰ τὸν τόπον ὃς Χρυσόβουλλον λέγεται, μετὰ φρονήματος ἀνοήτου καὶ θράσους ἀπερισκέπτου. οἱ δὲ βάρβαροι τὸ ἀπροφύλακτον αὐτοῦ κα- P 178 τασκεψάμενοι ἐκ τοῦ μήτε τόπους ὀχυροὺς καταλαβέσθαι μήτε χάρακα καὶ τάφρον προβαλέσθαι τῆς στρατοπεδείας, μήτ' ἄλλο τι τῶν ἃ τὸ λελογισμένον τῶν στρατηγῶν καὶ ἔμφρον προδιοικονομεῖται καταπραξάμενον, κλέψαι τὴν νίκην βουλεύονται, καὶ ἀπαρασκεύῳ καὶ ἀμερίμνῳ ἐπιτίθενται αὐτῷ ἐν νυκτί, στρατηγήματι χρησάμενοι πρὸς τὴν ἀπορίαν αὐτῶν καὶ περίστασιν, ὡς ἐφάνη, σοφῷ. ὀλίγοι γάρ τινες ὄντες ἀπὸ τῆς προτέρας ἥττης καὶ εὐαρίθμητοι τῇ ἀπορίᾳ πρὸς πανουργίαν ἐξ ἀνάγκης ἐχώρησαν, καὶ ἵππους συναγαγόντες συχνοὺς καὶ βύρσας ξηρὰς ἐξάψαντες ἀπὸ τῶν ἱππείων οὐρῶν ὑφ' ἓν παράγγελμα κατὰ πολλὰ τοῦ Ῥωμαϊκοῦ στρατοπέδου ἐπαφιᾶσι μέρη. εἶτα καὶ αὐτοὶ ἀπὸ διαφόρων B τόπων, τοῖς τυμπάνοις ἐπιδουπήσαντες, ἐν μέσῳ τοῦ χάρακος γυμνοῖς τοῖς ξίφεσιν εἰσεπήδησαν. πτοίας οὖν καὶ ταραχῆς ἐμπεσούσης τῷ τῶν Ῥωμαίων στρατεύματι, καὶ συνταραχθέντων ἵπ-

7 Barberinus Χρυσόβουλον   18 κατὰ τὰ πολλὰ P

cohortibus assumptis, susceptaque in Tarsum expeditione, ostendit Andream non segnem atque timidum sed catum et prudentem atque optimum militum ducem. barbaros enim praedam paratam ratus, nec eorum quae e re essent quicquam ante considerans, nec locis occupatis prior ipse insidias locans, aut imperatoriae peritiae ac consilii solertiaeque dignum aliquid animo agitans, Tarso appropinquat in loco quem Chrysobullum vocant, dementi animo inconsiderataque audacia ac temeritate. barbari incautum considerantes hominis genium, quod neque loca tuta occupaverat nec convenienti vallo ac fossa castra munierat, neque aliud quid praestiterat eorum quae cati ac solertes duces praestruere solent, victoriam dolo parare deliberant, incautumque ac curis solutum noctu aggrediuntur, stratagemate usi pro eorum in angustum redactis rebus afflictaque fortuna, uti rei probavit eventus, plane solerti ac commodo. cum enim ex accepta ab Andrea clade pauci essent ac minuto numero, rei discrimine ad fraudes necessario versi sunt. multis namque conductis equis, ab eorum caudis coria sicca suspendunt, tumque una tessera in multas Romani exercitus partes immittunt; ipsique postmodum variis ex locis, tympanis perstrepentes, exsertis ensibus in medium vallum insiliunt. consternatis itaque turbatisque Romanorum animis, et per tu-

πων ὁμοῦ καὶ ἀνδρῶν καὶ ἀλλήλοις περιπιπτόντων, συνέβη τοὺς βαρβάρους κρατῆσαι καὶ φόνον ἄπειρον ἀπεργάσασθαι, τῶν πλείστων δυσκλεῶς συμπατουμένων καὶ συμπνιγομένων ὑφ᾽ ἑαυτῶν. οὕτω δὲ παραδόξως καὶ παρ᾽ ἐλπίδα κρατήσαντες οἱ ἐξ Ἰσμαήλ, καὶ τὰ νεῦρα τῆς Ῥωμαϊκῆς ἀρχῆς κατακόψαντες, τυμπάνων βοαῖς καὶ βαρβαρικοῖς ἀλαλαγμοῖς ἐπαιάνιζον. τοιοῦτον τὸ τέλος τῆς C *ἀνοήτου στρατηγίας ὁ φθόνος κατὰ τῶν Ῥωμαίων ἐβράβευσε, καὶ τοιοῦτον ἡ βάσκανος Νέμεσις κατὰ τῶν εὐτυχησάντων πρότερον Ῥωμαίων τὸ τρόπαιον ἔστησεν.*

Ἀλλὰ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οὕτως εἶχε κατὰ τοὺς χρόνους τῆς εὐσεβοῦς βασιλείας Βασιλείου, (52) *τὰ δὲ πρὸς δυόμενον ἔρχομαι διηγήσασθαι. ἀκολούθως γὰρ τοῖς λοιποῖς καὶ τῶν κατὰ τὴν ἑσπέραν πραγμάτων ἐπὶ πλέον ἀμεληθέντων ἐπὶ τῆς βασιλείας τοῦ Μιχαήλ, καὶ πάσης σχεδὸν Ἰταλίας, ὅση τῇ καθ᾽ ἡμᾶς νέᾳ Ῥώμῃ προαφώριστο, καὶ τῶν πλείστων τῆς Σικελίας ὑπὸ τῆς γειτονούσης τῶν Καρχηδονίων δυνάμεως καταπολεμηθείσης* D *καὶ ὑποφόρου τοῖς βαρβάροις γεγενημένης, ἔτι γε μὴν καὶ τῶν ἐν Παννονίᾳ καὶ Δαλματίᾳ καὶ τῶν ἐπέκεινα τούτων διακειμένων Σκυθῶν, Κρωβάτοι φημὶ καὶ Σέρβλοι καὶ Ζαχλουμοὶ Τερβουνιῶταί τε καὶ Καναλῖται καὶ Διοκλητιανοὶ καὶ Ῥεντανοί, τῆς ἀνέκαθεν τῶν Ῥωμαίων ἐπικρατείας ἀφηνιάσαντες αὐτόνομοί τε καὶ αὐτοδέσποτοι καθεστήκεισαν, ὑπὸ ἰδίων ἀρχόντων μόνον ἀρχόμενοι. οἱ πλεῖστοι δὲ τὴν ἐπὶ πλέον ἀπόστασιν ἐνδεικνύμενοι καὶ*

22 *καθειστήκεισαν* P

multum equis pariter virisque invicem collidentibus, barbari potiti victoria sunt immensa Romanorum strage, plerisque a suis inglorie obtritis ac suffocatis. sic pene inaudito casu praeterque spem omnem victores Ismaelitae, Romanique imperii nervis excisis, tympanorum strepitu ac barbarico barritu paeana concinebant. hunc finem stolidae expeditionis adversus Romanos livor attulit, ac tale tropaeum adversus eos quibus paulo ante fauste cesserat maligna Nemesis posuit.

Verum sic quidem se res Orientis habebant, Basilio pio religiosissimoque imperatore. (52) quae autem ad Occidentem spectant, narraturus accedo. eadem ac reliqua ratione, etiam rebus Occidentis maiorem in modum Michaele imperatore neglectis, totaque fere Italia, quanta novae nostrae Romae cesserat, potissimaque Siciliae parte Carthaginensium armis debellata atque barbaris vectigali facta, ad haec etiam qui in Pannonia et Dalmatia, ac qui ultra hos Scythae, Chrobati scilicet et Serbli et Zachlumi, Terbuniotae item et Canalitae et Diocletiani et Rentani, excusso Romani imperii iugo, cui pridem suberant, sui iuris atque liberi facti, suis duntaxat regulis ac magistratibus parebant. ple-

τοῦ θείου βαπτίσματος ἑαυτοὺς ἠλλοτρίωσαν, ὡς ἂν μηδὲν ἐνέχυρον τῆς πρὸς Ῥωμαίους φιλίας καὶ δουλώσεως ἔχοιεν.

53. Οὕτως οὖν τῶν κατὰ τὴν ἑσπέραν ἐχόντων καὶ ἐν τοιαύταις ὄντων ἀναρχίαις καὶ ἀταξίαις, συνεπέθεντο μετὰ τοῦ P 179
καιροῦ καὶ οἱ ἀπὸ Καρχηδόνος Ἀγαρηνοί, καὶ ἄρχοντας ἐπιστήσαντες τόν τε Σολδάνον καὶ Σάμβαν καὶ τὸν Καλφοῦς, οὓς ἐν κακίᾳ καὶ πολεμικῇ ἐμπειρίᾳ κατὰ πολὺ διαφέρειν τῶν ὁμοφύλων ἐπίστευον, ἓξ καὶ τριάκοντα πλοίων πολεμικῶν κατὰ Δαλματίας στόλον ἀπέστειλαν, ὑφ' οὗ διάφοροι πόλεις ἑάλωσαν Δαλματῶν, οἷον ἥ τε Βούτομα καὶ Ῥῶσα καὶ τὰ κάτω Δεκάτορα. προχωρούντων δὲ κατὰ νοῦν τῶν πραγμάτων τοῖς πολεμίοις, ἦλθον καὶ ἐπὶ τὴν τοῦ ὅλου ἔθνους μητρόπολιν, ἣ Ῥαούσιον λέγεται, καὶ ταύτην ἐπὶ χρόνον ἐπολιόρκουν ἱκανόν. ἑλεῖν δὲ ἐξ ἑτοίμου οὐκ ἔσθενον διὰ τὸ ἐκθύμως τοὺς ἔνδοθεν ἀγωνίζεσθαι ὡς ὑπὲρ ψυ- B
χῆς, τὸ λεγόμενον, θέοντας. ὡς οὖν ἐπὶ χρόνον οἱ ἐν Ῥαουσίῳ ἐταλαιπώρουν καὶ εἰς ἐσχάτας συνηλαύνοντο ἀπορίας, πέμπουσι πρέσβεις ὡς βασιλέα ὑπὸ τῆς ἀνάγκης στενοχωρούμενοι, καίτοι σχεδὸν οὐκ ἀγνοοῦντες ὡς εἰς ἄλλα μᾶλλον ὁ κρατῶν ἀπησχόληται, ἐλεῆσαι παρακαλοῦντες καὶ ἐπαμῦναι τοῖς ὅσον οὔπω κινδυνεύουσιν ὑποχειρίοις γενέσθαι τῶν ἀρνητῶν τοῦ Χριστοῦ. οὔπω δὲ τῶν πρέσβεων καταλαβόντων τὴν βασιλεύουσαν, ἀλλ' ἔτι χρονοτριβούντων περὶ τὴν ἄνοδον, ἐξ ἀνθρώπων μὲν ὁ φαῦλος γίνεται

10 Δεκάτερα P 12 ὑπὸ A 18 ἐπησχόληται AP 20 ὑποχειρίους P

rique vero maioris defectionis specimine etiam baptismum eiuraverant, ut nullum erga Romanos amicitiae ac subiectionis pignus retinerent.

53. Sic igitur Occidentis rebus constitutis, inque eum modum per anarchiam laborantibus ac perturbatis, arrepta Agareni Carthaginenses occasione coniunctis viribus expeditionem suscipiunt; creatisque ducibus Soldano Sambano et Chalphuso, qui longe militia bellicaeque rei experientia tribulibus reliquis praestare existimabantur, sex supra triginta naves in Dalmatiam miserunt, quibus Dalmatarum plures urbes captae sunt, Butoma Rosa et inferius Decaterum. sic cum secundis auris res hostibus succederent, ad ipsam venerunt totius gentis metropolim, quam Ragusium vocant, eamque ad longum tempus circumsederunt. haud tamen facile expugnare potuerunt, iis qui intra moenia erant magno animo concertantibus, quippe quibus pro anima, ut aiunt, cursus agitaretur. dum itaque Ragusini pro temporis diuturnitate malis conficerentur atque ad incitas redacti essent, legatos ad imperatorem mittunt, necessitatis angustiis pressi; quanquam non nesciebant aliis potius rebus eum distineri, suppliciter rogantes ut ipsorum misertus eis vindex foret, ac tueretur qui iamiam, in infidelium Christumque negantium potestatem essent redigendi. nondum legati in urbem venerant, sed in itinere adhuc subsistebant, cum ignavus malusque imperator in humanis esse

βασιλεύς, ἐπὶ δὲ τὸν ἐγρηγορότα καὶ νήφοντα τῶν κοινῶν φρον- C *τιστὴν Βασίλειον τὰ τῆς αὐτοκράτορος ἐξουσίας περιίσταται πράγματα· ὃς καὶ πρὸ τούτου λίαν περὶ τῶν τοιούτων δυσφορῶν καὶ διαπονούμενος, καὶ τότε δὲ τῶν πρέσβεων ἐπιμελῶς ἀκροασάμενος καὶ ὡς οἰκεῖα τραύματα τὰ τῶν ὁμοπίστων παθήματα ἡγησάμενος, περὶ τὴν παρασκευὴν ἐγίνετο τῶν εἰς τὴν τῶν ἱκετευσάντων βοήθειαν μελλόντων ἐξαποστέλλεσθαι· καὶ στόλον ἐξαρτυσάμενος νεῶν ἑκατὸν καὶ πάντα δεόντως ἑτοιμασάμενος, καὶ ἄνδρα συνέσει καὶ ἐμπειρίᾳ τῶν πολλῶν διαφέροντα ἐκλεξάμενος, τὸν πατρίκιον Νικήταν φημί, τὸν τοῦ πλωΐμου δρουγγάριον, ὃς κατ' ἐπωνυμίαν Ὠορύφας ἐλέγετο, ὥσπερ τινὰ πρηστήριον κεραυνὸν κατὰ τῶν πο-* D *λεμίων ἐκπέμπει. οἱ δὲ ἐξ Ἀφρικῆς Σαρακηνοί, οἱ τῇ πολιορκίᾳ τῆς πόλεως προσκαθήμενοι, δι' αὐτομόλων ἀναμαθόντες τοὺς Ῥαουσίους πρέσβεις ἀποστεῖλαι πρὸς βασιλέα τοὺς αἰτησομένους δύναμιν καὶ στρατὸν κατ' αὐτῶν, τοῦτο μὲν τὴν σύντομον ἀπογινώσκοντες ἅλωσιν, τοῦτο δὲ τὴν ἀφικέσθαι προσδοκωμένην ἐκ βασιλέως δείσαντες βοήθειαν, λύουσι τὴν πολιορκίαν καὶ τῶν τόπων ἐκείνων ἀπαναστεύουσι. κατὰ δὲ τὴν Ἰταλίαν, ἣ νῦν Λαγοβαρδία ὠνόμασται, διαπεράσαντες τὸ κάστρον Βάρεως ἐξεπόρθησαν, καὶ αὐτόθι κατασκηνώσαντες καὶ τοῖς μᾶλλον ἐγγίζουσι* P 180 *καθ' ἑκάστην ἐπιτιθέμενοι καὶ τῶν πορρωτέρω κατατολμῶντες καὶ ἀεί τι προσλαμβανόμενοι, πᾶσαν τὴν Λαγοβαρδίαν ἄχρι καὶ αὐτῆς σχεδὸν τῆς ποτὲ μεγαλοδόξου Ῥώμης ἐκράτησαν. καὶ εἶχε μὲν οὕτω ταῦτα.*

14 *Ῥαουσαίων* infra. 18 *ἐπαναστεύουσι* A

desiit, rerumque summa ad vigilem sobriumque curatorem Basilium per eius excessum transivit; qui antea quoque aegre ferebat atque animo angebatur; tuncque legatis diligenter auditis, suaque ipsius vulnera eorum mala ducens, quos eiusdem fidei foedera sociarent, in auxiliorum apparatu erat, quae supplicibus mittenda destinabat; instructaque centum navium classe, cunctisque rite apparatis, singularis prudentiae virum experientiaque supra vulgi usum praeditum deligit, Nicetam patricium cognomento Oorypham, rei navalis drungarium, quem velut fulmen cuncta amburens ac prosternens in hostes immitteret. Agareni ut missos ad imperatorem legatos auxilia rogaturos ex profugis acceperunt, tum quod urbem brevi capiendam non sperarent, tum quod mittendas ab imperatore subsidio copias formidarent, obsidionem dirimunt; indeque solventes atque in Italiam (cui nunc Longobardia nomen est) transmittentes Barensem arcem expugnarunt; ibique habitantes cum vicinioribus quotidie ingruerent ac remotiora tentarent semperque dicioni suae aliquid adiicerent, omnem Longobardiam adusque praecelsa quondam prope gloria Romam subegerunt. atque in hunc modum se res Occidentis habebant.

54. Τὸ δὲ περὶ τοὺς ἐν Δαλματίᾳ παρὰ τῆς Ῥωμαϊκῆς ἐπικουρίας γεγονὸς καὶ τὰ προμνημονευθέντα γένη θεασάμενοι, οἵ τε Χρωβάτοι καὶ Σέρβλοι καὶ οἱ λοιποί, καὶ τοῦ ἄρτι βασιλεύοντος Ῥωμαίων τὴν ἐπιείκειαν καὶ περὶ πάντα δικαιοσύνην καὶ ἀρετὴν πυνθανόμενοι, καὶ τὸ καλῶς ἄρχεσθαι τοῦ ἐπισφαλῶς ἐκ θρασύτητος ἄρχειν προκρίναντες, σπουδὴν ποιοῦνται πάλιν εἰς τὴν προτέραν δεσποτείαν ἐπανελθεῖν καὶ πρὸς τὴν Ῥωμαϊκὴν ἐπ- B αναχθῆναι δούλωσιν. καὶ δὴ πρὸς τοῦτο καὶ πρέσβεις καὶ αὐτοὶ πρὸς τὸν βασιλέα πέμπουσιν, οἵ τε μετὰ τῆς αὐτῆς θρησκείας ἀποστατήσαντες καὶ οἱ τέλειον τοῦ θείου βαπτίσματος ἀπαυτομολήσαντες, τῆς τε ἐξ ἀρχῆς αὐτῶν δουλώσεως καὶ εἰς ὅσα Ῥωμαίοις γεγόνασί ποτε χρήσιμοι εὐκαίρως ὑπομιμνήσκοντες, καὶ ἀξιοῦντες τῇ φιλανθρώπῳ ζεύγλῃ τῆς Ῥωμαϊκῆς ἐξουσίας καὶ ὑπὸ τῷ ταύτης ἀγελάρχῃ τάττεσθαι καὶ αὐτούς. ὧν ὡς εὐλόγου τῆς δεήσεως ἐπακούσας ὁ βασιλεύς, ἐπεὶ καὶ πρὸ τούτου ἐδυσφόρει περὶ αὐτῶν καὶ ἤσχαλλεν ὡς οὐ μικρῷ μέρει περικεκομμένης καὶ διηρπασμένης τῆς αὐτοῦ ἀρχῆς, εὐμενῶς, ὡς τὸν ἀφρόνως ἀφη- C νιάσαντα υἱόν, εἶτα μεταγνόντα καὶ ὑποστρέψαντα ὁ φιλάνθρωπος πατήρ, καὶ αὐτὸς τούτους προσήκατο καὶ ἀνεδέξατο, καὶ ἱερεῖς εὐθέως μετὰ καὶ βασιλικοῦ ἀνθρώπου σὺν αὐτοῖς ἐξαπέστειλεν, ὡς ἂν πρὸ τῶν ἄλλων τοῦ ψυχικοῦ τούτους κινδύνου ἐξέληται καὶ πρὸς τὴν προτέραν πίστιν ἐπανασώσηται καὶ τῶν ἐξ

11 τε om A 21 τοῦ] καὶ P

54. Quod ita Dalmatarum auxiliis a Romanis gestum erat, videntes, quas paulo superius memoravi nationes, Chrobati nimirum et Serbli et reliqui, eiusque qui tum rerum potiretur aequitatem in omnibusque iustitiam et virtutem audientes, beneque subesse quam periculose ausuque temerario praeesse ac imperare pluris facientes, operam adhibent ut ad pristinum redeant dominatum iterumque Romanis serviant. quare et ipsi oratores mittunt ad imperatorem, tum scilicet qui eadem ipsa integraque religione defecerant, tum qui excussa prima sua servitute ipsi sponte baptismum prorsus eiuraverant; quamque utiles quandoque Romanis exstitissent opportune memorantes, rogantesque humanissimo Romanae potentiae iugo ac illius ductori rectorique subiici. horum votis ac petitioni, ut quae niti ratione viderentur, se facilem praebens imperator (quippe qui etiam antea pro illis animi angeretur atque doleret, velut dicionis suae non modica accisa parte raptaque ac discerpta) placide, quemadmodum humanissimus pater filium qui stulte imperium detrectarat ductusque paenitentia redierat, ipse quoque istos admisit atque recepit; ac statim cum illis sacerdotes suoque nomine delegatum hominem misit, ut ante alia ab ipso animarum periculo eos eriperet ac pristinae fidei restitueret, atque ex delictis, quae vel igno-

ἀγνοίας ἢ ἀνοίας ἀπαλλάξῃ πλημμελημάτων αὐτούς. ἀνυσθέντος
δὲ τοῦ τοιούτου θεοφιλοῦς ἔργου, καὶ πάντων τοῦ θείου μετα-
σχόντων βαπτίσματος καὶ εἰς τὴν Ῥωμαϊκὴν ἐπανελθόντων ὑπό-
D πτωσιν, ἐδέξατο κατὰ τοῦτο τὸ μέρος τὴν ὁλοκληρίαν ἡ βασιλέως
ἀρχή, πάντων φιλανθρώπῳ τοῦ κρατοῦντος προστάγματι ἐκ τῶν
οἰκείων καὶ ὁμοφύλων δεξαμένων ἄρχοντας εἰς ἐπιστασίαν αὐτῶν.
οὐ γὰρ ὠνίους ἐκεῖνος τὰς εἰς τὴν ἐπιστασίαν αὐτῶν εἶχεν ἀρχάς,
ἵν' ἐντεῦθεν τοὺς πλεῖον διδόντας καὶ καλαμωμένους αὐτοῦ τὸ
ὑπήκοον εἰς τὸ τούτων κατεξουσιάζειν προβάλληται· καὶ διὰ τοῦτο
τοὺς ὑπ' αὐτῶν ἐκείνων ἐκλεγομένους καὶ οἱονεὶ χειροτονουμένους,
ὡς αἱρετοὺς ἄρχοντας καὶ πατρικὴν πρὸς αὐτοὺς διασώζειν ὀφεί-
λοντας εὔνοιαν, ἄρχειν αὐτῶν νουνεχῶς διωρίσατο. καὶ ταῦτα
μὲν ταύτῃ.

P 181 55. Ἐπεὶ δὲ οἱ ἐπὶ τῆς ἐκμελοῦς τε καὶ ῥαθύμου βασιλείας
πρὸς τὴν ἐπικράτειαν τῶν Ῥωμαίων διαπεράσαντες βάρβαροι καὶ
τοῦ Ῥαουσίου ἀποκρουσθέντες, καθάπερ ἤδη πρότερον εἴρηται,
ἔτι κατὰ τὴν Ἰταλίαν διέτριβον, συνεχῶς αὐτὴν κατατρέχοντες
καὶ ἀφειδῶς ληϊζόμενοι, ὡς καὶ μέχρι τῶν πεντήκοντα καὶ ἑκατὸν
κάστρων τὰ μὲν ἐκ προδοσίας τὰ δὲ πολιορκίᾳ χειρώσασθαι,
ἀκούων ταῦτα ὁ βασιλεὺς ἠνιᾶτο σφοδρῶς, καὶ ταῖς περὶ τούτων
φροντίσιν ἐπαγρυπνῶν ἐζήτει πῶς ἂν εὐπετῶς δυνηθείη ἢ τελέως
τροπώσασθαι τοὺς ἐχθροὺς ἢ κἂν ἐκ τῆς Ῥωμαϊκῆς ἐπικρατείας
B ἀπώσασθαι καὶ ἐξελάσαι τὸ δυσμενές. καὶ τὰς μὲν ἤδη χάριν τῶν

7 τὴν om A εἶχεν ἀρχάς, ἵν'] οὐχ ἵνα A 21 τέλεον A

rantia vel dementia ac temeritate contraxerant, liberaret. peracto autem religioso istiusmodi opere, cunctisque divino baptismate impartitis atque Romanorum fascibus inclinatis, hac parte redintegratus est imperatoris principatus, cunctis humanissima eius iussione ex suis eiusdemque gentis hominibus, magistratus rectoresque, qui illis imperio praeessent, accipientibus. non enim ille magistratus illis praepositos venales habuit, ut inde eaque ratione, qui plus darent exque subditis amplius meterent, illis praeficeret; sed qui ab eis ipsis electi essent ac velut suffragio creati, tanquam arbitros magistratus paternaque benevolentia eos prosecuturos, eis pro imperio praeesse prudenter constituit. atque haec quidem ita se habuere.

55. Quod vero barbari, qui sic neglecto segniterque administrato imperio in Romanam dicionem traiecerant pulsique Ragusio fuerant, uti iam dictum est, adhuc in Italia fixo pede continue eam incursabant direque desolabant, centum quinquaginta munitis oppidis, qua spontanea deditione qua obsidione vique in potestatem suam redactis, audiens imperator valde animo discruciabatur; horumque solicitudine invigilans modum quaerebat, quo facile vel hostes penitus fundere liceret vel a Romana saltem procul dicione abigere ac propellere. iam itaque quae

Ῥαουσαίων καὶ ὅλου τοῦ ἔθνους τῶν Δαλματῶν προαποσταλείσας δυνάμεις, ὧν ἦρχεν, ὡς φθάσαντες εἴπομεν, ὁ κατὰ τὸν Ὠρύφαν Νικήτας πατρίκιος, οὐκ ἀξιομάχους πρὸς τοσαύτην τῶν βαρβάρων πληθὺν ἐδοκίμασε, μάλιστα διὰ τὸ χρείαν εἶναι καὶ πρὸς τὴν μεσόγαιον πολλάκις ποιεῖσθαι τὰς συμπλοκὰς καὶ πολὺ τῆς θαλάττης ἀπαρτᾶσθαι, ὅπερ ἐδόκει πρὸς νηΐτην στρατὸν ἀσύμφορον καὶ ἀδύνατον· ἄλλας δὲ πάλιν ἀπ' ἐντεῦθεν ἀποστέλλειν δυνάμεις οὐκ ἔκρινεν εἶναι λυσιτελὲς διά τε τὸ τῆς ἐκστρατείας δαπανηρὸν καὶ τὴν χρείαν τὴν τῶν ἐνταῦθα χωρῶν. καὶ συνετῶς βουλευσάμενος πρὸς Λοδοΐχον τὸν ῥῆγα Φραγγίας καὶ τὸν πάπαν C Ῥώμης διαπρεσβεύεται συνεπικουρῆσαι ταῖς ἐντεῦθεν δυνάμεσι καὶ μετὰ τούτων συμπαρατάξασθαι κατὰ τῶν ἐν Βάρει κατοικησάντων Ἀγαρηνῶν, κελεύσας καὶ τὰς ὀλίγῳ πρόσθεν μνημονευθείσας χώρας τῶν Σκλαβηνῶν συνεπιλαβέσθαι τοῦ ἔργου, διὰ τῶν οἰκητόρων Ῥαουσίου καὶ τῶν παρ' αὐτοῖς ἐγχωρίων πλοίων περαιωθέντας τὸ πέλαγος Δαλματῶν. ὧν ὁμοῦ πάντων γεγενημένων καὶ μεγάλης ἀθροισθείσης δυνάμεως, ἐπεὶ καὶ ὁ Ῥωμαϊκὸς ναύαρχος συνέσει καὶ ἀνδρίᾳ πολὺ πάντων διέφερε, θᾶττον ἡ Βάρις ἁλίσκεται. καὶ τὸ μὲν κάστρον αὐτὸ καὶ ἡ χώρα καὶ πᾶν τὸ αἰχμάλωτον εἰς τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἀναλαμβάνεται, καὶ D τοὺς οἰκείους ἡ χώρα ἀπολαμβάνει οἰκήτορας, τὸν δὲ Σολδάνον ἐκεῖνον καὶ τὸν ὑπ' αὐτὸν λαὸν τῶν Ἀγαρηνῶν ὁ ῥὴξ Φραγγίας ἀναλαβόμενος ἐν Καπύῃ ἀπήγαγεν· ταύτης γὰρ αὐτὸς ἦρχεν ἔτι καὶ προσέτι Βενεβενδοῦ. καὶ ἡ μὲν πρώτη κατὰ τὴν ἑσπέραν

ante Ragusinorum causa gentisque omnis Dalmatarum missae fuerant copiae, Niceta Oorypha patricio ductore, ut supra diximus, adversus tantam barbarorum multitudinem haud satis pares existimans, ac vel maxime quod in mediterraneis haud raro manus conserendae essent longiusque a mari abscedendum, quod navalibus copiis haud conduceret nec certe ab illis praestari posset, alias vero rursus Byzantio copias mittere haud utile putans ob expeditionis nimios sumptus et Orientalis tractus regionum necessitatem, prudenti consilio inito ad Ludovicum Franciae regem et ad Romanum antistitem legatos mittit, ut abs se missis copiis opem ferant ac cum eis adversus Agarenos Barii sedes habentes pugnam instruant, iubens ut et quas paulo ante memoravimus, Sclavenorum gentes institutum suum iuvent, transmisso Ragusii incolarum ope suisque ipsorum navigiis Dalmatarum mari. hoc modo coniunctis viribus ingens contractus est exercitus; quodque Romanae classi praefectus longe omnibus solertia ac fortitudine praestaret, Barium brevi capitur; oppidumque ipsum et ager omnesque captivi in Romanorum potestatem cedunt, suosque regio cives ac colonos recipit. rex Franciae Soldanum illum subditosque Saracenos sibi ipse captivos sumens Capuam adduxit, cuius illa dicionis erat ut et Beneventum. huncque

στρατεία τῷ βασιλεῖ τοιοῦτον πέρας ἐδέξατο, καὶ τοῖς ἐντεῦθεν λαφύροις καὶ τῇ δόξῃ κατεκοσμήθη ἡ βασιλεύουσα.

56. Ἐπειδὴ δὲ πολλάκις ἡ ἱστορία φιλεῖ καὶ ταῖς κατὰ παρέκβασιν διηγήσεσι τὸν λόγον ποικίλλειν καὶ τὰς τῶν ἐντυγχα- P 182 νόντων ψυχαγωγεῖν ἀκοάς, ἐπεξηγητέον καὶ ὅσα μεταξὺ τοῦ ῥηγὸς Φραγγίας καὶ Σολδάνου τοῦ Ἀφρικῆς ἀμηρᾶ καὶ τῶν οἰκητόρων Καπύης καὶ Βενεβενδοῦ συνέβη καταπραχθῆναι. ἐπὶ διετίαν γὰρ ἐν Καπύῃ συνὼν ὁ Σολδάνος τῷ τῆς Φραγγίας ῥηγὶ οὐδέποτε ὤφθη ὑπό τινος τὸ παράπαν γελῶν. ὁ δὲ ῥὴξ τῷ κατάφωρον αὐτὸν γελῶντα πεποιηκότι χρυσίου δόσιν κατεπηγγείλατο. προσήγγειλεν οὖν τίς ποτε τῷ ῥηγὶ γελῶντα τὸν μέχρι τότε σκυθρωπὸν Σολδάνον θεάσασθαι, καὶ τούτου παρείχετο μάρτυρας. ὃν καλέσας ὁ ῥὴξ τὴν αἰτίαν τῆς μεταβολῆς καὶ τοῦ γέλωτος ἐπυνθά- B νετο. ὁ δὲ "ἅμαξάν" φησι "κατιδὼν καὶ τοὺς ταύτης κατανοήσας τροχούς, πῶς καὶ τὸ μετέωρον τούτων ταπεινοῦται καὶ τὸ ταπεινὸν αὖθις μετεωρίζεται, καὶ ὡς εἰκόνα ταῦτα λαβὼν τῆς ἀσταθμήτου καὶ ἀβεβαίου τῶν ἀνθρώπων εὐδαιμονίας, ἐγέλασα ἅμα μὲν ἐνθυμηθεὶς πῶς ἐφ' οὕτως ἀβεβαίων πραγμάτων ἐπαιρόμεθα, ἅμα δὲ καὶ οὐκ ἀδύνατον οἰηθεὶς τὸ καὶ ἐμέ, ὥσπερ ἐκ μετεώρου γέγονα ταπεινός, οὕτως καὶ ἐκ τοῦ χαμερποῦς ἐνδέχεσθαι πάλιν ἀρθῆναι πρὸς μέγεθος." ἅπερ ἀκούσας ὁ ῥήξ, καὶ ἐν νῷ τὰ οἰκεῖα λαβὼν καὶ ἐκεῖνον συνετὸν λογισάμενος, ἤρξατο

5 μετὰ P   21 ὅπερ P

prima imperatoris in Occidentem expeditio nacta finem est; eiusque spoliis ac claritate urbs Augusta ornatur.

56. Quod vero haud raro historia etiam narrationibus quae parum ab scopo excurrere videntur, quandam sermoni varietatem non illubens conciliat, eaque legentium animos afficit ac recreat, operae pretium videatur ut et ea referamus quae inter regem Franciae et Soldanum Africae ameram civesque Capuae et Beneventi contigere. Soldanus enim annos duos cum rege Franciae Capuae moratus nunquam ab ullo prorsus visus est ridere. rex, si quis ridentem deprehendisset, auro donandum pollicitus est. nuntiavit itaque quispiam regi vidisse se Soldanum ridentem, qui hactenus maestus severoque vultu exstitisset; reique profert testes. vocavit ad se rex Soldanum, exque illo mutationis ac risus causam sciscitatus est. cui ille "videns" inquit "currum, eiusque rotas considerans, quomodo aliae earum partes e sublimi axe in imum deprimantur ac rursus ex humili in altum tollantur, atque hanc ego incertae ac inconstantis hominum felicitatis imaginem sentiens, risi, simul etiam cogitans quam de re instabili superbia inflamur; ac denique hoc fieri posse iudicans, ut quomodo ex summo infimus sum factus, ita ex humili rursum loco ad prius fastigium attollar." his rex auditis, deque suo statu cogitans, illumque virum prudentem iudicans, libere postmo-

παρρησίας καὶ συνδιαιτήσεως μεταδιδόναι αὐτῷ. (57) ὁ δὲ C
πανοῦργος ὢν καὶ δόλων Φοινικικῶν οὐκ ἀμέτοχος ἐκ τῆς ἑκατέρων
ἔγνω διαβολῆς σωτηρίαν ἑαυτῷ πραγματεύεσθαι. πολλάκις γὰρ
πρὸς αὐτόν, καὶ ὡς ἐκ γεροντικῆς ἐμπειρίας συνετὸν καὶ σοφὸν
καὶ ὡς ἐξ εὐτυχοῦς δυστυχῆ, οἱ τῶν κάστρων Καπύης καὶ Βενε-
βενδοῦ παρεγίνοντο ἄρχοντες. ὁ δὲ τὴν πρὸς αὐτοὺς φιλίαν πλατ-
τόμενος ἐξενεγκεῖν τι πρὸς αὐτοὺς ἀπόρρητον βούλευμα τοῦ ῥηγὸς
ἔλεγεν βούλεσθαι, δεδοικέναι δὲ τὸν ἐκ μηνύσεως κίνδυνον. τῶν
δὲ διομοσαμένων ἀνέκφορον ποιήσασθαι τὸ λαλούμενον, ἔφη βού-
λεσθαι τὸν ῥῆγα πάντας ὑμᾶς πρὸς τὴν ἑαυτοῦ χώραν τῆς Φραγ-
γίας σιδηροδεσμίους ἐκπέμψαι ὡς οὐκ ἄλλως οὔσης αὐτῷ ἀσφα-
λοῦς τῆς τῶν ὑμετέρων διακρατήσεως πόλεων. τῶν δὲ μὴ πάνυ D
πιστὸν τέως ἡγησαμένων τὸ μηνυόμενον, ζητούντων δὲ σαφεστέ-
ραν ἔτι κατάληψιν, πάλιν πρὸς τὸν ῥῆγα ὁ Σολδάνος τοιαῦτα
φησίν, ὡς οὐκ ἔστι σοι ἀσφαλὴς ἡ τῶν κάστρων τούτων κατά-
σχεσις, ἕως οἱ τούτων ἄρχοντες ἐνταῦθα ἐπιχωριάζουσιν· ἀλλ' εἰ
βούλει βεβαίως δεσπόζειν αὐτῶν, τούτους θᾶττον πρὸς Φραγγίαν
δεσμίους ἀπόστειλον. πεισθεὶς οὖν τοῖς τοιούτοις λόγοις ὁ ῥὴξ
ἁλύσεις διωρίσατο συντόμως χαλκευθῆναι ὡς ἐπὶ χρείᾳ κατεπει-
γούσῃ τινί. ἰδὼν οὖν αὖθις ὁ Σολδάνος τοὺς ἄρχοντας, "οὐδ'
ἔτι μοι" φησὶ "πιστεύετε περὶ ὧν ἔλεγον; ἐρευνήσαντες ἴδετε τί P 183
οἱ χαλκεῖς πάντες ἐργάζονται τῇ τοῦ ῥηγὸς προστάξει· καὶ ἐὰν

16 ἐγχωριάζουσιν P

dum secum congredi ac versari permisit. (57) at Soldanus, homo vafer et astutus nec Punicae fraudis expers, alios aliis vicissim calumniando ac committendo salutem sibi procurandam decrevit. haud raro enim ad eum, velut senili experientia catum hominem ac sapientem exque prospera fortuna infelici iam usum, Capuae ac Beneventi proceres veniebant. quibus ille, amicitiae larvam simulans, "velle se" aiebat "regis ad eos consilium arcanum proferre, sed metuere, quod inde eaque denuntiatione periculum sibi immineret." at ille iureiurando affirmare, quod dixerit, religiose iis secreto tegendum esse. tum ille "hoc regi constitutum, ut vos omnes ferro vinctos in regionem suam Franciae mittat, quippe qui non aliter vestrarum urbium se tuto potiturum existimet." illis vero non certam omnino fidem eius verbis habentibus, sed certius adhuc illorum argumentum quaerentibus, rursus Soldanus ad regem talia proloquitur. "non potes has urbes tuto in dicione tenere, quamdiu primores civium hic sedes habent. itaque si hoc animo es ut firmiter tui eas iuris retineas, vinctos illos quantocius mitte in Franciam." his persuasus rex catenas brevi fabricari, quasi aliqua necessitate urgente, praecepit. convisens rursus Soldanus patricios "ne nunc quidem" inquit "mihi fidem adhibetis, verbaque mea negligitis? scrutamini, exquirite, quid fabri omnes regis iussu construant; ac si catenas

εὕρητε ἁλύσεις τε καὶ δεσμά, μὴ ἀπιστήσητε τῶν πρὸς σωτηρίαν ὑμῶν λεγομένων ὑμῖν." γνόντες οὖν ἐν τούτοις τὸν βάρβαρον οἱ ἄρχοντες ἀληθεύοντα οὐδὲ πρὸς τἆλλα ἔτι ἠπίστησαν, τρόπον δὲ ἐζήτουν ὅπως τὸν ῥῆγα ἀμύνωνται. καὶ δὴ μετ' ὀλίγον πρὸς κυνηγέσιον ἐξελθόντος αὐτοῦ, ἀποκλείουσι κατ' αὐτοῦ τὰς πύλας καὶ οὐκέτι τὴν εἴσοδον συγχωροῦσιν αὐτῷ. ὁ δὲ μηδὲν ἐκ τούτου παραχρῆμα δυνάμενος πράξασθαι πρὸς τὴν ἰδίαν χώραν αὖθις ἀνθυπενόστησε. (58) πρόσεισιν οὖν τοῖς ἄρχουσιν ὁ Σολδάνος, B τὴν χάριν τῆς μηνύσεως ἀπαιτῶν· ἡ δὲ ἦν τὸ πρὸς τὴν οἰκείαν πατρίδα συγχωρηθῆναι αὐτῷ ἀπελθεῖν. συγχωρηθεὶς οὖν καὶ κατὰ Καρχηδόνα γενόμενος καὶ τὴν οἰκείαν ἀρχὴν ἀπολαβὼν καὶ τοῦ κακὸς εἶναι μὴ ἐκστὰς ἐκστρατεύει κατὰ Καπύης τε καὶ Βενεβενδοῦ, τὰ χαριστήρια τούτοις τῆς σωτηρίας ἀποδιδούς. οἱ δὲ πρὸς τὸν ῥῆγα διαπρεσβεύονται. ἀλλὰ μεθ' ὕβρεως ἀποπέμπονται, ἐπιχαίρειν εἰπόντος τῇ ἀπωλείᾳ αὐτῶν. στέλλουσιν ἄγγελον πρὸς τὸν βασιλέα οἱ τῶν τοιούτων κάστρων ἐξηγούμενοι. συμπαθὴς οὖν ὁ βασιλεὺς καὶ φιλάνθρωπος ὢν θᾶττον ἐκπέμπει τὸν πρεσβευτὴν δηλώσοντα τούτοις προσδέχεσθαι συντόμως τὴν ἐντεῦθεν βοήθειαν. γίνεται δὲ τοῖς πολεμίοις ἐγκρατὴς ὁ τῆς C ἀγγελίας διάκονος πρὸ τοῦ δοῦναι τὰς ἀποκρίσεις τοῖς ἀποστείλασι. λέγει οὖν πρὸς αὐτὸν ὁ Σολδάνος ὡς εἰ ὑπηρετήσεις μου τῷ βουλήματι, καὶ σωτηρίας ἀξιωθήσῃ καὶ δωρεῶν ἀπολαύσεις. τοῦ

10 αὐτὸν A 12 τε om P 16 τὸν om A

et vincula inveneritis, iis quae vestrae salutis causa a me vobis dicuntur nolite fidem abnuere." intelligentes itaque patricii barbarum, quod ita diceret, vera loqui, nec de aliis iam diffisi sunt. modum ergo quaerebant quo regem ulciscerentur. brevi itaque cum venatum egressus esset, urbis portas ei claudunt nec amplius ingredi sinunt. is vero, cum nihil in promptu esset quod quasi ulturus in eos facere posset, in patriam iterum reversus est. (58) accedit ad patricios Soldanus, indicati secreti mercedem accepturus. ea erat ut in patriam reverti sineretur. facta ergo abeundi licentia cum venisset Carthaginem, receptoque proprio principatu, nec a malitia discedens, adversus Capuam et Beneventum, acceptae salutis gratiam iis redditurus, proficiscitur. missa ad regem ab oppidanis legatio petitum auxilia: verum dimissi contumeliose legati, addente rege "illorum se magis gratulari exitio." mittunt itaque arcium praefecti nuntium ad imperatorem. is porro, humano cum esset pronoque ad miserendum ingenio, statim legatum remittit nuntiaturum ut ad se brevi mittenda auxilia exspectent. capitur nuntii minister ab hostibus, nondum perlato responso ad eos a quibus missus erat. cui Soldanus "si meae voluntati morem gesseris, cum salutem tum vero munera ex me consequeris." assentiente illo, ac quicquid iusserit

δὲ συνθεμένου τὸ κεκελευσμένον ἅπαν ποιεῖν, "βούλομαι" ἔφη "στῆναί σε τοῦ κάστρου ἐκτός, καὶ τοῖς ἔνδον εἰπεῖν ὡς ἐγὼ μὲν τὴν διακονίαν μου ἐξεπλήρωσα καὶ τὰ προσταγέντα μοι πάντα πεποίηκα· ἀλλ' ἐκ τοῦ βασιλέως βοήθειαν μὴ προσδέχεσθε· οὐ γὰρ ἤκουσεν ὑμῶν τῆς δεήσεως." ὑποσχομένου δὲ αὐτοῦ ταῦτα οὕτως ἐρεῖν, ἀποστέλλεται μετὰ τῶν τοῦ Σολδάνου ὑπηρετῶν τοῦ ταῦτα πρὸς τοὺς ἐν τῇ πόλει εἰπεῖν. ὁ δὲ πλησίον τοῦ τείχους γενόμενος, D καὶ τοὺς πρώτους παραγενέσθαι τῆς πόλεως πρὸς τὴν ἀκρόασιν αἰτησάμενος, ἔφη "εἰ καὶ πρόδηλός μοι τυγχάνει ὁ θάνατος καὶ ἐν χερσὶν ἡ σφαγή, ἀλλ' ὅμως οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. πλὴν αἰτῶ καὶ ὁρκίζω ὑμᾶς ἀποδοῦναί μοι τὴν χάριν εἰς τὰ ἐμὰ ἔκγονα καὶ τὴν σύνευνον. ἐγὼ γάρ, ὦ κύριοί μου, εἰ καὶ νῦν ταῖς τῶν πολεμίων περιεσχέθην χερσίν, ἀλλ' ὅμως τὴν διακονίαν μου ἐπλήρωσα καὶ τὴν παρ' ὑμῶν πρεσβείαν τῷ βασιλεῖ Ῥωμαίων προσήγαγον, καὶ συντόμως προσδέχεσθε τὴν ἐκεῖθεν βοήθειαν. διὸ στῆτε γενναίως καὶ μὴ δειλανδρήσητε· ἔρχεται γὰρ ὁ ὑμᾶς ῥυόμενος, εἰ καὶ μὴ ἐμέ." ταῦτα οὖν οἱ τοῦ Σολδάνου ὑπηρέται P 184 ἀκούσαντες καὶ πρὸς τὴν ἀπάτην ἐκμανέντες σφοδρῶς, εὐθέως αὐτὸν τοῖς ξίφεσι κατακόπτουσι. φοβηθεὶς οὖν ὁ Σολδάνος τὴν ἐκ βασιλέως προσδοκωμένην δύναμιν ἔλυσε τὴν πολιορκίαν καὶ πρὸς τὴν οἰκείαν χώραν ὑπέστρεψεν. καὶ τὸ ἀπὸ τούτου διέμειναν πιστοὶ βασιλεῖ οἱ τῶν τοιούτων ἐξηγούμενοι κάστρων, καὶ ταῦτα πρὸς τὴν αὐτοῦ συνετήρησαν δούλωσιν.

2 ὡς om P   3 πεπλήρωκα P   16 δειλιανδρήσητε P, δειλιανδρίσητε A

facturum se pollicente, "volo" inquit "ut extra muros constitutus in haec verba cives alloquaris. ego quidem ministerium meum implevi, et quae iussus eram cuncta feci: nulla tamen vobis praesto fore ab imperatore auxilia existimetis: non enim petitioni vestrae aures praebuit." haec se ita dicturum pollicitus mittitur cum Soldani ministris, ut cives alloquatur. prope itaque muros admotus, rogansque adesse primores civitatis, ut audiant, infit: "etsi manifesta mors mihi imminet caedesque in promptu est, non tamen vos veritatem celabo. verum rogo atque obtestor ut in liberis atque uxore gratiam mihi rependatis. ego enim, domini mei, etsi nunc hostium manibus teneor, meum tamen munus implevi, vestraque ad Romanorum imperatorem legatione functus sum; ab eoque brevi vobis ventura auxilia exspectate. quare state fortiter, nec ignavia torpeatis. veniet enim qui vos liberabit, quanquam me periculo non eximet." quibus auditis Soldani ministri, factaque sibi fraude vehementi furore iraque conciti, eum statim gladiis conscindunt. veritus itaque Soldanus exspectatas ab imperatore copias obsidionem solvit et ad propria rediit. ex eoque tempore urbium illarum praefecti Romanae rei fideles perstiterunt, easque in imperatoris obsequio conservarunt.

59. Συνέβη δὲ κατὰ τοὺς καιροὺς ἐκείνους καὶ ἄλλον στόλον Ἀγαρηνῶν κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐλθεῖν· ἀλλὰ ταῖς τοῦ βασιλέως ἐπιμόνοις δεήσεσι πρὸς θεὸν καὶ ταῖς ἔμφροσι διατάξεσι καὶ τῇ δεούσῃ τῶν πραγμάτων μεταχειρίσει μετὰ τῶν B Ῥωμαίων ἡ νίκη ἐγένετο καὶ δυσκλεᾶ τὴν ἧτταν οἱ ἐκ τῆς Ἄγαρ ἠνέγκαντο. ὁ γὰρ τῆς Ταρσοῦ ἀμηρᾶς, ὃς Ἐσμὰν ὠνομάζετο, τριάκοντα πλοίων μεγίστων, ἃ κομβάρια λέγεται, στόλον ἐξαρτυσάμενος κατὰ τοῦ κάστρου Εὐρίπου ὁπλίζεται. τοῦ δὲ στρατηγοῦ Ἑλλάδος (ὁ Οἰνιάτης οὗτος ἦν) κελεύσει βασιλικῇ τὸν ἱκανὸν εἰς φυλακὴν τοῦ κάστρου λαὸν ἀπὸ πάσης Ἑλλάδος εἰσαγαγόντος καὶ τοῖς τείχεσι τὰ ἁρμόζοντα παρασκευασαμένου ἀμυντήρια, ὡς εἶδον οἱ ἐκ τοῦ κάστρου τὰ πλοῖα τοῖς τείχεσι πλησιάζοντα καὶ τοὺς βαρβάρους βελῶν ἀφέσει συχνῶν ἀναστέλλειν καὶ ἀπωθεῖν πειρωμένους τοὺς ἔνδον ἐκ τῶν τειχῶν, θυμοῦ καὶ προθυμίας πλήρεις C γενόμενοι γενναίως ἀντηγωνίζοντο, καὶ τοῖς πετροβόλοις ὀργάνοις καὶ τοξοβαλλίστραις καὶ ταῖς ἐκ χειρῶν τῶν λίθων ἀφέσεσι χρώμενοι συχνοὺς τῶν βαρβάρων καθ᾽ ἑκάστην ἀνήλισκον. οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν νεῶν τὰς πλείστας ἐπιφόρου γενομένου τοῦ πνεύματος τῷ ὑγρῷ πυρὶ κατενέπρησαν. ἀπορῶν οὖν καὶ δυσθυμῶν ὁ βάρβαρος, καὶ εἰδὼς ἐφέσει χρημάτων ἑκόντας τοὺς πολλοὺς ἀποθνήσκοντας, ἀσπίδα μεγάλην πρὸ τοῦ χάρακος θεὶς καὶ χρυσίου ταύτην πεπληρωκὼς "τοῦτο γέρας" ἔφη "καὶ ἀριστεῖον ἐγὼ δίδωμι, μετὰ καὶ παρθένων ἐπιλέκτων τὸν ἀριθμὸν ἑκατόν, τῷ πρώτως ἐπιβάντι τοῦ ἄστεος καὶ τοῖς ὁμοφύλοις βραβεύσαντι τὸ

4 Ῥωμαϊκῶν A 8 Ἐρίπου A 15 τοῖς om P

59. Contigit vero per haec tempora ut et Agarenorum classis Romanam dicionem invaderet. verum imperatoris assiduis ad deum precibus solertibusque statutis nec non commoda rerum administratione, victoria a Romanis stante, Agareni probrosa clade affecti sunt. Tarsi enim ameras, Esmanus nomine, maximarum triginta navium (quas combaria vocant) instructa classe Euripi arcem aggreditur. Helladis praetor (Oeniates hic erat) imperatoris iussu iustas satis copias ad tuendam urbem ex omni Graecia inducit, et in moenibus praesidia apta disponit. tum videntes oppidani naves moenibus propinquare, barbarosque spissis sagittarum ictibus eos qui in muris erant conantes repellere, ira ac ardore plenis animis strenue impetum sustinebant, petrariisque et arcubalistis ipsaque manuum vi intortis lapidibus multos quotidie barbarorum necabant. neque id modo, sed et maximam classis partem, secundum nacti ventum, igni Graeco incenderunt. anceps itaque animi aegreque ferens barbarus, haud ignarus pecuniarum amore non paucos sponte se morti obiicere, ingenti scuto auro pleno pro vallo exposito, "hoc" inquit "praemium ac honorarium illi dabo, nec non lectas virgines centum, qui primus muros conscenderit suisque tribulibus victoriae auctor exsti-

νικᾶν." ὅπερ οἱ ἀπὸ τῆς πόλεως θεασάμενοι, καὶ τὸν νοῦν τοῦ D πραττομένου κατανοήσαντες, τοῖς παρακλητικοῖς τῶν λόγων ἑαυτοὺς παρεθάρρυνον, καὶ ὑφ' ἓν σύνθημα τῶν πυλῶν αὐτοῖς ἀναζυγεισῶν ἀνδρείως κατὰ τῶν βαρβάρων ἐξώρμησαν. καὶ πολλῶν ἀναιρουμένων, δεξαμένου δὲ καὶ τοῦ ἀμηρᾶ καιρίαν πληγὴν καὶ πεσόντος, ἐτράπησαν οἱ λοιποὶ καὶ τῶν διωκόντων ἐπικειμένων μέχρι τῶν ὑπολοίπων νεῶν κατεσφάττοντο, καὶ φόνος ἐγένετο τῶν βαρβάρων πολύς. οἱ γὰρ περιλιπεῖς ὀλίγας πληρώσαντες τῶν νεῶν μετ' αἰσχύνης ἀπέφυγον πρὸς τὰ ἴδια. οὕτως ὁ βαρβαρικὸς στόλος δίχα ναυτικῆς τῶν Ῥωμαίων δυνάμεως, ταῖς τοῦ βασιλέως εὐχαῖς καὶ ταῖς τῶν ἀντιπαραταξαμένων ἀλκαῖς, περιφανῶς ἡττήθη καὶ δυσκλεῶς ἀνεχώρησεν.

60. Οὕτω δὲ τοῦ ἀπὸ Ταρσοῦ διασκεδασθέντος νέφους, P 185 αἱ ἀπὸ Κρήτης αὖθις ἀντηγείροντο θύελλαι. τοῦ γὰρ Σαὴτ ἐκείνου τοῦ Ἀποχὰψ τῆς τοιαύτης ἀμηρεύοντος νήσου, ἔχοντος δὲ καὶ Φώτιόν τινα συνεργόν, ἄνδρα πολεμιστὴν καὶ δραστήριον, ἑπτὰ καὶ εἴκοσι κομβάρια κατὰ Κρήτην ἐγένετο. προσῆν δὲ αὐτοῖς ἀναλόγως καὶ πλῆθος μυοπαρώνων καὶ πεντηκοντόρων, ἃς σακτούρας καὶ γαλέας ὀνομάζειν εἰώθασι πάμπολλοι. μεθ' ὧν κατὰ τῆς Ῥωμαίων ἐξιόντες ἐπικρατείας καὶ πάντα τὸν Αἰγαῖον καταληϊζόμενοι, πολλάκις δὲ καὶ μέχρι τῆς ἐν Ἑλλησπόντῳ Προικοννήσου ποιούμενοι τὴν ἐπέλευσιν, πολλοὺς ἠνδραποδίζοντο καὶ διέφθειρον. προσβαλὼν δὲ τῷ τηνικαῦτα τῷ τοιούτῳ ναυτικῷ τῶν B

18 ἃ A   19 γαλαίας A

terit." viderunt cives, et quo res spectaret animadvertentes verbis se mutuo exhortantur; hisque animati, ex composito reseratis foribus, in barbaros fortiter irrumpunt. multisque caesis, ipsoque amera letali vulnere accepto demortuo, ceteri in fugam versi insequentibus ad reliquas usque naves victoribus contrucidabantur. ingensque barbarorum facta strages. qui residui fuerunt, paucis navibus impletis ad sua cum probro diffugerunt. in hunc modum navalis barbarorum exercitus absque navalibus Romanis copiis, imperatoris precibus pugnantiumque forti robore, illustri profligatus victoria est ac inglorie abscedere coactus.

60. Sic vero Tarsensi dissipata nebula, Cretenses rursus exortae sunt procellae. Saete enim Apochapsis filio eius insulae amera, sed et Photio viro strenuo ac bellatore illi socio ac administro, septem ac viginti combariis instructa classe; pro quorum numero et ratione myoparonum multitudo erat et penteconterorum (plerique sacturas galeasque vocare sueverunt) cum illis in Romanae dicionis loca excurrentes Aegaeumque omne depraedantes, nec raro ad ipsam in Hellesponto Proeconnesum irrumpentes, multos captivos ducebant, alios contrucidabant. congressus vero, cuius ante meminimus, Nicetas patricius, Romanarum

Κρητῶν ὁ προμνημονευθεὶς Νικήτας πατρίκιος, ὁ τῶν Ῥωμαϊκῶν τριήρεων ἄρχειν λαχών, καὶ μάχην μετ' αὐτῶν καρτερὰν συστησάμενος, εὐθὺς τὰ μὲν εἴκοσι τῶν Κρητικῶν σκαφῶν τῷ ὑγρῷ πυρὶ συγκατέφλεξε, καὶ τοὺς ἐπ' αὐτῶν βαρβάρους μάχαιρα καὶ πῦρ καὶ ὕδωρ διεμερίσαντο· τὰ δὲ λοιπὰ φυγῇ τὴν σωτηρίαν, ὅσα τὸν ἀπὸ τῆς θαλάσσης διέφυγον κίνδυνον, ἐπορίσαντο.

61. Ἀλλὰ καίπερ οὕτως οἱ Κρῆτες ἐλαττωθέντες καὶ δυστυχῶς ὑποστρέψαντες οὐκ ἠγάπησαν ἠρεμεῖν, ἀλλὰ πάλιν τῶν C κατὰ θάλασσαν πραγμάτων ἀντείχοντο, καὶ τὰ μᾶλλον τῆς βασιλίδος ἀπέχοντα, τὴν Πελοπόννησον καὶ τὰς κάτωθεν ταύτης νήσους φημί, παρελύπουν καὶ ἐλῄζοντο, τὸν ἀνωτέρω μνημονευθέντα Φώτιον ναύαρχον ἔχοντες. ἀποστέλλεται τοίνυν καὶ κατ' αὐτοῦ μετὰ τῶν Ῥωμαϊκῶν τριήρων ὁ τούτων καλῶς ἀφηγούμενος Νικήτας, τὸν Ὠορύφαν φημί, ὃς αἰσίως χρησάμενος πλῷ δι' ὀλίγων ἡμερῶν καταλαμβάνει τὴν Πελοπόννησον. καὶ τῷ λιμένι προσορμισάμενος Κεγχρεῶν, καὶ μαθὼν ὅτι τὰ δυτικώτερα Πελοποννήσου μέρη, Μεθώνην καὶ Πάτρας καὶ τὰ προσεχῆ Κορίν-D θου χωρία, λυμαίνεται τὸ βαρβαρικόν, βουλὴν βουλεύεται συνετὴν καὶ σοφήν. οὐ γὰρ ἔκρινε διὰ θαλάσσης τὴν Πελοπόννησον διελθεῖν καὶ διὰ τοῦ Μαλέου κάμψας τὸ τῶν χιλίων μιλίων μῆκος ἀναμετρήσασθαι καὶ τοῦ προσήκοντος ὑστερῆσαι καιροῦ, ἀλλ' ὡς εἶχεν, εὐθὺς ἐν νυκτὶ διὰ τοῦ κατὰ Κόρινθον ἰσθμοῦ πολυχει-

2 κρατερὰν P 16 προσορμίσας Κεγχρέων P 20 Μαλαίου AP μιλίων om A

tunc triremium praefectus, fortique cum illis conserto praelio, statim ad viginti Cretensium naves igni Graeco combussit, harum classiariis barbaris, aliis alias gladio igni aqua absumptis. reliquae naves, quotquot maris periculo superiores exstiterant, salutem fuga quaesierunt.

61. Quanquam vero sic imminuto Cretensium numero, sicque illis infausto pugnae exitu, haud tamen ut quiescerent adduci potuere, sed rursus rei navali animum attendentes loca paulo a Byzantio remotiora, Peloponnesum scilicet ulterioresque insulas, devastabant ac praedabantur, ductore classis, cuius supra meminimus, Photio. mittitur contra illum cum Romana classe, qui illi bene praeerat, Nicetas Oorypha. is fausta usus navigatione, paucorum dierum spatio, in Peloponnesum evasit; appulsusque ad Cenchreorum portum, cum didicisset occidentaliores Peloponnesi partes, Methonam Patrasque ac loca Corintho vicina, barbarorum classe late divexari atque diripi, prudens catumque consilium iniit. haud enim commodum existimavit Peloponnesum circumnavigare, et per Maleam flectendo mille miliarium spatium remetiri, commodique temporis iacturam facere ac rebus opportuni: verum ut ex itinere comparatus erat, statim noctu per Corinthiacum isthmum multorum adnixu

ρίᾳ καὶ ἐμπειρίᾳ πρὸς τὸ ἐκεῖθεν μέρος κατὰ τὸ ξηρὸν διαβιβάσας τὰς ναῦς ἔργου εἴχετο. καὶ οὔπω πεπυσμένοις τι περὶ τούτου τοῖς πολεμίοις αἰφνίδιον ἐπιφαίνεται, καὶ συγχέας αὐτῶν τῷ δέει τοὺς λογισμοὺς διά τε τὸ ἐκ τῆς προτέρας μάχης δέος καὶ διὰ τὸ τῆς ἐφόδου ἀπρόοπτον οὐδὲ συστῆναι καὶ ἀλκῆς μεμνῆσθαι παν- P 186 τελῶς συνεχώρησεν, ἀλλὰ τὰς μὲν πυρπολήσας τὰς δὲ καταποντώσας τῶν πολεμίων νεῶν, καὶ τῶν βαρβάρων τοὺς μὲν ἀνελὼν τῷ ξίφει τοὺς δὲ ὑποβρυχίους τῷ βυθῷ ποιησάμενος, καὶ τὸν τούτων ἀρχηγὸν ἀνελών, τοὺς λοιποὺς διασκεδασθῆναι κατὰ τὴν νῆσον ἠνάγκασεν· οὓς σαγηνεύσας ὕστερον καὶ ζωγρῶν διαφόροις τιμωρίαις ὑπέβαλε. τῶν μὲν γὰρ τὴν τῆς σαρκὸς ἀπέωσε δοράν, μάλιστα τῶν ἀρνησαμένων τὸ βάπτισμα τοῦ Χριστοῦ, τοῦτο παρ' αὐτῶν ἀφαιρεῖσθαι λέγων, καὶ οὐδὲν αὐτῶν ἴδιον· ἐκ δὲ τῶν ἱμάντας ἀπὸ τοῦ ἰνίου ἄχρι τῶν σφυρῶν μετ' ὀδύνης δριμείας ἐξείλκυεν· ἄλλους δὲ κηλωνείοις τισὶν αἰωρῶν, εἶτα ἀπὸ τοῦ μετεώρου πρὸς λέβητας πίσσης μεστοὺς ἐμβάλλων τε καὶ ὠθῶν, τοῦ B ἰδίου αὐτοῖς μεταδιδόναι βαπτίσματος ἔλεγε τοῦ ἐπωδύνου καὶ ζοφεροῦ. οὕτως οὖν κατακερτομήσας, καὶ ἀναλόγους τῶν ἐργασθέντων αὐτοῖς ποινὰς εἰσπραξάμενος, τοῦ καὶ αὖθις κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐκστρατεύειν οὐκ ὀλίγον δέος ἐνέβαλεν.

Ἀλλ' οὕτως μὲν τὰ μεσημβρινὰ διεσκέδαστο πνεύματα, καὶ ἀκλύστως ἐντεῦθεν τὸ τοῦ Ῥωμαϊκοῦ κράτους σκάφος ηὐθύνετο·

11 γὰρ om P 14 ἠνίου AP 16 πρὸς τοὺς λέβητας P
18 ἀναλόγοις A, ἀναλόγας P

solertique experientia ad alterum littus per siccum ac continentem traductis navibus opus accelerat, hostibusque nihil dum tale quid cogitantibus aut praemonitis repente ingruit; impletisque terrore eorum animis tum ob prioris pugnae cladisque recentem memoriam tum ob inexspectatam irruptionem, nec coire nec prorsus fortitudinis meminisse permisit, sed navium aliis igne absumptis aliis submersis, ipsorumque barbarorum aliis ense sublatis aliis maris profundo mersis, ipsoque illorum duce interempto, reliquos per insulam dissipari coegit; quos ipsos postea intra casses adactos ac quasi venatu ac indagine captos diversis suppliciis subiecit. aliis cutem detrahit, iis maxime qui eiurati Christi baptismatis rei essent, hoc ab eis auferri, non eorum aliquid proprium, dicens. aliis corrigias ab occipitio ad pedes usque malleosque acerbo cruciatu extrahebat. alios tollenonibus quibusdam sustollens, sic ex alto in lebetes pice plenos iniiciens pellensque, ipso illorum baptismate illos se impartiri aiebat, quanquam acerbo et caliginoso. sic subsannans, ac pro facinorum ratione debitis poenis excrucians, non levem timorem iniecit, ne deinceps Romanam dicionem armis infestare ac diripere audeant.

Hoc modo meridianis flatibus dissipatis, Romani imperii navis a naufragio tuta dirigebatur. (62) ex Occidente saeva rursus procella

(62) ἐκ δὲ τῆς ἑσπέρας αὖθις κλύδων δεινὸς ἐπηγείρετο. ὁ γὰρ
τῆς Ἀφρικῆς ἀμερμουμνῆς παμμεγέθεις ναῦς ἑξήκοντα τὸν ἀριθμὸν
κατασκευασάμενος κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐξώρμησε, καὶ
C τὰ μεταξὺ ληϊζόμενος καὶ πολλὰ σώματα λαμβάνων αἰχμάλωτα
ἄχρι Κεφαληνίας καὶ Ζακύνθου τῶν νήσων ἀφίκετο. ἅπερ ἀκη-
κοὼς ὁ βασιλεὺς συντόμως πρὸς τὴν βοήθειαν διανίσταται, καὶ
τὸν τῶν ναυτικῶν ἡγεμόνα δυνάμεων (Νάσαρ δὲ οὗτος ἦν) μετὰ
δυνάμεως ἐκπέμπει ἁδρᾶς, τριήρων τε καὶ διήρων καὶ ἄλλων νεῶν
ταχυναυτουσῶν πλῆθος ἐξαρτυσάμενος. σύντομον δὲ τὸν ἔκπλουν
ὁ Νάσαρ πεποιηκὼς καὶ αἰσίοις χρησάμενος πνεύμασι δι' ὀλίγου
μὲν χρόνου τὴν Μεθώνην κατέλαβε, θᾶττον δὲ τὴν κατὰ τῶν πο-
λεμίων ἐπίθεσιν ἀπὸ τοιαύτης αἰτίας διεκωλύθη ποιήσασθαι· τῶν
γὰρ ἐρετῶν οὐκ ὀλίγοι πρὸς τὸν κίνδυνον ἀποδειλιάσαντες κατ' ὀλί-
D γους λαθραίως ἀπέφυγον, ὧν τῇ λειποταξίᾳ τὸ προσῆκον τάχος
ἀφαιρεθεισῶν τῶν νεῶν, μὴ ἐχουσῶν τὴν μετὰ ῥοθίου σὺν ὀξύ-
τητι κατὰ τῶν ἐναντίων ἐπέλασιν, οὐκ ἔκρινε δεῖν παρωπλισμένοις
οὕτως κατὰ τῶν δυσμενῶν ἀπελθεῖν. μηνύει δὲ τὸ συμβὰν διὰ
ταχυδρόμου τῷ βασιλεῖ. ὁ δὲ διὰ ταχείας ἀποστολῆς τῶν πρὸς
τοῦτο ἐπιτηδείων πάντας τοὺς λειποτάκτας ἐζώγρησε καὶ ἐμφρού-
ρους ἐποίησε. σκοπῶν δὲ ὅπως καὶ ὁμοφύλων φόνου τὰς χεῖρας
τηρήσῃ καθαρὰς καὶ τὸ προσῆκον ἐμποιήσῃ δέος τοῖς ὑπολοίποις
τῶν ἐρετῶν, ὡς ἂν μὴ καὶ ἄλλοις εἴη πρὸς μίμησιν ἡ τούτων κα-
P 187 κία καὶ ἐθελοκακῶσιν οἱ πλεῖστοι καὶ ῥαστωνεύωνται, βουλὴν

3 σκευασάμενος P 8 ἀποπέμπει P

exoritur. Africae namque amermumnes magnis navibus sexaginta instructus Romanam dicionem invasit; cunctaque interiecta diripiens ac multis adductis captivis ad Cephaleniam usque ac Zacynthum insulas pervenit. quibus auditis imperator ad opem ferendam quamprimum accingitur; navaliumque copiarum ducem Nasarum cum valida militum manu mittit, triremibus ac biremibus aliisque cursoriis navibus iisque multis stipatum. celeri Nasar navigatione ventisque secundis usus brevi Methonam venit: ne tamen citius hostes aggrederetur, tale quid obstaculo fuit. non pauci remigum, periculi metu deterriti, occulte paulatim diffugerant; quorum desertione, navibus ea quae deceret celeritate carentibus, deficiente remis impellentibus vehementi in hostem impetu, haud operae pretium putavit sic male instructa classe cum hostibus congredi, remque adeo per celerem cursorem denuntiare studet imperatori. ille, missis prompte qui ad hoc idonei essent, desertores omnes vivos capit et in carcerem trudit. spectans vero qua demum ratione et a tribulium caede impollutas manus servaret, et reliquis remigum quem par esset timorem incuteret, ne mollis eorum defectio in exemplum aliis cederet pluresque sic desertores ac elanguidi segnesque fierent, sapientissimum

βουλεύεται συνετήν. τῷ γὰρ τῆς βίγλης δρουγγαρίῳ διακελεύεται ἀπὸ τῶν ἐν τῷ πραιτωρίῳ δεσμίων τε καὶ κακούργων, ὧν ἐκ τῶν νόμων κατεψήφιστο θάνατος, τριάκοντα τὸν ἀριθμὸν ἔτι νυκτὸς οὔσης ἐξαγαγεῖν, καὶ τούτων ἀσβόλῃ τὰ πρόσωπα χρίσαντα, καὶ τὰς ἐπὶ τοῦ γενείου καὶ τῆς κεφαλῆς τρίχας ψιλώσαντα διὰ φλογός, περιελεῖν αὐτῶν τὸ γνώρισμα τῆς μορφῆς, ἐξασφαλίσασθαι δὲ τοῦ μηδένα τῶν ἁπάντων τολμῆσαι προσειπεῖν αὐτοὺς ἢ προσφθέγξασθαι, ἐπιτίμιον δὲ τῆς τόλμης ὁρίσασθαι θάνατον, καὶ τούτους ὡς δῆθεν ἐξάρχους τῶν λειποτακτησάντων ἐκείνων πλωΐμων ἐν τῷ ἱπποδρόμῳ διὰ μαστίγων ἐπεξελθεῖν, καὶ ἑτοίμως διὰ τῆς κατὰ τὴν πόλιν ἀγορᾶς περιηγκωνισμένους διεξελθεῖν, B
εἶτα ποδοκάκαις ἀσφαλισθέντας ἐκπεμφθῆναι πρὸς Πελοπόννησον, ὡς ἂν ἐν τῷ τόπῳ ὅθεν ἀποφυγεῖν ἐνομίζοντο, καὶ τὴν προσήκουσαν τιμωρίαν προσδέξωνται. ὑπηρετήσασθαι δὲ πρὸς τοῦτο Ἰωάννης ὁ στρατηγὸς ἐπετράπη Πελοποννήσου, ὁ λεγόμενος Κρητικός· ὃς τῇ βασιλικῇ κελεύσει καθυπουργῶν ἰσαρίθμους τῶν ἀποσταλέντων δεσμίων ἐν Μεθώνῃ φούρκας στῆναι προσέταξε καὶ τοὺς ὡς ἐξάρχους τῆς φυγῆς πεμφθέντας ἀνεσκολόπισεν. ὅπερ ὁ Ῥωμαϊκὸς στόλος ἀκούσας τε καὶ ἰδὼν ἐκείνους τε ὡς δειλοὺς καὶ ἀθλίους ᾤκτείρησε καὶ αὐτὸς ἐπερρώσθη πρὸς τὰ δεινά, πᾶσαν ἀποθέμενος μαλακίαν τε καὶ τρυφήν, καὶ ἄγειν αὐτοὺς ταχέως πρὸς τοὺς ὑπεναντίους παρεκάλουν τὸν ἡγεμόνα. C

63. Ἐν τούτῳ δὲ καὶ αὐτὸς τὸ λεῖπον τῆς στρατείας ἀπὸ

4 ἀγαγεῖν P 10 τῷ om P 12 πεδοκάκαις P 13 ἐνομίζετο P 14 δὲ om P

init consilium. nempe excubiarum drungario praecipit ut vinctorum in praetorio ac maleficorum, in quos legum severitate lata capitis sententia sit, triginta numero sub noctis adhuc tenebras educat, vultusque illorum fuligine oblinat, ac erasis flamma tum barbae tum capitis pilis formam omnem aboleat, ac unde dignosci possint, caveatque ne quis prorsus eos salutare vel alloqui audeat. qui secus faxit, is vero morte luat. hos porro ceu desertorum navalium capita in Hippodromo acriter caedat, citoque revinctis post terga manibus per urbis forum traducat, ac deinde noxiorum vinculis constrictos tuto in Peloponnesum mittat, ut quo loco fugam fecisse existimabantur, poenas debitas luant. in eam rem operam conferre iussus Ioannes Peloponnesi praetor, dictus Creticus. is porro imperatoris iussioni parens, pro vinctorum numero totidem furcas erigi iubens, ad se missos in eis suspendit quasi qui fugae auctores exstitissent. quibus auditis visisque Romani classiarii tum illos deplorare ut timidos atque miseros, tum ipsi ad mala quaeque ac gravia animis roborari, omnique semota mollitie vitaeque deliciis, ut cito adversus hostes educat, imperatorem ducemque rogare.

63. Inter haec ipsi quoque ex Peloponnesiacis cohortibus ac Mar-

τῶν κατὰ Πελοπόννησον στρατιωτῶν καὶ Μαρδαϊτῶν ἀναπληρώσας, καὶ τὸν στρατηγὸν συνεργὸν προσλαβόμενος, πρὸς ἐπίθεσιν εὐτρεπίζεται. τῶν δὲ Σαρακηνῶν ἤδη πολλὴν δειλίαν τοῦ Ῥωμαϊκοῦ καταγνόντων στόλου διὰ τὸ δοκεῖν τὸν μεταξὺ χρόνον μάτην αὐτοῖς κατατρίβεσθαι, καὶ ἐπ᾽ ἀδείας πολλῆς ἀπὸ τῶν οἰκείων ἐξερχομένων νεῶν καὶ τὰς ὑποκειμένας ληϊζομένων χώρας καὶ νήσους, ἐξαίφνης πλησίον αὐτῶν ἀφανῶς γεγονὼς ὁ τῶν Ῥωμαίων στρατὸς ναυτικός, τὸ σύνθημα δόντος τοῦ στρατηγοῦ, ἐπι-
D *τίθεται τοῖς πολεμίοις ἀπροόπτως ἐν τῇ νυκτί. καὶ μήτε συστῆναι μήτε πρὸς ἀλκὴν τραπῆναι σχόντες καιρὸν δυστυχῶς ἀπεσφάττοντο, καὶ αἱ τούτων ναῦς πυρὶ μετὰ τῶν ἐπιβατῶν καὶ τῶν σὺν αὐτοῖς κατεφλέγοντο. ὅσαι δὲ τὸν τοῦ πυρὸς κίνδυνον διέφυγον, ταύτας τῇ ἐν Μεθώνῃ τοῦ θεοῦ ἐκκλησίᾳ φέρων ὁ Νάσαρ ὡς χαριστήρια ἐδωρήσατο, καὶ ἀπὸ τῶν λαφύρων καὶ τῶν περιλειφθέντων σωμάτων ὠφεληθῆναι τὸν ὑπ᾽ αὐτὸν λαὸν συνεχώρησεν. δηλοποιεῖ δὲ ταῦτα θᾶττον τῷ βασιλεῖ, καὶ περὶ τοῦ τί χρὴ τὸ ἐντεῦθεν πράττειν καὶ ποῖ τραπέσθαι πυνθάνεται. ὃν ἐπὶ τοῖς πεπραγμένοις ἐπαινέσας ὁ βασιλεὺς προσωτέρω χωρεῖν ἐγκελεύεται.*

P 188 64. *Ἐπεὶ οὖν τοῖς προκατειργασμένοις πρόθυμος ἦν ὁ στρατός, διαπεραιοῦται πρὸς Σικελίαν καὶ Πάνορμον, καὶ τὰς ἐνταῦθα πόλεις, ὅσαι τοῖς ἐκ Καρχηδόνος Ἀγαρηνοῖς ἐτέλουν ὑπόφοροι, ἐπιὼν ἐληΐζετο· καὶ φορτηγῶν νεῶν καὶ σκαφῶν παμπόλλων ἐκράτησεν, ὧν ὁ φόρτος ἔλαιόν τε δαψιλὲς ἦν καὶ ἄλλα τῶν*

12 *κίνδυνον* om A 14 *περιληφθέντων* AP 22 *ἐκ* om P

daitis suppletis auctisque ordinibus, ascitoque praetore adiutore, ad impressionem sese accingit. Saraceni Romanam classem ingentis ignaviae ac timiditatis iam insimulantes, quod frustra interim viderentur tempus terere, licenter admodum ac secure navibus egressi subiecta praedia insulasque diripiebant, cum repente improvisus eis accedens navalis Romanus exercitus, signoque dato, noctu inexspectatus hostes aggreditur; ac nec coeundi facta facultate nec animos sumendi, misere trucidabant, navesque cum vectoribus ac reliqua supellectili et impedimentis igni cremabant. quae vero naves ignis ereptae periculo sunt, eas Nasar ecclesiae dei, quae est Methonae, velut gratiarum actionis munere donavit; manubiis atque captivis milites gaudere iisque ditari permisit. rei vero omnem eventum ocius imperatori significat, quidve in posterum agendum aut quo vertendus animus ducendaque classis sciscitatur. imperator ob praeclare gesta laudatum ulterius progredi iubet.

64. Alacri igitur exercitu superiori victoria in Siciliam Panormumque traiicit, urbesque ibi Agarenis Carthaginensibus tributarias diripit, praedasque agit. onerariae plures captae ac scaphae. onus olei ingens

τιμιωτέρων πολλά. τοσοῦτον δέ φασιν ἐπευωνηθῆναι τότε τὸ ἔλαιον ἐκ τῆς τοιαύτης προσαγωγῆς ὥστε ὀβολοῦ τὴν λίτραν πιπράσκεσθαι. (65) διαπεράσας δὲ καὶ πρὸς τὰ τῆς Ἰταλίας μέρη ὁ αὐτὸς στόλος, καὶ ταῖς ὁπλιτικαῖς καὶ ἱππικαῖς τῶν Ῥωμαίων δυνάμεσιν ἑνωθείς, ὧν Προκόπιος ὁ τοῦ βασιλέως ἡγεῖτο πρωτοβεστιάριος καὶ Λέων ὁ τῶν Θρᾳκῶν καὶ Μακεδόνων τότε στρα- B
τηγός, ὃν Ἀποστύπην ἐκάλουν, πολλὰ καὶ ἐπωφελῆ τῇ Ῥωμαίων ἀρχῇ κατεπράξατο· τόν τε γὰρ ἐξ Ἀφρικῆς αὖθις ἐξελθόντα στόλον ἐν τῇ νήσῳ τῇ καλουμένῃ Στῆλαι ὁ αὐτὸς Νάσαρ κατεπολέμησε, καὶ τὰ ὑπὸ τῶν Ἀγαρηνῶν κατεχόμενα κάστρα ἔν τε Καλαβρίᾳ καὶ Λαγοβαρδίᾳ, πλὴν ὀλίγων πάνυ, πάντα τῆς βαρβαρικῆς χειρὸς ἠλευθέρωσε καὶ πρὸς τὴν Ῥωμαίων ἐξουσίαν μετήγαγε. καὶ οὕτω μὲν ὁ ναυτικὸς στρατὸς κρείττων δόλου καὶ φθόνου φανεὶς καὶ νεμέσεως μετὰ πολλῶν λαφύρων καὶ νικητικῶν στεφάνων ἐπανῆλθε πρὸς βασιλέα, εὐφροσύνης ἐμπλήσας πᾶν τὸ πολίτευμα, καὶ βασιλεῖ πολλὰς ἀφορμὰς παρασχὼν τῆς πρὸς θεὸν C
εὐχαριστίας καὶ ἀνθομολογήσεως.

66. Αἱ πεζικαὶ δὲ δυνάμεις οὐ πάντῃ τὸν φθόνον διέφυγον, ἀλλ' ἔργα μὲν ἀνδρικὰ καὶ λαμπρὰ κατειργάσαντο, ἐξ ἔριδος δὲ καὶ φιλονεικίας κατ' αὐτὸν τὸν ἀγῶνα συμπεσούσης ἀπώλεσαν τὸν μείζονα στρατηγόν. τοῦ γὰρ Λέοντος διενεχθέντος πρὸς τὸν Προκόπιον, συμβαλόντων δὲ ὅμως τοῖς πολεμίοις, συνέβη

6 τότε om A

copia mercesque aliae pretiosae. tantam inde olei vim invectam ferunt ut eius libra venierit obolo. (65) sed et ad Italiae partes transvecta eadem classis, pedestribusque ac equestribus Romanorum copiis coniuncta, quarum ductor erat Procopius imperatoris protovestiarius et Leo (Apostupem vocabant) Thracum et Macedonum dux, multa, eaque Romano imperio utilia, gessit. nam et classem rursus ex Africa profectam in insula cui Stelae nomen idem Nasar devicit, ac quas Agareni urbes munitas ac praesidia in Calabria et Longobardia tenebant, paucis admodum exceptis, cuncta eis erepta eorumque iugo liberata Romanae dicioni restituit. inque eum modum Romana quidem classis insidiis invidentia Nemesique superior, spoliis opima multisque clara victoriae coronis, ad imperatorem reversa est, implens omnes cives ac rem publicam laetitia, multaque imperatori gratiarum actionis et confessionis divinae laudis praebens nomina atque momenta.

66. Terrestres vero copiae haud prorsus invidiam effugere. verum gesserunt illae quidem fortia claraque facinora; orta tamen sub ipsius praelii tempus discordia ac contentione ducem amiserunt qui maior dignitate erat. cum enim dissideret Leo a Procopio, conserto

τὸν μὲν Ἀποστύππην μετὰ τῶν Θρᾳκῶν τε καὶ Μακεδόνων κατὰ τὸ δεξιὸν μέρος ἀγωνιζόμενον κρατεῖν τῶν ἐχθρῶν καὶ πολὺν φόνον ἐργάζεσθαι, τὸν δὲ Προκόπιον μετὰ τῶν Σκλαβηνῶν τε καὶ δυτικῶν κατὰ τὸ ἕτερον μέρος ἀντιταττόμενον ὑπὸ τῶν ἐναντίων D πιέζεσθαι. μὴ πεμφθείσης δὲ παρὰ τοῦ συστρατηγοῦ βοηθείας πρὸς τὸ πονοῦν διὰ τὴν προηγησαμένην φιλονεικίαν, ἐτράπη καθαρῶς τὸ κατὰ τὸν Προκόπιον μέρος, καὶ αὐτὸς ἐκεῖνος ἐσφάγη κατὰ τὴν δίωξιν, τοῦ ἵππου συμπεσόντος αὐτῷ. τοιοῦτον δὲ τέλος τῆς μάχης ἐκείνης λαβούσης, θέλων τι καὶ ἕτερον λαμπρὸν ὁ Λέων ἐργάσασθαι, ὡς ἂν τὸ ἐκ τῆς ἔριδος συσκιάσῃ συμβάν, τό τε οἰκεῖον στράτευμα λαβὼν καὶ τοὺς ἐκ τῆς φυγῆς διασωθέντας τῶν ταττομένων ὑπὸ τὸν Προκόπιον συμπεριλαβὼν τὸ κάστρον κατεπολέμησε Τάραντος, ἔτι κατεχόμενον ὑπὸ τῶν Ἀγαρηνῶν, καὶ τοῦτο κατὰ κράτος εἷλε, καὶ πάντα τὸν ἐν αὐτῷ λαὸν ἐξηνδραποδίσατο· ἐξ ὧν τό τε στρατιωτικὸν ἀποχρώντως ὠφεληθῆναι P 189 συνεχώρησε καὶ βασιλεῖ συχνὰ προσήγαγε λάφυρα. ἀλλ' οὐκ ἐπεῖδε τούτοις ἡδέως ὁ βασιλεύς, οὐδὲ ὡς ἀριστέα τὸν Λέοντα ἀντημείψατο, ἀλλ' ἐπεὶ διερευνώμενος εὕρισκεν ἐκ τῆς συμπεσούσης φιλονεικίας κατ' αὐτὴν τοῦ πολέμου συμβολὴν ἀπολωλέναι τὸν ὁμοστράτηγον, τῆς τε ἀρχῆς παρέλυσε καὶ ἐξόριστον ἐν τῷ ἰδίῳ οἴκῳ ἀπέστειλε πλησίον Κοτυαείου τυγχάνοντι.

67. Τοιαύταις δὲ καὶ μετὰ ταῦτα τύχαις ὁ Ἀποστύππης

1 κατὰ τὸ δεξιὸν μέρος om A 3 Barberinus Σκλαβήνων
11 τε om A 15 ὧν τότε καὶ τὸ στρ. A

tamen cum hostibus praelio contigit Leonem cum Thracibus et Macedonibus in dextra acie victoria potiri atque hostium magnam stragem dare, Procopium vero cum Sclavinis et occidentalibus sinistram tenentem validiore premi hostium impetu; cui laboranti cum ob praecedentem discordiam nulla a collega missa essent auxilia, fusa penitus illius acie ipsemet in fuga equo lapsus necatus est. hunc exitum cum pugna habuisset, Leo aliud etiam aliquid clari facinoris edere in animo habens, ut illatam ob dissidium cladem obtegeret, tum suas ipse copias assumens tum ex Procopii clade residuas colligens, Tarenti arcem expugnavit, quam adhuc Agareni tenebant, penitusque diripiens populum omnem captivum abduxit. hinc et milites non parum praeda iuvit, et imperatori opima spolia obtulit. non tamen imperator haec libenter aspexit, nec ut viro forti mercedem Leoni reddidit: sed cum habita rei indagine ex contentione in ipso pugnae conflictu Leonem collegam perdidisse invenisset, abrogato ei munere in domum suam, quae haud procul Cotyaio est, relegavit.

67. Postea quoque tali Apostypes usus fortuna est. pari enim

ἐχρήσατο. συμφρονήσαντες γὰρ κατ᾽ αὐτοῦ ὅ τε πρωτοστράτωρ Βαϊάνος καὶ Χαμάρετος ὁ κουβικουλάριος καὶ πρῶτος τῶν οἰκειοτάτων αὐτῷ γραφὴν κατὰ τοῦ ἰδίου δεσπότου πρὸς βασιλέα συνέθεσαν, δι᾽ ἧς ἐδηλοῦτο καὶ ὁ τοῦ πρωτοβεστιαρίου Προκοπίου B θάνατος γνώμῃ τοῦ κυρίου αὐτῶν γεγονὼς καὶ καθοσιώσεως ἔγκλημα καὶ ἄλλα τινὰ βαρέα καὶ δυσχερῆ. ἣν ὁ Χαμάρετος λαβὼν καὶ πρὸς τὴν βασιλεύουσαν εἰσελθὼν τῷ βασιλεῖ ἐπιδέδωκεν. μαθόντες δὲ τοῦτο οἱ τοῦ Ἀποστύππη υἱοί, ὅ τε Βάρδας καὶ ὁ Δαβίδ, αὐτόχειρες τοῦ Βαϊάνου καθίστανται, τοῖς ξίφεσιν αὐτὸν ἀνηλεῶς κατακόψαντες. διὰ δὲ τὸ τοιοῦτον τόλμημα καὶ τὸ ἐκ βασιλέως δέος ὥρμησαν μετὰ τοῦ πατρὸς πρὸς Συρίαν φυγεῖν. ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς σὺν τάχει πολλῷ Βαρτζαπέδονα τὸν μαγκλαβίτην ἀπέστειλε πρὸς τὸ κατασχεῖν αὐτοὺς καὶ πρὸς αὐτὸν ἀγαγεῖν. οὓς ἤδη πρὸς Καππαδοκίαν κατέλαβε, τὴν πρὸς Συ- C ρίαν ὁδὸν συντόνως ἐλαύνοντας. πειραθεὶς οὖν αὐτοὺς κατὰ τὸ πρόσταγμα τὸ βασιλικὸν κατασχεῖν, ἐκείνων δὲ ἀντιστάντων καὶ ἀμυνομένων εἰς δύναμιν, συνέβη κατὰ τὴν τοιαύτην ἁψιμαχίαν καὶ στάσιν σφαγῆναι τοὺς δύο τοῦ Ἀποστύππη υἱούς, αὐτὸν δὲ ληφθῆναι καὶ δέσμιον ἀχθῆναι πρὸς βασιλέα κατὰ τὰς ἐν Ἱερείᾳ βασιλικὰς οἰκίας τὸ τηνικαῦτα τυγχάνοντα· ὃς τῇ κρίσει Μανουὴλ τοῦ μαγίστρου βασιλικῇ κελεύσει ὑποπεσὼν καὶ τὸν ἕνα τῶν ὀφθαλμῶν ἐκκοπείς, ἀφαιρεθεὶς δὲ καὶ τῶν χειρῶν τὴν μίαν διά τε τὴν

1 πρ. αὐτοῦ Βαγιάνος A 5 γεγονότος A 8 Ἀποστύππου A 9 Βαγιάνου A 11 πρὸς om P 13 καὶ πρὸς αὐτὸν ἀγαγεῖν om P 18 Ἀποστύππου A, Barberinus ἀποστάτου

consensu tum protostrator Baianus tum cubicularius Chamaretus, ipsius necessariorum primus, accusationem struunt apud imperatorem contra herum suum, qua et protovestiarii Procopii necem eius voluntate certoque consilio factam insinuabant, reumque maiestatis agebant, nec non gravia quaedam alia ac difficilia ei imponebant. accusationis libellum Chamaretus accipiens, ingressusque Byzantium, imperatori porrexit. ea ubi rescivissent Apostypis liberi, Bardas Davidque, sua ipsi manu Baianum perimunt, corpusque minutim immani facinore ensibus concidunt. sceleris indignitate ac imperatoris metu conterriti assumpto patre in Syriam concito cursu diffugiunt. quibus imperator auditis, Bartzapedonem manglavitam qui illos detineret quam celerrime mittit. iam in Cappadociam venerant, cum in Syriam contento cursu approperantes invenit. conatur ille, quae ad eum erat divalis iussio, homines tenere. enimvero illis obnitentibus ac pro virili sese tuentibus, contigit ambos Apostypis filios in ea digladiatione rixaque cadere. pater ipse captus vinctusque ad imperatorem tum in regiis aedibus in Hieria versantem adductus, eiusdemque iussu Manuelis magistri iudicio subactus, unius oculi effossione uniusque item manus amputatione luit, tum ob indicia

ἔνδειξιν τὴν κατ' αὐτοῦ καὶ διὰ τὴν πεῖραν τῆς πρὸς τοὺς πολε-
D μίους φυγῆς, τὸ λοιπὸν ἐν Μεσημβρίᾳ ἐξόριστος κατεγήρασε. καὶ τὰ μὲν κατὰ τὸν Ἀποστύππην, οὐδὲ ἄλλως ὄντα χρηστόν, τοιοῦτον τέλος ἐδέξατο.

68. Ἐν ὅσῳ δὲ τὰ κατὰ τὴν ἑσπέραν διὰ τῶν ὑποστρατήγων τῷ βασιλεῖ κατεπράττετο, οἱ ἐκ μεσημβρίας ἀναπνεύσαντες Ἄραβες ἀργεῖν τε καὶ σχολάζειν καὶ ῥαθυμοῦν νομίσαντες ἀνεθάρρησαν, καὶ τῶν κατὰ θάλασσαν ἀνθάπτεσθαι πραγμάτων πάλιν διέγνωσαν, καὶ δὴ κατά τε τὴν Αἴγυπτον καὶ τὰς ἐν Συρίᾳ παραθαλασσίους πόλεις ναῦς τεκτηνάμενοι κατὰ τῆς ὑποφόρου Ῥωμαίοις γῆς καὶ θαλάσσης ἐκστρατεῦσαι διενοοῦντο. κρίναντες δὲ
P 190 δεῖν διὰ κατασκόπων πρότερον τὰ βασιλέως πράγματα κατιδεῖν, τὸν ἐποψόμενον ἕκαστα καὶ πρὸς αὐτοὺς ἀπαγγελοῦντα, Ῥωμαϊκῇ στολῇ καὶ γλώσσῃ χρώμενον, ἐξαπέστειλαν. ὁ δὲ βασιλεὺς ταῖς περὶ τοῦ κοινοῦ φροντίσιν ἀεὶ ἀγρυπνῶν καὶ τὰ δέοντα προπαρασκευαζόμενος, ἐπεὶ μηδὲ τὰ ἐν Συρίᾳ ναυπηγούμενα πλοῖα τοῦτον διέλαθε, πλειόνων τριήρων καὶ διήρων κατασκευὴν ἐποιήσατο, καὶ τὰς ναυτικὰς δυνάμεις κατὰ τὴν βασιλίδα συναγαγὼν ἐκαραδόκει τὸ μέλλον. καὶ τέως μέν, ὡς ἂν μὴ σχολάζων ὁ ναυτικὸς ὄχλος ἀτακτότερος γένοιτο, ἐν τῇ ἀνοικοδομῇ τοῦ κατὰ τὴν βασί-
B λειον αὐλὴν ἐγειρομένου τότε ναοῦ εἰς ὄνομα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἀρχιστρατήγων καὶ Ἠλιοῦ τοῦ Θεσβίτου

7 καὶ ῥαθυμοῦντα A. an αὐτὸν ῥαθυμοῦντα? 15 ἀεὶ om A 17 πλεόνων A

quibus premebatur, tum quod conatus esset ad hostes diffugere; quod reliquum est, in Mesembriam relegatus ibi consenuit. ac quidem Apostypis, viri alioqui haud probi, res eiuscemodi finem habuere.

68. Interim dum per legatos ita res Occidentis imperatori administrantur, qui ad meridiem incolunt Arabes, assumptis animis, dum ipsum desidere segniusque agere ac otio torpere existimant, maris sibi iterum aleam tentandam constituunt. per Aegyptum itaque urbesque Syriae maritimas constructis navibus Romanam dicionem terra marique infestare parabant. operae pretium tamen rati per speculatores prius lustrare ac experiri quo se modo res imperatoris haberent, hominem Romano habitu linguaque utentem, qui singula dispiceret eisque referret, miserunt. verum imperator rei publicae curis enixe invigilans, ac quae bello opportuna essent in antecessum parans, quem nec fugeret ille hostium classis in Syria apparatus, triremium ac biremium maiori instructa copia classeque Byzantii congregata, quid ferret futura dies exspectabat. classiarii interim, ne per otium insolescerent, exstruenda basilica in regio atrio (templo scilicet quod sub nomine salvatoris nostri Iesu Christi sanctorumque caelestis militiae principum nec non Eliae

διωρίσατο αὐτοὺς ὑπουργεῖν, ὅτε δὲ τῶν ὁρίων Συρίας ὁ ἐκεῖθεν στόλος ὑπερκύπτων φανῇ, ἀποσταλῆναι καὶ τούτους πρὸς τὴν ἐκείνων ἀντιπαράταξιν. ἐλθὼν οὖν ὁ ἀπὸ Συρίας κατάσκοπος, καὶ τό τε πλῆθος ἰδὼν τῶν νεῶν καὶ τὴν δύναμιν ὡς ἑτοίμη πάρεστι πρὸς τὴν ἔκπεμψιν, καὶ πάντα καταμαθών τε καὶ στοχασάμενος, ἀπαγγέλλει τοῖς ἀποστείλασιν, οἳ παρ᾽ ἐλπίδα τὸ ἐμπαράσκευον βασιλέως ἀκούσαντες, τότε μὲν πτήξαντες τὴν ἡσυχίαν ἠγάπησαν καὶ τὴν πρὸς τὸν ἔκπλουν σπουδὴν διελύσαντο, ἔμενε δὲ ὅμως κατὰ τὴν βασιλεύουσαν ἡ ναυτικὴ πληθὺς εἰς τὸ εἰρημένον ἔργον ἀσχολουμένη.

69. Οἱ δὲ ἐν Καρχηδόνι βάρβαροι διὰ τὰς προγεγενημένας ἥττας δείσαντες μὴ πρὸς τὴν αὐτῶν ἤδη πρὸς τὸ ἑξῆς διαπερᾶσαι ὁ στόλος ὁ Ῥωμαϊκὸς πειρασθῇ, καὶ διὰ τοῦτο ναῦς ἱκανὰς καὶ αὐτοὶ τεκτηνάμενοι, ἐπεὶ τοῦ ἦρος διεληλυθότος οὐδεμίαν ἐκ βασιλέως δύναμιν κατελθοῦσαν ἐπύθοντο, ὑποτοπήσαντες πρὸς ἄλλοις πολέμοις ἄσχολον τυγχάνειν τὸν βασιλέως στρατὸν ἐκστρατεύεσθαι κατὰ Σικελίας ἐθάρρησαν, καὶ πρὸς τὴν ταύτης ἐλθόντες μητρόπολιν, τὰς Συρακούσας φημί, ταύτην ἐπολιόρκουν καὶ περὶ αὐτὴν ἐληΐζοντο καὶ κατεδῄουν τὴν χώραν καὶ τὰ προάστεια. C τοῦ δὲ στρατηγοῦ τῆς Σικελίας δῆλα ταῦτα τῷ βασιλεῖ καταστήσαντος, εὐθέως ἡ κατὰ Συρίας εὐτρεπισθεῖσα δύναμις πρὸς Σικελίαν ἐκπέμπεται, Ἀδριανόν τινα ναύαρχον ἔχουσα· οὗτος γὰρ ἔτυχε τότε τῆς ναυτικῆς δυνάμεως ἐξηγούμενος. D ὃς ἀπὸ τῆς βα-

20 τῆς om A

prophetae aedificabatur) operam conferre iussit, cum vero ex Syriae finibus hostium classis emerserit, mox praesto esse ad illorum excipiendum impetum. veniens itaque e Syria explorator, conspectaque parata classe ac imperium exspectante, cunctaque assecutus riteque coniiciens, his qui miserant nuntiat. hi porro contra quam speraverant audito regiae classis apparatu, metu deterriti cessare hactenus eligunt, expeditionisque ac excursionis solvunt propositum. navales tamen copiae ac classiarii Byzantii manebant, atque huic quod dixi operi insistebant.

69. Barbari autem Carthaginenses, propter iam acceptas clades veriti ne et in suas deinceps sedes Romana classis traiicere tentaret, eaque ratione multis et ipsi exstructis navibus, cum exeunte vere nullas imperatoris exisse copias didicissent, rati illius cohortes bellis aliis distineri, adversus Siciliam cum navalibus copiis proficiscuntur. venientesque ad eius metropolim (nempe Syracusas) vallo eam cinxerunt, circa eam posita diripientes agrumque ac suburbana vastantes. haec simulac imperator a Siciliae praetore significata accepit, copias adversus Syriam destinatas in Siciliam mittit, navarcho quodam Adriano: hic enim navalibus tum copiis praeerat. solvens itaque Adrianus Byzantio,

σιλίδος ἐξορμισάμενος, πνευμάτων δὲ μὴ εὐμοιρήσας ἐπιτηδείων καὶ δεξιῶν, μόλις κατῆλθεν ἄχρι Πελοποννήσου, ἐν Μονεμβασίᾳ δὲ ἐν τῷ λιμένι τῷ καλουμένῳ Ἱέρακος προσορμίσας τὰς ναῦς ἐπίφορον πνεῦμα ἀνέμενε, ῥαθυμότερος, ὡς ἔοικεν, ὢν καὶ μὴ ἔχων ζέουσαν τὴν ψυχήν, ὥστε καὶ πρὸς ἐναντία παραβάλλεσθαι πνεύ-
P 191 ματα καὶ δι' εἰρεσίας ἐν ταῖς διὰ μέσου γαλήναις πρὸς τὸ προκείμενον κατεπείγεσθαι. ἐπὶ πολὺ δὲ χρονοτριβοῦντος αὐτοῦ κατὰ τὸν εἰρημένον λιμένα, καὶ τῶν Ἀγαρηνῶν σφοδρότερον τῇ πολιορκίᾳ ἐπικειμένων καὶ πᾶσαν μηχανὴν κινούντων καὶ σπευδόντων πρὸ τοῦ ἐπιστῆναι τοῖς πολιορκουμένοις βοήθειαν ἀνύσαι τὸ σπουδαζόμενον, συνέβη τὴν πόλιν κατὰ κράτος ἁλῶναι καὶ τῶν ἀντιταττομένων φόνον γενέσθαι πολύν, ἐξανδραποδισθῆναι δὲ πᾶσαν τὴν κατὰ τὸ ἄστυ πληθὺν καὶ τὸν ἐν αὐτῇ πλοῦτον λάφυρα τοῖς πολεμίοις γενέσθαι, κατασκαφῆναι δὲ τὴν πόλιν καὶ πυρὶ δοθῆναι τοὺς ἐν αὐτῇ θείους ναούς, καὶ ἐρείπιον χρηματίσαι τὴν μέχρι τότε πόλιν περιφανῆ καὶ λαμπρὰν καὶ πολλὰς πολλάκις Ἑλληνικάς
B τε καὶ βαρβαρικὰς δυνάμεις ἐπ' αὐτὴν ἐλθούσας καταβαλοῦσαν. (70) τοῦ δὲ συμβάντος αἴσθησις ἀπὸ τοιαύτης αἰτίας γίνεται τῷ Ἀδριανῷ. τόπος τις ἔστι κατὰ Πελοπόννησον οὐ μακρὰν Μονεμβασίας διεστηκώς, καθ' ἣν ὁ Ῥωμαϊκὸς στόλος ηὐλίζετο, Ἕλος προσαγορευόμενος, ἀπὸ τῆς περὶ αὐτὸν δασείας καὶ συνηρεφοῦς ὕλης τὸ ὄνομα κληρωσάμενος. ἐν τούτῳ τοίνυν δαιμονία τις ἐφήδρευε δύναμις, ἣ καὶ ὑπὸ τῶν ἐκεῖσε νεμόντων ποιμένων πολ-

20 ὃν A

quod ventis secundis ac commodis destituebatur, vix tandem ad Peloponnesum pervenit, Monembasiaeque in portu, quem Hieracis vocant, appulsis navibus aspirare sibi ventos exspectabat, homo segnior, ut videtur, nec cor ferventibus munitum spiritibus gerens, ut audacter etiam adversantibus ventis sibi connitendum putaret, ac interim dum tranquillum est nullisque ventis mare perflatur, quo propositum est remigando contendere. dum itaque in eo portu longiores is moras nectit, et Agareni acrius obsidendo urgent, nullumque non movent lapidem, ut antequam obsessis auxilia veniant opus occeptum perficiant, contigit civitatem vi armisque capi, multaque praesidiariorum facta strage oppidanorum multitudo omnis in servitutem abducta est. eius multae divitiae hostibus spolia cessere: urbs funditus eversa, sacrae in ea aedes igne succensae. civitas ad ea tempora praeclara ac nobilis, et quae plerasque saepius tum Graecas tum barbaricas copias ipsam aggressas debellaverat, parietinis tantummodo claret. (70) res Adriano in hunc modum innotuit. est locus in Peloponneso haud procul Monembasia, ad quam Romana classis stationem acceperat, Helus nomine a silvae prope ambientis condensitate ac opacitate. in eo daemonum vis quaedam insederat, quam haud raro pastores obsequio cultuque deliniebant, ut quas

λάκις ἐθεραπεύετο, ὡς ἂν ἀσινῆ δῆθεν ἐκ τούτων τὰ νεμόμενα διαφυλάττοιτο θρέμματα. ὧν τινῶν δαιμόνων οἱονεὶ πρὸς ἀλλήλους διαλεγομένων καὶ ἐπιχαιρόντων ἤκουσαν οἱ νομεῖς ὡς ἑάλω τῇ χθὲς ἡμέρᾳ Συράκουσα καὶ τὰ ἐν αὐτῇ πάντα κατέσκαπται καὶ C πυρὶ παραδέδοται. ἅπερ πρός τινας τῶν νομέων ἐξηγουμένων ἔφθασε καὶ πρὸς τὸν Ἀδριανὸν τὸ διήγημα. ὁ δὲ τοὺς ποιμένας αὐτοὺς μετακαλεσάμενος καὶ πολυπραγμόνως ἀναζητήσας, εὗρε τοῖς ἀκουσθεῖσι συμβαίνοντα καὶ τὰ παρὰ τῶν ποιμένων λεγόμενα. βουληθεὶς δὲ καὶ αὐτήκοος γενέσθαι, καὶ πρὸς τῷ τόπῳ μετὰ τῶν ποιμένων γενόμενος, καὶ δι' αὐτῶν τοῖς δαίμοσι προσαγαγὼν τὴν ἐρώτησιν περὶ τοῦ πότε καταλήψεται Συρακούσας, ἤκουσεν ὅτι ἤδη ἑάλω ἡ Συράκουσα. λύπῃ δὲ καὶ ἀμηχανίᾳ περισχεθεὶς ὅμως πάλιν ἀνέφερε, μὴ χρῆναι πιστεύειν οἰόμενος τὰ παρὰ τῶν πονηρῶν δαιμόνων λεγόμενα ὡς οὐκ οὔσης αὐτοῖς τῆς προγνώσεως, ἀγνοῶν ὅτι τοῦτο οὐχὶ πρόγνωσις ἦν ἀλλὰ τῶν ἀπο- D βάντων καὶ τελεσθέντων δήλωσις, ἐκ τοῦ λεπτομεροῦς καὶ ταχυκινήτου τὴν ἐξ ἀνθρωπίνης ἐπιδημίας ἀπαγγελίαν προφθανόντων αὐτῶν. διαπιστοῦντος δ' οὖν ὅμως αὐτοῦ, μετὰ δεκάτην ἡμέραν τινὲς τῶν διαδράντων τὸν ὄλεθρον, ἀπὸ τῶν κατὰ Πελοπόννησον Μαρδαϊτῶν καὶ Ταξατῶν τυγχάνοντες, αὐτάγγελοι τῶν ὀλεθρίων διηγημάτων γεγόνασιν. ἀφ' ὧν τὴν πληροφορίαν δεξάμενος ὁ Ἀδριανός, ὡς εἶχε τάχους, ἐπεὶ καὶ τὰ πρὸς τὴν κάθοδον ἐναντιούμενα πνεύματα ἐπιτήδεια πρὸς τὴν ἄνοδον καθεστήκεισαν,

10 προσάγων P 11 λήψεσθαι P 17 ἐπαγγελίαν A

pascebant pecudes, ab eis illaesas ac incolumes praestarent. hos illi daemones velut inter se colloquentes ac gratulantes audierunt, quasi pridie capta urbe Syracusana cunctisque in ea eversis ac igni traditis. haec pastores dum nonnullis referunt, pervenit narratio ad ipsum Adrianum. accersitis vero ipsis pastoribus, exque illis diligenter ac curiose sciscitatus, invenit eadem ipsos loqui quae audierat. volens autem suis quoque auribus audire, cum pastoribus ad locum venit, interpellatisque per eos daemonibus quandonam capiendae Syracusae essent, iam captas esse Syracusas audivit. maerore itaque correptus ac consilii inops rursus nihilominus se colligere, haud habendam fidem nequissimorum daemonum dictis existimans, cum nulla eis insit praescientiae vis, ignorans scilicet non fuisse eam praescientiam, sed eorum manifestationem quae evenerant gestaque erant; qua nimirum illi, ob subtilitatem motusque celeritatem, humani omnis nuntii iter longe praeveniunt. adhuc tamen eo non credente, post decem dies Mardaitarum quidam et Taxatorum (i. e. praesidiariorum) Peloponnesiorum, qui urbis excidio superstites fugerant, ipsi tristes nuntii cladis exstiterunt. hinc itaque certior iam factus Adrianus, qua licuit celeritate, quod et venti, qui ad eundem obstiterant, ad regressum flarent accommodi, cum classe

P 192 καταλαμβάνει μετὰ τοῦ στόλου τὴν βασιλεύουσαν, καὶ τῷ μεγάλῳ τοῦ θεοῦ τεμένει, ἐν ᾧ τὸ τῆς αὐτοῦ σοφίας ἐπικεκήρυκται ὄνομα, ὡς ἱκέτης προσέφυγεν. ἀλλὰ τοῦ μεγέθους τῆς συμφορᾶς τὰ βασιλέως σπλάγχνα δριμέως διασπαράξαντος καὶ πρὸς ἀμετρίαν σχεδὸν θυμοῦ καὶ λύπης προαγαγόντος, οὐδ' αὐτὸς ὁ θεῖος ναός, οὐδ' ὁ ὑπὲρ αὐτοῦ πρεσβεύων ἀρχιερεὺς τῆς παντελοῦς τιμωρίας ἐξείλκυσε τὸν Ἀδριανόν, ἀλλὰ τῆς ἐσχάτης μὲν καὶ προσηκούσης τυχὸν ἐλυτρώσατο, τῆς μετρίας δὲ καὶ πρὸς σωφρονισμὸν τῶν ἄλλων ἐπαγομένης καθάπαξ αὐτὸν ἀθωῶσαι οὐκ ἴσχυσεν. οὕτως ἐν τοῖς ἰδίοις μέτριον ἔχων καὶ κεκολασμένον ὁ βασιλεὺς τὸν θυμὸν ἐν τοῖς κοινοῖς οὐ πάνυ τι ἐμετρίαζεν.

B 71. Οὕτω τοίνυν τῶν κατὰ τὴν ἑσπέραν πάλιν κρατυνομένων ἐχθρῶν, καὶ ἀπὸ τῆς παρούσης εὐτυχίας καὶ κατὰ τῶν προσεχεστέρων ἐκστρατεῦσαι προσδοκωμένων, ἀποστέλλεται Στέφανος ὁ καὶ Μαξέντιος προσαγορευόμενος, ὃς ἐκ Καππαδοκῶν, στρατηγὸς τῶν ἐν Λαγοβαρδίᾳ δυνάμεων μετὰ Θρᾳκῶν καὶ Μακεδόνων καὶ ἐπιλέκτων Χαρσιανιτῶν καὶ Καππαδοκῶν. ὃς τὴν ἀποδειχθεῖσαν τῆς ἀρχῆς χώραν καταλαβών, καὶ τὴν πόλιν Ἀμαντίας ὑπὸ τῶν Σαρακηνῶν κατεχομένην ἀφελέσθαι πειραθεὶς ἐξ αὐτῶν, καὶ διὰ τὴν προσοῦσαν αὐτῷ μέλλησιν καὶ ῥαθυμίαν, ὡς ἔοικε, μᾶλλον δὲ ἀνανδρίαν τε καὶ τρυφήν, μηδὲν ἄξιον λόγου C καὶ τῆς περὶ αὐτὸν δυνάμεως καταπράξασθαι δυνηθείς, παραλύεται τῆς ἀρχῆς, καὶ ἀντ' αὐτοῦ ἀποστέλλεται Νικηφόρος ὁ

9 ἀποθωῶσαι P   15 ὃς] ὁ?

Byzantium venit, et in magnum dei templum, eius sapientiae invocatione ac praeconio clarum, supplex confugit. cladis tamen magnitudine acerbe nimis imperatoris viscera dilacerante et ad nimium prope furorem animique dolorem propellente, nec sacrae aedis religio nec pro illo supplex antistitis obsecratio omnino Adrianum poena exemerunt; verum extremo quidem (ipso forsan haud immerito) supplicio liberarunt, haud tamen a mediocri, et quod aliorum castigandae temeritati adhibetur, omnino innoxium praestare valuerunt. sic imperator in suis moderatae irae ac castigatae, in publicis non omnino sibi poterat moderari.

71. Sic igitur occidentalium partium hostibus vires iterum resumentibus, ac cum praesenti freti prosperitate viciniora quoque loca invasuri exspectarentur, mittitur Stephanus cognomento Maxentius Cappadox, copiarum in Longobardia dux, cum Thracibus et Macedonibus selectisque Charsianitis et Cappadocibus. is ad assignatam sibi provinciam veniens, conatusque Amantiam urbem a Saracenis, quorum imperio premebatur, eruere, cum propter innatum quasi torporem ac segnitiem, ut videtur, seu magis ignaviam et luxum, nihil quod operae pretium foret vel iis quas ducebat copiis dignum facere potuisset, cessare iubetur, eiusque loco Nicephorus Phocas, vir sedulus ac vigil manuque for-

κατὰ τὸν Φωκᾶν προσαγορευόμενος, ἀνὴρ ἐπιμελής τε καὶ ἄγρυπνος καὶ κατὰ χεῖρά τε καὶ βουλὴν γενναῖός τε καὶ συνετός, προσεπαγαγὼν καὶ πλείονα δύναμιν ἀπὸ τῶν κατὰ τὴν ἀνατολὴν ἀρχόντων καὶ τὸν Διακονίτζιν ἐκεῖνον, ὃς ὑπηρέτης ποτὲ τοῦ κατὰ τὴν Τεφρικὴν Χρυσόχειρος ἦν, στῖφος τῶν ἀπὸ Μάνεντος τὴν θρησκείαν ἑλκόντων προσεπαγόμενον. ἑνωθεὶς οὖν ὁ Νικηφόρος ταῖς μετὰ Στεφάνου δυνάμεσι πολλὰ καὶ συνέσεως ἔργα καὶ πολεμικῆς ἀνδρίας καὶ γενναιότητος ἀπεδείξατο. τήν τε γὰρ πόλιν Ἀμαν- D *τίας εὐθὺς ἐχειρώσατο, τοὺς ἀντιταξαμένους ἐχθροὺς φόνῳ πολλῷ τρεψάμενος, καὶ τὸ κάστρον ὃ Τρόπας κατωνομάζετο καὶ τὸ τῆς ἁγίας Σευηρίνης πρὸς τὴν προτέραν δεσποτείαν τῆς Ῥωμαϊκῆς ἀρχῆς μετηγάγετο, καὶ μάχαις ἄλλαις καὶ παρατάξεσι τοὺς ἐκ τῆς Ἄγαρ νενίκηκε, καὶ τοῖς ἐξ αὐτῶν λαφύροις τὸν ὑπ' αὐτὸν στρατὸν ἱκανῆς ὠφελείας ἐνέπλησε. καὶ ταῦτα μέν, ἕως ὁ ἐν βασιλεῦσιν ἀοίδιμος ἔζη Βασίλειος, ὁ ἀνὴρ κατεπράξατο· τὰ δὲ λείποντα προσέθηκεν ὕστερον ἐπὶ τοῦ πραοτάτου καὶ σοφωτάτου βασιλέως ἁπάντων Λέοντος τοῦ ἐκείνου υἱοῦ. εἰ δὲ μὴ συνημμέναι τοῖς χρόνοις ἀλλήλαις αἱ μάχαι ἐτύγχανον, ὥσπερ οὖν ἡ διήγησις,* P 193 *ἀλλ' ὅμως ἐπεὶ ὁ ἑκάστης πράξεως ἀκριβὴς ἠγνοεῖτο χρόνος, διὰ τοῦτο μίαν κατὰ τὴν ἐπαγγελίαν τάξιν ἐδέξατο ἅπαντα.*

Καὶ τὰ μὲν ἐν πολέμοις καταπραχθέντα διά τε αὐτοῦ καὶ διὰ τῶν ὑποστρατήγων Βασιλείῳ τῷ βασιλεῖ, ὅσα εἰς ἐμὴν ἔφθα-

4 *τὸν* om P 5 *στίφους* AP 7 *Στέφανον* A 17 *ἁπάντων* om P *ἐκείνου*] *οἰκείου* P 19 *ἐπεὶ* om A 21 *πολέμῳ* P *ἑαυτοῦ* A

tis ac consilio solers, mittitur. hic, pluribus etiam copiis ex Orientalium partium praefectis arrogatis, assumptoque Diaconitze illo qui pridem Chrysochiris Tephricae tyranni minister fuerat ac secum ex Manetis cultu agmen ducebat. unitus itaque Nicephorus Stephani decessoris cohortibus, multa et prudentiae et bellicae virtutis ac fortitudinis obiit opera. continuo enim Amantiam urbem cepit, multa strage fusis fugatisque hostibus; arcemque Tropas et sanctam Severinam ad pristinum imperii Romani dominium reduxit; aliisque praeliis ac dimicationibus Agarenorum victor exiit, atque eorum spoliis abunde, quem ducebat exercitum, recreavit atque ditavit. et haec quidem in vivis agente inclitae memoriae Basilio imperatore vir ille gessit; reliqua sub mitissimo sapientissimoque Leone imperatore eius filio postea adiecit. etsi autem non aliae aliis tempore coniuncto pugnae exstiterunt, perinde ac illas digessit instituta nobis narratio; quod tamen uniuscuiusque gestae rei praestitique facinoris exactum tempus ignoretur, propterea uno ordine singula coniungentes, uti professi eramus, disposuimus.

Ac quidem bello gesta tum per seipsum tum per legatos Basilio

σεν ἐλθεῖν ἀκοήν, διά τε τῆς ξηρᾶς καὶ ὑγρᾶς κατὰ ἀνατολὴν καὶ δύσιν, τοιαῦτα καὶ τοσαῦτα ἐτύγχανεν.

72. Χρὴ δὲ αὖθις τὸν λόγον ἀναδραμεῖν ἐπὶ τὰς πράξεις ἐκείνας ὧν αὐτουργὸς ὁ βασιλεὺς ἐχρημάτιζεν, καὶ διηγήσασθαι
B ὅπως ἀεὶ τοῖς κοινοῖς ἐνασχολούμενος πράγμασι καὶ πρὸς τὴν κοσμικὴν ἐπιμέλειαν τεταμένην ἔχων διηνεκῶς τὴν διάνοιαν ἄλλοτε μὲν τὰ πρὸς τὸ δέον τῇ ἔμφρονι μεταχειρίσει κατηύθυνεν, ἄλλοτε δὲ τὴν ἀκοὴν ὑπετίθει καὶ ἐπιμελῶς ἠκροᾶτο ἱστορικῶν τε διηγημάτων καὶ πολιτικῶν παραγγελμάτων καὶ ἠθικῶν παιδευμάτων καὶ πατρικῶν τε καὶ πνευματικῶν νουθετημάτων καὶ εἰσηγήσεων, ἄλλοτε δὲ καὶ τὴν χεῖρα πρὸς τὸν γραφικὸν ἐξεπαίδευε καὶ κατηύθυνε κάλαμον, καὶ νῦν μὲν στρατηγῶν τε καὶ αὐτοκρατόρων ἀν-
C δρῶν ἤθη καὶ βίους καὶ μεταχειρίσεις πραγμάτων καὶ πολεμικοὺς ἀγῶνας διηρευνᾶτο, καὶ ἀνασκοπῶν, τὰ κράτιστα τούτων καὶ ἐπαινούμενα ἐκλεγόμενος, εἰς οἰκείας πράξεις ἐσπούδαζε τὴν μίμησιν κατατίθεσθαι, νῦν δὲ τῶν ἐν τῇ κατὰ θεὸν ἀρίστῃ πολιτείᾳ διαπρεψάντων ἀνδρῶν τοὺς βίους ἐπιμελῶς καταμανθάνων καὶ τὰς ἀλόγους ὁρμὰς τῆς ψυχῆς περιέκοπτεν, αὐτὸν ἑαυτοῦ δεικνύειν ἐθέλων πρὸ τῶν ἐκτὸς αὐτοκράτορα, καὶ πολλὴν ἐντεῦθεν ἐκαρποῦτο ὠφέλειαν. διὸ καὶ τοὺς ἔτι τῷ βίῳ περιόντας τῶν μακαρίων ἀνδρῶν, τῶν τὴν ἄϋλον πολιτείαν διαζώντων ἐν τῇ ὑλώδει
D ταύτῃ ζωῇ καὶ πολίτευμα μεταθεμένων ἐν οὐρανοῖς, γνωρίζειν καὶ

4 διηγήσεως A 5 καὶ om A 11 τὸ AP 17 κατεμάνθανεν P 19 ἐντεῦθεν ψυχικὴν ἐκ. P

imperatori, terra aeque et mari, in Oriente et Occidente, quaecunque in notitiam meam venerunt, haec fere ac talia sunt.

72. Recurrat porro oratio necesse est ad eas actiones quarum ipse per se imperator auctor exstitit; narretque quemadmodum ille publicis semper rebus vacans, inque mundi curam continue animum intentum habens, modo quidem prudenti tractatione ad honesti aequique finem dirigeret, modo vero aurem accommodaret audiretque sedulo historicas narrationes et politica documenta moralesque instructiones, patrum denique ac spiritalia adhortamenta et admonitiones; modo etiam manum ad scribendum erudiret calamumque dirigeret; ac modo quidem praetorum ac imperatorum mores vitasque et rerum aggressiones bellicaque certamina rimans ac dispiciens, ex eis praestantissima laudemque habentia seligens in suas actiones imitationem transferre studeret; modo autem virorum qui optima vitae disciplina religiosa pietate claruissent vitas diligenter perdisceret, animique appetitiones a ratione abhorrentes exscinderet, ipsum se sui potius quam subditorum imperatorem regemque exhibere satagens, indeque multam animi utilitatem pararet. quapropter etiam beatos viros adhuc superstites, quique in terrena hac vita nihil terrenum habentem vitam instituant, ac qui in caelos vitae suae

ἐντυγχάνειν καὶ ὁμιλεῖν ἐποιεῖτο περὶ πολλοῦ καὶ ἐν μεγάλῃ φροντίδι ἐτίθετο. ὑπὸ δὲ τῆς ἄγαν εὐλαβείας οὐ πρὸς ἑαυτὸν αὐτοὺς μετεστέλλετο, ἀλλ' οὐδὲν τὸν βασιλικὸν ὄγκον τιθέμενος ἐβάδιζε πρὸς αὐτούς, καὶ τῶν εὐχῶν αὐτῶν μετελάγχανε, καί πως ταῖς ἐξ αὐτῶν εὐλογίαις ἐστεφανοῦτο καὶ πρὸς τὸν θεῖον ἐστηρίζετο φόβον καὶ πρὸς τὰ τοῦ θεοῦ δικαιώματα κατηυθύνετο. καὶ ἀπὸ τούτου διηνεκῶς ἐνδιαιτωμένην παρ' αὐτῷ τὴν τῶν ἀρετῶν ὑπῆρχεν ὁρᾶν τετρακτύν, καὶ ἐθαυμάζετο αὐτοῦ μετὰ τῆς ἀνδρίας τὸ P 194 φρόνημα καὶ μετὰ τῆς σωφροσύνης τὸ δίκαιον, καὶ πάντα εἶχε τὴν πρὸς τὸ κρεῖττον ἐπίδοσιν. καὶ ἐδόκει αὖθις ὁ βίος ἐπὶ τῆς ἀρχαίας γενέσθαι εὐταξίας καὶ καταστάσεως, αὐτοῦ τε διηνεκῆ κεκτημένου πρόνοιαν ὑπὲρ τοῦ εὐσταθεῖν τὸ ὑπήκοον καὶ ὑπὸ μηδενὸς μηδένα ἐπηρεάζεσθαι, καὶ τῶν εἰς τὰς ἀρχὰς προβαλλομένων ἑκάστοτε μιμεῖσθαι σπουδαζόντων τὴν δεσποτικὴν καὶ περὶ τὸ θεῖον εὐλάβειαν καὶ πρὸς τοὺς ἱερεῖς καὶ μονάζοντας αἰδῶ καὶ τὸν πρὸς τοὺς πένητας ἔλεον καὶ τὴν πρὸς πάντας δικαιοσύνην καὶ ἰσότητα. B ἐκείνου γὰρ ἦν ἐντολὴ καὶ παράγγελμα τὸ μήτε τὸν ἥττονα ὑπὸ τοῦ μείζονος καταδυναστεύεσθαι μήτε τὸν ὑπερέχοντα ὑπὸ τοῦ ἐνδεοῦς λοιδορεῖσθαι ἢ διαβάλλεσθαι, ἀλλ' ἐκεῖνόν τε ὡς ἀδελφὸν ἀγκαλίζεσθαι καὶ περιέπειν τὸν πένητα, καὶ τοῦτον ὡς κοινὸν πατέρα καὶ σωτῆρα τὸν ὑπερέχοντα εὐλογεῖν καὶ ἀδόλως

1 ἐποίει P 2 εὐλαβείας οὐ om A 4 ταῖς om A 11 εὐεξίας A

rationes ac municipatum transtulerint, nosse et cum eis congredi ac sermonem miscere pluris faciebat, eiusque rei magna tenebatur cura; qua tamen singulari in eos pietate ducebatur, non eos ad se accersebat, sed posita spretaque maiestate imperii se ipse ad illos conferebat, ab eisque precibus impartiebatur, eorumque benedictionibus velut corona cingebatur, divinoque timore confirmabatur et ad dei iustificationes dirigebatur, hincque semper in illo manentem virtutum quaternionem erat videre. admirationem habebat prudentia fortitudini coniuncta, temperantiaeque comes iustitia; cunctaque in melius proficiebant. dixisses humanam vitam antiquam rursus recepisse ordinis tranquillitatem ac constitutionem, cum et ipse in eam iugiter curam incumberet, ut subditi placida quiete gauderent nec quisquam alium iniuria ulla violaret; iique quos quotidie rei publicae magistratus praeficiebat diligentiam ponerent ut domini herique aemularentur erga deum pietatem ergaque sacerdotes et monachos reverentiam, erga omnes denique iustitiam et aequitatem. illius enim praeceptum erat et documentum, "ut nec maior minorem per potentiam opprimeret, nec praecellentem egenus maledictis incesseret aut crimen illi intentaret, sed ille pauperem ut fratrem sinu complecteretur ac foveret, isque praecellentem tanquam communem patrem et servatorem benediceret, exque animo absque omni dolo bona ei preca-

αὐτῷ τὰ ἀγαθὰ παρὰ τοῦ κυρίου ἐπεύχεσθαι. οὕτω δὲ τὸν βίον αὐτοῦ ῥυθμίζων καὶ τῆς θείας προνοίας τὴν οἰκείαν ἐξαρτῶν πολλὰ
C τῶν δεόντων κατὰ τοὺς ὕπνους ἐναργῶς ἐδιδάσκετο· καὶ ὅταν ἔμφροντις ἐπὶ τὴν κοίτην ᾔει καὶ περί τινος τῶν κοινῶν ἐσφάδαζε μεριμνῶν, πολλάκις ὄναρ ἑώρα τὸ ἐκβησόμενον καὶ ἐπ' ἐλπίδος ἐγίνετο ἀγαθῆς καὶ τὸν τῆς ψυχῆς κατέστελλε θόρυβον. καὶ οὐδὲν θαυμαστὸν τοὺς λειτουργίαν ὥσπερ τινὰ τὴν ἐπὶ τῆς γῆς ἐξουσίαν ἀνύοντας καὶ τὴν θείαν τῷ ὄντι διακονίαν ἐκτελοῦντας ἐν τοῖς κάτω περὶ ἡμᾶς, καὶ πρὸς τὸ κρεῖττον ἀφωμοιωμένους παράδειγμα τὸν δυνατὸν τρόπον, ὑπὸ τῆς προνοίας παραθαρρύνεσθαι καὶ πρὸς τὸ συμφέρον ἰθύνεσθαι καὶ τὰ μέλλοντα προδιδάσκεσθαι.

D 73. Ἀλλ' ὅπερ ἡ ῥύμη τοῦ λόγου παρήνεγκε φέρουσα καὶ κατὰ τὸν οἰκεῖον ῥηθῆναι καιρὸν οὐκ ἐπέτρεψεν, ἐνταῦθα ἤδη μετὰ τὸ σχολάσαι τῶν πολεμικῶν ἀγώνων τὸν λόγον καὶ τῶν πολεμικῶν ἀφηγήσεων καλὸν ἀναγράψασθαι. λέγω δὲ τὸ περὶ τὴν μνήμην καὶ ἀμοιβὴν τῶν ἐν τῇ ἐλάττονι ἔτι τύχῃ ὄντα θεραπευσάντων τὸν βασιλέα, καὶ τὸ μὴ ἐπιλαθέσθαι αὐτῶν αἰτησαμένων ἐν τῇ τῆς τύχης λαμπρότητι. οὗτοι δὲ ἦσαν ὁ τοῦ ἁγίου Διομή-
P 195 δους τῆς μονῆς προεστὼς καὶ ἡ ἐκ Πελοποννήσου γυνὴ Δανηλίς, οἷς τῶν ἐλπισθέντων ἀπέδωκε μείζονα. τόν τε γὰρ μέγαν ἐν μάρτυσι Διομήδην καὶ ἀναθημάτων πολυτελῶν ἀναθέσει καὶ βιβλίων

4 ἔμφρων τις P   7 ἐξουσίαν ὡς ἀνύοντας A   16 πολιτικῶν?   τὸ om P

retur a domino." sic vero vitam componens, divinaeque providentiae suas ipse curas annectens, eorum quae officii ac convenientia essent multa palam in somnis docebatur; et cum plenus curarum se in lectum conferret, anxiusque negotium aliquod ad rem communem spectans animo volveret, haud raro in somnis eventum cernebat, bonaque spe refocillatus turbas animi sedabat. mirumque non est, eos qui haud secus ac re sacra, potestate quam in terris obtinent, sic defunguntur, divinumque vere ministerium in his terrenis circa nos exsequuntur, atque ad dei exemplum, quoad licet, similitudine efformati sunt, a providentia excitari et ad utilia dirigi atque futura praedoceri.

73. Quod vero alio ferens orationis impetus suo enarrari tempore haud permisit, hic loci, cum rerum illi bello gestarum finem deinceps narratio habeat, operae pretium fuerit scripto consignare. id vero est eorum recordatio ac remuneratio, qui muneris aliquid ac obsequii in imperatorem in minori adhuc fortuna constitutum humaniore sensu contulissent; quod item nihil oblitus est eorum qui ab illo, dum altiorem gradum conscendisset, gratiarum aliquid petiissent. hi erant S. Diomedis monasterii praefectus matronaque Peloponnesia Danelis; quorum spes longe maioribus bonis cumulavit. magnum enim martyrem Diomedem tum donariis pretiosis tum librorum copia donavit, pignoribusque aliis

ἱκανῶν παροχῇ καὶ κειμηλίων ἄλλων καὶ λαμπρῶν ἐσθημάτων προσαγωγῇ μεγαλοπρεπῶς ἐφάνη κοσμῶν, καὶ τὴν ἐπ' ὀνόματι τούτου μονὴν καὶ κτημάτων ἐπιδόσει μεγάλων τε καὶ προσόδων ἱκανῶν ἀφθόνῳ χορηγίᾳ καὶ δαψιλείᾳ πρὸς τὸ εὔπορον ἤγαγε, καὶ τὸ πανταχόθεν ἀνενδεὲς αὐτῇ ἐμνηστεύσατο, καὶ κτισμάτων πολυτελέσιν οἰκοδομαῖς κατελάμπρυνε, καὶ παντοίως ὑπερῇρε καὶ κατεπλούτισεν. (74) τὸν δὲ τῆς Δανηλίδος υἱὸν ἅμα τῷ γενέσθαι τῆς ἀρχῆς ἐγκρατὴς μεταπεμψάμενος τῷ τοῦ πρωτοσπαθα- B
ρίου ἐτίμησεν ἀξιώματι καὶ τῆς πρὸς αὐτὸν παρρησίας μετέδωκε διὰ τὴν φθάσασαν κοινωνίαν τῆς πνευματικῆς ἀδελφότητος. ἐπεὶ δὲ καὶ ἡ μήτηρ αὐτοῦ, καίπερ σχεδὸν γραῦς ἤδη τυγχάνειν νομιζομένη, πόθον ἔσχε καὶ μεγάλην ἔφεσιν ὥστε τὸν βασιλέα ἰδεῖν καὶ ἀπολαῦσαί τινος καὶ αὐτὴ περισσοτέρας ἐν τῷ γήρᾳ τιμῆς διὰ τὴν ἐκ τοῦ εὐλαβοῦς μοναχοῦ προαγόρευσιν καὶ διὰ τὴν ἄλλην εὐεργεσίαν τε καὶ δεξίωσιν, προστάξαντος τοῦ βασιλέως ἐντίμως πάνυ καὶ μετὰ μεγάλης δορυφορίας καὶ ὑπηρεσίας πρὸς τὴν βασιλεύουσαν ἀνελήλυθεν. ὡς γὰρ οὔτε ὀχήματι ἔποχος οὔτε ἵππῳ γενέσθαι ἦν δυνατή, τυχὸν δὲ καὶ τρυφῶσα διὰ τὴν ἄφθονον τοῦ πλούτου περιουσίαν, ἐπὶ σκίμποδος αὐτὴν ἀνακλίνασα, καὶ τρια- C
κοσίους τῶν οἰκετῶν ἀπολέξασα νέους καὶ ἰσχυροὺς τὸ σῶμα, βαστάζοντας αὐτὴν ἀνιέναι ἐκελεύσατο, καὶ οὕτως ὑπὸ δέκα τὸ λέχος αἰρόντων καὶ ἐκ διαδοχῆς ἀλλήλους ὑπαλλασσόντων τὴν ἐκ Πελοποννήσου μέχρι τῆς βασιλευούσης ταύτης τῶν πόλεων πορείαν διήνυσεν. δοχῆς δὲ γεγονυίας ἐν τῇ Μαγναύρᾳ, καθώς ἐστιν

13 γήρατι A 19 ἀνακλίσασα P, ἀνεκλίνατο A 21 ἐνεκελεύσατο?

ac splendidis vestibus magnifice ornavit; eiusque nomine exstructum monasterium magna praedia uberesque reditus praebendo abunde locupletavit, et ut nullis unquam necessariis deficeretur providit; aedificiorum quoque magnificis structuris illustravit, modisque omnibus extulit atque ditavit. (74) Danelidis vero filium, statim atque imperio potitus est, protospatharii dignitate cohonestavit, liberumque ei ad se aditum colloquiumque concessit ob spiritalis inter ipsos fraternitatis initam dudum societatem nexumque. quia vero etiam mater, etsi iam fere anus senioque confecta, ingenti desiderio ardebat visendi imperatorem maiorisque aliquid honoris in senectute consequendi, tum propter religiosi monachi vaticinium, tum propter alia munera hospitiumque, imperatoris iussu honorifice admodum magnoque comitatu ac servitio Byzantium venit. sed cum neque curru neque equo vehi posset, forte etiam luxu soluta ob abundantes divitias, in lectica iacens, lectis in eam rem trecentis robusto corpore iuvenibus, ab illis se in urbem deferri mandavit. sic decem lecticam sustollentibus, denisque aliis aliis succedentibus, quod a Peloponneso ad urbem regiam iter est confecit. accepta in Magnaura

ἔθος τοῖς βασιλεῦσι Ῥωμαίων ποιεῖν, ὅταν τινὰ τῶν ἐφ' ἡγεμονίας ἔθνους τινὸς περιφανῶν καὶ μεγάλων εἰσδέχεσθαι μέλλωσιν, εἰσήχθη καὶ αὐτὴ πρὸς βασιλέα ἐντίμως τε καὶ λαμπρῶς, εἰσαγαγοῦσα καὶ δῶρα πολυτελῆ, οἷα τῶν ἐθνικῶν βασιλέων οὐδεὶς σχε-
D δὸν μέχρι καὶ τότε πρὸς βασιλέα Ῥωμαίων εἰσήγαγεν. ἦσαν γὰρ οἰκετικὰ μὲν πρόσωπα πεντακόσια, ἐξ ὧν ὑπῆρχον εὐειδεῖς ἐντομίαι τὸν ἀριθμὸν ἑκατόν. ᾔδει γάρ, ὡς ἔοικεν, ἡ πλουτοκράτωρ ἐκείνη γραῦς ὅτι ἀεὶ τυγχάνει χώρα τοῖς σπάδουσι τούτοις εἰς τὰ βασίλεια, καὶ ἐν τούτοις ὑπὲρ τὰς μυίας ἐν ἔαρος ὥρᾳ κατὰ προβάτων σηκὸν ἀναστρέφονται· καὶ διὰ τοῦτο τούτους προητρεπίσατο, ὡς ἂν δορυφόρους αὐτοὺς εὑρίσκοι τυχὸν διὰ τὴν πάλαι δουλείαν, ὅταν εἰς τὰ βασίλεια εἴσεισιν. ἦσαν δὲ καὶ γυναῖκες σκιάστριαι ἑκατόν, καὶ Σιδόνια ἔργα παμποίκιλα, ἃ δὴ νῦν πα-
P 196 ραφθαρέντος τυχὸν τοῦ ὀνόματος τῇ τῶν πολλῶν ἀμαθίᾳ λέγεται σενδαῖς, ἑκατόν, λινομαλοτάρια ἑκατὸν (καλὸν γὰρ ἐπὶ τούτοις κοινολεκτεῖν), ἀμάλια λινᾶ ψιλὰ διακόσια, καὶ ἕτερα ὑπὲρ τὰ τοῦ ἀραχνίου νήματα εἰς λεπτότητα, ὧν ἕκαστον εἰς καλάμου κόνδυλον ἐνεβέβλητο, καὶ αὐτὰ ἑκατόν, καὶ σκεύη πολυτελῆ ἐξ ἀργύρου καὶ χρυσοῦ ἱκανὰ καὶ διάφορα. (75) ἀποδεχθεῖσα δὲ δεξιῶς καὶ φιλοφρονηθεῖσα μεγαλοπρεπῶς ἀναλόγως τῆς προαιρέσεως καὶ εὐγενείας αὐτῆς, καὶ μήτηρ καλεῖσθαι βασιλέως ἀξιω-
B θεῖσα, καὶ πολλῶν μετασχοῦσα βασιλικῶν δεξιώσεων καὶ τιμῶν,

4 ἐθνικῶς A 13 Barberinus σινδόνια 16 ψιλὰ] καλὰ P

convivio (quo loco Romani imperatores suscipere solent, si quos illustrium magnorumque gentis alicuius satraparum ac principum excepturi sunt) ad imperatorem honorifice ac splendido cultu inducitur, eius generis tantaque dona inferens, quanta nemo fere unquam aliarum gentium regum ad haec usque tempora Romano imperatori intulit. vernae erant trecenti, ex quibus centum elegantes castrati erant. noverat enim, ut videtur, praelocuples anus semper aditum in aulam spadonibus patere, inque illa plures versari quam in caula pecudum verno tempore muscae. eiusque rei gratia eos antea praeparaverat, ut forte opportunum comitatum haberet, quo pridem obsequio functi essent, cum in regiam ingressura esset. erant item mulieres sciastriae centum, sindonesque lepore vario distincti (quos nunc corrupta forsitan voce rude vulgus sendes vocat) centum. linomalotaria centum (praestat enim in istis ex vulgi usu compositis uti vocibus), Amalia pulchra linea ducenta, aliaque subtilitate tenuissima ac aranearum ipsa stamina vincentia, quorum unumquodque in calami articulo condebatur, et ipsa centum. vasa pretiosa argentea atque aurea multa ac varia. (75) sic vero conveniente cultu recepta, proque animi sui proposito ac generis nobilitate magnifice accepta, et quae imperatoris mater audiret digna habita, multisque regio munere officiis ac honoribus decorata, gaudio exsultabat nec tenere

ἐγεγήθει τε καὶ ἐγάννυτο καὶ ἔκπλεως τὰς ἀμοιβάς, μᾶλλον δὲ καὶ ὑπεραιρούσας κατὰ πολὺ διωμολόγει λαβεῖν. διὸ δὴ καὶ προσέθηκεν ἔτι μεγαλοψύχως ἐπὶ τοῖς εἰρημένοις δώροις οὐ μικρὸν καὶ τῆς Πελοποννήσου μέρος, ὅπερ ὡς ἴδιον κτῆμα τυγχάνον αὐτῆς φιλοδώρως τότε τῷ υἱῷ καὶ βασιλεῖ ἐχαρίζετο. διατρίψασα δὲ κατὰ τὴν μεγαλόπολιν ταύτην ἐφ᾽ ὅσον αὐτῇ φιλοτιμιῶν τε καὶ ἀπολαύσεων, αὖθις πρὸς τὴν οἰκείαν χώραν ἀνθυπενόστησεν ὥσπερ τις δέσποινα τῶν ἐκεῖθεν βασίλισσα, πολλῷ πλείονας τῶν C
προτέρων καὶ μείζονας καρπουμένη τιμάς. ὃν δὲ τρόπον τὴν ἄνοδον ἐποιήσατο, τὸν αὐτὸν καὶ τὴν κάθοδον. (76) κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον καὶ ὁ περικαλλὴς οὗτος ναὸς καὶ περίοπτος ᾠκοδομεῖτο ὃν νέαν βασιλικὴν ἐκκλησίαν λέγειν εἰώθαμεν, ὃς ἐπ᾽ ὀνόματι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Μιχαὴλ τοῦ πρώτου τῶν ἀγγέλων καὶ Ἡλιοὺ τοῦ Θεσβίτου ἠγείρετο. λαβοῦσα δὲ μέτρα τοῦ ἔνδον τούτου χωρήματος ἡ γυνὴ εἰργάσατο καὶ ἀπέστειλε νακοτάπητας μεγάλους, τοὺς παρ᾽ ἡμῖν ἀπὸ τῆς εὐχῆς τὸ D
ἐπώνυμον φέροντας, ὑφ᾽ ὧν ἅπαν τὸ ἔδαφος, ἐκ διαφόρων ἐντίμων λίθων, ψηφίδων δίκην ἐνηρμοσμένων, πρὸς ἀλλήλους συντεθειμένων, ποικιλίαν καὶ κάλλος ταώνων μιμούμενον, καλύπτεσθαι ἔμελλε, θαύματος ἀξίους μεγέθει καὶ ὡραιότητι. ἀλλὰ καὶ καθ᾽ ἕκαστον χρόνον, ἕως ἔζη ὁ βασιλεύς, οὐκ ἐλάττονα τῶν παρ᾽ αὐτῆς εἰσαχθέντων ἀπέστελλεν. ἐπεὶ δὲ ἔτυχε μακρόβιον

1 ἐκπλέον A 2 δὴ om P 8 ἐκεῖ A 9 τιμάς om A
11 περίβλεπτος A 17 πᾶν P 19 Barberinus ταῶνος

laetitiam poterat, uberemque mercedem, quin et longe excedentem, se accepisse confitebatur. quamobrem etiam praeter ea quae dicta sunt munera, cumulatae magnificentiae specimen edens, haud exiguam Peloponnesi partem adiecit, quam iure proprio possidebat, tuncque filio et imperatori munifice concessit. versata autem in magna hac urbe quantum libuit quantumque sufficere existimavit ad animum recreandum, in suam rursus regionem, velut gentilium suorum domina Augustaque, longe plures prioribus maioresque honores consecuta, reversa est. quemadmodum vero accessum in urbem, sic et recessum instituit. (76) eo tempore exstruebatur pulcherrimum illud ac spectabile templum, quod novam basilicam ecclesiam vocare consuevimus, ac salvatoris nostri Iesu Christi et angelorum primatis Michaelis nec non Eliae Thesbitae nomine erigebatur. eius vero interioris ambitus commensa spatium, magnas anus nacotapetas (villosos scilicet tapetes, ἀπὸ τῆς εὐχῆς, ac si a voto dicas, nuncupatos) fecit ac misit, quibus pavimentum variis pretiosis lapidibus inter se concinnatis velut tessellato opere stratum, varietatem et pulchritudinem pavonum prae se ferens, tegeretur, magnitudine et forma admirabili. sed et singulis annis, quoad imperator vixit, non minora mittebat sic ab ea illatis muneribus. quoniam vero in longiores

γενέσθαι αὐτὴν καὶ πλέον τῆς τοῦ βασιλέως ζωῆς τὴν ἐκείνης ἐπεκταθῆναι ζωήν, ζῶντος δὲ ἔτι καὶ τοῦ προορατικοῦ ἐκείνου
P 197 μοναχοῦ ἤκουσε παρ᾽ αὐτοῦ ὅτι μετὰ δεύτερον χρόνον μέλλει ἀπαίρειν τοῦ ζῆν, ἐπεθύμησε καὶ τὸν ἐκείνου υἱὸν Λέοντα, ἤδη τὴν αὐτοκράτορα λαβόντα ἀρχήν, ἀνελθοῦσα ἰδεῖν, καὶ πάλιν κατὰ τὸν τρόπον τὸν πρότερον ὑπὸ νεανίσκων ἐκκρίτων αἰρομένη τὸ τοσοῦτον διάστημα τῆς ὁδοῦ διήνυσεν εὐμαρῶς καὶ ἀβαρῶς. ἰδοῦσα δὲ τὸν σοφώτατον καὶ πρᾷον βασιλέα Λέοντα, καὶ θαυμαστὰ δῶρα καὶ πρὸς τοῦτον εἰσαγαγοῦσα καὶ κληρονόμον αὐτὸν τῆς οἰκείας ποιησαμένη ὑπάρξεως (ἤδη γὰρ ὁ ταύτης υἱὸς Ἰωάννης ἐτύγχανε τὸν βίον ἀπολιπών), αἰτησαμένη δὲ καὶ βασιλικὸν ἀποσταλῆναι τὸν ἀπογράψασθαι καὶ παραλαβεῖν ὀφείλοντα τὴν
B περιουσίαν αὐτῆς, ἀπῆρεν αὖθις συνταξαμένη τῷ χρηστῷ βασιλεῖ ἐπὶ τὸ τῆς πατρίδος θρεψάμενον ἔδαφος, ὡς ἂν ἐν τούτῳ καὶ τὸν τῆς σαρκὸς ἀπόθηται χοῦν. καὶ δὴ κατελθοῦσα μετὰ μικρὸν ἐτελεύτησεν. (77) ὁ δὲ πρωτοσπαθάριος Ζηνόβιος, ὃς ἦν ὁρισθεὶς καὶ ἀποσταλεὶς πρὸς τὸ πάντα τὰ παρὰ τῆς γραὸς αἰτηθέντα καὶ διατυπωθέντα ἀποπληρῶσαι, εἰς τὸ κάστρον Ναυπάκτου ἤδη καταλαβὼν ἀνέμαθε παρὰ Δανιὴλ τοῦ ἐκγόνου αὐτῆς τὴν πρὸς τὸν ἐκεῖθεν βίον ἐκδημίαν αὐτῆς. ἀφικόμενος δὲ εἰς τὸν οἶκον αὐτῆς καὶ τὸ ἴσον τῆς διατάξεως αὐτῆς ἐπὶ χεῖρας λα-
C βὼν κατὰ τὴν ἐκείνης βούλησιν καὶ διάταξιν τὰ πάντα διῴκησεν. εὗρε δὲ καὶ χρυσὸν ἐν νομίσμασι πάμπολυν καὶ ἄλλην περιουσίαν

2 ἐπεκτανθῆναι AP   καὶ om P   19 ἐγγόνου?

annos vitam eam producere contigit ac imperatori esse superstitem; quod ex pio illo monacho praesciendi facultate praedito, ipso adhuc superstite, audierat "ipsam post annum alterum e vita esse migraturam," desiderium insedit ut et illius filium Leonem, iam rerum summa potientem, praesens viseret. rursusque, sicut antea fecerat, electis iuvenibus sustollentibus, tantum illud viae spatium facile ac sine molestia emensa est. viso itaque sapientissimo mitissimoque Leone imperatore, mirique operis atque pretii illi quoque oblatis muneribus, ac substantiae suae herede instituto (iam quippe eius filius Ioannes vitam cum morte commutaverat), cum et comitatensem quempiam mitti petiisset, qui eius facultates in acta redacturus ac accepturus esset, ad patrium rursus solum, in eo carnis pulverem positura, optimo imperatore pro discessu salutato eique vale dicto, profecta est. cumque discessisset, brevi vivis exempta est. (77) protospatharius autem Zenobius, ab imperatore directus missusque ut quaecumque anus postulasset ac statuisset ea impleret, cum ad Naupacti urbem pervenisset, ex Daniele anus nepote didicit illam ex hac vita migrasse. veniens autem illius domum, ac testamenti exemplum in manus sumens, ex eius voluntate, et ut ipsa constituerat, cuncta digessit. inventa auri signati ingens copia ac pecu-

ἔν τε ἀργυρώμασι καὶ χρυσώμασιν ἐσθῆτί τε καὶ χαλκῷ καὶ ἀν-
δραπόδοις καὶ κτήνεσι, πάντα ἰδιωτικὸν ὑπερβαίνουσαν πλοῦτον,
μᾶλλον δὲ καὶ τυραννικῶν ὀλίγον καταδεέστερον. ἐπεὶ δὲ τὰ οἰ-
κετικὰ ταύτης ἀνδράποδα εἰς πλῆθος ἄπειρον ἦν, κελεύσει βασι-
λικῇ ἐκ τούτων ὥσπερ εἰς ἀποικίαν ἐπ' ἐλευθερίᾳ ἐστάλησαν εἰς
τὸ θέμα Λαγοβαρδίας τρισχίλια σώματα. διενεμήθη δὲ καὶ τὰ
λοιπὰ ταύτης κτήματα καὶ χρήματα καὶ ψυχάρια ὡς ἐκείνη κατὰ
τὴν διάταξιν αὐτῆς διωρίσατο, καὶ κατελείφθη καὶ τῷ κληρονόμῳ D
ταύτης βασιλεῖ εἰς ἴδιον κλῆρον τῶν ἄλλων χωρὶς προάστεια ὀγ-
δοήκοντα.

Ταῦτα εἰ καὶ πολὺ τοῖς χρόνοις τὰ μὲν ἐτύγχανε πρότερα
τῶν ἱστορουμένων κατὰ τὸ προκείμενον μέρος πραγμάτων τε καὶ
καιρῶν, τὰ δὲ οὐκ ὀλίγον ὕστερον, καὶ οὐδὲ σφόδρα ἀναγκαῖον
ἐδόκει τῇ ἱστορίᾳ, ἀλλ' ὅμως εἰς χάριν τῆς εἰρημένης γραὸς καὶ
ἔνδειξιν τοῦ πλούτου καὶ τῆς εὐγενείας αὐτῆς καὶ τῆς προαιρέσεως
ἐνταῦθα κείσθω κατὰ παρέκβασιν.

78. Ὁ δὲ φιλόχριστος Βασίλειος ὁ βασιλεὺς μεταξὺ τῶν
πολεμικῶν ἀγώνων, οὓς διὰ τῶν ὑπὸ χεῖρα πολλάκις ὥσπερ ἀγω- P 19
νοθετῶν πρὸς τὸ δέον κατηύθυνε, πολλοὺς τῶν ἱερῶν καὶ θείων
ναῶν, ἐκ τῶν προγεγονότων διαρραγέντας σεισμῶν καὶ ἢ κατα-
βληθέντας παντελῶς ἢ πτῶσιν ἀπὸ τῶν ῥηγμάτων σύντομον ὑπο-
μεῖναι δηλοῦντας, ἐπιμελείᾳ τε διηνεκεῖ καὶ τῶν πρὸς τὴν χρείαν

3 καταδεεστέραν? 11 πολλὰ P 13 ὕστερα?

niae innumerabiles, aliaque suppellex ac substantia in vasis argenteis atque aureis vestibusque et aeramentis et mancipiis et iumentis, omnes privatorum opes superans, quin immo ipsas regum ac tyrannorum prope exaequans. quod vero illius mancipia multitudine essent innumera, ex illis imperatoris iussu in Longobardiae thema quasi coloniam, tria milia manu missa sunt. dispertita etiam illius reliqua praedia et pecuniae et mancipia, pro eo ac illi ex testamenti tabulis statutum erat; imperatori eius heredi praeter alia in ius proprium relicta suburbana octoginta.

Haec etsi tempore longe dissita atque alia quidem rebus quarum hic narratio texitur priora exstiterint, alia non modico post intervallo secuta sint, nec admodum necessaria videantur quae historiae inserantur, in gratiam tamen dictae anus, eiusque et divitiarum et nobilitatis propensaeque voluntatis ac consilii specimen, hic in transcursu locum habeant.

78. Christi autem amans religiosissimusque Basilius imperator inter bellica certamina, quae haud raro per subiectos duces legatosque agonothetae in modum in debitum finem ac convenientem dirigebat, plerasque sacrosanctas ac divinas aedes, ex superioribus terrae motibus quassatas ac vel penitus collapsas vel proxime fatiscentibus rimis ruinam minitantes, iugi cura necessariorumque larga suppeditatione ac praesta-

ἐπιτηδείων ἀφθόνῳ χορηγίᾳ καὶ παροχῇ τοὺς μὲν τοῦ πτώματος ἤγειρε, τῇ ἀσφαλείᾳ καὶ κάλλος προσθείς, τῶν δὲ τὸ ἀσθενὲς ἐνισχύσας διὰ τῆς τῶν δεόντων ἐπιβολῆς καὶ ἐπανορθώσεως τοῦ μὴ καταρρυῆναι ἀλλὰ πρὸς ἀκμὴν αὖθις ἐπανελθεῖν καὶ νεότητα ἐγένετο αἴτιος. δηλωτέον δὲ καὶ καθ' ἕκαστα.

B 79. Τοῦ τε γὰρ περιωνύμου καὶ θείου ναοῦ ὃς τὸ τῆς μεγάλης τοῦ θεοῦ σοφίας κεκλήρωται ὄνομα, τὴν πρὸς δύσιν ἁψῖδα, τὴν μεγάλην τε καὶ μετέωρον, ἱκανῶς διαρραγεῖσαν καὶ πτῶσιν οὐκ εἰς μακρὰν ἀπειλοῦσαν αὐτὸς ἐμπειρίᾳ τεχνιτῶν περισφίγξας καὶ ἀνανεωσάμενος ἀσφαλῆ καὶ μόνιμον ἀπειργάσατο· καθ' ἣν καὶ τὴν τῆς θεομήτορος εἰκόνα τὸν ἄσπορον υἱὸν ἐπωλένιον φέρουσαν ἀνιστόρησε, καὶ τοὺς τῶν ἀποστόλων κορυφαίους Πέτρον καὶ Παῦλον ἑκατέρωθεν ἔστησε. καὶ τὰ λοιπὰ δὲ ῥήγματα ταύτης ἐν κτίσμασί τε καὶ δαπανήμασι φιλοτιμότατα διωρθώσατο. C οὐ μόνον γὰρ τοὺς σαθρωθέντας τῶν τοίχων ἐπηνωρθώσατο, ἀλλὰ καὶ τὴν τῶν προσόδων ἐλάττωσιν ταῖς παρ' ἑαυτοῦ ἐπιδόσεσιν εἰς αὔξησιν ἤγαγεν. ἐνδείᾳ γὰρ ἐλαίου σχεδὸν κινδυνευόντων ἀποσβεσθῆναι τῶν λύχνων τῶν ἱερῶν, μεγίστου κτήματος ἐπιδόσει, ὃ προσαγορεύεται Μάντεα, τούτοις τὸ φῶς διαμένειν προσεπενοήσατο ἄσβεστον, καὶ τοῖς ἐξυπηρετουμένοις εἰς τὸν θεῖον τοῦτον ναὸν ἐπεδαψιλεύσατο τὰ ὀψώνια ἐκ τῆς ἱκανῆς προσόδου τοῦ κτήματος, ὅπερ οἶδε τὴν ὑπηρεσίαν ποιεῖν ἀνυστέρητόν τε καὶ ἀδιάλειπτον.

15 ἐπανωρθώσατο P 17 ἐλαίου ἤδη σχεδὸν ἀποσβεσθέντων A

tione, alias quidem ex ruina erexit ac cum securas firmaque structura tum eleganti opere refecit; alias vero laborantes suffulciens, adiiciendo quae opportuna essent, ac quassata laesaque instaurando, effecit ne diffluerent, sed ut pristino vigore, nova quasi fabrica resurgerent. verum singula indicanda.

79. Celeberrimi enim divinique templi quod a magna dei sapientia nomen sortitum est, quae ad occidentem spectat, apsidem ingenti mole celsaque exstructione gravem, misere distractam ac celerem minantem casum, subtili artificum opera adstringens instauransque tutam firmamque reddidit; in qua et dei parentis filium nullo satum semine ulnis gestantis imaginem effinxit, ac utrinque apostolorum principes Petrum et Paulum erexit: reliquos item eius hiatus, tum in fabricis tum expensis, largissime sarcivit. non solum enim muris putrescentibus subvenit, sed et imminutos reditus ipse tribuendo adauxit. cum enim parum abesset ne prae olei inopia lampades sacrae extinguerentur, maximo collato praedio quod Mantea vocant, ut eis lumen inexstinctum constaret effecit, utque ex ipsius praedii reditibus censu perpetuo templi eiusdem ministris opsonia cibique praeberentur.

80. Ἀλλὰ καὶ τὸ τῶν θείων ἀποστόλων περιφανὲς καὶ
μέγα τέμενος, τῆς προτέρας εὐπρεπείας καὶ ἀσφαλείας διαπεσόν, D
ἐρεισμάτων περιβολαῖς καὶ ταῖς τῶν διαρραγέντων ἀνοικοδομαῖς
ὀχυρώσας, καὶ ἀποξέσας τὸ ἀπὸ χρόνου γῆρας καὶ τὰς ῥυτίδας
περιελών, ὡραῖον αὖθις καὶ νεουργὸν ἀπετέλεσεν. καὶ τὸν ἐν τῇ
Πηγῇ δὲ τῆς θεομήτορος θεῖον ναὸν διαπτωθέντα καὶ τὸ ἀρχαῖον
ἀποβαλόντα κάλλος ἀνενεώσατό τε καὶ ὑπερλάμποντα μᾶλλον ἤπερ
τὸ πρότερον ἔδειξεν. ὡσαύτως καὶ τὸν ἕτερον τῆς θεοτόκου ναόν,
ὃς τὸ Σίγμα εἶχεν ἐπώνυμον, πτῶμα πεσόντα δεινὸν ἐκ βάθρων
ἀνῳκοδόμησε καὶ ἑδραιότερον τοῦ προτέρου εἰργάσατο. καὶ τὸν P 199
ἐν Αὐρηλιαναῖς δὲ Στεφάνου τοῦ πρώτου τῶν μαρτύρων ναὸν
ἄχρις ἐδάφους καταπεσόντα ἐκ θεμελίων αὐτῶν ἀνεδείματο. τοὺς
δὲ τοῦ βαπτιστοῦ καὶ προδρόμου σηκοὺς ἱεροὺς ἔν τε τῇ Στροβυ-
λαίᾳ καὶ Μακεδονιαναῖς, τὸν μὲν ἐκ βάθρων, τοῦ δὲ τὸ πλεῖστον
ἀνῳκοδόμησεν. οὐ μὴν ἀλλὰ καὶ τὸ τοῦ ἀποστόλου Φιλίππου
ἱερόν, καὶ τὸ αὐτοῦ δυτικώτερον κείμενον τοῦ εὐαγγελιστοῦ Λουκᾶ,
τῶν παλαιῶν ἀνακαθάρας πτωμάτων νέα εἰργάσατο. (81) ἔτι
δὲ καὶ τὸ Μωκίου τοῦ μάρτυρος μέγα τέμενος, οὐκ ὀλίγοις ὑπο-
πεσὸν ῥήγμασι, καὶ τὸ ἄδυτον τούτου μέρος ἄχρι τῆς γῆς κατα-
βληθὲν ἐσχηκὸς ὡς καὶ τὴν ἱερὰν κατεάξαι τράπεζαν, τῆς προση- B
κούσης ἐπιμελείας ἠξίωσε καὶ τελείως τοῦ πτώματος ἤγειρεν.
καὶ τὸν πλησιάζοντα δὲ τούτῳ κατὰ τὸ μέρος τὸ πρὸς δυσμὰς Ἀν-

2 μέγιστον A 12 ἄχρις ἐδάφους καταπεσόντα om A 13 τοῦ om AP Στροβλαίᾳ A 18 καὶ τοῦ Μωκίου μάρτυρος P 22 τὸ ante πρὸς om P

80. Sed et divinorum apostolorum celebre magnumque delubrum, pristino decore amisso ruinosoque aedificio, fulcrorum ambitu collapsarumque partium instauratione stabiliens, abrasoque quod veteratum tempore erat rugasque contraxerat, elegans rursus novique operis fabricam fecit. divinum quoque in Pega S. deiparae templum collapsum, ac quo olim decore fulserat orbatum, instauravit, splendidiusque quam prius exstiterat reddidit. similiter alterum quoque deiparae templum, Sigma cognomento dictum, diro casu deformatum a fundamentis novum exstruxit ac priore firmius constabilivit. sed et Stephani martyrum primi in Aurelianis templum terrae motus quassatione ad solum usque subrutum a fundamentis exstruxit. baptistae vero ac praecursoris sacras aedes in Strobylaea et Macedonianis, alteram a fundamentis exstruxit, alteram potiore parte reparavit. sed et apostoli Philippi sacellum, aliudque Lucae evangelistae illo occidentalius, vetustis expurgatis ruinis nova condidit. (81) praeterea vero etiam Mocii martyris ingens templum, non paucis scissuris sublapsum, cuius aditum terrae allisum erat ita ut divinam ipsam mensam praefringeret, debita cura illi adhibita perfecte a ruina erexit. vicinum quoque illi ex parte occidentali Andreae pri-

δρέου τοῦ πρωτοκλήτου τῶν ἀποστόλων ναὸν ἐκ πολλῆς ἀμελείας διαρρυέντα εἰς τὸ ἀρχαῖον κάλλος τῇ δεούσῃ ἐπιμελείᾳ ἀνήγαγεν. τὸν δὲ τοῦ ἁγίου Ῥωμανοῦ θεῖον οἶκον καὶ αὐτὸν καταπεσόντα ἐκ βάθρων ἀνεδείματο. καὶ τὸν τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ καὶ τὸν τοῦ Χριστοῦ μάρτυρος Δημητρίου καινοὺς ἀντὶ παλαιῶν καὶ εὐπρεπεῖς ἀπειργάσατο. τὸν δὲ τοῦ μάρτυρος Αἰμιλιανοῦ, ὃς ἐν
C τῇ Ῥάβδῳ τῷ οἴκῳ τῆς θεομήτορος γειτονεῖ, τῇ παλαιότητι κατερρικνωμένον ἰδὼν καινουργεῖ, ἑκατέρωθεν πυργώσας ἑδράσμασι. (82) πρὸς δὲ καὶ τὸν τοῦ ἀθλοφόρου Ναζαρίου ἱερὸν οἶκον, ἐκ πολλῶν τῶν χρόνων οὐ μόνον πτωθέντα ἀλλὰ καὶ τέλεον ἠφανισμένον, νέον ἐδείματο σεμνότητι καὶ κάλλει πολλῷ τοῦ πρὶν διαφέροντα. ἐν δὲ τοῖς Δομνίνου λεγομένοις Ἐμβόλοις τὸν εἰς ὄνομα τῆς θείας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως καὶ Ἀναστασίας τῆς μάρτυρος περικαλλῆ ναὸν ἐπισκευάσας ἐλάμπρυνε, λιθίνην ἀντὶ ξυλίνης τὴν ὀροφὴν ἐργασάμενος, καὶ κόσμον ἄλλον ἐπιθεὶς
D ἀξιάγαστον. ὡσαύτως δὲ καὶ Πλάτωνος τοῦ μεγάλου ἐν μάρτυσι πονήσασαν τὴν τοῦ ναοῦ κατιδὼν ὀροφὴν νέαν εἰργάσατο, καὶ τοίχων ἐν οἷς ἔδει κατοχυρώσας τὸν οἶκον ἐπιβολαῖς. τῶν δὲ καλλινίκων μαρτύρων Ἑσπέρου τε καὶ Ζωῆς τὸν θεῖον οἶκον ἠδαφισμένον σχεδὸν κατάλληλον τοῦ πρῴην ἐδείματο. πρὸς τούτοις δὲ καὶ τὸν τοῦ μάρτυρος Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ θεῖον ναὸν ἤδη σχεδὸν καταρρυέντα καὶ πρὸς πτῶσιν συνελαυνόμενον ἀνακαι-

5 χριστομάρτυρος A 11 νέον om P 13 θείας] τοῦ P 14 τῆς om P 17 καὶ om P 18 ἐμβολαῖς P 21 Πασκάλῳ A 22 καταρρέοντα A

mum vocati inter apostolos templum, ingenti neglectu ruina oppressum, convenienti cura pristino decori reparavit. divinam item S. Romani aedem et ipsam collapsam a fundamentis aedificavit. S. Annae quoque in Deutero et S. Christi martyris Demetrii sacras aedes, vetustate laborantes, novas ac elegantes refecit. sancti vero martyris Aemiliani in Rhabdo ecclesiam, haud procul ab aedibus sanctae dei parentis, vetustate fatiscentem videns utrinque turrito opere fastigiando novam reparavit. (82) praeterea vero etiam triumphalis martyris Nazarii sacram aedem, a multis retro annis non modo collapsam sed et penitus abolitam, aedificavit, maiestate elegantia ac pulchritudine priori longe aedificio praestantem. in Domnini Embolis (ut vocant) sanctae dei nostri Christi resurrectionis nomine atque martyris Anastasiae pulcherrimum templum aptans splendide ornavit, lignea fornice in lapideam mutata ornatuque alio plane admirabili adiecto. similiter quoque incliti martyris Platonis tectum laborare videns et fatiscere novum instauravit, immissis parietibus, ubi necesse erat, aedem communiens ac firmans. gloriosorum vero martyrum Hesperi et Zoes divinam aedem, fere solo tenus dirutam, pari priori elegantia et maiestate exstruxit. ad haec vero etiam martyris Acatii in Heptascalo divinum templum pene diffluens

νίσας καὶ παντοίοις κατασφαλισάμενος ὀχυρώμασι τοῦ πτώματος ἥρπασε καὶ ἑδραίως ἑστηκέναι πεποίηκεν. τὸν δὲ Ἡλιοὺ τοῦ προφήτου κατὰ τὸ Πετρίον ναὸν ὥσπερ λειποψυχοῦντα ἀνέρρωσε καὶ P 200 περιφανῶς ἐκτίσατο, ἐλευθερώσας καὶ τῆς περιστοιχούσης καὶ πιεζούσης τῶν κοινῶν οἰκιῶν συνοχῆς.

83. Ἀλλὰ τί στρεφόμεθα περὶ τὰ μικρὰ τῶν ἐκείνου, εἰ καὶ πάνυ μεγάλα καθέστηκε, καὶ οὐ προστιθέαμεν τὸ μέγα ἔργον καὶ ἀξιάγαστον, ὃ κατ᾽ αὐτὰς τὰς βασιλείους αὐλὰς αὐτὸς ἐπιστατῶν τε καὶ αὐτουργῶν ᾠκοδόμησεν; ὅπερ ἀρκεῖ καὶ μόνον τήν τε περὶ τὸ θεῖον αὐτοῦ δηλοῦν ὁσιότητα καὶ τὸ πρὸς τὰ ἐπιβαλλόμενα μεγαλουργόν τε καὶ θαύματος ἄξιον. ἀμειβόμενος γὰρ ὥσπερ B τῆς περὶ αὐτὸν εὐμενείας τὸν δεσπότην Χριστὸν καὶ τὸν πρῶτον τῶν ἀγγελικῶν δυνάμεων Γαβριὴλ καὶ τὸν Θεσβίτην Ἡλίαν τὸν ζηλωτήν, ὃς καὶ τῇ αὐτοῦ μητρὶ τῆς πρὸς βασιλείαν τοῦ υἱοῦ ἀνυψώσεως ἐχρημάτισεν ἄγγελος, εἰς ὄνομα τούτων καὶ μνήμην ἀΐδιον, ἔτι δὲ τῆς θεοτόκου καὶ Νικολάου τοῦ ἐν ἱεράρχαις πρωτεύοντος, θεῖον καὶ περικαλλῆ ναὸν ἐδομήσατο, εἰς ὃν συνῆλθε τέχνη καὶ πλοῦτος καὶ ζέουσα πίστις καὶ ἀφθονωτάτη προαίρεσις, καὶ τὰ πανταχόθεν συνέδραμε κάλλιστα, ἃ τοῖς ὁρῶσι μᾶλλον ἢ C τοῖς ἀκούουσιν οἶδα τυγχάνειν πιστά. ὃν ὡς νύμφην ὡραϊσμένην καὶ περικεκοσμημένην μαργάροις τε καὶ χρυσῷ καὶ ἀργύρου λαμπρότησιν, ἔτι δὲ καὶ μαρμάρων πολυχρόων ποικιλίαις καὶ ψηφί-

4 περιστοιχιζούσης A   13 Μιχαὴλ Bandurius p. 599.

iamque casurum instaurando omnisque generis fulcris statuminando firma basi stare fecit. Eliae vero prophetae templum in Petrio, extremo quasi spiritu, ac cuius propemodum ruina exspectaretur, corroboravit ac magnifice exstruxit, a communium aedium circumambientium prementiumque iniuria liberans.

83. Quid enimvero circa pusilla ipsius operum versamur, etsi et illa valde ingentia, nec magnum illud omnique dignum admiratione adiungimus, quod ad ipsum regiae atrium, ipse operi praesidens auctorque molitionis, exstruxit; quod vel unum illius in deum pietatem et cultum, inque iis quibus manum admovisset magnificentiam admirandosque conatus, abunde potest ostendere? velut enim Christi in eum angelicarumque potestatum primatis Gabrielis nec non et Eliae Thesbitae (zelotae illius, qui eius matri provehendi filii in regni solium nuntius fuerat) benevolentiam munerans, in eorum nomen ac memoriam sempiternam, itemque sanctae dei genitricis et Nicolai inter hierarchas primas obtinentis, divinum pulcherrimumque templum aedificavit; in quo pari foedere ars et divitiae fervensque fides et locupletissima voluntas coivere, ac quae ubique gentium pulcherrima sunt concurrere, ipsa eiusmodi ut penes convisentes quam audientes, maiorem fidem habeant. templum hoc, velut sponsam splendide ornatam cultamque margaritis et auro argentique nitore, praetereaque marmorum multiplici colorum va-

δων συνθέσεσι καὶ σηρικῶν ὑφασμάτων καταστολαῖς, τῷ ἀθα-
νάτῳ προσήγαγε νυμφίῳ Χριστῷ. (84) ὅ τε γὰρ ὄροφος ἐκ
πέντε συμπληρούμενος ἡμισφαιρίων στίλβει χρυσῷ καὶ εἰκόνων ὡς
ἀστέρων ἀστράπτει κάλλεσιν, ἔξωθεν μετάλλοις ἐμφεροῦς χρυσίῳ
χαλκοῦ καλλυνόμενος, οἵ τε παρ' ἑκάτερα τοῖχοι τῷ πολυτελεῖ καὶ
D πολυχρόῳ τῶν μαρμάρων καταποικίλλονται, καὶ τὰ ἄδυτα τοῦ
ναοῦ καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ λίθοις τιμίοις καὶ μαργάροις κα-
ταπεποίκιλται καὶ καταπεπλούτισται. καὶ αἱ τῶν ἐκτὸς διείργου-
σαι τὰ θυσιαστήρια κιγκλίδες καὶ τὰ ἐν αὐταῖς περίστυλα καὶ τὰ
ἄνωθεν οἷον ὑπέρθυρα χρηματίζοντα οἵ τε ἐντὸς θᾶκοι καὶ αἱ πρὸ
τούτων βαθμίδες καὶ αὐταὶ αἱ ἱεραὶ τράπεζαι, ἐξ ἀργύρου πάντα
περικεχυμένον ἔχοντος τὸν χρυσὸν καὶ λίθοις τιμίοις ἐκ μαργαρι-
τῶν ἠμφιεσμένοις πολυτελῶν τὴν σύμπηξιν καὶ σύστασιν ἔχουσιν.
P 201 αὐτὸ δὲ τὸ ἔδαφος σηρικῶν ὑφασμάτων ἢ Σιδονίων ἔργων ἐφη-
πλωμένων δόξει τυγχάνειν ἀνάπλεων· οὕτω πᾶν ἐξωραΐσται καὶ
καταπεποίκιλται τῷ πολυχρόῳ τῶν ὑποκειμένων ἐκ μαρμάρων
πλακῶν καὶ ταῖς πολυειδέσι τῶν ταύτας περικλειουσῶν ψηφίδων
ζώναις καὶ τῷ τῆς ἁρμογῆς ἀκριβεῖ καὶ τῷ περιττῷ τῆς περιθεού-
σης ἐν ἅπασι χάριτος. ἔνθα καὶ πλῆθος ᾀδόντων ἐξυπηρετου-
μένων ἀφώρισε καὶ προσόδους ἱκανὰς ἀπέταξεν, ἃς φιλοτίμως καὶ
μεγαλοπρεπῶς διανέμεσθαι τοῖς προσανέχουσι τῷ τοιούτῳ ἱλαστη-
ρίῳ προσέταξεν, ὑπερβαλέσθαι σχεδὸν τοὺς πρὸ αὐτοῦ πάντας τῇ
B περὶ τὰ τοιαῦτα μεγαλοδωρεᾷ φιλοτιμησάμενος.

2 Χριστῷ om P 15 τυγχάνον P 20 ἐπέταξεν A

rietate tesselarumque compositionibus ac sericorum pannorum stragulis collucentem, immortali sponso addixit. (84) tectum enim quinque semicirculis constans auro renidet imaginibusque velut stellarum splendoribus micat, parte extima aeris metallis auri fulgorem quam proxime referens. parietes hinc inde pretiosis variisque coloris marmoribus variati collucent, templique penetralia ipsa auro argentoque et lapillis margaritisque interstincta variaque magnifice splendescunt. ab exteriori nave sanctuarium secludentes cancelli, inque illis columellarum ordines, eisque imposita quae vocant hyperthyra, intusque positae sedes, et qui ante illas sunt gradus, ipsaeque sacrae mensae, omnia argentea superfuso auro lapidibusque pretiosis, unionibus inditis, conflata compactaque consistunt. ipsum stratum solum sericis texturis aut Sidonii operis expansis aggravescere videbitur. sic universum subiectis varii coloris marmorum crustis, variique generis ambientibus tessellati operis zonis, exquisitaeque artis compage, in omnibus denique circumfluentis gratiae abundantia condecoratur ac variatur. cantorum in eo ministrantium constituta multitudo, uberesque assignati reditus, quos magnifice largiterque in eos impartiendos praecepit qui istiusmodi propitiatorii obsequiis addicti essent, hoc nempe ambiens, ut omnes fere superiores hoc munificentiae genere superaret.

85. Ἀλλ' ὁ μὲν ναὸς τοιοῦτος καὶ οὕτω τὰ ἐντὸς ἔχων, ὅσον μικρῷ λόγῳ δηλῶσαι δυνατὸν τὰ μεγάλα, καὶ πᾶσαν ἐντιθέντα ταῖς τῶν θεωμένων διανοίαις ἔκπληξιν· τὰ δὲ ἐκτὸς οἷα! πρὸς ἑσπέραν μὲν καὶ κατ' αὐτὰ τοῦ ναοῦ τὰ προαύλια φιάλαι δύο ἑστήκασιν, ἡ μὲν πρὸς νότον ἡ δὲ πρὸς βορρᾶν, πᾶσαν ἔχουσαι καὶ τέχνης ὑπερβολὴν καὶ ὕλης λαμπρότητα καὶ φιλοτιμίαν τοῦ τῶν ἔργων δημιουργοῦ. ὧν ἡ μὲν πρὸς νότον ἐξ Αἰγυπτίου λίθου, ὃν ἡμεῖς Ῥωμαῖον λέγειν εἰώθαμεν, ἔχει τὴν σύστασιν. περὶ ἣν καὶ δράκοντας ἔστιν ἰδεῖν, οὓς ἡ λιθοξόος τέχνη ἄριστα διεμόρφω- C σεν. ἧς μέσον μὲν κωνοειδὴς καὶ διάτρητος ἀνέστηκε στρόβιλος, πέριξ δὲ κιονίσκοι λευκοὶ καὶ τὸ ἔνδον ὑπόκενοι χοροῦ σχῆμα σώζοντες ὑφεστήκασι, στεφάνην ἄνωθεν ἔχοντες περιθέουσαν, ἀφ' ὧν ἁπάντων κρουνηδὸν τὸ ὕδωρ κατὰ τὸ ἐμβαδὸν καὶ τὸν πυθμένα τῆς φιάλης ἄνωθεν ἔρρει καὶ κατώμβρει τὰ ὑποκείμενα. ἡ δὲ πρὸς βορρᾶν ἐκ τοῦ Σαγαρίου λεγομένου λίθου, ὃς τῷ παρά τινων Ὀστρίτῃ καλουμένῳ λίθῳ καθέστηκεν ἐμφερής, ἐδέξατο τὴν κατασκευήν, ἐκ λευκοῦ λίθου πολύτρητον στρόβιλον καὶ αὐτὴ κατὰ τὸ μέσον τοῦ πυθμένος προβαλλομένη ἐξέχοντα. ὕπερθεν δὲ κατὰ τὴν περιτρέχουσαν στεφάνην τῇ φιάλῃ ἐκ χαλκοῦ τῷ τεχνίτῃ διετυ- D πώθησαν ἀλεκτρυόνες τράγοι τε καὶ κριοί, διά τινων συρίγγων καὶ αὐτοὶ κρουνοὺς ὑδάτων ἐξερευγόμενοι καὶ οἷον ἐξεμοῦντες κατὰ τὸ τῆς φιάλης ὑποκείμενον ἔδαφος. ἔνθα καὶ κύλικες ὁρῶνται, περὶ

3 κατάπληξιν A 5 νότα P 6 καὶ τῆς τέχνης P τοῦ om A

85. Ac templi quidem structura ea est ornatusque interior, quantum brevi sermone res magnas declarare licet, et quae spectantium animis omnem stuporem iniiciant; exteriora vero quaenam rogo? ad occasum, inque ipso vestibulo, duae erant constitutae phialae, altera ad austrum, altera ad aquilonem, omnem artis excellentiam habentes materiaeque splendorem ac auctoris operum magnificentiam. quae ad austrum, ex Aegyptio lapide (Romanum dicere consuevimus) structa est. circa eam dracones statuaria arte elegantissime efformatos videas. in medio turbinata forma perforatusque rhombus assurgit: circumiectae candido marmore columellae, ipsae chori quadam specie compositae, circumducta capitibus corona ac protectura; ex quibus omnibus torrentis instar ad phialae pedes basimque aquae defluebant ac subiecta quaeque copioso imbre compluebant. quae autem ad aquilonem ex Sagario sic nuncupato concinnata lapide, haud absimili Ostriti, ut quidam vocant, candido et ipsa exstructa lapide, ex basis medio multiforum rhombum eminentem protendit. superius in corona ac protectura phialam ambiente arte fusi effictique ab artifice galli gallinacei haedique et arietes, ipsi quoque fistulis quibusdam aquarum scatebras eructantes et in subiectum phialae pavimentum quasi evomentes. ubi et pocula conspiciuntur, circa quae

ἃς τότε οἶνος ἀνέβλυζε κάτωθεν, τοὺς παριόντας ποτίζων καὶ δε-
ξιούμενος. (86) ἐξιόντι δέ σοι τὴν βόρειον πύλην τοῦ ἱεροῦ μα-
κρός τις ἐκδέχεται περίπατος κυλινδροειδής, ἐξ ἐνύλων γραφῶν
κατηγλαϊσμένος τὴν ὀροφήν, τοὺς μαρτυρικοὺς περιέχων ἄθλους
P 202 καὶ τὰ παλαίσματα, ἑστιῶν ἅμα τοὺς ὀφθαλμοὺς καὶ τὴν ψυχὴν
διεγείρων πρὸς τὸν θεῖον καὶ μακάριον ἔρωτα, ταῖς τῶν μαρτύρων
ἀριστείαις εἰς τοῦτον ἐναγομένην καὶ ὑπερβαίνειν κατὰ τὸ ἐφικτὸν
πειρωμένην τὴν αἴσθησιν. κατὰ δὲ τὰς πρὸς νότον τε καὶ τὴν
θάλασσαν πύλας, εἰ ἐξελθὼν πρὸς ἀνατολὰς ποιήσασθαι τὴν πο-
ρείαν θελήσειας, ἄλλον εὑρήσεις ἰσομήκη τοῦ πρὸς βορρᾶν καὶ
ἰσόδρομον δίαυλον, ἄχρι τῆς βασιλικῆς αὐλῆς καὶ αὐτὸν παρατεί-
νοντα, καθ' ἣν μεθ' ἵππων σφαιρίζειν βασιλεῦσί τε καὶ τοῖς τῶν
εὐδαιμόνων παισὶ καθέστηκε σύνηθες· ἣν καὶ αὐτὴν ὁ αὐτὸς ἀοί-
B δίμος βασιλεύς, τὰς πρότερον ἐκεῖσε τυγχανούσας οἰκίας ἐξωνησά-
μενος καὶ ἄχρις ἐδάφους καταβαλὼν καὶ περικαθάρας τὸν τόπον,
εἰργάσατο, κατὰ τὸ πρὸς θάλασσαν μέρος τῆς τοιαύτης αὐλῆς καὶ
τὰς περικαλλεῖς οἰκίας δειμάμενος, ἃς οἱονεὶ ταμιεῖον καὶ οἰκονο-
μεῖον τοῦ εἰρημένου τυγχάνειν ναοῦ διωρίσατο. ἡ δὲ τῶν οἰκη-
μάτων ἐξώνησις καὶ κατασκευὴ τῆς αὐλῆς διὰ τὸ τὴν πρότερον εἰς
τὸ τοιοῦτον γυμνάσιον ἀνειμένην τοῖς βασιλεῦσιν ἐν τῇ τοῦ θείου
ναοῦ παροπλισθῆναι οἰκοδομῇ δεόντως ἐγένετο. τὸ δὲ περικλειό-
μενον μέσον τῶν δύο περιδρόμων χωρίον κατὰ τὸ ἑῷον τοῦ ναοῦ
C μέρος παράδεισον ἐξειργάσατο, κατὰ ἀνατολὰς καὶ αὐτὸν φυτευ-

22 χώρων P

tunc praetereuntibus potandis ac accipiendis vinum ab imo scaturiebat. (86) exeunti per templi portam quae spectat ad aquilonem, oblonga porticus cylindri ferme specie occurrit, pictis imaginibus decorata, nempe martyrum certamina luctasque complectens, iisque tum oculos laute accipiens, tum vero animum ad divinum beatumque amorem, ex praeclaris martyrum gestis eius ardoribus excitum sensumque, quoad licet, superare studentem, magnifice erigens. ad australes vero atque mare spectantes fores, ad orientem profecturus egrediens, duplex aliud curriculum offendes, paris longitudinis ac spatii cum ea quae ad aquilonem spectat porticu, ad regiarum usque aedium protensum atrium; in quo imperatores ac reliqui aulae proceres equo assidentes pila ludere consueverunt. atrium inclitus imperator, coemptis aedibus quae ibi antea erant soloque aequatis ac caementis eiectis, perpolivit, et in eiusdem atrii parte, quae ad mare spectat, perpulchras aedes exstruxit, quas dicti iam templi velut promptuarium cellamque penuariam esse constituit. aedium autem coëmptio atriique exstructio commode aptoque consilio exstitit, quod illi exercitio destinatus antea imperatoribus locus divini templi aedificationi cessisset. spatium inter duas porticus interclusum ad orientalem templi faciem hortum esse voluit, in oriente et ipsum plantatum novae Edem,

θέντα τῆς νέας Ἐδὲμ καὶ παντοίοις κομῶντα φυτοῖς καὶ ὕδασιν ἀφθόνοις ὄντα κατάρρυτον· ὃν ἀπὸ τῆς θέσεως Μεσοκήπιον ὀνομάζειν εἰώθαμεν.

Ἀλλὰ ἀπόχρη περὶ τούτων τὰ εἰρημένα, μὴ καὶ ἀπειροκαλίας τις γραφὴν ἀποίσεται καθ᾽ ἡμῶν. (87) καὶ μεταστρεπτέον ἤδη τὸν λόγον ἐπὶ τὰ λοιπὰ τῶν ἔργων τοῦ φιλοπόνου καὶ τῶν καλῶν προμηθοῦς αὐτοκράτορος. κατ᾽ αὐτὰ γὰρ τὰ βασίλεια τίνα τῶν πώποτε μνημονευομένων ἐν ταῖς περὶ τὰ τοιαῦτα φιλοτιμίαις οὐχ ὑπερβέβηκεν ἔν τε πολυτελείᾳ καὶ κάλλει καὶ τῷ καινοπρεπεῖ D τῶν σχημάτων καὶ ταῖς περὶ πάντα τὰ ἀξιάγαστα χάρισιν, οὐ μόνον ἐν ναῶν καλλοναῖς καὶ πολυτελείαις καὶ τέρψεσιν, ἀλλὰ καὶ ἐν διαιτητηρίων βασιλικῶν ὄντως καὶ μεγαλοπρεπῶν οἰκοδομαῖς, μετὰ τοῦ πολυτελοῦς τὸ τερπνὸν καὶ μετὰ τοῦ τέρποντος πολὺ τὸ χρήσιμον ἐχόντων καὶ θαύματος ἄξιον; ἀλλ᾽ ἐπεὶ τὰ τοιαῦτα κάλλη οὐ πᾶσιν εἰς ὅρασιν πρόκειται, ἢ καὶ μᾶλλον ἀκριβὴς τῶν τοιούτων πέφυκεν εἶναι διδάσκαλος, ἀνάγκη διὰ τῆς γραφῆς παρατεθῆναι τῶν σπουδαίων ταῖς ἀκοαῖς, ἵν᾽ ἐντεῦθεν ὅ τε δημιουργὸς αὐτῶν P 203 ἀξίως θαυμάζηται καὶ οἱ τῶν βασιλείων εἰσόδων εἰργόμενοι μὴ παντελῆ τούτων ἔχοιεν ἄγνοιαν. ἔστι γὰρ εὐθὺς κατὰ τὸ πρὸς ἀνατολὰς τῶν ἀνακτόρων μέρος κατασκευασθεὶς Ἠλιοὺ τῷ Θεσβίτῃ ναός, οὐ τὰ ἐντὸς μόνον πάσης ἀνάπλεως πολυτελείας καὶ ὡραιότητος ἀλλ᾽ ἤδη καὶ τὰ ἐκτός. ἄνωθεν γὰρ τὸ στέγος ἅπαν χρυσῷ

5 μετατρεπτέον P 19 ἔτι AP

omnis generis plantis arboribusque eluxuriantem aquarumque copia large irriguum; quem a situ Mesocepium (quasi hortum medium) nuncupamus.

Sed haec hactenus dicta sufficiant, ne quis nos ineptiarum accuset. (87) convertenda itaque nunc oratio est ad reliqua labore strenui ac studiosi praeclarisque intenti curis imperatoris opera. in ipsa enim regia quem eorum qui unquam celebres habiti sunt, eiuscemodi rerum magnificentia et cultu non superavit, tum nimirum sumptuosis pulchrisque structuris, tum nove affigiatis figuris, admirandisque omnibus exquisita gratia venustatibus, non solum in sacrarum aedium pulchritudine et magnificentia et amoenitate, verum etiam in curiarum domorumque vere regiarum ac praemagnificarum aedificiis; quibus itidem amoenitas cum magnificentia comes sit, et cum amoenitate ingens plane ac miraculo digna certet utilitas? quoniam tamen eiuscemodi decora non omnium oculis sunt proposita, qui talium rerum exquisitiores magistri esse solent, necesse est ut ea studiosorum auribus scripto ingeramus, quo scilicet hinc eorum auctor debitam admirationem consequatur, et qui ingressu ad regiam arcentur, haud penitus illorum ignorantia teneantur. statim enim ad orientalem regiae partem exstructum exstat Eliae Thesbitae templum, non intus solum sed et foris omni cultu et lepore magnificentissime stipatum. supra enim tectum omne auro renidebat, ex tessellulis

κατελάμπετο, ἐκ ψηφίδων εὖ ἡρμοσμένων ἅπαν συνεστηκός, εἰ καὶ τῷ χρόνῳ νῦν ἡ πολλὴ τῶν ὄμβρων ἐπιφορὰ καὶ οἱ χειμέριοι νιφετοί τε καὶ παγετοὶ τὸ πολὺ τοῦ κάλλους διαφθείραντες ἐλυμήναντο. B *συνημμένον δὲ τῷ τοιούτῳ ναῷ καὶ τὸ ἐπ᾽ ὀνόματι τοῦ πολυπαθοῦς καὶ καρτερικωτάτου τῶν μαρτύρων Κλήμεντος εὐκτήριον ἀνεδείματο, ἐν ᾧ καὶ τὴν θείαν τούτου κάραν καὶ ἄλλων πολλῶν μαρτύρων ἱερὰ ἐναπέθετο λείψανα, ἀφ᾽ ὧν ἐκεῖνός τε καὶ οἱ μετ᾽ αὐτὸν ψυχῆς τε καὶ σώματος τὴν ῥῶσιν λαμβάνουσι. γειτονεῖ δὲ τούτοις καὶ ὁ ἐπ᾽ ὀνόματι τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ κατασκευασθεὶς ὑπ᾽ αὐτοῦ εὐκτήριος οἶκος, οὗ τὸ πολυτελὲς καὶ ὑπέρτιμον τοῖς οὐκ ἰδοῦσιν ἄπιστος νομισθήσεται· τοσοῦτος ἄργυρος καὶ χρυσὸς καὶ τιμίων λίθων καὶ μαργάρων πλῆθος ἐν τῇ τούτου περιβολῇ καταβέβληται. τὸ μὲν γὰρ ἔδαφος ἅπαν ἐξ ἀργύρου* C *σφυρηλάτου καὶ στιβαροῦ μετ᾽ ἐγκαύσεως, τὸ τῶν χρυσοχόων ἀκριβὲς τῆς τέχνης ἐπιδεικνύμενος, κατεσκεύασται, οἱ δὲ ἐξ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῖχοι ἄργυρον ἄφθονον καὶ αὐτοὶ ἐπικείμενον ἔχουσι, διηνθισμένον χρυσῷ καὶ τιμίοις πεποικιλμένον λίθοις καὶ μαργάρων λαμπρότησιν. ἡ δὲ διείργουσα τὰ ἄδυτα τοῦ θείου οἴκου τούτου κιγκλίς, Ἡράκλεις, ὅσον ὄλβον ἐν ἑαυτῇ περιείληφεν! ἧς οἱ στῦλοι μὲν καὶ τὰ κάτωθεν ἐξ ἀργύρου διόλου τὴν σύστασιν ἔχουσιν, ἡ δὲ ταῖς κεφαλίσι τούτων ἐπικειμένη δοκὸς ἐκ καθαροῦ χρυσίου πᾶσα συνέστηκε, τὸν πλοῦτον πάντα τὸν ἐξ Ἰν-* D *δῶν περικεχυμένον πάντοθεν ἔχουσα· ἐν ᾗ κατὰ πολλὰ μέρη καὶ*

8 τε om P 11 τοσοῦτος γὰρ ἄργυρος A 12 λίθων καὶ om A τούτων A

totum apte compactum, quanquam modo praeruptorum imbrium vi hiemalibusque nimbis et gelu pristini decoris partem maximam amiserit detriveritque. huic templo annexum etiam Clementis longe plurimis vexati suppliciis martyrumque tolerantissimi oratorium condidit, in quo divinum eius caput aliorumque plurium martyrum sacras exuvias reposuit; unde tum ille tum posteri animi corporisque incolumitatem hauriunt. e propinquo est et quam salvatoris nostri ac dei nomine oratoriam domum exstruxit, cuius magnificentia cultusque omnem excedens aestimationem his qui non viderunt incredibilis videbitur: tanta scilicet argenti aurique vis lapidumque pretiosorum et unionum copia in eius fabricam impensa est. pavimentum stratum omne ex argento solido ducto malleo, aurificum subtili arte, incausto confectum est. dextra laevaque aedis parietes, ipsi quoque copioso convestiti argento, auri fulgoribus florido gemmisque pretiosis ac margaritarum splendoribus interstincto ac vario. divinae huius aedis adyta separantes cancelli (deus bone!) quantas in se continent divitias! quorum columnae imaeque partes ex argento constant solidae, capitellis autem trabs superposita ex auro solida, universas Indorum divitias quaquaversum circumfusas gestans; cuius multis partibus

ἡ θεανδρικὴ τοῦ κυρίου μορφὴ μετὰ χυμεύσεως ἐκτετύπωται. αὐτὸ δὲ τὸ ἄδυτον ὅσα κάλλη καὶ ἅγια περιείληφε καὶ ἐν ἑαυτῷ θησαυροφυλακεῖ, ὁ λόγος παραιτεῖται δηλοῦν, ἐὰν δὲ μᾶλλον ὡς ἄδυτον καὶ τοῖς λόγοις ἄβατον βούλεται· ἐν γὰρ τοῖς ἐπέκεινα λόγου εὐλογωτέρα ἡ σιωπή. καὶ τὰ μὲν ὡς ἂν εἴποι τις ἑῷα κάλλη τῶν ἀνακτόρων, ἅπερ ἐκ τῆς τοῦ ἀοιδίμου βασιλέως Βασιλείου πίστεως ἐξανέτειλεν, ταῦτα ἐστίν.

88. Κατ' ἄλλα δὲ μέρη καθέστηκε τὰ λοιπά, ἐν οἷς τό τε τοῦ ἱεροκήρυκος Παύλου σεπτὸν τυγχάνει εὐκτήριον, τὸν αὐτὸν κεκτημένον δημιουργόν, μετὰ τῆς αὐτῆς πλουτοχορήγου χειρὸς P 204 καὶ αὐτὸ δομησάμενον· καὶ τὸ τούτου γὰρ ἔδαφος ἄργυρον ἔχει τοὺς κύκλους τῶν μαρμάρων ἐμπερικλείοντα, καὶ πολυτελείᾳ καὶ κάλλει τῶν ἄλλων κατ' οὐδὲν ὁρᾶται λειπόμενον. ὡσαύτως καὶ ὁ ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου κατὰ τὸ ἄκρον τῶν Μαρκιανοῦ περιδρόμων ὡς ἀκροπύργιον ὑπ' αὐτοῦ κατασκευασθεὶς θεῖος ναός, ᾧ καὶ τὸ τοῦ ἀρχιστρατήγου εὐκτήριον ἥνωται. καὶ ὃ τῆς θεομήτορος αὖθις ὑπέρκειται, ποίαν εὐπρεπείας καὶ ὡραιότητος ὑπερβολὴν οὐκ ἐπλούτησεν, ἢ τίνος οὐκ B ἂν ὀφθαλμὸν ἑστιάσοι καὶ ψυχὴν εὐφράνοι καὶ ὅλον ἡδίω ποιήσοι τὸν θεατήν;

89. Τὰ δὲ τῶν οἴκων κάλλη, ἅπερ ὡς βασιλείων βασίλεια ἐν αὐτοῖς τοῖς βασιλείοις ὁ βασιλεὺς Βασίλειος ἀνεδείματο, λαμ-

10 πλουτοχόρου A

dei-viri domini effigies arte chymica effícta est. adytum vero ipsum quanta decora sanctaque contineat ac in se ipso velut thesauros recondat, sermo refugit dicere, mavultque ut adytum (inaccessum scilicet et orationi impervium) sinere. in his enim quae vim omnem sermonis superant, convenientior silentii religio est. et haec quidem orientalia, ut sic dicam, regiae decora, incliti imperatoris Basilii fidei germina.

88. In aliis partibus alia exstant. inter ea sacri praeconis Pauli venerabile oratorium est, eundem auctorem agnoscens, ipsum quoque illius largissima liberalitate excitatum. illius enim pavimenta strata marmore eorumque orbes argento colliguntur, sumptuumque immensitate et pulchritudine nihil reliquis minus habere conspicitur. similiter etiam, quod beati Petri apostolorum principis nomine in Marciani ambulacrorum extremo quasi summa arx ab eo templum aedificatum, cui et caelestis militiae principis oratorium coniunctum est. quod item illi superius sanctae dei parentis oratorium est, qua decoris elegantiaeque excellentia non affluit? cuiusve oculos non abunde pascat animumque recreet, eumque qui videat totum ad hilaritatem convertat?

89. Aedium vero decora, quae velut regiarum regias in regia Basilius imperator exstruxit, praestantiorum sermonum praeconio ad sui

προτέρων ἐδεῖτο κηρύκων λόγων εἰς δήλωσιν καὶ χειρὸς ἐντελεστέ-
ρας εἰς τὸ δύνασθαι λόγῳ δηλοῦν ἃ τοῖς ἔργοις ἐστὶν ἀμίμητα.
ὁ γὰρ καινοπρεπὴς οὗτος οἶκος, οὗ τὸ Καινούργιόν ἐστιν ἐπώνυ-
μον, ὃν ἐκ βάθρων ἐκεῖνος ἀνήγειρεν, τίνα τῶν θεωμένων οὐκ
C ἐγείρει πρὸς ἔκπληξιν; ὃν ἑκκαίδεκα κίονες κατὰ στίχον ἑστηκότες
ἀνέχουσιν, οἱ μὲν ὀκτὼ τούτων ἐκ λίθου τυγχάνοντες Θετταλῆς,
ἣ τὸ πράσιον χρῶμα κεκλήρωται· οἱ ἓξ δὲ τὴν τοῦ ὀνυχίτου προσ-
ηγορίαν αὐχοῦσιν, οὓς ὁ λιθοξόος παντοίως ὡραΐσεν, ἀμπέλου
σχῆμα κατ᾽ αὐτοὺς μορφώσας καὶ παντοίων ζῴων ἰδέας ἐν ταύτῃ
ἀπεργασάμενος. οἱ ἕτεροι δὲ δύο καὶ αὐτοὶ μὲν τὴν αὐτοῦ ὀνυχί-
του φύσιν εἰλήφασιν, οὐχ ὅμοιον δὲ τὸ σχῆμα παρὰ τῶν λιθοξόων
ἐδέξαντο, ἀλλὰ γραμμαῖς σκολιαῖς τὸ τῆς ἐπιφανείας ὁμαλὸν ἀφῃ-
ρέθησαν, οὕτω ποικῖλαι ταύτας τοῦ τεχνίτου θελήσαντος, ὡς ἐκ
D τοῦ πολυμόρφου θηρῶντος τὸ εὐπρεπὲς καὶ ἐράσμιον. ἄνωθεν δὲ
τῶν κιόνων ἄχρι τῆς ὀροφῆς καὶ τὸ κατὰ ἀνατολὰς ἡμισφαίριον,
ἐκ ψηφίδων ὡραίων ἅπας ὁ οἶκος κατακεχρύσωται, προκαθήμενον
ἔχων τὸν τοῦ ἔργου δημιουργόν, ὑπὸ τῶν συναγωνιστῶν ὑποστρα-
τήγων δορυφορούμενον, ὡς δῶρα προσαγόντων αὐτῷ τὰς ὑπ᾽ αὐ-
τοῦ ἑαλωκυίας πόλεις. καὶ αὖθις ἄνωθεν ἐπὶ τῆς ὀροφῆς ἀνιστό-
ρηται τὰ τοῦ βασιλέως Ἡράκλεια ἆθλα καὶ οἱ ὑπὲρ τοῦ ὑπηκόου
πόνοι καὶ οἱ τῶν πολεμικῶν ἀγώνων ἱδρῶτες καὶ τὰ ἐκ θεοῦ νικη-
τήρια, ὑφ᾽ ὧν ὡς οὐρανὸς ὑπ᾽ ἀστέρων ὑπέρλαμπρος ἐξανίσχει
P 205 κοιτὼν ὑπὸ τοῦ αὐτοῦ φιλοτεχνηθεὶς αὐτοκράτορος, ὡραῖός τε καὶ
παμποίκιλος καὶ κατὰ πάντων σχεδὸν τὰ τοῦ κάλλους φερόμενος

laudem indigent, manuque perfectiori ad ea pro orationis maiestate penicillo chartis illinenda, quae nemo satis imitando assequi possit. novi enim decoris domus cui Caenurgio nomen est, quam a fundamentis exstruxit, quem spectantium stupore non afficiat? illam sedecim columnae ordinibus digestae suffulciunt: octo ex Thessalico lapide, qui viridis coloris est, sex vero onychitis nomen obtinent; quas lapicida omni varietate exornavit, vitis formam circa eas effingens, omnisque generis animantium figuras in ea efformans. reliquae duae et ipsae onychitis naturam habent, non tamen similem formam a lapicidis nactae sunt, sed distortis striis laevi planoque orbantur, cum eas ita variare artifici placuerit, utpote qui ex multiplici varietate decorum captaret et delectabile. super columnas ad tectum usque et orientale hemisphaerium ex pulcherrimis tessellulis domus omnis inauratur, praesidentem habens operis auctoren, stipantibus commilitonibus legatis subiectisque ducibus, qui instar munerum captas ab eo urbes illi offerunt. rursusque desuper in abside ac tecto depicta sunt Herculea imperatoris certamina subditorumque causa exantlati labores ac rerum praeclare bello gestarum sudores deoque auctore partae victoriae tropaeaque; sub quibus tanquam caelum stellis praelucidum surgit exstatque cubiculum ab eodem imperatore affabre fabrefactum, venustum et varium cunctaque fere excellenti pulchri-

νικητήρια. εὐθὺς γὰρ κατὰ τὸ τοῦ ἐδάφους μεσαίτατον τὸ Μηδικὸν ὄρνεον ὁ ταὼς ἐκ ψηφίδων λαμπρῶν τῇ λιθοξόῳ τέχνῃ διαμεμόρφωται, ἐν εὐθυτόρνῳ κύκλῳ ἐκ λίθου Καρικῆς συγκλειόμενος, ἀφ' οὗπερ ἀκτῖνες ἀπὸ λίθου τῆς αὐτῆς πρὸς ἄλλον μείζονα κύκλον ἐκπέμπονται. ἔξωθεν δὲ καὶ τούτου καθάπερ τινὲς ῥύακες ἢ ποταμοὶ ἐκ λίθου Θετταλῆς, ἣ τὸ πράσιον χρῶμα κεκλήρωται, κατὰ τὸ τοῦ οἴκου τετράγωνον σχῆμα ἐφήπλωνται, κατὰ τὰς ἐντὸς λαγόνας τέτταρας ἀετοὺς ἐκ ψηφίδων ποικίλων τε καὶ λεπτῶν B περισφίγγουσαι, εἰς τοσοῦτον ἀκριβοῦντα τὴν μίμησιν ἅπαντα ὡς εἰκάζειν αὐτὰ ζῆν καὶ ἵπτασθαι βούλεσθαι. οἱ δὲ παρ' ἑκάτερα τοῖχοι ὑάλου πολυχρόοις πλαξὶ περισκέπονται, διαφόρων ἀνθέων δοκοῦντες μορφαῖς ὡραΐζεσθαι. ὕπερθεν δὲ τούτων κόσμος τις ἄλλος περιηνθισμένος διαθέσει χρυσῷ, ὑφ' οὗ διείργεσθαι τὰ κατώτερα τῶν ἄνω δοκεῖ· ὃν ἐκ χρυσοῦ ψηφίδων διαδέχεται τερπνότης ἄλλη, ἔνθρονον δεικνῦσα τὸν τοῦ ἔργου δημιουργὸν αὐτοκράτορα καὶ τὴν σύζυγον Εὐδοκίαν, στολαῖς κεκοσμημένους βασιλικαῖς καὶ ταινιουμένους τοῖς στέμμασιν. οἱ δὲ κοινοὶ παῖδες ὡς ἀστέρες λαμπροὶ τοῦ δόμου πέριξ ἱστόρηνται, ταῖς βασιλείοις καὶ C αὐτοὶ στολαῖς καὶ τοῖς στέμμασι καταγλαϊζόμενοι. ὧν οἱ μὲν ἄρρενες τόμους ἐπιφερόμενοι δείκνυνται τὰς θείας ἐντολάς, αἷς στοιχεῖν ἐπαιδεύοντο, περιέχοντας, τὸ δὲ θῆλυ γένος καὶ αὐτὸ βίβλους τινὰς κατέχον ὁρᾶται, νόμων θείων ἐχούσας περιοχήν, βουλομένου δεῖξαι τοῦ τεχνίτου τυχὸν ὡς οὐ μόνον ἡ ἄρρην γονὴ ἀλλὰ καὶ ἡ θήλεια τὰ ἱερὰ μεμύηται γράμματα καὶ τῆς θείας σοφίας οὐκ

tudine superans. statim enim in pavimenti meditullio pavo, avis Medica, ex praelucidis tessellulis lapicidae artificio effictus est, rotundissimo circulo ex Cario lapide inclusus, ex quo radii eiusdem lapidis in alium maiorem circulum immeant (extraque eum etiam veluti quidam rivi sive fluvii ex Thessalico viridis coloris lapide ad quattuor aedis angulos funduntur), interiore sinu quattuor aquilas vario subtilique tessellato opere constringentes, tanta expressione sicque accurata rei imitatione ut illas vivere ac iam iamque volatum moliri coniicias. parietes utrinque crustis vitreis varii coloris conteguntur, sic nimirum ut diversis interstincti floribus iisque vernare videantur. super eos ornatus alius praefloridus auri compositione, quo inferiora a superioribus interstingui videntur. sequitur alia venustas ex aureis tessellulis, imperatorem operis auctorem in throno sedentem uxoremque Eudociam, regiis vestimentis amictos ac coronis redimitos, ostendens. communes utriusque liberi, ceu stellae pellucidae circa domum depicti, Augustalibus et ipsi vestibus amicti coronisque ornati. masculi libros ferunt divina continentes praecepta, quibus obsequi erudiebantur. feminae ipsae quoque libros quosdam tenere conspiciuntur, in quibus divinarum legum argumenta descripta sunt. voluit forte artifex indicare non solum masculos sed et feminas sacris literis eruditas esse ac sapientiae divinae participes. licet

ἔστιν ἀμέτοχος, καὶ κἂν ὁ φυτοσπόρος τούτων οὐκ ἔσχεν ἐξ ἀρχῆς οἰκείως πρὸς γράμματα διὰ τὴν βιωτικὴν περιπέτειαν, ἀλλ' οὖν τοὺς οἰκείους ἅπαντας βλαστοὺς ἐν μετοχῇ σοφίας πεποίηκε· τοῦτο D δέ, καὶ τῆς ἱστορίας δίχα, διὰ τῆς γραφικῆς ἐβουλήθη τοῖς ὁρῶσι σημαίνεσθαι. καὶ ταῦτα μὲν τὰ κάλλη τῷ τετραμερεῖ τῶν τοίχων ἄχρι τῆς ὀροφῆς περιέχεται· αὐτὴ δὲ ἡ τοῦ τοιούτου κοιτῶνος ὀροφὴ οὐκ ἀνεστηκυῖα πρὸς ὕψος ἐπαίρεται, ἀλλὰ τῷ τετραγώνῳ σχήματι τοῖς τοίχοις ἐγκάθηται, χρυσίῳ διόλου κατηγλαϊσμένη καὶ στίλβουσα, κατὰ τὸ μεσαίτατον φέρουσα τὸν νικοποιὸν σταυρόν, ὑάλῳ πρασίῳ διαμορφούμενον, περὶ ὃν ὡς ἄστρα κατ' οὐρανὸν θεάσῃ ἐκλάμποντα αὐτόν τε τὸν ἀοίδιμον βασιλέα καὶ μετὰ τῶν τέκνων πάντων τὴν σύνευνον, πρός τε θεὸν καὶ τὸ τοῦ σταυροῦ
P 206 ζωοποιὸν σημεῖον τὰς χεῖρας ἐπαίροντας, καὶ τοῦτο μόνον οὐχὶ βοῶντας, ὅτι διὰ τοῦδε τοῦ νικοποιοῦ συμβόλου πᾶν ἀγαθὸν καὶ φίλον θεῷ ἐν ταῖς ἡμέραις τῆς ἡμετέρας βασιλείας διαπέπρακται καὶ κατώρθωται. περιέχεται δὲ καὶ εὐχαριστία ἐγγράμματος παρά τε τῶν φυσάντων ὑπὲρ τῶν τέκνων λεγομένη πρὸς τὸν θεὸν καὶ παρὰ τῶν τέκνων αὖθις ὑπὲρ τῶν γεννητόρων. καὶ ἡ μὲν παρὰ τῶν γονέων οὑτωσί πως ἐπὶ λέξεως ἔχουσα δείκνυται "εὐχαριστοῦμέν σοι, θεὲ ὑπεραγαθὲ καὶ βασιλεῦ τῶν βασιλευόντων, ὅτι περιέστησας ἡμῖν τέκνα εὐχαριστοῦντα τῇ μεγαλοπρεπείᾳ τῶν θαυμα-
B σίων σου. ἀλλὰ φύλαξον αὐτοὺς ἐν τῷ θελήματί σου, μή τις αὐτῶν παραδράμῃ τι τῶν σῶν ἐντολῶν, ἵνα καὶ ἐν τούτῳ εὐχαρι-

6 αὕτη δὲ τοῦ P

enim ipse generis auctor caputque familiae haud prorsus initio erga literas propense animatus esset ob vitae aliam aliamque sortem casusque difficiles, omnem tamen sobolem sapientia imbui curavit. atque hoc, etiam tacente historia, per picturam voluit cernentibus conspicuum esse. atque haec decora in quattuor parietum lateribus ad tectum usque exhibentur. tectum autem huius cubiculi non in sublime sese porrigit, sed forma tetragona parietibus insidet, auro totum condecoratum eiusque fulgore micans. in medio crucis victoriale signum, vitro viridi efformatum. circa crucem velut stellas in caelo effulgentes videbis, ipsum percelebrem imperatorem ac cum liberis omnibus ipsam coniugem, manus ad deum sustollentes ac crucis vivificum signum, et tantum non clamantes "per hoc victoriale signum, quicquid bonum deoque acceptum, imperii nostri temporibus gestum est ac peractum." continetur vero etiam gratiarum actio literis exarata, ex parentum persona pro liberis, exque liberorum rursus persona ad deum dicta pro parentibus. parentum gratiarum actio sic se ad verbum habere dignoscitur. "gratias tibi agimus, deus omnem excedens bonitatem, et rex regum, quod nos liberis stipasti agentibus gratias magnificentiae mirabilium tuorum. verum serva eos in voluntate tua, ne quis eorum quicquam transgrediatur mandatorum tuo-

στῶμεν τῇ σῇ ἀγαθότητι." ἡ δὲ τῶν παίδων αὖθις ταῦτα διαγορεύουσα δείκνυται "εὐχαριστοῦμέν σοι, λόγε τοῦ θεοῦ, ὅτι ἐκ πτωχείας Δαυϊτικῆς ἀνύψωσας τὸν πατέρα ἡμῶν, καὶ ἔχρισας αὐτὸν τῷ χρίσματι τοῦ ἁγίου σου πνεύματος. ἀλλὰ φύλαξον αὐτὸν τῇ χειρί σου σὺν τῇ τεκούσῃ ἡμᾶς, ἀξιῶν αὐτοὺς καὶ ἡμᾶς καὶ τῆς ἐπουρανίου σου βασιλείας." καὶ τὰ μὲν τοῦ εἰρημένου κοιτῶνος ἔργα καὶ κάλλη ἐν τούτοις περιγεγράφθω.

90. Τῆς αὐτῆς δὲ χειρὸς καὶ γνώμης ἔργον καὶ ὁ κατὰ τοὺς Μαρκιανοῦ περιδρόμους μέγιστος τρίκλινος, καὶ Πεντακούβουκλον C λεγόμενον, ὃ καὶ αὐτὸ παντοίου κάλλους καὶ ὡραιότητος τὰ πρωτεῖα ἠνέγκατο· καθ' ὃ καὶ τὸ προμνημονευθὲν περικαλλὲς εὐκτήριον τοῦ αἰθεροδρόμου Παύλου, ᾧ καὶ τὸ τῆς μάρτυρος Βαρβάρας συνήνωται τὸ ὑπὸ τοῦ σοφωτάτου Λέοντος δομηθέν, τὴν ἵδρυσιν κέκτηται. ἀλλὰ καὶ τὰ ἕτερα βασιλικὰ καταγώγια, ἃ τοῦ χρυσοῦ τῶν τρικλίνων ἀνατολικωτέραν καὶ μᾶλλον ὑπερκειμένην ἔχει τὴν ἵδρυσιν, δυτικώτερα τῆς νέας τυγχάνοντα τῶν ἐκκλησιῶν, ὧν ἡ ἐπὶ πολὺ τοῦ ἀέρος πρὸς ὕψος ἐπέκτασις καὶ τὴν Ἀετοῦ προσηγορίαν ἐδέξατο, ἐν ᾧ καὶ τὸ τῆς θεοτόκου ὡραῖον καὶ D πάντερπνον τῆς προσευχῆς ἐστὶν ἱερόν, τοῦ αὐτοῦ βασιλέως ἔργα τυγχάνουσιν, ἐκ τοῦ πολυτελοῦς καὶ ἀφθόνου τῶν τιμωμένων ὑλῶν καὶ τοῦ καινοπρεποῦς τῶν σχημάτων καὶ τῆς μεγαλουργοῦ διαθέσεως τὸ μεγαλόψυχον καὶ φιλόκαλον τοῦ ἀνδρὸς ἀπεμφαί-

4 τῷ om P 5 τῇ om P 8 καὶ γνώμης] ἢ γνώμης A
18 οἷς A 22 ἐπεμφαίνοντα A

rum ut et hoc nomine gratias agamus bonitati tuae." filiorum rursus haec vicissim enuntiat. "gratias agimus tibi, verbum dei, quod ex paupertate Davidica parentem nostrum extraxisti eumque unxisti unctione spiritus tui sancti. verum serva eum manu tua, et eam quae nos sustulit, illis pariter ac nobis praestans, ut et caeleste regnum tuum assequamur." ac quidem dicti cubiculi fabricae ac venustates istae sunto.

90. Eiusdem manus ac consilii opus maximum illud triclinium in Marciani porticibus, quod et Pentacubiculum dicitur; quod et ipsum omnis generis pulchritudine atque decore primas tulit. est ibi et cuius paulo ante meminimus, Pauli aethera pervolantis pulchrum elegansque oratorium; cui et martyris Barbarae cohaeret, quod a sapientissimo Leone illic conditum est. sed et reliqua regia conclavia, quae paulo plus ad orientem posita sunt quam aureum triclinium, superiorique basi locata, magis vero ad occidentem vergunt quam nova ecclesia; quorum longe alte expansus Aer aquilae appellationem suscepit (in quo et deiparae pulcherrimum lepidissimumque oratorium sacellum), eiusdem imperatoris opera sunt, eiusmodi scilicet ut pretiosarum materiarum sumptu et copia figurarumque novitate ac magnifici operis dispositione viri

νοντα. καὶ τὰ δυτικώτερα δὲ τούτων πυραμοειδῆ κατοικητήρια, καθὼς καὶ ἕτερον τῆς τοῦ θεοῦ καὶ λόγου μητρὸς τυγχάνει εὐκτήριον, ἐκεῖνον χορηγὸν καὶ δημιουργὸν ἐπιγράφεται, τῷ περιττῷ τῆς κατασκευῆς καὶ καινοπρεπεῖ καθ' ἑτέρων πολλῶν τὸ πρωτεῖον P 207 *φερόμενα. ὧν ἐστὶ κάτωθεν, κατ' αὐτὴν τὴν τῆς Μονοθύρου λεγομένης εἴσοδον, τὸ τερπνότατον Ἰωάννου τοῦ θεολόγου εὐκτήριον, ὃ καὶ αὐτὸ μετὰ τοῦ ἐκεῖθεν ἀρχομένου αἰθερίου καὶ ἡλιοβολουμένου μαρμαροστρώτου περιπάτου, τοῦ καὶ ἄχρι τοῦ Φάρου διήκοντος, ὁ αὐτὸς ἐτεκτήνατο βασιλεύς, μετὰ καὶ τῶν πρὸς ἀνατολὰς τούτου ἑδραιοτάτων οἰκημάτων, ὧν τὸ μὲν θησαυροφυλακεῖον ἐστί, τὸ δὲ χρηματίζει εἰς βεστιάριον· ἃ μετὰ τοῦ τέρποντος καὶ τὸ ἀσφαλὲς περιττῶς ἐκληρώσαντο. καὶ τὸ κάλλιστον δὲ καὶ μέγιστον καὶ φανότατον τῶν βασιλείων λουτρόν, ὃ τῆς φιάλης λε-* B *γομένης ὑπέρκειται, ἥτις ἀπὸ τῆς ἐκεῖσε πρότερον ἱσταμένης τοῦ τῶν βενέτων μέρους λιθίνης φιάλης τὸ ὄνομα σώζει περιλειπόμενον, ἐκεῖνός ἐστιν ὁ ἐμμελῶς δομησάμενος, ἔργον κάλλους ὁμοῦ καὶ τρυφῆς καὶ σωματικῆς εὐετηρίας καὶ ἀναπαύσεως. ἡ δὲ τοῦ ἑτέρου μέρους φιάλη, τῶν πρασίνων φημί, κατὰ τὴν πρὸς ἀνατολὰς τῶν βασιλείων αὐλὴν τὴν στάσιν ἐκέκτητο· ἥτις ἐν τῷ κτίζεσθαι τὸν ἐκεῖσε θεῖον ναὸν τῆς μεταθέσεως ἔτυχε, καὶ ἠλλοιώθη τῶν μερῶν ἡ περὶ ταύτας διατριβή, καὶ ἀπεπαύθη τὰ τελούμενα κατ' αὐτάς.*

2 καὶ ante λόγου om P

magnificentiam elegantiaeque cultum ostendant. quae item magis ad occidentem vergunt habitacula pyramidali figura, cuiusmodi etiam est alterum dei verbi matris oratorium, illo sumptus suppeditante atque auctore exstructa sunt, quae plane structurae magnificentia novaeque artis elegantia inter alia multa primas obtineant. infra quae, in ipso quod vocant Monothyri ingressu, iucundissimum Ioannis theologi oratorium, quod una cum suda solique exposita et marmoribus strata ibi area, quae ad Pharum usque protenditur, idem exstruxit imperator, una etiam cum firmissimis ad eius orientale latus positis aedibus, quarum altera thesaurophylacium est, altera vestiarium, amboque una cum iucunditate abunde securitatem promittunt. pulcherrimum quoque atque maximum lucidissimumque regiae balneum, phialae (quam vocant) superiacens (nempe quae a factionis Venetae illic quondam stationem habentis lapidea phiala nomen adhuc retineat), ille ipse concinne aedificavit; opus nimirum pulchritudine praestans et iucunditate, corporisque valetudini conferens eiusque refectioni. alterius vero factionis phiala (nempe Prasinae) ad regiae atrium ad orientem spectans sita erat. dum vero divinum illic templum exstrueretur, alio translata est, factionumque circa eas loco abolito cessarunt qui ad ipsas ludi fiebant.

91. Ἐκτὸς δὲ τῶν εἰρημένων τοῦ αὐτοῦ γενναίου βασιλέως ἔργον καὶ ὁ τὰ Μάγγανα λεγόμενος οἶκος βασιλικός, καὶ ὁ νέος C οἶκος καλούμενος, οὓς ἀπὸ τοιαύτης προαιρέσεως κατεσκεύασεν. μὴ βουλόμενος γὰρ τὰ δημόσια χρήματα, ἅπερ οἱ ἐκ τοῦ ὑπηκόου φόροι γεννῶντες αὐξάνουσιν, εἰς οἰκείας καταναλίσκειν χρείας καὶ τῶν ἀνὰ πᾶν ἔτος ὑπ' αὐτοῦ κεκλημένων καὶ τοὺς ἑτέρων πόνους τὴν τούτων τράπεζαν ἡδύνειν ἢ συγκροτεῖν, τοὺς τοιούτους οἴκους ἐπενοήσατο, καὶ προσόδους ἐκ γεωργίας ἀπέταξεν ἐν αὐτοῖς ἱκανάς, ἀφ' ὧν ἡ βασιλικὴ πανδαισία αὐτοῦ τε καὶ τῶν μετ' αὐτὸν ἄφθονον καὶ δικαίαν τὴν χορηγίαν ἔμελλεν ἔχειν ἀεί. καὶ τὰ ἐν ταῖς καλουμέναις δὲ Πηγαῖς βασιλικὰ μεταβολῆς ἕνεκα καταγώγια D καὶ ἐνδιαιτήματα ὁ αὐτὸς βασιλεὺς ἐκ βάθρων ἀνέστησεν, ἃ καὶ ναῶν καλλοναῖς κατεκόσμησεν, ἐν οἷς ὅ τε τοῦ ἁγίου προφήτου Ἠλιοὺ τυγχάνει οἶκος σεπτὸς καὶ ὁ Ἐλισσαίου τοῦ ἐκείνου διαδόχου καὶ φοιτητοῦ, ἔτι δὲ καὶ ὁ τοῦ πρώτως ἡμῶν εὐσεβῶς βασιλεύσαντος Κωνσταντίνου τοῦ μεγάλου, καὶ ὁ τῶν νεοφανῶν μαρτύρων τῶν δύο καὶ τεσσαράκοντα, καὶ πρὸς τούτοις ἕτεροι δύο οἶκοι εὐκτήριοι εἰς ὄνομα καὶ δόξαν εὐσεβῶς δομηθέντες τῆς θεομήτορος. καὶ ἐν τοῖς τῆς Ἱερείας δὲ παλατίοις τοῦ αὐτοῦ προφήτου Ἠλιοὺ ἱερὸν εὐκτήριον ἐδομήσατο, οὐδενὸς τῶν ἄλλων ἐν κάλλει P 208 καὶ ὡραιότητι κρινόμενον δεύτερον.

92. Ἐν δὲ ταῖς τοιαύταις κατὰ μεταφοίτησιν καὶ μεταβο-

5 καὶ τῶν — κεκλημένων om A   6 ἑτέρους A   12 διαιτήματα A

91. Praeter iam dicta, eiusdem generosi imperatoris opus est regia domus Mangana nuncupata, et Nova, quas eo consilio exstruxit. nolens enim publicas opes, quas subditorum tributa conflarent atque augerent, in suos ipse usus, aliorumve, quos per annum invitaret, insumere, aliorumque labores horum mensis delicias praestare aut illas instruere, eiuscemodi domos excogitavit, sufficientesque illis reditus ex agrorum cultura assignavit, unde regius in cibos alimentaque omnis generis sumptus sibique et successoribus in perpetuum affluens iustaque aequitate sufficeretur. in Pegis quoque, quas vocant, regia mutationis causa diversoria ac habitacula idem imperator a fundamentis erexit sacrarumque aedium structuris exornavit. inter eas est sancti prophetae Eliae venerabilis aedes, eiusque successoris et discipuli Elisaei; nec non eius qui primus apud nos imperium pie administravit, Constantini Magni, novorumque martyrum quadraginta duorum. praeterea aliae duae aedes oratoriae, in nomen et gloriam sanctae dei parentis religiose exstructae. in Hieriae quoque palatiis eiusdem prophetae Eliae oratorium construxit, quod nulli alii pulchritudine et elegantia secundum existimatur.

92. In illis mutatoriis regiis aedibus ac habitaculis erat cisterna

λὴν βασιλείοις διατριβαῖς καὶ δεξαμενὴν τυγχάνουσαν ὕδατος, μεγάλην τε καὶ εὐρύχωρον, ἔργον καὶ πόνημα τοῦ καλλύναντος βασιλέως κατ᾽ ἀρχὰς τὸ προάστειον, ὑπὸ δὲ τοῦ βασιλέως Ἡρακλείου συγχωσθεῖσαν καὶ γεωθεῖσαν καὶ καταφύτευσιν δεξαμένην δένδρων τε καὶ λαχάνων, καθάπερ καὶ αἱ τῶν βασιλικῶν παλατίων οὖσαι ἐντός, ἥ τε πρὸ τῆς Μαγναύρας καὶ ἡ μεταξὺ τοῦ τε Ἰουστινιανοῦ
B *τρικλίνου καὶ τοῦ τῆς Ἐκθέσεως, αἵτινες καὶ αὐταὶ ὕδωρ ἄφθονον ἔχουσαι καὶ ἰχθύας πρὸς τέρψιν καὶ ἄγραν τῶν βασιλέων ἐκτρέφουσαι, ὑπὸ τοῦ αὐτοῦ βασιλέως ἠπειρωθεῖσαι εἰς παραδείσων κατασκευὴν ἐχρημάτισαν διὰ τὸ Στέφανον τὸν μαθηματικὸν τὴν γένεσιν τοῦ εἰρημένου βασιλέως πολυπραγμονήσαντα εἰπεῖν ἐξ ὕδατος αὐτὸν τελευτᾶν. διὰ τὴν τοιαύτην οὖν αἰτίαν καὶ τῆς ἐν Ἱερείᾳ κινστέρνης εἰς παράδεισον μεταμειφθείσης, ἰδὼν τὸ χωρίον ὁ ἀοίδιμος βασιλεὺς Βασίλειος πρὸς μὲν παραδείσων καταφυτεύσεις τόπους κεκτημένον ἀποχρῶντας καὶ ἱκανούς, ὑποσπανίζον δὲ ὕδατος ποτίμου καὶ καθαροῦ, αὖθις ἐκφορήσας τὸν χοῦν πολυχειρίᾳ*
C *τε καὶ σπουδῇ τὸν ὁρώμενον πρὸ ὀλίγου λειμῶνα κομῶντα φυτοῖς εἰς τὸ ἀρχαῖον σχῆμα μετήγαγε, καὶ ἀντὶ παραδείσου δοχεῖον ἀπειργάσατο ὕδατος ἀφθόνου τε καὶ διαρκοῦς.*

Καὶ ταῦτα μὲν ὅσα κατὰ τὰς βασιλείους περιοχὰς φιλοπόνως ἅμα καὶ εὐσεβῶς ὁ ἀοίδιμος βασιλεὺς ἐτεκτήνατο· (93) *ἐξελθέτω δὲ τῶν βασιλείων ἤδη λοιπὸν ὁ λόγος, καὶ χωρείτω πρὸς τὰ ἑξῆς τῶν κατὰ τὴν βασιλεύουσαν ταύτην πόλιν καὶ τὰ περὶ αὐτὴν ἐν οἰκοδομαῖς τε καὶ ἀνοικοδομαῖς θείων οἴκων ἔργα τοῦ αὐτοκράτο-*

ad concipiendas aquas ingens ac patens, eius qui initio suburbanum exornaverat imperatoris opus laborque: sed ab imperatore Heraclio terra ingesta obstructa fuerat atque obducta, arboribusque ac oleribus consita, haud secus ac quae intra palatium erant, tum scilicet quae ante Magnauram, tum quae media inter Iustiniani triclinium et Ectheseos; quas ipsas, cum aquas copiosas haberent piscesque alerent imperatorum deliciis, et ut illi piscatu sese oblectarent, idem imperator terra obrutas hortos et vivaria fecerat, ea scilicet ratione, quod Stephanus mathematicus eius genituram rimando vitae exitum ex aqua illi imminere dixerat. ob eandem causam etiam cisternae, quae in Hiera in pomarium versa fuerat, ambitum inclitus Basilius imperator considerans, vidensque non deesse loca pomariis plantandis abunde idonea ac quantum par esset sufficientia, aquae vero dulcis atque limpidae penuria laborare, multorum rursus hominum opera ac diligentia, quod paulo ante pratum plantis vernans et arboribus conspiciebatur, in pristinum statum reduxit, ac pro pomario aquae copiosae satisque affluentis conceptaculum fecit.

Et haec quidem intra regia septa magnifice simul ac pie inclitus imperator exstruxit. (93) iam vero extra regiam excurrat oratio, et ad reliqua deinceps, tum in urbe Byzantio tum circa eam exstruendis reficiendisque divinis aedibus, imperatoris opera procedat. urbanam enim

ρος. ὁρῶν γὰρ τὸν ἀστικὸν καὶ βάναυσον ὄχλον τὸν κατὰ τὴν ἀγοράν, ἣ Φόρος προσαγορεύεται, διατρίβοντα καὶ προστετηκότα D *ταῖς χρείαις τοῦ βίου ἐν τῷ μὴ ἔχειν πλησίον οἶκον εὐκτήριον τῆς ψυχικῆς ἐπιμελείας λήθην λαμβάνοντα, ναὸν περικαλλῆ καὶ σεβάσμιον τῇ θεομήτορι κατὰ τὴν ἀγορὰν ἐδείματο, ὡς ἂν καὶ ὄμβρων καὶ χειμώνων εἴη τοῖς ὄχλοις ἀλέξημα καὶ ψυχικῆς σωτηρίας ἐντρύφημα καὶ βοήθημα. καὶ τὸν ἕτερον δὲ τῆς πανυμνήτου θεοτόκου, τὸν ἐν τοῖς Χαλκοπρατείοις θεῖον ναὸν τῆς πανσέπτου καὶ ἁγίας σοροῦ, ταπεινὸν ἰδὼν καὶ ἀφώτιστον, καὶ φωτοδόχας ἑκατέρωθεν ἀναστήσας ἁψῖδας καὶ τὸ τέγος μετεωρίσας ὕψει εὐπρεπείας κατηύγασεν καὶ μαρμαρυγαῖς φωτὸς κατηγλάϊσε. τὸν δὲ τοῦ πρώτου τῶν ἀγγέλων ἐν τοῖς Τζήρου λεγομένοις θεῖον ναὸν* P 209 *καὶ τὴν περὶ αὐτὸν φιλάνθρωπον εἰς τοὺς πένητας ὑπουργίαν καὶ χορηγίαν ἐκεῖνός ἐστιν ὁ περιποιησάμενος, καὶ τόν τε ναὸν φαιδρύνας καὶ εἰς τὸ νῦν ὁρώμενον κάλλος περιστήσας καὶ ἀγαγών, καὶ τὴν διακονίαν εἰς τὸ ἀνενδεὲς τῇ τῶν προσόδων ἐπαυξήσει καταστήσας, καὶ ἐπιδαψιλευσάμενος τὸν εἰς τοὺς πένητας ἔλεον. καὶ τὸν ἐν Πουλχεριαναῖς δὲ τοῦ ἱερομάρτυρος Λαυρεντίου μέγιστον ναὸν συμπτωθέντα ἀνέστησε, πολλῆς ἐμπλήσας τερπνότητος. καὶ ἄλλους δὲ ἱεροὺς οἴκους ἀμφὶ τοὺς ἑκατὸν περὶ τὴν πόλιν ἀνέ-* B *στησε, πτωχοτροφεῖά τε καὶ ξενῶνας ἐκαινούργησε, καὶ τῶν παλαιωθέντων πλεῖστα ἀνενέωσε, νοσοκομεῖά τε καὶ γηροκομεῖα καὶ μοναστήρια.*

9 *φωτοδόχους?*

infimaeque notae plebeculam in Foro versantem, vitaeque necessariis haerentem, eo quod nullum prope oratorium esset, salutis animi oblivisci perpendens, perpulchrum ac venerabile dei matri templum ad imbres arcendos hiemisque ac reliquas temporis pellendas iniurias, salutis animae delicias ac opem, in eo exstruxit. aliud quoque gloriosissimae dei genitricis in Chalcoprateis venerandi sacrique loculi divinum templum humile ac luce destitutum animadvertens, exstructis hinc inde ad eam inferendam absidibus, tectoque altiori evecto fastigio, tum celsitate decorem conciliavit, tum lucis fulgoribus collustravit. angelorum item principis divinum templum in Tzeri (quas vocant) humanissimumque circa illud ministerium et in pauperes subministrationem, ille ipse sibi curae esse voluit, tum scilicet templum splendidius instaurans, ac qua nunc pulchritudine visitur coaptans ac provehens; tum auctis proventibus, ne egenorum ministerio facultas deesset, prospiciens, ac in pauperes large suppeditans. sacri quoque martyris ac archidiaconi Laurentii aedem maximam collapsam restituit, multa venustate implens et gratia. alias item sacras domos circiter centum circa urbem construxit, pauberibusque alendis ac hospitibus accipiendis partim novas excitavit partim veteres plurimas instauravit; quibus scilicet aegri senesque curarentur atque monachi exercerentur.

94. Οὐ κατὰ τὴν πόλιν δὲ μόνον τὰ τοιαῦτα τῶν ἔργων θεοφιλῶς τε ἅμα καὶ φιλοτίμως εἰργάζετο, ἀλλὰ καὶ ταύτης ἐκτὸς τὴν ὁμοίαν ἐπεδείκνυτο ἐπιμέλειαν. μεθ' ἧς καὶ τὸν τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου ἐν τῷ καλουμένῳ Ἑβδόμῳ ναὸν τῷ χρόνῳ πονήσαντα καὶ καταβληθέντα ἀνίστησι, καλλοναῖς τε ὡραΐσας καὶ ὀχυρώμασι κατασφαλισάμενος. ἔτι δὲ καὶ
C τὸν πλησιόχωρον αὐτοῦ τοῦ προδρόμου οἶκον, πρὸ πάνυ πολλῶν καταπτωθέντα χρόνων καὶ ἐρείπιον ἀντὶ ναοῦ χρηματίζοντα, περικαθαίρει μὲν τῆς ὕλης καὶ τῶν χωμάτων, ταχίστῃ δὲ οἰκοδομῇ καὶ ἐπιμελείᾳ τῶν περιφανῶν καὶ μεγάλων ἴσον καθίστησι. τὸ δὲ τοῦ κορυφαίου τῶν ἀποστόλων τέμενος ἐν τῷ Ῥηγίῳ, διὰ τὴν ἀπειλουμένην πτῶσιν ἄβατον τυγχάνον, αὐτὸς καθελὼν καὶ ἐκ βάθρων καινουργήσας ἐδείματο εἰς μνήμην αὐτοῦ διηνεκῆ τε καὶ ἀνεπίληστον. ἐν δὲ ταῖς τοῦ Βαθύρσου ποταμοῦ ὑπερκειμέναις Ἰουστινιανοῦ γεφύραις Καλλινίκου τοῦ μάρτυρος ἠδαφισμένον
D ναὸν τοῦ προτέρου κρείττονα ἤγειρεν. ἐν δὲ τῷ καλουμένῳ τούτῳ Στενῷ, τὸν αὐχένα τοῦ Εὐξείνου φημί, τὸν τοῦ ἁγίου Φωκᾶ πάνσεπτον οἶκον θεαρέστως τε καὶ θεοφιλῶς δομησάμενος, καὶ σύστημά τι μοναχῶν εὐλαβῶν συναθροίσας, κτίσμασί τε καὶ κτήμασι τὸν τόπον καταπλουτίσας, μονὴν θεοσύλλεκτον καὶ ἰατρεῖον ψυχῶν ἀπειργάσατο. ἐπὶ τούτοις ἅπασι τὸν τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἱερὸν οἶκον ἐν τῷ Σωσθενίῳ, ἐκ μακρῶν διαρρυέντα χρόνων καὶ

5 ναῷ A **9** συνδρομῇ A **14** Βαβύρσου A

94. Neque in urbe tantum religiose simul et magnifice eiusce generis opera praestabat, sed et extra eam parem diligentiam exhibebat. ideoque apostoli et evangelistae Ioannis theologi templum in Hebdomo tempore quassatum collapsumque erigit, tum ornamentis decorans, tum fulcris adhibitis tutum a ruina in posterum praestans. ad haec etiam illi vicinam praecursoris aedem, ante annos plures dirutam et tantum parietinis conspicuam, egesta humo ruderibusque emundans, celerato quam maxime opere promptaque diligentia illustribus magnaeque molis eius generis aedibus parem fecit. principi vero apostolorum sacrum delubrum in Rhegio, idcirco quia proximam ruinam minabatur impervium, ipse diruens novo opere (sui perenne monumentum nullaque oblivione delendum) a fundamentis erexit. in Bathyrsi fluvii iniecto a Iustiniano ponte, Callinici martyris templum funditus dirutum priore splendidius exstruxit. in Steno item quod vocant, Euxini scilicet cervice, S. Phocae aedem perquam venerabilem pie religioseque abs se constructam, collectoque religiosissimorum monachorum coetu ac loco structuris praediisque abunde locupletato, monasterium deo auctore collectum animorumque officinam medicam fecit. ad haec omnia caelestis militiae principis Michaelis in Sosthenio sacram aedem, longa vetustate collabentem multis-

πλείστοις ὀκλάσαντα ῥήγμασι καὶ ἤδη πρὸς γόνυ κλιθέντα σχεδὸν καὶ τὸ πολὺ τῆς περὶ αὐτὸν εὐπρεπείας ἀποβαλόντα, τῶν πτωμάτων P 210 τε διανίστησι καὶ πρὸς τὴν προτέραν ἀκμὴν ἀνακαλεσάμενος ὡραιότητος ἁπάσης ἔδειξεν ἔμπλεων. καὶ περὶ μὲν τοὺς ἱεροὺς οἴκους καὶ τὴν τούτων ἐπιμέλειαν καὶ διόρθωσιν, ἀφ' ὧν μάλιστα ἡ περὶ τὸ θεῖον ὁσιότης χαρακτηρίζεται, τοιοῦτος ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Βασίλειος ἦν.

95. Εἰδὼς δὲ ὅτι ἐπ' οὐδενὶ τοσοῦτον ὅσον ἐπὶ σωτηρίᾳ ψυχῶν ὁ θεὸς ἐπευφραίνεται, καὶ ὅτι ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου ὡς στόμα χρηματίζει Χριστοῦ, οὐδὲ περὶ τὸ ἀποστολικὸν τοῦτο ἔργον ἀμελὴς ἐφάνη καὶ ῥάθυμος, ἀλλὰ πρῶτον μὲν τὸ τῶν Ἰουδαίων ἔθνος ἀπερίτμητόν τε καὶ σκληροκάρδιον, τὸ ὅσον ἐπ' αὐτῷ, B εἰς τὴν ὑποταγὴν σαγηνεύει Χριστοῦ. κελεύσας γὰρ αὐτοὺς τῆς οἰκείας θρησκείας τὰς ἀποδείξεις κομίζοντας εἰς διαλέξεις χωρεῖν καὶ ἢ δεικνύναι τὰ κατ' αὐτοὺς ἰσχυρά τε καὶ ἀναντίρρητα, ἢ πειθομένους ὅτι κεφάλαιον τοῦ νόμου καὶ τῶν προφητῶν ὁ Χριστὸς ἦν καὶ ὅτι σκιᾶς τύπον εἶχεν ὁ νόμος, ἣ τῇ ἐπιλάμψει τοῦ ἡλιακοῦ φωτὸς διασκεδάζεται, προσέρχεσθαι τῇ τοῦ κυρίου διδασκαλίᾳ καὶ βαπτίζεσθαι, προσθεὶς δὲ καὶ ἀξιωμάτων τοῖς προσερχομένοις διανομὰς καὶ τοῦ βάρους τῶν προτέρων ἀπαλλάξας φόρων καὶ ἐπιτίμους ἐξ ἀτίμων ποιεῖν κατεπαγγειλάμενος, πολλοὺς τοῦ ἐπικειμένου καλύμματος τῆς πωρώσεως ἠλευθέρωσε καὶ πρὸς πί- C

1 ἤδη om P 4 μὲν] δὲ P 8 ἐπ' om P 9 ὁ om P 10 ὡς] εἰς P 12 ὑπ' AP 18 φωτὸς om A διδαχῇ A 22 ἐπικαλύμματος P

que hiatibus fatiscentem ac in genua pene proruentem, decoris flore magna parte deperdito, e ruinis ereptam pristinoque vigori restitutam omni venustate gratiaque implevit. sic itaque erga sacras aedes earumque curam et reparationem (quibus potissimum pietas in deum atque sanctitas designatur) inter imperatores inclitae memoriae sese Basilius habuit.

95. Videns autem nulla re sic deum delectari ut animorum salute, eumque qui dignum ab indigno educat Christi os nuncupari (Ier. 15 19), neque apostolicum opus hoc sibi negligendum segniusve habendum putavit. sed ante omnia Iudaeorum gentem incircumcisam et duro corde ac cervice, quod in ipso fuit, in Christi obsequium verbi sagena irretiit. iubens enim suae religionis argumentis allatis disputationis aleam experiri, ac vel sua firma ostendere et quibus contradici non possit, aut persuasos Christum legis caput esse ac prophetarum, et legem umbrae typum praetulisse, quae solis radiis ingruentibus dissipatur, ad domini doctrinam accedere ac baptisma suscipere, propositis etiam praemiis ac honoribus his qui se Christo adiunxerint, priorumque vectigalium onere levaturum pollicitus atque ex obscura faece nobiles ac honoratos facturum, multos ablato, quod impositum habent, caecitatis velamine ad Chri-

στιν εἵλκυσε τοῦ Χριστοῦ, εἰ καὶ πάλιν οἱ πλείους μετὰ τὴν ἐκ τοῦ βίου τοῦ βασιλέως ἐπαναχώρησιν πρὸς τὸν οἰκεῖον ὡς κύνες ὑπέστρεψαν ἐμετόν. ἀλλὰ κἂν ἐκεῖνοι, μᾶλλον δέ τινες ἐκείνων, ὡς Αἰθίοπες ἔμειναν ἀμετάβλητοι, ἀλλ᾽ ὅ γε φιλόθεος βασιλεὺς ἐντελεῖς τοῦ ἔργου τοὺς μισθοὺς ἕνεκα τῆς σπουδῆς παρὰ θεοῦ ἀπολήψεσθαι ἔμελλεν.

96. Ὡσαύτως δὲ καὶ περὶ τὸ Βουλγάρων γένος εὑρίσκεται διαγεγονώς. τὸ γὰρ τοιοῦτον ἔθνος, εἰ καὶ πρὸ τούτου τὴν πρὸς
D εὐσέβειαν μεταβολὴν εἰσδέξασθαι ἔδοξε καὶ πρὸς τὸν χριστιανισμὸν μετελθεῖν, ἀλλ᾽ ὅμως ἀπαγὲς ἦν ἔτι πρὸς τὸ καλὸν καὶ ἀνίδρυτον, ὡς ὑπὸ ἀνέμου φύλλα ῥᾳδίως σαλευόμενον καὶ μετακινούμενον. ἀλλὰ ταῖς τοῦ βασιλέως συχναῖς παραινέσεσι καὶ ταῖς λαμπραῖς δεξιώσεσιν, ἔτι δὲ καὶ ταῖς μεγαλοψύχοις φιλοτιμίαις τε καὶ δωρεαῖς, ἀρχιεπίσκοπόν τε πείθεσθαι καταδέξασθαι καὶ ἐπισκόποις καταπυκνωθῆναι τὴν χώραν ἀνέχεται· καὶ διά τε τούτων διά τε τῶν ἐξ ὀρέων τε καὶ τῶν σπηλαίων τῆς γῆς μετακληθέντων καὶ ἐκεῖσε παρὰ τοῦ βασιλέως ἀποσταλέντων, τῶν εὐσεβῶν μοναστῶν, τά τε πατρῷα ἤθη καταλιμπάνει καὶ ὁλόκληρον τῷ Χριστῷ σαγηνεύεται.

P 211 97. Ἀλλὰ καὶ τὸ τῶν Ῥῶς ἔθνος δυσμαχώτατόν τε καὶ ἀθεώτατον ὂν χρυσοῦ τε καὶ ἀργύρου καὶ σηρικῶν περιβλημάτων ἱκαναῖς ἐπιδόσεσιν εἰς συμβάσεις ἐφελκυσάμενος, καὶ σπονδὰς πρὸς αὐτοὺς σπεισάμενος εἰρηνικάς, ἐν μετοχῇ γενέσθαι καὶ τοῦ σωτη-

1 ἐκ om P 6 λήψεσθαι P 10 τὸ om P 16 τε om P 20 Ῥῶς A

sti fidem attraxit, quanquam plerique rursum, post imperatorem e vivis exemptum, ad vomitum suum ut canes reversi sunt. tametsi vero illi (seu potius illorum pars aliqua), velut Aethiopes, errorem haud mutarunt, religiosissimus tamen imperator integram a deo operis mercedem, eius molitionis causa percepturus erat.

96. Similiter vero se etiam erga Bulgaros gessit. ea enim gens etsi antea ad pietatem transiisse visa fuerat et Christianorum ritus recepisse, adhuc tamen in bono instabilis ac quasi volatica erat, velut folium quod facile levi aura quatitur atque movetur. crebris tamen imperatoris hortamentis splendidisque acceptionibus ac cultu, nec non magnificis largitionibus ac muneribus, archiepiscopum recipere suadetur, nec plures in provincia creari episcopos iisque constipari abnuit. horum opera, eorumque quos ex montibus et cavernis terrae religiosissimos monachos imperator acciverat inque eam messem destinarat, avitis moribus valere iussis in Christi sagenam, quicquid Bulgaricae gentis est, concessit.

97. Praeterea genti Russorum nescienti mansuescere ullive cedere atque a dei sensu ac pietate remotissimae, auri argentique ac sericarum vestium affluenti largitione in foedus pertractae, initisque cum ea induttiis

ριώδους βαπτίσματος ἔπεισε καὶ ἀρχιεπίσκοπον παρὰ τοῦ πατριάρχου Ἰγνατίου τὴν χειροτονίαν δεξάμενον δέξασθαι παρεσκεύασεν, ὃς κατὰ τὴν τοῦ εἰρημένου ἔθνους χώραν παραγεγονὼς ἀπὸ τοιαύτης πράξεως εὐπαράδεκτος τῷ ἔθνει γεγένηται. τοῦ γὰρ ἄρχοντος τοῦ τοιούτου γένους σύλλογον τοῦ ὑπηκόου ποιησαμένου καὶ μετὰ τῶν περὶ αὐτὸν γερόντων προκαθεσθέντος, οἳ τῶν ἄλλων μᾶλλον τῇ δεισιδαιμονίᾳ διὰ τὴν μακρὰν συνήθειαν προστετηκότες B ἐτύγχανον, καὶ σκοπουμένων περί τε τῆς οἰκείας καὶ τῶν Χριστιανῶν πίστεως, εἰσκαλεῖται ὁ ἄρτι πρὸς αὐτοὺς φοιτήσας ἀρχιερεύς, καὶ τίνα τὰ παρ᾽ αὐτοῦ καταγγελλόμενα καὶ αὐτοὺς διδάσκεσθαι μέλλοντα ἐπυνθάνετο. τοῦ δὲ τὴν ἱερὰν τοῦ θείου εὐαγγελίου βίβλον προτείναντος, καί τινα τῶν τοῦ σωτῆρος ἡμῶν καὶ θεοῦ θαυμάτων αὐτοῖς ἀπαγγείλαντος, καὶ τῶν ὑπὸ τοῦ θεοῦ τερατουργηθέντων κατὰ τὴν παλαιὰν τὴν ἱστορίαν αὐτοῖς ἀναπτύξαντος, "εἰ μή τι τῶν ὁμοίων" ἔφασαν εὐθέως οἱ Ῥῶς "καὶ ἡμεῖς θεασόμεθα, καὶ μάλιστα οἷον τὸ ἐν τῇ καμίνῳ τῶν τριῶν λέγεις παίδων, οὐκ ἄν σοι ὅλως πιστεύσωμεν, οὐδὲ τὰς ἀκοὰς ἡμῶν ἔτι τοῖς ὑπὸ C σοῦ λεγομένοις ὑπόσχωμεν." ὁ δὲ πεποιθὼς ἐπὶ τῷ ἀψευδεῖ τοῦ εἰπόντος ὅτι ὃ ἐὰν αἰτήσητε ἐν τῷ ὀνόματί μου λήψεσθε καὶ ὅτι ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅταν οὐ πρὸς ἐπίδειξιν ἀλλὰ πρὸς σωτηρίαν ψυχῶν μέλλει γίνεσθαι τὰ γινόμενα, ἔφη πρὸς αὐτούς "εἰ

2 τὴν om P 13 ἐπαγγείλαντος A τοῦ om P 15 εὐθέως ἔφθασαν A 16 τὸ om P

ac pace firmata, divini quoque baptismatis participes fieri persuasit, ac archiepiscopum ab Ignatio patriarcha ordinatum ut susciperent effecit. is ad dictae gentis provinciam cum venisset, ex tali eventu illustrique facinore illius sibi animos faciles reddidit. gentis enim princeps, subditae plebis coacto coetu, cum senatoribus suis ac proceribus praesidebat; qui et falsae religioni ob longam consuetudinem proclivius reliquis adhaerebant. deque sua ac Christianorum fide deliberantibus, in conventum vocatur qui ad eos recens episcopus venerat; ac quaenam ipse profiteretur eosque docturus esset, ex illo sciscitabantur. eo sacrum divini evangelii librum protendente, ac quaedam salvatoris nostri miracula deique in veteri testamento prodigia exponente, statim Russi subdiderunt "nisi nos etiam eiusmodi aliquid viderimus, ac potissimum quale in trium puerorum camino accidisse dicis, nullam prorsus tibi fidem habebimus, nec tuis verbis animum auresque nostras ultra accommodabimus." praesul vero de illius promissionis veritate fretus, qui ait (Ioan. 14 14 et 12) "si quid petieritis in nomine meo, accipietis" et "qui credit in me, opera quae ego facio, et ille faciet, et maiora his faciet," tum nimirum cum non ostentationis causa sed ad salutem animarum haec quae fiunt, sunt futura, ait ad eos (Deut. 6 16)

καὶ μὴ ἔξεστιν ἐκπειράζειν κύριον τὸν θεόν, ἀλλ' ὅμως εἰ ἐκ ψυχῆς διεγνώκατε προσελθεῖν τῷ θεῷ, αἰτήσασθε ὅπερ καὶ βούλεσθε, καὶ ποιήσει τοῦτο πάντως διὰ τὴν πίστιν ὑμῶν ὁ θεός, κἂν ἡμεῖς ἐσμὲν εὐτελεῖς καὶ ἐλάχιστοι." οἱ δὲ ᾐτήσαντο αὐτὸ τὸ τῆς πί-
D στεως τῶν Χριστιανῶν βιβλίον, ἤτοι τὸ θεῖον καὶ ἱερὸν εὐαγγέλιον, ἐν τῇ ὑπ' αὐτῶν ἀναφθείσῃ ἐμβληθῆναι πυρκαϊᾷ· καὶ εἰ ἀβλαβὲς τηρηθείη καὶ ἄκαυστον, προσελθεῖν τῷ παρ' αὐτοῦ κηρυσσομένῳ θεῷ. ῥηθέντων δὲ τούτων, καὶ τοῦ ἱερέως πρὸς τὸν θεὸν τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας ἐπάραντος, καὶ εἰπόντος ὅτι δόξασόν σου τὸ ἅγιον ὄνομα, Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ νῦν ἐν ὀφθαλμοῖς τοῦ ἔθνους τούτου παντός, ἐρρίφη εἰς τὴν κάμινον τοῦ πυρὸς ἡ τοῦ ἁγίου εὐαγγελίου βίβλος. ὡρῶν δὲ διεληλυθυιῶν ἱκανῶν, εἶτα τῆς καμίνου κατασβεσθείσης, εὑρέθη τὸ
P 212 ἱερὸν πυκτίον διαμεῖναν ἀπαθὲς καὶ ἀλώβητον καὶ μηδεμίαν ὑπὸ τοῦ πυρὸς δεξάμενον λύμην ἢ μείωσιν, ὡς μηδὲ τῶν ἐν τοῖς κλειδώμασι τῆς βίβλου κροσσῶν τὴν οἱανοῦν ὑπομεινάντων φθορὰν ἢ ἀλλοίωσιν. ὅπερ ἰδόντες οἱ βάρβαροι, καὶ τῷ μεγέθει καταπλαγέντες τοῦ θαύματος, ἀνενδοιάστως βαπτίζεσθαι ἤρξαντο.

98. Οὕτως οὖν τῶν τοιούτων ἔργων ἐν τοῖς χρόνοις τῆς βασιλείας τοῦ συνετοῦ βασιλέως Βασιλείου καταπραττομένων, καὶ δεξιῶς κατὰ νοῦν τῶν πραγμάτων χωρούντων αὐτῷ, καὶ τοῦ καθ' ἡμέραν θάλλοντος βίου, καὶ εὐθυμίας χορευούσης περὶ τὴν πόλιν

3 ἡμῶν A 8 τὸν om A 20 βασιλέως om A 21 τῶν om P

"etsi non licet dominum deum tentare, si tamen ex animo statuistis ad deum accedere, quod libuerit, hoc et petite; omninoque deus praestabit propter fidem vestram, etsi nos despicabiles et minimi sumus." petiere ipsum fidei Christianae librum (divinum scilicet sacrumque evangelium) in rogum iniici ab eis accensum, ac siquidem librum nihil flamma laeserit aut exusserit, ad deum accessuros, qui ab illo praedicaretur. quibus sic dictis, ac sacerdote oculos ac manus ad deum levante, atque dicente (Ioan. 12 28) "clarifica nomen sanctum tuum, Iesu Christe deus noster, etiamnum in oculis gentis huius universae," sancti evangelii liber in rogum ignis coniectus est. nec paucis decursis horis, ac rogo exinde exstincto, inventum est sacrum volumen illaesum nec edacis flammae vi ulla violatum, nulla eius ab igne noxa aut diminutione, ut ne fimbriae quidem librum claudentes ullam aut corruptionem aut labem senserint. quo viso barbari, ac miraculi magnitudine in stuporem acti, omni sublata haesitatione baptismo intingi coeperunt.

98. Cum sic igitur prudentissimi imperatoris Basilii temporibus talia gererentur, exque animo cuncta prospere cederent, ac quotidie res publica uberius floreret, inque civitate ac regia iucunditas vigeret, omni-

καὶ τὰ βασίλεια, καὶ γαλήνης ἡπλωμένης ἀνὰ πᾶσαν σχεδὸν νῆσον B
καὶ ἤπειρον, ἐξαίφνης λαῖλαψ καὶ ζάλη καὶ καταιγὶς συμφορῶν
τοῖς ἀνακτόροις ἐκώμασε, κοπετὸς καὶ θρῆνος καὶ Ἰλιὰς λυπηρῶν
καὶ τραγῳδία θλιβερῶν ἐχόρευσε περὶ τὰ βασίλεια. ὁ γὰρ φίλτα-
τος καὶ πρωτότοκος υἱὸς τῷ βασιλεῖ Κωνσταντῖνος ἐν αὐτῷ τῷ
ἄνθει τῆς ἡλικίας, ἐν τῇ ἀκμῇ τῆς νεότητος, ἐν τῷ πρὸς ζῆλον
ἄρχεσθαι τρέχειν τῆς πατρικῆς γενναιότητος, ὀξείᾳ νόσῳ περιπε-
σὼν καὶ ἐπὶ ὀλίγαις ἡμέραις τῷ πυρετῷ καυσωθείς, πᾶσαν τὴν
ζωτικὴν ἰκμάδα τοῦ παρὰ φύσιν λάβρου πυρὸς συντόμως ἐκδα- C
πανήσαντος, τὸν βίον ἐξέλιπε, πένθος ἀμύθητον καταλιπὼν τῷ
πατρί. πλὴν ἐπεὶ λόγῳ κρατεῖν ὀφείλει τῶν ἀλόγων παθῶν ὁ πε-
παιδευμένος ἀνήρ, καὶ αὐτὸς ἄνθρωπος ὢν καὶ θνητὸς ᾔδει καὶ
τὸν υἱὸν ἔχων ὁμοίως θνητόν, καὶ διὰ τοῦτο τὸ πέρα τοῦ μετρίου
τὸ συμβὰν ἀποδύρεσθαι ὡς ἀγεννές τε καὶ ἄνανδρον τῇ γυναικωνί-
τιδι διδοὺς θᾶττον ἐγένετο ἑαυτοῦ, καὶ τὴν εὐχάριστον τοῦ γεν-
ναίου Ἰὼβ φωνὴν ἀνεφθέγξατο, "ὁ κύριος ἔδωκεν" εἰπών, "ὁ κύ-
ριος αὖθις ἀφείλατο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ γέγονεν.
εἴη αὐτοῦ εὐλογημένον τὸ ὄνομα." καὶ "τί" φησί "θαυμαστόν,
εἰ ὁ δοὺς πάλιν ἀπείληφεν, ὡς ἐβούλευεν, ὅπερ δέδωκεν;" καὶ D
μᾶλλον εἰς παραμυθίαν τῆς μητρὸς καὶ τῶν ἀδελφῶν γεγονὼς ἦν
ἐπὶ τῶν συνήθων αὖθις, προϊστάμενος ὀρφανῶν, χήραις ἐπικου-

1 τὰ om P   νῆσον om A   4 ἐχόρευε P   7 ὄξει P
17 ἀφείλετο A   19 ἐκέλευεν A

que pene insula ac continente diffusa tranquillitas lateque explicata esset, repente malorum turbo procellaque ac tempestas in regiam invasit; planctus et luctus tristiumque rerum Ilias ac molestorum tragoedia per aulam bacchari. carissimus scilicet ac primogenitus imperatori filius Constantinus in ipso aetatis flore ac iuventutis vigore, dum ad paternam generositatem aemulandam contendit, in morbum acutum incidens, paucosque dies febris ardoribus exustus, innaturali rapido igne quicquid vitalis humoris erat brevi absumente, in vivis esse desiit, inenarrabili luctu parenti relicto. quoniam tamen vir disciplina moribusque compositus alienos a ratione impetus ac perturbationes ratione moderari debet, ipseque homo ac mortalis cum esset, filium similiter mortalem se habere nullus dubitabat, idcirco abundantiore luctu, ac qui modum excedat, casum deflere, velut ignavi muliebrisque animi sensu gynaeceo relicto, quantocius sibi ipse redditus, generosi Iobi gratiarum actionis vocem prolocutus ait (Iob 1 21) "dominus dedit, dominus rursum abstulit: sicut domino placuit, sic et factum est: sit nomen illius benedictum. et quid mirum" inquit, "si, qui dedit, rursus abstulit id quod dederat, pro eo ac placuit?" magisque solandae matris fratrumque munere perfunctus consuetis iterum animum advertebat, pupillorum defensor, viduarum adiutor,

ρῶν, χορηγῶν στρατιώταις καὶ πένησιν, ἀδικουμένοις ἐπαμύνων, καὶ τῶν φοβουμένων τὸν κύριον ἡδέως καὶ εὐμενῶς ἀκροώμενος, τὰ λυσιτελῆ καὶ σωτήρια καὶ τὴν ἄνω βασιλείαν προξενοῦντα ἐξηγουμένων καὶ ὑποτιθεμένων αὐτῷ.

99. Ἐπεὶ δὲ εἰώθασι πολλάκις οἱ καθεστηκότες ἐπὶ τῶν ἀρχῶν καὶ τῶν διοικήσεων, τὴν εὔνοιαν δῆθεν ὑπεμφαίνειν ἐθέλοντες, P 213 τάχα δὲ καὶ μονιμωτέραν ἐντεῦθεν οἰόμενοι τὴν ἀρχὴν ἑαυτοῖς καταστήσασθαι, ὑποτιθέναι τὰ πρὸς αὔξησιν τῶν εἰσφορῶν καὶ τὸν τῶν προσόδων συντελοῦντα πλεονασμόν, ὑπέμνησέ ποτε καὶ τῷ γενναίῳ τούτῳ βασιλεῖ ἀπὸ τοιαύτης γνώμης ὁ τὴν τοῦ γενικοῦ τὸ τηνικαῦτα διέπων ἀρχὴν ἀποσταλῆναι εἰς τὰ ὑπὸ τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἅπαντα θέματα τοὺς λεγομένους ἐπόπτας τούτους καὶ ἐξισωτάς, ὡς ἄν, φησί, τοὺς ἀγροὺς καὶ τὰ χωρία, ὧν ὁ χρόνος τοὺς δεσπότας διά τινα περιπέτειαν τοῖς οἰκείοις ἐπέκλυσε ῥεύμασι, πρὸς ἑτέρους διάθωνται καὶ πρόσοδον ἐντεῦθεν οὐχὶ μικρὰν τῷ ταμιείῳ τῷ βασιλικῷ προσπορίσωσιν. ὁ δὲ βασιλεὺς B ἀποδέχεσθαι προσποιησάμενος τὴν ὑπόμνησιν, ἐκλέξασθαι καὶ εὐτρεπίσαι καὶ αὐτῷ προσαγαγεῖν τοὺς ὀφείλοντας τὸ ἔργον ἐπιτελέσαι καλῶς προετρέψατο. σκεψάμενος δὲ καὶ φροντίσας ὁ γενικός, καὶ ὡς ἐδόκει κάλλιστα τοὺς ἀρίστους ἐπιλεξάμενος, καὶ τὰς τῶν ἐκλεγέντων κλήσεις εἰσαγαγὼν πρὸς αὐτόν, πολλῆς ἐνομίσθη μέμψεως ἄξιος καὶ σφοδροτέροις ὑπεβλήθη ὀνειδισμοῖς,

8 τὸ P   12 ἅπαντα τὰ θ. AP

militum pauperumque sumptibus iustus piusque erogator, eorum qui ulla iniuria laederentur ultor, ac timentium dominum, qui utilia et salutaria supernumque regnum conciliantia doceant suadeantque, laete ex animo placidusque auditor.

99. Cum autem plerumque soleant, qui praefecturis ac magistratibus rerumque administrationi praepositi sunt, suam nimirum benevolentiam principi insinuare cupientes (forte vero etiam hoc satagentes, ut inde diuturniorem sibi magistratum efficiant ac praefecturam) ea suggerere unde fisci procurationes augeantur maioraque tributa in rationes publicas inferantur, ea quandoque mente is qui genici tunc munere fungebatur, generosi pectoris virum Basilium submonuit mittendos ad omnes Romanae dicionis provincias (recentior usus themata dicit) eos quos inspectores ac peraequatores vocant, agros scilicet et praedia, quorum possessores adverso aliquo casu tempus fluctibus suis obruisset, aliis delaturos, unde pecuniae vis non modica aerario accederet. imperator consilium se probare simulans, eligi atque parari sibique offerri iubet qui istud muneris probe expleturi essent. tum genicus adhibito diligenti examine solertique cura, et ut optimum illi videbatur, optimis delectis maximeque ingenuis, eorumque relatis nominibus, haud levi dignus vituperio visus est acriusque obiurgatus, quod eiusce generis ac probitatis

εἰ τοιούτους εἰς τὸ τοιοῦτον ἔργον προβάλλεται. τοῦ δὲ μὴ ἔχειν ἐν τοῖς πολιτευομένοις κρείττονας λέγοντος, ὁ βασιλεὺς ἀπεκρίνατο ὅτι παρ' ἐμοὶ τοιοῦτον τὸ τῆς προκειμένης διακονίας ἔργον κρίνεται ὥστε, εἴπερ οἷόν τε ἦν, αὐτὸν ἐμὲ πρὸς τὴν τούτων διοίκησιν ἐξελθεῖν. ἐπεὶ δὲ τοῦτο οἶδα ὅτι δοκεῖ τυχὸν ἀπρεπὲς καὶ ἀδύνα- C τον, ἐξ ἀνάγκης ἐπὶ τοῖς δυσὶ τῆς πολιτείας μαγίστροις, οἳ καὶ χρόνῳ καὶ πείρᾳ καὶ ταῖς πολλαῖς ἐν τῷ μακρῷ βίῳ τῶν πολιτικῶν ἀρχῶν διοικήσεσιν, ἐν αἷς ἐξητάσθησαν, ἀκίβδηλον καὶ καθαρὸν τῆς ἀρετῆς ἐξενηνόχασι τὸ δοκίμιον, τὰς ἐλπίδας ἀποσαλεύω, καὶ τὴν διακονίαν ὑπὸ τούτων ἀνυσθῆναι δεόντως θαρρῶ. ἀπελθὼν οὖν, φησίν, αὐτὸς σὺ τούτοις ἀπάγγειλον τὸ τῆς διακονίας ἐπωφελὲς καὶ τὸ θέλημα τὸ ἐμόν. καὶ βουλομένων αὐτῶν ἐξελθεῖν ἐπευδοκῶ καὶ αὐτὸς καὶ ἐπισφραγίζω τὸ βούλευμα. ὡς δὲ ἀκούσαντες οἱ ἄνδρες ἦλθον εἰς ἔκπληξιν, καὶ τὸ γῆρας ἀνθ' ἱκετηρίας καὶ τοὺς πολλοὺς ὑπὲρ τοῦ κοινοῦ καμάτους καὶ πόνους D αὐτῶν προβαλλόμενοι παρενεχθῆναι τὸ τῆς τοιαύτης διακονίας ποτήριον ἐξ αὐτῶν καθικέτευον, ἐξ ἀνάγκης ὑπέστρεψεν ἄπρακτος ὁ πεμφθείς, καὶ τῷ βασιλεῖ τὰ παρὰ τῶν μαγίστρων ἀπήγγειλεν. ἅπερ ἀκούσας εἶπεν ὁ βασιλεὺς ὅτι εἰ τὸ ἐμὲ ἐξελθεῖν δοκεῖ τε καὶ λέγεται εἶναι ἀδύνατον, παραιτοῦνται δὲ τὴν ὑπουργίαν καὶ οἱ λαμπρότατοι μάγιστροι, οὐδένα ἔχων τοῦ πράγματος διοικητὴν ἀξιόχρεων καταλειφθῆναι τὸ ὑποβαλλόμενον βούλομαι ἀνεπίσκεπτον καὶ ἀδιερεύνητον. κρεῖττον γάρ, φησί, παρακερδαίνειν τινὰς ἀπὸ τῶν ἐμῶν

5 ἀπελθεῖν P   9 ἐπισαλεύω P   15 καὶ πόνους αὐτῶν om P

viros ad munus istud proponeret. cumque diceret inter cives ac tota re publica se nullos meliores habere, intulit imperator "tanti apud me eius muneris functio est, ut et ipse, si liceret, ad eam profecturus essem. quia tamen, ut probe novi, nec satis forte decorum videtur nec possibile, necessario in duobus rei publicae magistris, tempore et experientia multisque per longam aetatem civilium magistratuum functionibus exercitatis, sinceraeque in eis ac exploratae virtutis probatis, spem colloco, remque ab illis probe exsequendam confido. tu ergo ipse vadens eius illis provinciae utilitatem meamque voluntatem nuntiato; ac dum in animum induxerint ut proficiscantur, placet et mihi, assensumque consilio praebeo." viros, ut audiere, stupor subiit, seniumque supplicationis loco ac longos pro re publica exantlatos labores atque sudores ostendentes eiusce functionis calicem ab eis transferri exorabant. necessario itaque, qui missus fuerat, re infecta reversus magistrorum responsa haec imperatori rettulit. tum imperator his auditis "cum fieri non posse videatur ut ego exeam (atque etiam dicatur) illustrissimique magistri munus defugiant, ac qui illi functioni par videatur, alius nemo suppetat, placet suggestionem indiscussam ac cassam manere. praestat enim" inquit "nonnullos ex fisci proventibus reque privata non bene lucrari, quam ut

P 214 οὐ καλῶς ἢ κακῶς ὑποπεσεῖν τινὰ ζημιώδει κακῷ καὶ ἐπιτριβούσῃ αὐτὸν συμφορᾷ. καὶ ἐπὶ τούτῳ τὸν ἅπαντα χρόνον τῆς αὐτοκρατορίας αὐτοῦ ἔμεινεν ἀνέποπτος, ὡς ἄν τις εἴποι, καὶ ἀνεξίσωτος, ἢ μᾶλλον εἰπεῖν ἐλεύθερός τε καὶ ἀδιάπρακτος, ὁ ὑπὸ τὴν Ῥωμαϊκὴν ἐξουσίαν ἅπας τῶν ὅλων θεμάτων λαὸς καὶ τὰ χωρία καὶ οἱ ἀγροὶ τοῖς γειτονοῦσι τῶν πενήτων προκείμενοι εἰς ἀπόλαυσιν. τοιοῦτος ἦν περὶ πᾶν τὸ ὑπήκοον, μάλιστα δὲ τὸν ὄχλον τὸν ἀγροδίαιτον, πατρικὴν ἐπιδεικνύμενος κηδεμονίαν καὶ πρόνοιαν ὁ ἀγαθὸς βασιλεύς.

B 100. Ἀλλὰ καὶ πάλιν ὁ φθόνος ἑτέραν ἤγειρε περὶ τὰ βασίλεια ζάλην καὶ θύελλαν, καθ' ἑαυτῆς τὴν φύσιν συνταράσσων τε καὶ κυκῶν. ἄρτι γὰρ τοῦ φιλτάτου τῷ βασιλεῖ υἱοῦ Κωνσταντίνου τὸν βίον ἀπολιπόντος, καὶ μεταπεσόντος τοῦ φίλτρου καὶ τῶν ἐλπίδων ἐπὶ τὸν δεύτερον υἱὸν Λέοντα, οὐκ ἤνεγκε πράως τὸ βάσκανον τῶν δαιμόνων φῦλον τὸ πρᾶον καὶ ἥσυχον καὶ εὐσεβὲς ἅμα καὶ ἐμμελές, ὡς ἔοικεν, ὁρῶν τοῦ διαδέχεσθαι μέλλοντος τὴν βασίλειον ταύτην ἀρχήν, καὶ τὴν ἐντεῦθεν τοῦ ὑπηκόου στοχαζομένην ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐετηρίαν καὶ
C πρὸς πάντα τὰ ἐπαινούμενα αὔξησιν· καὶ διὰ τοῦτο κονίεται κατ' αὐτοῦ καὶ οὑτωσί πως ἀνταγωνίζεται. ἦν τις τῶν πάνυ φιλουμένων καὶ πιστευομένων παρὰ τῷ ἀοιδίμῳ Βασιλείῳ μονα-

3 ὡς Combefisius, libri ων 4 ἀδιατάρακτος? 5 τὰ om P 7 ἦν om P μᾶλλον P 14 υἱὸν om P

male quisquam damno afficiatur ullave graviore iniuria vexetur aut opprimatur." eoque consilio, quamdiu ille rerum potitus est, omnis omnium Romanae dicionis provinciarum populus ininspectus (ut ita dicam) ac inexaequatus (i. e. non censitus) mansit, ac si mavis dicere, liber et ab exactionibus immunis; praediaque et agri in pauperum vicinorum usum cesserunt. talis scilicet princeps optimus erga omnes subditos erat, ac praecipue erga rusticanam plebeculam paternam solicitudinem ac curam exhibebat.

100. Verum rursus etiam invidentia procellam aliam atque turbinem in regia excitavit, ipsam in se ipsam naturam conturbans ac concitans. cum enim iam dulcissimus imperatoris filius Constantinus vitam cum morte commutasset, isque in alteram prolem Leonem amoris vim convertisset spesque in eo iactaret, haud placide tulit invidum daemonum genus, leves placidosque, religiososque simul ac rite compositos, ut par est, illius mores considerans qui imperii successor futurus esset, ac quam inde coniiciebat illo rerum potiente subditorum fore felicitatem, et ad laudabilia quaeque profectum atque incrementum. idcirco se ad pugnam instruit, inque hunc modum certamen aggreditur. erat inclito Basilio inter eos in quos impense afficiebatur ac quibus nimiam quandam habe-

γός, ὡς ἐδόκει, καὶ ἱερεύς, καὶ φίλος αὐτῷ καὶ ὑπουργὸς δεξιός, ὃν Σανδαβαρηνὸν κατωνόμαζον· ὃς εἰ καὶ παρὰ τοῦ βασιλέως ἐστέργετο, ἀλλ' οὐκ εἶχε παρὰ τοῖς ἄλλοις δόξαν χρηστὴν οὐδ' ὑπόληψιν ἀνεπίληπτον. καὶ διὰ τοῦτο πολλάκις καὶ ὑπὸ τοῦ σοφωτάτου διεκωμῳδεῖτο Λέοντος ὡς γόης καὶ ἀπατεὼν καὶ εἰς ἃ μὴ δεῖ τὸν βασιλέα παρασύρων καὶ τῶν καθηκόντων ἐκδιαιτῶν. ἃ δὴ πυνθανόμενος ὁ φέναξ ἐκεῖνος καὶ πονηρὸς εὔνοιαν πλάττεται D καὶ φιλίαν πρὸς τὸν χρηστὸν ὑποκρίνεται Λέοντα, καὶ φησὶ πρὸς αὐτὸν ὡς ἵνα τί νεανίας ἤδη ὢν καὶ παρὰ τῷ πατρί σου φιλούμενος μὴ ἐπιφέρῃ κρυπτῶς ῥομφαίαν ἢ μάχαιραν, ὅταν κατ' ἀγροὺς συνιππάζῃ σου τῷ πατρί, ἵνα καὶ αὐτῷ, εἰ κατὰ θηρίον χρείαν σχῇ, ἐπιδιδῷς, καὶ εἴ τι λαθραῖον πολλάκις κατ' αὐτοῦ ἐπιβούλευμα γένηται, μὴ ἄνοπλος εὑρεθῇς, ἀλλ' ἔχῃς τι μεθ' ὅτου δυνηθῇς τοὺς πατρικοὺς ἐχθροὺς ἀνταμύνασθαι. οὐχ ὑπειδόμενος δὲ τὸν δόλον ἐκεῖνος οὐδὲ τὸ δολερὸν τοῦ ἀνδρὸς συννοήσας (τὸ γὰρ μὴ πρόχειρον εἰς κακίαν οὐδὲ ὑπονοεῖν ἐστὶ τὰ πονηρὰ P 215 εὐχερές) δέχεται τὴν βουλὴν καὶ πείθεται μάχαιραν τοῦ ὑποδήματος ἐντὸς ἐπιφέρεσθαι. ὡς οὖν ὁ ἐπίβουλος ἔγνω χωρήσασαν εἰς ἔργον τὴν αὐτοῦ συμβουλήν, ἀπαγγέλλει τῷ βασιλεῖ ὅτι ὁ υἱός σου ἐπιβουλεύει σε ἀνελεῖν· καὶ εἰ ἀπιστεῖς, ὅταν κατὰ θήραν ἤ που ἄλλοθι μέλλεις τῆς βασιλίδος ὑπεξελθεῖν, κέλευσον περιαιρεθῆναι τὰ πέδιλα τῶν ποδῶν αὐτοῦ, καὶ εἰ εὑρεθήσεται ξίφος ἐπιφερόμενος, γνῶθι ὅτι πρὸς τὴν σὴν αὐτὸ σφαγὴν ἡτοιμάσατο. καταγ-

bat fidem, monachus quidam, ut videbatur, et sacerdos illique amicus ac minister strenuus, cui Santabareno nomen. is etsi ab imperatore colebatur, apud alios tamen non bonae famae erat nec reprehensione carebat. idque in causa erat cur non raro a sapientissimo Leone ut praestigiator ac seductor, quique imperatorem a recti tramite abduceret et ad absurda traheret, conviciis incesseretur. quibus saepius auditis impostor ille ac scelestus, simulata benevolentia ac amicitiae larva, ad mitissimum Leonem sic loquitur. "cur" inquit, "cum iam robustis viribus ad aetatem adoleveris patrique admodum carus sis, non occulte pugionem aut sicam tecum defers, cum una cum illo ruri in equo veheris, ut in promptu porrigendum habeas, cum ferienda bestia fuerit, et, si quid adversus eum latenter ex insidiis agi contigerit, non ipse inermis inveniaris, sed praesto aliquid habeas unde paternos hostes ulciscaris." dolum ille minime subodoratus, nec viri fraudes animo reputans (quod enim ad malitiam pronum non est, nec improba facile suspicatur) consilium approbat viroque obsequitur, ut cultrum in ocrea deferat. perfidus autem insidiator, Leonem consilio suo paruisse intelligens, imperatori denuntiat filium structis insidiis illius necem machinari. "quodsi fidem abnuis" inquit, "cum venatum aliave ex causa urbe exieris, iube ei ocreas auferri; ac si quidem gladium deferre invenietur, ne in tuam necem eum sibi parasse dubitaveris." indicta igitur ruri principis vena-

γελθείσης οὖν ἐξόδου βασιλικῆς συνεξῆλθεν ἅπαν τὸ εἰωθός, καὶ
B κατά τινα τόπον γενομένων αὐτῶν προσποιεῖται χρείαν ἔχειν μαχαίρας ὁ βασιλεύς, καὶ ἐπεζήτει ταύτην μετὰ σπουδῆς. συμπαρὼν δὲ ὁ υἱός, καὶ μηδὲν τῶν ὑπονοουμένων τῷ πατρὶ προειδόμενος, ἀκάκως πάνυ καὶ ἀπονήρως ἐφελκυσάμενος ἣν ἐπεφέρετο μάχαιραν ἐπιδίδωσι τῷ πατρί. γενομένου δὲ τούτου ἔδοξεν εὐθέως ἡ κατ' αὐτοῦ προσαγγελία πιστὴ καὶ αἱ παρ' αὐτοῦ ἀπολογίαι μάταιαι καὶ κεναί. ὑποστρεψάντων οὖν αὐτίκα πρὸς τὰ βασίλεια, πρὸς ὀργὴν ὁ βασιλεὺς κατὰ τοῦ υἱοῦ διανίσταται, καὶ κατά τινα τῶν βασιλείων οἴκων, ὃς Μαργαρίτης κατονομάζεται, ἔμφρουρον τοῦτον πεποίηται, καὶ τῶν ἐρυθρῶν πεδίλων ἀπογυμνοῖ. διηρέ-
C θιστο δὲ παρὰ τοῦ ἐχθροῦ καὶ ἐκδικητοῦ πρὸς τὸ καὶ τοὺς λύχνους ἐπισβέσαι τῶν ὀφθαλμῶν. ἀλλὰ τοῦτο μὲν ὑπὸ τοῦ τῆς βασιλίδος ἀρχιερέως καὶ τῆς συγκλήτου βουλῆς κωλύεται διαπράξασθαι, τῆς εἱρκτῆς δ' ὅμως εἶχεν ἐντός. χρόνου δὲ παραδραμόντος συχνοῦ, καὶ τῆς φύσεως οὐ γνωριζούσης ἑαυτὴν ἀλλ' ὑπὸ τῶν πονηρῶν πνευμάτων τραχυνομένης, τῶν δὲ τῆς γερουσίας ὑπερεχόντων πολλάκις βουληθέντων ὑπὲρ τοῦ υἱοῦ πρὸς τὸν πατέρα διαπρεσβεύσασθαι, ἄλλοτε δὲ κατ' ἄλλην αἰτίαν κωλυομένων, ἀπὸ τοιαύτης προφάσεως εὔλογον ἔσχον ἀφορμὴν εἰς τὸ κατανύσαι τὸ βούλημα. (101) *ἦν τι ζῷον πτηνὸν ἐν ταλάρῳ πλεκτῷ κατὰ τὰ βασίλεια αἰωρούμενον, μιμηλὸν καὶ πολύφωνον, ὃ ψιττακὸς ὀνομάζεται·*
D ὅπερ εἴτε πρός τινων διδαχθὲν εἴτε ἄλλως πως πολλάκις "αἲ αἲ κῦρ

5 *ἐξελκυσάμενος?* 13 *ἀποσβέσαι?*

tione, omnis ex more comitatus una exierunt. cumque in quendam locum evasissent, simulat imperator sibi opus gladio esse, eiusque sibi actutum copiam quaerit. aderat filius, eorumque ignarus quae pater animo versaret, simplici admodum nec malo quicquam animo, quem gestabat gladium, extractum patri offert. hinc statim data adversus Leonem delatio probabilis visa est, illiusque inanes defensiones ac frivolae. mox itaque reversis in regiam imperatoris in filium ita effervescit; inque regiarum aedium una, cui Margaritae nomen, truso in carcerem rubros calceos detrahit. incitaverat inimicus et ultor, ut et oculorum faces exstingueret. verum obstitere regiae urbis episcopus ac senatus omnis: interim tamen tenebatur in carcere. longum iam tempus fluxerat, nec ipsa se natura agnoscebat, sed malignis flatibus exasperata erat. senatus primates cum saepe constituissent pro filio apud patrem supplicationem obire, alias aliam ob causam impediti, eiuscemodi occasione rei praestandae probabilem opportunitatem exque ratione nacti sunt. (101) avis erat in implexo calatho in regiae pendens triclinio, egregia imitatrix et loquacissima: psittacum vocant. hic sive a quibusdam edoctus erat sive alio quovis modo hauserat, "heu heu, domine Leo" saepius

Λέων" ἐφθέγγετο. πανδαισίας δέ ποτε τελουμένης τῷ βασιλεῖ, καὶ τῶν πρώτων τῆς βουλῆς συνεστιωμένων αὐτῷ, καὶ τοῦ ὄρνιθος πολλάκις φθεγγομένου τὸ προρρηθέν, ἐπιστυγνάσαντες οἱ δαιτυμόνες καὶ τῆς εὐωχίας παυσάμενοι ἐπὶ συννοίας ἐκάθηντο. οἷς προσσχὼν ὁ βασιλεὺς τὴν αἰτίαν τῆς τῶν ἐδεστῶν ἀποχῆς ἐπυνθάνετο. οἱ δὲ δακρύων ὑποπλησθέντες τοὺς ὀφθαλμοὺς "τίνα βρῶσιν" εἶπον "φαγούμεθα, οὕτως ὑπὸ τῆς φωνῆς τοῦ ἀλόγου τούτου ὀνειδιζόμενοι οἱ δοκοῦντες ἡμεῖς λογικοί τε καὶ φιλοδέσποτοι, ὅτι αὐτὸ μὲν τὸν οἰκεῖον ἀνακαλεῖται δεσπότην, ἡμεῖς δὲ τρυφῶντες P 216 λήθην τοῦ μὴ ἀδικήσαντος δεσποσύνου ἐλάβομεν. εἰ μὲν γὰρ ἐλέγχεται ἀδικῶν καὶ κατὰ τῆς πατρικῆς κεφαλῆς εὐτρεπίσας τὴν δεξιάν, αὐτόχειρες αὐτοῦ ἡμεῖς πάντες γενοίμεθα καὶ τοῦ αἵματος αὐτοῦ κορεσθείημεν· εἰ δὲ ἐφ' οἷς ἐνεκλήθη διαφεύγει τὸν ἔλεγχον, μέχρι τίνος ἡ συκοφάντις γλῶσσα δυναμωθήσεται κατ' αὐτοῦ;" μαλακισθεὶς οὖν τοῖς τοιούτοις τῶν λόγων ὁ βασιλεὺς τότε μὲν καθεσθῆναι τούτους προσέταξε, καὶ σκοπῆσαι περὶ τοῦ πράγματος ἐπηγγείλατο, μετ' οὐ πολὺ δὲ πρὸς τὴν φύσιν ἐπανελθὼν ἐξάγει τε τῆς φρουρᾶς καὶ εἰς ὄψιν ἄγει αὐτοῦ, καὶ τὴν πένθιμον B ἀμείβει στολήν, καὶ τὸ περιττὸν τῆς ἐν τῇ λύπῃ τραφείσης κόμης περιαιρεθῆναι κελεύει, καὶ τὴν προτέραν τῆς βασιλείας τάξιν καὶ τιμὴν ἀποδίδωσιν.

102. *Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ φθινάδι νόσῳ περιπίπτει*

1 δὲ τότε P 15 μαλαχθεὶς A

perstrepebat. cum itaque tunc imperator opipare instructum haberet convivium, senatusque primores pariter epularentur, ac avis ea quae dicta sunt crebrius repeteret, affecti maerore convivae, missaque epularum iucunditate, cogitabundi sedebant. animum advertit imperator, quidve causae sit cur se a dapibus abstineant ex illis quaerit. illi vero oppleti lacrimis "quas" aiunt "dapes sumemus, sic nobis exprobrante bruta hac animante, qui ipsi praediti ratione herique amantes videamur? dum illa sic repetitis vocibus dominum inclamante, nos genio indulgentes insontis dominici germinis prolisque sumus obliti? siquidem enim paternum ius violasse convincitur et in eius caput dexteram armasse, ipsi nos omnes eius auctores necis erimus, illiusque cruore exsaturabimur. sin autem eorum quorum accusatur nulla convictio est certaque probatio, quamdiunam calumniosa lingua opprimendo praepollebit?" istiusmodi sermonibus tantisper delinitus imperatoris animus tunc quidem sedere eos iussit, eiusque rei gratia se deliberaturum promisit. nec diu post ad indolem geniumque reversus e carcere educto sui illi copiam facit, lugubrique ipsius mutato habitu ac superfluo comae per tristitiae tempus adultae, levato onere, in pristinum eum imperii gradum honoremque restituit.

102. Nec multo post in tabificum gravemque morbum imperator

ὁ βασιλεύς, ἐκ διαῤῥοίας παρακολουθησάσῃ γαστρός, ἣ τὴν ἀρχὴν ὑπό τινος τῶν κατὰ θήραν παραπτώσεων ἔλαβεν· καὶ λοιπὸν κατ᾽ ὀλίγον τῇ τοιαύτῃ τηκεδόνι κατεμαραίνετο. διαθεὶς δὲ τὰ τῆς βασιλείας ἄριστα καὶ τὸν κληρονόμον γνωρίσας, καὶ περὶ τῶν καθ᾽ ἕκαστα τὰ εἰκότα βουλευσάμενός τε καὶ ἐμφρόνως διορισά-
C *μενος, ὕστερον πυρετοῦ καυσώδους ἀναφλεγέντος αὐτῷ πᾶσαν τὴν ζωτικὴν ἰκμάδα ἀνιμωμένου καὶ ἀναλίσκοντος τὸν βίον ἀπέλιπε, συμβασιλεύσας μὲν τῷ πρὸ αὐτοῦ Μιχαὴλ χρόνον ἕνα, ἐν ἑτέροις δὲ χρόνοις ἐννεακαίδεκα περὶ τὴν αὐτοκράτορα τῆς βασιλείας διαπρέψας ἀρχήν, ἄριστα μὲν τὰ πολιτικὰ διαθείς, κάλλιστα δὲ καὶ περὶ τὰ στρατιωτικὰ διαγεγονώς, καὶ πλατύνας μὲν τὰ ὅρια τῆς ἀρχῆς, ἀδικίαν δὲ καὶ βίαν ἐξελάσας ἀπὸ τοῦ ὑπηκόου παντός, ὡς καὶ τὴν Ὁμηρικὴν περὶ τοῦ ἀρίστου βασιλέως μαρτυρίαν ἁρμόζειν αὐτῷ τὴν*

ἀμφότερον, βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής.

D *Διαδέχεται δὲ τὴν ὅλην τῆς ἐξουσίας ἀρχὴν ὁ καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τῆς ἀρετῆς ἐπὶ τὸν πατρῷον κλῆρον καλούμενος καὶ παρὰ τοῦ ὑπηκόου δι᾽ εὐχῶν ἐπιζητούμενος, Λέων ὁ πρᾳότατος καὶ σοφώτατος καὶ πρῶτος τῶν ἔτι περιλειπομένων υἱῶν.*

Καὶ τὰ μὲν περὶ τῆς εὐσεβοῦς βασιλείας Βασιλείου τοῦ ἀοιδίμου, ὅσα μὴ τῆς λήθης παρεσύρη ῥεύμασι καὶ τῷ διὰ μέσου χρόνῳ ἐξίτηλα γέγονε, καὶ αὐτὴ δὲ ἡ πρὸ τῆς βασιλείας ἀγωγή,

17 *τῶν πατρῴων κλήρων* A 20 *Βασιλείου* om P 21 *τοῖς λήθης?*

incidit, qui ex profluvio ventris acciderat; quod ipsum ex casu inter venandum oriri contigerat. iamque paulatim tali tabe contabescebat. imperii itaque rebus optima ratione dispositis, designatoque successore, nec non singulis consentanea ratione solertique consilio constitutis, tandem febris ardoribus violentiori aestu eius omnem vitalem humorem exhaurientibus ac consumentibus vita excessit, cum imperasset cum Michaële eius decessore annum unum, alios vero decem et novem solus rerum summam praeclare administrasset; cum civilibus optime constitutis, ipsa quoque armata militia praeclare effulsisset, atque imperii fines produxisset, iniuriamque ac vim a subditis omnibus longe reppulisset, ut et merito Homericum illud optimi regis in eum quadret elogium "utrumque, rex bonus et fortis bellator."

Excepit post eum rerum summam, qui et natura ipsoque virtutis iure ad paternam hereditatem vocabatur subditorumque votis exposcebatur, mitissimus Leo ac sapientissimus, liberorum ipse superstitum natu maximus.

Atque haec incliti Basilii pie religioseque administrati imperii munera, quotquot illius rerum oblivionis gurgitem effugerunt, nec quod intercurrit aevo exoleverunt. ipsam quoque eius ante adeptum imperium

καὶ ὅσα ἡ τῆς ὅλης αὐτοῦ ζωῆς περιέχει ὑπόθεσις, κατὰ τὸ ἡμῖν ἐφικτόν, καθὼς ἡ τῆς ἀληθείας εἶχε φύσις, ἀπήγγελται καὶ ἱστόρηται.

institutionem, ac quanta omnis eius vitae argumentum ratioque complectitur, quoad licuit ac veritatis ordo poscebat, narravimus et in historiam coniecimus.

ΒΑΣΙΛΕΙΑ P 217

ΛΕΟΝΤΟΣ ΑΥΤΟΚΡΑΤΟΡΟΣ.

ΛΟΓΟΣ Ζ.

Βασίλειος τελευτήσας, Λέων ὁ υἱὸς αὐτοῦ αὐτοκράτωρ ἐβασίλευσεν ἔτη εἴκοσι πέντε, μῆνας ὀκτώ. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφὸς κληρικὸς ὢν καὶ σύγκελλος συνῆν τῷ πατριάρχῃ Φωτίῳ, ὑπ' αὐτοῦ ἀναγόμενός τε καὶ παιδευόμενος. ἀπέστειλεν οὖν ὁ βασιλεὺς τὸν στρατηλάτην Ἀνδρέαν ἐν τῇ Χρυσοπόλει καὶ ἄλλους συγκλητικοὺς σὺν αὐτῷ μετὰ κλήρου καὶ κηρῶν καὶ ἁρμάτων· καὶ ἐξαγαγόντες τοῦ τάφου τὸν Μιχαὴλ ἐν γλωσσοκόμῳ κυπαρισσίνῳ κατέθεντο, καὶ ἐπὶ κραβάτου θέντες, ἐντίμως καὶ βασιλικῶς περιστείλαντες, ἐν τῇ πόλει εἰσήγαγον, καὶ μεθ' ὕμνων μέχρι τῶν ἁγίων ἀποστόλων προέπεμψαν, ἑπομένων ἐκεῖσε καὶ τῶν αὐτοῦ ἀδελφῶν, καὶ ἐν λάρνακι κατέθεντο.

2. Μετὰ ταῦτα δὲ ὁ βασιλεὺς τὸν αὐτὸν στρατηλάτην P 218
Ἀνδρέαν ἅμα Ἰωάννῃ Ἁγιοπολίτῃ, λογίῳ πάνυ ὄντι καὶ λογοθέτῃ

IMPERIUM LEONIS IMPERATORIS.

LIB. VI.

Defuncto Basilio Leo eius filius imperator rerum potitus est, annos quinque supra viginti, octo menses. Stephanus illius frater clericus cum esset ac syncellus, cum Photio patriarcha versabatur, sub cuius educabatur ac erudiebatur disciplina. misit itaque imperator Andream magistrum militiae Chrysopolim, aliosque cum eo senatorii ordinis, cum clero et cereis ac curribus; eductumque e sepulchro Michaelis cadaver ac in cypressino loculo positum lectuloque impositum, pretiosis vestibus regioque cultu ornatum, in urbem invexerunt; ac cum canticis ad sacram usque apostolorum aedem pompa deduxerunt, eius quoque fratribus illic funus comitantibus, tumuloque condiderunt.

2. Post haec vero idem imperator eundem magistrum militiae Andream cum Ioanne Hagiopolita, viro valde erudito ac qui cursus publici

τοῦ δρόμου γεγονότι, ἐν τῇ ἁγίᾳ Σοφίᾳ ἀπέστειλεν, οἳ ἐν τῷ ἄμβωνι ἀνελθόντες καὶ τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας πάντων εἰς ἐπήκοον ἀναγνόντες τοῦτον τοῦ θρόνου κατήγαγον, καὶ ὑπερόριον αὐτὸν ἐν τῇ μονῇ τῶν Ἁρμονιανῶν τῇ ἐπονομαζομένῃ τοῦ Βόρδονος ἀνήγαγον. Στέφανον δὲ σύγκελλον τὸν αὐτοῦ ἀδελφὸν πατριάρχην προβάλλεται, ὑπὸ Θεοφάνους χειροτονηθέντα τοῦ
B *πρωτοθρόνου. ἔζησεν δὲ πατριαρχῶν ἔτη ἓξ καὶ μῆνας πέντε, καὶ τελευτήσας θάπτεται ἐν τῇ μονῇ Σικεῶν.*

3. *Ὁ δὲ βασιλεὺς τὸν Ζαοῦτζαν Στυλιανὸν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου προβάλλεται.*

4. *Προεδόθη δὲ ἡ πόλις ἡ ἐπώνυμος Ὑψηλή, καὶ ᾐχμαλωτίσθησαν ὑπὸ τῶν Ἀγαρηνῶν πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. γέγονε δὲ καὶ μέγας ἐμπρησμὸς πλησίον τῶν Σοφιῶν, καὶ ἐνεπρήσθη καὶ ὁ ναὸς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὃν ὁ βασιλεὺς Λέων λαμπρῶς ἀνεκαίνισεν.*

5. *Ἀποστείλας δὲ ὁ βασιλεὺς εἰς Εὐχάϊταν Θεόδωρον τὸν*
C *Σανδαβαρηνὸν ἐν τῇ πόλει εἰσήγαγεν· Ἀνδρέας δὲ ὁ δομέστικος τῶν σχολῶν καὶ Στέφανος ὁ μάγιστρος τῆς Καλομαρίας, οἱ πολλὰ πρὸς Βασίλειον διαβληθέντες ὑπὸ τοῦ Σανδαβαρηνοῦ, ὑπέθεντο τῷ βασιλεῖ ὡς βουληθεὶς Φώτιός τε καὶ Θεόδωρος ὁ Σανδαβαρηνὸς βασιλέα ἐκ συγγενῶν Φωτίου ποιήσασθαι. προσέταξε δὲ ὁ βασιλεύς, καὶ ἄμφω ἐν τοῖς παλατίοις ἤγαγον τῶν Πηγῶν, καὶ*

20 *βουληθείη?*

logotheta exstiterat, ad S. Sophiae misit. qui ambone conscenso, relictisque in omnium auribus Photii patriarchae accusationis capitibus, eum e sede expulerunt inque Armonianorum monasterium, quod Bordonis vocant, exsulem relegarunt. Stephanum autem fratrem suum syncellum Leo patriarcham praeficit, ordinationis manus impendente Theophane primae sedis antistite. vixit autem in patriarchatu annos sex et menses quinque: vita functus in Siceorum tumulatur monasterio.

3. Imperator Zautzam Stylianum magistrum praefecit ac cursus publici logothetam.

4. Proditione capta urbs Hypsele dicta, eiusque omnes incolae ac cives ab Agarenis ducti in captivitatem. sed et ingenti prope Sophias excitato incendio, ipsa quoque S. Thomae apostoli sacra aedes ambusta, quam Leo imperator postmodum magnifice instauravit.

5. Missis imperator Euchaitam apparitoribus Theodorum Santabarenum in urbem induxit. Andreas vero scholarum domesticus et Stephanus magister Calomariae dictus, multis olim apud Basilium a Santabareno petiti accusationibus, Leoni suggerunt id Photio ac Theodoro fuisse constitutum, ut imperatorem ex Photii gente eiusque cognatis crearent. iussit itaque imperator, ambosque ad regias in Pegis aedes addu-

ἰδίᾳ φρουρεῖσθαι διεκελεύσατο. ἀπεστάλησαν δὲ διαγνώμονες τῶν κατ' αὐτῶν κινουμένων αὐτός τε ὁ μάγιστρος Στέφανος καὶ ὁ δομέστικος Ἀνδρέας καὶ ὁ Κρατερὸς καὶ ὁ Γοῦμερ πατρίκιοι καὶ D
Ἰωάννης ὁ Ἁγιοπολίτης. ἀγαγόντες οὖν τὸν πατριάρχην Φώτιον καὶ ἐπὶ θρόνου ἐντίμως καθίσαντες, καὶ αὐτοὶ καθεσθέντες, τὴν ἐξέτασιν ἐποιοῦντο. ὁ δὲ δομέστικος Ἀνδρέας ἔφη τῷ πατριάρχῃ "γνωρίζεις, ὦ δέσποτα, ἀββᾶν Θεόδωρον;" ὁ δὲ "ἀββᾶν οὐ γνωρίζω Θεόδωρον." ὁ δὲ Ἀνδρέας "τὸν ἀββᾶν οὐ γνωρίζεις Θεόδωρον τὸν Σανδαβαρηνόν;" καὶ ὁ πατριάρχης "γνωρίζω τὸν μοναχὸν Θεόδωρον ἀρχιεπίσκοπον ὄντα Εὐχαΐτων." ἐνεχθέντος δὲ τοῦ Σανδαβαρηνοῦ, λέγει πρὸς αὐτὸν ὁ Ἀνδρέας "ὁ βασιλεύς σοι δηλοῖ, ποῦ εἰσὶ τὰ χρήματα καὶ τὰ πράγματα τῆς βασιλείας μου;" P 219
ὁ δὲ ἔφη "ὅπου δέδωκεν αὐτὰ ὁ κατὰ τὴν ἡμέραν βασιλεύς· νῦν δὲ ἐπεὶ ταῦτα ὁ βασιλεὺς ζητεῖ, ἐξουσίαν ἔχει τοῦ ἀναλαβέσθαι αὐτά." καὶ ὁ Ἀνδρέας "εἰπέ, τίνα ἐβουλεύου βασιλέα ποιῆσαι τῷ πατρὶ τοῦ βασιλέως ὑποθεὶς τοὺς ὀφθαλμοὺς τὸν ἴδιον ἀποστερῆσαι υἱόν; σὸν συγγενῆ ἢ τοῦ πατριάρχου;" ὁ δὲ εἶπεν "οὐκ οἶδα ταῦτα περὶ ὧν μοι κακηγορεῖτε." λέγει οὖν ὁ μάγιστρος Στέφανος "καὶ πῶς ἐμήνυσας τῷ βασιλεῖ ἐλέγξειν περὶ τούτου τὸν πατριάρχην;" ὁ δὲ παρευθὺ τοῖς ποσὶ τοῦ πατριάρχου προσπεσὼν εἶπεν "ὁρκίζω σε δέσποτα κατὰ τοῦ θεοῦ ἵνα πρότερόν με B
καθαιρήσῃς, καὶ τότε γυμνόν με ὄντα ἱερωσύνης ὡς κακοῦργον ὄντα κολαζέτωσαν· οὐ γὰρ τοιαῦτα τῷ βασιλεῖ ἐδήλωσα." ὁ δὲ

ctos in sua quemque custodia seorsumque servari praecepit. missi cognitores capitum accusationis, magister ipse Stephanus et Andreas domesticus et Craterus et Gumer patricii et Ioannes Hagiopolita. adducto itaque patriarcha Photio, et in sede reverenter collocato, ipsi quoque sedentes causae examen instituunt. tunc Andreas domesticus patriarchae infit "nosti, domine, abbatem Theodorum?" cui ille "abbatem Theodorum non cognosco." ait Andreas "Theodorum abbatem Santabarenum non nosti?" cui patriarcha "Theodorum monachum Santabarenum Euchaitarum archiepiscopum cognosco." tum Santabareno in medium adducto, ait ad eum Andreas "mandat tibi imperator, ubi sunt imperii mei pecuniae bonaque et supellex?" ait ille "ubi illa dedit, qui pro tempore imperium gessit. nunc autem quoniam haec imperator quaerit, licet illi ea recipere." tunc Andreas "dic, oro, quem voluisti imperatorem facere, cum imperatoris patri auctor esses ut filium oculis orbaret? num tibi sanguinis necessitudine coniunctum, an patriarchae?" respondit ille "haec, quae mihi obiicitis crimina, nescio." ad quem magister Stephanus "ecquomodo imperatori significasti te patriarcham eius sceleris reum peracturum?" mox ille, hisce auditis, patriarchae pedibus advolutus "obtestor te, domine, per deum," ait, "ut me prius deiicias ac exauctores, tumque in me omni sacerdotio nudatum, ut maleficum, animadvertant. nec enim eiusmodi aliquid unquam imperatori detuli." tum

πατριάρχης ἔφη "μὰ τὴν σωτηρίαν ἐμῆς ψυχῆς, κῦρι Θεόδωρε, ἀρχιεπίσκοπος εἶ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι." θυμωθεὶς οὖν ἐπὶ τούτοις Ἀνδρέας ἔφη "καὶ οὐκ ἐμήνυσας, ἀββᾶ, τῷ βασιλεῖ δι' ἐμοῦ ἵνα ἐν τούτῳ τὸν πατριάρχην ἐλέγξῃς;" ὁ δὲ ἀπηρνήσατο μηδὲν εἰδέναι. ὑποστρέψαντες οὖν τῷ βασιλεῖ τὰ C λαληθέντα ἀνήγγειλαν· ὁ δὲ βασιλεὺς θυμῷ καὶ ὀργῇ ἀκατασχέτῳ ληφθείς, ὡς μὴ εὔλογον αἰτίαν κατὰ τοῦ πατριάρχου εὑρηκώς, ἀποστείλας ἔτυψε τὸν Σανδαβαρηνὸν σφοδρῶς καὶ ἐξώρισεν ἐν Ἀθήναις. κατόπιν δὲ ἀποστείλας ἐξετύφλωσεν αὐτὸν καὶ ἐξώρισεν εἰς Ἀνατολήν. χρόνων δὲ παρῳχηκότων πολλῶν ἐκ τῆς ἐξορίας αὐτὸν ἀνεκαλέσατο καὶ ἐν τῇ πόλει εἰσήγαγεν, προστάξας σιτηρέσια τοῦτον ἐκ τῆς νέας ἐκκλησίας λαμβάνειν· ὃς καὶ τελευτᾷ ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς τῆς αὐτοῦ μητρός.

6. Ἐν ταῖς ἡμέραις δὲ Λέοντος ὁ Λογγίβαρδος δούξ,
D γαμβρὸς δὲ τοῦ ῥηγὸς Φραγγίας γεγονώς, ἀντῆρε τῷ βασιλεῖ καταστασιάσας καὶ πᾶσαν τὴν χώραν ὑφ' ἑαυτῷ ποιησάμενος. τοῦτο γνοὺς ὁ βασιλεὺς Κωνσταντῖνον τὸν τῆς τραπέζης σὺν πᾶσι τοῖς δυτικοῖς ἐξαπέστειλεν θέμασιν ὥστε καταπολεμῆσαι Ἐγίωνα. συμβολῆς δὲ γενομένης οἱ μετὰ Κωνσταντίνου ἡττήθησαν καὶ κατεσφάγησαν, μόγις ἐκείνου περισωθέντος. γέγονε δὲ τηνικαῦτα καὶ ἡλιακὴ ἔκλειψις, ὥρᾳ τῆς ἡμέρας ἕκτῃ, ὥστε καὶ τοὺς ἀστέρας φαίνεσθαι, ἀνέμων τε βιαία φορὰ καὶ ἀστραπαὶ καὶ βρονταί,

11 αὐτοῦ P, αὐτὸν margo.

patriarcha "per salutem animae meae, domine Theodore, archiepiscopus es, tum in saeculo hoc tum in futuro." ad haec Andreas ira concitus "nonne meo ipsius ore, abba, eius te criminis reum peracturum Photium significasti?" cui ille rursus scire se aliquid negavit. reversi itaque nuntiant quae illa cognitione essent interlocuti. imperator ira percitus effrenique furore subactus, ut qui probabile adversus patriarcham crimen nullum nactus esset, Santabarenum acriter verberari iubet, tumque Athenis exsulare. post eum vero mittens oculis orbavit et in Asiam relegavit. multis autem exactis annis ab exsilio revocatum in urbem induxit, annonasque illi ex novae ecclesiae censu constituit. porro diem obiit Constantino et Zoe illius matre imperatoribus.

6. Leonis temporibus Longobardiae dux, qui gener (i. e. affinis) regis Franciae fuit, adversus imperatorem rebellionem movit, ab eoque deficiens regionem omnem suae dicionis fecit. imperator eius certior factus Constantinum mensae praepositum cum occidentalis tractus legionibus omnibus ad debellandum Egeonem misit. conserta autem pugna Constantini victus exercitus est et ad internecionem deletus, adeo ut vix ipse a clade Constantinus superstes exstiterit. contigit vero tunc etiam solaris eclipsis, diei hora sexta, ita ut et stellae in caelo apparerent.

ὥστε καὶ ἐν τοῦ φόρου ἀναβαθμοῖς τοῦ ἁγίου Κωνσταντίνου ἀνθρώπους κεραυνωθῆναι ἑπτά.

7. Ἐπολιορκήθη δὲ ὑπὸ Ἀγαρηνῶν ἡ Σάμος, συμπαρα- P 220
ληφθέντος καὶ τοῦ στρατηγοῦντος ἐν αὐτῇ Πασπαλᾶ. Λέων δὲ ὁ βασιλεὺς βασιλεοπάτορα τὸν Ζαούτζαν τιμᾷ, αὐτὸς καινουργήσας τὸ ὄνομα· ἤδη γὰρ Ζωῇ τῇ αὐτοῦ θυγατρὶ συνεφιλιώθη, τοῦ ταύτης ἀνδρὸς Θεοδώρου, ᾧ Γουνιατζίτζης ἐπώνυμον, ἀναιρεθέντος φαρμάκῳ.

8. Στεφάνου δὲ πατριάρχου τὸν βίον ἀπολιπόντος, Ἀντώνιος ὁ τὴν ἐπωνυμίαν Καυλέας πατριάρχης ἀντ᾽ αὐτοῦ προχειρίζεται.

9. Ἀγγελία δὲ κατέλαβεν ὡς ὁ ἄρχων Συμεὼν Βουλγαρίας
βούλεται κατὰ Ῥωμαίων ἐκστρατεύσασθαι, πρόφασιν ἔχων τῆς B
μάχης ταύτην. εὐνοῦχον εἶχε δοῦλον ὁ βασιλεοπάτωρ Ζαούτζας· Μουσικὸς ἦν ὄνομα τούτῳ. οὗτος συνεφιλιώθη ἀνδράσιν ἐμπορικοῖς καὶ φιλοκερδέσι καὶ φιλοχρύσοις, ἐξ Ἑλλάδος οὖσι, Σταυρακίῳ τε καὶ Κοσμᾷ· οἵ τινες μεσιτείᾳ τοῦ Μουσικοῦ κερδαίνειν βουλόμενοι τὴν μετὰ Βουλγάρων πραγματείαν ἐν τῇ πόλει ἐν Θεσσαλονίκῃ μετέστησαν, κακῶς κουμερκεύοντες τοὺς Βουλγάρους. τῶν δὲ Βουλγάρων ταῦτα τῷ Συμεὼν ἀναγγειλάντων, αὐτὸς δῆλα ταῦτα τῷ βασιλεῖ κατέστησε Λέοντι. ὁ δὲ πάντα ὡς λῆρον ἐλο-
γίζετο, τῇ πρὸς Ζαούτζαν προσπαθείᾳ νικώμενος. μανεὶς οὖν ὁ C
Συμεὼν ἦρε κατὰ τῶν Ῥωμαίων τὰ ὅπλα. ὁ δὲ βασιλεὺς τὸν

tantaque ventorum vis ac turbo fuit fulguraque et tonitrua, ut et septem viri in gradibus Fori S. Constantini e caelo tacti perierint.

7. Expugnata ab Agarenis Samus est, una quoque Paspala praetore in eo comprehenso. Leo autem imperator Zautzam imperatoris patrem, novo abs se dignitatis titulo excogitato, appellat. iam enim secreto amore Zoes eius filiae flagrabat, viro illius Theodoro, cognomento Guniazitze, veneno sublato.

8. Stephano patriarcha vivis exempto, in eius locum praeficitur Antonius cognomento Cauleas.

9. Venit nuntius rumorque percrebuit, Symeonem Bulgarorum principem expeditionem moliri adversus Romanos, ea scilicet praetexta causa. Zautzas imperatoris pater servum eunuchum habebat, Musicum nomine. iunxerat hic amicitias cum Stauracio et Cosma, viris mercatoribus, lucrique ac auri cupidis, Attica oriundis. hi porro Musici auctoritate freti, maioris quaestus gratia, quod in urbe cum Bulgaris commercium erat, Thessalonicam transferunt et graviora vectigalia a mercatoribus Bulgaris exigunt. Bulgari de iniuria Symeoni expostulant: ipse vicissim eorum querelas per nuntium Leoni exponit. is vero ob benevolentiam qua Zautzam prosequebatur, cuncta haud secus ac nugas sprevit. Symeon ergo furore actus arma adversus Romanos sumit. rescivit

Κρηνίτην ἀποστέλλει κατ' αὐτοῦ στρατηλάτην ὄντα, λαῷ πολλῷ καὶ ἄρχουσι καθοπλίσας αὐτόν. συμβολῆς δὲ ἐν Μακεδονίᾳ γενομένης ἡττῶνται Ῥωμαῖοι, καὶ κατασφάττεται αὐτός τε ὁ Κρηνίτης καὶ ὁ Ἀρμένιος Κουρτίκης καὶ ἄλλοι πολλοί. ἐπεὶ δὲ καὶ Χαζάρους κατέσχεν ὁ Συμεὼν τῶν ἐκ τῆς ἑταιρείας τοῦ βασιλέως Λέοντος, τὰς αὐτῶν ῥῖνας ἀποτεμὼν εἰς αἰσχύνην τῶν Ῥωμαίων ἐν τῇ πόλει ἀπέστειλεν· οὓς ἰδὼν ὁ βασιλεύς, καὶ θυμοῦ πλησθείς,
D Νικήταν τὸν ὀνομαζόμενον Σκληρὸν ἐν τῷ Δανουβίῳ ποταμῷ μετὰ δρομώνων ἐξαπέστειλεν, δοῦναι δῶρα τοῖς Τούρκοις ὥστε τὸν Συμεὼν καταπολεμῆσαι. ὁ δὲ τούτοις συντυχὼν καὶ πείσας κατὰ Συμεὼν ὅπλα ἄρασθαι, ὁμήρους λαβὼν παρ' αὐτῶν πρὸς βασιλέα ὑπέστρεψεν. ὁ δὲ βασιλεὺς διά τε γῆς καὶ θαλάττης διέγνω τοὺς Βουλγάρους πολεμεῖν. καὶ διὰ μὲν θαλάσσης Εὐστάθιον δρουγγάριον ἀποστέλλει, διὰ γῆς δὲ πατρίκιον Νικηφόρον τὸν Φωκᾶν, δομέστικον τῶν σχολῶν μετὰ τὴν τελευτὴν Ἀνδρέου γενόμενον.
P 221 ὧν μέχρι Βουλγαρίας καταλαβόντων, ὁ βασιλεὺς τὸν κυαίστωρα Κωνσταντινάκιν πρὸς Συμεὼν ἐξαπέστειλεν, ἔτι τὴν εἰρήνην στέργων καὶ βουλόμενος σπείσασθαι πρὸς αὐτόν· ὃν Συμεὼν κατασχὼν ἐν φρουρᾷ κατακλείει, δόλῳ πρὸς αὐτὸν ὑποπτεύσας παραγενέσθαι. τοῦ Συμεὼν οὖν ἐπὶ τὸ στράτευμα Νικηφόρου ἀσχολουμένου, οἱ Τοῦρκοι καταδραμόντες πᾶσαν τὴν Βουλγαρικὴν ἐληΐσαντο γῆν. ὁ Συμεὼν ἐκμαθὼν κατὰ τῶν Τούρκων ἐτράπετο. οἱ δὲ ἀντιπεράσαντες πόλεμον πρὸς Βουλγάρους συμβάλλουσι καὶ

imperator, Crinitemque magistrum militiae ingenti exercitu procerumque numero constipatum adversus illum mittit. concurrentibus aciebus in Macedonia victi Romani, occisus ipse Crinites et Curtices Armenius ac alii multi. quod vero Symeon etiam Chazaros Leoni imperatori foederatos inter spolia ceperat, amputatis eorum naribus Romanorum probro in urbem eos remisit. spectaculi indignitate ira totus effervescens imperator, Nicetam cognomento Sclerum (Durum dicas) cum celocibus ad Danubium fluvium mittit, qui Turcos oblatis muneribus adversus Symeonem eiusque debellandi causa conducat. Nicetas ubi in colloquium venit, Turcosque et ipsos ad bellum adversus Symeonem induxit, acceptis etiam ab eis obsidibus ad imperatorem rediit. imperator terra marique urgendum Bulgaricum bellum constituit; ac mari quidem Eustathium drungarium mittit, terra autem Nicephorum Phocam patricium, exstincto Andrea, scholarum domesticum. ad Bulgariam usque copiae venerant, cum imperator Constantinacium quaestorem ad Symeonem misit, adhuc pacem ambiens ac cum eo foedus percutere volens. Symeon comprehensum legatum in carcere tenuit, secum dolo agi existimans. dum itaque Symeon Nicephori copiis aciem opponit, omnem Turci Bulgaricam dicionem late vastant ac diripiunt. audivit Symeon, adversumque Turcos vertit impetum. Turci iterum traiecto amne, conserta cum Bulgaris

νικῶσι τούτους κατὰ κράτος, ὡς μόλις τὸν Συμεὼν ἐν τῇ Δίστρᾳ περισωθῆναι. ᾐτήσαντο οὖν οἱ Τοῦρκοι τὸν βασιλέα τοὺς Βουλ- B γάρων αἰχμαλώτους ὠνήσασθαι· ὃ δὴ καὶ πεποίηκεν, τοὺς πολίτας ἐξαποστείλας εἰς τὴν τούτων ἐξώνησιν. ὁ δὲ Συμεὼν δι' Εὐσταθίου δρουγγαρίου τὸν βασιλέα περὶ τῆς εἰρήνης ἱκέτευεν· πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεύς, καὶ τὸν Χοιροσφάκτην Λέοντα πρὸς τὸ ταύτην ποιήσασθαι ἐξαπέστειλεν. ὁ δὲ δομέστικος Νικηφόρος καὶ ὁ δρουγγάριος Εὐστάθιος ὑποστρέψαι μετὰ λαοῦ ἐκελεύσθησαν. Λέοντα δὲ Χοιροσφάκτην οὐδὲ λόγου ἠξίωσεν ὁ Συμεών, ἀλλ' ἐν εἱρκτῇ ἐστραγγαλίσατο. ἐκστρατεύσας δὲ κατὰ τῶν Τούρκων πάντας κατέσφαξεν, μὴ δυνηθέντας παρὰ Ῥωμαίοις βοήθειαν δέξασθαι. ὑποστρέψας δὲ ἐπὶ τῇ νίκῃ γαυριῶν πρὸς τὸν Λέοντα C ἔφη "εἰ μὴ πρότερον πᾶσαν τὴν αἰχμαλωσίαν Βουλγάρων λάβω, εἰρήνην οὐ ποιῶ." ἐπένευσεν οὖν ὁ βασιλεὺς ταύτην ἀποδοῦναι. ἦλθεν οὖν μετὰ Λέοντος ὁ Βούλγαρος Θεόδωρος, οἰκεῖος ὢν τῷ Συμεών, καὶ παρέλαβεν αὐτούς.

10. Τοῦ δὲ δομεστίκου Νικηφόρου πρὸς τοῦ βασιλέως ἐξόχως ἀγαπωμένου, ὁ βασιλεοπάτωρ Ζαούτζας τοῦτον ὡς δυνάστην προεβάλλετο, γαμικὸν μετ' αὐτοῦ ποιῆσαι συνάλλαγμα βουλόμενος. τοῦ δὲ πρὸς τοῦτο ἀπαναινομένου, μήποτε δῷ ὑπόνοιαν τῷ βασιλεῖ Λέοντι, μανεὶς ἐπὶ τούτῳ ὁ Ζαούτζας αἰτίας ἐκίνησε D κατ' αὐτοῦ καὶ τῆς ἀρχῆς τοῦτον μετέστησεν. προεβλήθη δὲ ἀντ' αὐτοῦ δομέστικος τῶν σχολῶν ὁ μάγιστρος Καταλκαλών. ἐπὶ πολὺ

10 ἠστρηλίσατο P, ἐστραγγαλίσατο margo.

acie, eos penitus profligant, ita ut Symeon Distram incolumis vix evaserit. victores Turci ab imperatore exposcunt ut Bulgarorum captivos redimat. praestitit ille, cives mittens qui redimerent. porro Symeon Eustathii drungarii opera pacem supplex imperatorem rogat. annuit in eam imperator, Leonem Choerosphactem ad eam componendam mittens. Nicephorus domesticus et Eustathius drungarius redire iussi cum copiis. Symeon Leonem Choerosphactem nec alloquio dignatus stringit in carcere. expeditione vero in Turcos suscepta omnes iugulavit, cum eis nulla ex Romanis auxilia licuisset accipere. reversus Symeon pro victoria ferociens, Leoni denuntiat nulla se pacis foedera admissurum, nisi Bulgaros omnes captivos ante receperit. annuit imperator, ac reddendos captivos consentit. venit itaque Theodorus Bulgarus Symeonis domesticus cum Leone, eosque recepit.

10. Nicephorus domesticus eximie carus imperatori erat. hunc Zautzas imperatoris pater ceu virum potentatum obtinentem ad id munus provexerat, nuptiarum cum illo commercia ambiens. verum respuit ille, ne quam forte Leoni imperatori de se suspicandi occasionem praeberet. ea re furiis actus Zautzas crimina in eum intentans dignitate spoliat. eius loco scholarum domesticus provectus magister Catacalo.

δὲ σχολάσας ὁ Νικηφόρος αὖθις στρατηγὸς ἐν τῷ τῶν Θρᾳκησίων θέματι προχειρίζεται. πολλὰς δὲ καὶ γενναίας ἀνδραγαθίας διὰ πάσης αὐτοῦ ἐν τοῖς πολέμοις καταπραξάμενος βιοτῆς, καὶ πολλὰ κατὰ τῶν Ἀγαρηνῶν καὶ τῶν ἄλλων ἐθνῶν στησάμενος τρόπαια, τελευτᾷ τὸν βίον ἐν γήρᾳ καλῷ, υἱοὺς καταλιπὼν Βάρδαν καὶ Λέοντα, ὧν ὁ Βάρδας οἰκειότατος ὢν τῷ βασιλεῖ Λέοντι ἐστέργετό τε καὶ ἠγαπᾶτο καὶ δουλείαις ἐξυπηρετεῖτο ταῖς ἀνηκούσαις
P 222 *τῷ βασιλεῖ. ὁ δὲ βασιλεύς, καθὼς εἴρηται, τὸν Κατακαλὼ προχειρισάμενος εἰς δομέστικον κατὰ τοῦ Συμεὼν τοῦτον ἐξαποστέλλει, συνεξαποστείλας αὐτῷ καὶ Θεοδόσιον πατρίκιον καὶ πρωτοβεστιάριον. διαπερασάντων δὲ πάντων τῆς ἀνατολῆς θεμάτων τε καὶ ταγμάτων, καὶ πολέμου μετὰ Βουλγάρων συγκροτηθέντος περὶ τὸ Βουλγαρόφυγον, τρέπονται Ῥωμαῖοι κακῶς, καὶ πάντες ἀπώλοντο· οἷς συναπώλετο καὶ ὁ πρωτοβεστιάριος Θεοδόσιος. ἐπὶ τούτου καὶ οἱ τῆς Χερσῶνος οἰκήτορες τὸν αὐτῶν ἀπέκτειναν στρατηγὸν Συμεὼν τὸν τοῦ Ἰωνᾶ. παρελήφθη δὲ καὶ τὸ Κόρον ἐν τῇ Καππαδοκίᾳ ὑπὸ τῶν Ἀγαρηνῶν.*

B **11.** *Ὁ δὲ βασιλεὺς εἰς τὰ Δαμιανοῦ ἐξελθὼν εἶχεν μεθ' ἑαυτοῦ καὶ τὴν Ζωὴν τὴν τοῦ Ζαούτζα θυγατέρα καὶ αὐτὸν τὸν Ζαούτζαν. Θεοφανὼ δὲ ἡ τοῦ βασιλέως γαμετὴ οὐ παρῆν ἐκεῖσε, ἀλλ' ἐν τῇ ἁγίᾳ σορῷ τῇ ἐν Βλαχέρναις προσεκαρτέρει εὐχομένη. δόξαν δὲ τῷ βασιλεῖ μεῖναι ἐν τοῖς Δαμιανοῦ, συμβούλιον οἱ τοῦ Ζαούτζα ποιησάμενοι, ὅ τε υἱὸς αὐτοῦ ὁ Ταύτζης καὶ οἱ λοιποί, τῇ νυκτὶ τὸν βασιλέα διαχειρίσασθαι ἐβουλεύσαντο. ἡ δὲ Ζωὴ*

post longam vacationem Nicephorus iterum dux in Thracesiorum themate constituitur; multisque, quoad vixit, egregie fortiterque bello gestis, nec paucis adversus Agarenos gentesque alias erectis tropaeis, in senectute bona diem obiit, Barda et Leone liberis relictis, quorum prior Leoni imperatori familiaris illi carissimus erat eiusque ministeria strenuus obibat. imperator itaque, uti dictum est, Catacalonem creatum domesticum adversus Symeonem mittit, cui etiam Theodosium patricium ac protovestiarium comitem adiunxit; cunctisque Asiae cohortibus ac ordinibus traductis, collatis signis cum Bulgaris ad locum (quem vocant) Bulgarophygum, Romani male funduntur omnesque internecioni dantur, ipso etiam patricio ac protovestiario Theodosio desiderato. inter haec etiam Chersonitae ducem suum Ionae filium Symeonem occiderunt, Agareni in Cappadocia Corum ceperunt.

11. Imperator ad Damiani aedes egressus Zoem Zautzae filiam secum habebat ac ipsum Zautzam. Theophano autem imperatoris uxor iis solenniis non intererat, sed ad sanctum loculum in Blachernis precibus assidua erat. visum imperatori in illis aedibus morarum aliquid trahere. Zautzae affines, tum scilicet eius filius Tautzes tum reliqui, consilium ineunt ut imperatorem noctu interimant. at Zoe in imperatoris sinu

τῷ βασιλεῖ συγκαθεύδουσα καὶ τὸν θροῦν ἐνωτισθεῖσα, διὰ τῆς θυρίδος προκύψασα κατεσίγασεν. ὡς δὲ τοῦ δεινοῦ τῆς ἐπιβουλῆς ᾔσθετο ἀκριβῶς, τὸν βασιλέα διυπνίσασα τὸ πραττόμενον κατεσήμανεν· ὃς ἐν πλοίῳ εὐθὺς εἰσελθὼν εἰς Πηγὰς διεπέρασεν, πάντας C ἐκεῖσε καὶ αὐτὸν τὸν Ζαούτζαν καταλιπών. ταχὺ δὲ πρωῒ εἰς τὸ παλάτιον εἰσελθὼν Ἰωάννην μὲν τὸν βίγλης δρουγγάριον διεδέξατο, Πάρδον δὲ υἱὸν Νικολάου ἑταιρειάρχου ἀντ' αὐτοῦ προεβάλετο· ὁ γὰρ Νικόλαος οὗτος φίλος ἦν τῷ βασιλεῖ καὶ πιστός, καὶ [περὶ] τὰ ἀπόρρητα πάντα τοῦ Ζαούτζα δῆλα τούτῳ καθίστη καὶ ἔκπυστα. ἔκτοτε οὖν ὁ βασιλεὺς εἰς τὸ τοῦ Ζαούτζα κελλίον οὐκ εἰσήρχετο, εἰ μὴ Λέων ὁ μάγιστρος, ᾧ Θεοδοτάκης ἐπώνυμον, τούτους ἀλλήλοις διήλλαξεν.

12. Τελευτᾷ δὲ Αὐγοῦστα Θεοφανὼ ἔτη βασιλεύσασα D δώδεκα, ἥτις καὶ θαυματουργὸς ἀνεδείχθη, ἀνωτέρα τοῦ τῆς ζηλοτυπίας πάθους φανεῖσα καὶ πρᾴως τὴν παρευδοκίμησιν ὑπενεγκοῦσα Ζωῆς, καὶ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς τὸν ἅπαντα βίον διανύσασα.

13. Στέφει Λέων ὁ βασιλεὺς τὴν θυγατέρα τοῦ Ζαούτζα Ζωήν, καὶ εὐλογεῖται παρὰ τοῦ κληρικοῦ τοῦ παλατίου, ᾧ ἐπίκλην Σινάπης. ὁ μὲν οὖν εὐλογήσας καθῃρέθη, ἡ δὲ ἔτος ἓν καὶ μῆνας ὀκτὼ βασιλεύσασα ἐτελεύτησεν. λάρνακα δὴ ἐφεῦρον ἐφ' ᾧ ἀποτεθῆναι τὸ σῶμα αὐτῆς ἐν αὐτῇ, ἥτις τοιάνδε εἶχεν ἐγκεκολαμμένην P 223 γραφὴν "θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος."

dormiens, audito murmure, per fenestram aspectans silentium indicebat. perspectoque clare insidiarum periculo, suscitans imperatorem insidias indicavit. statim ergo in navigium ingressus Pegas transfretavit, cunctis ibi, ac ipso Zautza, relictis. statimque mane in palatium veniens, Ioanne excubiarum drungario ab officio remoto Pardum Nicolai heteriarchae filium ei muneri praefecit: is namque Nicolaus imperatori amicus propensaque in eum fide Zautzae arcana omnia ac consilia ei detegebat. ex tunc igitur imperator in Zautzae cubiculum non introibat, donec Leo magister, cognomento Theodotaces, ambos reconciliasset.

12. Moritur Theophano Augusta, annos duodecim imperio potita, atque post mortem miraculorum gloria claruit; quae nimirum zelotypiae affectu superior fuisset, Zoesque spretionem placide tulisset, ac vitam omnem eleemosynis atque precibus assidua egisset.

13. Coronat Leo imperator Zoem Zautzae filiam, et a quodam clerico palatino, cognomento Sinapes, pro nuptiarum corollis benedictione donatur. benedictionis minister officio depositus est. Zoe cum annum unum ac menses octo in imperio vixisset, fatis functa est. inventa urna in quam eius cadaver inferretur, in haec verba ac sententiam caelata, "filia Babylonis misera."

14. Διεβλήθησαν δὲ τῷ βασιλεῖ Μουσικὸς καὶ Σταυράκιος, ὡς παρὰ τῶν στρατηγῶν δῶρα λαμβάνοντες, ἀλλὰ καὶ παρὰ τῶν ἀρχόντων, μεσιτεύουσι τούτοις τῷ βασιλεοπάτορι. καί ποτε τοῦ Σταυρακίου μετὰ γραμμάτων τινὸς τῶν στρατηγῶν εἰς τὸν βασιλεοπάτορα εἰσεληλυθότος, ὡς εἶδεν αὐτὸν ὁ βασιλεὺς ἐν τῷ ἡλιακῷ ἑστηκώς, κατόπιν αὐτοῦ εἰσῆλθεν καὶ τοῦ τένοντος αὐτὸν λαβόμενος ἔξω ἐξήγαγεν ὡς δῆθεν περὶ τῶν στρατηγῶν ἐρωτήσων,
B καὶ εἰς τὸ Μονόθυρον ἀγαγὼν καὶ τὰ γράμματα ἐξάρας ἀπεσφενδόνησε τοῦτον καὶ τοῖς προστυχοῦσιν ἔδωκεν τοῦ παλατίου ἐξαγαγεῖν καὶ μοναχὸν ἀποκεῖραι. μαθὼν δὲ τοῦτο ὁ Μουσικὸς ἐν ἀπογνώσει γέγονεν. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἔνθα ὁ Μουσικὸς παρίστατο τῷ Ζαούτζᾳ, τοῦτον παρὰ τὸν τράχηλον ὠθήσας ἐξήγαγεν, διορισάμενος Χριστοφόρον κοιτωνίτην ἐν τοῖς Στουδίοις ἀποκεῖραι αὐτόν. μετ' ὀλίγον δὲ Ζαούτζας τελευτᾷ ἐν τῷ παλατίῳ, καὶ διὰ τοῦ Βουκολέοντος κατενεγκόντες αὐτὸν ἐν τῇ μονῇ τοῦ Καυλέου κατέθαψαν.

C 15. Συμφιλιοῦται δὲ ὁ ἐπείκτης Βασίλειος τῷ κουβικουλαρίῳ Σαμωνᾷ τῷ ἐξ Ἀγαρηνῶν, τοῦ τῆς βασιλείας ὀρεγόμενος ἀξιώματος. ἐθάρρησεν δὲ τῷ Σαμωνᾷ ὅτι τῆς θείας ἡμῶν τελευτησάσης Ζωῆς ἑτέρᾳ γυναικὶ πάντως ὁ βασιλεὺς συζευχθήσεται, καὶ ἡμᾶς ἐκποδὼν καταστήσει. δὸς οὖν μοι λόγον ὡς φυλάξεις τὸ ἀπόρρητον, κἀγώ σοι πάντα θαρρήσω τὰ ὑφ' ἡμῶν βουλευόμενα. ὁ δὲ τοῦτο πεποιηκὼς πᾶσαν παρ' αὐτοῦ τὴν συσκευὴν

14. Porro delati sunt apud imperatorem Musicus et Stauracius, tanquam qui munera a ducibus ac magistratibus acciperent et apud imperatoris patrem per sordes intercederent. ac vero ingresso quandoque Stauracio ad imperatoris patrem cum ducum alicuius libello, ubi eum imperator in solari horologio stans aspexit, hominem pone secutus est cerviceque apprehensum foras eduxit, tanquam nimirum de ducibus quaestionem habiturus; trahensque ad Monothyrum, ablatisque tabulis, hominem excussit; ac iis qui forte aderant, palatio educendum atque in monachum detondendum, dedit. id vero ut cognovit Musicus, desperatione agi suisque rebus diffidere coepit. ingressus itaque imperator, ubi ille Zautzae adstabat, collo apprehensum trudens expulit, ac Christophoro cubiculario in Studianis detonderi praecepit. haud multo post Zautzas in palatio moritur, elatumque eius funus per Bucoleonem in Cauleae monasterio deponitur.

15. Basilius imperialis exactor seu compulsor amicitia iungitur Samonae cubiculario, Agarenorum prosapia sato, imperii scilicet cupidine incensus. concepta ergo fiducia mentem aperit, aitque "defuncta nunc Zoe, amita nostra, fiet prorsus ut imperator aliam uxorem ducat nosque omnes e medio tollat. verum mihi fidem obstringito, arcanum te servaturum; tum ego omne tibi nostrum consilium credam." quod cum ille

ἐδιδάσκετο. ὁ δὲ Σαμωνᾶς εἰς βασιλέα εἰσελθὼν ἔφη "θέλω σοί τι, δέσποτα, ἰδίᾳ εἰπεῖν, ὅπερ ἐμοὶ μὲν λεγόμενον θάνατον προξενεῖ, σοὶ δὲ σιωπώμενον." καὶ διεξῆλθε πρὸς τὸν βασιλέα πᾶσαν Βασιλείου ἐπιβουλήν. τοῦ δὲ βασιλέως τοῖς ῥηθεῖσι διαπιστήσαν- D τος, καὶ εἰπόντος μήποτε ὡς ἐξ ὑποβολῆς τινὸς ταῦτα εἰρήκει, ὁ δὲ Σαμωνᾶς "εἰ βούλει πληροφορηθῆναι" φησιν, "οὓς βούλει εἰς τὸ ἐμὸν κελλίον ἀπόστειλον, καὶ ἀποκρύψω τούτους ἐν ἀποκρύφῳ, καὶ ὅσα παρὰ Βασιλείου καὶ παρ᾽ ἐμοῦ λέγωνται, γράψωσι, καὶ τηνικαῦτα βεβαιωθήσῃ ὡς οὐδὲν ψεῦδός ἐστι τῶν παρ᾽ ἐμοῦ σοι ῥηθέντων." ἀποστέλλει οὖν ὁ βασιλεὺς Χριστοφόρον πρωτοβεστιάριον ἅμα Καλοκῦρι κοιτωνίτῃ· οἳ ἐν τῷ τοῦ Σαμωνᾶ κελλίῳ ἀνελθόντες ἐκρύβησαν. ὁ δὲ Σαμωνᾶς τὸν Βασίλειον δελεάσας P 224 καὶ λόγον ἔνορκον δοὺς ἔπεισε πάλιν πᾶσαν αὐτῷ τὴν ἐπιβουλὴν φανερῶς ἐξειπεῖν καὶ τοὺς μετ᾽ αὐτοῦ βουλευομένους· ἅπερ Καλοκῦρις καὶ Χριστοφόρος ἀκούοντες διὰ γραφῆς ἐσημήναντο. τούτων δὲ ἀριστευόντων οὗτοι κατελθόντες τὴν γραφὴν τῷ βασιλεῖ ὑπεσήμηναν καὶ ἀνέγνωσαν. καὶ παρευθὺ Βασίλειον μὲν προσκαλεσάμενος δέδωκε μιλιαρήσια χιλιάδας κδ΄ ὡς δῆθεν ψυχικὰ τῆς αὐτοῦ θείας Ζωῆς ὁρισθέντα, καὶ ἐν Μακεδονίᾳ ἀπέστειλεν· Πάρδον δὲ δρουγγάριον τῆς βίγλης αὐτῷ κεκοινωνηκότα πρὸς τὸν Στυπιώτην ἀποστέλλει τοῦ δῆθεν ἀγαγεῖν αὐτόν, ὃς προμηνυθεὶς B διὰ βασιλικῆς γραφῆς τοῦτον ἐδέσμευσεν· Νικόλαον δὲ ἑταιρειάρχην τῆς πόλεως ἐξήγαγεν. ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασίλειον

fecisset, omnem ab eo discit conspirationem. Samonas vero ad imperatorem ingressus "est" inquit, "domine, quod tibi secreto loquar, res scilicet eiusmodi, quae si dicatur, mihi quidem interitum, sin taceatur, certum tibi exitium afferet," omnemque imperatori machinationem narravit. cumque imperator haud satis delationi fidem accommodaret, secumque ambigeret num forte cuiusdam suasu haec ille locutus esset? ait ad eum Samonas: "si rem plenius scire desideras, mitte domum quos libuerit, ut in cubiculi angulo latentes omnia conscribant, quae ambo pariter loquemur; inque eum modum nihil me falso locutum esse omnino intelliges." mittit itaque imperator Christophorum protovestiarium una cum Calocyri cubiculario; ingressique in Samonae cubiculo delitescunt. tum Samonas Basilio obblandiens, iurataque fide sibi eum obstringens, omnem rursus suadet machinationem clare detegere ac coniuratos referre. audita Calocyris et Christophorus scripto annotarunt; illisque prandentibus se cubiculo subducentes scripturam imperatori subscriptione sua munitam legerunt. Basilium confestim accersit imperator, datque vigintiquattuor milia nummorum miliarensium in amitae Zoes animae levamen legata, inque Macedoniam perferre iussit. Pardum excubiarum drungarium coniurationis socium, ad Stupiotem mittit, velut eum adducturum; quem ille imperatoris diplomate praemonitus in vincula compegit. Nicolaum hetaeriarcham solerter urbe eiecit. Basilium ex Macedonia revo-

καὶ ἀνακρίνας αὐτὸν καὶ τύψας σφοδρῶς καὶ τρίχας αὐτοῦ καταφλέξας καὶ ἐν μέσῃ θριαμβεύσας τῇ πόλει ἐν Ἀθήναις ἐξώρισεν. πάντας δὲ τοὺς μαγίστρους καὶ τοὺς ἐν τέλει ὁ βασιλεὺς προσκαλεσάμενος ἐνώπιον αὐτῶν τὰ ὑπὸ Σαμωνᾶ μηνυθέντα ἀνέγνω. οἱ δὲ τοῦτον ὑπερεπήνεσαν ὡς τῆς τοῦ βασιλέως παραίτιον καταστάντα ζωῆς, καὶ ἄξιον μεγίστης εἶναι τιμῆς προσειρήκασιν. ὁ δὲ C τοῦτον παρευθὺ τῇ τοῦ πρωτοσπαθαρίου τιμῇ ἠξίωσεν καὶ οἰκεῖον ἑαυτῷ κατεστήσατο.

16. Ἐτελεύτησεν δὲ ὁ πατριάρχης Στέφανος, καὶ ἀντ' αὐτοῦ πατριάρχης ὁ μυστικὸς ἐχειροτονήθη Νικόλαος, ὁ πολλὰ μὲν κατὰ τῆς σοφίας προτερήματα σὺν εὐσχήμονι καταστάσει. παρελήφθη δὲ ἡ πόλις Δημητριάς, ἡ ἐν τῷ θέματι Ἑλλάδος, ὑπὸ τῶν Ἀγαρηνῶν.

17. Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέραν Ζωῆς τὴν ἀπὸ τοῦ Ζαούτζα, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ κατὰ τύπον κλητόρια, Αὐγούστας μὴ οὔσης. ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην D ἐκ τοῦ Ὀψικίου θέματος, ὡραίαν τε καὶ περικαλλῆ· ὄνομα δὲ αὐτῇ Εὐδοκία. ἔγημέν τε αὐτὴν καὶ ἔστεψεν· ἐξ ἧς παῖδα ἐποίησεν ἄρρενα, ἐφ' ᾧ καὶ αὐτὴ καὶ τὸ γεννηθὲν ἐτελεύτησεν.

18. Ἔκτισεν δὲ πλησίον τοῦ τῶν ἁγίων ἀποστόλων ναοῦ ἐκκλησίαν ὁ βασιλεὺς ἐπ' ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικὸς Θεοφανοῦς. ἔκτισεν δὲ καὶ τὴν τοῦ ἁγίου Λαζάρου ἐκκλησίαν

9 Ἀντώνιος margo Combef. 10 ὁ πολὺς τὰ τῆς Combef. 15 τῆς τοῦ Ζ. Combef.

catum institutoque iudicio acerbis suppliciis subiicit, exustis capillis, pompaque traductum per mediam civitatem Athenas in exsilium misit. convocatis autem imperator cunctis magistris ac proceribus, quae a Samona indicata fuerant, sub omnium conspectum legit. hi summis laudibus hominem extulerunt, ut qui imperatoris vitae consuluisset, maximoque dignum honore proclamarunt. confestim itaque protospatharii dignitate auctum inter familiares eum Leo coaptavit.

16. Defuncto patriarcha Antonio, eius loco ordinatus est patriarcha Nicolaus mysticus, vir longe sapientia praestans, cum pari modestia morumque compositione. capta ab Agarenis urbs Demetrias, spectans ad Atticae thema.

17. Coronat Leo Annam Zoes filiam Zautzae neptem, quod constituta ex more convivia publica, deficiente Augusta, celebrare non posset. duxit vero imperator puellam ex Opsicii themate formosam longeque pulcherrimam, Eudociam nomine, celebratisque nuptiarum solenniis Augustali corona donavit; ex qua suscepta prole mascula, tum ipsa in partu interiit, tum quam prolem sustulerat.

18. Haud procul ab aede SS. apostolorum Leo templum ex nomine prioris uxoris suae Theophanonis exstruxit. sed et S. Lazari ecclesiam

τῶν λεγομένων Τόπων, καὶ μονὴν ἀνδρῶν εὐνούχων ἐν αὐτῇ κατεσκεύασεν· ἔνθα καὶ τὸ τοῦ ἁγίου Λαζάρου σῶμα καὶ τῆς ἀδελφῆς αὐτοῦ Μαγδαληνῆς ἀνακομίσας ἀπέθετο. τοῦ δὲ στόλου ἐν τοῖς P 225
τῶν ἐκκλησιῶν τοιούτων ἔργοις ἀσχολουμένου, τὸ ἐν Σικελίᾳ Ταυρομένιον ὑπὸ τῶν Ἄφρων παρελήφθη καὶ πολὺς τῶν Ῥωμαίων φόνος ἐγένετο. κατεσχέθη δὲ καὶ Λῆμνος ὑπὸ τῶν Ἀγαρηνῶν, καὶ πλεῖστος ᾐχμαλωτίσθη λαός.

19. Προέλευσιν δὲ τοῦ βασιλέως πεποιηκότος τῇ ἡμέρᾳ τῆς Μεσοπεντηκοστῆς εἰς τὸν ἅγιον Μώκιον, ἐν τῷ εἰσοδεύειν καὶ πλησίον τῶν ἁγίων γενέσθαι θυρῶν ἐκπεπηδηκώς τις τοῦ ἄμβωνος ῥάβδῳ παχείᾳ καὶ ἰσχυρᾷ τούτου ἔπαισε κατὰ κεφαλῆς. καὶ δὴ ἂν ἐθανάτωσεν παρευθύ, εἰ μὴ προνοίᾳ τινὶ τὸ τῆς ῥάβδου ἄκρον τῷ πολυκανδήλῳ προσκεκρουκὼς τῆς βιαίας μικρὸν ἀνεσχέθη φο- B
ρᾶς. τοῦ δὲ αἵματος σφοδρῶς ἐκ τῆς τοῦ βασιλέως καταρρέοντος κεφαλῆς ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων ἐγένετο. ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος νόσον προφασισάμενος οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ, ὡς ἐκ τούτου ὑποπτευθῆναι αὐτὸν τὴν τοιαύτην ἐπιβουλὴν κατεργάσασθαι. ὁ δὲ τὸν βασιλέα πλήξας κατασχεθεὶς καὶ πολλὰς βασάνους ὑπομεμενηκώς, ἐπεὶ μηδένα συνειδέναι καθωμολόγει, τέλος χεῖρας καὶ πόδας ἐκκοπεὶς ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ ἐκάη. ἔκτοτε δὲ ἡ τοιαύτη ἐξεκόπη προέλευσις. μετὰ δέ τινα καιρὸν Μάρκος ὁ σοφώτατος μοναχός, οἰκονόμος ὢν τῆς C
αὐτῆς ἐκκλησίας, ὃς καὶ ἐν μεγάλῳ σαββάτῳ τετρᾳῴδιον τοῦ μεγάλου Κοσμᾶ ἀνεπλήρωσεν, ἐν τῇ τραπέζῃ τῷ βασιλεῖ συνεστιώ-

ad Topos (quos vocant) aedificavit, inque illa virorum eunuchorum monasterium constituit; quo etiam S. Lazari corpus eiusque sororis Magdalenae corpus translatum deposuit. dum vero classiarii istiusmodi operibus tempus distrahunt, Tauromenium in Sicilia ab Afris capitur ingensque Romanorum clades agitur. Lemno quoque potiti Agareni magnam captivorum multitudinem abducunt.

19. Cum imperator die mediae pentecostes solenni pompa ad S. Mocium processisset, iamque introgressus ad sanctas prope ianuas ac sacrarium venisset, exsiliens quis ex ambone robustum crassumque fustem in eius caput impegit. ac sane mox sustulisset, nisi quadam dei providentia fustis summitas multifido pendenti candelabro illisa impetum tantisper remisisset. cruore ex imperatoris capite largiter defluente turbati proceres alii alio diffugere. Alexander eius frater aegrotationem causatus pompae non interfuit, ex quo eiuscemodi in fratrem insidiarum auctor prope inaudiit. apprehensus igitur percussor, multisque tormentis subactus, cum nullum coniurationis socium nosse se profiteretur, ad extremum manibus pedibusque praecisis ad Circi metam combustus est. post breve autem tempus Marcus sapientissimus monachus, eius ecclesiae oeconomus, qui magni Cosmae Tetraodium hymnum magni Sabbati absolvit, cum impe-

μενος ἐλιπάρει τούτῳ μὴ τὴν τοιαύτην ἐκκοπῆναι προέλευσιν. τοῦ δὲ βασιλέως ἀπαναινομένου ὁ Μάρκος ἔφη "μὴ ὀργίζου μηδὲ χαλέπαινε, ὦ βασιλεῦ, ἐπεὶ προγεγραμμένον ἦν παρὰ τοῦ προφήτου Δαβὶδ τοῦτό σε καθυποστῆναι· προείρηκε γὰρ τοῦτο, λέγων ʽὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ ἑορτῆς σου.ʼ δεῖ οὖν σε, δέσποτα, ἀπὸ τοῦ νῦν ἔτη δέκα τὴν βασιλείαν κατασχεῖν." ὃ καὶ γέγονεν· μετὰ γὰρ D *τὴν ἐκπλήρωσιν τῶν δέκα ἐνιαυτῶν, τῇ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ ἐπλήγη, τετελεύτηκεν.*

20. *Ἦν δὲ Ζωὴ ἡ τετάρτη γυνὴ τοῦ βασιλέως ἐν τῷ παλατίῳ μετὰ τοῦ βασιλέως ἀστεφής. τῶν δὲ Βουλγαρικῶν ἐφόδων Ῥωμαίους ἐπιτριβόντων, οἱ ἐξ Ἄγαρ μαθόντες τοῦτο στόλος ἐξῆεσαν ναύμαχος, ἐπιστήσαντες στρατηγὸν Τριπολίτην Λέοντα, Ἀτ τάλου μὲν ἐξωρμημένον τῆς πόλεως, τῆς δὲ Χριστιανῶν εὐσεβείας ἀποστήσαντα. καὶ Τρίπολις μὲν ὠνόμασται ἡ κατὰ Φοινίκην τρισὶ διαιρεθεῖσα ταῖς γενεαῖς ἐξ Ἀραδίων καὶ Τυρίων καὶ Σιδονίων ἀποίκων. τοῦ δὲ βασιλέως ἐξελθόντος ἐν τῷ τοῦ Βουτίου* P 226 *ἐμπορίῳ πρὸς τὸ τὴν μονὴν ἐγκαινίσαι τοῦ πρωτοβεστιαρίου αὐτοῦ Χριστοφόρου, ἡ ἀγγελία αὕτη κατέλαβεν ὡς Τριπολίτης μετὰ στόλου τῶν Σαρακηνῶν κατὰ Κωνσταντινουπόλεως ἀνέρχεται. ἀποστέλλει οὖν ὁ βασιλεὺς τὸν Εὐστάθιον τὸν τηνικαῦτα δρουγγάριον μετὰ στόλου κατὰ τοῦ Τριπολίτου· ὃς μὴ δυνηθεὶς ἀντιτάξα-*

15 *ἀποστάντα?* an *ἀποστατήσαντα?* 16 *ἐκ Σαραδίων* P, *ἐξ Ἀραδίων* margo.

ratore mensae assidens rogabat ne eiusmodi processus ac pompa ab eo abrogaretur. quo abnuente, ait Marcus "ne irascaris aut iniquius feras, imperator. etenim id olim tibi eventurum vaticinatus erat David propheta. praedixit enim ille (Psalm. 73 3), quanta malignatus est inimicus in sancto meo! et gloriati sunt qui oderunt te in medio solennitatis tuae. itaque oportet te alios exinde annos decem imperare." quod et contigit. post decem enim annos, ipsa die qua vulnus acceperat, vivis exemptus est.

20. Porro Zoe quarta Leonis uxor in palatio cum eo versabatur, hauddum nuptialibus corollis donata. cum vero Bulgari incursionibus rem Romanam attererent, Agareni occasionem nacti classem navalesque copias miserunt, Leone Tripolita classiario duce, Attalea urbe oriundo, sed qui Christianam eiuraverat pietatem. appellata autem est Phoeniciae Tripolis, quod tribus nationibus, Sardiis scilicet Tyriis ac Sidoniis colonis, divisa sit. egresso itaque imperatore ad Butii emporium encaeniorum causa monasterii a Christophoro protovestiario exstructi, nuntius venit Tripolitam cum hostili Saracenorum classe Cpolim petere. mittit ergo imperator Eustathium rei tunc navalis drungarium cum classe adversus Tripolitam, qui pugnae cum illo impar vacuus rediit. eum inse-

σθαι τούτῳ ἀντεστράφη κενός. κατόπιν δὲ αὐτοῦ ὁ Τριπολίτης ἐλθὼν ἐντὸς Ἀβύδου εἰσελήλυθεν καὶ μέχρι Παρείου κατέλαβεν. τοῦτο τῷ βασιλεῖ ἀγγελθὲν εἰς μεγάλην αὐτὸν ἀθυμίαν καὶ ἀμηχανίαν περιέστησεν. Ἡμερίῳ οὖν πρωτασηκρῆτις τὴν ναυτικὴν B δύναμιν ἐγχειρίσας κατὰ τοῦ Τριπολίτου ἀπέστειλεν· ὃς Ἄβυδον διελθὼν τὴν καθ' Ἑλλήσποντον, ἣν Μιλησίων κατῴκισαν ἄποικες, Ἑλλήσποντον τὸν ἀπὸ Ἕλλης τῆς Φρίξου ἀδελφῆς τῷ ἐκεῖσε πελάγει ῥιφείσης οὕτως ἀγορευόμενον, καὶ Αἰγαῖον πέλαγος, ὃ τὴν κλῆσιν ἀπείληφεν ἀπὸ τῆς τῶν ὑδάτων φορᾶς ἀϊσσούσης κατὰ τρόπον αἰγός, ἑξῆς δὲ προσωρμικὼς Στροβήλῳ τῇ κατὰ Κιβύρραν (καὶ Στρόβηλος μὲν ἀπὸ τῆς τοπικῆς θέσεως, Κιβύρρα δὲ ἀπὸ Κιβύρρου ἀδελφοῦ Μαρσοῦ τε καὶ Κιδράμου) καὶ Λαμψάκῳ, ἀπὸ φωτὸς λάμψεως ὠνομασμένῃ, ὅπερ νυκτὶ Φωκαέων θεμελιούντων ταύτην εὐξαμένων θεόθεν ἐπέλαμψεν, καὶ ἡ τῶν θεμε- C λίων βάσις καλῶς κεκραταίωτο, μετὰ ταῦτα τῇ Ἴμβρῳ διεληλυθώς, ἥτις ἀπὸ Ἴμβρου κέκληται υἱοῦ Ἄνθου, οὗ γενέτης Στάφυλος Διονύσου φίλτατος ἔγγονος, Σαμοθρᾴκην δὲ διαβὰς καὶ τῇ Θάσῳ προσπελάσας, ἣν Χρυσῆν οἱ πρὶν διεφημίζοντο, Σαμοθρᾴκην δὲ ἐν Θρᾴκῃ χερόνησον τὴν πρότερον Θηριοῦσαν διὰ τὸ θηρίων πεπληρῶσθαι, ἱερὰν Νυμφῶν οὖσαν, μετέπειτα τοῦ ῥοῦ συρραγέντος εἰς νῆσον συστῆναι καὶ ὑπὸ Σαμίων μετοίκων ἐν κατασχέσει γενέσθαι καὶ Σαμοθρᾴκην κληθῆναι, τοὺς πολεμίους κατέλαβεν. πλὴν οὐδὲ D

13 Φωκέων P

cutus Tripolita intra Abydum penetravit ac usque Parium venit. huius rei nuntius gravem imperatori maerorem ac consilii inopiam attulit. itaque Hemerio a secretis primario classem adversus Tripolitam ducendam committit. is Abydum praetervectus (quae est in Hellesponto, quam Milesii coloni civitatem condiderunt. Hellespontus ab Hella Phrixi sorore illic pelago mersa sic appellatus) Aegaeoque mari emenso (dictum hoc ab aquarum quasi caprarum more salientium inaequalitate), ac cum iam ad Strobelum appulisset, quae est ad Cibyrrham (ac Strobelus quidem sic dicta a loci situ, Cibyrrha vero a Cibyrrho fratre Marsi et Cidrami), atque Lampsacum transisset (sic illa appellata a luce, quae noctu Phocensibus fundamenta iacientibus votaque concipientibus caelitus affulsit; quo auspicio iacta civitatis fundamenta firma steterunt). postea Imbro superata (sic illa appellata est ab Imbro Anthi filio, cuius pater Staphylus Dionysii nepos carissimus) itemque Samothrace, ac cum Thaso iam immineret (quam antiqui Aureae titulo atque nomine insigniebant: Samothracem vero in Thracia olim θηριοῦσαν, quasi bestiis abundantem iisque plenam, Nymphis sacram, peninsula cum esset, fluxus postea allisione in insulam coaluisse dixerunt, ac Samiorum colonorum iuris factam Samothraciam nuncupatam esse) hostes assequitur. at neque

πλησιάσαι τούτων τῷ στόλῳ τετόλμηκεν. αὐθόρμητος δὲ ὁ Τριπολίτης θεοῦ τοῦτον ἀπελαύνοντος ἀντεστράφη, καὶ ἐν Θεσσαλονίκῃ, καταλαβὼν ταύτην, καὶ Λέοντα τὸν ταύτης στρατηγόν, ᾧ ἦν ἐπώνυμον Κατζιλάκιος, κατασχών, σφαγὴν πολλὴν καὶ χύσιν αἱμάτων εἰργάσατο.

21. *Ῥοδοφύλης δέ τις κουβικουλάριος ἔτυχεν ἐν Σικελίᾳ διά τινα χρείαν ἀποσταλείς, χρυσίου λίτρας ἐπιφερόμενος ἑκατόν· νόσῳ δὲ περιπεσὼν ἐν Θεσσαλονίκῃ εἰσῆλθεν ὥστε λούσασθαι* P 227 *καὶ ἀπολαῦσαι ἀνέσεως. τοῦτον ὁ Τριπολίτης κατασχών, καὶ μαθὼν ὡς χρυσίον ἐπιφέρεται, πολλὰ βασανίσας ἀπέκτεινεν μηδὲν ἔχειν διατεινόμενον· ἔτυχεν γὰρ τοῦτο ἐν τῇ ὁδῷ ἀπολιπών, ὅπερ Συμεὼν ἀσηκρῆτις διερχόμενος ἀνείλετο, ὃς μετὰ ταῦτα πατρίκιος καὶ πρωτασηκρῆτις ἐγένετο. τοῦ δὲ Τριπολίτου καταστρέψαι τὴν πόλιν βουληθέντος, δηλοῖ αὐτῷ Συμεὼν χρυσίον λαβεῖν καὶ τῆς καταστροφῆς ἀποσχέσθαι· ὃ καὶ γέγονεν. ὀπισθόρμητος πάλιν ὁ τῶν Σαρακηνῶν στόλος ἀπῄει. ὁ δὲ Ἡμέριος ταῦτα διεγνωκὼς πρὸς τὴν κατ' αὐτῶν διανίσταται δίωξιν. οἱ δὲ τῇ Κρήτῃ προσβάλλουσι, καὶ τοῖς ἐν αὐτῇ ἀπόμοιραν τῆς λείας ἀπένειμαν, κἀκεῖ-* B *θεν τῇ πατρίδι παλινοστήσαντες ἀπρακτεῖν κατὰ Λῆμνον ἐῶσιν τὸν Ἡμέριον.*

22. *Ὁ δὲ βασιλεὺς εἶχε τῶν Ἀνατολικῶν ὑποστράτηγον Εὐστάθιον πατρίκιον, ὃς ἐκ τῆς καλλίστης καὶ ἀγαθῆς γενεᾶς τῶν Ἀργυρῶν ἐκπεφώνηται· ὃς τοῖς Ἰσμαηλίταις κατεστράτει καὶ ἔτρε-*

classem propius adire ausus est. Tripolita vero ipse a se, dei impulsu ac nutu, reflectit iter; veniensque Thessalonicam, et comprehenso qui illi praetoris iure praeerat, Leone cognomento Cataziliaco, ingentem stragem ac neces plurimas egit.

21. Quidam vero cubiculariorum, Rhodophylus nomine, ob necessaria quaedam negotia in Siciliam missus erat, centum auri libras ferens; atque in itinere morbo correptus, levandae causa aegritudinis lavandique ac vires reficiendi Thessalonicam ingressus erat. cepit hunc Tripolita, eum auri vim ferre intelligens, multisque tormentis subactum peremit, cum ille nihil se habere assereret. reliquerat enim in via, ac Symeon a secretis illac transiens sustulerat. hic postea patricius ac eorum qui a secretis primus factus est. Tripolita urbem evertere cogitabat, cum eum Symeon monet atque hortatur ut auri summam tollat et ab evertenda urbe abstineat; quod et factum est. recedit itaque iterum Thessalonica Saracenorum classis. Hemerius hostium recessu cognito ad eos insequendos sese accingit. ad Cretam vero appulsi, spoliorumque parte Cretensibus data, domum incolumes redeunt, relicto in Lemno insula otium terente nulloque bellico facinore Hemerio.

22. Habebat Leo Asiani exercitus legatum Eustathium patricium, ex praestantissima optimaque Argyrorum familia ortum. hic adversus Ismaelitas depugnans eos in fugam vertebat, neque id semel sed et cre-

πεν οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις, ῥώμῃ καὶ ἰσχύϊ καὶ συνέσει καὶ
ἀνδρίᾳ καὶ φρονήσει καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ τετιμημένος
καὶ ἐπειλημμένος, ἔχων καὶ Ἀνδρόνικον τὸν ἐκ τοῦ Δουκός. Εὐ-
στάθιον Ἀργυρὸν οἱ Ἀγαρηνοὶ ἐδεδίεσαν, ὡς τὸ τούτου ὄνομα ἔκ-
πληξιν καὶ φόβον αὐτοῖς λέγεσθαι. Σαμωνᾶς δὲ προφασισάμενος C
ἐν τῇ μονῇ αὐτοῦ, ᾗ ἐπώνυμον τὰ Σπειρά, ἐξελθεῖν, ἐν τῷ Δα-
ματρὺ οὖσαν, φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς
δημοσίους ἵππους τοὺς ἐν ἑκάστῃ ἀλλαγῇ ἀγκυλοκοπῶν. ἀποστέλ-
λει οὖν ὁ βασιλεὺς ὄπισθεν αὐτοῦ διῶξαι αὐτὸν Βασίλειον ἑται-
ρειάρχην τὸν Καματηρὸν καὶ τὸν Κρηνίτην τὸν Γεώργιον. ἐπεὶ δὲ
τὸν Ἅλυν ὁ Σαμωνᾶς ἔμελλεν περᾶν, κατέλαβεν αὐτὸν ὁ Νικηφό-
ρος δρουγγάριος ὁ Καλλωνᾶς καὶ κατέσχεν. ὁ δὲ πολλὰ ἱκέτευεν
καὶ ὑπισχνεῖτο διδόναι. ὡς δὲ οὐκ ἔπειθεν, εἰς τὸν ἐν τῷ Σιριχᾷ D
καταφεύγει σταυρόν, εὐχῆς δῆθεν χάριν ἐληλυθέναι προφασισά-
μενος. καταλαβὼν οὖν ὁ Κωνσταντῖνος ὁ τοῦ Ἀνδρονίκου ὁ Δουκὸς
υἱὸς καὶ τοῦτον ἀναλαβὼν ἐν τῇ πόλει ὑπέστρεψεν. προσέταξεν
δὲ ὁ βασιλεὺς αὐτὸν μὲν ἐν τῇ τοῦ Καίσαρος Βάρδα οἰκίᾳ φυλάτ-
τεσθαι. ἠρώτησεν δὲ Κωνσταντῖνον εἰ ἀληθῶς ἐν Συρίᾳ φεύγων
ἐτύγχανεν· καὶ μαθὼν τοῦτο ἀληθὲς εἶναι, παρήγγειλε Κωνσταν-
τίνῳ μὴ τοῦτο εἰπεῖν ἐνώπιον τῆς συγκλήτου ἐρωτωμένῳ, ἀλλ' ὅτι
ἐν τῷ Σιριχᾷ χάριν εὐχῆς παρεγένετο· ἤθελε γὰρ ὁ βασιλεὺς συγ- P 228
γνώμης τυχεῖν τὸν Σαμωνᾶν. καὶ προσκαλεσάμενος τὴν σύγκλη-
τον καὶ εἰς τὸ μέσον παραγαγὼν τὸν Κωνσταντῖνον οὕτως ἠρώτη-

5 leg. *γενέσθαι* Combef.

brius, vir scilicet robore, fortitudine, intelligentiae vi, animi virtute, prudentia, castitate, iustitia eximie ornatus, secum etiam nactus Andronicum ducis filium. formidolosus Agarenis Eustathius Argyrus erat, ita ut vel eius auditum nomen terrorem illis pavoremque iniiceret. Samonas autem simulans se ad monasterium suum, cui nomen Spira, ad Damatrym situm exire, fugam arripuit, exportatis secum pecuniis equisque suis advectis, cursus publici equis per singulas stationes poplitum nervis succisis. mittit itaque Leo, qui eum insequantur, Basilium Camaterem hetaeriarcham et Georgium Crenitam. Samonam porro Halym fluvium traiicere parantem Nicephorus Drungarius Callonas comprehendit tenuitque. rogabat ille etiam atque etiam dimitti, inque eam rem munera promittebat. ubi autem non obtinet, ad crucem Sirichanam confugit, quasi voti causa se venisse praetexens. verum Constantinus Andronici Ducis filius comprehensum eum secum in urbem reduxit. Leo in Bardae Caesaris domo eum asservari iussit; quaeritque ex Constantino num is vere in Syriam fugeret. ubi autem sic se rem habere vere comperit, iubet Constantino uti haec coram senatu dissimulet et eum Siricham voti causa dicat profectum ese. volebat enim imperator quicquid noxae erat Samonae indulgeri. convocato itaque senatu, et Constantino in me-

σεν. "πρὸς τοῦ θεοῦ καὶ τῆς ἐμῆς κεφαλῆς, ἔφευγεν ἐν Συρίᾳ ὁ Σαμωνᾶς; ναὶ ἢ οὔ;" ὁ δὲ τοὺς ὅρκους εὐλαβηθεὶς (εἶπεν γὰρ πρότερον μὴ ὁρκιζόμενος, ἀλλ' οὕτως ἁπλῶς ἐρωτώμενος, μὴ τὸ ὂν ἐξειπεῖν) ὡμολόγησε πάντων ἐνώπιον ὅτι εἰς Συρίαν ἔφευγεν. μετ' ὀργῆς δὲ τοῦτον τοῦ βασιλέως ἀποπεμψαμένου, ἐποίησε Σαμωνᾶς ἀπὸ ὄψεως μῆνας τέσσαρας ἐν τῷ τοῦ Καίσαρος καθήμε- B νος, καὶ μετὰ ταῦτα τῆς βασιλικῆς ὄψεως καὶ ὁμιλίας κατηξιώθη.

23. Ἐγέννησε δὲ Λέων Κωνσταντῖνον υἱὸν ἀπὸ Ζωῆς τῆς τετάρτης αὐτοῦ γαμετῆς, οὗ ἐν τῇ γεννήσει ἐφάνη κομήτης ἀστήρ, τὰς ἀκτῖνας ἐπ' ἀνατολὰς ἀφιεὶς καὶ ἐν ἡμέραις καὶ νυξὶ φαινόμενος τεσσαράκοντα. ὃς ἐβαπτίσθη ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ὑπὸ Νικολάου πατριάρχου ἐν τῇ ἁγίᾳ τῶν φώτων ἡμέρᾳ, ἀναδεξαμένων αὐτὸν ἀπὸ τοῦ ἁγίου βαπτίσματος Ἀλεξάνδρου τοῦ αὐταδέλφου τοῦ βασιλέως καὶ Σαμωνᾶ πατρικίου καὶ τῶν ἐν τέλει ἁπάντων. γέγονε τότε καὶ ἡ Κύφη γηροκομεῖον, τῶν ἐκεῖσε ἑταιρίδων C ἐκδιωχθέντων. εὐλογήθη δὲ Λέων ὁ βασιλεὺς μετὰ Ζωῆς ὑπὸ Θωμᾶ πρεσβυτέρου, ὅστις καὶ καθῃρέθη· καὶ βασίλισσαν αὐτὴν ἀνηγόρευσεν. διὰ ταύτην οὖν αἰτίαν ὁ πατριάρχης τὸν βασιλέα εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι διεκώλυσεν, ὅθεν διὰ τοῦ δεξιοῦ μέρους διήρχετο εἰς τὸ μητατόριον.

24. Προεβλήθη δὲ Σαμωνᾶς παρακοιμώμενος διὰ τὸ συνεργὸς καθεστάναι τῷ βασιλεῖ πρὸς παρανομίαν καὶ κακίαν

dium adducto, in hunc modum percontatus est "per deum et caput meum, fugiebat Samonas in Syriam, necne?" Constantinus iurisiurandi motus religione (prius enim nulla adiuratione, sed simpliciter interrogatus, se non evulgaturum pollicitus erat) in omnium consessu Samonam in Syriam fugam arripuisse profitetur. quamobrem illo cum ira reiecto, Samonam imperator aula exclusum menses quattuor in Bardae Caesaris domo detinet; quibus decursis, ut imperatoris aspectu frueretur ac alloquio consecutus est.

23. Sustulit vero Leo ex Zoe quarta uxore sua filium Constantinum; in cuius ortu cometes apparuit, radios versus Orientem eiaculans, diesque quadraginta ac noctes luxit. infantem baptizavit Nicolaus patriarcha in magna ecclesia die sacro luminum (i. e. Epiphaniorum), susceptoribus ex sacro fonte Alexandro imperatoris germano et Samona patricio cunctisque proceribus. eodem tempore exstructa est et senum invalidorum domus, quam Cupham dicunt, inde expulsis meretricibus. benedictionem sacro nuptiarum ritu cum Zoe uxore consecutus Leo a Thoma presbytero, qui ea ex causa officio motus est; quam etiam Leo Augustam proclamavit. eo facinore patriarcha ecclesiae ingressu Leoni interdixit; quamobrem is a dextra parte transiens ad Metatorium sese recipiebat.

24. Samonas accubitor praeficitur, quod ad omne facinus ac malitiam imperatori adiutor esset; coeperuntque ambo moliri adversus eccle-

ἅπασαν. καὶ κατὰ τῆς ἐκκλησίας ἤρξαντο μελετᾶν. προσκαλεσάμενος γὰρ τὸν πατριάρχην Νικόλαον (πρώτη ἦν τοῦ Φεβρουα- D ρίου μηνὸς) καὶ πολλὰ λιπαρήσαντες δεχθῆναι, ἐπεὶ πεῖσαι οὐκ ἠδυνήθησαν, ἀπὸ κλητορίου ἀπὸ τοῦ Βουκολέοντος πλοίῳ μικρῷ ἐμβιβάσαντες ἐν τῇ Ἱερείᾳ διεπέρασαν, ἀφ᾽ ἧς μέχρι Γαλακρηνῶν μόλις ἀπῄει χιόνος ἐπικειμένης πολλῆς. χειροτονεῖται ὁ σύγκελλος Εὐθύμιος πατριάρχης, ἀνὴρ ἱεροπρεπὴς ἐγκρατής τε καὶ θεοσεβής, ὅν φασιν ἐκ θείας ἀποκαλύψεως τὴν ἀρχιερωσύνην καταδέξασθαι· καὶ γὰρ διενοεῖτο ὁ βασιλεὺς νόμον πονηρὸν ἐκθεῖναι τοῦ ἔχειν γυναῖκας ἄνδρα τρεῖς καὶ τέσσαρας, πολλῶν λογιωτάτων ἀν- P 229 δρῶν εἰς τοῦτο αὐτῷ συνεργούντων.

25. Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ αὐτοῦ πλησίον τῶν ἁγίων ἀποστόλων τοῦ τὰ ἐγκαίνια ἐπιτελέσαι καὶ ἀριστῆσαι. καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος λίψ, φυσήσας ἕως τρίτου σφοδρῶς, συσσείσας καὶ οἰκήματα καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν τόποις ὑπαίθροις, λέγοντας συντέλειαν εἶναι κοσμικήν, εἰ μὴ ἡ τοῦ θεοῦ φιλανθρωπία δι᾽ ὄμβρων ἔστησεν τὴν τοιαύτην καταιγίδα.

26. Στόλου δὲ τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων ἐξελθόντος, B ὁ βασιλεὺς Ἡμέριον λογοθέτην τοῦ δρόμου τοῦ στόλου παντὸς ἀρχηγὸν προβάλλεται. ἐδέξατο καὶ Ἀνδρόνικος ὁ δοὺξ συνεισελθεῖν τῷ Ἡμερίῳ καὶ τοὺς Ἀγαρηνοὺς καταπολεμῆσαι. ὁ δὲ Σαμωνᾶς ἀδιάλλακτος ἐχθρὸς ὢν Ἀνδρονίκῳ βόθρον αὐτῷ ὑπώρυτ-

20 Ἱμέριον p. 467b et 560a.

siam. vocato itaque Nicolao patriarcha prima Februarii, ut reciperetur, enixius rogabant. ubi autem eius expugnare animum nequiverant, a convivio ac epulis ex Bucoleone lintri imponentes in Hieriam traduxerunt; unde aegre pedes ad Galacrenos usque prae nivium nimia copia venit. ordinatur autem Euthymius syncellus patriarcha, vir venerabilis modestusque ac religiosus, quem aiunt ex divina revelatione episcopi munus suscepisse. etenim cogitabat imperator pessimam legem promulgare, qua liceret viro tres quattuorve alias ex aliis uxores habere, cum non deessent viri eruditissimi, qui in hoc ei consilio adiutores essent.

25. Mense Iunio Constantinus Afer imperatorem invitavit ad monasterium suum, quod prope aedem apostolorum condiderat, ad illius peragenda encaenia, et ut prandio interesset. ibi subito exortus Africus, tertioque repetitis vicibus vehementer spirans, multa concussit aedificia et ecclesias, adeo ut omnes relictis domibus sub dium procederent mundique consummationem adesse dicerent, nisi dei clementia imbrium inundatione illum turbinem sedasset.

26. Agarenorum classe adversus Romanos adventante, Leo Hemerium publici cursus logothetam classi universae ducem praeficit. iussus et Andronicus Dux cum Hemerio navim conscendere adversumque Agarenos fortiter dimicare. Samonas vero quo implacabili in Andronicum

τεν καὶ τοῖς ποσὶ παγίδας ὑπετίθει, δυσμενῶς ἔχων αὐτῷ διὰ τὴν ὑπέρθεσιν τῆς φυγῆς· ὑπέβαλε δέ τινα γράψαι λαθραίως Ἀνδρονίκῳ μὴ ἐν τοῖς πλοίοις εἰσελθεῖν, ὅτι, φησίν, παραγγελίας ὁ
C *Ἡμέριος εἴληφεν παρὰ βασιλέως, ὑποβληθέντος παρὰ Σαμωνᾶ, κατασχεῖν καὶ τυφλῶσαί σε. πολλὰ δὲ τοῦ Ἡμερίου προτρεπομένου τὸν Ἀνδρόνικον ἐν τοῖς πλοίοις εἰσελθεῖν τῶν Ἀγαρηνῶν ἐπικειμένων, ἀπεσκίρτησε, μὴ τοῦτο ποιῆσαι καταδεξάμενος. Ἡμέριος δὲ μόνος τῇ τοῦ ἁγίου ἀποστόλου Θωμᾶ μνήμῃ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰργάσατο. τοῦτο μαθὼν Ἀνδρόνικος, καὶ ἀπογνούς, ἅμα συγγενέσι καὶ δούλοις αὐτοῦ πόλιν κατέσχεν τὴν λεγομένην Καβάλαν, εἰς ἀποστασίαν*
D *ὁρμήσας. ὁ δὲ Σαμωνᾶς πάλαι ποτὲ τοιούτου ἐπιλαβέσθαι καιροῦ ἐπιθυμῶν πρὸς βασιλέα ἔλεγεν "οὐκ ἀεί, δέσποτα, ἔλεγον ὅτι ἀντάρτης καὶ ἀποστάτης ἐστὶν ὁ δοὺξ καὶ τῇ βασιλείᾳ σου πολέμιος;" παραυτίκα γοῦν ἀπέστειλεν Γρηγορᾶν Ἰβηρίτζην λεγόμενον, δομέστικον ὄντα τῶν σχολῶν καὶ συμπένθερον Ἀνδρονίκου, καταπολεμῆσαι αὐτόν. μαθὼν δὲ τοῦτο Ἀνδρόνικος, καὶ πῶς ὁ πατριάρχης Νικόλαος τῆς ἐκκλησίας ἐξεδιώχθη, τοῖς Ἀγαρηνοῖς ἐξέφυγεν πανοικί, τηνικαῦτα κατὰ Ῥωμαίων ἐξεληλυθόσιν· ὃν ἀμερμουμνῆς ἐντίμως καὶ μεγαλοπρεπῶς προσεδέξατο. ἐλυπεῖτο*
P 230 *δὲ ὁ βασιλεὺς διὰ τὸν Ἀνδρόνικον, καὶ ἐβούλετο λόγον αὐτῷ ἐνυπόγραφον ἀποστεῖλαι τοῦ πρὸς Ῥωμαίους ὑποστρέψαι. συνεβούλευσαν δέ τινες τῷ βασιλεῖ φιλοφρονηθῆναί τινα τῶν τοῦ πραιτω-*

erat odio, astu viro foveam fodit ac pedibus laqueos supponit, dire illi infensus ob suae fugae negotium. nempe subornavit qui occulte Andronico scriberet ne in naves intraret: quippe in mandatis accepisse Hemerium ab imperatore, Samonae consilio, ut eum caperet atque oculis orbaret. Hemerio itaque etiam atque etiam rogante atque hortante Andronicum ut Agarenis ingruentibus naves intraret, ille resilire ac imperium detrectare. Hemerius ipse solus, qua die solennis S. Thomae memoria agitur, conserta cum Agarenis manu ingenti victoria potitur. ut cognovit Andronicus, desperatione actus cum necessariis et familia totoque comitatu, occupata urbe sic dicta Cabala rebellavit. porro Samonas olim iam istiusmodi occasionem nancisci desiderans, ad imperatorem "nonne semper, domine, aiebam ducem rebellem esse ac defectionem moliri tuaeque maiestati fore perduellem?" mox itaque mittit imperator Gregoram cognomento Iberitem scholarum domesticum ac Andronici ex uxore affinem, qui eum debellet. Andronicus ubi rescivit ac Nicolaum patriarcham ex ecclesia eiectum intellexit, ad Agarenos, qui tum adversus Romanos expeditionem susceperant, cum suis omnibus profugit. amermumnes virum honorifice ac magnifice accepit. animi anxius imperator ob eam Andronici fugam data securitatis fide ad se eum revocare studebat. quamobrem auctores quidam illi exstitere, ut Sarace-

ρίου Σαρακηνῶν καὶ ἀποσταλῆναι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. ὃ δὴ καὶ πεποίηκεν, διὰ κινναβάρεως γράψας καὶ βούλλῃ σφραγίσας χρυσῇ καὶ ἔνδον βραχέος φατλίου τράκτου κατακλείσας αὐτό. τοῦ δὲ Σαρακηνοῦ ἀπὸ βασιλέως ἐξελθόντος, προσκαλεσάμενος τοῦτον ὁ Σαμωνᾶς εἶπεν "οἶδας ὃ κατέχεις;" τοῦτο εἰπὼν δὴ ὃ ἐκράτει κηρόν, ὡς τῆς Συρίας εἴη ἀπώλεια. δοὺς αὐτῷ χρήματα παρήγγειλεν τοῦτο εἰς τὰς χεῖρας τοῦ Οὐζὴρ ἐμβαλεῖν. ὁ δὲ B ἀπελθὼν τοῦτο πεποίηκεν. ἐκρατήθη δὲ Ἀνδρόνικος καὶ ἐδεσμήθη μετὰ πάντων τῶν αὐτοῦ συγγενῶν· καὶ μαθὼν διὰ δόλου τοῦ Σαμωνᾶ ταῦτα γεγονέναι, ἀναγκασθεὶς τὴν ἰδίαν πίστιν αὐτός τε καὶ οἱ σὺν αὐτῷ ἐξωμόσαντο. Κωνσταντῖνος δὲ ὁ υἱὸς αὐτοῦ, εἰδὼς ὡς ἀδύνατόν ἐστιν ἐκεῖθεν ἐξελθεῖν, βουλῇ αὐτοῦ φυγῇ χρησάμενος ἀπὸ Συρίας ἐξῆλθεν, καὶ πρὸς βασιλέα ἐπάνεισι σὺν τοῖς μετ' αὐτοῦ, ὃν δώροις πλείστοις ὁ βασιλεὺς δαψιλευσάμενος τάδε φησὶ πρὸς αὐτόν, στὰς ἐν τῇ πρὸς ἀνατολὰς τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν εἰκόνι, "μὴ πεπλάνησο καθ' ἑαυτὸν τῷ παρὰ πολλοῖς εἶναι ᾀδόμενον Κωνσταντῖνον βασιλεύσοντα Ῥωμαίων. ὄμνυμί C σοι εἰς τὴν παντέφορον δίκην καὶ εἰς τὴν τοῦ κυρίου ἡμῶν εἰκόνα ὅτι οὐκ ἔστι σὸν τὸ βασίλειον διὰ τὸ κατονομασθῆναί σε Κωνσταντῖνον, ἀλλὰ τῷ φιλτάτῳ μου υἱῷ θεόθεν διὰ προγόνων δεδώρηται, καθὼς παρὰ πολλῶν ἁγίων ἀνδρῶν πεπληροφόρημαι. εἰ γὰρ πειραθείης τοῦτον διαχειρίσασθαι, τῇ πύλῃ ταύτῃ ἡ κεφαλή σου σώματος ἐκτὸς εἰσελεύσεται." ὃ καὶ γέγονεν· μετὰ γὰρ τὸ ἆραι

7 Οὐΐζὴρ? 16 τὸ P

norum quendam ex praetorio sibi conciliaret, quem cum subscripto veniae libello in Syriam mitteret. hunc ergo paravit imperator, scribensque cinnabari ac regia bulla consignans intra brevem cereum fusum literas inclusit. Saracenum ab imperatore discedentem advocans Samonas, "scis" inquit "quid feras? is quem tenes, cereus Syriae pernicies est." numerata itaque pecunia Useri in manus tradere iussit. profectus itaque Saracenus, quod iussus erat, fecit. captus vero Andronicus, ac cum necessariis omnibus in vincula coniectus. cumque haec Samonae dolo in se gesta comperisset, necessitate adactus cum ipse tum alii fidem eiurarunt. eius autem filius Constantinus, cum sciret fieri non posse ut inde liber exiret, patris consilio fuga usus Syria relicta ad imperatorem cum sociis reversus est. hunc imperator donis plurimis munifice acceptum, stans ad domini ac salvatoris nostri imaginem ad Orientem positam, in haec verba affatus est. "ne te seducat quod vulgo iactant, fore Constantinum imperatorem Romanorum. iuro enim per inspectricem omnium iustitiam et per domini nostri hic positam figuram, nihil imperium ad te attinere eo quod Constantinus audias, sed filio meo dulcissimo divinitus a maioribus donatum esse, quod ego viris sanctis non paucis vaticinantibus ita fore exploratum habeo. si enim huic mortem machinatus fueris, per hanc portam corpus truncum capite inferetur." quod

αὐτὸν τυραννικῶς χεῖρας ἡ κεφαλὴ αὐτοῦ αἵματι καὶ λύθρῳ καὶ κόνει ἀμαυρωθεῖσα διὰ τῶν αὐτῶν πυλῶν εἰσελήλυθεν.

D 27. *Ὁ δὲ βασιλεὺς διεδέξατο τὸν Εὐστάθιον ἐπονομαζόμενον Ἀργυρὸν ἀπὸ τοῦ δρουγγαράτου τῆς βίγλης δι' ὑπόνοιάν τινα, καὶ τοῦτον εἰς τὸν οἶκον αὐτοῦ ἀπέστειλεν εἰς τὸ Χαρσιανόν. καθ' ὁδοῦ δὲ εἰς τὸ Ἄραν φάρμακον παρὰ ἀνθρώπου αὐτοῦ λαβὼν τέθνηκεν, καὶ θάπτεται εἰς τὸ Σπυνὶν τοῦ Ἄρα τὴν κορυφήν. εἶθ' οὕτω οἱ υἱοὶ αὐτοῦ Πόθος καὶ Λέων, οἱ τῇ τοῦ μαγγλαβίτου ἀξίᾳ τετιμημένοι, ἄραντες αὐτὸν θάπτουσιν αὐτὸν εἰς τὸ γονικὸν αὐτῶν μοναστήριον τὸ ὂν εἰς τὸ θέμα τοῦ Χαρσιανοῦ τῆς ἁγίας Ἐλιζάβετ, τὸ ἀνιερωθὲν παρὰ Λέοντος τουρμάρχου τοῦ* P 231 *πάππου αὐτῶν· ὃς καὶ τὸ ὄνομα τῶν Ἀργυρῶν εἴληφεν, εἴτε διὰ τὸ καθαρὸν καὶ ἁγνὸν τοῦ σώματος, εἴτε διὰ τὸ κάλλος καὶ γενναῖον τῆς ὄψεως, εἴτε διά τινα τρόπον τῆς γενεᾶς καὶ ἀνδρίας αὐτοῦ· καὶ γὰρ τοιοῦτος ἦν ὁ ἀνὴρ οἷος ἕτερος ἐπὶ Μιχαὴλ βασιλέως οὐχ εὑρέθη στρατιώτης, ὡς πολλάκις τοῖς Ἀγαρηνοῖς τῆς Τεφρικῆς μετὰ τοὺς ἀνθρώπους αὐτοῦ μιγνύμενον εἰς τροπὴν καὶ φροῦδον καὶ ἀπώλειαν παρέχειν, καὶ τὸ ὄνομα αὐτοῦ φημιζόμενον καταπτήσσειν καὶ τρέμειν.*

28. *Ἀλλαγίου δὲ ἕνεκεν ἀπὸ Ταρσοῦ ἐξῆλθεν ὅ τε Ἀβελβάκης ἐκεῖνος καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ· καὶ τούτους ὁ βασιλεὺς* B *ἐδέξατο, κόσμῳ πολλῷ τὴν Μαγναῦραν κατακοσμήσας. ἐκαλλώ-*

6 *ὁδὸν?*

et ita contigit: cum enim ille tyrannico more manus lavasset, eius caput cruore et tabo atque pulvere deformatum per has ipsas portas illatum est.

27. Praeterea Leo Eustathium cognomento Argyrum, ob suspicionem quandam ab excubiarum drungarii munere amotum, domum suam ad Charsianum remisit. in via autem ad Aran, accepto ab uno domesticorum veneno, exstinctus est, atque in Spunino, quod ipsius Aran vertex est, sepultus. eius deinde corpus ipsius liberi Potus ac Leo, manglabitarum dignitate fulgentes, sublatum in avito monasterio S. Elisabet, quod in Charsiani themate est et a Leone tribuno illorum avo exstructum erat, condidere. hic Leo Argyrorum (velut Argenteorum dicas) nomen in familiam primus intulit, sive ob corporis puritatem ac castitatem, sive propter vultus decorem ac conspectus ingenuitatem, sive propter alium quendam eius generis indolis ac fortitudinis modum. eiusmodi enim vir ille fuit, ut Michaele imperatore nemo bellatorum eius virtutem aequaverit, ita sane ut saepius cum vernaculis suis conserta cum Agarenis Tephricensibus manu eos fuderit ac profligarit, ipsamque eius nominis mentionem illi paverent ac extimescerent.

28. Captivos commutandi causa a Tarso venerunt cum Abelbaces ille tum Samonae pater. hos imperator excepit, praemagnifice exornata Magnaura. sed et magnam ecclesiam magnifico prorsus cultu decoravit,

πισεν δὲ καὶ τὴν μεγάλην ἐκκλησίαν παντελῶς, καὶ ὑπέδειξεν ἅπαντα τὰ τίμια σκεύη τοῖς Ἀγαρηνοῖς· ὅπερ ἀνάξιον ἦν Χριστιανικῆς καταστάσεως, ἀθεμίτοις καὶ ἀλλοεθνέσιν τὰ τῆς τοῦ θεοῦ λειτουργίας σκεύη καταθέσθαι. ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ ἠθέλησεν συνεῖναι τῷ υἱῷ· ὁ δὲ οὐ κατεδέξατο τοῦτο, ἀλλὰ μᾶλλον παρῄνει εἰς τὰ οἰκεῖα ὑποστρέφειν καὶ τῆς ἰδίας ἀντέχεσθαι πίστεως. "κἀγὼ δέ" φησιν, "εἴπερ δυνηθῶ, τάχιον πρὸς σὲ ἐπανελεύσομαι."

29. Τῇ δὲ τῆς πεντηκοστῆς ἡμέρᾳ στέφει ὁ Λέων ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον διὰ Εὐθυμίου πατριάρχου. C ὁ δὲ Σαμωνᾶς Κωνσταντῖνον ἄνθρωπον αὐτοῦ, τὸν πρότερον Βασιλείῳ μαγίστρῳ καὶ κανικλείῳ δουλεύσαντα, τῇ Αὐγούστῃ ἐπιδέδωκεν πρὸς τὸ ταύτῃ ὑπηρετεῖσθαι· ὃς τοσοῦτον ἠγαπήθη παρά τε τοῦ Λέοντος καὶ τῆς βασιλίσσης αὐτῆς ὥστε καὶ τὸν Σαμωνᾶν διαφθονεῖσθαι αὐτὸν καὶ λοιδορεῖσθαι τοῦτον ὡς τῇ Αὐγούστῃ συνόντα· ὅπερ ὁ βασιλεὺς ἀληθὲς εἶναι ὑπονοήσας, ἀποστείλας ἀπέκειρεν αὐτὸν ἐν τῇ τοῦ ἁγίου Ταρασίου μονῇ, αὐτῷ τῷ Σαμωνᾷ ἐπιτρέψας τοῦτο ποιῆσαι. μετ' ὀλίγον δὲ βουλόμενος τοῦτον ἀναλαβέσθαι, ἐκέλευσεν τῷ Σαμωνᾷ ἐν τῇ τῶν Σπειρῶν μονῇ D τοῦτον ἀπαγαγεῖν. ἐν τῷ Δαματρῷ οὖν ὁ βασιλεὺς ἐξελθών, καὶ ἐν τῇ τοῦ Σαμωνᾶ ἀριστήσαντος μονῇ, εἶδεν Κωνσταντῖνον, καὶ παρευθὺ διεκελεύσατο, καὶ ἐνέδυσαν αὐτὸν ἱμάτια κοσμικά, καὶ ἐπέδωκαν εἰς χεῖρας τὸ τοῦ βασιλέως ποτήριον ἐν τῷ ἀρίστῳ, καὶ ὑπέστρεψεν μετὰ τοῦ βασιλέως ἐν τῷ παλατίῳ. ὁρῶν δὲ Σαμωνᾶς

cunctaque veneranda vasa Saracenis ostendit, haud sane satis e Christiana disciplina, ut divini ministerii vasa nefariis impiisque hominibus ac alienigenis visenda exponeret. voluit Samonae pater cum filio manere: sed ille non passus est, magisque hortabatur ut domum rediret ac suam fidem teneret: se quoque, cum primum liceret, ad ipsum reversurum exspectaret.

29. Sacro pentecostes die Leo imperator filium Constantinum Euthymii patriarchae opera Augustum coronat. Samonas vero Constantinum domesticum suum, qui prius Basilio magistro ac caniclei praefecto in ministerio fuerat, Augustae tradit in obsequium. sic vero ille cum Leonem tum ipsam Augustam demeruit, ut et Samonas livore incensus secretioris cum Augusta rei eum detulerit. sicque re ipsa suspicatus Leo in S. Tarasii monasterio mittens totondit; idque adeo ipsummet Samonam praestare iussit. brevi autem post, cum eum vellet recipere, Samonae iubet ut in Spirarum monasterium eum adducat. egressus itaque imperator ad Damatryum, et in Samonae pransus monasterio, videns Constantinum illico saeculares vestes mandavit induere ac imperatoris inter prandendum poculum in manus accipere secumque in palatium redire.

τὴν τοῦ βασιλέως ἀγάπην πρὸς Κωνσταντῖνον αὐξανομένην, πιττάκιον συντίθησι μετὰ μεγίστου κοιτωνίτου καὶ Μιχαὴλ Τζιρήθωνος P 232 *λοιδορίας κατὰ βασιλέως ἔχον ἀπείρους, διὰ τοῦ Ῥοδίου Κωνσταντίνου τοῦ αὐτοῦ ὑπογραφέως τοῦτο συντάξαντες· ὅπερ ἐν τῷ μητατορίῳ ἔρριψαν. τοῦ δὲ βασιλέως εἰσεληλυθότος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν αὐτῷ τῷ μητατορίῳ γενομένου, καὶ ἐν ᾧ ηὔχετο τόπῳ τοῦτο εὑρηκὼς καὶ ἀναγνοὺς πολλῇ θλίψει κατεσκεδάσθη, καὶ ἐζήτει τὸν τοῦτο πεποιηκότα.* (30) *γέγονε δὲ ἔκλειψις σεληνιακή. ὁ δὲ βασιλεὺς τὸν μητροπολίτην Συννάδων Πανταλέοντα προσεκαλέσατο, μαθεῖν παρ' αὐτοῦ τὸ τῆς ἐκλείψεως ἀποτέλε-* B *σμα· ὃν προσερχόμενον πρὸς τὸν βασιλέα ὁ Σαμωνᾶς ἠρώτησεν "εἰς τίνα ἡ κάκωσις;" ὁ δὲ ἔφη "εἰς σέ· καὶ ἐὰν τὴν Ἰουνίου τρισκαιδεκάτην διέλθῃς, οὐδὲν ἔκτοτε πείσῃ κακόν." πρὸς δὲ τὸν βασιλέα εἶπεν ὡς εἰς τὸ δεύτερον πρόσωπον ἡ ἔκλειψις ἀποσκήψει. ὁ δὲ βασιλεὺς ὑπώπτευσεν τοῦτο εἰς Ἀλέξανδρον τὸν ἑαυτοῦ ἀδελφὸν ἀποβήσεσθαι. ὁ δὲ Τζιρήθων ἰδίᾳ τῷ βασιλεῖ μετὰ ταῦτα καθωμολόγησεν ὡς ὁ Σαμωνᾶς εἴη τὸ πιττάκιον πεποιηκώς. παρευθὺ οὖν καταβιβάζει Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποκείρει μοναχὸν καὶ ἀπάγει αὐτὸν εἰς τὴν τοῦ Μαρτινακίου μονήν. ἐποίησεν δὲ Κωνσταντῖνον παρακοιμώμενον, καὶ ἔκτισεν αὐτῷ* C *μονὴν ἐν Νοσιαῖς, καὶ παραγενόμενος ἅμα Εὐθυμίῳ πατριάρχῃ ἐνεκαίνισεν αὐτήν.*

31. *Ὀκτωβρίῳ δὲ μηνὶ ναυμαχία γέγονεν Ἡμερίου λογο-*

Samonas imperatoris erga Constantinum propensum amorem videns augescere, re cum cubiculariorum maximo et Michaele Tzirethone composita, libellum innumeris in Leonem conviciis ac criminibus confertum per Constantinum Rhodium illius scribam contexunt inque Metatorio proiiciunt. ingressus autem imperator in maiorem ecclesiam, cum in Metatorium se recepisset, quo loco preces offerre illi moris erat, libellum offendit legitque. quare in magnam animi anxietatem coniectus eius iniuriae auctorem perquirebat. (30) contigit autem lunam deliquio laborare. tum imperator Pantaleonem metropolitam Sinadensem accersivit, ut lunaris eius defectus effectum edoceretur. dumque ad imperatorem accedit, sciscitatur ex illo Samonas, cuinam defectio illa malefica futura sit? cui ille "tibi. si tamen Iunii mensis diem tertium decimum excesseris, nihil deinceps mali patieris." ad imperatorem vero dixit ad eum spectare eclipsis vim, qui secundas ab illo teneret; atque hoc Leo de fratre suo Alexandro accepit. verum Tziretho postea imperatori seorsum confessus est Samonam libelli auctorem esse. statim ergo Leo Samonam domum suam abire iussit inque monachum tonderi; relegatque in Martinacii monasterium. Constantinum vero accubitorem facit, aedificavitque ei monasterium in Nosiis, ac veniens illius encaenia cum Euthymio patriarcha peregit.

31. Mense Octobri commissa navalis pugna Hemerio logothetae

θέτου μετὰ Δαμιανοῦ καὶ Λέοντος τῶν Ἀγαρηνῶν, στρατηγοῦντος ἐν Σάμῳ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος. ἡττήθη Ἡμέριος καὶ μόλις διεσώθη, σχεδὸν ἁπάντων τῶν μετ' αὐτοῦ κεκινδυνευκότων.

32. *Κοιλιακῷ δὲ νοσήματι περιπεπτωκὼς Λέων ὁ βασιλεὺς εἰς ἀδυναμίαν ἦλθεν ἐσχάτην, ὥστε μόλις δυνηθῆναι αὐτὸν κατὰ τὸν βασιλικὸν τύπον ἐν τῷ τῆς ἐγκρατείας δημηγορήσαντα·* D *"ὁρᾶτε κατεσκληκότα με καὶ νόσῳ τρυχόμενον· οὐκέτι τάχα μεθ' ὑμῶν καταλήψομαι τὴν τοῦ Χριστοῦ ἀνάστασιν." γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ τῆς μεγάλης ἐκκλησίας κηρουλάρια, καέντων τῶν τοποθεσιῶν καὶ χαρτοθεσιῶν τῆς πατριαρχικῆς σακέλλης. Μαΐῳ δὲ ιά, ἡμέρᾳ γ', ἰνδικτιῶνος ιέ, τελευτᾷ Λέων ὁ βασιλεύς, Ἀλεξάνδρῳ τῷ αὐτοῦ ἀδελφῷ τὴν βασιλείαν παραδούς· ὃν ἰδών, ὥς φασι, πρὸς αὐτὸν ἐρχόμενον ἔφη "ἰδὲ ὁ κακὸς καιρὸς μετὰ δεκατρεῖς μῆνας." πολλὰ δὲ τούτῳ ἐνέσκηψεν ἐκλιπαρήσας τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον φυλάττειν.*

ΒΑΣΙΛΕΙΑ P 233
ΑΛΕΞΑΝΔΡΟΥ ΥΙΟΥ ΒΑΣΙΛΕΙΟΥ.

Ἀλέξανδρος ἐβασίλευσεν ἔτος ἓν ἡμέρας κβ' σὺν Κωνσταντίνῳ τῷ υἱῷ Λέοντος. ἀποστείλας δὲ ἤγαγεν Νικόλαον ἐκ Γαλακρηνῶν, καταγαγὼν τοῦ πατριαρχείου Εὐθύμιον, καὶ ἐνεθρονίασεν

cum Damiano et Leone Agarenis, Sami praetore Romano, qui postea rerum potitus est. victus ea congressione Hemerius, aegreque ipse evasit, cunctis propemodum cum eo militantibus in vitae periculum adductis.

32. Porro imperator coeliaco morbo correptus eoque in summam redactus invaletudinem, ut vix potuerit ieiuniorum tempore ex imperatorum more concionem in haec verba habere. "videtis me contabuisse et morbo consumptum esse; nec forte ad Christi resurrectionem vobiscum vitam producam." contigit autem incendium in magnae ecclesiae cerulariis, quo patriarchalis sacelli scrinia omnia combusta sunt. Maii undecima, die tertia, indictione 15 diem obiit Leo imperator, tradito fratri suo Alexandro imperio; quem ad se venientem cum vidisset, dixisse ferunt "en malus temporis articulus post tredecim menses." etiam vero atque etiam illum rogavit ac obtestatus est ut filium suum Constantinum servaret.

IMPERIUM ALEXANDRI BASILII F.

Alexander imperavit cum Constantino Leonis filio annum unum, dies viginti-duos. mittens vero Nicolaum ex Galacrenis revocavit, deturbatoque Euthymio eum iterum in patriarchali solio collocavit. habito au-

τὸν αὐτὸν Νικόλαον τὸ δεύτερον. ποιήσας δὲ σελέντιον ἐν τῇ Μαγναύρᾳ Ἀλέξανδρος κατήγαγεν ἀπὸ τῶν Ἀγαθοῦ Εὐθύμιον, καὶ ἅμα Νικολάῳ καθεσθεὶς τὴν αὐτοῦ καθαίρεσιν ἐποιήσαντο. εὐθὺς δὲ ὥσπερ ἀνήμεροι θῆρες ἐμπεπηδηκότες τοῦ ἱεροπρεποῦς B ἀνδρὸς τὴν σεβασμίαν γενειάδα ἀπέτιλλον καὶ ἐπὶ τράχηλον ὤθουν καὶ ἄλλας ἀνυποίστους ποινὰς τούτῳ ἐπέφερον, ἐπιβάτην ἀποκαλοῦντες καὶ μοιχὸν καὶ ἀλλοτρίᾳ ἐπιπηδήσαντα γυναικί. ὁ δὲ ἱερὸς ἐκεῖνος ἀνὴρ καὶ αἰδέσιμος πράως πάντα καὶ ἡσύχως ὑπέφερεν. ὑπερόριος οὖν ἐν τοῖς Ἀγαθοῦ σταλείς, καὶ τέλει τοῦ βίου χρησάμενος, ἐν τῇ πόλει θάπτεται εἰς τὴν αὐτοῦ μονήν. ὁ δὲ τοῦ πατριάρχου κληρικὸς ὁ τὰς πολιὰς αὐτοῦ τίλας εἰς τὴν Μαγναύραν ἐν τῷ ἐξορίζεσθαι αὐτόν, ὑποστρέψας εἰς τὴν οἰκίαν αὐτοῦ, τὴν C αὐτὴν τὴν ὥραν ὁ οἶκος αὐτοῦ πυρκαϊᾷ παρεδόθη ἀοράτῳ. εὗρε δὲ καὶ τὴν θυγατέρα αὐτοῦ ἐπειλημμένην καὶ κρατηθεῖσαν καὶ τὰς χεῖρας καὶ τὸ στόμα καὶ τὴν λαλιάν· ἥτις καὶ κλινήρης οὖσα διήρκεσε τὴν ἐφήμερον τροφὴν ζητοῦσα μέχρι Νικηφόρου βασιλέως τοῦ Νικητοῦ.

2. Ὁ οὖν Ἀλέξανδρος καὶ πάλαι τοῦτο ἔργον ἔχων, τὸ ἁβροδίαιτος εἶναι καὶ τοῖς κυνηγεσίοις προσέχειν διὰ τὰς ὑπεροψίας τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος, καὶ μηδὲν βασιλέως ἔργον δια- D πράττεσθαι, ἀλλὰ τὸ τρυφᾶν καὶ ἀσελγείαις σχολάζειν ἠγαπηκώς, μονώτατος ἄρξας οὐδὲν γενναῖον ἢ λόγου ἄξιον κατεπράξατο. ἅμα γὰρ τῷ γενέσθαι μονοκράτωρ Ἰωάννην παπᾶν (Λαζάνης τούτῳ

tem in Magnaura concilio, exque Agatho deducto Euthymio, una cum Nicolao sedens sacerdotali eum dignitate exuit. mox vero velut ferae bestiae in venerandum sacrumque virum insilientes, venerabilem barbam vellicabant, inque cervicem pellebant, aliisque gravissimis modis excruciabant, inscensorem vocantes et adulterum, quique alienam invasisset uxorem. quae omnia vir sanctus et venerabilis placide ac silentio sustinebat. exsilio itaque ad Agathi aedes relegatus vitaque functus in monasterio suo in urbe sepultus est. clericus ille patriarchae, qui in Magnaura cum mitteretur in exsilium canos ei vulserat, domum reversus ea ipsa hora incendio absumptam invenit, filiamque manibus oreque impeditam omnique sermonis vi destitutam; quae et lecto decumbens ad Nicephori usque imperatoris (magnifici illius victoris) tempora duravit, in diurnum cibum stipem mendicans.

2. Alexander itaque cum et olim sic comparatus esset ut molliori vitae cupediisque ac venationibus tempus omne addiceret, ob Leonis scilicet fratris suspiciones, nihilque regium agitaret sed deliciis et impudicitiis incumberet, etiam solus rerum potitus nullum generosae indolis specimen edidit aut dignum memoria quicquam egit. statim enim ac imperium solus capessivit, Ioannem clericum cognomento Lazanem recto-

ἐπώνυμον) ῥαίκτωρα πεποίηκεν· ὃς καὶ κακῶς τὸ ζῆν ἀπέρρηξεν
μετὰ θάνατον Ἀλεξάνδρου ἐν τῷ Ἑβδόμῳ σφαιρίζων. (3) ὡσαύ-
τως οὖν καὶ Γαβριηλόπουλον καὶ Βασιλίτζην τὸν ἀπὸ Σκλαβισίαν
σφοδρῶς κατεπλούτισεν καὶ τοῖς τοῦ παλατίου περιήντλησε χρή-
μασι. φασὶ δὲ καὶ βεβουλεῦσθαι αὐτὸν πολλάκις τὸν αὐτὸν Βα- P 234
σιλίτζην εἰς βασιλέα προχειρίσασθαι, τὸν δὲ Κωνσταντῖνον τοῦ
Λέοντος υἱὸν εὐνουχίσαι· ἥτις βουλὴ καὶ διεσκεδάσθη παρὰ τῶν
εὐνοούντων τῷ Λέοντι, ποτὲ μὲν ὡς νήπιός ἐστι ποτὲ δὲ ὡς ἀσθε-
νὴς ὑποτιθεμένων. ἐπὶ τούτου ἀστὴρ ἐφάνη κομήτης ἐκ δύσεως·
ξιφίαν αὐτὸν ἐκάλουν, ὃν αἱμάτων χύσιν προσημαίνειν ἐν τῇ πόλει
γενέσθαι ἔφασαν.

4. Οὗτος Ἀλέξανδρος πλάνοις ἑαυτὸν καὶ γόησιν ἐκδεδω-
κὼς ἐπείσθη ὑπ' αὐτῶν ὡς ὁ ἐν τῷ ἱππικῷ σύαγρος χαλκοῦς ἑστη-
κὼς στοιχεῖον αὐτοῦ εἴη· λέοντι γὰρ τῷ αὐτοῦ, φασίν, ἀδελφῷ
ἀντιμάχεται, χοιρόβιον τὸν ἀνόητον ὑπεμφαίνοντες. ὁ δὲ τούτοις B
ἀπατηθεὶς αἰδοῖα καὶ ὀδόντας τῷ χοίρῳ προσανενέωσεν ὡς λει-
πομένους αὐτῷ. τῇ τοιαύτῃ οὖν πλάνῃ πεποιθὼς ἱππικὸν πεποίη-
κεν, καὶ τοὺς ἱεροὺς τῶν ἐκκλησιῶν πέπλους καὶ τοὺς λαμπτῆρας
ἀναλαβὼν τὸ ἱππικὸν κατεκόσμησεν, τὴν τοῦ θεοῦ τιμὴν τοῖς εἰδώ-
λοις ὁ δείλαιος παρασχών. διὸ καὶ τὴν τιμὴν παρὰ θεοῦ ἀφῃρέθη
ὡς τάχιστα.

5. Ἡμερίου δὲ λογοθέτου ἐκ τῆς ἥττης τῶν Ἀγαρηνῶν ὑποστρέψαντος, ἀποστείλας περιώρισεν αὐτὸν ἐν τῇ μονῇ τοῦ πα-

rem fecit; qui et paulo post defuncto Alexandro, in Hebdomo pila ludens, male periit. (3) similiter quoque Gabrielopulum et Basilitzem Sclabinorum ortum genere vehementer ditavit, ac palatii eos opibus cumulavit. ferunt saepius animo agitasse ut eundem Basilitzem imperatorem praeficeret ac Constantino Leonis filio virilia exsecaret; quod illius consilium dissiparunt viri in Leonem propensiore animo, dum modo tenerae aetatis puerum, modo infirmae valetudinis esse causarentur. eo imperante stella cometes ab occidente apparuit (xiphiam appellant ob gladii similitudinem) sanguinisque effusionem in civitate portendere aiebant.

4. Ceterum Alexander se ipse impostoribus ac praestigiatoribus dedens ab eis in eam mentem adductus est, ut Aprum aeneum in Circo erectum suum ille signum esse existimaret. aiebant enim Leoni fratri adversari, eius porcorum affinem vitam moresque insinuantes. hoc ergo deceptus errore pudenda dentesque porco, qui desiderabantur, instaurari curavit. eadem erroris fallacia, equestri edito certamine, sacris ecclesiarum aulaeis et candelabris Circum ornavit, dei honorem, miser idolis tribuens. unde et cito divina ultione honorem amisit.

5. Hemerium logothetam ab Agarenica clade reversum in palatii

λατίον ἢ ἐπώνυμον Καμπᾶ, διαπειλησάμενος αὐτὸν ὡς ἐχθρὸν C *φανέντα ἐν ταῖς ἡμέραις τῆς βασιλείας τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος. ὁ δὲ περιωρισμένος ἐπὶ μῆνας ἓξ ἐτελεύτησεν δεινῶς ὑπὸ θλίψεως κατεργασθείς.*

6. *Ὁ δὲ ἄρχων Βουλγαρίας Συμεὼν πρέσβεις πρὸς Ἀλέξανδρον ἐξαπέστειλεν περὶ τῆς εἰρήνης, μηνύων ὡς ταύτην ἀσπάζοιτο, καὶ τοῦ φιλοφρονεῖσθαι αὐτὸν καὶ τιμᾶσθαι, ὥσπερ δὴ καὶ ἐπὶ τοῦ βασιλέως Λέοντος. ὁ δὲ ἀνοίᾳ καὶ ἀφροσύνῃ κρατηθεὶς τοὺς πρέσβεις ἀτίμως ἐξέπεμψεν, ἀπειλαῖς χρώμενος κατὰ Συμεὼν καὶ καταπλήττειν οἰόμενος. τῆς οὖν εἰρήνης διαλυθείσης ὅπλα κατὰ Χριστιανῶν κινῆσαι Συμεὼν ἐβουλεύετο.*

D 7. *Ἀλέξανδρος δὲ ἀριστήσας καὶ οἰνωθεὶς ἐν τοῖς ὑπὸ κύνα καύμασιν κατῆλθεν τῇ τῆς σφαιρᾶς χρήσασθαι παιδιᾷ. ῥομφαίᾳ δὲ θεηλάτῳ πληγεὶς καὶ ἀνελθών, αἵματος αὐτοῦ πολλοῦ ἐκ τῶν ῥινῶν καὶ αἰδοίων καταφερομένου, μετὰ δύο ἡμέρας ἐτελεύτησεν, μηνὶ Ἰουνίῳ ϛ´, ἡμέρᾳ κυριακῇ, ἰνδικτιῶνος πρώτης, ἐπιτρόπους καταλιπὼν Νικόλαον πατριάρχην καὶ Στέφανον μάγιστρον καὶ Ἰωάννην μάγιστρον τὸν Ἐλαδᾶν καὶ Ἰωάννην ῥαίκτωρα καὶ Εὐθύμιον καὶ τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπουλον, τὴν βασιλείαν τῷ υἱῷ Λέοντος Κωνσταντίνῳ παραδούς. ἀπέθεντο δὲ Ἀλέξανδρον ἐν τοῖς τάφοις τῶν βασιλέων, καὶ ἐτέθη μετὰ τοῦ πατρὸς αὐτοῦ Βασιλείου.*

monasterium Campa dictum relegavit, ei minitatus, ut qui Leone eius fratre imperatore iniquior ipsi hostisque exstitisset. qua ille per menses sex sequestratione, nimio maerore ex casus atrocitate confectus, exstinctus est.

6. Symeon Bulgariae princeps, missis ad Alexandrum legatis, de pace significat, illi se studere, et ut se ille demereatur ac colat, velut Leone imperatore. Alexander dementia ac insipientia actus legatos contumeliose dimittit, minisque adhibitis, quibus incussurum se Symeoni terrorem existimaverit. soluta ergo pace Symeon arma movere adversus Christianos cogitabat.

7. Ceterum Alexander large pransus vinoque ingurgitatus sub caniculae ardoribus, cum ad pila ludendum descendisset, deo ultore percussus, multoque per nares et veretrum cruore fuso, post biduum vivis excessit, mensis Iunii 6, die dominica, indictione prima, tutoribus relictis Nicolao patriarcha et Stephano magistro Ioanneque magistro Elada et Ioanne rectore et Euthymio et Basilitze et Gabrielopulo, translato in Constantinum Leonis filium imperio. illatus Alexander imperatorum sepulcris ac cum Basilio patre conditus est.

ΒΑΣΙΛΕΙΑ P 235
ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΥΙΟΥ ΛΕΟΝΤΟΣ.

Κωνσταντῖνος δὲ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος Λέοντος παῖς ἔτι τυγχάνων (ἕβδομον γὰρ εἶχεν τῆς ἡλικίας ἔτος) ὑπὸ Ἀλεξάνδρου θείου αὐτοῦ ἐν τῇ βασιλείᾳ καταλέλειπτο, ὑπὸ ἐπιτρόπους τελῶν. ἐβασίλευσεν οὖν ὑπὸ τῶν αὐτοῦ ἐπιτρόπων καὶ σὺν τῇ μητρὶ ἔτη ἑπτά, ἅμα δὲ Ῥωμανῷ πενθερῷ αὐτοῦ, ὢν ἐν ὑποταγῇ, ἕτερα ἔτη κϛʹ, μονοκράτωρ δὲ ἔτη πεντεκαίδεκα, ὡς εἶναι τὸν πάντα χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη νεʹ. λαβόμενος οὖν τῆς B τοῦ παλατίου ἐξουσίας ὁ πατριάρχης Νικόλαος, ὥστε καὶ αὐτὸς ἐπίτροπος ὢν σὺν τῷ μαγίστρῳ Στεφάνῳ καὶ τῷ Ἐλαδᾷ Ἰωάννῃ μαγίστρῳ καὶ αὐτῷ, τὴν τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα εἶχεν τῶν τῇ βασιλείᾳ πραγμάτων ἀνηκόντων ὁσημέραι.

2. Ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης, δηλοῦται Κωνσταντίνῳ τῷ Δουκί, δομεστίκῳ τυγχάνοντι τῶν σχολῶν, παρά τινων τῶν ἐν τῇ πόλει μεγιστάνων φιλούντων αὐτὸν ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν βασιλείαν κυβερνᾶν, εἰσελ- P 236 θεῖν καὶ ταύτης ἐγκρατὴς γενέσθαι ἀπονητί. ὡς δέ τινες, καὶ Νικόλαος πατριάρχης ἠγνοηκὼς ὡς κατ' ἐπιτροπὴν Ἀλεξάνδρου αὐτῷ ἐγκεχείριστο τὰ τῆς ἐξουσίας ἐπιτροπεῖν, Ἀρταβάσδῳ ἐγχειρίσας, ᾧ τὸ ἱερατεύειν ἐνείργητο, ἐξαπέστειλε πρὸς τὸν τοῦ Δου-

CONSTANTINI LEONIS FILII IMPERIUM.

Constantinus Leone patre mortuo adhuc puer (septimum quippe agebat aetatis annum) ab Alexandro patruo in imperio sub tutoribus relinquitur. sub illis itaque ac cum matre sua imperavit annos septem, cum Romano socero illique subiectus annos alios sex supra viginti; solus denique imperium rexit annos quindecim. atque adeo eius imperii tempus omne annorum quinque supra quinquaginta spatio concluditur. arrepta itaque Nicolaus patriarcha aulae potestate (ut qui ipse tutor cum magistro Stephano et Ioanne Elada, ipso pariter magistro, erat) rei publicae prospiciebat, quotidieque rebus ad imperium spectantibus sedulo operam navabat.

2. Eo igitur rei publicae statu, ac cum sic Romanum administraretur imperium, quidam ab urbe Constantino Duci scholarum domestico, quem ut virum fortem ac catum probeque gerendo imperio parem gnavumque diligerent, ut adesset significant: fore nimirum ut nullo labore rerum in se summam transferret. non desunt autem qui dicant etiam Nicolaum patriarcham, cum nesciret Alexandri testamento se tutorem relictum, negotii partibus Artabasdo concreditis, cui sacerdotali munere

κὸς Κωνσταντῖνον, παρακελευόμενος εἰσεληλυθέναι τῇ βασιλίδι, ὡς τῆς βασιλείας ἐπιλάβηται· ὃς διὰ τὴν τοῦ γράμματος διαπόρθμευσιν τῆς περιωνύμου Σοφίας πρῶτος τῶν ἱερωμένων κεκλήρωται. οὗτος γὰρ γεννήτωρ Ἀνδρέου τοῦ ἐν χρόνοις τοῖς καθ' ἡμᾶς τὴν ζωγραφικὴν τέχνην εἰς ἄκρον ἐλάσαντος, ἧπερ Ἀπελλῆς
B καὶ Ἀγάθαρχος Ἡρακλείδης τε καὶ Φίλοινος οἱ Βυζάντιοι, καθεστήκει. (3) ὁ δέ, ἅτε καὶ πρότερον αὐτὴν ὀνειροπολῶν καὶ τοῦ στέφους ἀεὶ ἐφιέμενος, ὡς εἶχε τάχος τὴν βασιλεύουσαν κατέλαβεν ἅμα τοῖς σὺν αὐτῷ τῶν στρατευμάτων ἐγκρίτοις, ἱκανοῖς οὖσι. καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαήλ, οὔσης πλησίον ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ αὐτοῦ Γρηγορᾶ ἄϋπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσεν. Νικήτας δὲ ἀσηκρῆτις, ὁ μετὰ ταῦτα πρωτονοτάριος γεγονώς, τὴν Κωνσταντίνου ἄφιξιν τῷ πατρικίῳ Κωνσταντίνῳ καὶ μοναχῷ τῷ
C Ἐλαδικῷ κατεμήνυσεν· καὶ ἄμφω τῇ αὐτῇ νυκτὶ πρὸς τὸν Δοῦκα Κωνσταντῖνον παρεγένοντο, καὶ βουλὴν ποιησάμενοι οὔπω τῆς ἡμέρας καταλαβούσης μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὄχλου τὴν τοῦ ἱπποδρόμου πύλην καταλαμβάνουσιν, Κωνσταντῖνον εὐφημοῦντες ὡς βασιλέα· ἔνθα δὴ ὁ τούτου ἱπποκόμος λογχευθεὶς παρὰ τῶν ἐντὸς τῶν τοῦ ἱπποδρόμου πυλῶν ἀνῃρέθη. μὴ δεχθεὶς οὖν ἐκεῖσε ὁ Κωνσταντῖνος ἀλλ' ἀποσοβηθείς, ὥσπερ ὑπό τινος ἐκβακχευόμενος δαίμονος καὶ μὴ ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι, ἐν τῷ ἱπποδρομίῳ ὑπεχώρησεν στυγνός

9 ἐκκρίτοις?

interdictum fuerat, ad Constantinum Ducis filium scripsisse, hortantem ut ad capessendum imperium sese Byzantium conferret; ob easque latas literas id muneris consecutus est ut percelebris Sophiae sacerdotum princeps esset, Andreae scilicet pater, qui nostra aetate pingendi artem prae Apelle et Agatharcho Heraclideque et Philoeno Byzantiis maiore cultu provexit ac nobilitavit. (3) porro Constantinus, ut qui iam ante imperium somniaret, statim acceptis literis in urbem involat, lectis militibus stipatus, nec ipsa multitudine spernendis; noctuque per Michaelis protovestiarii haud procul ab arce ostiolum ingressus in soceri sui Gregorae aedibus cum sociis insomnis permansit. Nicetas vero a secretis, qui postea protonotarius fuit, Constantini adventum Constantino patricio et monacho Eladico nuntiavit; amboque eadem nocte ad Constantinum Ducem accesserunt; consertoque consilio, cum necdum illuxisset, cum facibus militumque non levi armata manu et turba Circi portam occupant, ac Constantinum faustis acclamationibus imperatorem salutant. ibi eius equiso a praesidiariis iisque qui intra portas erant, lancea confixus interiit. haud itaque illic receptus Constantinus, sed repulsus, velut daemonis cuiusdam afflatu furiis actus, nec prae imperii cupiditate mentis

τε καὶ κατηφὴς, κακὸν οἰωνὸν τὴν τοῦ ἱπποκόμου κρίνας σφαγήν. D
ἐκεῖθεν οὖν εὐφημούμενος ἦλθεν μέχρι τῆς Χαλκῆς, καὶ διὰ τῆς
Σιδηρᾶς πόρτης τῆς αὐτῆς Χαλκῆς εἰσεληλυθὼς, μέχρι τῶν Ἐξ-
κουβίτων παρεγένετο. ὁ οὖν μάγιστρος Ἰωάννης ὁ Ἑλαδᾶς ἐκλο-
γὴν τῶν τε τῆς ἑταιρείας καὶ τῶν ἐλατῶν ποιησάμενος μεθ᾽ ὅπλων
τούτους ἀπέστειλεν κατὰ τοῦ Δουκός. ἐλθόντων οὖν μέχρι τῆς
Χαλκῆς, καὶ πολέμου συστάντος, πολλοὶ ἐξ ἀμφοτέρων ἔπεσον
τῶν μερῶν, ἔργον ἐκεῖσε μαχαίρας γενόμενοι, καὶ τοσοῦτον ὥστε
τὸν τόπον ἐνλιμνασθῆναι τῷ αἵματι ποταμηδὸν καταρρέοντι.
ἀνῃρέθη δὲ καὶ Γρηγορᾶς ὁ υἱὸς τοῦ Δουκὸς καὶ Μιχαὴλ ὁ ἐξ- P 237
άδελφος αὐτοῦ καὶ ὁ Κουρτίκης ὁ ἐξ Ἀρμενίων. ταῦτα ὁ Δοὺξ
Κωνσταντῖνος μαθὼν, ταραχῆς ὅτι πλείστης γενομένης, τοῦ ἱπ-
πικοῦ ἐξήλαυνεν. ὁ δὲ ταῖς ἐκεῖσε ὑπεστρωμέναις κατολισθήσας
πλαξὶν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν. ἐπεὶ δέ τις αὐτὸν κατὰ
γῆς ἐρριμμένον καὶ μεμονωμένον κατέλαβεν (οἱ γὰρ ἄλλοι διεσκε-
δάσθησαν ἅπαντες), ξίφει τὴν τούτου ἀπέτεμε κεφαλὴν, ἥτις τῷ
βασιλεῖ προσενήνεκτο καταφανὴς ἅπασι τῆς ἀπάτης εἰς ἀποτρό-
παιον. τὸ δὲ τοιοῦτον αὐτοῦ ἐγχείρημα κατά τινα καὶ ἄλλον τρό- B
πον ἐδεδήλωτο. Νικόλαος γάρ τις τὰς ἐν Χαλδίᾳ τῶν δημοσίων
εἰσπράξεις ἐμπεπιστευμένος εἰς Συρίαν ἀφίκετο, τῆς καθ᾽ ἡμᾶς
εὐσεβείας ἔξαρνος γεγονώς· ὃς ἐκεῖσε διατρίβων ἀστρονομίας ἢ
ἀστρολογίας τινὸς μᾶλλον μετεποιεῖτο. οὗτος ἐν μελανεμβαφεῖ
γράψας ὑφάσματι ἀπεστάλκει τοῦτο πρὸς τὸν λογοθέτην Θωμᾶν,
οὗ δὴ ῥυφθέντος ἐν ὕδατι παρὰ Μανουὴλ τοῦ τῶν Ἀγαρηνῶν ἑρ-

satis compos, in Circum se tristis vultuque demisso subducit, malum omen reputans, quod equisonem necatum amiserit. illinc itaque, faustis acclamationibus prosequentibus, ad Chalcem usque venit; perque eiusdem Chalces portam ferream ad excubitorum usque stationem evasit. interim magister Ioannes Eladas, ex sodalitatibus classiariisque delectu habito, armis instructos adversus Ducem misit. ad Chalcem usque cum venissent, consertoque praelio, multi utrinque gladiis perempti ceciderunt; ingensque adeo strages fuit, ut et sanguinis rivi instar fluminis stagnarent. occisus est et Gregoras Ducis filius et Michael eius consobrinus, nec non Curtices Armenius. haec videns Constantinus Dux, cum maxima esset turbatio, equum impulit. ille in lapideis tabulis, quibus locus constratus erat, collapsus sessorem excussit. quem in terram proiectum solumque derelictum quispiam offendens (alii enim dispersi ac palantes erant) eius caput gladio abscidit, inque omnium oculis, ad vulgi errorem depellendum, imperatori detulit. eiuscemodi Ducis aggressio per alium quoque modum innotuerat. nempe Nicolaus quidam publicanus in Chaldia, publicisque vectigalibus praefectus, Christiana eiurata religione in Syriam se receperat. illic agens astronomiae seu magis astrologiae cuidam operam dabat. in nigro itaque linteo scribens ad Thomam logothetam miserat; quo aqua eluto a Manuele Agarenorum inter-

μηνέως τὰ ἐν αὐτῷ πεφανέρωται γράμματα, "μὴ φοβήθητε ἀπὸ
τοῦ πυρροῦ πετεινοῦ τοῦ Δουκός· νεωτερισθήσεται γὰρ ἀφρόνως,
καὶ εὐθέως ὀλοθρευθήσεται.

C 4. *Τούτων οὖν οὕτω τελεσθέντων, Γρηγορᾶς τούτου πεν-*
θερὸς μετὰ Λέοντος, ὃν Χοιροσφάκτην ὠνόμαζον, τῇ ἁγίᾳ σοφίᾳ
τοῦ θεοῦ ἐκκλησίᾳ προσέφυγον· οὓς καὶ βίᾳ ἐκεῖσε ἀποσπάσαντες
ἀπέκειραν μοναχοὺς ἐν τῇ τῶν Στουδίου μονῇ. Κωνσταντῖνον δὲ
τὸν Ἐλαδικὸν βουνεύροις τύψαντες ῥάκη τε περιβαλόντες καὶ ὄνῳ
καθίσαντες διὰ μέσης τῆς πόλεως ἐθριάμβευσαν, καὶ ἐν τῇ τοῦ
Δαλμάτου ἀπαγαγόντες μονῇ ἐγκατάκλειστον τῇ καταδίκῃ πεποιή-
κασιν. Λέοντα δὲ τὸν Κατακαλίτην καὶ Ἀβεσσαλὼμ τὸν τοῦ
D *Ἀροτρᾶ ἐκτυφλώσαντες ἐν ἐξορίᾳ παρέπεμψαν. Κωνσταντῖνον*
δὲ τὸν τοῦ Εὐλαμπίου υἱὸν καὶ ἑτέρους σὺν αὐτῷ Φιλόθεος ὕπαρ-
χος ὁ τοῦ Λαμπούδη ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ ἀπέτεμεν. οὐ
μικρὸν δὲ διερευνησάμενοι περὶ Νικήτα ἀσηκρῆτις καὶ Κωνσταν-
τίνου τοῦ Λιβὸς οὐχ εὗρον αὐτοὺς ὡς χρησαμένους φυγῇ. τὸν
δὲ Αἰγίδην ἐκεῖνον καὶ τοὺς σὺν αὐτῷ πολλοὺς καὶ ἀνδρείους ὄν-
τας ἀπό τε τῆς ἐν Χρυσοπόλει δαμάλεως καὶ μέχρι τοῦ Λευκάτου
διδύμοις ξύλοις πάντας ἀνεσκολόπισεν. καὶ πολλοὺς ἂν τῶν ἐν
τέλει τότε ἀνηλεῶς καὶ ἀναιτίως οἱ λεγόμενοι οὗτοι ἐπίτροποι ἀπέ-
P 238 *κτειναν, εἰ μή τινες τῶν δικαστῶν τούτους τῆς ἀδίκου ὁρμῆς ἀνε-*
χαίτισαν, εἰπόντες αὐτοῖς ὡς παιδὸς ὄντος τοῦ βασιλέως, πῶς

7 **Στουδίων P, Στουδίου margo**

prete, apparuerunt quae in eo erant exaratae literae, in hanc sententiam, "ne timueritis a Duce ruffa volucre: stulte enim res novas molietur, et statim peribit."

4. His itaque eum in modum peractis, Gregoras Constantini socer cum Leone Choerosphacta, quem vocant, in sanctam dei Sophiam, sic dictam ecclesiam, confugerunt; quos inde vi extractos in Studii monasterio monachos detonderunt; Constantinum vero Eladicum nervis bubulis caesum vilibusque ac laceris vestibus indutum asinoque impositum per mediam urbem traducentes, in Dalmatae monasterio lata sententia inclusum agere statuerunt. Leonem vero Catacalitem et Abessalonem Arotrae filium excaecatos in exsilium miserunt. Constantinum Eulampii filium aliosque cum eo Philotheus Lampudes urbis praefectus ad Circi metam gladio obtruncavit. de Niceta a secretis et Constantino Libe non exigua facta perquisitio: haud tamen inventi sunt, quod fuga saluti consuluerant. Aegidam vero virum spectabilem sociosque, qui plures ac viri fortes essent, a Damali (vacca scilicet) quae est Chrysopoli, ad Leucatum usque, lignis geminis (id est furcis) omnes suspendit. procerumque plures ac senatorii ordinis viros per id tempus tutores isti immani saevitia innoxiosque peremissent, ni iudicum quidam ab iniusto eos conatu ac mente retraxissent, cum dicerent, "quid vero vos impe-

ἂν ἄνευ τῆς αὐτοῦ κελεύσεως τοιαῦτα τολμᾶτε διαπράττεσθαι; τὴν τῶν Δουκὸς οὖν γυναῖκα ἀποκείραντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῆς ἐξαπέστειλαν, εὐνουχίσαντες καὶ τὸν υἱὸν αὐτῆς Στέφανον.

5. Αὐγούστῳ δὲ μηνὶ Συμεὼν ὁ Βουλγαρίας ἄρχων ἐκστρατεύσας κατὰ Ῥωμαίων σὺν ὄχλῳ βαρεῖ κατέλαβεν τὴν Κωνσταντινούπολιν, καὶ δὴ παρακαθίσας αὐτῇ χάρακα περιέβαλεν ἀπό τε Βλαχερνῶν καὶ μέχρι τῆς λεγομένης Χρυσῆς πόρτης, ἐλπίσι μετέωρος ἦν ὡς ἀπονητὶ ταύτην ἑλεῖν. ἐπεὶ δὲ τήν τε τῶν τειχῶν κατέμαθεν ὀχυρότητα τήν τε ἐκ τοῦ πλήθους καὶ τῶν ὁπλι- B τῶν καὶ τῶν πετροβόλων καὶ τοξοβόλων ὀργάνων ἀσφάλειαν, τῶν ἐλπίδων σφαλεὶς ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς αἰτησάμενος. τῶν δὲ ἐπιτρόπων ἀσμενέστατα ἀποδεξαμένων, ἀποστέλλει Συμεὼν Θεόδωρον μάγιστρον αὐτοῦ συλλαλῆσαι τὰ τῆς εἰρήνης. ἀναλαβόμενοί τε ὅ τε πατριάρχης Νικόλαος καὶ Στέφανος καὶ Ἰωάννης ὁ μάγιστρος τὸν βασιλέα ἦλθον μέχρι τῶν Βλαχερνῶν, καὶ εἰσήγαγον τοὺς δύο υἱοὺς τοῦ Συμεών, καὶ συνεστιάθησαν τῷ βασιλεῖ ἐν τῷ παλατίῳ. Νικόλαος δὲ ὁ πατριάρχης ἐξῆλθε πρὸς Συμεών, ᾧ τινὶ τὴν κεφαλὴν ὑπέκλινε Συμεών. εὐχὴν οὖν ὁ πατριάρχης ποιήσας ἀντὶ στέμματος, ὥς C φασί, τὸ ἑαυτοῦ ἐπιρριπτάριον τῇ αὐτοῦ ἐπέθετο κεφαλῇ. δώροις οὖν ἀμέτροις καὶ μεγίστοις φιλοφρονηθέντες ὅ τε Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν, ἀσύμφωνοι ἐπὶ τῇ εἰρημένῃ εἰρήνῃ διαλυθέντες.

ratore adhuc puero eiusque iniussu talia audetis patrare?" ducis itaque uxorem detonsam in illius domum in Paphlagonia dimiserunt, eiusque filium Stephanum castraverunt.

5. Mense Augusto Symeon Bulgariae princeps expeditione adversus Romanos suscepta cum numeroso fortique exercitu Cpolim venit; obsessaque urbe ac vallo a Blachernis ad Chrysem portam ducto, illius facili negotio potiundae spe elatus erat. perspecta tamen moenium firmitate populique ac praesidiariorum multitudine nec non balistarum aliorumque omnis generis tormentorum copia, spe frustratus ad Hebdomum recedit, pacis foedera petens. fuit res tutoribus gratissima; missusque a Symeone illius magister Theodorus, qui de pace colloqueretur. Nicolaus vero patriarcha et Stephanus et Ioannes magister assumpto imperatore, ad Blachernas usque profecti ambos Symeonis filios introduxerunt ac cum imperatore in palatio epulis acceperunt. Nicolao patriarcha ad Symeonem egresso, ille caput ei modeste inclinavit; fusaque super eum precatione, stemmatis loco capitis sui operimentum eius capiti, ut ferunt, patriarcha iniecit. amplissimis itaque immensisque excepti muneribus Symeon ac filii, cum de pace inter eos non satis convenisset, in patriam domumque redierunt.

6. Τοῦ βασιλέως οὖν Κωνσταντίνου ἅτε παιδὸς ὄντος καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος (ἤδη γὰρ ταύτην κατήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς) ἀναβιβάζουσιν αὐτὴν πάλιν. αὕτη οὖν περικρατὴς γενομένη τῆς βασιλείας ἀναβιβάζει εἰς τὸ παλάτιον Κωνσταντῖνον παρακοιμώμενον καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον D αὐταδέλφους τοὺς Γογγυλίους λεγομένους· καὶ τῇ βουλῇ Ἰωάννου τοῦ Ἐλαδᾶ καταβιβάζουσι τοὺς οἰκείους τοῦ Ἀλεξάνδρου βασιλέως, Ἰωάννην τὸν ῥαίκτωρα καὶ τὸν λεγόμενον Γαβριλόπουλον καὶ Βασιλίτζην καὶ τοὺς λοιπούς. προχειρίζεται δὲ ἡ Αὐγοῦστα Δομίνικον ἑταιρειάρχην. μάγιστρος δὲ ὁ Ἐλαδᾶς νόσῳ προσπεσὼν καὶ ἀπαγορευθεὶς παρὰ τῶν ἰατρῶν, κατελθὼν ἐκ τοῦ παλατίου καὶ ἐν ταῖς Βλαχέρναις παραγενόμενος, ὑπὸ τῆς νόσου βαρυνθεὶς τελευτᾷ. συμβουλῇ Δομινίκου ἑταιρειάρχου καταβιβάζει Ζωὴ Νικόλαον πατριάρχην ἅμα τοῖς μετ' αὐτοῦ, μετ' ὀργῆς τὰ τῆς P 239 ἰδίας ἐκκλησίας φροντίζειν εἰποῦσα. [οὐ] μετ' οὐ πολὺ Κωνσταντῖνος παρακοιμώμενος διαβάλλει τῇ Αὐγούστῃ Δομίνικον ἑταιρειάρχην ὡς τὴν βασιλείαν σφετεριζόμενον εἰς τὸν ἑαυτοῦ ἀδελφόν. καὶ τοῦτον ἐν προφάσει πατρίκιον ποιήσαντες, κατελθόντα εἰς τὴν ἐκκλησίαν, ὡς ἔθος, εὐχὴν λαβεῖν, οἴκοι μένειν παρεκελεύσαντο, προεβάλετο δὲ Ζωὴ Ἰωάννην τὸν Γαριδᾶν ἑταιρειάρχην καὶ Δαμιανὸν εὐνοῦχον τῆς βίγλης δρουγγάριον. Δομίνικος δὲ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ ἀνόνητα ὀλοφυρόμενος.

7. Τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην πάλιν ληϊζο-

6. Constantino igitur imperatore, velut qui puer esset, matrem suam identidem requirente, quam Alexander dudum aula eiecerat, eam rursus in palatium revocant. rerum itaque potita nactaque civilium administrationem, Constantinum accubitorem et Constantinum Anastasiumque germanos fratres Gongulios vocatos in aulam accersit; Ioannisque Eladae consilio, Alexandri imperatoris asseclas ea removet, Ioannem rectorem, sicque nuncupatum Gabrilopulum et Basilitzem aliosque. porro Augusta Dominicum hetaeriarcham praeficit. magister Eladas morbo correptus ac a medicis depositus, e palatio secedens ad Blachernas venit, ibique morbo ingravescente fato functus est. Dominici hetaeriarchae consilio Zoe Nicolaum patriarcham cum suis aula removet, irascentis specie suam ipsius iubens curare ecclesiam. nec multo post Constantinus accubitor Dominicum hetaeriarcham apud Augustam accusat, ut qui rerum summam in fratrem suum transferre cogitaret. simulate igitur patricii dignitate ornantes, cum ex more in templum precibus communiendus descendisset, domi manere iussere. eius loco praefecit Zoe foederatorum turmis Ioannem Garidam; Damianum vero eunuchum excubiarum drungarium creavit. Dominicus frustra lugens ac quiritans domum se recepit.

7. Ceterum Symeone Bulgaro iterum Thraciam infestante, Augusta

μένον, ἐν φροντίδι οὔσης τῆς Αὐγούστης καὶ τῶν ἐν τέλει ὅπως B *αὐτὸν τῆς ἀλαζονείας παύσωσιν, ᾐτήσατο Ἰωάννης ὁ Βογᾶς γενέσθαι πατρίκιος, ὑποσχόμενος κατ' αὐτοῦ ἀγαγεῖν Πατζινάκας. τῆς αἰτήσεως δὲ τυχὼν δῶρά τε λαβὼν εἰς τὴν Πατζινάκων ἀπῄει χώραν· καὶ δὴ σπεισάμενος, ὁμήρους ἐκεῖθεν λαβὼν ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων Πατζινάκων διαπερᾶσαι καὶ τὸν Συμεὼν καταπολεμῆσαι. παρεγένετο δὲ τότε ἐν τῇ πόλει καὶ Ἀσώτιος, ἀνὴρ ἐπὶ ῥώμῃ ὀνομαστότατος, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων, ὅν φασι σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέραις κρατοῦντα χερσὶ τῇ ὑπερβαλλούσῃ δυνάμει διακάμπτειν καὶ πρὸς τὸ κυκλικὸν* C *σχῆμα μετάγειν, τῆς ἀντιτύπου τῆς σιδήρου φύσεως τῇ βίᾳ τῶν χειρῶν ὑπεικούσης. ὃν παραγενόμενον ἡ δέσποινα καὶ μετὰ πολλῆς τιμῆς ὑπεδέξατο καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψεν.*

8. *Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος τρίτης, Παγκρατούκας ὁ Ἀρμένης τὴν Ἀδριανούπολιν τῷ Συμεὼν προδέδωκεν, ἥτις τὸ πρὶν μὲν Ὀρεστιὰς ἐκαλεῖτο, ἐξ Ὀρέστου υἱοῦ Ἀγαμέμνονος, ὃς ζήλῳ δικαίῳ διὰ τὴν πρὸς τὸν πατέρα Κλυταιμνήστρας δολοφονίαν ταύτην σὺν Αἰγίσθῳ ἀποκτείνας λίαν ἐκμέμηνεν καὶ ἐν τῇ συνελεύσει Ἕβρου Ἄρζου τε καὶ Ἀρτάκου τῶν τριῶν ποταμῶν γε λουσάμενος τῆς νόσου ἀπήλλακτο· ἔνθα ταύτην οἰκοδο-* D *μήσας ἐπὶ τῷ ἰδίῳ ὀνόματι κέκληκεν· Ἀδριανὸς δὲ Καῖσαρ εὐκτίστοις οἰκήμασιν αὐτὴν μεγαλύνας πόλιν Ἀδριανοῦ μετακέκληκεν. αὕτη τρίτης ἡμέρας παρὰ ἀνδρὸς εὐπετοῦς ἐν διόδῳ Φιλιππουπόλεως σταδιάζεται, ἠγκαλισμένη τῷ ὄρει τῷ Αἵμῳ, παρ' ᾧ οἱ*

proceribusque anxiis quo pacto hominis arrogantiam compescerent, rogavit Ioannes Bogas ut patricius crearetur, Patzinacas adversus eum se conducturum pollicitus. voti compos effectus, acceptisque muneribus, ad eos iter contendit. ac vero icto foedere, indeque acceptis obsidibus, cum illis in urbem rediit, Patzinacibus transmisso Istro Symeonem se debellaturos pollicentibus. venit vero etiam eo tempore in urbem Asotius, vir roboris fama celeberrimus, principis principum filius. ferebant virgam ferream, cuius extrema manibus teneret, qua pollebat eximia vi, posse inflectere inque circuli formam intorquere, ferri nimirum duritie illius manuum robori cedente. hunc Augusta venientem multo honore suscepit ac rursum in patriam remisit.

8. Mense Septembri, indictione tertia, Pancratucas Armenius Adrianopolim Symeoni prodidit. vocabatur haec prius Orestias, ab Oreste Agamemnonis filio, qui iusta aemulatione ob patrem a Clytaemnestra dolo necatum, ipsa una cum Aegistho occisa, gravi furore actus est, ac quo loco Ebrus Arzusque ac Artacus flumina confluunt, lotus morbo liberatus est, eodemque loco urbe condita suum illi nomen indidit. Adrianus autem Caesar magnificis ornans aedificiis, Adriani urbem ex sese mutato nomine appellavit. distat Philippopoli trium dierum spatio; quam mons Haemus velut sinu amplectitur, qua parte niva-

τρεῖς ποταμοὶ συμβάλλονται τὸ ὀμβρινὸν ὕδωρ. μετ' οὐ πολὺ ἀπεστάλη Βασίλειος πατρίκιος καὶ κανίκλης καὶ Νικήτας πρωτοσπαθάριος ὁ Ἑλαδικὸς παρὰ Ζωῆς μετὰ δώρων πολλῶν, καὶ ἀντεπαρέλαβεν πάλιν αὐτήν.

P 240 9. *Ἦλθεν δὲ ὁ Δαμιανὸς ἀμηρᾶς εἰς Στρόβηλον νῆσον μετὰ πλοίων πολεμικῶν καὶ πολλῆς τῆς δυνάμεως· καὶ ταύτην παρέλαβεν ἄν, εἰ μὴ νοσήσας ἐτελεύτησεν, ὑποστρεψάντων διὰ κενῆς τῶν Σαρακηνῶν. οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασὲ υἱοῦ τοῦ Ἰούβη, τὴν αὐτοῦ ἀσωτίαν καὶ ἀπληστίαν μὴ ἐνεγκόντες, λίθοις τοῦτον βάλλοντες ἀνεῖλον κακῶς ἔνδοθεν τοῦ θυσιαστηρίου τοῦ ἐν Ἀθήναις ναοῦ.*

10. *Βλέπουσα δὲ Ζωὴ βασίλισσα τὴν ἔπαρσιν Συμεὼν καὶ τὴν κατὰ τῶν Χριστιανῶν αὐτοῦ ἐπίθεσιν, βουλὴν μετὰ τῶν*
B *ἐν τέλει βουλεύεται, ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι, διαπερᾶσαι δὲ πάντα τὸν τῆς ἀνατολῆς στρατὸν πρὸς τὸ καταπολεμῆσαι καὶ ἀφανίσαι τὸν Συμεών. ἀπεστάλη οὖν ἐν Συρίᾳ ἐπὶ τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης πατρίκιος ὁ Ῥωδινὸς καὶ Μιχαὴλ ὁ Τοξαρᾶς· οὗ γεγονότος τὴν συνήθη τῆς ῥόγας διανομὴν ποιησάμενοι ἐν τοῖς τάγμασι, ταῦτα δὲ ἀναλαβόμενοι σὺν τοῖς θέμασι πρὸς τὴν Θρᾳκῴαν γῆν διεπέρασαν, Λέοντος μαγίστρου τοῦ Φωκᾶ δομεστίκου τῶν σχολῶν τυγχάνοντος, ᾧ ἀνδρία μᾶλλον ἢ ἐπιστατικὴ φρόνησις προσανέκειτο. ἐξαγαγόντων*
C *οὖν τὰ σεβάσμια καὶ ζῳοποιὰ ξύλα Κωνσταντίνου πρωτοπαπᾶ*

les ac pluviales congerunt aquas quae modo tria flumina dicebamus. postmodum vero misso Zoe Basilio patricio ac caniclei praefecto et Niceta Eladico protospathario cum multis muneribus, tandem illam recepit.

9. Venit vero Damianus ameras in Strobelum insulam, magno hostilium navium apparatu ac cum ingentibus copiis; cepissetque utique, nisi morbo correptus fatis concessisset. cuius interitu factum ut Saraceni irrito conatu redirent. Achaiae autem ac Athenarum populi civesque continuis Chase filii Iubae iniuriis vexati, eius luxuriam inexplebilemque cupiditatem ferre non valentes, lapidibus obrutum intra ipsum Athenarum templi penetrale male interemerunt.

10. Zoe porro Augusta elatos Symeonis animos videns eiusque adversus Christianos grassationem non ferens, re cum optimatibus deliberata, foedus icere pacemque componere cum Agarenis statuit, omnesque Asiae copias ad debellandum profligandumque Symeonem traiicere. missi proinde in Syriam Ioannes Rhodinus patricius et Michael Toxaras, qui paciscerentur. quo peracto, consueta erogatione donato milite, assumptis cohortibus ac legionibus in Thraciam transmisere, magistro Leone Phoca scholarum domestico, viro scilicet maioribus animis quam imperatoria solertia praedito. eductis itaque venerabilibus ac vivificis

τοῦ παλατίου, τοῦ Κεφαλᾶ λεγομένου, καὶ Κωνσταντίνου τοῦ Βαλελίας ἐν τῇ Θρᾴκῃ, ἅπαντες προσκυνήσαντες καὶ ἐπομοσάμενοι συναποθνήσκειν ἀλλήλοις, πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. ἦρχον δὲ τοῦ τάγματος Ἐξκουβίτων Ἰωάννης ὁ Γράψων, τοῦ δὲ ἱκανάτου ὁ τοῦ Μαρούλη υἱός· Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ καὶ Βάρδας ὁ Φωκᾶς, οἷς συνῆν μὲν καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων καὶ οἱ ἄλλοι πάντες στρατηγοὶ τῶν θεμάτων, συνῆν δὲ καὶ πρὸς τοῖς ἄλλοις ὁ Κωνσταντῖνος πατρίκιος ὁ Λὶψ Λέοντι δομεστίκῳ, σύμβουλος D αὐτοῦ ἐν πᾶσι τοῖς ἀνήκουσιν ὤν. μηνὶ δὲ Αὐγούστῳ εἰκάδι, ἰνδικτιῶνος ε', ὁ πόλεμος μεταξὺ Ῥωμαίων τε καὶ Βουλγάρων πρὸς τῷ Ἀχελῴῳ συγκεκρότηται ποταμῷ· καὶ οἷα τὰ τοῦ θεοῦ κρίματα, ὡς ἀνεξερεύνητα καὶ ἀνεξιχνίαστα, τρέπονται Ῥωμαῖοι πανστρατὶ καὶ γέγονε φυγὴ παντελὴς καὶ φρικώδης ὀλολυγή, τῶν μὲν ὑπ' ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν πολεμίων ἀναιρουμένων, αἵματός τε χύσις οἵα ἐξ αἰῶνος οὐ γέγονεν. ὁ δὲ Λέων ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἐσφάγη δὲ πρὸς τοῖς ἄλλοις ἐν τῇ τοῦ πολέμου συμβολῇ καὶ Κωνσταντῖνος ὁ P 241 Λὶψ καὶ Ἰωάννης ὁ Γράψων καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί. ἀπεστάλη δὲ καὶ Ῥωμανὸς πατρίκιος δρουγγάριος ὢν τῶν πλωΐμων μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηθῆσαι Λέοντι τῷ Φωκᾷ· ἀλλὰ καὶ Ἰωάννης ὁ Βογᾶς καταγαγεῖν Πατζι-

7 μὲν] δὲ P

lignis, Constantini palatini cleri sacerdotum primi, cognomento Cephalae, Constantinique Baleliae opera, in Thracia, cum omnes haec venerati essent seque una commorituros iureiurando firmassent, in Bulgariam profecti sunt cum universo exercitu. praeerant excubiti turmae Ioannes Grapso, Icanati vero Marulis filius. Romanus Argyrus ducis potestate praeerat, eiusque frater Leo et Bardas Phocas; quibuscum erat et Melias cum Armeniis, aliique omnes thematum duces. praeter alios vero etiam cum Leone Domestico erat Constantinus patricius Afer, qui eius consiliis in omnibus quae ad ipsum attinebant uteretur. mensis itaque Augusti die vigesima, indictione quinta, Romanos inter atque Bulgaros ad Acheloum flumen commissa pugna (quae dei iudicia, quam inscrutabilia et impervestigabilia!) Romani omnes fusi fugatique, horrendo per exercitum omnem ululatu, cum se alii alios conculcarent, alios hostes perimerent, tanta hominum strage quanta nec a saeculo audita est. Leo aegre in Mesembriam sospes evasit. desiderati prae aliis in ipsa pugnae congressione Constantinus Afer et Ioannes Grapso procerumque alii non pauci. missus erat et Romanus rei navalis drungarius cum omni classe, ut Danubii littora legeret ac Leoni Phocae opem ferret; Ioannes item Bogas, uti dictum est, qui Patzinacas addu-

νάκας, ὡς εἴρηται. κελευσθέντος δὲ τοῦ δρουγγαρίου Ῥωμανοῦ τούτους διαπερᾶσαι κατὰ Βουλγάρων ὥστε συμμαχῆσαι Λέοντι τῷ Φωκᾷ, Ῥωμανοῦ δὲ καὶ Ἰωάννου εἰς ἔριδας καὶ λογομαχίας B *ἐλθόντων, ὁρῶντες αὐτοὺς οἱ Πατζινάκαι πρὸς ἀλλήλους διαμαχομένους καὶ συστασιάζοντας ὑπεχώρησαν εἰς τὰ ἴδια. τοῦ πολέμου δὲ τέλος λαβόντος, καὶ ὑποστρεψάντων ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βογᾶ, τὰ καθ' ἑαυτῶν ἐκινήθησαν· καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν, ὥστε καὶ καταδικάζουσαν ψῆφον ἐξήνεγκαν τῶν ὀφθαλμῶν στερηθῆναι ὡς ἀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπεράσαντα τοὺς Πατζινάκας, ἀλλ' ὑποχωρήσαντα τάχιον καὶ μηδὲ τοὺς φεύγοντας Ῥωμαίων ἐν τοῖς πλοίοις ὑποδεξάμενον. καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ παρὰ Κωνσταντίνου πατρικίου τοῦ Γογγύλη καὶ Στεφάνου* C *μαγίστρου, ὡς δυναμένων παρὰ τῇ Αὐγούστῃ πολλά, τὰ τῆς καταδίκης ἀνετράπη. τῶν δὲ Βουλγάρων τῇ νίκῃ κατεπαρθέντων καὶ ἐκστρατευσάντων μέχρι τῆς πόλεως, ἐξῆλθε Λέων ὁ δομέστικος τῶν σχολῶν καὶ Ἰωάννης ὁ ἑταιρειάρχης καὶ Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς εἰς χῶρον Θρᾳκῷον οὕτω λεγόμενον Κατασύρτας ἅμα πλείστῳ λαῷ κατὰ Βουλγάρων. τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων, καὶ τοῦ δομεστίκου φυγόντος, ἐσφάγη Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ.*

11. *Θεόδωρος οὖν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγός, ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον*

ceret. cumque Romanus drungarius in mandatis accepisset ut quos dicebam Patzinacas, adversus Bulgaros Leoni Phocae auxilio futuros, traiiceret, Romanusque et Ioannes in contentiones verborumque dissidia versi essent, videntes Patzinacae sic inter se discordes atque pugnantes, domum rediere. bello autem finito reversisque in urbem Romano ac Boga, mota quaestio est de eorum dissidio. ubi in tantum periculum adductae Romani drungarii res, ut amissionis luminum in se adversam sententiam tulerit, velut qui negligentia seu potius animi pravitate ac nequitia praesto non fuisset, ut Patzinacas traiiceret, sed se citius subduxisset; qui denique ne Romanos quidem fugientes navibus excepisset. ac certe oculis luisset, nisi Constantino Congyle et magistro Stephano, qua apud Augustam auctoritate longe maxima pollebant, connitentibus in contrarium sententia illi versa esset. Bulgaris autem victoria elatis ad ipsamque urbem excurrentibus, cum Leo scholarum domesticus Ioannesque hetaeriarcha et Nicolaus Ducis filius, in Thraciae locum quem Catasyrtas vocant, conferto agmine adversus Bulgaros essent egressi, noctu ex improviso irruentibus in eos Bulgaris ac domestico in fugam verso Nicolaus Ducis filius cum aliis multis occisus est.

11. Theodorus itaque Constantini imperatoris paedagogus, Constantinum accubitorem imperium transferre molientem in Leonem suum

γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκεν Κωνσταντίνῳ D
τῷ βασιλεῖ Ῥωμανὸν τὸν δρουγγάριον προσλαβέσθαι ὡς πατρικὸν
αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτόν, ὡς ἂν ᾖ σὺν αὐτῷ, καὶ
διαφυλάττειν αὐτόν, καὶ ἐν οἷς ἂν δέῃ, σύμμαχον ἔχειν καὶ βοη-
θόν. περὶ τούτου οὖν πολλάκις λαληθεὶς Ῥωμανὸς ἀπείπατο.
γραμμάτιον οὖν ὁ βασιλεὺς Κωνσταντῖνος αὐτοχείρῳ διαπράξας
γραφῇ καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ· ὅπερ
αὐτὸς ἐπὶ χεῖρας λαβὼν ὑπέσχετο τὴν κατὰ τοῦ παρακοιμωμένου
Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν, ὡς δέει, ποιή- P 242
σασθαι. τῆς φήμης οὖν ταύτης διαθεούσης, καὶ τοῦ παρακοι-
μωμένου καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ τοῦ στόλου
τὴν νενομισμένην ῥόγαν λαβόντος, ἐν τῇ ἐξαρτύσει δὲ ὄντος τοῦ
Ῥωμανοῦ καὶ τὰ πλοῖα εὐτρεπίζοντος, ἐξῆλθεν Κωνσταντῖνος
παρακοιμώμενος ὡς ἐπισπουδάζων αὐτὸν τοῦ ἐκπλεῦσαι. ὁ δὲ
τούτῳ δουλικῷ τῷ σχήματι προϋπήντησεν, καὶ προθύμως ποιή-
σειν τὸ κελευόμενον ἐπηγγέλλετο· καὶ εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ
γενναίους ἐπιτηδείους τὴν βασιλικὴν ἐρέττειν τριήρη εἰπόντος πρὸς
Ῥωμανόν, οὗτος εὐθὺς ἔνευσεν τούτοις τῇ χειρὶ ἑτοίμοις οὖσι πλη-
σίον ἐλθεῖν. οἱ δὲ τὰ τῆς βουλῆς εἰδότες, ἔγγιστα ἤδη τοῦ δρό- B
μωνος Ῥωμανοῦ γεγονότος, ἐπειδὴ οὗτος ὀπίσω τοῦ παρακοιμω-
μένου Κωνσταντίνου περιπατῶν ἀνήρπασεν αὐτὸν ταῖς χερσὶ καὶ
"ἄρατε αὐτὸν" ἀνεφώνησεν, παραχρῆμα οὗτοι τοῦτον ἁρπάσαν-
τες εἰς τὴν τοῦ δρουγγαρίου Ῥωμανοῦ τριήρη εἰσήγαγον καὶ ἐν τῇ

9 δέοι? an δεῖ?

ex sorore affinem animadvertens, Constantino imperatori auctor est ut Romanum drungarium assumat, velut olim patris servum ingenuum illiusque propensa voluntate rebus studentem, ut cum ipso maneat, custosque et vindex atque defensor, cum necesse fuerit, illi existat. Romanus de his saepius interpellatus renuit. quapropter Constantinus ipse imperator literas propria manu exaratas subscriptioneque firmatas ad eum mittit; quibus ille acceptis Constantinum accubitorem eiusque affines se aggressurum, qua par fuerit ratione, pollicitus est. eius itaque rei late pervagante fama, cum accubitor Romanum urgeret ut cum classe militari iam stipendio donata proficisceretur, cum Romanus in navali quasi instructurus classem versaretur, venit ad eum Constantinus accubitor velut solvendae classis negotium maturaturus. cui Romanus servili habitu gestuque obviam factus, quod iubebatur promptius se facturum pollicitus est. cumque ex eo Constantinus sciscitaretur, num elegantes viros et fortes, ad imperatoriam impellendam triremem idoneos habeat, iubet statim Romanus manu expeditos illi praesto esse ac prope accedere. hi autem, quos consilium non lateret, Romani iam celoce proxima ipsoque Constantini accubitoris vestigia premente, cum is eum manibus corripuisset ac "tollite eum" clamasset, actutum raptum in Romani drungarii

ἀσφαλείᾳ κατεῖχον. οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν ἢ κατοικτείρων τὸν ἄνθρωπον, πάντων τῶν συνόντων αὐτῷ χρησαμένων φυγῇ. ταῦτα Ζωὴ Αὐγοῦστα μαθοῦσα προσκαλεῖται τὸν πατριάρχην Νικόλαον καὶ τοὺς αὐτῆς μεγιστάνους, καὶ ἀποστέλλει πρὸς Ῥωμανὸν τὸ γεγονὸς θέλουσα μαθεῖν. τούτων οὖν διαπερασάντων, λί-
C *θοις ὁ λαὸς αὐτοὺς ἐξήλασαν βάλλοντες. ἕωθεν οὖν ἐξελθοῦσα Ζωὴ ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ ἐπεφώνει τῷ υἱῷ καὶ πᾶσι, πῶς ἄρα γέγονεν ἡ ἀνταρσία αὕτη; ἔφησε δὲ πρὸς αὐτὴν ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος ὅτι διὰ τὸ ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαίους καὶ Κωνσταντῖνον παρακοιμώμενον τὸ παλάτιον ταῦτα γεγόνασι. προσελάβετο δὲ ὁ βασιλεὺς Νικόλαον τὸν πατριάρχην καὶ Στέφανον μάγιστρον συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς μητρὸς ἐπισπώμενος. τῇ δὲ ἐπαύριον ἀπέστειλεν Ἰωάννην τὸν Τουβάκην Ζωὴν Αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυ-*
D *γῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον τὸν υἱὸν ἐκίνησεν, ὡς τὸν βασιλέα εἰπεῖν πρὸς τοὺς ἄγοντας "ἐάσατε μετ' ἐμοῦ εἶναι τὴν μητέρα μου." οἱ δὲ ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν. προσκαλεσάμενος δὲ ὅ τε βασιλεὺς καὶ ὁ πατριάρχης Ἰωάννην τὸν Γαριδᾶν προεβάλοντο δομέστικον τῶν σχολῶν, δεδιότες μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. ὁ δὲ οὔτ' ἔνευσε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον τὸν γυναικάδελφον αὐτοῦ τὸν Ζουφινεζὲρ καὶ Συμεὼν τὸν υἱὸν αὐτοῦ*

triremem sub custodia tenendum intulere. qui autem virum defenderet aut ulla eius miseratione moveretur, ne unus quidem inventus est, mox fuga dilapsis omnibus qui illi comites essent. his ad Zoem Augustam perlatis, illa Nicolao suisque optimatibus accersitis ad Romanum mittit, qui facti causam inquirant. cum itaque traiecissent, populi coitione lapidibus appetiti ac fugati sunt. mane igitur egressa Zoe ad Bucoleonis solare horologium, filio cunctisque clamabat, quomodo rebellio haec contigisset. cui Theodorus Constantini imperatoris paedagogus, iccirco nimirum contigisse, quod Leo Phocas Romanos, Constantinus accubitor aulam perdidisset. interim imperator Nicolaum patriarcham et Stephanum magistrum sibi in aula adesse iubet, translata in se a matre potestate. postridie missus Ioannes Tubaces, qui Zoem Augustam aula eiiceret. ea cum fletu ac eiulatu in filii complexus ruens ad maternam miserationem affectumque inflexit, ita sane ut imperator ad ducentes clamaverit "sinite ut mater mea mecum versetur;" vixque verbum protulerat, cum illi dimiserunt. accersitum vero imperator et patriarcha Ioannem Garidam scholarum domesticum esse iusserunt, veriti ne Leo Phocas in rebellionem verteretur. non acquievit ille ut munus acciperet, nisi Theodorus Zaphinezer illius levir et Symeon eius filius foede-

προεβάλετο ἑταιρειάρχας. ὅρκοις οὖν βεβαιωθεὶς ὑπ' αὐτῶν κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς αὐτοῦ P 243 τοῦ παλατίου καταβιβάζουσιν. τούτων οὖν πρὸς αὐτὸν ἐλθόντων, ὡς ἐθεάσατο αὐτούς, τρόμος αὐτὸν ἔλαβεν καὶ φρενῶν ἔκστασις. εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανόν, καὶ διηγήσατο αὐτῷ οἷα πέπονθεν. συμφιλιωθεὶς οὖν αὐτῷ, καὶ ὅρκους δοὺς καὶ λαβὼν ὥστε μίαν ἔχειν ἀμφοτέρους ψυχήν, σύμφρων αὐτῷ καὶ σύμπνους ἐγένετο, ὥστε καὶ γαμικὸν συνάλλαγμα ποιήσασθαι συνεφώνησαν, πλέον ἐκ τούτου τὸν τῆς ἀγάπης δεσμὸν ἐπισφίγγοντες.

12. Τῇ εἰκάδι οὖν τετάρτῃ τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς Ἰωάννην πρεσβύτερον, οἰκεῖον αὐτῷ καὶ πιστότατον ὄντα, καὶ Θεόδωρον τὸν Ματζούκην εἰς τὸ παλάτιον ὑπεραπολογουμένους, B ὡς οὐκ ἐπ' ἀνταρσίας γέγονε τὸ παρ' ἐμοῦ διαπραχθέν, ἀλλὰ τὴν τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος, καὶ δεδιὼς μή τι νεωτερισθείη παρ' αὐτοῦ εἰς τὸν βασιλέα, τούτου ἕνεκα ἀνελθεῖν ἐν τῷ παλατίῳ βεβούλευμαι καὶ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασιλέως. μὴ συνευδοκοῦντος δὲ Νικολάου πατριάρχου ἐν τούτῳ, ἐμηνύθη Ῥωμανὸς παρὰ Θεοδώρου τοῦ ῥηθέντος παιδαγωγοῦ ἐλθεῖν μετὰ στόλου παντὸς μέχρι τοῦ Βουκολέοντος. ὃς μετὰ τῶν σὺν αὐτῷ βουλευσάμενος (τὸ γὰρ ἄγον ἦγεν αὐτὸν) τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραμώμου παρθένου καὶ θεοτόκου (πέμπτη δὲ ἦν) ἦλθεν ἔνοπλος ἅμα τῷ στόλῳ παντὶ ἐν τῷ Βου- C

1 ἑταιρειάρχην P, ἑταιρειάρχας margo

ratorum turmis praeficerentur. amborum itaque iureiurando fretus, in domum suam venit; moxque illius affines ab eis aula eiecti. quos ad se venientes ut adspexit, tremor stuporque eum invasit. confestim igitur ad Romanum venit, et quae illi acciderant narravit. arctiori itaque amicitia illi implicatur, datisque et acceptis iuramentis, uno in posterum animo futuros, uno animi sensu ac consensione efficiuntur; ut et nuptiarum foedera se iuncturos paciscerentur eaque ratione caritatis vinculo magis adstringerentur.

12. Secundum haec igitur vigesima quarta mensis Martii mittit Romanus Ioannem presbyterum domesticum suum eundemque fidelissimum, nec non Theodorum Matzucem, qui ipsius in palatio causam agerent. nihil spectare ad rebellionem, quod ab eo factum erat: unum duntaxat veritum, Phocae molimina, ac metuentem ne ille novis rebus adversus imperatorem studeret, iccirco consilium iniisse ut in regiam veniret ac imperatori praesidio esset. non approbante Nicolao patriarcha nec assentiente, is, quem dicebam, Theodorus paedagogus Romano mandat ut cum omni classe ad Bucoleonem veniat. re itaque cum suis deliberata (nam urgebat fatum), ipso intemeratissimae virginis ac dei genitricis annuntiationis solenni die, feria quinta, manu armata cum

κολέοντι. καὶ παρευθὺ Στέφανος μὲν μάγιστρος ἐξῆλθε τοῦ παλατίου, Νικήτας δὲ πατρίκιος ὁ συμπενθερὸς Ῥωμανοῦ ἀνελθὼν ἐν τῷ παλατίῳ ἐξήγαγεν ἐκεῖθεν τὸν πατριάρχην Νικόλαον. ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ ἀπέστειλαν πρὸς αὐτὸν τὸν ζῳοποιὸν καὶ τίμιον σταυρὸν καὶ προσκυνήσας αὐτὸν καὶ ὅρκοις βεβαιώσας αὐτοὺς ἀνῆλθε μετ' αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν, προσκυνήσων τὸν βασιλέα. καὶ εἰσελθὼν μετ' αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ, καὶ πίστεις αὐτῷ δοὺς καὶ λαβών, παρευθὺ προχειρίζεται παρ' αὐτοῦ μάγιστρος
D *καὶ μέγας ἑταιρειάρχης. αὐτίκα γοῦν θεία κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν, παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι. ὡσαύτως καὶ γράμματα ἐκελεύσθη Κωνσταντῖνος παρακοιμώμενος γράψαι, τὰ ὅμοια αὐτῶν παραγγέλλοντα καὶ μηδὲν ἐναντίον βουλεύσασθαι, ἀλλ' ἐν ὑποταγῇ εἶναι βασιλέως Κωνσταντίνου. ἀναλαβόμενος οὖν ταῦτα Ἀνδρέας πριμικήριος τοῦ βασιλικοῦ βεστιαρίου ἀπεκόμισεν αὐτῷ ταῦτα ἐν Καππαδοκίᾳ ὄντι· καὶ δεξάμενος ταῦτα καὶ ἀναγνούς, ἀπελθὼν ἐν τῷ ἰδίῳ οἴκῳ ἡσύχαζεν.*

P 244 13. *Τῇ δὲ πέμπτῃ ἑβδομάδι τῶν ἁγίων νηστειῶν, Ἀπριλλίῳ μηνί, δίδοται ἀρραβὼν γαμικοῦ συναλλάγματος παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, ᾗ πρὸς κάλλος σωματικὸν προσήκμαζεν καὶ σύνεσις· καὶ τῇ τρίτῃ τοῦ πάσχα, λεγομένῃ τῆς Γαλιλαίας, εὐλογεῖται καὶ στεφανοῦται ἅμα αὐτῇ παρὰ Νικολάου πατριάρχου, Ῥωμανὸν βασιλεοπάτορα προβαλό-*

universa classe ad Bucoleonem venit; statimque magister Stephanus aula discedit. Nicetas autem patricius Romani consocer in palatium veniens Nicolaum patriarcham inde extrusit. aulicorum ergo animis Romani iureiurando firmatis, pretiosam ac vivificam ad eum miserunt crucem; quam ille veneratus, iterumque sacramento interposito fidem obstringens, cum eis paucisque comitum imperatorem salutaturus in palatium adscendit. ingressusque cum eo in templum quod est in Pharo, dataque ibi et accepta securitatis fide, confestim magister et magnus hetaeriarcha praeficitur. statim ergo sacra iussio ad Leonem Phocam missa, qua is ab omni conflandae seditionis proposito absterreretur. Constantinus quoque accubitor in eandem sententiam scribere iussus, et ut nihil in adversum moliatur, sed perseveret imperatori Constantino subesse. acceptas sacras Andreas regii vestiarii primicerius ad eum tunc in Cappadocia versantem defert; quibus ille acceptis lectisque se domum recipiens privatus egit.

13. Quinta sanctorum ieiuniorum hebdomada, mense Aprili, data a Constantino imperatore Helenae Romani filiae (quam praeter corporis speciem animi quoque prudentia spectabilem reddebat) contractus nuptialis arrha, tertiaque paschae (quam Galilaeae vocant) benedicitur unaque cum illa a Nicolao patriarcha corollis nuptialibus redimitur;

μενος· ἀντ' αὐτοῦ δὲ Χριστοφόρον υἱὸν αὐτοῦ ἑταιρειάρχην κατέστησε. μετ' οὐ πολὺ δὲ Λέων ὁ Φωκᾶς ἀπατηθεὶς παρά τε τινῶν ἀρχόντων καὶ τῶν αὐτοῦ ταγμάτων πρὸς ἀνταρσίαν κινεῖται. καὶ ἀνελάβετο σὺν αὐτῷ τόν τε παρακοιμώμενον Κωνσταντῖνον, καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς Γογγυλίους καὶ αὐταδελ- B φούς, καὶ Κωνσταντῖνον πρωτασηκρῆτιν τὸν Μαλελίας, πληροφορῶν ἅπαντας καὶ βεβαιῶν ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν αὐτὴν ποιεῖται κίνησιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλλια ποιήσας ἐνυπόγραφα ὡς ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου, τῆς τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες τῷ βασιλεῖ δὲ προσφεύγοντες ὑπὲρ τοῦ βασιλέως εἰσίν, δοὺς αὐτὰ Ἄννῃ γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ, ἣν καὶ Βασιλικὴν προσηγόρευσαν, καὶ κληρικῷ τινὶ C Μιχαήλ, ἐν τῷ αὐτοῦ στρατοπέδῳ ἐξέπεμψεν. οἱ δὲ ταῦτα ἀναλαβόμενοι λάθρα διέσπειραν παντὶ τῷ στρατῷ. καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς παρὰ τοῦ Φωκᾶ, ἀνηλεῶς τυφθείς, τήν τε ῥῖνα καὶ τὰ ὦτα ἀπετμήθη· ὃς μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς· ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνή. πρῶτος οὖν ὁ τοῦ Βαρυμιχαὴλ υἱὸς Κωνσταντῖνος, τοῦ τάγματος ἄρχων τῶν ἱκανάτων, καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς καταλύσεως τῆς τοιαύτης ἀποστασίας. σὺν αὐτῷ δὲ καὶ ὁ Βαλάντιος καὶ ὁ λεγόμενος Ἄτζμωρος, τουρ- D μάρχαι ὄντες καὶ ἀμφότεροι. Λέων οὖν ὁ Φωκᾶς μετὰ λαοῦ

quando et Romanum provehit imperatoris patrem, eius filio Christophoro in patris locum hetaeriarcha promoto. nec multum temporis abscesserat, cum Leo Phocas, quorundam procerum ac tribunorum suasu subiectarumque ei legionum hortatu, res novas molitur; accitoque Constantino accubitore Constantinoque et Anastasio Gonguliis germanis fratribus, nec non Constantino Maleliano a secretis primo, cunctis persuadere nititur in gratiam Constantini imperatoris eam se motionem facere. Romanus vero imperatoris pater bullis aureis ac diplomatis subscriptione munitis, quasi ex Constantini imperatoris persona, quibus ea molitio evertebatur, eosque qui Phoca relicto ad imperatorem confugerent ab imperatoris stare partibus significabatur, editis, mulierique effronti ac temerariae Annae nomine (quam et Basilicam appellarunt, ac si imperatoriam dicas) ac clerico cuidam Michaeli contraditis, in Leonis castra emisit. hi accepta diplomata toto late exercitu clanculum sparserunt. ac Michael quidem a Phoca deprehensus, verberibus dire contusus, naso auribusque multatus est. verum is postea a Romano convenientem vicem consecutus est, pariterque cum illo submissa mulier. primus itaque Constantinus legionis Icanatorum dux, Barymichaelis filius, a Leone ad Romanum transivit, eiusque convellendae defectionis primus auctor fuit. secuti vero etiam Balantius, et quem vocant Atzmorus, ipsi quoque ambo tribuni. Leo igitur Phocas, quo fretus erat, ingenti omni

πλείστου ἰσχυρῶς καθωπλισμένου ἐν Χρυσοπόλει καταλαβὼν διέστησε παρατάξεις ἀπὸ τῆς λιθίνης δαμάλεως μέχρι Χαλκηδόνος, τοὺς ἐν πόλει φοβῶν. ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ ἐπὶ τοῦ κανικλείου, λόγον ἐνυπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος, τάδε διαγορεύοντα, (14) ὡς ἐγὼ φύλακα τῆς ἐμῆς δεσποτείας καὶ βασιλείας ἐγρη-
P 245 γορώτατον καὶ εὐνούστατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκὼς τούτῳ τὴν ἐμὴν φυλακὴν μετὰ θεὸν ἐπίστευσα καὶ ἀντὶ πατρὸς αὐτὸν ἔκρινα, σπλάγχνα πατρικὰ καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον. Λέοντα δὲ τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ ὑποπτεύων ἐπιβουλεύειν νῦν μὲν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς κατεξανιστάμενον. διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι· οὔτε γὰρ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν, ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον. τούτων οὖν τῷ λαῷ ἀναγνωσθέντων
B ἤρξαντο πάντες ἀναχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσρύεσθαι Ῥωμανῷ. τοῦ Φωκᾶ δὲ εἰς ἀμηχανίαν περιστάντος καὶ ἀπογνόντος ὡς πάσης ἐλπίδος ἠστοχηκότος, καὶ χρησαμένου φυγῇ καὶ πρὸς τὸ κάστρον Ἀτεοῦς παραγενομένου καὶ μὴ δεχθέντος, ἐν χωρίῳ ὀνομαζομένῳ Γοηλέοντι καταστήσαντος καὶ συλληφθέντος, ἀπέστειλεν Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκην καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ ὥστε εἰσαγαγεῖν αὐτὸν ἐν τῇ πόλει. οἱ δὲ τοῦτον

armorum genere instructo exercitu Chrysopolim veniens, a Iuvenca lapidea Chalcedonem usque, ad terrorem civibus incutiendum, late aciem extendit. interim vero missus a Romano cum celoce Symeon caniclei praefectus cum literis, Constantini imperatoris subscriptione munitis. literarum hic erat tenor, haec sententia. (14) "cum alium neminem dominationis meae ac maiestatis vigilantiorem magisque benevolum ac fideliorem custodem, inter omnes qui meae dicionis sunt ac imperio subsunt, Romano invenerim, huic secundum deum mei custodiam commisi, ipsumque loco patris habeo, qui paterna erga me viscera ac genitoris propensum animum ostenderit. Leonem vero Phocam cum semper insidiarum suspectum habuerim, nunc re ipsa insidiantem offendi, ac qui tyranni potestate maiestati meae rebellet. quamobrem nec domesticum deinceps eum esse volo. neque enim hanc meo iussu orditum telam agnosco, sed ipsum a se ultroque lacessere ac grassari, ut in se imperium transferat, pronuntio." lectis itaque audiente exercitu literis, coeperunt omnes a Leone ad Romanum imperatoris patrem desciscere. Leo consilii inops rebusque desperatis, cui nihil praesto ad res sarciendas suppeteret, salutem fuga quaerens ad Ateus castrum pervenit; eoque repulsus, in vico Goeleo nomine constitutus capitur. missi deinde a Romano Ioannes Tubaces et Leo eius cognatus, qui eum in urbem

κρατήσαντες ἀπετύφλωσαν, καίτοι μηδεμίαν περὶ τούτου δεξάμενοι ἐντολὴν καὶ αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ τὸν βασιλεοπάτορα Ῥωμανόν.

15. *Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη τὰ τῆς ἐπιβουλῆς* C *Κωνσταντίνου Κτηματινοῦ καὶ Δαβὶδ Καμουλιανοῦ καὶ Μιχαὴλ κουράτωρος τῶν μαγγάνων· καὶ τυφλωθέντες οὗτοι διὰ μέσης διῆλθον τῆς πόλεως καὶ ἐξορίᾳ παρεπέμφθησαν. ἤγαγον δὲ καὶ Λέοντα μάγιστρον καὶ δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ καθεζόμενος.*

16. *Ἐφωράθη δὲ καὶ Ζωὴ Αὐγοῦστα ἐπιβουλεύουσα Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων, ὑπὸ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας σκευασθέντων· καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσιν καὶ εἰς τὸ Πετρίον ἀπάγουσιν ἐν τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες. προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου πατρικίου καὶ κόμητος τοῦ στάβλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κων-* D *σταντίνου βασιλέως Θεόδωρος καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός· ἐσθιόντων δὲ αὐτῶν εἰσῆλθεν Ἰωάννης δρουγγάριος τῆς βίγλης ὁ Κουρκούας λεγόμενος μετὰ πλείστου λαοῦ, καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐξώρισεν ἐν τοῖς ἑαυτῶν προαστείοις ὡς κατὰ Ῥωμανοῦ μελετῶντας.*

17. *Εἰκάδι δὲ τετάρτῃ Σεπτεμβρίου μηνὸς τιμᾶται Ῥωμανὸς τῇ τοῦ Καίσαρος ἀξίᾳ· καὶ Δεκεμβρίῳ μηνί, ιζ´ τοῦ μη-*

inducerent. illi vero cum cepissent, oculis orbarunt, quanquam nullo eius rei mandato accepto, sed sua ipsi instincti voluntate, ut et imperatoris pater eo nomine indignatus sit.

15. Mense Augusto detectae Constantini Ctematini, Davidis Camuliani et Michaelis manganorum curatoris insidiae. quapropter hi quoque caecatis luminibus, per mediam urbem traducti, in exsilium missi sunt. adductus et Leo magister et scholarum domesticus, muloque insidens ignominiae causa per medium forum traductus.

16. Zoe quoque deprehensa machinari mortem Romano per cibos medicatos, instruente dapes Theocleto officii notario. quare hanc etiam aula eiectam inque Petrium abductam in S. Euphemiae monasterio totonderunt. invitatis vero ad prandium a Theophylacto patricio ac stabuli comite Theodoro Constantini imperatoris paedagogo eiusque fratre Symeone, inter epulas ingressus Ioannes excubiarum drungarius dictus Curcuas cum multo satellitio, arreptos illos, tanquam adversus Romanum machinatos, ad Opsicium in suis ipsorum suburbanis eos exsulare cogit.

17. Mensis Septembris die vigesima quarta Romanus Caesaris auctus est dignitate; mensis vero Decembris die decimo septimo, qua do-

νός, τῇ τῶν προπατόρων κυριακῇ, τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ Κωνσταντίνου βασιλέως καὶ Νικολάου πατριάρχου.

ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ.

P 246 Ἐν ἔτει ‚ςυκη', ἰνδικτιῶνος η' καὶ Ἰανουαρίῳ ς', τῇ τῶν ἁγίων φώτων ἡμέρᾳ στέφει Θεοδώραν τὴν γυναῖκα αὐτοῦ. Μαΐῳ δὲ μηνὶ ιζ' στέφει Χριστοφόρον τὸν υἱὸν αὐτοῦ διὰ βασιλέως τῇ τῆς ἁγίας πεντηκοστῆς ἡμέρᾳ, καὶ μόνοι δύο ἐν τῇ αὐτῇ προελεύσει προῆλθον. Ἰουλίῳ δὲ μηνί, ἰνδικτιῶνος η', ἡμέρᾳ κυριακῇ, ἡ τῆς ἐκκλησίας παρὰ Ῥωμανοῦ γέγονεν ἕνωσις, ἁπάντων ἑνωθέν- B των μητροπολιτῶν τε καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων.

2. Ὀγδόῃ δὲ Φεβρουαρίου μηνός, ἰνδικτιῶνος θ', ἀποστείλας Ῥωμανὸς ὑπερορίζει Στέφανον τῆς Καλομαρίας εἰς τὴν Ἀντιγόνου νῆσον, ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα, μοναχὸν αὐτὸν ἀποκείρας ἅμα Θεοφάνει Τειχιώτῃ καὶ Παύλῳ Ὀρφανοτρόφῳ ἀνθρώποις αὐτοῦ.

3. Ἐποίησεν δὲ Ῥωμανὸς βασιλεὺς πρόκενσον ἐν τῷ τριβουναλίῳ, συνηγμένων ἁπάντων μεθ' ὅπλων ἐκεῖσε. ἀδνουμίου

7 μόνοι οἱ δύο? 13 Καλαμβρίας P, Καλομαρίας margo

minica Christi progenitorum solennis memoria agitur, imperiali stemmate a Constantino imperatore et Nicolao patriarcha donatur.

ROMANI IMPERIUM.

Anno 6428, indictione octava ac Ianuarii sexta, sanctorum luminum die festo, Romanus uxorem suam Theodoram Augustali corona donat, moxque Maii decima septima filium suum Christophorum coronat per imperatorem sacro pentecostes die; amboque soli ea in pompa processerunt. mense Iulio, indictione octava, die dominica, ecclesiae per Romanum composita unio est, cunctis metropolitis clericisque unitis, quos Nicolai patriarchae et Euthymii causa hactenus scissos habuerat.

2. Octava Februarii, indictione nona, mittens Romanus Stephanum Calomariae filium in Antigoniam insulam in exsilium mittit, maiestatis accusatum, inque monachum detondet cum Theophane Tichiote et Paulo Orphanotropho, illius domesticis.

3. Romanus imperator, dum solennem processum ad tribunalium habet, cunctis illic cohortibus cum armis congregatis recensitoque exer-

δὲ γενομένου αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ P 247 εἰς τὸ παλάτιον ὑποστρέφει. ἐμηνύθη γὰρ παρὰ Λέοντος ἀνθρώπου τοῦ Ἀρσενίου ἡ αὐτοῦ Ἀρσενίου ἐπιβουλὴ καὶ Παύλου μαγγλαβίτου· οἳ τυφθέντες καὶ δημευθέντες ἐξωρίσθησαν. ἦν δὲ τότε παραδυναστεύων ὁ πρεσβύτερος Ἰωάννης ὁ ῥαίκτωρ, ὃς Λέοντα τὸν τοῦ Ἀρσενίου ἐποίησεν ἑβδομαδάριον, τῷ βασιλεῖ τοῦτον προσοικειώσας. Ῥωμανὸν δὲ τὸν υἱὸν Λέοντος, ὡς ἔφθην εἰπών, τοῦ Ἀργυροῦ, Ῥωμανὸς ὁ βασιλεὺς γαμβρὸν ἐποιήσατο, ἄνδρα ὄντα ὑπερώμιον, καὶ κάλλει σώματος καὶ ἰδέᾳ καὶ συνέσει καὶ μάλιστα τῇ ἐλεημοσύνῃ καὶ ἐπιδόσει καὶ τῇ ἀγαθότητι καὶ B ἁπλότητι κοσμούμενον, δοὺς αὐτῷ τὴν θυγατέρα αὐτοῦ Ἀγάθην.

4. Ἐγένετό τις Ῥεντάκιος Ἑλλαδικός, συγγενὴς ὢν Νικήτα τοῦ πατρικίου, ἀπαίδευτος δὲ καὶ πατραλοίας· ὃς τὸν ἑαυτοῦ πατέρα καταδιώκων φονεῦσαι, ἐπειδήπερ ἐκεῖνος φεύγων αὐτοῦ τὴν ἐπίθεσιν ἐν πλοίῳ εἰσελθὼν ἐξέπλει καὶ παρὰ Σαρακηνῶν τῶν Κρητῶν κατεσχέθη, οὗτος ὁ Ῥεντάκιος ἄδειαν εὑρὼν πάντα τὰ τοῦ πατρὸς ἐληΐσατο, καὶ ἐν τῇ πόλει ἐλθὼν τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσέφυγεν. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τὰς αὐτοῦ ἀταξίας καὶ λεηλασίας ἀναμαθὼν τοῦτον τῆς ἐκκλησίας ἐξαγαγεῖν C ἐβουλεύσατο καὶ παιδεῦσαι. ὁ δὲ ψευδεῖς ἐπιστολὰς πρὸς Βουλγάρους πλασάμενος πρὸς αὐτοὺς αὐτομολῆσαι ἐβούλετο. κρατηθεὶς δὲ καὶ ἐλεγχθεὶς τῆς τε οὐσίας καὶ τῶν ὀφθαλμῶν στερεῖται.

citu, quam celerrime se ipse pariter ac Constantinus in palatium receperunt. delatus enim Arsenius a Leone eius famulo, et Paulus manglabita, insidias struere. hinc verberibus subacti, ac bonis publicatis, exsilio relegati sunt. erat tunc administrandae rei publicae adiutor ac subadiuva Ioannes presbyter rector. is Leonem Arsenii domesticum hebdomadarium fecit, in imperatoris gratiam eum insinuans. Romanum vero Leonis filium, uti superius dicebam, virum altis humeris ac corporis pulchritudine specieque et prudentia, cum primis vero eleemosynarum studio et largitate et benignitate ac simplicitate egregie ornatum, Romanus imperator Agatha filia ei locata uxore sibi generum adsciscit.

4. Fuit Rentacius quidam vir Attica oriundus, Nicetae patricio sanguinis necessitudine coniunctus, homo insolens et parricida. is cum patrem suum, necem ei illaturus, persequeretur, ac pater illius vim furoremque fugiens conscensa navi a Saracenis Cretensibus inter navigandum captus esset, licentiam nactus patris omnia diripuit atque vastavit, inque urbem veniens in magnam dei ecclesiam profugit. Romanus vero imperator, cognita hominis petulantia rapinisque eius ac direptionibus, ecclesia eductum poenis mancipare decreverat. ille confictis ad Bulgaros literis ad illos transfugere in animum cum induxisset, tentus convictusque bonorum luminumque amissione luit.

5. Τῶν δὲ Βουλγάρων πάλιν ἐξελασάντων μέχρι Κατασύρτων μετὰ τὴν τοῦ δομεστίκου Ἀδραλέστου τελευτήν, προεβλήθη Πόθος ὁ τοῦ Ἀργυροῦ, ἀνὴρ κάλλιστος καὶ ἐμπειρότατος, δομέστικος τῶν σχολῶν· καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν D ταγμάτων ἐξελθὼν ἀπέστειλε Μιχαὴλ τὸν τοῦ Μωρολέοντος υἱόν, τοποτηρητὴν ὄντα, τοὺς Βουλγάρους κατασκοπῆσαι. ὁ δὲ ἀπροόπτως τῷ λόχῳ αὐτῶν ἐμπεσὼν πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλεν, πληγεὶς δὲ καὶ αὐτὸς ἐν τῇ πόλει εἰσελθὼν ἐτελεύτησεν.

6. Ἐμηνύθη δὲ τότε διὰ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας ἡ κατὰ Ῥωμανοῦ βασιλέως ἐπιβουλὴ Ἀναστασίου σακελλαρίου καὶ ἄρχοντος τοῦ χρυσοχέστου, καὶ Θεοδωρήτου κοιτωνίτου, καὶ Δημητρίου βασιλικοῦ νοταρίου τοῦ εἰδικοῦ, καὶ Νικολάου P 248 τοῦ Κουβάτζη καὶ Θεοδότου πρωτοκαράβου, οἳ ὑπὲρ Κωνσταντίνου βασιλέως δῆθεν ἐσπούδαζον· καὶ διελεγχθέντες ἐτύφθησαν καὶ ἐν τῇ μέσῃ διῆλθον καὶ ὑπερόριοι κατέστησαν. ὁ δὲ Θεοδώρητος ἰδίᾳ ἐν τῷ Τρικόγχῳ τοῦ παλατίου τυφθεὶς καὶ αὐτὸς ἐξωρίσθη. τὸν δὲ Ἀναστάσιον σακελλάριον ἀπέκειραν ἐν τῇ μονῇ τῶν Ἐλεγμῶν, ἔνθα καὶ τελευτᾷ.

7. Τῆς τοιαύτης δὲ προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει καὶ δεύτερον καθίστησιν, ἑαυτὸν δὲ προάγει εἰς τοὔμπροσθεν, τῷ τὰς ἐπιβουλὰς καὶ τὸν ἐξ B αὐτῶν θάνατον δεδοικέναι, τῇ ἐπιορκίᾳ, φεῦ τῶν ἀνθρωπίνων

5. Bulgaris autem ad Catasyrtas usque post Adralestae domestici mortem excurrentibus, Pothus Argyrus, vir optimus bellicaeque rei peritissimus, scholarum domesticus ei sufficitur; castrisque ad Thermopolim positis Michaelem Moroleonis filium, vicarias ipsius partes agentem, Bulgarorum motum exploratum mittit. hic in Bulgarorum ex improviso delapsus cuneum multam quidem Bulgarorum stragem edidit: verum ipse quoque letali accepto vulnere in urbem reversus in vivis esse desiit.

6. Eo tempore detectae, Theocleto officii notario deferente, structae Romano imperatori insidiae. auctores erant Anastasius sacellarius et aurificinae praepositus et Theodoretus cubicularius et Demetrius regii fisci notarius et Nicolaus Cubatzes et Theodotus protocarabus. hi videlicet imperatori Constantino studebant. convicti vero, verberibus subacti ac per mediam delati urbem, in exsilium eiecti sunt. Theodoretus seorsum in Triconcho palatii caesus, ipse quoque in exsilium pulsus est. Anastasium autem sacellarium in Elegmorum monasterio caesarie multarunt; quo loco defunctus est.

7. Eo Romanus praetextu ac occasione Constantinum imperatorem primo gradu deiicit secundoque ordine constituit, ac ipse sibi primas arripuit, quod nimirum insidias indeque impendentem mortem metueret; periuriique (heu res humanas!) sibi crimen adsciscit. iureiurando enim

πραγμάτων! περιπεσών· προησφαλίσατο καὶ γὰρ μὴ ἑαυτὸν ἀναγορεῦσαι τούτου ἔμπροσθεν αὐτοκράτορα.

8. *Ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων· καὶ πλῆθος Βουλγάρων ἀποστείλας ἅμα καὶ Χαγάνῳ καὶ Μηνικῷ καὶ ἑτέροις ἐκέλευσεν κατὰ τῆς πόλεως ὅτι τάχιστα ἐξελαύνειν. διελθόντες οὖν διὰ τῶν ὀρῶν ἦλθον μέχρι τῶν Μαγγλαβᾶ. τὴν αὐτῶν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανός, λογισάμενος μὴ τὰ τῶν Πηγῶν παλάτια καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν, Ἰωάννην ῥαίκτωρα ἀποστέλλει ἅμα Λέοντι καὶ Πόθῳ τοῖς Ἀργυροῖς,* C *ἔχοντας μεθ᾽ ἑαυτῶν πλῆθος ἱκανὸν ἔκ τε τῶν βασιλικῶν καὶ τῆς ἑταιρείας καὶ τῶν ταγματικῶν· οἷς συνῆν καὶ Ἀλέξιος πατρίκιος δρουγγάριος τῶν πλωΐμων ὁ Μουσελὲ μετὰ τοῦ λαοῦ αὐτοῦ. ἦν δὲ πέμπτη τῶν νηστειῶν ἑβδομάς. διατάξαντες οὗτοι τὸν λαὸν ἐν τοῖς πεδινοῖς καὶ χθαμαλωτέροις τόποις τῶν Πηγῶν, τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων, βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ καὶ σφοδροτάτως παρελασάντων κατ᾽ αὐτῶν, παρευθὺ μὲν φεύγει Ἰωάννης ὁ ῥαίκτωρ, σφάττεται δὲ* D *ὑπὲρ τούτου ἀγωνιζόμενος Φωτεινὸς ὁ τοῦ Πλατυπόδη υἱὸς καὶ πολλοὶ ἕτεροι. μόλις οὖν ὁ ῥαίκτωρ διασωθεὶς εἰσῆλθεν εἰς τὸν δρόμωνα. ἦλθεν δὲ φεύγων ἔνοπλος καὶ Ἀλέξιος δρουγγάριος ὁ Μουσελέ, καὶ μὴ ἰσχύσας τέλεον ἀνελθεῖν ἐν τῇ τοῦ δρόμωνος ἀποβάθρᾳ, πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτορι ἀπεπνίγη. Ἀργυροὶ δέ, ὅ τε Πόθος καὶ Λέων πατρίκιος, ἐν*

promiserat nunquam sibi imperii primas partes, illo spreto, arrogaturum.

8. Symeon vero adversus Romanos rursum arma movet; emissaque Bulgarorum manu cum Chagano et Menico aliisque, mandat ut quam citissime adversus urbem excurrant. superatis itaque montibus Manglaba usque pervenerunt. intelligens itaque Romanus imperator illorum irruptionem, veritus ne Pegarum regias aedes Stenumque inde effusi incenderent, Ioannem rectorem una cum Leone et Potho Argyris ire iussit, valido ex praetorianis et foederatis aliisque cohortibus conflato exercitu. aderat et Alexius Musele patricius et drungarius rei navalis cum suis copiis. agebatur quinta ieiuniorum hebdomada. in campestribus itaque ac depressioribus Pegarum locis instructa acie, Bulgarisque armata manu e superioribus editioreque tumulo emergentibus ac incondito horrendoque clamore strepentibus maximoque impetu irrumpentibus, Ioannes rector illico fugam arripit: Photinus Platypodis filius eius tuendi causa concertando necatur, aliique multi. rector igitur aegre servatus in celocem evadit. venit vero et ipse fuga dilapsus armis gravis Alexius drungarius Musele, nec cum eis celocis scalam commode satis scandere valens, una cum suo protomandatore, praeceps in mare actus, aquis suffocatus est. ambo Argyri, cum scilicet Pothus tum Leo

τῷ καστελλίῳ φυγόντες διεσώθησαν. πλώϊμοι δὲ καὶ τὸ ἅπαν πλῆθος, οἱ μὲν τὰς τῶν πολεμίων χεῖρας φεύγοντες ἐν τῇ θαλάσσῃ P 249 ἀπεπνίγησαν, οἱ δὲ σιδήρου γεγόνασι παρανάλωμα, οἱ δὲ χερσὶ Βουλγαρικαῖς συνελήφθησαν. οἱ δὲ Βούλγαροι μηδένα τὸν διακωλύοντα ἔχοντες τά τε τῶν Πηγῶν παλάτια ἐπυρπόλησαν καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν. οὕτως ἄρα δεινὸν ἀβουλία καὶ ἀπειρία θρασύτητα σύμμαχον ἔχουσα.

9. Εἰκάδι δὲ Φεβρουαρίῳ μηνί, ἰνδικτιῶνος δεκάτης, Θεοδώρα σύμβιος Ῥωμανοῦ τελευτᾷ, καὶ κατετέθη τὸ σῶμα αὐτῆς ἐν τῷ οἴκῳ αὐτοῦ τοῦ βασιλέως Ῥωμανοῦ τῷ ὑπ' αὐτοῦ μοναστήριον ἀμειφθέντι. τῷ δὲ αὐτῷ μηνὶ στέφεται Σοφία ἡ τοῦ B βασιλέως Χριστοφόρου γυνή. τηνικαῦτα δὲ καὶ ὁ κουροπαλάτης Ἴβηρ ἐν τῇ πόλει παρεγένετο, καὶ διὰ μέσης τῆς ἀγορᾶς διελθών, κεκοσμημένης λαμπρῶς, μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη· ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ σοφίᾳ ἀπήγαγον, τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασόμενον καὶ τὸν πολυτελῆ κόσμον. καλλωπίσαντες γὰρ ταύτην καὶ περιστείλαντες πέπλοις χρυσοϋφέσι καὶ κόσμῳ παντοίῳ, οὕτως αὐτὸν εἰσήγαγον ἐν αὐτῇ. ὁ δὲ τὸ θαυμαστὸν καὶ ὑπερμέγεθες τοῦ ναοῦ ἔργον καταπλαγεὶς καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας, καὶ ἀληθῶς θεοῦ κατοικίαν εἶναι C τὸν ἱερὸν χῶρον τοῦτον εἰπών, αὖθις ὑπέστρεψεν εἰς τὰ ἴδια.

10. Τῶν δὲ Βουλγάρων πάλιν ἐκστρατευσάντων καὶ μέχρι τῆς ἁγίας Θεοδώρας ἐλθόντων παλατίων καὶ ταῦτα πυρὶ παραδι-

patricius, fuga in castellum evaserunt. navales ac reliquae omnes copiae partim hostium manus effugere studentes in mari exstinctae sunt, partim ferro perierunt, partim capti a Bulgaris sunt. demum Bulgari nemine illis obsistente regias Pegarum aedes incenderunt totumque Stenum igni vastaverunt. sic nimirum grande malum consilii inopia rerumque imperitia, cui audacia ac temeritas praesto est ac favet.

9. Mensis Februarii die vicesimo, indictione decima, Theodora Romani coniux moritur. eius cadaver in Romani ipsius domo, quam in monasterium mutarat, depositum est. eodem mense coronatur Sophia Christophori imperatoris uxor. eodem tempore Iber curopalata in urbem venit, perque medium forum deductus magnifico apparatu ornatum cum magna claritate et honore susceptus est. induxerunt etiam illum in S. Sophiae, ut sacrae eius aedis pulchritudinem et immanitatem ac pretiosissimum cultum oculis ipse lustraret. splendide namque ornantes, auroque textis aulaeis parietes circumvestientes omnisque generis cultu decorantes, sic eum admiserunt. ille mirandam immanisque molis templi fabricam stupens, supraque modum admiratus illius pretiosissimum cultum, ac cum dixisset sacrum hunc locum vere dei habitaculum esse, domum reversus est.

10. Rursus vero a Bulgaris suscepta expeditione, et cum illi adusque S. Theodorae regias aedes venissent easque igni incendissent,

δόντων, εἰς ἄριστον ὁ βασιλεὺς Ῥωμανὸς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσεν, συνόντος αὐτοῖς καὶ τοῦ λεγομένου Σακτίκη. καὶ παρῄνει τούτοις καὶ προὐτρέπετο κατὰ τῶν ἐναντίων ἐξελθεῖν καὶ τῆς πατρίδος ὑπεραγωνίσασθαι. οἱ δὲ συνέθεντο ἑτοίμως τῆς αὐτοῦ βασιλείας καὶ τῶν Χριστιανῶν ὑπεραποθνήσκειν. τῇ οὖν ἐπαύριον καθοπλισθεὶς παρὰ τοῦ βασιλέως ὁ εἰρημένος Σακτίκης D ἀληθῆ οὖσαν τὴν αὐτοῦ πίστιν καὶ ἀνδρίαν ἀπέδειξεν· ὄπισθεν γὰρ τῶν Βουλγάρων γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν εἰσελθὼν πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξεν. μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ, καὶ πολέμου συγκροτηθέντος τρέπουσι τὸν Σακτίκην σὺν ὀλίγων ὑπάρχοντα. ὁ δὲ ἐπειδὴ γενναίως ἀγωνισάμενος καὶ πολλοὺς ἀνελὼν οὐκέτι ἀντέχειν ἠδύνατο πρὸς τὸ πλῆθος τῶν πολεμίων, μεθίησι τοῦ ἵππου τὸν χαλινὸν καὶ εἰς φυγὴν ἤλαυνε. ποταμὸν δέ τινα P 250 παραρρέοντα διαπερῶν, τοῦ ἵππου αὐτοῦ ἐν τῇ τούτου ἰλύϊ ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. μόλις οὖν τοῦ ἵππου ἐκ τῆς ἰλύος ἀνασπασθέντος συνεργείᾳ τῶν ὑπὸ χεῖρα διασώζεται μέχρι τῶν Βλαχερνῶν· καὶ τεθεὶς ἐν τῇ ἁγίᾳ σορῷ, καιρίας τῆς πληγῆς οὔσης, τῇ νυκτὶ ἐτελεύτησεν.

11. Τηνικαῦτα δὲ καὶ Πετρωνᾶς αἰδεσιμώτατος προστάξει Ῥωμανοῦ βασιλέως ἤγαγεν λαρνακίδιον ἔνδοξον ἓν καὶ ἕτερα δύο γλυφῆς ἀμοιροῦντα ἐκ τῆς τοῦ ἁγίου Μάμαντος ἀνδρείας μο-

21 immo ἔνζῳδον, quod infra est p. 577 d

imperator Romanus prandio laute instructo agminum ductores invitavit, cum, et quem vocant, Sactices illis comes esset. hortatur ergo iubetque adversus hostes exire ac pro patriae incolumitate pugnare. assenserunt illi, atque alacres ipsius maiestatis tuendae causa ac Christianos ulciscendi oppetituros se mortem in se receperunt. postridie igitur, quem diximus, Sactices, ab imperatore armis instructus, veram ab ipso datam fidem ac quam iactarat fortitudinem ostendit: Bulgaros quippe a tergo aggressus, inque eorum castra insiliens, quos ibi repperit, omnes trucidavit. Bulgari igitur ubi didicere quod ita evenerat, in castra revertuntur, consertaque acie Sacticem paucis stipatum terga vertere cogunt. is itaque strenue desudato praelio, factaque hostium ingenti strage, cum tantae eorum multitudini sustinendae par amplius non esset, laxatis habenis equum ad fugam impellit. in cuiusdam autem amnis transitu, equo in coeno haerente, vulnus in anum et femur accipit. verum equo aegre tandem suorum cura et industria e coeno evulso ad Blachernas usque evasit; atque in sacra soro (loculum dicas) positus, cum vulnus letale esset, e vivis excedit.

11. Sub idem tempus Petronas, vir clarissimus summeque venerabilis, Romani imperatoris iussu minorem urnam unam egregie elaboratam duasque alias nulla sculpturae arte caelatas, ex S. Mamantis viro-

B νῆς, τῆς πλησίον οὔσης τῆς Ξηροκέρκου λεγομένης πόρτης, ἐν οἷς φασὶ συναποκεῖσθαι Μαυρίκιον σὺν τοῖς παισίν· ἃ καὶ ἀπετέθη ἐν τῇ τοῦ βασιλέως Ῥωμανοῦ μονῇ ἤτοι εἰς τὸ Μυρέλαιον.

12. Ἀδριανὸς δέ τις Χάλδος, πρὸς δὲ Τατζάκης Ἀρμένιος πλούσιος πάνυ, τῇ ὑποθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βοήλα στρατηγοῦντος ἐν Χαλδίᾳ τυραννίδα καὶ ἀνταρσίαν κατὰ Ῥωμανοῦ βασιλέως σκευάζουσι, τὸ Παΐπερτε λεγόμενον ὀχύρωμα κατασχόντες· οὓς ὁ τῶν σχολῶν δομέστικος Ἰωάννης ὁ Κουρκούας καταπολεμήσας καὶ κατασχὼν τοὺς μὲν περιφανεστέρους ἀποτυ- C φλοῖ, τὰς οὐσίας αὐτῶν δημεύσας, τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους ἀθῴους κελεύσας ὅπη βούλοιντο ἀπιέναι. Τατζάκης δὲ ἐν ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ φυγών, καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος, ἐν τῇ πόλει εἰσεληλύθει, καὶ τῇ τοῦ μαγγλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν Μαγγάνων διῃτᾶτο τηρούμενος. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀμμάτων στερεῖται. Βάρδαν δὲ τὸν Βοήλαν ἀπέκειραν μοναχόν, τοῦ βασιλέως αὐτὸν κατοικτείροντος φίλον τυγχάνοντα.

13. Τοῦ δὲ πατρικίου τοῦ οὕτως ἐπονομαζομένου Μωρολέοντος, ἢ μᾶλλον εἰπεῖν οἰκειότερον Θυμολέοντος, Ἀδριανουπό- D λεως στρατηγοῦντος, κρατίστου τὰ πολεμικὰ καὶ περιδεξίου τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγάρων ἀνδραγαθίας ἐπεδείξατο, ὁ Βούλγαρος Συμεὼν τὴν εἰρημένην πόλιν σὺν παντὶ τῷ στρατεύματι περιεκύκλωσεν, καὶ χάρακα περιβαλὼν ἰσχυρῶς ταύτην ἐπυ-

rum monasterio, quod situm est ad Portam quam Xerocercem vocant, advexit; in quibus fama est conditum fuisse Mauricium cum filiis. quae et in Romani monasterio (hoc est in Myrelaeo) fuerunt depositae.

12. Adrianus vero quidam Chaldus, nec non Tatzaces Armenius, vir summe locuples, consiliis hortatuque Bardae Boelae, qui in Chaldia ductor militum erat, tyrannidem struunt rebellantque adversus Romanum imperatorem, Paiperte (sic nominato) oppido munito occupato. horum potitus Ioannes Curcuas scholarum domesticus ipsos tenuit; quorum illustrioribus, publicata ipsorum substantia, oculos adimit; alios, qui pauperes essent atque obscuri, quo vellent abire iussit. Tatzaces, alia munitissima arce occupata fideque impunitatis ab scholarum domestico accepta, Byzantium venit; ibique manglabitae dignitate auctus in manganorum domo sub custodia agebat. cum vero fugam moliri deprehensus esset, oculi ei eruti sunt. Bardam Boelam, imperatore bene ei volente atque illius miserente, monachum detonderunt.

13. Patricio vero (sic appellato) Moroleone seu potius Thymoleone (velut dicas, virum leonini pectoris atque animi) Adrianopolitano praetore, bellica fortitudine ac solertia egregie instructo, ut qui haud raro adversus Bulgaros rem strenue gesserat, Symeon Bulgarus, cum omnibus copiis urbem obsidens ac vallo cingens, validis ipsam armis premit.

λιόρκει. ἐπεὶ δὲ ὅ τε σῖτος τοὺς ἐν τῇ πόλει ἐπελελοίπει καὶ λιμὸς ἐπίεζε κραταιός (οὐδαμόθεν γὰρ εἶχον ἐπισιτίσασθαι), τῇ ἐνδείᾳ πιεζόμενοι προδεδώκασιν ἑαυτοὺς καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις· ὃν χειρωσάμενος Συμεών, καὶ δεσμὰ καθ' ὅλου τοῦ σώματος περιβαλὼν καὶ μυρίαις αἰκίαις τοῦτον τιμωρησάμενος, τε- P 251 λευταῖον ἀπέκτεινε θανάτῳ πικρῷ ἀξίῳ τῆς ἑαυτοῦ ἀπηνεστάτης καὶ ὠμοτάτης ψυχῆς. Βουλγάροις οὖν τὴν τῆς πόλεως φυλακὴν παραδοὺς ὑπεχώρησεν· οἳ τὴν κατ' αὐτῶν τοῦ Ῥωμαίων στρατοῦ ἔφοδον ἀκηκοότες, ταύτην καταλιπόντες ἀπῆλθον, καὶ πάλιν ὑπὸ Ῥωμαίους αὐτὴ ἐγένετο.

14. Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος καὶ ἐν τῇ νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ῥαδινὸς κατονομαζόμενος αἰφνιδίως ἐπέθετο αὐτῷ· καὶ πολέμου γεγονότος, θεοῦ συνεργίᾳ οἱ ὑπ' αὐτὸν τρέπονται B Ἀγαρηνοί, μόλις δὲ μόνος ὁ Τριπολίτης φυγῇ διασώζεται.

15. Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος δευτέρας, Συμεὼν ἄρχων Βουλγαρίας πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει, καὶ ληΐζεται μὲν Θρᾴκην καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα καὶ καταστρέφει καὶ δενδροτομεῖ. μέχρι δὲ Βλαχερνῶν ἐπιγενόμενος ἐπεζήτησεν ἀποσταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν. ἔλαβον οὖν ὁμήρους παρ' ἀλλήλων ἀμφότεροι, καὶ ἐξῆλθε

21 παραγενόμενος rectius p. 579 a

oppidani deficiente annona ac fame graviter afflicti, cum commeatus parandi nulla spes affulgeret, penuria pressi se suumque praetorem Bulgaris dedidere. hunc nactus Symeon toto corpore vinctum innumerisque verberibus affectum, ad extremum acerba morte, et quae saevissimam et crudelissimam ipsius indolem deceret, virum sustulit. Bulgaris itaque in urbe praesidiariis relictis discedit. praesidiarii vero, audito Romanorum copias in ipsos ingruere, relicta urbe abierunt; inque hunc modum a Romanis urbs recepta est.

14. Leo Tripolita cum magna classe ingentique exercitu adversus Romanos egressus, ubi Lemnum occupasset, Ioannes Radinus patricius, rei navalis drungarius, eum repente aggressus est; consertaque pugna, dei ope, sub eo merentes Agareni fusi sunt atque fugati, solusque ipse Tripolita aegre fuga salutem expediit.

15. Mense Septembri, indictione secunda, Symeon Bulgariae princeps cum omnibus copiis adversus Byzantium profectus est, ac Thraciam quidem ac Macedoniam populatur, succendit vero omnia et evertit, atque arbores succidit. ad Blachernas usque cum admovisset, Nicolaum patriarcham ac procerum quosdam, quibuscum de pace tractaret, ad se mitti rogavit. datis itaque utrinque obsidibus exit prior Nicolaus pa-

C πρότερον μὲν ὁ πατριάρχης Νικόλαος, ἔπειτα ὁ Μιχαὴλ πατρίκιος προσαγορευόμενος ὁ Στυπιώτης, καὶ Ἰωάννης ὁ μυστικὸς καὶ παραδυναστεύων· ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, ἀσθένειαν προφασισάμενος τοῦ παλατίου κατεληλύθει καὶ ἐν τῇ αὐτοῦ μονῇ πλησίον Γαλακρηνῶν ἀπεκάρη. οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρήνης διελέγοντο, ὁ δὲ αὐτοὺς μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι· παρὰ πολλῶν δὲ πεπληροφόρητο περί τε τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρίας καὶ συνέσεως. ὁ τοίνυν βασιλεὺς ἐπὶ τούτου σφόδρα
D ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην καὶ τὸ στῆναι τὰς γινομένας τῶν αἱμάτων ἐκχύσεις ὁσημέραι. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρην διεκπλέουσαν ἐν αὐτῇ προσορμίζεσθαι. περιφράξας οὖν αὐτὴν πάντοθεν διατείχισμα μέσον γενέσθαι προσέταξεν, ἔνθα ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ἀποστείλας οὖν Συμεὼν τὸν τῆς ὑπεραγίας θεοτόκου ναὸν ἐνέπρησεν τὸν ἐν τῇ Πηγῇ, ὃν Ἰουστινιανὸς ὁ βασιλεὺς ἐδομήσατο, καὶ τὰ
P 252 πέριξ αὐτοῦ σύμπαντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην ἐθέλων, ἀλλ' ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν. παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ βασιλεὺς ἅμα Νικολάῳ πατριάρχῃ ἐν τῇ ἁγίᾳ εἰσῆλθε σορῷ καὶ τὰς χεῖρας ἐξέτεινεν εἰς εὐχήν, εἶτα πρηνὴς πεσὼν δάκρυσι κατέβρεχε τὸ ἅγιον ἔδαφος, τὴν πανύμνητον καὶ ἄχραντον θεοτόκον ἀντιβολῶν τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ

triarcha, tum Michael patricius cognomento Stypiotes et Ioannes mysticus, administrandarumque rerum imperatori adiutor ac minister intimus. iam enim Ioannes rector criminis apud imperatorem delatus, ipse a se aegritudinem praetexens aula discesserat inque suo monasterio haud procul a Galacrenis in monachum tonsus fuerat. legati igitur cum Symeone de pace colloquebantur. verum Symeon illis repudiatis, ipsum imperatorem videre eiusque congressum expetebat: certo enim relatu de eius prudentia et fortitudine sapientiaque acceperat. pergrata ea res fuit Romano, quippe qui pacis desiderio tenebatur, ac quotidianis utrinque caedibus finem imponere studebat. mittit itaque qui ad mare in Cosmidii littore tutissimam exscensionem struerent, quo loco eius praetoria navis appellenda esset. loco itaque undique communito, in medio iussit septum fieri, ubi erant collocuturi. interim Symeon, suorum misso manipulo, sanctae dei genitricis templum in Pega, a Iustiniano conditum, incendit, ac circum vicina omnia igni ferroque vastavit. his igitur alienum a pace palam prodebat animum, vanaque spe imperatorem deludere haud obscurum erat. veniens autem imperator cum Nicolao patriarcha in sacrum ingressus est loculum, manusque in preces extendit. tum pronus in terram procidens sacrum ubertim solum lacrimis rigabat, omni celebrandam laude omnisque labis puram sanctam dei genitricem

ὑπερήφανον Συμεὼν καρδίαν μαλάξαι καὶ πεῖσαι τὰ πρὸς εἰρήνην
συνθέσθαι. τὸ ἅγιον οὖν κιβώτιον διανοίξαντες ἐν ᾧ τὸ σεπτὸν
τῆς ἁγίας θεοτόκου τεθησαύριστο ὠμοφόριον, καὶ τοῦτο ὁ βασι-
λεὺς ἀνελόμενος καὶ ὥσπερ τινὰ θώρακα ἀδιάρρηκτον περιβαλό- B
μενος, καὶ τὴν πίστιν τὴν εἰς τὴν ὑπεράμωμον θεοτόκον οἷα περι-
κεφαλαίαν τινὰ περιθέμενος, ἐξῄει τοῦ ναοῦ ὅπλοις ἀσφαλέσι
φραξάμενος. τὸν σὺν αὐτῷ οὖν στόλον ἀσπίσι τε καὶ ὅπλοις
κατακοσμήσας τὸν ὡρισμένον τόπον κατέλαβεν συνομιλῆσαι τῷ
Συμεών. πέμπτη δὲ ἦν ἡμέρα ὅτε ταῦτα ἐγένετο, ἐννάτη τοῦ
Νοεμβρίου μηνός, τετάρτη δὲ τῆς ἡμέρας ὥρα. παρεγένετο δὲ
καὶ ὁ Συμεών, πλῆθος ἐπαγόμενος εἰς πολλὰς διῃρημένον τὰς
παρατάξεις, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ
ἀργυρασπίδων καὶ ἀργυροδοράτων, τῶν δὲ πάσῃ ὅπλων χροιᾷ C
κεκοσμημένων, πάντων καὶ κατακεκοσμημένων σιδήρῳ· οἱ μέσον
αὐτῶν εἰληφότες Συμεὼν ὡς βασιλέα εὐφήμουν τῇ τῶν Ῥωμαίων
φωνῇ. πάντες δὲ τῆς συγκλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστῶτες
κατεθεῶντο τὰ δρώμενα. ἦν οὖν ἰδεῖν τότε ψυχὴν βασιλικὴν τῷ
ὄντι καὶ μεγαλόφρονα, καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατά-
πληκτον καὶ τὸ τῆς ἀνδρίας παράστημα, ὅπως τοσαύτην πολε-
μίων βλέπων ἐπιφορὰν οὐ κατεπλάγη καὶ συνεστάλη καὶ ὑπεχώρη-
σεν, ἀλλ' ὥσπερ εἰς φίλων πλῆθος χωρῶν, οὕτως ἀτρέμας ἀπῄει, D
μόνον οὐχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυ-

14 καὶ] δὲ?

obsecrans, ut inflexum durumque Symeonis pectus emolliret et ad pacis concordiam ineundam induceret. sacra igitur reserata arcula, in qua venerandum sanctae dei genitricis palliolum repositum erat, eoque imperator sublato, velutque thorace quodam nullis telis pervio assumpto, ac quam in intemeratissima dei genitrice collocaverat, galeae instar, fide sibi adhibita, tutis scilicet munitus armis templo egreditur. suis itaque classiariis ac comitatu clypeis armisque aliis probe instructis in locum constitutum cum Symeone tractaturus venit. feria quinta erat, cum haec gesta sunt, mensis Novembris die nona, hora diei quarta. venit et Symeon cum exercitu in multas distributo turmas atque acies. militum alii clypeis hastisque auratis, alii argento splendidis, omnis alii coloris armis instructi atque ornati, cuncti ferro circumcincti erant. hi medium assumptum Symeonem ut imperatorem ac regem Romana lingua faustis vocibus prosequebantur. senatus omnis muris insidentes, quicquid huius fabulae erat, spectabant. res vero spectatu dignissima regius vere atque excelsus imperatoris animus fuit, mira res interritae illa mentis constantia et praesentia ac fortitudo; quomodo tantam hostium confluentem multitudinem videns sic placide processit, tantum non animam pretium redemptionis hostibus pro subditis tradens. primus ita-

τρον. πρῶτος οὖν ἐν τῇ ἀποβάθρᾳ τῇ ῥηθείσῃ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ἐπεὶ δὲ ὅμηροι ἐξ ἀμφοτέρων ἐλήφθησαν τῶν μερῶν, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διηρευνήσαντο ἀκριβῶς, μή πού τις δόλος ἢ ἐνέδρα τυγχάνει, κατῆλθε Συμεὼν τοῦ ἵππου καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν. ἀσπασάμενοι οὖν ἀλλήλους εἰρήνης λόγους ἐκίνησαν. εἰπεῖν δὲ λέγεται τὸν βασιλέα πρὸς Συμεὼν "ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον καὶ Χριστιανὸν ὑπάρχοντα
P 253 ἀληθινόν, βλέπω δὲ τὰ ἔργα τοῖς λόγοις μὴ συμβαίνοντα. ἴδιον μὲν γὰρ ἀνθρώπου θεοσεβοῦς καὶ Χριστιανοῦ τὸ τὴν εἰρήνην καὶ τὴν ἀγάπην ἀσπάζεσθαι, εἴπερ ὁ θεὸς ἀγάπη ἔστι τε καὶ λέγεται· ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένων. εἰ μὲν οὖν ἀληθὴς Χριστιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν εἰρήνην Χριστιανὸς καὶ αὐτὸς ὢν καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτός, θάνατον προσδοκῶν καὶ ἀνάστα-
B σιν καὶ κρίσιν καὶ ἀνταπόδοσιν· καὶ σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἷς πυρετὸς κατασβέσει τὸ φρύαγμα. τίνα οὖν λόγον δώσεις τῷ θεῷ ἐκεῖ ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις κριτῇ; εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε κατακόρως τοῦ ἐπιθυμου-

que ad eam, quam diximus, exscensionem veniens Symeonem praestolabatur. datis porro ultro citroque obsidibus, ac cum Bulgari exscensionem diligenter lustrassent, ne quis dolus subesset aut insidiae laterent, Symeon equo desiliens ad imperatorem intravit. ibi cum se mutuo consalutassent, de pace colloqui coeperunt. ferunt autem Romanum in haec verba Symeonem esse allocutum. "audivi te hominem religiosum esse deique cultorem ac verum Christianum: video autem opera non satis verbis consentanea esse. proprium enim est hominis religiosi deique cultoris ac Christiani, ut pacem et caritatem colat, quandoquidem deus caritas est ac nuncupatur: impii autem et irreligiosi et infidelis, ut caedibus iniusteque fusis cruoribus gaudeat. si quidem ergo verus Christianus existis, qualem te certo existimamus, tandem aliquando siste iniustas caedes, finemque facito fundendi innoxii sanguinis, ac pacem nobiscum Christianis compone, qui ipse Christianus sis et dicaris, nec Christianorum dexteras Christianorum itidem ac eandem colentium fidem cruoribus pollui sinas. ipse tu quoque homo es, qui mortem et resurrectionem et iudicium et retributionem exspectes. hodie in vivis es, et cras in pulverem dissolveris. febris una superbiam omnem exstinguet. quam ergo rationem, ante tribunal dei constitutus, pro iniustis caedibus deo redditurus es? quo vultu in tremendum iustumque iudicem oculos intendes? si te divitiarum cupido ad eiusmodi facinora impellit, ego te

μένου ἐμπλήσω· μόνον ἐπίσχες τὴν δεξιάν. ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀναίμακτον καὶ ἀπράγμονα, καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε τῶν συμφορῶν καὶ στήσωνται τοῦ Χριστιανοὺς ἀναιρεῖν· οὐ θέμις γὰρ αὐτοὺς αἴρειν ὅπλα καθ' ὁμοπίστων." τοσαῦτα οὖν C *εἰπὼν ὁ βασιλεὺς ἐσίγησεν. αἰδεσθεὶς οὖν Συμεὼν τὴν τούτου ταπείνωσιν καὶ τοὺς λόγους αὐτοῦ κατένευσεν τὴν εἰρήνην ποιήσασθαι. ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν, δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεών.*

16. *Ὃ δὲ τότε συμβέβηκεν διηγήσομαι τεράστιόν τι καὶ τοῖς ταῦτα εἰδόσι συγκρίνειν παράδοξον. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι, κλάγξαι τε καὶ πρὸς ἀλλήλους συμμῖξαι καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλοις, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ πρὸς Θρᾴκην διαπτῆναι.* D *τοῦτο οἱ ἀκριβῶς τοιαῦτα σκοποῦντες οὐ καλὸν ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ ἐπὶ τῇ εἰρήνῃ ἀμφοτέρους διαλυθήσεσθαι ἔφησαν. Συμεὼν δὲ τὸ ἑαυτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσι τὴν τοῦ βασιλέως ἀπήγγειλε σύνεσιν καὶ ταπείνωσιν, ἐξεθείαζεν δὲ αὐτοῦ τό τε εἶδος τήν τε ῥώμην καὶ τὸ ἀκατάπληκτον τοῦ φρονήματος.*

17. *Δεκεμβρίῳ δὲ μηνὶ κεʹ ἔστεψε Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, Στέφανόν τε καὶ Κωνσταντῖνον· ἀλλὰ καὶ Θεοφύλακτον υἱὸν αὐτοῦ ὁ πατριάρχης Νικόλαος ἀπέκει-* P 254

illis ad satietatem explebo; modo contine dexteram, pacem amplectere, dilige concordiam, ut et ipse vitam tranquillam agas ac incruentam nihilque solicitam, ac tandem Christianorum mala finem accipiant, atque alii alios Christianos necare desinant. nefas enim fideles in se mutuo arma sumere." haec itaque locutus imperator conticuit. Bulgarus igitur illius humilitatem ac sermones cum veneratione miratus, pacem fieri annuit. cum se itaque invicem osculati essent, discesserunt, imperatore magnificis donis Symeonem prosecuto.

16. Quod vero tunc accidit, referam, rem sane portentosam atque illis qui horum noverunt indicia novam et insolitam. aiunt enim colloquentibus ambobus regibus duas aquilas super eos volitasse et cum clangore coivisse, moxque divulsas alteram ad urbem alteram in Thraciam avolasse. rerum eiusmodi curiosi indagatores inauspicatum omen arbitrati sunt, fore nimirum ut infecta pace illi disiungerentur. Symeon ad suos reversus imperatoris solertiam modestiamque suis proceribus narrat, virique speciem et robur infractumque animum immensis laudibus celebrat.

17. Mensis Decembris die vigesima quinta Romanus filios suos Stephanum et Constantinum coronat in magna ecclesia: sed et Theophylactum eius filium Nicolaus patriarcha detondet clericum et subdia-

ρεν κληρικόν, χειροτονήσας ὑποδιάκονον σύγκελλόν τε προχειρισάμενος, διελθόντα πρότερον ἐν τῷ τῶν ὑποδιακόνων τάγματι εἰς τὰ ἅγια.

18. Ἀπριλλίῳ δὲ μηνί, ιθʹ τοῦ μηνός, ἐτίμησεν Ῥωμανὸς Ἰωάννην μυστικὸν καὶ παραδυναστεύοντα πατρίκιον καὶ ἀνθύπατον, ὥστε καὶ δι' αὐτὸ τοῦτο φθόνον κινηθῆναι αὐτῷ καὶ κατηγορηθῆναι ἀπό τινων.

19. Μαΐῳ δὲ μηνὶ ιεʹ, ἰνδικτιῶνος ιγʹ, τελευτᾷ ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ ἀναβάσει τοῦ πα-
B τριαρχείου ἔτη τριακαίδεκα· καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρηνῶν. Αὐγούστῳ δὲ μηνὶ πατριάρχης καθίσταται Στέφανος ὁ Ἀμασείας μητροπολίτης, εὐνοῦχος ὑπάρχων. Ὀκτωβρίῳ μηνὶ κατηγορήθη ὁ μυστικὸς Ἰωάννης καὶ παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος ὑποθήκῃ τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου, διδόντος εἰς γυναῖκα τὴν θυγατέρα αὐτῷ. τούτου ἕνεκεν καταβιβάζεται μὲν τοῦ παλατίου, συγχωρεῖται δὲ τὸ προσέρχεσθαι καὶ τῷ βασιλεῖ ὑπηρετεῖν καὶ σὺν
C αὐτῷ τὰ ἀνήκοντα διοικεῖν· στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο πρὸς αὐτὸν ὁ βασιλεὺς Ῥωμανὸς ὡς ἐν πᾶσιν αὐτὸν θεραπεύειν δυνάμενον, καὶ τελέως τοῦτον ἀπώσασθαι οὐκ ἠβούλετο. τῶν κατηγόρων οὖν κατεπειγόντων τὸν βασιλέα καὶ σαφῆ ἀποδεικνύντων τὰ κατηγορούμενα, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ ταῦτα

17 Scylitzes et Cedrenus προσκυνεῖν. Combef.

conum ordinat, ac tandem promovet syncellum, cum is prius in subdiaconorum gradu in sancta processisset.

18. Mensis Aprilis die decima nona Romanus Ioannem mysticum rerumque gerendarum administrum ac subadiuvam patricia ac proconsulari dignitate ornavit, ita sane ut hinc illi conflata invidia et illatum a quibusdam crimen sit.

19. Maii mensis die quinta decima, indictione tertia decima, moritur Nicolaus patriarcha, cum a secunda provectione annos tredecim throno potitus esset. eius corpus in monasterio, quod ille condiderat ac Galacrenas vocant, conditum est. mense Augusto patriarcha sufficitur Stephanus Amaseae metropolita, eunuchus. mense Octobri Ioannes mysticus ac imperatori rerum gerendarum adiutor affectati imperii defertur, in rem inducente Cosma patricio ac cursus publici logotheta, qui filiam ei uxorem locaverat. eam ob rem eiectus ille quidem aula est: permissum tamen imperatorem adire eique ministrare, ac cum eo communicatis consiliis, quod operae pretium videretur, tractare. ingens quippe in eum imperatoris vis amoris erat, quod mysticus in omnibus ei blande assentaretur, nec ut a se penitus ablegaret in animum inducere poterat. accusatoribus tamen imperatorem urgentibus, veraque esse crimina obiecta ostendentibus, ille rem perscrutatus, cum non aliter se habere deprehendisset quam illi rettulerant, capiendum mysticum statuit

εἶναι ἀναμαθὼν ἔμελλεν τοῦτον κατασχὼν ἐξετάζειν. ὁ δὲ τοῦτο προγνοὺς χρῆται φυγῇ, καὶ τὴν Μονοκάστανον καταλαβὼν ἀποκείρεται μοναχός. πέφευγε δὲ καὶ Κωνσταντῖνος τοῦ Βοΐλα ὁ τῆς τραπέζης, οἰκεῖος καὶ φίλος ὢν αὐτῷ, καὶ τὸν Ὄλυμπον κα- D ταλαβὼν τὸ μοναχικὸν σχῆμα ἐνδύεται· ἐδεδοίκει γὰρ καὶ αὐτὸς ἅτε συμμύστης ὑπάρχων τοῦ μυστικοῦ καὶ τῶν ἀπορρητοτέρων αὐτοῦ κοινωνός. τὸν δὲ πατρίκιον Κοσμᾶν ἐν τῷ ὡρολογίῳ τοῦ παλατίου τύψας ὁ βασιλεὺς διεδέξατο. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου Θεοφάνην πρωτοβεστιάριον παραδυναστεύοντα. ἐγένετο δὲ καὶ τηνικαῦτα σεισμὸς φοβερὸς ἐν τῷ θέματι τῶν Θρακησίων, καὶ χάσμα γῆς μέγα καὶ καταπληκτικόν, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι.

20. Μαΐῳ δὲ μηνί, εἰκάδι ἑβδόμῃ, ἰνδικτιῶνος ιε', Συ- P 255 μεὼν ἄρχων Βουλγαρίας κατὰ Χρωβάτων ἐκίνησε στράτευμα, καὶ συμβαλὼν μετ' αὐτῶν πόλεμον, ἡττηθεὶς τοὺς ὑπ' αὐτὸν ἅπαντας ἄρδην ἀπώλεσεν.

21. Τὸν δὲ βασιλέα Ῥωμανὸν Ἰωάννης ἀστρονόμος θεασάμενος οὕτως λελάληκεν. "δέσποτα, ἡ στήλη ἡ ἱσταμένη εἰς τὴν καμάραν ἐπάνω τοῦ Ξηρολόφου, ἐπὶ δυσμὰς βλέπουσα, τοῦ Συμεών ἐστι· καὶ εἰ ταύτης τὴν κεφαλὴν ἐκκόψῃς, τῇ αὐτῇ ὥρᾳ ὁ Συμεὼν τελευτᾷ." ὁ δὲ βασιλεὺς Ῥωμανὸς ἀποστείλας τῇ νυκτὶ τὴν κεφαλὴν τῆς στήλης ἐξέκοψεν· καὶ αὐτῇ τῇ ὥρᾳ ὁ Συ- B

17 deest ἀλύοντα, ut infra, vel quid simile. Combef.

ac quaestionibus subiiciendum. hoc ille ubi praesensit, fuga se ad Monocastanorum monasterium recipiens ibi monachi ritu comam posuit. fugit vero et Constantinus Boilae filius, mensae praefectus, timens scilicet, ut qui et ipse mystici symmysta esset eiusque secretorum conscius; inque Olympum discedens monachum induit. patricium Cosmam ad palatii horologium verberibus subactum imperator officio movit. Ioannis mystici loco Theophanes protovestiarius subadiuva rerumque gerendarum imperatori adiutor promovetur. sub idem tempus horrendus in Thracensium themate exstitit terrae motus ingensque ac stupendus hiatus, ita ut plura praedia et ecclesiae cum hominibus voragine absorpta sint.

20. Maii mensis vigesima septima, indictione quinta decima, Symeon Bulgarorum princeps adversus Chrobatos expeditione suscepta, consertaque cum illis pugna, victus ipse suas omnes penitus copias amisit.

21. Ioannes porro astronomus Romanum imperatorem cernens sic eum affatus est. "quae in fornice supra Xerolophum, domine, statua constituta est, spectans ad occidentem, signum Symeonis est. huius caput si abstuleris, ipsa hora Symeon morietur." misit itaque imperator, ac statuae caput noctu abstulit; eademque hora Symeon in Bulgaria

μεὼν εἰς Βουλγαρίαν ἐτελεύτησεν, ἀνοίᾳ συσχεθεὶς καὶ νόσῳ κατακαρδίᾳ ἁλούς, διέφθαρτο, ἀνομήσας διὰ κενῆς, Πέτρον υἱὸν αὐτοῦ προβαλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς ἔσχεν, τῆς ἀδελφῆς Γεωργίου Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπεν. Μιχαὴλ δὲ τὸν ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς γενόμενον ἀπέκειρεν μοναχόν· Ἰωάννης δὲ καὶ Βενιαμὶν οἱ τοῦ Πέτρου ἀδελφοὶ ἔτι στολῇ ἐκοσμοῦντο Βουλγαρικῇ.

22. *Τὰ κύκλῳ οὖν ἔθνη τοῦ Συμεὼν μαθόντα τελευτήν,*
C *οἵ τε Χρωβάτοι οἱ Τοῦρκοι καὶ οἱ λοιποί, ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. λιμοῦ δὲ μεγίστου σὺν ἀκρίδι τὸ Βουλγαρικὸν ἔθνος ἰσχυρῶς ἐκπιέζοντος, ἐδεδίεσαν μὲν καὶ τῶν ἄλλων ἐθνῶν ἔφοδον, ἐδεδίεσαν δὲ πλέον καὶ τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλὴν οὖν ποιησάμενοι κατὰ Ῥωμαίων ἐκστρατεύουσιν καὶ ἐν Μακεδονίᾳ καταλαμβάνουσιν, φόβον, ὡς εἰκός, τοῖς Ῥωμαίοις ἐμποιήσοντες. ἔπειτα μαθόντες ὅτι μέλλει κατ' αὐτῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκστρατεύειν, ἀποστέλλουσι Πέτρος τε καὶ Γεώργιος κρυφίως τινὰ μοναχὸν Καλοκύριν ὀνομαζόμενον, τῷ γένει Ἀρμενιακόν, χρυσοβούλλιον ἐπιφερόμενον. διηγόρευε δὲ τὰ*
D *ἐν αὐτῷ ὡς τὴν μετὰ Ῥωμαίων εἰρήνην ἀσπάζονται καὶ πρόθυμοι ταύτην συνθέσθαι εἰσίν, οὐ μόνον δέ, ἀλλ' εἴγε βούλωνται, καὶ γαμικὸν ποιῆσαι συνάλλαγμα. τὸν τοιοῦτον οὖν μοναχὸν ὁ βασιλεὺς ἀσμενέστατα ἀποδεξάμενος, παρευθὺ ἀπέστειλεν μετὰ δρό-*

1 *ἀνίᾳ τε* margo Combef.

fatis concedit, ingentique captus angore ac cordis morbo elanguens percitusque interiit, frustra leges iuraque transgressus, relicto ex testamenti tabulis principatu Petro filio ex secunda uxore, Georgii Sursubulii sorore, quem et liberorum suorum tutorem constituit. Michaelem ex priore coniuge susceptum monachum detondit; Ioannes vero et Beniamin Petri fratres Bulgarica adhuc stola ornabantur atque habitu.

22. Circumvicinae igitur gentes, Chrobati Turci ac reliqui, audita Symeonis morte Bulgaros bello incessere statuebant. fame vero Bulgarorum gentem cum locustarum ingenti copia graviter premente, cum aliarum gentium irruptionem formidabant, tum praecipue Romanorum in se impetum metuebant. re itaque in consilium vocata adversus Romanos copias educunt ac Macedoniam petunt, hoc nempe satagentes, ut Romanis metum incuterent. audito vero Romanum imperatorem adversus eos exercitum parare, una Petrus Georgiusque monachum quendam Calocyrim nomine, genere Armenium, auream bullam ferentem occulte mittunt. bullae tenor hic erat, pacem se cupere cum Romanis, et ut illam componant, promptis animis esse; neque id modo, sed et nuptiarum foedera, dum illis adlubeat, cum Romanis se esse inituros. acceptis literis, earumque latore humanissime suscepto, confestim imperator

*μωνος τὸν μοναχὸν Θεοδόσιον τὸν Ἀβούκην καὶ Κωνσταντῖνον βα-
σιλικὸν κληρικὸν τὸν Ῥόδιον τὰ εἰς εἰρήνην συλλαλῆσαι τοῖς Βουλ-
γάροις ἐν Μεσημβρίᾳ, τὸ πρὶν μὲν Μενεβρίᾳ καλουμένῃ, ἀπὸ
Μένου Θρᾳκὸς τοῦ ταύτην οἰκίσαντος καὶ Βρίᾳ τὸ παρά τισι
Θρᾳκῶν πόλισμα λεγόμενον· πρὸς δὲ τὸ εὐφραδέστερον Μεσημ-* P 256
*βρία ὀνομάζεται. οἱ δὲ παραγενόμενοι καὶ τὰ εἰκότα συλλαλή-
σαντες ἐξῆλθον ἅμα Στεφάνῳ Βουλγάρῳ διὰ τῆς ξηρᾶς· καὶ ὄπι-
σθεν αὐτῶν κατέλαβον καὶ Γεώργιος ὁ Σουρσουβούλης καὶ Συμεὼν
ὁ Καλουτερκάνος καὶ Οὔσαμψος καὶ Συμεὼν τοῦ ἀρχηγοῦ Βουλ-
γαρίας ἀδελφὸς πρὸς γυναῖκα, πρὸς δὲ τούτοις ὁ ἀγχιστεὺς αὐτοῦ
Στέφανος, καὶ μὴν καὶ Μαγοτῖνος Κρόνος τε καὶ Μηνικὸς διε-
κρατύναντο πρὸς τὸν ἄνακτα Ῥωμανόν. θεασάμενοι δὲ τὴν θυ-
γατέρα βασιλέως Χριστοφόρου Μαρίαν, καὶ μεγάλως ἐπ' αὐτῇ
ἀρεσθέντες, ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι, σύμ-* B
*φωνα ποιήσαντες πρότερον περὶ τῆς γεγονυίας εἰρήνης. ἀπεστάλη
δὲ Νικήτας ὁ μάγιστρος ὁ συμπενθερὸς Ῥωμανοῦ βασιλέως ὑπαν-
τῆσαι καὶ ἀγαγεῖν Πέτρον μέχρι τῆς πόλεως. τοῦ Βουλγάρου οὖν
Πέτρου καταλαβόντος, τριήρει ὁ βασιλεὺς Ῥωμανὸς ἐπιβὰς ἐν
Βλαχέρναις παρεγένετο, καὶ τὸν Πέτρον ὡς αὐτὸν ἀφικνούμενον
ἐθεάσατό τε καὶ κατησπάσατο. ἐπεὶ δὲ ἀλλήλοις εἰκότα συνωμί-
λησαν, ὑπογράφονται τά τε σύμβολα τῆς εἰρήνης καὶ τὰ γαμικὰ
συναλλάγματα, μεσολαβοῦντος ἐν τούτοις καὶ νουνεχῶς διευθύ-
νοντος μεταξὺ Ῥωμαίων τε καὶ Βουλγάρων πρωτοβεστιαρίου Θεο-* C

cum celoce Theodosium Abucem monachum et Constantinum Rhodium palatinum clericum cum Bulgaris in Mesembria de pace collocuturos emisit. oppidum hoc dictum olim Menembria, a Meno viro Thracio eius conditore, et Bria, eius nominis apud quosdam Thraces vico; mollioris vero pronuntiationis causa Mesembriae nomen accepit. quo in colloquio cum res commode tractata esset, legati per continentem in urbem redierunt, cum eis Stephanus Bulgarus comes esset. post hos subsecuti Georgius Sursubulus et Symeon Calutercanus et Usampsus, Symeon item alterius illius Bulgariae principis ex uxore frater. ad haec illius affinis Stephanus, Magotinus quoque et Cronus et Menicus, Petri ad Romanum imperatorem legationem fulserunt. conspectaque Christophori imperatoris filia Maria, ac eius plurimum specie recreati, ictisque prius pacis foederibus, missis literis Petrum sine mora venire iusserunt. missus vero obviam Nicetas magister Romani imperatoris affinis, eumque in urbem inducturus. cum itaque venisset Petrus Bulgarus, conscensa Romanus imperator trireme Blachernas petit, ibique ad se venientem Petrum et vidit et osculo salutavit. inter se vero, uti par erat, collocutis, subscriptionibus munita rataque habita pacis pariter nuptiarumque foedera, protovestiario Theophane in omnibus quasi sequestro, ac solerter Romanos inter Bulgarosque negotium dirigente. (23) Octobris

φάνους. (23) ὀγδόῃ δὲ τοῦ Ὀκτωβρίου μηνὸς ἐξῆλθεν ὁ πατριάρχης Στέφανος ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ καὶ Μαρίᾳ τῇ τοῦ βασιλέως Χριστοφόρου θυγατρὶ καὶ πάσῃ τῇ συγκλήτῳ εἰς τὸν ναὸν τῆς ὑπεραγίας θεοτόκου τῆς Πηγῆς, καὶ εὐλόγησεν Πέτρον τε καὶ Μαρίαν, καὶ τοὺς νυμφικοὺς στεφάνους ταῖς αὐτῶν ἐπέθηκε κεφαλαῖς, παρανυμφευόντων Θεοφάνους πρωτοβεστιαρίου καὶ Γεωργίου Σουρσουβούλη. λαμπρᾶς δὲ καὶ πολυτελοῦς D γεγονυίας τραπέζης, καὶ πάντων τῶν εἰθισμένων τοῖς γάμοις φαιδρῶς ἐπιτελεσθέντων, εἰσῆλθεν Θεοφάνης πρωτοβεστιάριος ἅμα Μαρίᾳ τῇ θυγατρὶ τοῦ βασιλέως ἐν τῇ πόλει. τῇ τρίτῃ δὲ τοῦ γάμου ἡμέρᾳ ἐποίησεν ὁ βασιλεὺς Ῥωμανὸς εὐωχίαν λαμπρὰν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ, περικοσμήσας αὐτὴν ὑφάσμασι σηρικοῖς, παρ' αὐτῇ τῇ ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος ἑστηκότος· ἔνθα συνέστη Ῥωμανὸς Πέτρῳ Βουλγάρῳ ἅμα Κωνσταντίνῳ γαμβρῷ καὶ Χριστοφόρῳ υἱῷ. τῶν δὲ Βουλγάρων ἔνστασιν οὐ μικρὰν ποιησαμένων πρότερον εὐφημισθῆναι Χριστοφόρον, εἶθ' οὕτω τὸν Κωνσταντῖνον, ὑπεῖξε τῇ ἐνστάσει τούτων Ῥωμανὸς ὁ P 257 βασιλεύς, καὶ γέγονεν ὅπερ ᾐτήσαντο. ἐπεὶ δὲ πάντα τὰ ἐν γάμοις συνετελέσθησαν, ἔμελλε δὲ ἡ Μαρία ἤδη τὴν πρὸς Βουλγαρίαν σὺν τῷ ἀνδρὶ Πέτρῳ ὁδεύειν, οἱ ταύτης γονεῖς μέχρι τοῦ Ἑβδόμου συνεξῆλθον αὐτῇ ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ. ἐπειδὴ ἀπαίρειν ἔμελλεν, περιχυθέντες τῇ θυγατρὶ καὶ πυκνὰ καταχέον-

14 συνειστιάθη Cedrenus

mensis die octavo egressus patriarcha Stephanus cum Theophane protovestiario, et Maria Christophori imperatoris filia universoque senatu ad sanctissimae deiparae ad Pegas, Petrum et Mariam benedixit, eorumque capitibus nuptiales corollas imposuit, sponsam comitantibus Theophane protovestiario et Georgio Sursubulo. mensa vero sumptuosa ac magnificentissima instructa, cunctisque ad nuptiarum solennia spectantibus rite splendideque peractis, Theophanes protovestiarius una cum Maria imperatoris filia in urbem reversus est. tertio autem a nuptiis celebratis die Romanus imperator in Pegarum exscensione magnificum paravit convivium, sericis aulaeis convestita machina, et ad ipsam paetoria celoce constituta. eo loco epulatus Romanus cum Petro Bulgaro et Constantino genero ac filio Christophoro, Bulgarisque etiam atque etiam enitentibus ut prior Christophorus tumque Constantinus faustis acclamationibus imperatorum more exciperentur, eorum Romanus flagitationibus annuit, sicque illis res ex voto cessit. tunc vero omnibus nuptiarum expletis solennibus ac gaudiis, et cum iam Maria cum Petro viro suo in Bulgariam esset profectura, ad Hebdomum usque a parentibus una cum Theophane protovestiario deducitur. in ipso discessus procinctu puellae circumfusi copiosas fundunt lacrimas, quantas par

τες δάκρυα, καὶ ὅσα εἰκὸς ἐπὶ στερήσει σπλάγχνου περιποθήτου, τόν τε αὐτῶν γαμβρὸν ἀσπασάμενοι καὶ ταύτην ταῖς τούτου χερσὶν παραθέμενοι ἐν τοῖς βασιλείοις ὑπέστρεψαν. Μαρία δὲ Βουλγαρικαῖς παραδοθεῖσα χερσὶ τὴν ἐπὶ Βουλγαρίαν ἀπῄει, χαίρουσά τε B ἅμα καὶ λυπουμένη, λυπουμένη μὲν ἐν οἷς γονέων φιλτάτων ἐστέρητο καὶ βασιλείων οἴκων καὶ συνηθείας τῶν γένει προσηκόντων, χαίρουσα δὲ ἐν οἷς βασιλεῖ προσήρμοστο ἀνδρὶ καὶ δέσποινα Βουλγάρων προσηγορεύθη. ἀπῄει τοίνυν πλοῦτον κομιζομένη παντοδαπῆ καὶ ἀποσκευὴν ἀναρίθμητον.

24. Τότε δὲ καὶ Ἰωάννης μάγιστρος καὶ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας, καλῶς διοικῶν τὸν Ῥωμαϊκὸν στρατὸν σχεδὸν ἀπὸ τῆς ἀναρρήσεως Ῥωμανοῦ βασιλέως, καὶ καταπολεμῶν καθ᾽ ἑκάστην τοὺς Ἀσσυρίους, καὶ πόλεις καὶ κάστρα καὶ κώμας C καὶ χώρας αὐτῶν πορθήσας καὶ αἰχμαλώτους ποιήσας, μεθ᾽ ὧν καὶ τὸ ἐπίσημον καὶ ἐξάκουστον καὶ πάνυ ὀχυρὸν καὶ δυνατὸν κάστρον τῆς Συρίας, Μελιτινὴν ὀνομαζόμενον, διαφόρως καταπολεμήσας καὶ πραιδεύσας, καὶ εἰς φροῦδον ἀπωλείας τοῦτο ποιήσας, καὶ τὰς πέριξ κώμας καὶ χώρας πυρικαύστους ἐργασάμενος, αὐτὸ τὸ ἀήττητον καὶ ἀμάχητον κάστρον παρακαθίσας καὶ ἑλεπόλεις μηχανικὰς στήσας, καὶ εἰς παντελῆ ἀπορίαν καὶ ἀμηχανίαν ἐμβαλὼν αὐτοὺς ὅ τι πράξαιεν, καὶ ἅπαξ καὶ πολλάκις πρέσβεις πρὸς τὸν δομέστικον στελλόντων καὶ λόγον αἰτούντων, D

est fundere qui mox carissimo pignore privandi erant, generumque suum exosculati, atque eius manibus deposita filia, in regiam revertuntur. Maria viri Bulgari manibus tradita, gaudio mixta et tristitia, in Bulgariam iter contendit. tristitiam faciebat, quod amantissimis parentibus, quod regiis aedibus, quod necessariorum affiniumque consuetudine deficiebatur: rursusque gaudii seges erat, quod viro regi locata, Bulgarorum domina esset consalutata. ibat itaque omnigenas conferens opes, innumeraque suppellectili opulenter instructa.

24. Tunc quoque Ioannes magister ac scholarum domesticus Curcuas, qui Romanas praeclare copias regebat, quo fere ex tempore Romanus imperator salutatus est, Assyriosque quotidie expugnabat, urbesque et oppida munita et vicos ac loca evertebat, captivosque ducebat, atque in iis etiam insignem nominatissimamque ac plane munitam potentissimamque Syriae urbem arcemque, Melitinem dictam, varie tentaverat praedatusque fuerat ac penitus vastaverat, circumque posita oppida vicosque et praedia igni succenderat, ipsa invicta inexpugnabilique arce obsessa, adhibitisque illi tormentis ac machinis obsidionalibus, oppidanisque in extremas angustias consiliique inopiam coniectis, ac cum illi semel saepiusque missis ad domesticum legatis fidem ac securitatem ex-

ὁ συνετὸς καὶ ἐχέφρων Ἰωάννης ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας τὰ τῶν δακρύων καὶ ἐλεεινολογιῶν καὶ τὰ τῆς τύχης σκοπήσας, οἷα τὰ ἀνθρώπινα, ὑπεῖξεν, καὶ λόγον δοὺς αὐτοῖς, ὁ Ἀπόχαψ ὁ τοῦ Ἄμερ ἔκγονος ἀμηρᾶς ὢν Μελιτινῆς, καὶ ὁ Ἀποσαλὰθ στρατηγὸς εὐγενέστατος ὢν καὶ πλούσιος ἐν Μελιτινῇ, παρεγένοντο. ἀποδεχθέντες οὖν παρὰ τοῦ δομεστίκου τῶν σχολῶν Ἰωάννου, πρὸς τὸν αὐτοκράτορα τούτους ἀπέστειλεν· καὶ σύμφωνα εἰρήνης ποιήσαντες ὑπέστρεψαν πρὸς τὰ ἴδια. ἔκτοτε
P 258 *δὲ συνεξεστράτευον τοῖς Ῥωμαίοις κατὰ τῶν ὁμοφύλων Ἀγαρηνῶν, ἔν τε τοῖς ἐπινικίοις συνεισήρχοντο τοῖς Ῥωμαίοις ἐν τῇ πόλει αἰχμαλώτους ἄγοντες Ἀγαρηνούς, ὅπερ ἦν θαυμαστὸν καὶ παράδοξον καὶ δεῖγμα τῆς ἀθέων Σαρακηνῶν δυστυχίας. τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ, ἀνδρὸς φρονίμου καὶ συνετοῦ, διέλυσαν τὴν εἰρήνην οἱ τὴν Μελιτινὴν κατοικοῦντες. ἐκστρατεύουσιν οὖν κατ' αὐτῶν πάλιν ὅ τε δομέστικος τῶν σχολῶν ὁ Κουρκούας Ἰωάννης μετὰ τῶν θεμάτων καὶ ταγμάτων καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμε-*
B *νίων· καὶ πολλὰς προνομὰς καὶ πραίδας καθ' ἑκάστην ποιούμενοι, καὶ ταῖς συνεχέσιν ἐπιδρομαῖς αἰχμαλωτίζοντες τούτους καὶ ληϊζόμενοι, εἰς τοσαύτην στένωσιν τὴν Μελιτινὴν περιέστησαν ὥστε αὐτὴν συντομώτατον ἐκπορθῆσαι καὶ ἕως ἐδάφους καταστρέψαι, οὐ μόνον δὲ ταύτην ἀλλὰ καὶ τὰς ὁμόρους αὐτῇ πόλεις καὶ χώρας πολυφόρους τε καὶ πιοτάτας οὔσας καὶ οἵας πολλὰς παρέχειν προσόδους. ταύτην οὖν τὴν Μελιτινὴν εἰς κουρατωρίαν ἀποκα-*

poscerent, vir prudens cordatusque Ioannes Curcuas scholarum domesticus, miserorum lacrimas supplicumque luctuosos clamores ac pro humanarum rerum ratione fortunae incerta considerans, eorum votis animum inflexit; ad quem accepta fide Apochaps ameris nepos, Melitines ipse ameras existens, Aposalathque dux apud Melitinem strenuissimus nobilissimusque ac locupletissimus, venere. hos scholarum domesticus Ioannes omni humanitate susceptos ad imperatorem misit; ictoque pacis foedere domum reversi sunt. indeque sociis adlecti ac foederati adversus tribules suos Agarenos cum Romanis ad bellum proficiscebantur, ac triumphi specie cum iisdem captivos suos ducentes (mirando sane spectaculo et inaudito, impiorumque Saracenorum afflictarum rerum indicio) urbem ingrediebantur. mortuo autem Apochapso, viro prudente ac sapiente, Melitinenses pacem dissolverunt. iterum igitur adversus eos proficiscuntur scholarum domesticus Ioannes Curcuas cum cohortibus ac legionibus, Meliasque Armeniis praefectus. hi multas quotidie agentes praedas, assiduisque excursionibus totam late regionem diripientes atque incolas subigentes, in tantas Melitinem coëgerunt angustias, ut brevissimo tempore ipsam expugnaverint ac solo tenus aequaverint. nec eam modo sed et vicinas urbes atque oppida et regiones feracissimas opimasque, ac quae multos proventus afferrent. hanc igitur Melitinem

ταστήσας ὁ βασιλεὺς πολλὰς χιλιάδας χρυσίου καὶ ἀργυρίου ἐκεῖθεν δασμοφορεῖσθαι ἐτησίως πεποίηκεν.

25. Κατηγορήθη δὲ Νικήτας ὁ μάγιστρος καὶ πενθερὸς C Χριστοφόρου βασιλέως ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς καὶ τῆς βασιλείας αὐτὸν ἐξεῶσαι. τοῦτον οὖν ἐξαγαγόντες τῆς πόλεως ἀπέκειραν μοναχόν, ὑπερορίσαντες τῷ ἑαυτοῦ προαστείῳ.

26. Μηνὶ δὲ Ἰουλίῳ ιε', ἰνδικτιῶνος ϛ', τελευτᾷ Στέφανος πατριάρχης, πατριαρχεύσας ἔτη δύο μῆνας ἕνδεκα. Δεκεμβρίῳ δὲ μηνί, τῇ τεσσαρεσκαιδεκάτῃ, ἄγουσι Τρύφωνα μοναχὸν ἐν τῷ Ὀψικίῳ μονάζοντα, ἐπ' εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι πατριάρχην ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν D εἰς μέτρον ἡλικίας φθάσῃ Θεοφύλακτος ὁ τοῦ Ῥωμανοῦ υἱός, ὃν ἔμελλον πατριάρχην χειροτονεῖν Κωνσταντινουπόλεως.

27. Εἰκάδι δὲ πέμπτῃ τοῦ αὐτοῦ μηνὸς χειμὼν ἀφόρητος γέγονεν, ὥστε κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ρκ'. ὅθεν καὶ γέγονεν ὁ μέγας λιμός, τοὺς πώποτε γενομένους ὑπερβαλλόμενος, καὶ θάνατος ἐκ τούτου πολύς, ὡς μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὴν ἀφόρητον ἐκείνην βίαν κατανοήσας ἀξίαν τῆς ἑαυτοῦ συμπαθοῦς καὶ ἐλεήμονος φύσεως πρόνοιαν ἐποιήσατο, πολλαῖς ἐλεημοσύναις τὴν P 259 ἐκ τοῦ λιμοῦ παραμυθησάμενος ἔνδειαν· ἀνέφραξέν τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοάς, ὡς μὴ τὴν χιόνα καὶ τὸ

imperator in curatoriam (alii provinciam dixerint) redigens, multa inde auri argentique milia tributo annuo fisco inferenda indixit.

25. Ceterum Nicetas magister ac Christophori imperatoris socer accusatus est, quod rebellandi adversus patrem eumque solio deturbandi auctor illi fuisset. quocirca urbe eiectum in monachum detondent, inque suburbano suo exsulem agere cogunt.

26. Mensis Iulii quinta decima, indictione sexta, moritur Stephanus patriarcha, cum ei muneri praefuisset annos duos, menses undecim. mensis autem Decembris quarta decima Tryphonem adducunt in Opsicio profitentem monachum, virum religiosis moribus ac sanctitate probatum, ordinantque patriarcham ad certum tempus, donec scilicet Theophylactus Romani filius maturae aetatis annos attingeret, quem patriarcham Cpolitanum ordinaturi erant.

27. Eiusdem mensis die vigesima quinta gravissimum fuit frigus, adeo ut dies 120 terra gelu concreta obriguerit. hoc gelu subsecuta fames, quanta ante nunquam exstiterat; exque illa crebrae adeo mortes ut nec efferendis mortuis vivi sufficerent. porro Romanus tantam illam vim mali considerans, pro benigna sua teneraque in miseros indole, convenientem eis curam adhibuit seduloque prospexit, larga eleemosynarum praebitione famis indigentiam solans. porticuum quoque spatia fenestris ac tabulatis obstruxit, ne per ea nix frigusque in pauperes

ψῦχος ἐκεῖθεν ἐπεισιέναι τοῖς πένησι. τότε καὶ τὰς λεγομένας ἄρκλας ἐν πᾶσι κατεσκεύασε τοῖς ἐμβόλοις, ἀργύριά τε κατὰ μῆνα τοῖς ἐν ταύταις κατακειμένοις πένησι δίδοσθαι διετάξατο καὶ τὰ μηνιαῖα τριμίσια ἐν ταῖς ἐκκλησίαις τοῖς πένησι διανέμεσθαι, ὡς εἶναι τὰ διδόμενα τοῖς τε ἐν ταῖς ἄρκλαις πτωχοῖς καὶ τοῖς ἐν ταῖς
B *ἐκκλησίαις ἀργύρου ἐγκεχαραγμένου χιλιάδας δώδεκα. οὐ μόνον δὲ ταῦτα ἡ συμπαθὴς αὐτοῦ ψυχὴ διετύπωσεν τῶν πενήτων προνοουμένη, ἀλλὰ καὶ καθ' ἡμέραν αὐτῷ τρεῖς συνεσθίειν πένητας διετάξατο, οἳ ἀνὰ ἓν ἐλάμβανον νόμισμα. τετράδι δὲ καὶ παρασκευῇ τρεῖς πένητες μοναχοὶ τούτῳ συνήσθιον, τὸ τετυπωμένον ἕκαστοι λαμβάνοντες νόμισμα. ὅπερ δὲ ἐν τοῖς μοναστηρίοις εἴωθεν γίνεσθαι ἐν τῷ καιρῷ ἀνὰ τῆς ἑστιάσεως, τοῦτο αὐτὸς ἐποίει, διπλῆν ἑαυτῷ καὶ τοῖς δαιτυμόσι τὴν τράπεζαν παρατιθείς, ὥστε τὸ μὲν σῶμα τρέφεσθαι τῇ συνήθει τροφῇ, τῇ δὲ ψυχῇ καταλ-*
C *λήλῳ τῶν λόγων ἐπεντρυφᾶν ἡδονῇ, οἷς ἐκεῖνος ἐπιμελῶς προσέχων τὸν νοῦν κατένυσσε τὴν ψυχὴν καὶ πολλὰς δακρύων ὑφίει πηγάς. τὴν δὲ πίστιν ὅσην ἐκέκτητο πρὸς πάντας μὲν μοναχούς, μάλιστα δὲ τοὺς ἐπ' ἁγιοσύνῃ διαβοήτους καὶ εὐλαβείᾳ, τίς ἂν διηγήσαιτο; οὐκ ἐθεάσατο γάρ ποτε μοναχὸν ἀρετῆς ἀντεχόμενον, ᾧ τινὶ τὰς ἑαυτοῦ πράξεις σὺν πολλοῖς δάκρυσιν οὐκ ἐξηγόρευε. πιστότατος δὲ ὢν καὶ ὀρθοδοξότατος πάσας τὰς τῆς πόλεως ἐκκλησίας πέπλοις διαφανέσι καὶ φωταγωγίαις λαμπρῶς κατεκόσμει καὶ*
D *κατεφαίδρυνεν. ἀλλὰ καὶ τοῖς ἐν ὄρεσι μοναχοῖς, τῷ τε Ὀλύμπῳ*

grassarentur. tum quoque eas quas arculas vocant in cunctis porticibus construxit; nummumque argenteum iacentibus illic egenis quot mensibus erogari praecepit, menstrua quoque trimisia per ecclesias pauperibus iussit distribui, adeo ut quae per arculas et ecclesias erogabantur argenti cusi numismata, ad duodecim milia numerarentur. neque haec solum misericordia pronus eius animus pauperumque liberalis provisor sibi ipse constituit, sed abunde tres quotidie pauperes secum comedere voluit, quibus singulis eleemosynae titulo nummus cederet. quarta autem feria ac parasceue tres egenos monachos mensae socios adhibebat, quibus singulis constitutum nummum erogabat. quodque in monasteriis observari solet, ut inter comedendum lectio habeatur, hoc ille praestabat, sibi ipse ac convivis duplicem apponens mensam, ut tum corpus consueto cibo aleretur, tum anima doctrinarum voluptate oblectaretur. quibus ille diligenter attendens animum, compungebatur ac lacrimarum large fontes emittebat. eius vero fidem erga monachos, quos praesertim sanctitas et religio claros reddiderat, quanta fuerit, quis possit enarrare? eorum nemo in conspectum veniebat, sedulus virtutis cultor, cui actus suos cum multis lacrimis non exponeret. cum autem fide devotissimus ac summe orthodoxus esset, urbis omnes ecclesias sumptuosis aulaeis cereorumque et lampadum copia praeclare exornavit. sed et monachis in montibus, tum nempe Olympo tum Cymina et quem vocant

καὶ τῷ Κομινᾷ καὶ τῇ Χρυσῇ κατονομαζομένῃ Πέτρᾳ καὶ τοῦ Βαραχαίου ὄρει, οὐ διέλιπεν ἐτησίως ῥόγας ἐξαποστέλλων καὶ φροντίζων τούτων καὶ προνοούμενος, καὶ τοὺς ὀνομαστοὺς ἐπὶ πράξει καὶ θεωρίᾳ μετακαλούμενος ὡς αὐτόν, καὶ τῶν εὐχῶν αὐτῶν τὰς εὐλογίας τρυγῶν. οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς διὰ θεὸν ἐγκλείστοις καὶ στενωτάτοις οἰκίσκοις καθειρξασι καὶ πᾶσι τοῖς μοναστηρίοις τὰς ἐτησίους ῥόγας, ἃς διετύπωσεν, οὐ διέλιπεν ἐπιχορηγῶν. ταῦτα ὡς ἐκ πολλῶν ὀλίγα τῶν αὐτοῦ κατορθωμάτων καὶ ἐλεημοσυνῶν διεξήλθομεν.

28. Πέτρῳ δὲ τῷ Βουλγάρῳ ἐπέθετο Ἰωάννης ὁ ἀδελφὸς P 260
αὐτοῦ μετὰ καὶ ἑτέρων μεγιστάνων τοῦ Συμεών· καὶ φωραθέντων αὐτῶν ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται φυλακῇ, οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. ταῦτα δὲ δῆλα Πέτρου ποιήσαντος τῷ βασιλεῖ Ῥωμανῷ, ἀπέστειλεν ὁ βασιλεὺς τὸν μοναχὸν Ἰωάννην, ὃς ἐγεγόνει ῥαίκτωρ, προφάσει μὲν τοῦ ποιῆσαι τὸ ἀλλάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ ἀληθείᾳ δὲ Ἰωάννην κατασχεῖν καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν. ὃ δὴ καὶ γέγονεν· εἰσελθὼν γὰρ ἅμα Ἰωάννῃ εἰς πλοῖον ἀπὸ Μεσημβρίας ἦλθεν ἐν τῇ πόλει. καὶ μετ᾽ οὐ πολὺ τούτου τὸ μοναχικὸν B
σχῆμα ἀπορρίψαντος καὶ γυναῖκα ἐπιζητήσαντος, δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα καὶ γυναῖκα ἐκ τῆς ἑαυτοῦ πατρίδος τῆς τῶν Ἀρμενιακῶν ὁρμωμένην, γάμον τε λαμπρὸν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ πεποίηκεν, Χριστοφόρου βασιλέως καὶ Ἰωάννου μοναχοῦ τοῦ γεγονότος ῥαίκτορος παρανυμφευσάντων.

Petram Auream et Barachaeo, nunquam destitit annua stipendia mittere eorumque res curare ac eis providere, quique inter illos actionis cultu ac contemplationis spectabiles essent, ad se accersere eorumque precum suffragia percipere. nec id modo, sed et religiosa exercitatione inclusis, et qui se angustissimis tuguriolis velut carcere abdidissent, cunctis denique monasteriis statutas annonas subministrare non cessabat. haec velut ex multis paucas viri virtutes eleemosynasque percurrimus.

28. Petro Bulgarorum principi Ioannes frater cum aliis Symeonis proceribus struxit insidias. deprehensis illis, Ioannes quidem flagris emendatus in carcere includitur, reliqui acerbis suppliciis subacti sunt. horum Romanus imperator a Petro certior factus, Ioannem monachum (eum qui rector exstiterat) mittit, praetextu quidem redimendi captivos, re ipsa vero ut Ioannem caperet et Byzantium duceret; quod et ita contigit. una quippe cum Ioanne navim ingressus, a Mesembria in urbem delatus est. nec multo post proiecto monachi habitu, cum uxoris amplexus quaereret, imperator illi aedes assignavit multaque omnino praedia contulit, exque sua ipsius Armeniacorum patria coniugem ei locavit, atque in Caesaris domo praemagnificas nuptias fecit, ductoribus sponsae Christophoro imperatore ac Ioanne monacho, qui rector exstiterat.

29. Ἀλλὰ καὶ Μιχαὴλ μοναχός, αὐτὸς ὁ ἀδελφὸς Πέτρου, κατὰ σπουδῆς ἔχων τῆς Βουλγαρικῆς ἐξουσίας ἐπιλαβέσθαι, ἰδιοστασίασεν ἔν τινι Βουλγαρικῷ κάστρῳ· καὶ τούτῳ προσερρύησαν C οἱ τῆς Πέτρου ἀρχῆς διεστηκότες Σκύθαι. οὗ μετὰ τὴν τοῦ βίου καταστροφὴν ἐπῆλθον οὗτοι ταῖς Ῥωμαϊκαῖς χώραις, ὥστε συμβῆναι τούτους ἀπὸ Μακέτιδος διὰ Στρυμόνος πρὸς Ἑλλάδα καὶ τὴν Νικόπολιν προσχωρῆσαι καὶ τὰ ἐκεῖσε πάντα ληΐσασθαι. Νικόπολις δὲ ἐπωνόμασται κατὰ τὸ ἐπώνυμον τῆς νίκης, ἣν Αὔγουστος Σεβαστὸς κατὰ Ἀντωνίου καὶ Κλεοπάτρας εἰργάσατο καὶ τὴν Αἰγυπτίων ἀρχὴν τοῖς Ῥωμαίοις ὑπέκλινεν.

30. Μαρτίῳ δὲ μηνί, δευτέρᾳ ἡμέρᾳ, κοσμήτης ἔπεσεν D ἐν τῷ φόρῳ ἐκ τῶν ἐν τοῖς στιχηδὸν ἱσταμένοις ἐκεῖσε κίοσιν ἐπικειμένων, καὶ ἀπέκτεινεν ἄνδρας ἕξ. γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον, πλησίον τοῦ ναοῦ τῆς ὑπεραγίας θεοτόκου, ὥστε κατακαῆναι τά τε κηροπωλεῖα καὶ τὰ γουνάρια τοῦ φόρου μέχρι τῶν Ψιχῶν.

31. Ἐτελεύτησε δὲ Χριστοφόρος βασιλεὺς μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος τετάρτης, πολλὰ κοψαμένου καὶ θρηνήσαντος αὐτὸν τοῦ πατρός, μεῖζον ἢ κατ' Αἰγυπτίους, ὡς ἤδη εἰς γῆρας αὐτοῦ ἐληλακότος καὶ τῶν υἱῶν αὐτοῦ ἔτι νηπίων ὄντων. καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ πατρὸς αὐτοῦ.

13 ἑξήκοντα Scylitzes et Cedrenus. Combef.

29. Quin et Michael monachus, ipse Petri frater, Bulgarici imperii cupidus, seorsum in Bulgariae quadam arce rebellavit, multosque Scythas, qui a Petri principatu desciverant, ad se pertraxit. hi Michaele vivis exempto Romanae dicionis fines invaserunt, sic nimirum ut a Macetide per Strymonem ad Atticam Nicopolimque progressi cuncta ibi populati sint. Nicopolis vero dicta est a victoria, quam Augustus rettulit de Antonio et Cleopatra, tunc scilicet cum Romanis fascibus Aegyptum subiecit.

30. Mensis Martii die secunda, qui in foro columnis illic ordine erectis cosmetes impositus erat, decidit ac sex viros occidit. magnum quoque ac formidabile contigit incendium in fori porticu, haud procul ab aede sanctissimae deiparae, adeo ut pars illa fori quam cerarii et quam pellitiarii artifices occupant, ad Psichas usque igni absumpta sit.

31. Christophorus vero imperator mortuus est mense Augusto, indict. 4, Romano patre illius funus ingenti luctu ac planctu prosequente, supra quam etiam Aegyptiorum moribus receptum sit, eo quod vergente iam ipsius aetate eius liberi adhuc pueri ac minores essent. depositum illius cadaver in patris sui monasterio, cuius in superioribus meminimus.

32. Κατήγαγον δὲ καὶ Τρύφωνα πατριάρχην Αὐγούστῳ P 261 μηνὶ ἰνδικτιῶνος τρίτης, τὸν ῥητὸν χρόνον τελέσαντα· καὶ ἀπελθὼν ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ, χηρευσάσης ἐκκλησίας χρόνον ἕνα καὶ μῆνας ε' διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου υἱοῦ Ῥωμανοῦ βασιλέως· αὐτὸν γὰρ ἔμελλεν, ὡς ἤδη εἴρηται, πατριάρχην καθιστᾶν.

33. Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον Δοῦκα ἑαυτὸν ἐπιφημίσας πολλοὺς μεθ' ἑαυτοῦ συνεπήγετο. οὗτος συσχεθεὶς ὑπὸ Ἐλεφαντίνου τουρμάρχου, ἐκ τοῦ Ὀψικίου B ὄντος, ἤχθη ἐν Κωνσταντινουπόλει, καὶ ὑπὸ Πέτρου ὑπάρχου τῆς μιᾶς ἀλλοτριοῦται χειρός. εἶτα καιροῦ λαβόμενος καταλαμβάνει πάλιν τὸ Ὀψίκιον, καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος καὶ σπάθην ὑπερμεγέθη κατασκευάσας διήρχετο, πλανῶν αὖθις τῶν ἀγυρτευόντων πολλοὺς ὡς εἴη αὐτὸς Κωνσταντῖνος ὁ τοῦ Δουκός. οὓς καὶ συνεφελκόμενος μεγάλην κατὰ Ῥωμανοῦ ἀνταρσίαν κινεῖ. καὶ φρούριον κατασχὼν ὃ Πλατεῖα πέτρα κατονομάζεται, πᾶν εἶδος ἐδωδίμων ἐν τούτῳ ἀπέθετο· ἀφ' οὗ ἐξορμῶν ἐλεηλάτει καὶ τοὺς παρατυγχάνοντας προενόμευεν. C ἀποστείλας οὖν ὁ βασιλεὺς κατ' αὐτοῦ αὐτόν τε συνέλαβεν καὶ τοὺς σὺν αὐτῷ· ὃν καὶ ἀγαγόντες ἐν τῇ πόλει ἀνέκρινόν τε καὶ πολλὰς πληγὰς ἐπετίθεσαν, τοῦ τοὺς συστασιώτας, εἴ τινες εἶεν, εἰπεῖν. ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευδῶς ὡς συνόν-

2 τετάρτης margo   18 τοὺς om P   21 συστρατιώτας P, συστασιώτας margo

32. Sed et Tryphonem patriarcham mense Augusto, indictione tertia, cum tempus constitutum explesset, officio moverunt; qui abiens in monasterio suo e vivis excedit, ecclesia pastore vidua annum unum, menses quinque, quod Theophylactus nondum matura satis aetate esset. ipsum enim Romanus constituerat patriarcham praeficere, uti iam dictum est.

33. Basilius vero quidam Macedo impostor, Constantinum Ducem se esse iactans, multos sibi adiunxit. hic ab Elephantino tribuno Opsiciano captus in urbem inductus est, Petrique urbis praefecti sententia altera manuum truncatur. postmodum occasionem nactus ad Opsicium redit, aereamque sibi manum eius loco quae amputata fuerat aptans, ingentemque gladium fabricans, multos iterum circumforaneos ac nebulones seducens sic vagabatur, seque adeo Constantinum Ducis filium esse suadens. horum itaque contracta manu magnam adversus Romanum rebellionem conflat; castroque occupato cui nomen Lata petra, omnisque generis in eo annona reposita; ex his latebris erumpens circumvicinam regionem populabatur ac praedas agebat. missis itaque imperator copiis tum illum cepit, tum qui sub illo merebant. inductum vero in urbem iudicio sistunt, eique ad quaestiones adhibito, et ut socios prodat, plagas multas imponunt. ille multos procerum, quasi sibi

τας αὐτῷ. μηδὲν δὲ ἀληθὲς κατ' αὐτῶν λέγειν ἐξελεγχθεὶς ἐν τοῖς Ἀμαστριανοῦ πυρὸς παρανάλωμα γίνεται.

34. *Χειροτονεῖται δὲ πατριάρχης ὁ ῥηθεὶς τοῦ βασιλέως υἱὸς Θεοφύλακτος, Φεβρουαρίῳ μηνὶ δευτέρᾳ ἰνδικτιῶνος ἕκτης,* D *τοῦ πατρῴου φρονήματος ἐφ' ἅπασιν ἐξερχόμενος, ἀλλὰ καὶ τοῖς πρόσω παρεκτεινόμενος κατορθώμασι μετὰ καὶ τῆς προσούσης ἐλλογιμότητος, τοποτηρητῶν ἐκ Ῥώμης ἀνελθόντων καὶ τόμον συνοδικὸν ἐπιφερόμενοι περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ πατριαρχικῷ θρόνῳ τοῦτον ἐνίδρυσαν.*

35. *Ἡ εἰρημένη βασιλέως Ῥωμανοῦ ἐγγόνη ἡ Μαρία, γυνὴ Πέτρου Βουλγάρου, πολλάκις ἀπὸ Βουλγαρίας ἐν τῇ πόλει εἰσῆλθεν τοῦ τὸν ἴδιον πατέρα καὶ τὸν πάππον αὐτῆς ἐπισκέψα-* P 262 *σθαι. τελευταῖον δὲ μετὰ παίδων εἰσῆλθεν τριῶν, ἤδη Χριστοφόρου τοῦ πατρὸς αὐτῆς τελευτήσαντος. πλοῦτον οὖν πολὺν παρὰ τοῦ πάππου λαβοῦσα ἐντίμως ὑπέστρεψεν.*

36. *Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο θυγατέρα οὖσαν τοῦ Γαβαλᾶ, ἐγγόνην δὲ Κατάκυλα, Ἄνναν ὄνομα. ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας αὐτῇ στέφανος ἐπετίθετο.*

37. *Ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ* B *Ῥωμαίων ἰνδικτιῶνος ἑβδόμης Ἀπριλλίῳ μηνί· οἳ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο πᾶσαν Θρᾳκῴαν ψυχήν.*

18 *Ἄννα* P

adhaesissent, per calumniam defert. convictus vero nihil veri criminis illis obiicere, ad Amastriani aedes igni absumptus est.

34. Quem vero dicebam, imperatoris filius Theophylactus patriarcha ordinatur, Februarii mensis die secunda, indictione sexta, patris in omnibus animos sensumque praeveniens, sed et ad ea quae a fronte virtutes recteque facta, cum ea qua praeditus erat eruditione atque doctrina, sese extendens. aderant vicarii Romani antistitis, qui tomum synodalem de illius tractantem ordinatione afferrent; qui etiam in patriarchali sede eum collocarunt.

35. Quin dicta quoque Romani imperatoris neptis, Maria Petri Bulgari uxor, haud raro in urbem veniebat ex Bulgaria patris avique invisendorum causa. postremo autem venit tres secum liberos adducens, cum iam Christophorus eius pater vivis exemptus esset. multis itaque avi munificentia donata divitiis honorifice domum reversa est.

36. Romanus vero imperator Stephano filio uxorem locat Gabalae filiam, Catacylae neptim, Annam nomine; ac cum nuptiali serto Augustalis etiam illi corona imposita est.

37. Turcorum prima expeditio adversus Romanos contigit mense Aprili, indictione 7. hi ad urbem usque excurrentes cunctos per Thraciam obvios praeda abegerunt. missus itaque Theophanes patricius pro-

ἀπεστάλη οὖν ὁ πατρίκιος Θεοφάνης ὁ πρωτοβεστιάριος καὶ παραδυναστεύων ποιῆσαι ἀλλάγιον· ὃς θαυμασίως καὶ συνετῶς αὐτοῖς μετελθὼν ὅσαπερ ἐβούλετο κατεπράξατο, πολλὰ παρ' αὐτῶν ἐν τῇ φρονήσει καὶ εὐβουλίᾳ ἐπαινεθείς τε καὶ θαυμασθείς· ὅτε καὶ τὸ μεγαλόψυχον αὐτοῦ καὶ φιλάνθρωπον ὁ βασιλεὺς Ῥωμανὸς ἐπεδείξατο, μηδενὸς φεισάμενος χρήματος πρὸς τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν.

38. *Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Ῥωμανὸς τῷ τελευ-* C *ταίῳ υἱῷ Κωνσταντίνῳ, ἐκ γένους τῶν Ἀρμενιακῶν τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα· ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνὶ δευτέρᾳ ἑτέραν τούτῳ συνέζευξεν γυναῖκα ὀνόματι Θεοφανώ, ἐκ γένους τοῦ Μάμαντος ἐκείνου καταγομένην.*

39. *Δεκάτης καὶ τετάρτης ἰνδικτιῶνος, Ἰουνίῳ δὲ μηνὶ ἑνδεκάτῃ, κατέπλευσαν οἱ Ῥῶς κατὰ Κωνσταντινουπόλεως μετὰ πλοίων χιλιάδων δέκα, οἳ καὶ Δρομῖται λεγόμενοι, οἳ ἐκ γένους τῶν Φράγγων καθίστανται. ἀπεστάλη οὖν κατ' αὐτῶν μετὰ τριή-* D *ρων καὶ δρομώνων, ὅσα καὶ ἔτυχον ἐν τῇ πόλει, ὁ πατρίκιος· καὶ τόν τε στόλον προευτρεπίσας τε καὶ ἑτοιμασάμενος, καὶ νηστείᾳ καὶ δάκρυσιν αὐτὸν κατοχυρώσας ὡς μάλιστα, τοὺς Ῥῶς προσδέχεται καταναυμαχῆσαι μέλλων αὐτούς. ἐπεὶ δὲ ἐκεῖνον κατέλαβον καὶ πλησίον τοῦ Φάρου ἐγένοντο (Φάρος δὲ καλεῖται ἀφίδρυμά τι, ᾧ πυρσὸς ἐπιτίθεται εἰς ὁδηγίαν τοῖς ἐν νυκτὶ παροδίταις), οὗτος*

tovestiarius imperiique administer ac princeps senatus, ut cum eis pacem componeret captivosque reciperet. porro Theophanes admiranda prudentia ac sagacitate illis usus ex voto cuncta confecit, multamque ex illis eo nomine laudem ac admirationem reportavit. tunc quoque Romanus imperator, quanta magnificentia ac humanitate praestaret, ostendit, nullis sumptibus parcens, solum ut liberarentur captivi.

38. Locavit etiam Romanus imperator Constantino filiorum natu minimo uxorem Helenam, Adriani patricii filiam stirpis Armeniacae. qua et defuncta mensis Februarii die altera, alteram ei Theophanonem nomine, Mamantis illius stirpe satam, nuptum tradit.

39. Quarta decima indictione, mensis vero Iunii undecima, Russi instructa classe ad decem navium milia adversus Byzantium navigaverunt. hos Dromitas vocant (velut palantes dicas ac cursu veloces) atque a Francis genus ducunt. missus itaque est cum triremibus et celocibus quotquot in urbe erant, illorum impetum excepturus Theophanes patricius. instructaque ac parata classe, ieiunii ac lacrimarum apprime praesidio communitus Russos operiebatur, navale cum eis certamen commissurus. quod vero illi iam iunxerant ac prope Pharum venerant (vocatur vero Pharus turris quaedam et substructio, cui fax accensa imponitur ad eorum qui noctu applicant iter dirigendum), ipse ad Eu-

πρὸς τῷ τοῦ Εὐξείνου πόντου στόματι παρεδρεύων (ὃς κατὰ ἀντίφρασιν κέκληται· κακόξεινος γὰρ διὰ τὰς συνεχεῖς τῶν ἐκεῖσε
P 263 λῃστῶν πρὸς τοὺς ἐπιξενουμένους καταδρομάς, οὓς, ὥς φασίν, ἀνελὼν Ἡρακλῆς, καὶ ἀδείας τυχόντες οἱ παροδῖται, τοῦτον Εὔξεινον ἐπωνόμασαν) ἐν τῷ Ἱερῷ λεγομένῳ ἀθρόον τούτοις ἐπέθετο, ὃ τὴν ἐπωνυμίαν εἴληφεν διὰ τὸ τῆς Ἀργοῦς πλωτήρων ἐκεῖσε διερχομένων αὐτόθεν ἀνίδρυσαν ἱερόν. καὶ δὴ πρῶτος τῷ οἰκείῳ δρόμωνι διεκπλεύσας τήν τε σύναξιν τῶν Ῥουσικῶν πλοίων διέλυσεν καὶ τῷ ἐσκευασμένῳ πυρὶ πλεῖστα κατέφλεξεν, τὰ δὲ λοιπὰ τούτων ἐτρέψατο εἰς πληγὴν καὶ φυγήν· ᾧ ἀκολούθως καὶ οἱ λοιποὶ δρόμωνες καὶ αἱ τριήρεις ἐπεκδραμοῦσαι τελείαν εἰργά-
B σαντο τὴν τροπήν, καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὔτανδρα, πολλοὺς δὲ κατέστρωσαν, πλείστους δὲ ζῶντας συνέλαβον. οἱ περιλειφθέντες οὖν εἰς τὸ τῆς ἀνατολῆς μέρος εἰς τὰ Σγόρα λεγόμενα καταπλέουσιν. ἀπεστάλη δὲ τότε καὶ Βάρδας πατρίκιος ἀπὸ στρατηγῶν ὁ Φωκᾶς διὰ γῆς μετὰ ἱππέων καὶ ἐκκρίτων ἀνδρῶν τοῦ παρατρέχειν αὐτούς. καὶ δὴ τούτων σύνταγμα ἱκανὸν ἀποστειλάντων πρὸς τὰ τῆς Βιθυνίας μέρη ὥστε τὰ πρὸς τροφὴν καὶ ἄλλην χρείαν πορίσασθαι, περιτυχὼν τῷ τοιούτῳ συντάγματι ὁ εἰρημένος Βάρδας ὁ Φωκᾶς κακῶς τούτους διέθηκεν, τρεψά-
C μενος καὶ κατασφάξας αὐτούς. κατῆλθε δὲ καὶ ὁ συνετώτατος καὶ ἐχέφρων Ἰωάννης ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας μετὰ παντὸς τοῦ τῆς Ἀνατολῆς στρατεύματος, καὶ πολλοὺς τούτων διέ-

1 στόμα P   7 ἀνιδρυθὲν?   9 δὲ om P

xini fauces stationem habens (sic enim contraria appellatione vocatus est, cum Cacoxinus diceretur, iccirco nimirum quod latrones ea loca insidentes assidue adversus hospites grassarentur, quos ab Hercule sublatos aiunt; proptereaque viatores tuto iam illius itinere Euxini, quasi hospitalis, nomen indidisse) in loco quem Hierum vocant repente in eos impressionem fecit. Hierum inde nominis appellationem sumpsit, quod Argonautae illac transeuntes templum ibi exstruxerint. primus itaque sua ipse celoce vectus cum Russicarum navium ordinem dissolvit, tum plerosque praeparato igne nautico incendit, reliquas in fugam vertit; quem pone secutae naves reliquae atque triremes hostium omnem aciem penitus fuderunt, ac plures quidem navium cum vectoribus submerserunt, multos peremerunt, plurimos vivos ceperunt. superstites cladi reliquiae ad Orientalem plagam, ad locum Sgora dictum, traiecerunt. ibi Bardas patricius Phocas exdux missus cum equitum peditumque delecta manu ad hostium iter terra intercipiendum, in eorum cohortem satis numerosam, ad pabulandum aliaque necessaria ad Bithyniae partes missam, incidit, ingentique eam strage fudit et profligavit atque internecione delevit. sed et sapientissimus solertissimusque Ioannes Curcuas scholarum domesticus cum Asiatico omni exercitu praesto fuit, multosque Russorum a

φθειρεν ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων, ὥστε συσταλέντας αὐτοὺς δέει τῆς αὐτοῦ ἐπιθέσεως μένειν ἐπὶ τὸ αὐτὸ παρὰ τὰ οἰκεῖα πλοῖα καὶ μηδαμοῦ παρεκτρέχειν κατατολμᾶν. πολλὰ δὲ καὶ μέγιστα κακὰ οὗτοι διεπράξαντο πρὸ τοῦ τὸ Ῥωμαϊκὸν στράτευμα κατελθεῖν. τό τε γὰρ Στενὸν ἅπαν λεγόμενον ἐνέπρησαν, καὶ οὓς συνελάμβανον αἰχμαλώτους, τοὺς μὲν ἐσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπαττάλευον, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστάντες D βέλεσι κατετόξευον. ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου κατελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατεπήγνυον. πολλοὺς δὲ ἁγίους ναοὺς τῷ πυρὶ παρέδωκαν. χειμῶνος δὲ ἐνισταμένου καὶ τροφῶν ἀποροῦντες, τό τε ἐπελθὸν στράτευμα τοῦ δομεστίκου τῶν σχολῶν τοῦ Κουρκούα καὶ αὐτὸν τὸν ἐχέφρονα καὶ νουνεχῆ εὔβουλον δεδιότες, τάς τε ναυμαχίας καὶ τὰ ἐσχηματισμένα πολέμια τοῦ πατρικίου Θεοφάνους, ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν. καὶ δὴ λαθεῖν τὸν στόλον σπουδάζοντες, Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος πέμπτης P 264 καὶ δεκάτης νυκτὸς ἀντιπλεῦσαι ὡρμηκότες ἐπὶ τὰ Θρᾳκῷα μέρη, παρὰ τοῦ ῥηθέντος πατρικίου Θεοφάνους ὑπηντήθησαν· οὐδὲ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην καὶ γενναίαν ψυχήν. εὐθὺς οὖν δευτέρα ναυμαχία συνάπτεται, καὶ πλεῖστα πλοῖα ἐβύθισεν καὶ πολλοὺς τούτων ἀπέκτεινεν ὁ εἰρημένος ἀνήρ. ὀλίγοι δὲ μετὰ πλοίων περισωθέντες καὶ ἐν τῇ τῆς Κύλης παραπεσόντες ἀκτῇ νυκτὸς ἐπελθούσης διέφυγον. Θεοφάνης δὲ ὁ πατρίκιος μετὰ νίκης

reliquo agmine aliis aliisque locis divulsos offendens sustulit, ita sane ut eius aggressionis metu perculsi in suis se navibus adunata classe continerent nec usquam excurrere auderent. hi porro ingentia maximaque mala perpetraverant, cum necdum illis Romanae copiae praesto essent. nam Stenum omne quod vocant, igne vastarunt. ex illis quos captivos ceperant, alios in crucem agebant, alios terrae configebant, alios velut ad metam erectos iaculorum imbre impetebant. quotquot vero sacerdotalis ac clericalis ordinis deprehendebant, iis retro vinctis manibus per medium caput clavos ferreos adigebant. multas sacrarum aedium subiecta flamma combusserunt. ingruente vero hieme, cum eos iam necessarius commeatus deficeret, dum scilicet scholarum domestici Curcuae copiarum insultus virique prudentiam ac consiliorum sagacitatem timent, nec non patricii Theophanis navalia praelia exque insidiis astuque aggredientis impetum reformidant, domum redire constituerunt. ac vero hoc adnitentes ut Romanam classem laterent, cum mense Septembri indictione quinta decima ad Thraciae partes transfretare aggressi essent, quem dicebam patricium Theophanem obvium habuerunt: neque enim viri solertissimum ac pervigilem animum unaque fortissimum fefellerunt. mox igitur navalis iterum pugna committitur, plurimaeque hostium submersae naves, multi occisi. pauci cum navibus cladi subducti inque Cules littus evecti ingruente nocte fuga evaserunt. Theophanes

B λαμπρᾶς καὶ μεγίστων ὑποστρέψας τροπαίων ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη.

40. Ἐπειδὴ δὲ ὁ ῥηθεὶς Ἰωάννης μάγιστρος καὶ δομέστικος τῶν σχολῶν ἄριστος ἐγένετο εἰς τὰ πολέμια, καὶ πολλὰ καὶ μεγάλα ἀνέστησε τρόπαια, καὶ τὰ Ῥωμαϊκὰ ἐπέκτεινεν ὅρια, πλείστας τε πόλεις ἐπόρθησεν τῶν Ἀγαρηνῶν, καὶ διὰ τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς, ἠβουλήθη ὁ βασιλεὺς Ῥωμανὸς εἰς τὸν ἑαυτοῦ ἔκγονον Ῥωμανὸν τὸν ἐκ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ θυγατέρα ἀναλαβεῖν. ἡ οὖν θυγάτηρ τοῦ Κουρκούα ἦν ἡ Εὐφροσύνη, ὁ δὲ υἱὸς τοῦ Κωνσταντίνου ἦν Ῥωμανὸς ὁ εὐνουχισθεὶς
C παρὰ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ ἐτιμήθη πατρίκιος καὶ πραιπόσιτος. φθόνου δὲ αὐτῷ τῆς τοιαύτης ἕνεκεν ὑποθέσεως τῶν λοιπῶν βασιλέων κινηθέντος, παύει τῆς ἀρχῆς, εἴκοσι καὶ δύω χρόνους καὶ μῆνας ἑπτὰ δομέστικος ἀδιάδοχος τελέσας. (41) πλὴν οὖν ἄξιον εἰπεῖν τό τε γένος καὶ τὴν ἀγωγὴν αὐτοῦ καὶ τὸ ἐπιτήδευμα καὶ τὸ φύσει τῆς ψυχῆς καὶ τοῦ σώματος αὐτοῦ καὶ τὴν πρᾶξιν, καὶ ὁποῖος πιστὸς καὶ ὀρθὸς ἀνεφάνη τῇ γενεᾷ ἡμῶν. οὗτος ἐκ γένους τῶν Ἀρμενιακῶν ἦν ἀπὸ Δόκιαν χωρίου
D Δαρβιδοῦν, πατρὸς μὲν τῶν οὐκ ἀσήμων, παλατίνου πάνυ πλουσίου υἱοῦ Ἰωάννου δομεστίκου τῶν ἱκανάτων. λέγεται δὲ καὶ τὰ ἱερὰ γράμματα ἐκπεπαιδεῦσθαι παρὰ Χριστοφόρου μητροπολίτου Γαγγρῶν τοῦ συγγενοῦς αὐτοῦ. ὡς ᾄδεται δὲ ὁ λόγος, ὅτι ἔφη ὁ ἀρχιερεὺς "οὗτος ὁ Ἰωάννης εἰς λύτρωσιν καὶ ἄνεσιν τῶν Ῥωμαίων γενήσεται." πολλὰς γὰρ καὶ πλείστας πόλεις καὶ κάστρα καὶ

patricius cum insigni victoria maximisque erectis tropaeis reversus honorifice et magnifice suscipitur ac accubitoris dignitate ornatur.

40. Quia vero dictus Ioannes magister et scholarum domesticus eo bello praestantissima virtute fulserat, multaque ac magna tropaea erexerat, atque Romani imperii fines late protulerat, compluresque Agarenorum urbes everterat, quodque viri illustrissima virtus esset, cogitaverat Romanus imperator ut eius filiam Romano nepoti ex Constantino filio uxorem ascisceret. Curcuae filiae Euphrosynae nomen erat, Constantini filio Romani; quem Constantinus Porphyrogennetus castratum patricii dignitate ac cubicularii donavit. conflata hinc viro reliquorum Augustorum invidia, officio movetur, cum annos duos supra viginti continuos ac menses septem domestici munus gessisset. (41) operae pretium vero sit viri tum genus tum educationem institutionemque atque animi ac corporis indolem gestaque referre, quamque nostra hac aetate fidelis rectusque exstiterit. oriundus erat Armeniaca stirpe e Docia Darbidi oppido, patre non obscuro, palatino valde opulento, Ioannis Icanatorum domestici filio. quin et sacris literis eruditum tradunt, Christophori Gangrensis metropolitae opera, quem sanguinis necessitudine contingebat. celebre etiam per ora volat dixisse antistitem fore ut Ioannes hic in redemptionem et solatium Romanorum esset. multas quippe plurimasque

χώρας καὶ καστέλλια καὶ τόπια τῶν Ἀγαρηνῶν ἐχειρώσατο, καὶ τὴν Ῥωμανίαν διπλῆν κατεστήσατο, πρότερον οὖσαν καὶ κατεχομένην ὑπὸ τῶν ἀρνητῶν τοῦ Χριστοῦ μέχρι τοῦ Χαρσιανοῦ κάστρου καὶ τῆς Ὑψηλῆς καὶ τοῦ Ἄλυ ποταμοῦ. ὁ δὲ πιστὸς καὶ σπουδαῖος πρὸς Ῥωμανὸν αὐτοκράτορα Ἰωάννης δομέστικος τῶν P 265 σχολῶν μέχρι τοῦ Εὐφράτου καὶ τοῦ Τίγρη τὰ ὅρια τῶν Ῥωμαίων ἐστήσατο καὶ προῖκα καὶ δῶρα τῇ Ῥωμανίᾳ προσήνεγκεν, καὶ λαὸν καὶ στρατὸν ὁ βασιλεὺς ἐκεῖθεν προσεκτήσατο, καὶ φόρους πολλοὺς ἐτησίως λαμβάνειν ἐτύπωσεν, καὶ πολλῶν λαφύρων καὶ ἁρμάτων καὶ αἰχμαλώτων Ἀγαρηνῶν ἐκεῖθεν ἀπήνεγκεν. μεγίστοις γὰρ ἀγῶσιν ἑαυτὸν παραθεὶς τὰς πόλεις τῶν ἀρνητῶν Χριστοῦ ἐπόρθησεν· καὶ τίς ἂν ἐξείπῃ κατ᾽ ὄνομα ταύτας ἃς χειρωσάμενος ὑποφόρους τοῖς Ῥωμαίοις Ἰωάννης ὁ Κουρκούας καὶ δομέστικος B τῶν σχολῶν [ἐποιήσατο;] τοῖς εἴκοσι καὶ δύο χρόνοις πόλεις χιλίας σχεδὸν καὶ πλέον κατεστήσατο καὶ τῇ Ῥωμανίᾳ προσήγαγεν· καὶ ἦν ἰδεῖν τὸν ἄγρυπνον Ἰωάννην τὸν Κουρκούαν ἐπὶ παρατάξεως πολεμικῆς διαλαλιαῖς καὶ παραινέσεσι πιθαναῖς τοῖς Ῥωμαίοις χρώμενον, καὶ ἄλλον Τραϊανὸν ἢ Βελισάριον εἰκάσαι καὶ ὀνομάσαι τοῦτον. καὶ εἴ τις πρὸς τούτους παραθήσει τὸν ἄνδρα, εὑρήσει πλείονας τὰς τοῦ Κουρκούα ἀνδραγαθίας καὶ ἀριστείας. οἱ δὲ λαμπρῶς ποθοῦντες καὶ θέλοντες μαθεῖν τὰς τοῦ Ἰωάννου Κουρ-

10 deest vox aliqua, vel auctor βαρβαρίζει. Combef. 14 ἐποίησεν?

urbes et arces et oppida et castella et munitiones Agarenorum subiugavit, duploque productiorem Romanam dicionem fecit, cum prius Christi fidei hostes in eas angustias adegissent sicque mancipassent, ut extra Charsiani arcem Hypselemque et Aly fluvium non excurreret. fidelis vero inque Romanorum imperatorem studiosus gnavusque illius servus Ioannes scholarum domesticus ad Euphratem usque ac Tigrim Romanae dicionis fines protulit, spoliaque ac munera Romanis obtulit, indeque imperator novum populum ac exercitum comparavit, multaque tributa quotannis pendenda indixit, pluraque spolia et currus et captivos Agarenos inde revexit. maximis enim certaminibus se ipse obiectans infidelium urbes expugnavit. quis vero ex nomine sigillatim percenseat, quot urbes armis expugnatas Ioannes Curcuas Romanis tributarias reddiderit? per annos duos supra viginti urbes ferme mille, iisque plures, subegit ac Romanae dicionis fecit; eratque videre virum pervigilem sub hostilis aciei incursu concionibus militaribus adhortationibusque suorum excitantem animos, ut Traianus alter aut Belisarius videri merito ac nuncupari posset. quin si quis Ioannem Curcuam cum illis contulerit, maiora eius bellica facinora fortiaque facta invenerit. sin quos autem Ioannis Curcuae res praeclare gestas ac monumenta magnifice noscendi cupido in-

C κούα ἀριστείας καὶ συγγραφὰς εὑρήσουσιν ἐν ὀκτὼ βιβλίοις ἐκτεθείσας παρὰ Μανουὴλ πρωτοσπαθαρίου καὶ κριτοῦ.

42. Ἄξιον δὲ διηγήσασθαι καὶ τὰς τοῦ αὐταδέλφου μαγίστρου καὶ δομεστίκου τῶν σχολῶν Ἰωάννου τοῦ πατρικίου καὶ στρατηγοῦ Χαλδίας Θεοφίλου ἀριστείας καὶ ἀνδραγαθίας. οὗτος εἰς Χαλδίαν μονοστράτηγος γεγονὼς οὐκ ἐνέδωκεν αὑτόν, οἷα οἱ πολλοὶ τῇ τρυφῇ καὶ σπατάλῃ καὶ ἡδυπαθείᾳ χρῶνται· ἀλλ' ἑαυτὸν ἐκδοὺς πρὸς κόπους καὶ σκληρότητας, πρός τε τὰς κώμας καὶ χώρας τῶν Ἀγαρηνῶν ληΐζεσθαι, ὥστε καὶ τοὺς D οἰκοῦντας Ἀγαρηνοὺς εἰς τὸ κάστρον τὸ ἀνδρειότατον καὶ πανθαύμαστον Θεοδοσιόπολιν καὶ τὰ πέριξ αὐτοῦ κάστρα αἰχμαλώτους ἀγαγέσθαι καὶ τῷ μαγίστρῳ Ἰωάννῃ φορολογῆσαι καὶ ὑποτάξαι ἐποίησεν. ἀλλὰ καὶ ἐν τῇ Μεσοποταμίᾳ ἄριστος στρατηγὸς ἀνεφαίνετο, καὶ οὐκ ἐφαίνετο μόνον ἀλλὰ καὶ ἐδείκνυτο καὶ ἄλλος Σολομὼν ὁ ἐπὶ Ἰουστινιανοῦ ἀνεφαίνετο καὶ ἐγνωρίζετο. ὃς καὶ τοῖς μετέπειτα καταλιπὼν τὸν ἔκγονον αὐτοῦ Ἰωάννην τὸν λεγόμενον Τζιμισκήν· καὶ τῇ εὐφυΐᾳ καὶ ἀνδρίᾳ καὶ ἀοκνίᾳ τοῦ ἀνδρὸς P 266 πατρίκιος καὶ στρατηγὸς διαφόρων θεμάτων τιμηθείς, ἔπειτα καὶ ἐπὶ Νικηφόρου τοῦ Νικητοῦ βασιλέως τοῦ λεγομένου Φωκᾶ μάγιστρος καὶ δομέστικος τῶν σχολῶν ἀνεφάνη. ἀλλὰ καὶ περὶ αὐτῶν ἐν τῷ ῥυθμῷ καὶ τῇ τάξει αὐτῶν διηγητέα· ὡσαύτως καὶ περὶ Ῥωμανοῦ πατρικίου καὶ στρατηγοῦ διαφόρων θεμάτων, τοῦ υἱοῦ

cesserit, Manuelis protospatharii et iudicis calamo octo libris luculenter explicata invenient.

42. Nec vero abs re fuerit eius quoque germani (magistri scilicet ac scholarum domestici Ioannis) patricii ac Chaldiae ducis Theophili res bello fortiter gestas abs me enarrari. hic summa ducis potestate in Chaldiam missus, non ut multorum moribus comparatum est, ut se ipsi voluptatibus ac luxuriae dedant, sic ille molliori vitae deliciisque studuit, sed laboribus duriorique disciplinae sese mancipans Agarenorum oppida terrasque diripere ac populari, oppidanosque urbis munitae fortissimae ac plane mirabilis Theodosiopolis circumvicinasque arces sub iugum mittere, magistroque Ioanni tributarias facere ac mancipare. sed et in Mesopotamia exercitus ductor egregie fulsit, nec inane solum nomen protulit, sed et virtutem probavit, alterque Salomon Iustiniani imperatoris aetatis heros enituit atque habitus fuit, qui et posteris Ioannem Tzimiscem nepotem reliquit; virique proba indole et fortitudine et diligentia patricii diversorumque thematum praetoris ducisque auctus dignitate, ac postremo Nicephoro Niceta (Phoca nuncupato) imperatore magister ac scholarum domesticus creatus. sed de his quoque ordine inque eorum propria serie texenda narratio est; perindeque de Romano patricio di-

τοῦ μαγίστρου Ἰωάννου τοῦ λεγομένου Κουρκούα, ὃς καὶ αὐτὸς ἄριστος καὶ ἀνδρεῖος ἀνεφαίνετο.

43. Τούτων οὕτως ἀκμαζόντων καὶ ὑπὲρ τῆς τῶν Χριστιανῶν πίστεως ἀντεχομένων καὶ μαχομένων καὶ πόλεις καὶ χώρας B καὶ κώμας τῇ βασιλείᾳ τῶν Ῥωμαίων προσαγόντων, καὶ ὑποφόρους τοὺς ἀρνητὰς τοῦ Χριστοῦ τῷ βασιλεῖ Ῥωμανῷ ποιοῦντες, ὁ ἀεὶ τὸ γένος τῶν πιστῶν καὶ ὀρθῶν δούλων μαχόμενος Βελίαρ, μὴ φέρων τὴν πολλὴν καὶ ἄπειρον εὐχαριστίαν τῶν Χριστιανῶν, ὑπέβαλέ τισι, καὶ πρὸς τὸν βασιλέα Ῥωμανὸν καὶ τῷ μαγίστρῳ δομεστίκῳ Ἰωάννῃ διέβαλλον, ὡς τῆς βασιλείας τῶν Ῥωμαίων ἐφιέμενος καὶ λαὸν ἐμπαράσκευον ἔχων, καὶ ὅτι πλείστας ἀδικίας καὶ ἁρπαγὰς ἐποιήσατο τοπίων καὶ χωρίων. ὁ δὲ Ῥωμανὸς ἀπο- C στείλας καὶ ζητήσας οὐδὲν ἐφεῦρεν, καὶ μεταδοὺς τῆς ἀρχῆς ἀποκατέστησεν. φθόνῳ δὲ αὐτῷ τῶν τοιούτων ὑποθέσεων παρὰ τῶν λοιπῶν κινηθέντων, ἐκπίπτει τῆς ἀρχῆς, καὶ δομέστικος ἀντ' αὐτοῦ προχειρίζεται Πανθήριος, συγγενὴς τοῦ βασιλέως Ῥωμανοῦ.

44. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς πάντα τὰ χρέη τῆς πόλεως ἀπό τε πλουσίων μεγιστάνων πτωχῶν καὶ πενήτων, ὅσα ἂν ἐν φανερῷ ἀπεδείκνυντο, ἀπέδωκεν· ὥς φασί τινες ὅτι δέδωκεν κεντηνάρια ἐννεακαίδεκα· τὰς δὲ ὁμολογίας κατέκαυσεν εἰς τὸ πορ- D φυροῦν ὀμφάλιον τῆς Χαλκῆς, πάντων ἐπευχομένων τὸν βασιλέα. τῷ δὲ εἰκοστῷ δευτέρῳ αὐτοῦ χρόνῳ δέδωκε τὰ ἐνοικικὰ πάσης τῆς

versarumque per provincias legionum duce, magistri Ioannis Curcuae filio, qua et ipse vir optimus claruit fulsitque fortitudinis laude.

43. His ita florentibus Christianaeque fidei praesidio hostibus obnitentibus ac contra pugnantibus, urbesque et provincias atque oppida ac loca imperio Romano adiungentibus, infidelesque Romano imperatori tributarios facientibus, qui semper fideles probosque impugnat, Beliar gratulantes Christianos ac gratiarum actione effusos videre non ferens, nonnullis auctor est suadetque ut et magistrum ac domesticum Ioannem apud Romanum imperatorem accusent tanquam rerum summae inhiantem, et qui eam in rem in promptu exercitum haberet, multa denique loca praediaque per rapinam parta atque parata possideret. mittit igitur Romanus cognitores iudices, diligentique rerum inspectione nullius reum criminis offendens in pristinam eum dignitatem restituit. eius tamen rei causa apud reliquos Augustos ei conflata invidia munere abdicatur, eiusque loco Pantherius, Romano imperatori sanguinis necessitudine coniunctus, domesticus constituitur.

44. Ceterum Romanus imperator urbis debita omnia aesque alienum civium omne, divitum pariter pauperumque ac egenorum, quantum ex tabulis probari poterat, dissolvit; suntque adeo qui dicant dedisse undeviginti centenaria. nominum tabulas in Chalces purpureo umbilico combussit, universis fauste acclamantibus, votisque imperatorem prosequentibus. imperii anno secundo supra vigesimum, pretia domorum ci-

πόλεως, ἀπὸ μικροῦ ἕως μεγάλου. τετράδην καὶ παρασκευὴν
ἐξερχόμενος εἰς τὰ μεταστασίματα ἐδίδει πᾶσαν πολιτικὴν ἀνὰ
ἀργυρῶν δύο· καὶ τοὺς ἐγκλείστους καὶ τὰς ἐγκλείστας ἐρόγευεν
ἀνὰ νομισμάτων τριῶν. ἐκκλησίας δὲ καὶ μοναστήρια πολλὰ
ἔκτισεν· ἀλλὰ καὶ ἐνδύτας χρυσοϋφάντους καὶ δισκοποτήρια ἀπε-
χαρίσατο. καὶ ξενοδοχεῖον καθίδρυσεν εἰς τὰ Μαβριανοῦ, καὶ
P 267 στάβλους ποιήσας καὶ ὀσπήτια κάλλιστα καὶ κραββατοστρώσια
διὰ τοὺς εἰσερχομένους πάντας ἐξωτικοὺς καὶ δίκας λαμβάνοντας
κατεσκεύασεν. ἀλλὰ καὶ ὑπὲρ διατροφῆς αὐτῶν τε καὶ τῶν ἀλό-
γων αὐτῶν καὶ τῶν ἀνθρώπων αὐτῶν διωρίσατο καὶ προσέταξεν.
καὶ οἰκήματα προσεκύρωσεν, τὸ ἀνελλιπῶς δίδοσθαι. τοῦτο δὲ
ἐποίησεν διὰ τοὺς ἔχοντας δίκας ἐξωτικοὺς καὶ εἰσερχομένους, ἵνα
διατρέφωνται καὶ διοικοῦνται ἐξ αὐτοῦ. εἰς δὲ τὸν τάφον αὐτοῦ
διωρίσατο ἵνα καθ' ἑκάστην ἡμέραν δίδωνται ψωμία μυριάδες γ',
καὶ τετράδην καὶ παρασκευὴν ἵνα δίδωται εἰς τὸ πραιτώριν καὶ εἰς
B τὴν Χαλκῆν καὶ εἰς τὰ Νούμερα ἕνα ἕκαστον ἄνθρωπον ἀνὰ φω-
λέας δεκαπέντε, καὶ τῇ μεγάλῃ παρασκευῇ πάντας τοὺς φυλακίτας
ἀνὰ νομίσματος ἑνός. διωρίσατο δὲ τοὺς μοναχοὺς τοῦ Ὀλύμπου,
τοῦ Κυμινᾶ, τοῦ Ἄθωνος, τοῦ Βαραχέως καὶ τοῦ Λάτρους, καὶ
πάντας λαμβάνειν ἀνὰ νομίσματος ἑνός· ταῦτα δὲ λαμβάνειν αὐ-
τοὺς ἐκ τῆς ἰδίας αὐτοῦ μονῆς.

45. Ἰνδικτιῶνος πρώτης Ἀπριλλίῳ μηνὶ ἐπῆλθον πάλιν οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως. ὁ δὲ πατρίκιος Θεοφάνης ὁ

14 μόδια margo.

vibus omnibus conductoribus a maximo ad minimum usque dimisit. feria quarta et parasceue ad conversarum exiens aedes scortis omnibus argenteos duos erogabat; inclusis viris et feminis singulis tres nummos impendebat. ecclesias vero et monasteria plura exstruxit; vestes quoque auro contextas calicesque cum discis sacros largitus est. hospitale quoque ad Mabriani aedes excitavit, fecitque stabula ac hospitia pulcherrima: strata etiam struxit cubilia ac cubicula, eorum omnium gratia qui hospites urbem petunt ac lites agunt. quin et de illorum ipsorumque eorum iumentorum ac famulorum cibo pabuloque statuit atque praecepit. domos in eam rem firma donatione addixit, ut indeficienter sumptus sufficerent. hoc autem illorum gratia fecit, qui hospites lites in urbe habent, ut inde procurentur atque alantur. ad sepulcrum suum dari iussit quotidie frustula offasque triginta milia. quarta feria et parasceue in praetorio et Chalce et Numeris vinctis singulis folles quindecim erogari mandavit; magnaque parasceue nummos singulos eleemosynarum nomine illis tribui. Olympi monachos et Cyminae et Athonis et Barachei et Latri omnesque nummum unum viritim ex suo monasterio accipere voluit.

45. Indictione prima, mense Aprili, rursus Turci cum ingentibus copiis Romanae dicionis fines invaserunt. egressus vero Theophanes

παρακοιμώμενος ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ' αὐτῶν, ὁμήρων ἐμφανῶν ἀναλαβόμενος· ἐξ οὗ συνέβη ἐπὶ χρόνους πέντε τὴν εἰρήνην διαφυλαχθῆναι. ὁ δὲ βασιλεὺς Ῥωμανὸς πλείσταις C πόλεσι κατὰ Μακεδονίαν τε καὶ Θρᾴκην, τὰς μὲν ἐκ βάθρων ἀνῳκοδόμησεν, τισὶ δὲ καινισμοὺς ἐπενόησεν. οὐ μὴν ἀλλὰ κατὰ τὴν βασίλειον πόλιν περιφανῆ παλάτια ἐκαινούργησεν, ἔτι καὶ λειμῶνας ἀμφιλαφεῖς καὶ εὐκάρπους, ἐξ ὧν οὐ τυχοῦσα τέρψις ἐγγίνεται· ναὶ δὴ καὶ γερόντων τροφεῖα ξενουμένων τε καταγώγια, ἀρρωστούντων ἐνδιαιτήματα, τῶν κατὰ ψυχὴν ἕνεκεν ἀντιδόσεων.

46. Δευτέρας δὲ ἰνδικτιῶνος ὁ Ῥωμανὸς βασιλεὺς Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λογγιβαρδίας πρὸς τὸν ῥῆγα D Φραγγίας Οὔγωνα ἐξαπέστειλεν, τὴν αὐτοῦ θυγατέρα ἐπιζητῶν εἰς νύμφην Ῥωμανῷ τῷ τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου υἱῷ· ἣν καὶ ἀναλαβὼν ὁ εἰρημένος Πασχάλιος μετὰ πλούτου πολλοῦ ἐν τῇ πόλει ἀνήγαγεν. γέγονε δὲ ὁ γάμος Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος τρίτης. ἥτις καὶ ζήσασα μετὰ τοῦ ἀνδρὸς ἔτη πέντε ἐτελεύτησεν ταῖς ἡμέραις τῆς αὐτοκρατορίας Κωνσταντίνου τοῦ αὐτῆς πενθεροῦ.

47. Ἀνέμου δὲ βιαίου καὶ σφοδροῦ καταπνεύσαντος Δεκεμβρίῳ μηνὶ οἱ λεγόμενοι ἐν τῷ ἱππικῷ δῆμοι κατέπεσον, οἳ ἀπ' ἐναντίας τοῦ βασιλικοῦ θρόνου ἐτύγχανον, καὶ συνέτριψαν τά τε P 268

2 ὁμήρους τῶν ἐμφανῶν p. 590 b.

patricius accubitor pacis cum eis foedus percussit, acceptis obsidibus ex illustrioribus. hincque adeo contigit in annos quinque pacem induciasque servari. ceterum Romanus imperator plerasque per Macedoniam atque Thraciam urbes a fundamentis exstruxit, alias reparavit. nec id modo, sed et in urbe Augusta magnificas aedes regias instauravit. prata quoque opima ac uberrima, quae longe maximam voluptatem praestent; sed et in senum alimenta hospitumque diversoria ac aegrorum domicilia construxit, mercedem a deo animique salutem sperans se recepturum esse.

46. Porro secunda indictione Romanus imperator Paschalium protospatharium ac Longobardiae ducem ad Hugonem regem Franciae misit, eius filiam Romano Constantini generi sui filio sponsam exquirens; quam et assumens, quem dixi, Paschalius cum multa suppellectile atque opibus in urbem induxit. celebratae nuptiae mense Septembri, indictione tertia. vixit cum viro annos quinque; tumque vivis exempta est, cum Constantinus illius socer ipse summus imperator esset solusque rerum potiretur.

47. Mense Decembri validissimo perflante vento atque turbine, qui in foro ex adverso regii throni erecti sunt, sic vocati Demi corruerunt, subiectosque gradus et marmora ac columellas (stethea dictas quasi ad

ὑποκάτωθεν αὐτῶν βάθρα καὶ τὰ στηθεῖα λεγόμενα. χρόνου δὲ περικυκλώσαντος τῷ αὐτῷ μηνὶ τὸν βασιλέα Ῥωμανὸν οἱ υἱοὶ αὐτοῦ τοῦ παλατίου κατήγαγον.

48. *Τῆς δὲ πόλεως Ἐδέσης, ἐν ᾗ τὸ τίμιον τοῦ Χριστοῦ ἐκμαγεῖον ἀπέκειτο, παρὰ τοῦ Ῥωμαϊκοῦ πολιορκουμένης στρατεύματος καὶ εἰς ἀνάγκην μεγίστην περιισταμένης, ἀπέστειλαν οἱ αὐτῆς οἰκήτορες πρὸς τὸν βασιλέα Ῥωμανὸν διαπρεσβευόμενοι τὴν πολιορκίαν λυθῆναι, τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον παρέχειν*
B *ἐπαγγελλόμενοι· ὑπὲρ δὲ τῆς τοιαύτης χάριτος δεσμίους ᾐτήσαντο τῶν ἐπιφανῶν ἀντιλαβεῖν, χρυσοβούλλιόν τε λαβεῖν ὥστε μηκέτι τὴν τούτων χώραν παρὰ τοῦ Ῥωμαίων στρατοῦ λῄζεσθαι. ὃ δὴ καὶ γέγονεν. τοῦ ἁγίου δὲ ἐκμαγείου ἤτοι μανδηλίου ἀποσταλέντος καὶ ἤδη τῇ Κωνσταντινουπόλει πλησιάζοντος, Θεοφάνης πατρίκιος ὁ παρακοιμώμενος ἐν τῷ ποταμῷ Σαγάρῳ ἐξελθὼν ὑπήντησεν αὐτῷ μετὰ λαμπρᾶς φωταγωγίας καὶ τῆς δεούσης τιμῆς τε καὶ ὑμνῳδίας· καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ Αὐγούστου μηνὸς σὺν αὐτῷ ἐν τῇ πόλει εἰσῆλθεν, τοῦ βασιλέως ἐν Βλαχέρναις ὄντος*
C *κἀκεῖ αὐτὸ προσκυνήσαντος. καὶ τῇ ἐπαύριον ἐξῆλθον ἐν τῇ Χρυσῇ πόρτῃ οἵ τε βασιλέως δύο υἱοὶ Στέφανός τε καὶ Κωνσταντῖνος καὶ ὁ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος σὺν τῷ πατριάρχῃ Θεοφυλάκτῳ· καὶ μετὰ τῆς δεούσης τοῦτο ἀναλαβόντες τιμῆς, τῆς συγκλήτου πάσης προπορευομένης καὶ φωταγωγίας μεγίστης προαγούσης, μέχρι τοῦ ναοῦ τῆς ἁγίας Σοφίας πεζῇ διεκόμισαν, καὶ προσκυνηθὲν ἐκεῖσε ἐν τῷ παλατίῳ ἀνήγαγον.*

pectus ascendentes) contriverunt. anni autem vertente circulo, eodem ipso mense, Romanum imperatorem eius filii aula eiecerunt.

48. Edessa autem urbe, in qua veneranda Christi effigies posita erat, a Romano exercitu obsessa et ad extremas angustias redacta, oppidani oratores ad Romanum imperatorem mittunt, rogantes solvi obsidionem, eius muneris gratia se Christi sacram effigiem in linteo expressam daturos polliciti; huiusque ipsius muneris vicem ex suis vinctos recipere petebant, qui nobiliores essent, bullaque aurea eam ipsis praestari fidem, ut nunquam Romanae copiae Edessenam regionem devastarent. quod sic utique factum. missa itaque sacra effigie seu sudario, iamque haud procul Byzantio, Theophanes patricius et accubitor ad Sagarim fluvium cum splendido cereorum apparatu congruoque cultu et canticis illi obviam processit, mensisque Augusti quinta decima cum illo in urbem intravit, imperatore in Blachernis constituto, ubi etiam effigiem illam adoravit. in crastinum exierunt ad portam auream tum imperatoris duo filii Stephanus et Constantinus, tum Constantinus illius gener cum Theophylacto patriarcha; debitoque honore susceptum sacrum pignus, universo senatu praeeunte maximaque cereorum atque lampadum segete praelucente, adusque S. Sophiae templum pedibus detulerunt, atque illic adoratione mysticoque cultu exceptum in palatium intulerunt.

49. Ἐν ταύταις δὴ ταῖς ἡμέραις Ἀρμένιόν τι τέρας τῇ πόλει ἐπεφοιτήκει, παῖδες συμφυεῖς ἄρρενες ἐκ μιᾶς προελθόντες γαστρός, ἄρτιοι μὲν πάντα τὰ μέλη τοῦ σώματος, ἀπὸ δὲ D στόματος τῆς γαστρὸς καὶ μέχρι τῶν ὑπὸ γαστέρα συμπεφυκότες, καὶ ἀλλήλοις ὑπάρχοντες ἀντιπρόσωποι· οἳ ἐπὶ πλεῖστον τῇ πόλει ἐνδιατρίψαντες, καὶ ὑπὸ πάντων ὡς ἐξαίσιόν τι τέρας ὁρώμενοι, τῆς πόλεως ὡς πονηρός τις οἰωνὸς ἐξηλάσατο. ἐπὶ δὲ μονοκρατορίας βασιλείας Κωνσταντίνου πάλιν εἰσήλθοσαν. ἐπεὶ δὲ ὁ ἕτερος αὐτῶν ἐτεθνήκει, ἰατροί τινες ἔμπειροι τὸ συγκεκολλημένον μέρος διέτεμον εὐφυῶς ἐλπίδι τοῦ τὸν ἕτερον ζήσεσθαι· ὃς τρεῖς P 269 ἡμέρας ἐπιβιοὺς ἐτελεύτησεν.

50. Καὶ ἐν πᾶσι μὲν μοναχοῖς, ὡς ἀνωτέρω εἴρηται, πίστιν ἐκέκτητο ἄμετρον ὁ βασιλεύς, διαφερόντως δὲ ἐτίμα καὶ ὑπερέσεβε Σέργιον τὸν ἐν μονασταῖς διαλάμποντα, ὃς ἀδελφὸς ἐπεφύκει τοῦ μαγίστρου Κοσμᾶ τοῦ πρώτου τῶν κριτηρίων. ἀνεκαίνισε καὶ τὴν μονὴν τοῦ Μανουῆλος, ὡσαύτως καὶ τὴν ἐκκλησίαν καὶ τὸ μοναστήριον ἐκ βάθρου κτίσας τοῦ ἁγίου Παντελεήμονος, ᾧ ἐπώνυμον Ὀφροῦ λιμήν. ἀπέκειρε δὲ καὶ ἐκεῖσε μονα- B χοὺς ὀκτακοσίους, τυπώσας καὶ σελέμνια τοῦ λαμβάνειν αὐτοὺς ὑπὲρ διατροφῆς αὐτῶν, δοὺς ταῦτα τῷ μοναχῷ Σεργίῳ τῷ πνευματικῷ αὐτοῦ πατρί. πάντας δὲ τοὺς ἐν ἐξορίᾳ συμπαθήσας, καὶ

7 ἐξηλάθησαν. Leo Gr. Combef.

49. His ipsis diebus monstrum quoddam ex Armenia Cpolim invectum est, pueri scilicet duo masculi cohaerentes uno ventre progressi, alias membris omnibus corporis integri, a ventriculi tamen ore et infra pubem inter se concreti atque vultibus obversis. hi diu in urbe versati sunt; cumque omnes tanquam immane quoddam portentum contuerentur, Romanus imperator ceu malum quoddam omen illa eiecit. cum autem solus iam Constantinus rerum potiretur, iterum in urbem ingressi sunt. uno autem ex eis mortuo, periti quidam medici cohaerescentem emortuam partem subtili arte putaverunt, nimirum fore sperantes ut illo remedio alter incolumis servaretur: qui tamen ipse triduo duntaxat superstes diem obiit.

50. Romanus imperator cum monachis omnibus, uti dictum est, fidem plurimam cultumque adhiberet, prae reliquis tamen eximieque Sergium virum monastica institutione praeclarum observabat. erat hic magistri Cosmae frater, primi tribunalium praesidis. instauravit et Manuelis monasterium: simili quoque ratione Panteleemonis monasterium ac basilicam, cui cognomen Ophri portus, a fundamentis erexit. octingentos illic monachos sub sancto instituto adunavit, iisque statuta stipendia, unde sustentarentur, constituit, quae Sergio monacho patri suo spiritali in eorum annonam praebebat. miserationis affectu erga omnes ex-

*δοὺς αὐτοῖς χρήματα πολλά, ὥστε ἐν τῷ κατέρχεσθαι αὐτὸν ἐκ
τοῦ παλατίου εἷς καὶ μόνος ἐξόριστος οὐχ εὑρέθη. οὗτος δὲ ὁ
Σέργιος ἀνεψιὸς τοῦ πατριάρχου Φωτίου ἐτύγχανεν· ὃν πλέον τῆς
σαρκικῆς συγγενείας ἡ κατὰ ψυχὴν ἐτίμα εὐγένεια. ἀρετῆς γὰρ
C εἰς ἄκρον καὶ γνώσεως ἤλασεν, ὡς δυσχερὲς εἶναι διακρίνειν ποτέ-
ρῳ μᾶλλον πλεονεκτεῖ· οὕτως εἰς ἄκρον ἑκατέραν ἐξήσκησεν.
ἐπήνθει δὲ αὐτῷ πρὸς τοῖς ἄλλοις καὶ τὸ τῆς διακρίσεως ἔρευθος
καὶ τὸ χαρίεν τοῦ ἤθους καὶ τὸ μέτριον τοῦ φρονήματος· οὐδὲ
γὰρ ἀνέσπα τὰς ὀφρῦς κατὰ τοὺς νῦν σοφούς, οὐδὲ ἀλαζών τις
ἐδόκει καὶ ὑπερήφανος, ἀλλὰ τὸν λόγον μὲν εἶχεν γλυκύτερον μέ-
λιτος ἀποστάζοντα, τὸ ἦθος δὲ πάγιον καὶ σταθερόν, ταπεινὸν δὲ
τὸ φρόνημα. τοῦτον οὖν ἀοίδιμον ἀδιαλείπτως μετ' αὐτοῦ εἶχεν
ὁ βασιλεύς, κανόνα ὄντως καὶ σταθμὴν τὸν αὐτοῦ βίον ῥυθμί-
D ζοντα· ὃς πολλὰ παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ
μὴ ἀπαιδεύτους ἐᾶν εἰς πονηρίαν ἐκκλίνοντας, μήποτε καὶ αὐτὸς
πάθῃ τὸ τοῦ Ἠλί, τιμωρίαν ὑπὲρ τῆς τῶν παίδων παρανομίας
ἐκτίσας. ὃ καὶ γέγονεν.*

51. *Ἐπεὶ δὲ τοῦ παλατίου τοῦτον οἱ παῖδες κατήγαγον
καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξώρισαν, πάλιν τοῦτον εἶχεν τῶν συμφο-
ρῶν παραμυθίαν καὶ τῶν θλίψεων ἀκεσώδυνον φάρμακον. ᾧ
συνῆν τότε καὶ Πολύευκτος μοναχὸς εὐλαβέστατος, οὐκ ἔλαττον
τὸν τοῦ εἰρημένου τρόπον καὶ αὐτὸς τὰ εἰκότα παραμυθούμενος·
P 270 ὃς μετὰ ταῦτα διὰ τὸν εἰλικρινῆ αὐτοῦ βίον, τοῦ πατριάρχου Θεο-*

sules agebatur, in quos magnam vim pecuniarum erogabat; quamobrem quo tempore ex aula discessit, ne unus quidem exsul inventus est. fuit Sergius Photii patriarchae nepos, animi ingenuitate quam carnis necessitudine illustrior. ad summam enim virtutem scientiamque pervenerat, nec utra praestaret discerni facile poterat: sic nimirum accurate summaque perfectione utramque excoluerat. porro florebat in eo discretionis pudor, morum gratia, animi sensus, modestia. neque enim supercilia attrahebat, uti modo sapientibus comparatum est, nec vero arrogantem atque superbum praeferebat: sed sermo illi melle dulcior ex ore stillabat. firma indoles ac constans, sensus animi modestus ac humilis. hunc itaque virum inclitum imperator una secum continue habebat, ad cuius normam atque regulam vitae suae rationes componeret. monebat ille, etiamque atque etiam hortabatur ut liberorum imperator curam ageret, nec indisciplinatos ad nequitiam declinare sineret, ne idem atque Heli illi accideret ac liberorum piacula ipse lueret; quod et ita accidit.

51. Porro aula deiectus liberorum opera ac tyrannide, inque Proten insulam relegatus, hunc rursus calamitatem solantem aerumnisque ac angustiis levamen afferentem habebat. aderat pariter etiam Polyeuctus reverentissimus monachus, qui ipse perinde ac quem dicebam, Sergius adversi casus molestiam convenienter apteque leniebat. hic postea pro

φυλάκτου τελευτήσαντος, πατριάρχης ὑπὸ τοῦ βασιλέως Κωνσταντίνου προχειρίζεται.

52. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς μακρῷ γήρει καὶ νόσῳ τρυχόμενος τὰ τῆς βασιλείας κατὰ διαθήκας ἀπακριβάζεται καὶ ἄνακτα πρῶτον κατὰ διαθήκας τὸν πορφυρογέννητον Κωνσταντῖνον προσδιορίζεται, ἐν ἔτει ἑξάκις χιλιοστῷ τετρακοσιοστῷ πεντηκο- B στῷ τρίτῳ, καὶ καθεξῆς ἐν δευτέρῳ καὶ τρίτῳ τοὺς τούτου υἱούς, τὰ πρὸς αὐτοὺς ῥητῶς διασφαλισάμενος, ὡς εἴπερ τῷ πρώτῳ βασιλεῖ κατά τι προσπταίσειαν, καθαιρεῖσθαι παραυτίκα τῆς βασιλείας.

53. Ἐπεὶ δὲ πολλοῖς τρόποις ὁ θεὸς βούλεται σώζειν τὸν ἄνθρωπον, συνεχώρησε Ῥωμανὸν βασιλέα συμφορᾷ ἀδοκήτῳ προσπεσεῖν, ἵνα δι᾽ αὐτῆς σωφρονισθεὶς καὶ τῶν οἰκείων ἐν συναισθήσει παραπτωμάτων γενόμενος σωτηρίας ἀξιωθῇ. συνεχώρησε C γὰρ ἐπαναστῆναι αὐτῷ τὸν υἱὸν αὐτοῦ Στέφανον, ὥσπερ ποτὲ Ἀβεσσαλὼμ ἐπανέστη Δαβὶδ τῷ οἰκείῳ πατρί. συμβούλοις οὖν οὗτος πρὸς τοῦτο χρησάμενος τῷ τε ἀπὸ μοναχῶν Μαριανῷ τῷ Ἀργυρῷ καὶ Βασιλείῳ τῷ πρωτοσπαθαρίῳ τῷ Πετεινῷ καὶ Μανουὴλ τῷ Κουρτίκῃ, συνειδότων αὐτῷ καὶ τῶν ἄλλων βασιλέων, τοῦτον τοῦ παλατίου κακῶς κατήγαγεν καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξορίσας ἀπέκειρεν μοναχόν.

vitae suae candore, Theophylacto patriarcha humanis exempto, a Constantino imperatore patriarcha provectus est.

52. Ceterum Romanus imperator longo senio morboque confectus imperii res rite ac accurate ex testamenti tabulis componit, primumque Augustorum Constantinum in purpura natum decernit, anno 6453; tumque secundo ac tertio ordine liberos imperatores constituit, diserte ordinans statuensque confestim in ordinem cogendos, si quid ullo modo in primum imperatorem offenderint.

53. Quoniam autem deus multis modis homini salutem praestare constituit, Romanum imperatorem in inexspectatam calamitatem (quae eius providentia!) incidere permisit, ut is illa castigatus ac de prioribus delictis admonitus salutem consequeretur. permisit namque Stephanum filium in eum insurgere, uti olim Absalom in patrem suum Davidem insurrexit. Mariani itaque exmonachi Argyri, Basiliique protospatharii Petini, nec non Manuelis Curticis consiliis abusus, consciis etiam reliquis imperatoribus, perperam patrem aula deturbavit, inque Prote insula relegatum monachi ritu totondit.

P 271
ΑΥΤΟΚΡΑΤΟΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

Ὑπελείφθη οὖν αὐτοκράτωρ Κωνσταντῖνος ὁ τούτου γαμβρὸς
μηνὶ Δεκεμβρίῳ εἰκάδι, ἰνδικτιῶνος τρίτης, ἐν ἔτει ἑξάκις χιλιο-
στῷ τετρακοσιοστῷ πεντηκοστῷ τετάρτῳ· ὃς αὐτίκα Βάρδαν τὸν
τοῦ Φωκᾶ τῇ τοῦ μαγίστρου ἀξίᾳ τιμήσας, ὡς χρόνῳ πολλῷ τὴν
ἐν τοῖς πολέμοις ἀνδραγαθίαν πολλάκις ἐπιδειξαμένου, δομέστικον
τῶν σχολῶν προχειρίζεται, καὶ Κωνσταντῖνον τὸν Γογγύλην ναυ-
μαχίας ἡγήτορα, καὶ στρατιάρχας τινὰς τῶν εὐχρήστων. εἶτα
B Βασίλειον, ᾧ ἐπίκλην Πετεινός, πατρίκιον καὶ μέγαν ἑταιρειάρχην,
τὸν δὲ ἐκ τοῦ γένους τῶν Ἀργυρῶν Μαριανὸν τὰ μοναχικὰ ἀπο-
δύσας πατρίκιον καὶ κόμητα τοῦ στάβλου πεποίηκεν. ὡσαύτως
καὶ Μανουὴλ τὸν ἐπιλεγόμενον Κουρτίκην πατρίκιον καὶ δρουγγά-
ριον τῆς βίγλης ἐποίησεν. οὕς τινας τρεῖς οὐ μετὰ πολὺν χρόνον
ἡ τοῦ θεοῦ δικαία κρίσις, ὡς εἰς Χριστὸν τοῦ κυρίου παροινή-
σαντας καὶ χεῖρας ἀδίκως ἐπιβαλόντας, τῆς βασιλείας ὀρεγομένους
μετῆλθεν· ἐπὶ καθοσιώσει γὰρ καταληφθέντες ἑκάτεροι οἰκτίστῳ
C θανάτῳ τὸ ζῆν ἀπέρρηξαν. τὰ δὲ περὶ αὐτῶν πλατύτερόν τε καὶ
ἐπεξεργαστικώτερον ἐν τῇ προηγουμένῃ ἐξηγήσει ἐκθήσομαι.

CONSTANTINI IMPERIUM.

Constantinus itaque Romani gener summus imperator relictus est, mensis Decembris die vigesima, indictione tertia, anno 6454. hic statim Bardam Phocae filium magistri dignitate auctum, quippe longi temporis experientia bellicis facinoribus clara saepius laude functum atque probatum, scholarum domesticum praefecit; Constantinum quoque Gongulem aliosque quosdam idoneos gnavosque duces Romanam classem ductare iubet. tum Basilium, cui cognomen Petinus (ac si Volucrem dicas), patricium creat ac magnum hetaeriarcham. Marianum, Argyrorum stirpe satum, detracto monachi habitu stabuli comitem facit. pariter Manuelem Curticem nominatum patricium ac excubiarum Drungarium constituit; quos tres viros, brevi interiecto tempore, iusta dei ultio insecuta est, quod in christum domini desaeviissent ac inique in eum manus iniecissent, cum scilicet imperandi libido eos incessisset: maiestatis enim rei peracti, miserando prorsus exitu vitam finierunt. ceterum quae ad illos spectant fusius operosiusque exsequar, ubi ex professo rem sum narraturus.

2. *Μετὰ δὲ τεσσαράκοντα ἡμέρας, τῇ εἰκάδι ἑβδόμῃ τοῦ
Ἰανουαρίου μηνός, ὑποπτεύσας Κωνσταντῖνος τόν τε βασιλέα Στέ-
φανον καὶ Κωνσταντῖνον τὸν αὐτοῦ ἀδελφόν, μή ποτε καὶ κατ'
αὐτοῦ τὰ ὅμοια διαπράξωνται, καὶ λογισάμενος ὅπερ ἦν εἰκός, ὅτι
εἰ τοῦ ἰδίου πατρὸς οὐκ ἐφείσαντο, πῶς αὐτοῦ φείσωνται, ἑστιά-
σας αὐτούς, ἤδη ἐν τῇ τραπέζῃ καὶ καθεζομένους, ἔτι τῆς βρώ-* P 272
*σεως οὔσης ἐν τῷ στόματι αὐτῶν, ἀνήρπασαν οὗτοι οἱ λεγόμενοι
Τορνίκιοι καὶ ὁ πατρίκιος Μαριανὸς καὶ οἱ λοιποὶ οἱ πρὸς τοῦτο
ηὐτρεπισμένοι, καὶ τοῦ παλατίου κατήγαγον καὶ ἐν ταῖς πλησια-
ζούσαις νήσοις τούτους περιώρισαν καὶ κληρικοὺς ἀπέκειραν.*
(3) *μετ' ὀλίγον οὖν οὗτοι αἰτησάμενοι τὸν ἴδιον πατέρα θεάσα-
σθαι ἐν τῇ Πρώτῃ νήσῳ παρεγένοντο, καὶ τοῦτον ἐν τῷ μοναχικῷ
σχήματι θεασάμενοι πένθει κατεσχέθησαν ἀφορήτῳ· οἷς ἐπιδα-
κρύσας ὁ πατὴρ ἔφη "υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με
ἠθέτησαν." εἶθ' οὕτως ἐξωρίσθησαν, ὁ μὲν Στέφανος εἰς Προι-* B
*κόννησον (ἥν τινα Νεβρίαν ὠνομασμένην ἐκ τῆς κατὰ χρησμὸν δε-
δομένης προχόου ἄποικοι Σαμίων μετωνόμασαν, οἷς ἀφικομένοις
πρὸς νῆσον καὶ τῷ θεῷ ἱλασκομένοις ἀριστοποιουμένοις τε ἀωρία
ἐτύγχανεν ὁπόθεν ὕδωρ κομίσοιντο. γυνὴ δέ τις ἔφη αὐτοῖς, "εἰ
ἔχετε πρόχοον, δώσω ὑμῖν ὕδωρ." ὅπερ λαβόντες, ὡς ὁ χρησμός,
καὶ γῆν ἐξῃτήσαντο. τῆς δὲ καὶ ταύτην δεδωκυίας, Πρόχοον τὴν
νῆσον ὠνόμασαν καὶ τοῖς ἀργυροῖς νομίσμασιν πρόχοον εἰκόνιζον),*

18 *ἀπορία?*

2. Post dies quadraginta, Ianuarii mensis septimo supra vigesimum, Constantinus Stephanum imperatorem eiusque fratrem Constantinum suspectos habens, ne quando in se quoque eadem attentarent, secumque reputans, uti par erat, eos qui nec patri pepercissent, haud sibi parcituros, convivio acceptos iamque mensae accumbentes, et cum eis adhuc in ore cibus esset, comprehendi eos iubet. arrepti itaque a Torniciis, quos vocant, et patricio Mariano aliisque eam in rem expeditis, aulaque educti atque in proximas insulas deportati, in clericos sunt attonsi.

3. Haud ita post, invisendi patris impetrata venia, in insulam Proten venerunt; eoque conspecto monachi habitu intolerabili luctu correpti sunt. quibus pater collacrimatus, ait "filios genui et exaltavi; ipsi vero spreverunt me (Isai. 1 2)." sicque adeo relegati sunt, Stephanus quidem in Proeconnesum; quam, cum Nebria appellaretur, coloni Samii ex dato iuxta oraculum aquali (*προχόου* Graecis dicto) mutata appellatione sic nuncupaverunt. cum enim in insulam venissent, deumque placaturi prandium epulasque instruerent, deerat unde commode aquam conveherent. ad quos mulier quaedam "si aqualem habetis" inquit, "ego aquam dabo." accepta aqua, pro oraculi ratione, petierunt et terram. qua ipsa ex muliere accepta, *Πρόχοον* Graece (ac si Latine Aqualem dicas) insulam vocaverunt, nummosque argenteos aqualis figura signave-

ἀπὸ δὲ Προικοννήσου εἰς Ῥόδον, ἀπὸ δὲ Ῥόδου εἰς Μιτυλήνην, ὁ
C *δὲ Κωνσταντῖνος εἰς Τένεδον, ἐκεῖθεν εἰς Σαμοθρᾴκην· ἐν ᾗ καὶ*
ἀνταρσίαν μελετήσας, καὶ τὸν ἐκ βασιλικῆς κελεύσεως τὴν αὐτοῦ
φυλακὴν πεπιστευμένον Νικήταν πρωτοσπαθάριον ἀναιρήσας, καὶ
αὐτὸς παρὰ τῶν αὐτὸν φυλασσόντων ἀνεσφάγη. οὗ τὸ σῶμα παρακομισθὲν ταφῇ παραδίδοται μεγαλοτίμως, ἐν ᾗ περὶ τούτῳ ἡ
πρώτη αὐτοῦ σύμβιος ἀπέκειτο Ἑλένη τοὔνομα. Μιχαὴλ δὲ τὸν
τοῦ βασιλέως Χριστοφόρου υἱόν, τὰ βασιλικὰ πέδιλα Κωνσταντῖνος ὁ πορφυρογέννητος ἀφελόμενος, κληρικὸν καὶ μάγιστρον καὶ
D *ῥαίκτωρα πεποίηκεν. ὅσοι δὲ ἐπέβαλον χεῖρας ἐπὶ τῇ καταβάσει*
Ῥωμανοῦ βασιλέως, ταῦτα πεπόνθασιν. ὁ μὲν Βασίλειος μάγιστρος εἰσκομισθεὶς καὶ πομπευθεὶς καὶ ἐξορισθεὶς στένων καὶ τρέμων τὸν βίον αὐτοῦ ἐν ἐξορίᾳ ἐτέλεσεν· τὸν Μαριανὸν γυνὴ ἀπὸ
ὕψους ῥίψασα πλάκα τὴν ἑαυτοῦ κεφαλήν, τὸν μόρον Ἰούδα ἐχρήσατο· ὁ δὲ Διογένης καὶ στρατηγὸς λογχευθεὶς παρὰ δύο ἀτζυπάδων τοῦ Μαλελεΐνου κακὸν θάνατον ἔδωκεν· ὁ δὲ Κουρτίκης
P 273 *ἀπερχόμενος εἰς Κρήτην μετὰ τοῦ δρομωνίου ἐποντίσθη· ὁ δὲ*
Κλάδων εὑρεθεὶς εἰς μοῦλτον ῥινοτομηθεὶς καὶ τὰ ὦτα αὐτοῦ ἐκτμηθείς· ὡσαύτως καὶ ὁ Φίλιππος καὶ οἱ λοιποί.

4. *Ὁ δὲ βασιλεὺς Ῥωμανὸς ὁρᾷ κατ' ὄναρ δύο εὐνούχους λευκοφοροῦντας, καὶ κρατήσαντες αὐτὸν τῶν χειρῶν ἤγαγον αὐτὸν εἰς τὴν Τρικύμβαλον ὁλόγυμνον. τὸ δὲ τζυκανιστῆριν ἦν*

6 fort. πατρὸς μονῇ. Combef.

runt. Proeconneso Rhodum transtulerunt, inde Mitylenem. Constantinum vero Tenedum, indeque in Samothraciam deportaverunt; ubi etiam rebellionem molitus, ac Niceta protospathario, cui illius custodiendi partes imperatoris iussu concreditae erant, occiso, ipse quoque a reliquis custodibus necatus est. eius delatum cadaver magnifice tumulo illatum est, in paterno eodem monasterio, in quo eius prior uxor Helena ante condita fuerat. Michaelem Christophori imperatoris filium, detractis ei imperialibus calceis, Constantinus Porphyrogennetus clericum et magistrum ac rectorem creavit. quotquot vero Romano imperatori aula deturbando manus adiecerant, istiusmodi poenas dederunt. Basilius magister in urbem illatus pompaque ignominiosa traductus ac exsilio relegatus, gemens ac tremens vitae reliquum patria extorris egit. Marianum impacta e sublimi in cervicem tabula mulier Iudae fato occidit. Diogenes, ductor exercitus, a duobus Maleleini atzupadis (satellites dicamus) lancea transfixus, mala morte periit. Curtices in Cretam profectus ipse cum scapha mari submersus est. Clado in seditione deprehensus nare auribusque mutilatus est; perindeque Philippus et alii.

4. Ceterum Romanus imperator videt in somnis duos cubicularios candido amictu, qui manibus arreptum, ut erat toto corpore nudus, in Tricymbalum (sic dictum palatii locum) traherent. porro sphaeristerium

πεπληρωμένον πυρός, συνεδαβελίζετο δὲ ὑπὸ ἀτζυπάδων πολλῶν. καὶ ὁρᾷ τὴν θεοτόκον ἐλθοῦσαν πρὸς αὐτὸν καὶ λαλήσασαν τοῖς εὐνούχοις διὰ τὴν ἐλεημοσύνην αὐτοῦ. ἐνδύσασα αὐτῶν ἡ θεοτόκος εἰσήγαγεν αὐτὸν εἰς Τροπικήν. διῆλθεν δὲ δεδεμένος ὁ κῦρ B Κωνσταντῖνος ὁ σφαγεὶς καὶ ὁ μητροπολίτης Ἀναστάσιος Ἡρακλείας, ἀγόμενοι παρὰ ἀτζυπάδων· καὶ παρέδωκαν αὐτοὺς καὶ ἐνέβαλον εἰς τὸ πῦρ ἐκεῖνο. τῇ ἡμέρᾳ δὲ ἐν ᾗ ἐθεάσατο ὁ βασιλεὺς τὸ ὄναρ, τῇ αὐτῇ ἡμέρᾳ ἐτελεύτησαν καὶ οἱ δύο. ὁ δὲ βασιλεὺς Ῥωμανὸς ἀποστείλας εἰς πάντα τὰ μοναστήρια καὶ τὰς λαύρας, ὡσαύτως καὶ εἰς τὴν ἁγίαν πόλιν καὶ εἰς Ῥώμην, προσεκαλέσατο μοναχοὺς ἁγίους τὸν ἀριθμὸν τριακοσίους· καὶ τῇ μεγάλῃ πέμπτῃ ἐκδυσάμενος τὸν χιτῶνα καὶ τὴν στολήν, ἣν περιεβέβλητο, ἐνώπιον πάντων σταθεὶς εἰς τὴν ἐκκλησίαν, ὅτε ἔμελλεν ὁ πρεσβύ- C τερος ὑψώσειν τὸν θεῖον καὶ ἅγιον ἄρτον, ἔχων ἐν χαρτίῳ γεγραμμένας τὰς ἑαυτοῦ ἁμαρτίας πάσας ἐστηλίτευσεν αὐτὰς κατενώπιον πάντων. τῶν δὲ μοναχῶν κραζόντων τὸ κύριε ἐλέησον καὶ δακρυρροούντων, ἑνὶ ἑκάστῳ βαλὼν μετάνοιαν συγχώρησιν ᾔτει. καὶ πάντων τῶν μοναχῶν συγχώρησιν δόντων αὐτῷ, καὶ κοινωνίας τυχών, ἀνερχομένων αὐτῶν ἐν τῇ τραπέζῃ δοὺς σχοινίον μειρακίῳ καὶ ῥέκαν, ἔτυπτεν τοὺς πόδας αὐτοῦ λέγων οὕτως "εἴσελθε κακόγηρε ἐν τῇ τραπέζῃ." καὶ πάντων καθεσθέντων ἐκαθέσθη ὁ βασιλεὺς κλαίων καὶ ὀδυρόμενος. τὸ δὲ πιττάκιον ὃ ἦν γεγραμμένον D

1 δάβελος, δαλὸς Λάκωνες. Hesych. Combef.

igne plenum erat; unaque tartarei multi satellites torribus igneque aspergebant. videt vero venientem deiparam, eius eleemosynarum gratia cubicularios alloquentem; quae et induens illum in Tropicam (sic dictum palatii locum) induxit. interim transeunt domnus Constantinus, qui necatus fuerat, nec non Anastasius Heracleae metropolita, quos tartarei satellites trahebant, tradideruntque illos et in ignem illum miserunt. qua vero nocte imperator insomnium vidit, ambo hi in vivis esse desierunt. missis itaque ille in monasteria omnia laurasque nuntiis, perindeque in sanctam civitatem Romamque, sanctos monachos trecentos numero ascivit; magnaque quinta feria exuens tunicam ac quam gerebat vestem, in oculis omnium in ecclesia stans, cum sacerdos divinum sanctumque panem levaturus esset, scripta in libello sua omnia peccata cunctis audientibus evulgavit atque traduxit. monachis vero clamantibus "domine miserere" ac lacrimis diffluentibus, unicuique devote caput inclinans veniam flagitabat. cunctisque monachis condonantibus, ac communionem consecutus, illis ad mensam accedentibus, puero flagellum e funibus lorumque tradidit, qui eius pedes cruraque caederet, in haec verba loquens "ingredere ad mensam Cacogere;" cunctisque sedentibus sedit imperator lugens ac gemens. libellum vero, quo illius peccata con-

ἔχον τὰς ἁμαρτίας αὐτοῦ, βουλλώσας ἀπέστειλεν εἰς τοὺς καλογήρους τοὺς ἀπολειφθέντας, ὡσαύτως καὶ εἰς τὸν ἐν ἁγίοις Δερμοκαΐτην, ἀποστείλας καὶ δύο κεντηνάρια εἰς τοὺς μοναχοὺς ἐν τῷ Ὀλύμπῳ, ἵνα εὔξωνται ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας. ὁ Δερμοκαΐτης ἀναλαβόμενος τό τε χαρτίον καὶ λογάριον ὥρισε πάντας τοὺς μοναχοὺς τοῦ νηστεῦσαι δύο ἑβδομάδας καὶ εὔξασθαι ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ. τοῦ Δερμοκαΐτου δὲ ἱσταμένου ἐν μιᾷ νυκτὶ καὶ εὐχομένου φωνὴ ἐγένετο πρὸς αὐτὸν ἀοράτως, "ἐνίκησεν P 274 ἡ φιλανθρωπία τοῦ θεοῦ." ταύτης δὲ φωνῆς ἐκ τρίτου ἀκούσας, τὸ χαρτίον λαβὼν καὶ λύσας εὗρεν αὐτὸν καθαρὸν μὴ ἔχον γράμμα ἓν καὶ μόνον. προσκαλεσάμενος δὲ πάντας τοὺς μοναχοὺς καὶ ὑποδείξας αὐτό, ἐδόξασαν τὸν θεὸν πάντες. καὶ ποιήσαντες ἀφέσιμον πάντες οἱ μοναχοὶ ἀπέστειλαν αὐτὸ πρὸς τὸν βασιλέα Ῥωμανόν, καὶ συνετάφη μετ᾽ αὐτοῦ.

5. Ὄντος δὲ τοῦ βασιλέως Ῥωμανοῦ ἐν τῇ νήσῳ, ὁ πατριάρχης Θεοφύλακτος καὶ Θεοφάνης πατρίκιος καὶ παρακοιμώ-
B μενος βουλὴν ἐβουλεύσαντο ὥστε τοῦτον πάλιν ἐν τῷ παλατίῳ ἀγαγεῖν· ἣν καὶ αὐτῷ ἀνακοινωνησάμενοι καὶ παραπείσαντες τοῦτον ἐκαιροσκόπουν πότε τὸ πέρας τῇ τοιαύτῃ βουλῇ ἐπιθήσουσιν. ἐπεὶ δὲ τὰ τῆς βουλῆς ἐφωράθη καὶ κατεμηνύθη τῷ βασιλεῖ Κωνσταντίνῳ, τοὺς συνεργοὺς αὐτῆς ἠμύνατο· τὸν μὲν γὰρ πατρίκιον Θεοφάνην ἐξώρισεν, τὸν δὲ πρωτοσπαθάριον Γεώργιον καὶ πιγ-

scripta erant, bulla obsignatum ad Calogeros (seniores praesertim monachos) misit, quorum eo conventu desiderata praesentia; similiter quoque ad sanctum Dermocaitem, missis etiam duobus centenariis ad monachos in Olympo exercentes, ut pro eius animae salute preces ad deum funderent. Dermocaites accepto tum libello tum pecuniae summa, cunctos monachos duas septimanas ieiunare iubet ac pro illius peccatis preces fundere. cumque Dermocaites una nocte staret ac ad deum preces funderet, vox ad eum invisibili ratione facta est, "vicit dei clementia ac humanitas." iamque tertio audita voce, sumens libellum ac solvens, mundum invenit, ita ut nec unum elementum in eo exaratum exstaret. accitis itaque omnibus monachis ostensoque libello, omnes deum laudaverunt, scriptumque veniae libellum cuncti componentes ad Romanum imperatorem miserunt; eaeque literae cum eo sepultae sunt.

5. Interim autem versante Romano in insula, consilium inierunt Theophylactus patriarcha et Theophanes patricius ac sacri cubiculi praefectus (accubitorem vocant) eum iterum in palatium reducendi; eoque cum Romano communicato, ac ipso demum in eandem sententiam pertracto, commodum tempus observabant quo huic finem molitioni imponerent. prodita autem machinatione ac Constantino imperatori denuntiata, in eius auctores animadvertit. ac Theophanem quidem patricium in exsilium egit; Georgium vero protospatharium ac pincernam

κέρνην καὶ Θωμᾶν πριμικήριον δείρας καὶ κουρεύσας οὕτως ὑπερορίᾳ παρέπεμψεν.

6. *Δεκεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος ς', ἐπιβουλήν τινες* C *κατὰ τοῦ βασιλέως Κωνσταντίνου ἐμελέτησαν, βουλόμενοι τὸν βασιλέα Στέφανον ἐν τῇ νήσῳ ὄντα ἐν τῷ παλατίῳ ἀγαγεῖν. ταύτης οὖν μηνυθείσης Κωνσταντίνῳ διὰ Μιχαὴλ τοῦ Διαβολίνου λεγομένου, τοὺς ἐπιβούλους κρατήσας ὁ βασιλεὺς τῶν μὲν τὰς ῥῖνας καὶ τὰ ὦτα ἀπέτεμεν, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλεν καὶ ὄνοις ἐπικαθίσας διὰ μέσης τῆς πόλεως ἐθριάμβευσεν καὶ ἐξορίᾳ παρέπεμψεν.*

7. *Πεντεκαιδεκάτῃ δὲ Ἰουνίου μηνὸς ἰνδικτιῶνος ἕκτης Ῥωμανὸς ὁ βασιλεὺς ἐν τῇ νήσῳ τῇ ἐπονομαζομένῃ Πρώτῃ τελευ-* D *τᾷ· καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ πόλει ἀποκομισθὲν ἐν τῇ αὐτοῦ ἀπετέθη μονῇ.*

8. *Διήγημα δὲ μέγα καὶ θαυμαστὸν παρέδραμον τοῦ λεχθῆναι. Στεφάνου καὶ Κωνσταντίνου τῶν βασιλέων κατενεχθέντων ἀπὸ τοῦ παλατίου προτροπῇ Κωνσταντίνου τοῦ πορφυρογεννήτου, χωννυβαριασμὸς γέγονεν ἐν τῷ οἴκῳ τοῦ μαγίστρου Ἰωάννου τοῦ Κουρκούα τοῦ ἀποδομεστίκου τῶν σχολῶν καὶ εἰς τὸν τοῦ μαγίστρου Ῥωμανοῦ Σαρωνίτου καὶ εἰς ἑτέρους καὶ διαφόρους οἴκους, καὶ διαρπαγὴν καὶ πτωχείας αὐτοῖς προεξένησαν. ὁ δὲ* P 275 *βασιλεὺς Κωνσταντῖνος κατοικτείρας τὸ ἐξαίφνης καὶ ἀθρόως ὁρᾶσθαι αὐτοὺς πένητας, διωρίσατο τῷ ἐπάρχῳ Θεοφίλῳ ταῦτα*

nec non Thomam primicerium virgis subactos detonsosque pariter relegavit.

6. Mense Decembri, indictione sexta, insidias quidam moliti sunt adversus Constantinum imperatorem, ut nempe Stephanum imperatorem ex insula, in qua exsul agebat, in palatium reducerent. insidiarum accepto nuntio, delatore Michaele Diabolino sic nuncupato, captisque auctoribus, aliis nares auresque Constantinus abscidit, alios intolerando verberum cruciatu examinatos asinisque impositos ac per mediam urbem ignominiose traductos exsilio relegavit.

7. Quinta decima Iunii mensis, indictione sexta, moritur Romanus imperator in insula quam Proten vocant. eius cadaver in urbem relatum in illius monasterio depositum est.

8. Magnum quidpiam ac admirandum, gesta percurrentem, me fere praeteriit: nempe quo tempore Stephanus et Constantinus imperatores aula eiecti sunt Constantini Porphyrogenneti iussu, contigit gravi hiatu terram dehiscere in domo magistri et scholarum exdomestici Ioannis Curcuae, inque domo magistri Romani Saronitae, nec non in aliis iisque diversis domibus; ex quo et factum est ut ii direptis ipsorum facultatibus in pauperiem redigerentur. misertus itaque Constantinus imperator, dolensque eorum dilapsas opes ac repente exhaustam substantiam,

σωρευθῆναι καὶ ἀποδοθῆναι. ὁ δὲ πρωτοκαγκελλαρίῳ αὐτοῦ σὺν τῷ λεγομένῳ Ζωναρᾷ προσδιορισάμενος, ὃς ἅτε εὐφυὴς κλέπτης καὶ μοχθηρός, καὶ κατέχων τὰ τούτων οἰκήματα καὶ πολλὴν σπουδὴν καταβαλών, πάντα ἐσφετερίσατο καὶ τῆς ἀπλήστου αὐτοῦ γνώμης ἐνεφορήσατο καὶ μόλις τὴν δεκάτην μοῖραν αὐτοῖς
B ἀπέδωκεν. καὶ τίς τὴν πολλὴν καὶ ἄπειρον δολιότητα καὶ κακίαν τοῦ δολίου ἀνδρὸς διηγήσεται; ὃς λύμη καὶ νόσος τῇ πολιτείᾳ Ῥωμαίων γέγονεν. ἢ ἐν ποίῳ κακῷ πρώτιστος ὁ ἀνὴρ οὐχ εὑρίσκετο; τῇ πιθανολογίᾳ καὶ τοῖς ὅρκοις βεβαιῶν ὡς ἅτε πιστὸν καὶ ὀρθὸν εἶναι πᾶσι. ὡς δὲ λόγος ᾄδεται, οὗτος βοηθείας δαιμόνων προσκαλούμενος ἐν πᾶσιν εὐδοκίμει, ὡς καὶ αὐτὸν τὸν βασιλέα Κωνσταντῖνον βουληθέντα διαφόρως ἀποκινῆσαι τοῦτον οὐκ ἴσχυσεν, ἀλλὰ μᾶλλον εὐποιίαις καὶ δωρεαῖς προεξένησεν. περὶ
C δὲ τῆς τούτου θωπείας καὶ κολακείας καὶ πολλῆς ἀναιδείας, καὶ τὴν ἄπιστον διάθεσιν καὶ τὴν μοχθηρὰν καὶ ἀνείκαστον αὐτοῦ πλεονεξίαν, πλατύτερόν τε καὶ ἐπεξεργαστικώτερον ἐν τῇ προηγουμένῃ ἐπεξηγήσει ἐκθήσομαι.

9. Μετὰ δὲ τὸ μόνον καταλειφθῆναι αὐτοκράτορα Κωνσταντῖνον, προεχειρίσατο Βασίλειον τὸν πρωτοβεστιάριον αὐτοῦ, τὸν ἀπὸ παλλακῆς φυσικὸν υἱὸν Ῥωμανοῦ τοῦ πρὸ αὐτοῦ βασιλέως, πατρίκιον καὶ παρακοιμώμενον καὶ παραδυναστεύοντα τῆς
D συγκλήτου. οὗτος δὲ ἦν ἐχέφρων καὶ λόγιος, καὶ τῷ βασιλεῖ ἐν

Theophilo urbis praefecto haec acervare iubet iisque reddere. is protocancellario suo, una cum Zonara sic nuncupato, rei summa concredita, ut erat pravus latro, eorum occupans aedes multamque diligentiam adhibens cuncta sibi usurpavit insatiabilique animo suo concessit, ac vix decimam illis partem restituit. quis enimvero multam immensamque viri dolis consuti fraudulentiam ac nequitiam enarrare sufficiat, qui lues ac pernicies imperii Romani exstiterit? quodnam vitii malique genus, in quo non facile primas tulerit? cum nimirum verbis ad suadendum compositis ac iureiurando firmatis cunctis fidelem animum rectique tenacem prae se ferret. verum, ut vulgo de illo iactatur, invocata daemonum ope cuncta illi ex voto cedebant, ut nec Constantinus, cum saepenumero eum gradu movere cogitasset, rem praestare valuerit; quin potius beneficiis ac muneribus eum prosecutus sit. porro de hominis adulatoriis moribus multaque illius impudentia, eius item infido animo pravoque, ac quam nulla quis coniectura satis assequi possit, avaritia ac rapacitate fusius operosiusque in propria exque instituto eius rei narratione exponam.

9. Rerum summam solus adeptus Constantinus, Basilium protovestiarium suum Romanique decessoris imperatoris naturalem ex pellice filium, patricium provexit ac sacri cubiculi praefectum, senatusque primis ab imperatore partibus principem fecit. erat vir animo prudens et eruditus inque omnibus solerti consilio, et ut decebat, imperatoris ob-

*πᾶσιν ὑπηρέτει αἰσίως καὶ πρεπόντως. ὁ δὲ φιλάνθρωπος Κων-
σταντῖνος διενοήθη ἀλλάγιον ποιῆσαι μετὰ τοὺς Ταρσίτας καὶ
τοὺς ἐν αἰχμαλωσίᾳ Ῥωμαίους ὑπὸ τῶν ἀρνητῶν τοῦ Χριστοῦ
ἀναρρύσασθαι διὰ τὸ ἐπὶ πολλοῖς χρόνοις κακουχεῖσθαι αὐτοὺς ἐν
δεσμοῖς καὶ θλίψεσι. καὶ ἀποστείλας τὸν προμνημονευθέντα μά-
γιστρον καὶ γεγονότα δομέστικον τῶν σχολῶν Ἰωάννην τὸν λεγόμε-
νον Κουρκούαν, ἄνδρα συνετὸν καὶ εὔβουλον καὶ πεπειραμένον
πρὸς τὰ πολιτικὰ διοικήματα, καὶ Κοσμᾶν μάγιστρον σοφὸν καὶ* P 276
*νομομαθῆ καὶ τῶν πολιτικῶν κριτηρίων πρώτιστον· καὶ εἰς τὸν
ποταμὸν τὸν Λάμον τὸ ἀλλάγιον ἐποιήσαντο, μὴ συμβάν τι ἐναν-
τίον ἢ δολερόν. καὶ τοῦτο ποιήσαντες ὑπέστρεψαν, φιλαγάθως
παρὰ τοῦ πορφυρογεννήτου Κωνσταντίνου ἀποδεχθέντες.*

10. *Ὁ δὲ βασιλεὺς ἔναυλον ἔχων τῶν ἀδικιῶν καὶ ζημιῶν
ὧν ὑπέστησαν οἱ ἐλεεινοὶ καὶ ἄθλιοι πένητες παρὰ τῶν στρατηγῶν
καὶ πρωτονοταρίων καὶ στρατιωτῶν καὶ ἱπποτῶν ἐπὶ τοῦ πενθεροῦ
αὐτοῦ Ῥωμανοῦ, ἄνδρας εὐσεβεῖς καὶ ἐναρέτους ἀπέστειλε πρὸς* B
*τὸ κουφίσαι τὸ πολὺ βάρος τῶν κατὰ καιρὸν ἀκαίρων ἀπαιτήσεων
τῶν ταλαιπώρων πτωχῶν. καὶ εἰς μὲν τὸν Ἀνατολικὸν Ῥωμανὸν
μάγιστρον τὸν Σαρωνίτην, εἰς δὲ τὸ Ὀψίκιον τὸν Μουσελὲ Ῥωμα-
νὸν μάγιστρον, εἰς δὲ τὸν Θρακήσιον Φώτιον πατρίκιον, εἰς δὲ
τὸν Ἀρμενιακὸν Λέοντα τὸν Ἀγέλαστον, καὶ εἰς τὰ λοιπὰ ἐφεξῆς
θέματα· οἵτινες τῇ προτροπῇ τοῦ αὐτοκράτορος μικρὰν ἀνακω-
χὴν τοῖς πένησιν ἐδωρήσαντο. καὶ τοῦτο ἆθλον καὶ προτερήματα* C

sequio sedulus ministrabat. humanissimus porro Constantinus in animum induxit ut pactis cum Agarenis Tarsensibus indutiis, qui apud infidelem eam gentem detinerentur, Romanos captivos liberaret, ea scilicet ratione, quod a multis iam annis in vinculis atque aerumnis affictari eos sciret. misit itaque, cuius non semel in superioribus meminimus, magistrum et scholarum exdomesticum Ioannem Curcuam nuncupatum, virum prudentem civiliumque rerum administrationis consultissimum, Cosmam item magistrum et legisperitum summumque urbanorum tribunalium praesidem; et ad fluvium Lamon, nullo adverso casu aut dolo, sincera utrinque fide, dato pretio captivos receperunt. peractoque negotio reversos Constantinus Porphyrogennetus peramanter accepit.

10. Constantinus, cuius etiamnum auribus insonarent quas iniurias damnaque ab exercitus ductoribus et protonotariis nec non utriusque ordinis militibus miseri ac calamitosi pauperes Romano socero suo imperatore passi essent, recentique haec memoria teneret, viros misit virtutis laude ac pietate insignes, grave onus levaturos importunarum pro tempore exactionum, quibus aerumnosi pauperes atque miseri opprimebantur, ad Orientale thema magistrum Romanum Saronitam, ad Opsicium Romanum Musele magistrum, ad Thracesium Photium patricium, ad Armeniacum Leonem Agelastum, et sic de reliquis thematibus seu provinciis. hi imperatoris mandato obsecuti indutiarum aliquid pauperi-

*τοῦ θεοῦ συνεργοῦντος τῷ ἄνακτι. οὕτως γὰρ περιεῖπεν τὸ ὑπή-
κοον ὡς ἀετὸς σκέπων τὴν αὐτοῦ· οὐδενὶ γὰρ τῶν ἀρχόντων ἢ
τῶν μέσων ἢ τῶν χυδαίων ὠργίσθη πώποτε, καίτοι μεγάλας ἀτο-
πίας εὗρε πολλοὺς εἰς τὸ κοινὸν καὶ εἰς αὐτὸν ἁμαρτήσαντας,
ἀλλὰ χριστομίμητος ὢν μᾶλλον εὐποιίαις καὶ δωρεαῖς ἀπένειμεν
καὶ τῷ κρίνοντι δικαίως ἀπεδίδου. τὸν δὲ ἔπαρχον τῆς πόλεως
D Θεόφιλον, ἄνδρα λόγιον καὶ πρὸς τοὺς πολιτικοὺς νόμους ἱκανόν,
πατρίκιον προέκρινεν καὶ ἐτίμησεν καὶ κοιαίστωρα προεβάλετο, καὶ
ἀντ' αὐτοῦ προεχειρίσατο ἔπαρχον Κωνσταντῖνον πρωτοσπαθά-
ριον, τὸν τηνικαῦτα μυστικὸν καὶ καθηγητὴν τῶν φιλοσόφων,
λόγῳ καὶ ἔργῳ ἀξιέπαινον, ὡς μὴ ἕτερον τῆς γνώσεως καὶ σοφίας
τοῦ ἀνδρὸς εἶναί τινα τῆς συγκλήτου· καὶ οὕτως τὴν ἐπαρχίαν εὐ-
νομίᾳ καὶ δικαιοσύνῃ διέπρεψεν.*

11. *Ὁ δὲ πατριάρχης Θεοφύλακτος ἀρρωστήσας καὶ πρὸς
τὸ θανεῖν ἐγγίσας καὶ μικρὸν ῥωσθεὶς οὐκ ἐνέδωκεν ἑαυτὸν τῆς
P 277 πονηρᾶς μοχθηρίας καὶ τοῦ μετὰ δώρων χειροτονεῖν τοὺς ἀρχιε-
ρεῖς καὶ ἐπιμελεῖσθαι τῶν ἵππων καὶ βλακειῶν. καὶ αὖθις ὑπὸ
τῆς νόσου κυριευθεὶς τέλει τοῦ βίου χρᾶται, πατριαρχεύσας χρό-
νους εἴκοσι καὶ τέσσαρσι. χειροτονεῖται δὲ ἀντ' αὐτοῦ Πολύευκτος
μοναχὸς ἀσκητικὸν βίον διαλάμπων, καὶ μονάσας ἐξ ἁπαλῶν ὀνύ-*

1 τοῦ θεοσυνεργήτου ἄνακτος. Combef.

bus tribuerunt. atque hoc a deo adiuti eoque protectore tuti ac gerenda re publica seduli imperatoris facinus, eiusque haec recte facta ac munera. haud secus enim ac aquila nidum obumbrat, sic ille subditos procurabat atque fovebat. nulli enim unquam procerum, nulli mediae sortis civium, nulli e vili plebecula iratus est, quanquam non paucos in rem publicam eiusque ipsius rem privatam atque personam gravius deliquisse invenisset: sed magis Christum imitatus eos ipsos beneficiis ac muneribus prosequebatur ac iudicanti iuste retribuebat. Theophilum urbis praefectum, virum eruditum iurisque civilis peritia probe instructum, patricii dignitate condecoravit ac quaestorem praefecit; eiusque loco Constantinum protospatharium, tunc mysticum ac scholae philosophorum ducem ac praeceptorem, virum doctrina moribusque plane laudabilem, ut nullus senatorum eius scientiae sapientiaeque modum attingeret, praefectum constituit; quo in munere aequa legum administratione ac iustitia fulsit.

11. Theophylactus patriarcha aegra affectus valetudine iamque morti vicinus cum paululum convaluisset, nihil de priori morositate remisit animique pravitate, et ut muneribus episcopos ordinaret, curandisque equis et mollitiei ac luxuriae studium omne operamque insumeret; inque eum modum morbo rursus invalescente, illo oppressus, vivendi finem facit, patriarchatu functus annos quattuor supra viginti. eius loco suffectus Polyeuctus monachus, monasticae exercitationis palaestra cla-

χων καὶ διαπρέψας ἐν πάσῃ ἀρετῇ καὶ ὀρθῷ δόγματι· καὶ ὡς ἄλλος Ἰωάννης Χρυσόστομος παρὰ πολλῶν ἐγνωρίζετο καὶ ἐλέγετο, καὶ οὐκ ἐλέγετο μόνον ἀλλὰ καὶ ἐφαίνετο. τοῦτον ὁρῶν ὁ φιλόκα- B λος Κωνσταντῖνος ἔχαιρε καὶ ἠγαλλιᾶτο ὡς τοιοῦτον ἄνδρα ἐπιτυχὼν ἐπὶ τῶν ἡμερῶν αὐτοῦ.

12. Ὁ δὲ φιλόθεος καὶ φιλόκαλος βασιλεὺς Κωνσταντῖνος ὁμοιότροπον εὑρὼν Ἰωσὴφ πατρίκιον καὶ πραιπόσιτον, καὶ πρὸς τὰς πολιτικὰς λειτουργίας ἐχέφρονα καὶ πτηνοῦ ταχύτερον, σακελλάριον προχειρίζεται, ἔπειτα δρουγγάριον πλωΐμου, καὶ πᾶσαν τὴν ἐξουσίαν αὐτοῦ πρὸς αὐτὸν ἀνατέθεικεν.

13. Τὴν δὲ τοῦ πορφυρογεννήτου Κωνσταντίνου φιλοκα- C λίαν καὶ καλλιεργίαν καὶ τὴν πρὸς πάντα διόρθωσιν καὶ βελτίωσιν μέλλων διηγεῖσθαι, καὶ ὅπως εὐσεβῶς καὶ δικαίως τὸ ὑπήκοον περιέσωσεν, καὶ τὸ κατ' ἀξίαν τοῦ ἀνδρὸς μὴ εὐπορῶν, ἐπαινέσαι δεδοικώς, σιγῆσαι μᾶλλον ἄξιον· πλὴν οὖν ἐκ τῶν πολλῶν σποράδην ἄξιον εἰπεῖν.

14. Οὗτος πάντα ἐφευρὼν εἰς ἀχρειότητα καὶ ἀμέλειαν, καὶ τῶν ἐναρέτων ἀνδρῶν χυδαιωθέντων καὶ καταφρονηθέντων, D ὡς φιλόθεος καὶ φιλόκαλος προέκρινεν τῶν δειλῶν καὶ ἀνάνδρων τοὺς εὐτόλμους καὶ ἀνδρείους, καὶ τούτους τῷ μαγίστρῳ καὶ δομεστίκῳ τῶν σχολῶν Βάρδᾳ τῷ Φωκᾷ παραδοὺς νίκην τῇ Ῥωμαϊκῇ

17 deest vox νενευκότα aut καταπεσόντα. Combef.

rus, ac qui sanctioris vitae institutum a teneris unguiculis consectatus omni virtute sanaque doctrina excelluisset; quem velut alterum Ioannem Chrysostomum plerique nossent ac dicerent, neque id nomine tenus, sed ita ut vere talis videretur. huius conspectu honesti amans Constantinus gaudebat animoque gestiebat, ut qui virum talem in diebus suis nactus esset.

12. Dei porro honestique amans Constantinus imperator, vir scilicet religiosus ac studiosus, virum nactus pari secum morum honestate ornatum, Iosephum patricium et praepositum, civilium utique rerum administratione solertem ac volucre celeriorem, sacellarium praeficit tumque rei navalis drungarium, suamque omnem in eum potestatem contulit.

13. Constantini porro Porphyrogenneti honesti rectique studium resque praeclare gestas, cuncta denique meliore statu composita ac restituta, et ut pie iusteque subditorum saluti prospexerit, narratione prosecuturus, cum pro viri dignitate impar muneri existam, laudare veritus libentius silentium amplectar. ex multis tamen aliqua sparsim delibanda sunt.

14. Cum itaque omnia pene labefactata nulliusque frugis effecta atque neglecta offendisset, virosque virtute fulgentes vili sorte haberi atque contemni, tanquam in deum religiosus honestique cultu strenuus, ignavis muliebrique animo viris audaces fortique animo ac robore praeditos anteponens, atque illis Barda Phoca patricio domestico praeposito,

ἀρχῇ προεξένησεν. πολλῶν δὲ ἐν τῇ πολιτείᾳ ἡμῶν καλῶν καὶ ἀξιεπαινέτων γνώσεις καὶ λογικαὶ τέχναι καὶ ἐπιστῆμαι, τούτων οὐκ οἶδ' ὅπως ἀμεληθέντων καὶ παροραθέντων τί σοφίζεται ὁ φιλοσοφώτατος ἐκεῖνος νοῦς; ἐπεὶ γὰρ ἠπίστατο πρᾶξιν καὶ θεωρίαν P 278 *πρὸς θεὸν ἡμᾶς οἰκειοῦντα, καὶ τὴν μὲν πρᾶξιν πολιτικοῖς προσαρμόζουσαν πράγμασιν, τὴν θεωρίαν δὲ τοῖς λογικοῖς, ἀλλήλοις δι' ἀμφοτέρων βοηθεῖ, τὸ μὲν πρακτικὸν διὰ ῥητορικῆς τέχνης ἀσκεῖσθαι παρασκευάζων, τὸ δὲ θεωρητικὸν διὰ φιλοσοφίας καὶ φυσικῆς τῶν ὄντων διαγνώσεως. παιδευτὰς δὲ ἀρίστους προκέκρικεν· εἰς Κωνσταντῖνον πρωτοσπαθάριον τὸν τηνικαῦτα μυστικὸν τὸ τῶν φιλοσόφων παιδοτριβεῖον δέδωκεν, εἰς δὲ τὸ τῶν ῥητόρων Ἀλέξανδρον μητροπολίτην Νικαίας, εἰς δὲ τὸ τῆς γεωμετρίας* B *Νικηφόρον πατρίκιον τὸν γαμβρὸν Θεοφίλου ἐπάρχου τοῦ Ἐρωτικοῦ, εἰς δὲ τὸ τῶν ἀστρονόμων Γρηγόριον ἀσηκρῆτιν. καὶ πολλὴν ἐπιμέλειαν καὶ σπουδὴν εἰς τοὺς φοιτητὰς ὁ αὐτοκράτωρ ἐποιεῖτο, ὁμοδιαίτους καὶ ὁμοτραπέζους τούτους καθ' ἑκάστην ποιῶν καὶ ἀργύρια παρέχων καὶ ὁμιλίας μετ' αὐτῶν προσηνεῖς ποιούμενος. καὶ οὐ πολὺς χρόνος διελθών, τὰς μεγάλας ἐπιστήμας καὶ τέχνας τῇ θωπείᾳ καὶ συνέσει τοῦ αὐτοκράτορος κατωρθώσαντο, καὶ κριτὰς καὶ ἀντιγραφεῖς καὶ μητροπολίτας ἐξ αὐτῶν ἐκλεξάμε-* C *νος τετίμηκεν, καὶ τὴν πολιτείαν Ῥωμαίων τῇ σοφίᾳ κατεκόσμησεν καὶ κατεπλούτισεν.*

imperio Romano auctor victoriae fuit. cum autem in Romana re publica plures honestae ac laude dignae disciplinae vigerent, artesque liberales ac scientiae in ea exstarent, ac (qua ex causa nescio) illae neglectae essent et in contemptum venissent, quidnam mens illa philosophicis rationibus summe exculta comminiscitur? cum enim eum non lateret inire nos actionis cultu et contemplationis cum deo necessitudinem, ac quidem actionem civilibus rebus gerendis congruere, contemplationem vero iis qui ratione regantur appositam esse, alteram alteri suppetias fore statuit; eos qui operam rei publicae navent, rhetorica arte excoli curans, qui vero studeant contemplationi, praeceptis philosophicis ac naturali rerum consideratione. porro magistros praestantissimos delegit; ex quibus Constantinum protospatharium mystici tum munere fungentem philosophorum ludo praefecit, rhetorum Alexandrum Nicaeae metropolitam, geometriae Nicephorum patricium Theophili praefecti Erotici generum, astronomiae Gregorium a secretis. multam autem imperator discipulis diligentiam curamque adhibebat, quos quotidie contubernales mensaeque socios adhiberet pecuniisque demereretur ac blandis colloquiis deliniret. nec longe tempus processit, cum iis delinimentis eaque foventis imperatoris prudentia adultis ingeniis magnas illi scientias artesque plene didicerunt; ex quorum censu delectos imperator iudicum ac senatorum secretariorumque et metropolitarum honore sublimavit, Romanamque rem publicam sapientia exornavit atque ditavit.

15. *Ἀλλὰ καὶ τὰς βασιλικὰς στολὰς καὶ τὰ ἔκπαλαι στέμματα καὶ διαδήματα φθαρέντα εἰς ἀνακαίνισιν διωρθώσατο, καὶ τὸν Βουκολέοντα ζῳδίοις, ἐκ διαφόρων τόπων ἀγαγών, ἐκαλλώπισεν, κἀκεῖσε ἰχθυοτροφεῖον ἐποίησεν. ἀλλὰ καὶ τῶν ἐν τῇ φυλακῇ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξωθεν θεμάτων κατεχομένων δεσμίων ἠρεύνησε καὶ ἐπεσκέψατο καὶ τῶν δεσμῶν ἐλυτρώσατο, ὡς πάντας σωτήρια ἐπευφημοῦν τὸν ἀγαθὸν καὶ χριστομίμητον ἄνακτα Κων-* D *σταντῖνον. τὴν δὲ ἀρετὴν καὶ τὴν γνῶσιν οὕτως ἐτίμησεν ὡς ἄλλος οὐδεὶς τῶν βεβασιλευκότων· καὶ ὅντινα γνῶσιν, ἔχοντα καὶ πρὸς τοὺς νόμους φύσιν καὶ ἐπιτηδειότητα εὑρηκὼς ἦν, προανεβίβασεν καὶ εἰς ὑψηλότερον θρόνον ἀποκατέστησεν. καὶ ἦν ἰδεῖν δικαιοδοσίαν καὶ εὐνομίαν ἐν πᾶσιν, ὡς τοῦ πορφυρογεννήτου ταύτην φιλοσοφοῦντος καὶ κατασπαζομένου. καὶ νόμον ὁ αὐτοκράτωρ ἐξέθετο· ἰδὼν γὰρ πολὺ πλεονεκτικὸν παρὰ τῶν ἀκορέστων ἐκχυθὲν καὶ τῶν ἐν μέσῳ τῶν ἐπαρχιῶν καὶ χωρίων ὑπεισελ-* P 279 *θόντων ἀρχόντων καὶ τοὺς ταλαιπώρους πένητας καταδυναστευόντων, καὶ καθ' ἁρπαγὴν τῶν δυνατῶν προάστεια προσκτησαμένων διὰ ποικίλης τῆς μεθόδου αἰτίας, ἔγνωσεν ποιήσασθαι τὴν τούτων ἀφαίρεσιν. τί ποιεῖ ὁ σοφὸς ἐν πᾶσιν; συναγαγὼν τῇ ὑπὸ χεῖρα βουλευτικῇ ποιεῖται μεθόδῳ, τοὺς ἀπὸ τῆς ἀναρρήσεως αὐτοῦ ὑπεισελθόντας πλουσίους καὶ ἐξωνησαμένους ἢ δωρησαμένους καὶ κατακρατήσαντας τόπια ἢ ἀγροὺς εἰς χωρία ἀναργύρους ἐκ-*

15. Sed et Augustales vestes quae longioris temporis usu detritae erant, exesaque stemmata ac diademata nova instauravit. Bucoleonem statuis, variis ex locis convectis, magnifice ornavit, inque eo piscinam construxit. captivos cum urbanos tum provinciales carcere detentos diligenter pervestigabat ac invisebat exque vinculis absolvebat, sic nimirum ut omnes optimo Christique imitatione mitissimo ac clementi imperatori Constantino acceptam salutem referentes faustis illi acclamationibus comprecarentur. virtuti ac scientiae maiorem supra decessores omnes Augustos honorem habuit. si quem nactus esset virum eruditum legumque scientiae ex indole comparatum ac idoneum, honore promovebat ac sublimiori eum sede collocabat. vidisses aequi iustique rationem in omnibus vigentem, ut cuius cultu Porphyrogennetus philosopharetur ac quam amplexaretur. legem quoque edidit imperator. videns enim insatiabilium hominum nequitia iniuriam alienique usurpationem longe diffusam, proceresque in medias provincias oppidaque et loca subingressos luctuosos pauperes opprimere, vilique pretio ac rapina variis artibus atque fraudibus illorum suburbana sibi comparasse, haec illis auferre constituit. quid ergo vir ubique sapientissimus facit? nempe congregato senatu illius decreto sancit, ut qui ex eo tempore quo ille rerum summam adeptus esset, subingressi divites vel pecunia numerata vel datis muneribus suburbana aut agros vel praedia sui iuris fecissent, his

B διώκεσθαι, καὶ μικρόν τι τῆς λώβης καὶ τῆς πλεονεξίας τῶν ἀκορέστων ἀπερράπισεν.

16. Ὁ δὲ ἐπιεικὴς καὶ γαληνὸς δεσπότης οὐδὲ τὰς τῶν προσιόντων ἀμφισβητήσεις καὶ δικαιολογίας καὶ στάσεις ἀπέγραφεν τοῦ δικάζειν δι' ἑαυτοῦ, ἀλλὰ καὶ τοῖς δικασταῖς συνδικάζειν οὐκ ἀνεβάλλετο. παρισταμένων τῷ ἐκείνου βήματι τῶν τε δικαζόντων τῶν τε συνηγορούντων τῶν δικαζομένων, ἀπεκρούετο τὰς τούτων δικαιολογίας καὶ τὰς ἀπάτας αὐτῶν· οὐδὲν γὰρ τὴν ἀγχίνοιαν αὐτοῦ διέφυγεν, οὐ ψεῦδος ἀληθείᾳ συγκείμενον, οὐ τὶ πι- C θανὸν τῇ διηγήσει σύγκεραννύμενον, οὐ περίεργοι συγγραφαὶ καὶ κρύβδην συντεθειμέναι, αἵτινες καὶ τοὺς ἄγαν δραστηρίους διέλαθον ἐν ἀληθείας παραπετάσματι. ἐντεῦθεν τῷ φόβῳ πρὸ τῆς κρίσεως παιδαγωγηθέντες, δικαστὴς δι' ἑαυτοῦ ἕκαστος τῆς δίκης τῷ ἠδικηκότι ἐγένετο.

17. Χρὴ οὖν περὶ κοινῶν φροντίδων τοῦ ἄνακτος καὶ τῶν ἀπείρων διορθωμάτων καὶ διοικημάτων αὐτοῦ ἐξειπεῖν. τῶν ἁπανταχοῦ γὰρ στρατηγῶν καὶ βασιλικῶν πρωτονοταρίων καὶ τῶν ἐν κώμαις ἐπαρχίαις τε καὶ πόλεσιν, ἔτι μὴν καὶ εἰς ἀρχηγοὺς ἐθνῶν D ἀποστελλομένων γραμμάτων, καὶ τούτων παρ' αὐτοῦ ἀναγινωσκομένων, εὐθὺς τὸ φρόντισμα αὐτῶν διωρίζετο τί μὲν δέον περὶ τῶν ἐξ Ἀνατολῆς γεγενῆσθαι τί δὲ περὶ τῶν ἀφ' Ἑσπέρας, καὶ τούτοις ὡς τὰ πολλὰ ὥσπερ πτηνὸς διήρχετο, πρεσβείας δεχόμενος, ἄρχουσιν ἐπιστέλλων, τὰς προπετῶς γεγενημένας μεταβολὰς ἐπαν-

nullo accepto pretio eiicerentur; qua re hominum insatiabilium iniuriam tantisper repressit.

16. Mitis vero serenissimusque princeps ne eorum quidem qui ad ipsum adirent controversias litesque ac disceptationes iudicio finire detrectabat; quin etiam lubens in iudicum ipse consessu sedebat, adstantibus pro tribunali tum actoribus tum eorum patronis qui in ius vocabantur. advocatorum defensiones eorumque fraudes amoliebatur. quod enim illius sagacitatem lateret nihil erat, non mendacium veritati haerens, non probabilis fucus narrationi admixtus, non superfluae scripturae libellique clanculum conscripti, qui vel solertissimos summeque perspicaces sub ementita veritatis larva facile valeant decipere. hinc fiebat ut et ante iudicium timore castigati a se sponte, qui fecissent iniuriam, in se ipsi iudices essent ac sententiam ferrent.

17. Igitur necesse est ut de publicis imperatoris curis deque innumeris illius censura emendatis ac de ipsius administrationibus sermonem texamus. cum enim duces ac praetores ubique gentium constituti palatinique protonotarii, et qui in oppidis regionibusque et urbibus magistratus erant, quin et gentium principes ad eum scriberent, eorum statim scopum discernebat, quid de Asiaticis, quid de Occiduis statuendum; nec raro illis volucris in modum praesentiam adhibebat, legationes suscipiens, magistratibus scribens, perperamque ac temere mutata corri-

ορθούμενος. ὁ αὐτὸς Κωνσταντῖνος βουλευτής, φροντιστής, στρατηγός, στρατιώτης, στρατίαρχος, ἡγεμὼν ἀνεφαίνετο. καὶ τίς ἂν τὰ τοιούτου προτερήματα ἐξείποι ἢ φράσῃ;

18. Χρὴ οὖν καὶ περὶ τοῦ νοσοκομείου τοῦ ὁσίου ἐξειπεῖν. P 280
ὁ βασιλεὺς Κωνσταντῖνος θεασάμενος αὐτὸ σμικρότατον οἰκοδομαῖς μακροτάταις κατασκευάζει, ὡς ἐπισυνάγεσθαι πάντας τοὺς τοιᾷδε νόσῳ κυριευομένους, καὶ ἀλείμμασι τὰς σάρκας αὐτῶν περιχρίων, χορηγίας ἀνελλιπεῖς αὐτοῖς παρέχων, εἰς αἰωνίζουσαν μνήμην τοῖς μεθ' ἡμᾶς κατέλιπεν.

19. Δεῖ δὲ λέγειν καὶ περὶ τοῦ μετασκευασθέντος στάβλου εἰς γηροκομεῖον. ὄπισθεν γὰρ καὶ πλησίον τῆς πανθαυμάστου ἐκκλησίας τῆς μεγάλης στάβλος ἦν τῶν ἱππαρίων τοῦ πατριάρχου Θεοφυλάκτου· καὶ τοῦτον ἰδὼν ὁ ἀγαθός, οὐ δίκαιον κρίνας οἰκη- B
τήριον μετεποιήσατο καὶ γηροκομεῖον τοῦτο κατεσκεύασεν, καὶ πρὸς χορηγίαν τροφῶν καὶ περιβολαίων τοὺς ἐκεῖσε ἐτύπωσεν ἐτησίως λαμβάνειν.

20. Δεῖ οὖν καὶ περὶ τῆς στεγῆς τῶν δεκαεννέα ἀκουβίτων διηγήσασθαι· ὁρῶν γὰρ ταύτην σεσαθρωμένην καὶ καταπίπτουσαν καὶ εἰς ἀκοσμίαν πολλὴν οὖσαν, ταύτην ἀνακαινίζει. τῆς γὰρ κεχρυσωμένης αὐτῆς ὀροφῆς τῷ χρόνῳ διερρυηκυίας, αὐτὸς ταύτην προελὼν νεοφανῆ καὶ λαμπρὰν ἀνέδειξεν. κοιλότητας γὰρ ὀκταγώνους συντέθεικεν, καὶ ταύτας ὀπαῖς καὶ σχήμασι ποικίλοις δια- C

gens. idem ipse Constantinus senator, curator, dux exercitus ac praetor, miles, tribunus, praeses erat, unus omnium muniis defungens. ecquis vero viri talis tantique praestantes dotes narrare satisque verbis explicare ac edisserere sufficiat?

18. Igitur operae pretium sit, ut et de publico urbis nosocomio (aegrotorum scilicet domo) sermonem texam. videns itaque imperator Constantinus illud perangustum, structuris maximis auxit, ut omnes eiusmodi morbo laborantes illic cogerentur, et ad illorum perungendas carnes indeficientes sumptus, ad posterorum perennem memoriam, reliquit.

19. Dicendum quoque de stabulo in gerocomium (domum scilicet senum) commutato. pone enim eque vicino perquam mirandae maioris ecclesiae stabulum erat equorum equarumque Theophylacti patriarchae. hoc videns optimus imperator indignumque ducens in religiosam convertit domum ac gerocomium (fovendis scilicet senibus hospitium) aedificavit; illicque constitutos censu annuo, quibus alantur ac induantur, accipere sanxit.

20. Dicendum et de Novemdecim accubituum tecto. videns enim computruisse ac ruinam minari valdeque deformatum esse ipsum instaurat. cum enim deauratum eius lacunar lapsu temporis diffluxisset, eo ipse prius submoto aspectu novum splendidumque effecit. sinus enim octangulos componens, eosque foraminibus variisque sculptis figuris ex-

γλύφοις κεκοσμηκώς, εἰς ἀμπέλων ἕλικας καὶ φύλλα καὶ δένδρων ἰδέας σχηματιζομένας, καὶ ταύτας χρυσῷ περιραντίσας, τοσοῦτον εὐπρεπὲς παρέσχεν ὥς ἐξίστασθαι τοὺς πρὸς θεωρίαν ὁρῶντας.

21. *Τῷ δὲ βασιλεῖ Ῥωμανῷ τῷ υἱῷ αὐτοῦ παλάτια κατεσκεύασεν πλείονα τῶν παλαιῶν βασιλέων, οἴκους ἐκ βάθρων ἐγείρας· ὧν τινῶν δόμων τὸ πολυσχημάτιστον καὶ εἰς πολλὰ τὸν νοῦν καὶ τὴν διάνοιαν ἐκπλῆττον καὶ διαμερίζον θαῦμα τοῖς βλέπουσιν* D *ἐντίθησιν. τὸν δὲ Τετράκογχον τοῦ ἀποστόλου Παύλου εἰκονίσματα διάφορα ἐξετύπωσεν, καὶ τὴν παλαιὰν καλλονὴν ἀποβεβληκέναι, νέαν δὲ ἐγκαινίσασθαι, πολλὰ ἐν αὐτῇ ἀπὸ χρυσοῦ σχήματα καὶ εἰκονίσματα ἐξέθετο.*

22. *Τὴν δὲ τῆς ζωγραφίας τέχνην τοσοῦτον ἀκριβῶς ὁ ἀνὴρ ἠπίστατο ὡς οὐκ οἶμαι τῶν πρὸ αὐτοῦ ἢ τῶν μετ' αὐτόν. πολλοὺς γὰρ τῶν περὶ αὐτῆς πονούντων ἐπηνώρθει, καὶ διδάσκαλος ἄριστος ἀνεφαίνετο, καὶ οὐκ ἐφαίνετο μόνον ἀλλὰ παρὰ πᾶσιν ἐθαυμάζετο, καὶ θάμβος μέγας τοῖς ὁρῶσιν, ὧν οὐ μεμάθηκεν,* P 281 *ἐχρημάτιζεν. τῶν δὲ τεχνιτῶν ἐπιδιορθώσεις τοῦ πορφυρογεννήτου τίς ἐξείποι; λιθοξόους καὶ τέκτονας καὶ χρυσοστίκτας καὶ ἀργυροκόπους καὶ σιδηροκόπους ἐπανώρθου, καὶ πάντα ἐν πᾶσιν ἄριστος ὁ ἄναξ ἀνεφαίνετο.*

23. *Τὰς δὲ ἀργυρᾶς πύλας τοῦ Χρυσοτρικλίνου ὁ φιλόκαλος Κωνσταντῖνος ἐδείματο, καὶ τράπεζαν ἀργυρᾶν ἡ ἐκείνου φιλοπονία πρὸς ὑποδοχὴν τῶν δαιτυμόνων καὶ καλλωπισμὸν τοῦ*

ornans, in vitium malleolos foliaque atque arborum genera figuratos aurique stillis aspersos tanto decore cumulavit, ut qui oculos animumque spectaculo adhibeant, mente excedant.

21. Romano imperatori filio suo maiora exstruxit palatia quam superioris aevi imperatorum exstiterant, magnificas aedes a fundamentis excitans, quarum multiplex variaque figuratio, inque multa animum cogitationemque cum stupore dividens, admirationem facit. in apostoli Pauli tetraconcho (quattuor nempe fornicibus fulta aede sacra) varias efformavit imagines; et ut vetusta abolita specie novus decor accederet, multas in ea aureas figuras imaginesque collocavit.

22. Pingendi artem sic accurate imperator callebat, ut nemo puto superioris aevi aut eum secuti eius peritia eum aequaverit. multos enim pictorum emendabat, optimusque magister videbatur; nec solum videbatur, sed et cunctis admirationi erat. ingens illud videntibus miraculum, pernosse eum quae nullo magistro didicerat. quot Constantinus artifices emendarit, quis dicendo referre queat? lapicidas et fabros et auro linientes ac interpungentes et argentarios et ferri fabros meliora docebat, omniaque in omnibus optimus imperator elucebat.

23. Aurei triclinii portas argenteas praeclarae indolis pulchrique ac honesti amans Constantinus fabricatus est; mensamque argenteam ad convivas excipiendos ornandumque cenaculum industria sua laboreque

ἀριστητηρίου κατεσκεύασεν, πολυχρόοις ὕλαις καὶ πλαξὶ καὶ αὐτοφυεῖ χροιᾷ καλλύνας, πλείονα τῆς ἐκ τῆς τῶν βρωμάτων γλυκύτητος B *τοῖς κεκλημένοις τὴν τέρψιν παρέχουσαν.*

24. *Καὶ πορφυρᾶν φυλακὴν ἔμπροσθεν τοῦ κοιτῶνος αὐτοῦ ἐδείματο, δοχεῖον τῶν ὑδάτων δημιουργήσας, ἣν στύλοις μαρμαρέοις περιεκύκλωσεν λειότητος αὐτοῖς ὑπαυγαζούσης. τί οὖν ἡ μεγαλόφρων ψυχή; ἀετὸν ἐξ ἀργύρου τῇ τοῦ ὕδατος ἐφίστησιν αὐλῷ, οὐκ ὀρθὸν βλέποντα ἀλλ' ἀπεστραμμένον καταπλάγιον, ὑψαυχενοῦντα καὶ σοβαρευόμενον ὡς ἀπό τινος θήρας, ὄφιν δὲ τοῖς ποσὶ περιειληθέντα καὶ πνίγοντα. καὶ μουσοστίκτων εἰκόνων ἐντέχνων τῶν ἐκ χρωμάτων ὑλῶν καὶ μορφῶν τὸ διάφορον ἐν τοῖς* C *προπυλαίοις τοῦ βασιλικοῦ κοιτῶνος ἐδείματο.*

25. *Ἀλλ' οὐδὲ ναυπηγίας ἄπειρος ἦν ὁ αὐτοκράτωρ· διωρίζετο γὰρ πολεμικῶν νηῶν κατασκευήν, καὶ οἷς ξύλοις ἁρμόζειν καὶ κλείσεις αὐτῶν καὶ ἁρμονίας, καὶ ὅπως πρὸς ἄλληλα ἔχουσι.*

26. *Περὶ δὲ τῶν πυλατίων τῶν Ἡρία ἀναλογίζομαι τῇ διανοίᾳ ὁποίοις ὁ πορφυρογέννητος ἐδείματο ἤδεσι καὶ τερπνοῖς, πρότερον οὖσαν τοῖς Χαλκηδονίοις εἰς ταφήν. νῦν δὲ τέτρασιν ἁψῖσιν ἐπιβεβηκυῖα, καὶ τὰς τούτων γωνίας ἑτέρας βασιλικὰς οἰκίας ἀποτελοῦσα, ταῖς τῶν θερινῶν ἀνέμων καὶ πνευμάτων περι-* D

conflavit, varii coloris lignis tabulisque ac nativo ipso colore exornans, ipso sui aspectu maiore invitatos voluptate afficientem quam ciborum dulcedine lautoque apparatu.

24. Purpuream quoque custodiam pro imperialis cubiculi vestibulo exstruxit, aquarum conceptaculum fabricatus, quod columnis marmoreis per ambitum cinxit levore subfulgidis. quid igitur magnificus animus? aquilam argento conflatam aquae fistulae imponit, non recta aspicientem sed averso vultu oblique erecto collo, ac velut capta praeda ferocientem pedibusque serpentem intorquentem ac suffocantem. sed et musivo opere, arte factarum imaginum comportatis materiis et coloribus, varium conspectum pro imperialis cubiculi vestibulo idem construxit.

25. At neque navium fabricae imperator rudis erat. designabat enim quo pacto bellicae naves essent construendae, quibus ex lignis earum tum claustra componenda tum commissurae, ac quam illa inter se proportionem rationemque habeant.

26. Ad Eriae palatia quod spectat, mente cogito quam ad delicias iucundoque aspectu a Constantino in Porphyra nato exstructa ac fabrefacta. prius in sepulcrum Chalcedonis civibus cedebat Eria; nunc vero quadruplici nixa apside, harumque angulos novas domos regias constituens, dici non potest aestivorum ventorum circumquaque flantium be-

κυκλουμένων πνοιαῖς, οὐκ ἔστιν εἰπεῖν εἰς πόσην θυμηδίαν καὶ χαρὰν ἐμβάλλει τὸν ἐκεῖσε ἐναπαυόμενον.

27. Τί ἂν εἴποι τις περὶ τῶν ἐν ἑτέρῳ τόπῳ τῆς τῶν βασιλίδων οἰκοδομῆς; καὶ ταῦτα γὰρ τῆς Ἡρίας τοῦ σχήματος καὶ τῆς φιλοκαλίας τῷ ὑπερβάλλοντι καὶ ἀποστίλβοντι καὶ τῆς ἐκ τοῦ ἐδάφους τέρψεως ἀναδιδομένης εὐωδίᾳ, διὰ τὸ ἐπανορθοῦν αὐτῶν κάλλος, καὶ κατὰ πολὺ διαφέροντα καὶ ὑπερκείμενον, οἷος ὁ τῶν ἀποστόλων πλησίον νεουργηθεὶς ναός, καλὸς μὲν ἰδεῖν, ὡραῖος
P 282 δὲ θαυμάσαι. εἰ γὰρ καὶ τοῦ μεγέθους τῆς παλαιότητος ἀποδεῖ, ἀλλά γε τῆς ἔνδον φαιδρότητος πόρρω καθέστηκε. τί δὲ ὁ πιστὸς βασιλεύς; πατρίκιον τὸν Βελωνᾶν Θεόδωρον ὡς συνεργὸν τοῦ λαμπροῦ καὶ κατηγλαϊσμένου ναοῦ ἐποίησεν.

28. Τῶν δὲ ἱερῶν καὶ πέπλων ὧν παρεῖχεν εἰς τὸ κοινὸν ἱλαστήριον τὸ μέγα καὶ πανθαύμαστον τίς ἐξείποι; ὁσάκις ἀφίκετο, οὐκ ἔδοξεν ἐναντίον θεοῦ ὀφθῆναι κενός, ἀλλ' ἀναθήμασι μεγάλοις καὶ χρυσοτεύκτοις καὶ μαργαρίταις καὶ λίθοις καὶ ὑφάσ-
B μασιν ἐδεξιοῦτο καὶ ἀντημείβετο· ἃ καὶ τὰ τῶν ἁγίων ἅγια κατακοσμοῦσι καὶ καταγλαΐζουσι καὶ τῷ προσενηνοχότι Κωνσταντίνῳ κηρύττεται.

29. Τοῦ δὲ πατρικίου Βασιλείου Ἑξαμιλίτου καὶ στρατηγοῦ τῶν Κιβυραιωτῶν ταξείδιον χρὴ διηγήσασθαι. οὗτος ὁ πατρίκιος Βασίλειος στρατηγὸς ὢν τῶν Κιβυραιωτῶν, νέος τῷ σώ-

6 leg. ἐπανθοῦν. Combef.

nignioribus auris quanta iucunditate ac voluptate quietem ibi captantium ac reficientium animos afficiat.

27. Quidnam quis dicat de regiarum aedium alio loco structura? nam hae quoque Eriam figurae cultusque et structurae excellentia atque nitore, nec non se ab imo solo diffundentis iucunditatis fragrantia, efflorente in eis decore, longe etiam superant praecelluntque; cuiusmodi apostolorum haud procul novae fabricae templum, pulchrum sane aspectu, ac quod admiratione pro eo quo praestat decore merito habeatur. quanquam enim molis granditate a veteri aede deficiat, interioris tamen ambitus splendore atque ornatu longe praecellit. quid vero fidelis imperator? Theodorum Belonam, quod praeelegantis ac praemagnifici templi structurae illi adiutor exstiterat, patricii dignitate ornavit.

28. Sacras vestes et stragula, quanta in communis propitiatorii (magni illius prorsusque mirabilis) ornatum et cultum contulit, quis enarrare possit? quotiescunque enim eo pedem inferret, haud committendum putabat ut coram deo vacuus appareret, sed ut magnis donariis vestibusque auro margaritis reliquisque lapillis contextis numen demereri eique vicem reddere studeret. vestes hae ac stragula etiamnum sancta sanctorum magnifice ornant eximiumque loco decorem conciliant; ac Constantinum, qua magnificentia ea obtulit, praedicant.

29. Basilii Hexamelitae patricii ac Cibyraeotarum ducis expeditio narranda est. Basilius hic patricius Cibyraeotarum dux cum esset, vir

ματι, πολιὸς τῇ φρονήσει καὶ μείζω τῆς ἡλικίας τὴν πολυπειρίαν ἐνδεικνύμενος, πολεμικῶν καραβίων ἀπὸ Ταρσοῦ ἐξωρμημένων καὶ Ἀγαρηνῶν ἐν αὐτοῖς ὄντων περιφανῶν, ἐπειδὴ αὐτοὺς ὁ στρατηγὸς ἑώρα πρὸς τὰς Ῥωμαϊκὰς χώρας προσβάλλοντας, λογιζομένους ὡς νοσσιὰν περιλαβεῖν αὐτάς, ὁ στρατηγὸς τὰς οὕτως αὐτῷ C
νῆας ἀντιπαραταξάμενος, καὶ ταύτας ὀλιγοστὰς οὔσας καὶ πρὸς τοσοῦτον οὐκ ἀρκούσας τὸ πλῆθος· ἀλλ' ἐπειδὴ τὴν γνώμην καὶ τὴν προαίρεσιν εἶχεν τοῦ πλήθους τῶν πολεμικῶν καραβίων κραταιοτέραν καὶ τὴν μετὰ φρονήσεως τόλμαν πολλῶν συμμάχων ἰσχυροτέραν, συγγίνονται ἄμφω, καὶ συμβολὴ τῶν καραβίων ἀνεφαίνετο, καὶ παρ' ἀλλήλων πόλεμος ἀνεκρούετο, καὶ βίαιός τις ἀλαλαγμὸς καὶ ὠθισμὸς ἐξ ἀμφοτέρων τῶν καραβίων ἐκρούετο, ἕως αὐτὸς ὁ στρατηγὸς Βασίλειος μέσον τῶν ἀρνητῶν τοῦ Χριστοῦ D
γενόμενος, ἔνδον εἰσπηδήσας, οὗ γεγονότος καὶ πυρὸς ἐνύγρου πάντοθεν τῶν ἀρνητῶν τοῦ Χριστοῦ περικυκλώσαντος αὐτίκα ἡττῶντο καὶ κατεσφάττοντο καὶ δέσμιοι εἰς δουλείαν συνελαμβάνοντο, αὐτῶν πρὸ πάντων τῶν ἡγεμόνων καὶ ἀρχόντων καὶ καϊτῶν ζωγρηθέντων. καὶ τούτους ἐπὶ τῆς πόλεως πρὸς τὸν εὐτυχῆ βασιλέα Κωνσταντῖνον ἐξαπέστειλεν καὶ ἐν τῷ ἱππικῷ ἐθριάμβευσεν.

30. *Ὁ δὲ αὐτοκράτωρ Κωνσταντῖνος στρατιωτικὴν δύναμιν κατὰ τῶν Λογγιβάρδων καὶ Νεαπολιτῶν ὁρίσας, καὶ ἀρχηγὸν αὐτῶν τὸν πατρίκιον Μαριανὸν ἀποστείλας, διὰ τὸ στασιάσαι τὰ* P 283
Ἑσπέρια καὶ τῆς Ῥωμαϊκῆς ζεύγλης τοὺς δεσμοὺς διαρρῆξαι. καὶ

5 fort. **ὑπ' αὐτὸν.** Combef.

aetate iuvenis, at sensu canus maioremque quam pro annorum ratione experientiam prodens, armatam classem Tarso profectam inque ea illustrem plane Agarenorum militantem manum Romanis littoribus orisque applicantem videns, quasi Romanae dicionis haud secus ac nidi potituros se illi arbitrarentur, subiectas ipse naves tantae hostium classi opponit. ac quamvis paucae erant nec tanto illi pares cuneo, pro ducis tamen magnitudine animi ac proposito, robustiores quam pro ea hostium classe, audaciaque prudentiae iuncta multis bello sociis fortiores, ambae concurrunt acies pugnaque conseritur; ac per eam ingenti utrinque sublato ululatu, collidebantur hinc inde naves; donec dux ipse Basilius in medium infidelium impetu irrumpens in praetoriam invasit; quo facto, ac cum ignis Graecus totam circum hostium classem incesseret, illi mox partim victi caesique sunt partim sub iugum missi, ipsi cum primis duces atque proceres caïtique vivi capti. hos Basilius ad felicem ac fortunatum Constantinum imperatorem in urbem misit; qui et triumphi specie eos in circo traduxit.

30. Constantinus porro imperator, militari manu adversus Longobardos ac Neapolitanos expedita, ducem illi Marianum patricium praefecit; quod scilicet Hesperiae partes versae in tumultum essent ac Romani

γὰρ κατεθρασύνθησαν ὅσοι τὴν Λαγγοβαρδίαν ἐκληρώσαντο χώραν εἰς κατοικίαν, καὶ ὅσοι τὴν Καλαβρίαν, τοῦτο θαρροῦντες διὰ τὸ πόρρω καὶ μακρὰν εἶναι τῆς βασιλίδος. διὰ τοῦτο συνεχῶς τὰς ἀποστασίας ποιούμενοι εἰς τοσοῦτον ἀνυποταξίας ἔφθασαν ὡς καὶ πρὸς τοὺς Ἀγαρηνοὺς πάκτα διδόναι καὶ τὰς πόλεις καὶ κάστρα καὶ κώμας τὰς πλησιαζούσας μαχαίρᾳ καὶ ξίφει ἀνελεῖν. B *ἀλλὰ καὶ οἱ Νεαπολῖται τῆς ὑποταγῆς τοῦ Χριστοῦ ἀπορρυέντες τὰ δοῦλα πράττειν ὡμολόγησαν, πρὸς φανερὰν ἀποστασίαν τραπέντες. ἵν' οὖν μήτε τὸ στασιάσαν πλῆθος ἐπιπλεονάσωσι τὸ ἀλαζονικὸν ὡς τὰ ὑπήκοα Ῥωμαίων ἔθνη δουλωσάμενοι, οὐκ ἐνεγκὼν ὁ πορφυρογέννητος στρατεύμασι Θρᾳκικοῖς καὶ Μακεδονικοῖς τούτους ἀμύνεται, καὶ ναυσὶ πολεμικαῖς μετὰ ὑγροῦ πυρὸς τὴν τούτων ἀναστέλλει αὐθάδειαν καὶ μωρίαν· καὶ ἀπὸ γῆς καὶ θαλάττης τὴν Νεάπολιν ὁ πατρίκιος Μαριανὸς ὁ Ἀργυρὸς ἐπιπεσὼν μετὰ τοῦ Ῥωμαϊκοῦ στρατοῦ, ὅσα μὲν πρὸς τὴν γῆν πάντα κατέ-* C *καυσαν, ὅσας δὲ ἐκβολὰς ἀπὸ τῆς θαλάσσης ἠσφαλίσαντο, καὶ πάντοθεν αὐτοὺς περικυκλώσαντες, τῷ λιμῷ καὶ τῇ αἰχμαλωσίᾳ πιεζόμενοι καὶ ταπεινούμενοι, πρὸς δεήσεις καὶ ἱκεσίας τῷ ἄνακτι Κωνσταντίνῳ ἀνέπεμπον, ὑποδουλούμενοι ὡς ἐξ ἀρχῆς. τοῦτο καὶ οἱ Λογγίβαρδοι καὶ οἱ Καλαβροὶ ἐποιοῦντο· διὸ καὶ οἱ βάρβαροι τῆς Σικελίας σύμφωνα εἰρηνικὰ ἐπετέλουν.*

31. *Καὶ δεῖ θαυμάσαι καὶ τὸν πρὸς τῶν Ἀφρικῶν πόλε-*

7 προσρυέντες P, ἀπορρυέντες margo

iugi vincula perrupissent. etenim in rebellionem proruperant quotquot Longobardiam ac Calabriam sedes nacti erant, inde rebellandi orta fiducia, quod ab Augusta procul urbe dissiti erant. iccirco cum novis assidue rebus studerent aliique alias deficerent, eo contumaciae evaserant ut et cum Agarenis foedus percuterent, urbesque et arces et oppida ferro ignique vastarent. quin et Neapolitani a Christi delapsi servitute, quae servorum sunt opera facturos se polliciti, in apertam versi defectionem erant. ne ergo plebs in seditionem acta atque rebellis maiorem in modum arrogantia insolesceret, tanquam gentium potita quae Romanae dicionis essent, haud ferens Porphyrogennetus, ex Thracia ac Macedonia conductis copiis illorum ultor accedit, armataque classe cum igne Graeco horum temeritatem ac insaniam comprimit. terra namque marique Marianus patricius Argyrus cum Romano exercitu Neapolim adortus, quae quidem ad terram posita erant, cuncta igni succendit; quotquot autem exitus erant versus mare, occlusit. hinc adeo undique obsepti oppidani, fameque et captivitate pressi atque humili sensu effecti, supplicationis ergo ad Constantinum imperatorem mittentes, qualem prius Romanis fascibus subiectionem fecerunt. id ipsum et Longobardi ac Calabri praestiterunt. quamobrem etiam barbari Siculi pacis foedera inierunt.

31. Sed et bellum Africanum mirari subit. mox conserta acie, et

μον, αὐτίκα συνεπλέκοντο καὶ συνερρήγνυντο, καὶ τῶν νηῶν πρὸς
ἀλλήλων συμπλοκήν· καὶ δὴ ἀνέμου βιαίου πνεύσαντος, ἡμῖν μὲν D
συμμαχοῦντος καὶ βοηθοῦντος, τοῖς δὲ βαρβάροις πολεμοῦντος
καὶ ἀνθισταμένου, τὴν ἧτταν εἶχον ἀκόλουθον, σὺν τοῖς αὐτῶν
ὅπλοις καὶ ταῖς ναυσὶ τῷ βυθῷ παραδιδομένων. καὶ δὴ ὁ ἀμηρᾶς
αὐτῶν σπονδὰς εἰρηνικὰς τῷ βασιλεῖ ἐξελιπάρει. καὶ οὐ μόνον
οὗτοι τὴν δούλωσιν πρὸς τὸν βασιλέα ὡμολόγησαν, ἀλλὰ καὶ οἱ
τὰς Γαλλίας οἰκοῦντες πανοικὶ βάρβαροι παρεῖχον πρὸς τὸν πορ-
φυρογέννητον ἄνακτα τὴν εὐγνωμοσύνην, καὶ δώροις μεγαλοπρε-
πέσι πρὸς τὸν αὐτοκράτορα μετὰ ὄψιδας αὐτῶν ἔστελλον· καὶ
πάντας εἰς ὑποταγὴν ἡ τύχη τοῦ πορφυρογεννήτου εἰς δουλείαν
καὶ ζυγὸν ἤγαγεν.

32. Ὁ δὲ ἀμηρᾶς Αἰγύπτου τὴν μεγάλην νίκην τῶν Ῥω- P 284
μαίων ἀκηκοὼς καὶ τὴν πολεμικὴν ναυμαχίαν καὶ ἧτταν τῶν ἀρνη-
τῶν τοῦ Χριστοῦ, γράμμασιν αὐτίκα φιλικοῖς τὸ μάχιμον αὐτοῦ
ἀποβάλλεται καὶ ὑπισχνεῖται εἰς ἑνότητα. ὁ δὲ τῆς Περσίδος ἀμη-
ρᾶς, ἐπειδὴ διαφόρως τοῖς Ῥωμαϊκοῖς ἐνέτυχεν στρατεύμασι καὶ
προσβολαῖς καὶ πολέμοις διαφόροις ἡττήθη, ἀγάπης δεσμῷ
καταλλάσσεται πρὸς τὸν βασιλέα. καὶ ὁ αὐτοκράτωρ ὄψιδας πρὸς
αὐτὸν ἐκπέμπει· οἵτινες πρὸς τὴν κατάξηρον γῆν ἐκείνην ἀφικόμε-
νοι, τοῦ ἀποστόλου Θωμᾶ τὸν τάφον προσκυνήσαντες καὶ κατ- B
ασπασάμενοι, καὶ τὰς βασιλικὰς κατασταλείσας λαμπάδας ὑπ-
ανάψαντες, καὶ ἐμπορευσάμενοι λίθων τιμίων καὶ μαργαριτῶν.

20 lego κατὰ Κῦρον. Combef.

ubi ad manus ventum esset, concurrente utrinque classe, exorto vento valido, qui quidem nobis quasi socius ac belli adiutor flaret, hostibus vero obsisteret eisque compugnaret, victi barbari sunt ac cum navibus et armis omnique apparatu maris profundo mersi. ac vero illis praefectus ameras pacis foedera cum imperatore poscebat. neque hi solum subiectionem imperatori profitebantur, sed et Galliam incolentes, cum omni familia, barbari, benevolos se erga imperatorem in Porphyra natum exhibebant, donisque magnificis ambitiosi ad imperatorem legatos cum obsidibus mittebant; cunctosque Porphyrogenneti fortuna ad servitutem praestandam iugumque subeundum cogebat.

32. Aegypti autem ameras audita Romanorum ingenti victoria ac navali pugna infideliumque strage, amicarum statim literarum officio pugnandi ardore cohibito foedus pollicetur. Persidis autem ameras, qui varie in Romanas acies incurrens diversis congressibus atque praeliis victus fuerat ac profligatus, instaurato caritatis vinculo imperatori conciliatur. ad quem etiam imperator obsides mittit; qui cum ad Cyri terram illam venissent, apostoli Thomae sepulcrum venerati sunt ac exosculati, missasque ab imperatore regia munificentia lampadas ad illud accenderunt, pretiosorumque lapidum ac margaritarum mercatura facta

εἰς τοσοῦτον γὰρ μετὰ τῶν ἄλλων μεγάλων κατορθωμάτων ὁ αὐτοκράτωρ κεχάριστο, ὥς ἄλλα ἐξ ἄλλων συλλέγων καὶ συναθροίζων καὶ πρὸς τὸ ἀξιέραστον μεταφέρων.

33. Χρὴ οὖν καὶ περὶ τοῦ Χρυσοτρικλίνου διηγήσασθαι· ὃ μηχανικώτατος ἄναξ πολυανθῆ τινὰ καὶ εὔοδμον ῥοδωνιὰν εἶναι, τῶν πολυχρόων [ἀνθῶν] καὶ λεπτοτάτων διαφόρων ψηφίδων ἀν- C θῶν ἀρτιφυῶν χροιὰς μιμουμένων· οἳ μέσοι τῶν ἑλικοειδῶν συμπλοκῶν περικλειόμενοι καὶ τῇ συνθέσει διαμορφούμενοι τὸ ἀσύγκριτον ἀποφέρονται. ἀργύρῳ τοῦτο ἐστεφάνωσε, καὶ δίκην ἄντυγος τοῦτο περιλαβὼν τοῖς ὁρῶσιν ἀκόρεστον ἐπιχορηγεῖ τὴν τέρψιν.

34. Ὁ δὲ αὐτοκράτωρ τοὺς πολίτας ἠγάπησεν ὡς οἰκεῖα αὐτοῦ ἔκγονα, καὶ πλέον, καὶ αὐτοὺς περὶ πολλοῦ ἐποιεῖτο. καὶ τοὺς ἐξ εὐγενοῦς φύντας ἐκλογὴν ἐποιεῖτο. καὶ τοὺς μὲν ἀξιωμάτων καταλαμπρύνει τιμαῖς, τοὺς δὲ μεγαλοπρεπέσι φιλοτιμεῖται D δωρεαῖς, καὶ συνεστίους καὶ ὁμοδιαίτους ποιεῖται, καὶ τὸ φίλτρον μᾶλλον ἐπηύξει τῆς ἐκείνου εὐνοίας, καὶ ἀντὶ πολλῶν σωματοφυλάκων καὶ φρουρῶν καὶ σωτήρων τούτους μᾶλλον προέκρινεν ὡς πιστοὺς καὶ φιλοδεσπότας, καὶ τῆς οἰκείας σωτηρίας προκρίνειν τὸν ἄνακτα.

35. Τὴν δὲ δεξίωσιν τοῦ βρουμαλίου τοῦ πορφυρογεννήτου δεῖ ἐξειπεῖν. ἔθος γὰρ τοῖς πάλαι βασιλεῦσι τελούμενον, καὶ

redierunt. tanta enim cum aliis magnis dotibus ac virtutibus imperator gratia pollebat, ut semper alia ex aliis colligeret et acervaret, inque augustiorem ipse cultum amore digna et admiratione transferret.

33. Igitur operae pretium est ut et de triclinio Aureo disseramus. hoc nempe industriosissimus princeps multis floribus varium suaveque olens rosetum reddidit, cum varii coloris flores subtilissimique operis tessellatum opus recens enatorum florum colores totos refunderet. hi porro medii inter sinuosos plexus conclusi, ipsaque compositione efformati, incomparabilem praeferunt venustatem. triclinium argento coronavit, inque orbis canthique morem illo circumducto ambiens insatiabiles ex aspectu delicias videntibus facit.

34. Cives imperator ut ipsa sua carissima pignora iisque amplius diligebat, longeque eos pluris faciebat. ex illis eorum qui ingenui essent atque nobiles delectum habebat; atque alios quidem dignitatum titulis ornabat, alios magnifice donabat sibique contubernales ac domesticos adlegebat, tantaeque illius benevolentiae lenocinio maiorem illis amoris sui flammam excitabat; quos adeo ingenti satellitum custodumque ac servatorum agmini praehabebat, velut scilicet fideles herique ac domini amantes, quique suae ipsorum saluti imperatoris incolumitatem praeferrent.

35. Brumalii autem Porphyrogenneti convivium atque epulas operae pretium ut exponamus. quod enim veterum iam imperatorum mori-

ὁ πορφυρογέννητος εἰς ἔργον τοῦτο ἐξήνεγκεν. τὴν γὰρ ἡμέραν ἐν ᾗ τὸ τῆς κλήσεως αὐτοῦ στοιχεῖον κάππα ἀποκεκλήρωται λαμπροτάτην ἑορτάζων πανήγυριν, πολυάνθρωπόν ταύτην δεικνύει. καὶ P 285 ταῖς γὰρ πολυτελέσι καὶ πολυόψοις ἐκείναις τραπέζαις τὴν σύγκλητον ἅπασαν δεξιούμενος χορηγίαις εὐεργετικωτέραις τὸ φαιδρὸν τῆς ἑορτῆς ἐπολλαπλασίαζεν, σηρικῶν περιβολαίων ἐπιδίδων, ἀργυρίων πολλῶν καὶ ἀπείρων, ἐσθημάτων ἁλουργῶν, ξύλων Ἰνδικῶν εὐωδίας, ἃ οὔ τις ἀκήκοεν ἢ γεγονότα τεθέαται.

36. Τὴν μουσικὴν οἶδεν πᾶς τις ὡς θεῖόν τί ἐστιν εὕρημα καὶ τῇ ἀνθρωπίνῃ φύσει συντελοῦν. τί οὖν ὁ εὐσεβὴς καὶ μεγα- B λοφρονέστατος ἄναξ; ταύτης ἀντεποιεῖτο, καὶ δι᾽ αὐτῆς ὑμνεῖν τὸ θεῖον οὐκ ἔληγεν. ἐντεῦθεν πανηγύρεις φαιδραὶ κατεφαιδρύνοντο, καὶ τῶν μαρτύρων ἑορταὶ κατελάμποντο, ποιμένων ἱερῶν καὶ διδασκάλων μνῆμαι περιηστράπτοντο. τοσοῦτον γὰρ ὁ ἀνὴρ ἐχαριτώθη ὡς χοροὺς ὑμνῳδῶν συγκροτεῖν καὶ ἀρχηγοὺς τούτοις ἐπινοεῖν, αὐτὸς πρὸ πάντων τούτοις συνὼν καὶ τῶν ψαλλομένων ἐπακροώμενος καὶ τὴν ψυχὴν ἡδυνόμενος καὶ χαιρόμενος.

37. Οὕτως ἠγάπησεν ὡς ἄλλος οὐδεὶς τῶν πρὸ αὐτοῦ C πιστῶν, καὶ μνήμῃ λαμπροτάτῃ τετίμηκεν καὶ τὸ εὐφυὲς τοῦ Χρυσοστόμου, ἐπαινῶν τὴν συνθήκην τῶν λόγων καὶ περιβολῶν καὶ τὰ τῶν κύκλων σχοινοτενῆ καὶ ἐνθυμημάτων, ἐν οἷς τὸν τῆς μετανοίας κήρυκα λαμπρῶς καὶ ἀγλαῶς ἐμεγάλυνεν.

bus receptum erat, etiam Porphyrogennetus opere implevit. diem enim cui nominis eius initialis litera K addicta est, celeberrimae festivitatis sibi loco ducens, ingenti celebrandam conventu indicebat. lautissimis enim largissimisque dapibus senatum omnem excipiens, beneficentiae maioris muneribus festivitatis laetitiam ac splendorem multis partibus cumulabat, sericarum vestium ac praetextarum abunde largitione, vi magnae pecuniae et innumerabilis, purpurissarumque vestium ac trabearum, Indicarum arborum, quas nemo audierat unquam aut viderat, fragrantia recreans.

36. Musicam norunt omnes divinum esse inventum exque hominis genio ac illi conducens. quid igitur religiosus et magnificentissimus Constantinus? hanc colebat, nec per eam divinum numen canticis celebrare cessabat. inde laeti conventus splendorem habebant martyrumque solennia illustriora erant, sanctorum denique pastorum doctorumque memoriae novo velut fulgore radiabant. tantis enim vir gratiis plenus erat, ut cantorum choros cogeret eisque duces adscisceret, ipse prior omnibus cum eis versans audiensque psallentes, atque inde gaudens animumque exhilarans.

37. Sic dilexit ut nemo alius ante eum fidelium, clarissimaque prosecutus memoria est atque coluit praeclaram Chrysostomi indolem, verborum circuitionumque laudans compositionem, circulorumque et enthymematum uno ordine digestam seriem, quibus splendide ac magnifice paenitentiae exornavit praeconem.

38. *Τὸν δὲ βασιλέα Ῥωμανὸν τὸν υἱὸν αὐτοῦ οὕτως ἐφίλησεν καὶ ἠγάπησεν ὡς ἄλλος οὐδείς, καὶ τοῦτον πρὸ πάντων παρῄνει ἔχειν τὴν κατὰ θεὸν εὐσέβειαν, ἔπειτα καὶ λόγον καὶ ἦθος*
D *καὶ βάδισμα καὶ γέλωτα καὶ στολὴν καὶ καθέδραν καὶ στάσιν βασιλικὴν ἐξεπαίδευεν. διὸ καὶ θείων ἐμφανειῶν ὁ πορφυρογέννητος ἠξιοῦτο, καὶ πρὸς αὐτὸν προέφησεν "εἰ ταῦτα φυλάξῃς, μακρόβιος τῇ βασιλείᾳ Ῥωμαίων ἔσῃ."*

39. *Καὶ γυναῖκα τῷ βασιλεῖ Ῥωμανῷ τῷ υἱῷ αὐτοῦ δέδωκεν οὖσαν ἐξ εὐγενῶν προγόνων, καλὴν μὲν τῷ σώματι, ὡραίαν δὲ τῇ ὄψει, κοσμίαν δὲ τῇ ψυχῇ, ὀνόματι Ἀναστασίαν, τὴν τοῦ Κρατεροῦ θυγατέρα· ἣ καὶ ὀνομασθεῖσα παρὰ τοῦ πορφυρογεν-*
P 286 *νήτου Θεοφανὼ κατ' ἀξίαν, ὡς ἐκ τοῦ θεοῦ φανεῖσαν καὶ ἐκλεχθεῖσαν. καὶ νυμφικὴ παστὰς ἐγνωρίζετο καὶ ἐτελεῖτο ἐν τῷ πανθαυμάστῳ τρικλίνῳ τοῦ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου, καὶ χαρὰ καὶ εὐφροσύνη τῷ πορφυρογεννήτῳ περιελάμπετο ἅμα Ἑλένῃ τῇ Αὐγούστῃ, ὡς τοιαύτης ἀρχαίας κόρης τῷ αὐτοῦ μνηστεῦσαι.*

40. *Ἡ δὲ Αὔγουστα Ἑλένη νόσῳ τρυχομένη, ὁ φιλάγαθος ἄναξ οὐκ ἐνέδωκεν τῇ πρὸς αὐτὴν διαθέσει καὶ στοργῇ, ἀλλὰ*
B *πάντα ἐν πᾶσι τὰ καταθύμια αὐτῆς ἐπλήρου. καὶ γὰρ ἡ Αὔγουστα ἠξίου παρὰ τοῦ νεωστὶ παρ' αὐτῆς κατασκευασθέντος ξενῶνος καὶ γηροτροφείου εἰς τὸ παλαιὸν Πετρίν, τὸ λεγόμενον τὰ Ἑλένης,*

38. Romanum autem imperatorem filium suum sic amavit atque dilexit ut hac eum parte nemo aequaverit. prae omnibus vero hortabatur ut pie ac religiose deum coleret; tumque doctrinam et mores docebat incessumque et risum et habitum, et ut pro regia maiestate in solio sedere ac stare eum deceret informabat. quamobrem etiam divinis apparitionibus dignus habitus Constantinus filio vaticinabatur ac quasi ex oraculo aiebat "haec si servaveris, in longos annos imperii Romani sceptra moderaberis."

39. Uxorem Romano filio suo locavit nobilissima ortam prosapia, pulchram corpore, facie venustam, castam animo ac omni morum honestate praeditam, Anastasiam nomine, Crateri filiam; cui et a Porphyrogenneto inditum Theophanonis nomen, plane merito, velut scilicet ei quae ex deo eiusque munere (hoc ipsum sonante vocabulo) enituisset atque electa esset. positus nuptialis thalamus peractaque celebritas in admirabili Iustiniani Rhinotmeti triclinio. hinc iucunditas gaudiique lux Porphyrogenneto circumfusa cum Helena Augusta, quod talem sicque ab avis nobilem puellam filio sponsam dare licuisset.

40. Porro cum Helena Augusta morbo conficeretur eoque gravi conflictaretur, benignissimus imperator nihil de suo in eam affectu amorisque vi remisit, sed quicquid illi in votis erat, lubens implebat. rogabat namque Augusta ut in domo hospitali senibusque alendis ac confovendis in veteri Petrio (quod Helenae nuncupatur) recens ab ipsa ex-

διορίσασθαι τὸν ἄνακτα προάστεια καὶ χρυσοβούλλια καὶ ἐξόδους·
ἅτινα μετὰ χαρᾶς ὁ πορφυρογέννητος ἐξεπλήρου. καὶ ἦν ἰδεῖν
αὐτὴν τῇ ψυχῇ καὶ τῷ σώματι ἡδυνομένην καὶ χαιρομένην, ὡς
ἀπείρου πόθου καὶ πλούτου ταύτην παρέχων. ἔχαιρεν δὲ πλεῖστον
ὁρῶσα Ῥωμανὸν τὸν υἱὸν αὐτῆς βασιλέα καὶ τὰς θυγατέρας αὐτῆς
Ζωὴν καὶ Θεοδώραν καὶ Ἀγάθην συνούσας καὶ συνευφραινομένας C
αὐτῇ καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ. καὶ γὰρ καὶ αὐτὸς ἐτίμα καὶ
ἐφίλει, ἐν ἐξαιρέτῳ δὲ τῇ Ἀγάθῃ ὡς ἀόκνως λειτουργοῦσα τῷ βα-
σιλεῖ εἰς τὰς ἀρρωστίας αὐτοῦ, καὶ καταμηνύεσθαι δι᾽ αὐτῆς τὸν
βασιλέα τῶν σεκρέτων καὶ τῶν ἀρχόντων τὰ διοικήματα· ἥτις καὶ
μεσῖτις ἀνεφαίνετο, καὶ οὐκ ἀνεφαίνετο μόνον, ἀλλὰ καὶ ἐγνωρί-
ζετο καὶ ἐγένετο.

41. Ὁ δὲ πορφυρογέννητος διὰ τὸ τὸν μάγιστρον καὶ δο-
μέστικον τῶν σχολῶν Βάρδαν τὸν λεγόμενον Φωκᾶν ἀδυνάτως ἔχειν D
καὶ εἰς γῆρας ἐλάσαι τοῦ δομεστικάτου ἀποκινεῖ, καὶ ἀντ᾽ αὐτοῦ
προβάλλεται δομέστικον Νικηφόρον πατρίκιον καὶ στρατηγὸν τῶν
Ἀνατολικῶν, τὸν φίλτατον υἱὸν αὐτοῦ, ἄνδρα ἐν πολλοῖς καὶ δια-
φόροις πολέμοις εὐδοκιμήσαντα καὶ ἄριστον ἀναφανέντα· καὶ τῇ
ἡδυτάτῃ διαλαλιᾷ καὶ θωπείᾳ αὐτοῦ κοσμήσας τὰ στρατεύματα
καὶ πρὸς τοὺς πολεμίους Ἀγαρηνοὺς ἐχώρει, ὡς πάντα τὰ στρα-
τεύματα θαρρεῖν καὶ ὡς ἐν ἰδίῳ χώρῳ παροικίαν ποιήσασθαι·

11 μόνον] μὲν P

structo, imperatoris munificentia suburbana constituerentur, hincque eius authentica expedirentur diplomata ac reditus assignarentur; quae omnia Porphyrogennetus gaudens laetusque implevit. vidisses eam animo et corpore gaudere atque laetari, ea scilicet ratione quod imperator immenso ipsam amore prosequeretur profusisque largitionibus ipsi obsequeretur. faciebat ad gaudii cumulum, quod Romanum filium suum imperialibus infulis videbat sublimatum; quod item filias Zoen et Theodoram et Agatham secum versantes unaque cum ipsa ac Constantino patre laetantes cernebat. nam et ipse eas colebat ac diligebat, praecipue vero Agatham observabat, quod indefessa sollicitudine sedulaque patri, cum aegra valetudine uteretur, inserviret; eiusque imperator opera his qui a secretis erant ac magistratu praeerant senatumque gerebant praestanda munera significaret. videbaturque interpretis rationem habere; nec videbatur solum, sed et exploratum erat, eiusque re ipsa munia partesque explebat.

41. Quod autem magister ac scholarum domesticus Bardas Phocas viribus destituebatur, iamque effeta erat aetate ac gravi senectute, eum Porphyrogennetus officio movens eius loco domesticum praeficit Nicephorum patricium ac ducem Asiaticorum eiusdem filium carissimum, virum scilicet multis diversisque praeliis re praeclare gesta spectabilem belloque fortissimum habitum. is suavi blandoque alloquio ordines componens adversus hostes Agarenos signa movebat, ea felicitate ut nihil non auderent, ac velut in patrio solo in hostium agris stativa habere non

P 287 καὶ μήτε κρυπτομένων ἢ βακχευόντων ἢ ὑποστρεφόντων, ὡς ἔθος ἦν αὐτοῖς· ἀλλὰ πάντες τομῶς ἐχώρουν πρὸς τοὺς πολεμίους ταῖς ἀσπίσι περιφραξάμενοι καὶ τοῖς δόρασιν ἀμυνόμενοι καὶ κατὰ κράτος τοὺς Ἀγαρηνοὺς ἀφανίζοντες. καὶ ἦν ἰδεῖν θάμβος καὶ ἔκπληξιν τοῖς ὁρῶσιν τὸν νικητὴν Νικηφόρον τὰς παρατάξεις καὶ δυνάμεις καὶ τὰ φοῦλκα τοῦ ἀθέου Χαμβαδᾶ συγκόπτοντα καὶ ἀπορραπίζοντα, καὶ τὴν τύχην τοῦ νικητοῦ ἀριστέως θαμβεῖσθαι καὶ μεγαλύνειν τοῖς ὁρῶσιν, ὡς τὰς πόλεις καὶ κώμας καὶ χώρας
B πυρὶ κατατεφρῶσαι καὶ αἰχμαλώτους ἄγειν καὶ ὑποσπόνδους τῇ βασιλείᾳ Ῥωμαίων προσφέρειν. καὶ δὴ πρὸς τὸν πιστὸν Κωνσταντῖνον ἀφικόμενος ἐπαίνων καὶ τιμῶν παρ' αὐτοῦ ἠξιώθη, οἵων ἐν τοῖς πάλαι χρόνοις οἱ Ῥωμαίων στρατηγοὶ ἂν ἐκτήσαντο.

42. Ὁ δὲ ἄναξ Κωνσταντῖνος μηδὲν τῶν πατρῴων αὐτοῦ οἰκοδομημάτων συγχωρῆσαι πεσεῖν, οὐδὲ τοῦτο τὸ μέγα λουτρόν, τὸ παρὰ Λέοντος τοῦ πατρὸς αὐτοῦ παρασκευασθὲν εἰς τὰ Μαρίνης εὐρύχωρόν τε καὶ τῆς καθ' ἡμᾶς πολιτείας θαῦμα, τὸ πρότε-
C ρον παροραθὲν ὡς ἀμελείᾳ καὶ ῥαθυμίᾳ πρὸς πᾶσαν ἀμορφίαν καὶ ἀκοσμίαν ἐλάσαι καὶ μηδὲν ἄλλο αὐτὸ σκοπεῖσθαι ἢ θεμελίους. οὗτος ὁ Κωνσταντῖνος τοῖς πατρικοῖς ἔργοις ὡς οἰκείοις ἐπιγαννύμενος καὶ τερπόμενος ἀνακαινισμὸν ἐν αὐτῷ ἐπιδίδωσιν, αὖθις ἀποκαθιστῶν, οὐ μόνον εἰς τὸν πρότερον κόσμον ἀναφέρων ἀλλὰ

14 συγχωρήσας? 18 αὐτοῦ?

abnuerent, ac neque latitarent aut baccharentur vel (ut ante sueverant) pedem referrent, aut deserta militia ad propria redirent, sed omnes vivido impetu scutis muniti hastisque pugnantes in hostes irruerent ac Agarenos penitus profligarent. eratque videre rem stupendam omnique maiorem admiratione, Nicephorum victorem acies et turmas cuneosque impii Chambadae concidere atque fundere, praeclarique victoris ac pugilis fortunam cunctos suspicere ac magnifice efferre, quippe cum urbes oppidaque et vicos et arces subiectis flammis combureret, captivosque duceret, ac foederatos Romano imperio offerret. porro ad fidelem Constantinum reversus ab expeditione easdem laudes honoresque ab eo consecutus est, quibus priscis temporibus veteris Romae imperatores praetoresque triumphi ritu donabantur.

42. Operam dedit imperator Constantinus ne ullum paternorum aedificiorum ruinam faceret. in his magnum ipsum balneum, quod Leo eius pater in Marinae aedibus vastissimum sane reique Romanae miraculum struxerat, cum prius neglectum fuisset, eoque neglectu sartumque tectum servandi incuria ornatum omnem ac quicquid decoris erat amisisset, prorsusque deformatum esset, nec in eo praeter rudera ac fundamenta quicquam aliud exstaret, Constantinus hic, qui paternis aeque ac suis operibus gloriaretur ac delectaretur, instaurandum constituit, ita rursus reparans ut non modo priorem ornatum referret sed et structura

πλέον κρείττονα δημιουργήσας, πάντοθεν περικαλλύνων καὶ τὴν προτέραν ἀποδιδοὺς τοῖς λουομένοις εὐπάθειαν. τοῦτο καὶ ξένους εἰς θάμβος εἰσάγει καὶ τοὺς ἐνδίκους ἐκπλήττει.

43. Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος πατρίκιον Θεόδωρον D τὸν Βελωνᾶν λεγόμενον ἔπαρχον καὶ πατέρα πόλεως προχειρίζεται, ἄνδρα ἱκανὸν καὶ λόγιον, πρὸς τοὺς νόμους πολυπειρίαν καὶ εὐφυΐαν ἔχοντα· καὶ πρὸς τὸ κοινωνὸν τροφὴν ἀνήροτον τοῖς δικαζομένοις τῇ εὐκοσμίᾳ καὶ δικαιολογίᾳ αὐτοῦ παρεῖχε.

44. Τὸν δὲ πατρίκιον καὶ παρακοιμώμενον Βασίλειον ὁ πορφυρογέννητος κατὰ τοῦ ἀθέου Χαμβαδᾶ μετὰ ἐκστρατείας καὶ δυνάμεως λαοῦ καὶ πολλῆς ἐξοπλίσεως ἀποστέλλει. καὶ δὴ ταῖς ἐκείνου θεοπνεύστοις βουλαῖς καθοπλισθείς, τῆς βασιλικῆς οἰκίας P 288 καὶ τοῦ Βυζαντίου ἀπάρας, πρὸς τὰς τῶν ἀρνητῶν τοῦ Χριστοῦ γίνεται χώρας, καὶ πρῶτα μὲν πόλιν πορθεῖ Σαμοσάτων, Σύροις πάλαι κατῳκισμένην καὶ πρὸς τὴν ὄχθαν τοῦ Εὐφράτου παρακειμένην, δυσπόρθητον οὖσαν καὶ πολυάνθρωπον καὶ πλούτῳ πολλῷ ἐπιβρίθουσαν. ταύτῃ τὰ τοῦ στρατοῦ ἐχώρει, καὶ κατ' αὐτῶν τῶν βαρβάρων ἡγεμονεύοντος· οἵτινες τῇ συντρόφῳ ἀλαζονείᾳ ἐπαιρόμενοι ἀμαχὶ τὰ τῆς νίκης αὐτῶν ἐφρυάττοντο. ἐπεὶ δὲ οἱ βάρβαροι τῷ Ῥωμαϊκῷ στρατῷ συνεδέθησαν, καὶ μηδὲ τὴν αὐτῶν ὁρμὴν φέρον- B

3 ἐνοίκους Combef.

magnificentia vinceret, undique illi ornatu quaesito pristinaque lavantibus reddita voluptate. quae res tum extraneis admirationem facit, tum civibus ac inquilinis stuporem iniicit.

43. Constantinus porro imperator Theodorum patricium Belonam nuncupatum praefectum urbisque parentem praeficit, virum scilicet idoneum et eruditum, iurisque peritia ac nobili indole ingenioque egregie praeditum, quique rei civilis cura, recta ordinis constitutione iurisque dicundi aequitate iudicio contendentibus spontaneam escam ministraret.

44. Basilium vero patricium sacri cubiculi praefectum (accubitorem vocant) Porphyrogennetus adversus impium Chambadam cum exercitu militumque valida manu atque armorum ingenti apparatu mittit. ac sane divinis munitus illius consiliis, regia Byzantioque profectus, ad infidelium Christumque negantium fines applicat; ac primum quidem Samosatam expugnat, urbem olim a Syris exstructam atque ad Euphratis ripam positam, praesidio firmam tutamque, populi multitudine confertam multisque divitiis locupletissimam. adversum hanc belli incumbebat moles, ipsumque barbarorum ducem. porro barbari innata elati superbia certam sibi de Romanis pollicebantur victoriam, iisque infremebant. at ubi collatis signis pugna comminus conserta est, ne impetum quidem sustinere valentes in fugam versi, quo cuique liceret res suas in tuto ponere, eo certabant evadere. hinc victor Romanus miles mortuis spolia de-

τες εἰς φυγὴν ἐτρέποντο, καὶ σώζειν ἑαυτὸν ἕκαστος ὅπως δύναιτο ἠγωνίζετο, τότε σκυλεύονται μὲν οἱ νεκροί, δεσμοῦνται δὲ καὶ οἱ ζωγρηθέντες, καὶ λαφύρων πολλὴ γίνεται συναγωγή· καὶ ἅπαντα τὸ κοινὸν θέατρον καὶ ὁ θρίαμβος τοῦ ἱπποδρομίου ὑπεδέξατο.

45. Ὁ δὲ βασιλεὺς τὸν πατρίκιον Λέοντα τὸν υἱὸν Βάρδα μάγιστρον τοῦ Φωκᾶ στρατηγὸν εἰς Ἀνατολικοὺς ἀντὶ τοῦ ἀδελφοῦ αὐτοῦ Νικηφόρου προχειρίζεται, ἄνδρα ἄριστον καὶ πρὸς τοὺς Ἀγαρηνοὺς καὶ πολεμίους μαχιμώτατον. καὶ ἦν ἰδεῖν τοὺς
C αὐταδέλφους ὑπὲρ τῶν Χριστιανῶν ἀγωνιζομένους καὶ πρὸς τοὺς πολεμίους χωροῦντας καὶ κατασφάττοντας, καὶ τὴν αὐτῶν ὁρμὴν μὴ φέροντας.

46. Γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας καὶ φοβερὸς πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Θωμᾶ, ὥστε κατακαῆναι τὸν ἔμβολον τὸν ἀπερχόμενον πρὸς τὴν Σιδηρᾶν πόρταν. ὁ δὲ αὐτοκράτωρ τῇ πολλῇ αὐτοῦ ἀγαθότητι, καὶ ὡς οἰκεῖα ἔγγονα τοὺς πολίτας φιλῶν καὶ κηδόμενος, πάντας παρεθυμήσατο εἰς ἀνοικοδομὴν τῶν πυρ-
D καϊθέντων αὐτῶν οἰκημάτων· καὶ τὸν ἄνακτα οἱ πολῖται ὡς θεὸν δεύτερον καὶ εὐεργέτην ἐπῄνουν καὶ εὐχαρίστουν.

47. Τῶν δὲ Τούρκων ἐκστρατείας ποιησάντων κατὰ Ῥωμαίων, καὶ καταδραμόντων μέχρι τῆς πόλεως τῇ ἑορτῇ τοῦ ἁγίου πάσχα, καὶ ληϊσαμένων πᾶσαν Θρακῴαν ψυχὴν καὶ πραῖδαν πολλήν, ὁ βασιλεὺς εὐθὺς τὸν πατρίκιον καὶ δομέστικον τῶν Ἐξκου-

15 ἔκγονα?

trahere, eos qui vivi capti essent sub iugum mittere, amplissimasque manubias direpta urbe parare. ducta haec omnia in urbem ac triumphi specie per Circum traducta.

45. Ad haec imperator Leonem patricium Bardae Phocae filium magistrum, vice fratris sui Nicephori, Asiaticis legionibus ducem praeficit, virum sane optimum ac strenuum adversusque Agarenos ac imperii hostes bellicosissimum. eratque videre germanos Christianorum praesidio decertantes praeliaque moventes, factaque in hostes impressione eorum stragem dantes et iugulantes atque caedentes, cum illi eorum impetum non ferrent.

46. Sub id tempus haud longe ab aede S. Thomae sacra ingens formidolosumque excitatum incendium, ita nimirum ut quae ad portam Ferream tendit porticus igne absumpta sit. at imperator, pro summa sua benignitate, ac quod cives ut carissima pignora sic diligebat illorumque rebus paterne prospiciebat, cunctos consolatus est instauratis eorum aedibus, quas vorax flamma absumpserat; tantaque illa humanitate deliniti cives imperatorem velut fere deum alterum ac beneficum parentem laudibus celebrabant, gratiasque agebant.

47. Turcis porro, expeditione adversus Romanos suscepta, ad ipsam usque urbem per diem festum paschae excurrentibus, Thracesque, quotquot in eos incurrebant, captivos ducentibus, multamque prae-

βίτων Πόθον τὸν Ἀργυρὸν μετὰ τοῦ τάγματος αὐτοῦ καὶ τοῦ στρατηγοῦ τῶν βουκελαρίων καὶ τοῦ ὀψικίου καὶ τοῦ Θρακήση, κατὰ πόδας αὐτῶν περάσας, ἐξαπέστειλεν· οἳ τῇ εὐπροσδέκτῳ P 289 πρὸς θεὸν εὐχῇ τοῦ πορφυρογεννήτου νυκτὸς ἐπιπεσόντες κατέσφαξαν καὶ κατεπολέμησαν, λαβόντες τὴν πραῖδαν καὶ αἰχμαλωσίαν. αὐτοὶ δὲ ὑπὸ τῆς ἄγαν ἥττης καὶ τροπῆς αἰσχυνθέντες εἰς τὴν ἰδίαν γῆν ὑπέστρεψαν.

48. Ἄξιον γάρ ἐστιν ἐξειπεῖν καὶ τὸ φοβερὸν ἐκ θεοῦ φανὲν σημεῖον καὶ προάγγελμα τῆς μεταθέσεως Κωνσταντίνου τοῦ πορφυρογεννήτου. φασὶν γὰρ εἰς τὴν γέννησιν τοῦ ἄνακτος ἀστέρα λαμπρὸν κομήτην φανῆναι ἡμέρας τεσσαράκοντα, νῦν δὲ πάλιν εἰς τὴν νόσον καὶ ἔξοδον αὐτοῦ ἀστέρα κατ᾽ οὐρανὸν δειχθῆναι, θο- B λερὸν δὲ καὶ ἀμαυρὸν φῶς ἔχοντα, καὶ τοῦτον ἐπὶ ἱκανὰς ἡμέρας φαινόμενον, δεικνύοντα τῇ κρείττονι δυνάμει δεδημιουργημένον τὸν πορφυρογέννητον Κωνσταντῖνον. καὶ τοῦτο ἴσασι πολλοὶ τῶν εὐγνωμόνων καὶ τὸ θαῦμα τοῖς οὐκ εἰδόσι παραπεμψαμένων, ἵνα καὶ τὰ στοιχεῖα τὸ τοῦ πορφυρογεννήτου συμπενθήσῃ τέλος.

Ἀλλ᾽ εἰ καὶ τὰ πλείω τῶν βασιλικῶν πρακτέων διαφεύγει τὸν νοῦν, ἓν δὲ τοῦτο τὸ τελευταῖον τοῖς εἰρημένοις προσθεὶς τὸ τοῦ λόγου πέρας ἀφίξομαι. (49) ἐτρέφετο πόθος καὶ ἔφεσις τῷ ἄνακτι τῷ ὄρει τοῦ Ὀλύμπου καταλαβεῖν καὶ τοὺς ἐν αὐτῷ ἁγίους C πατέρας ἐπόψεσθαι καὶ τῶν τιμίων αὐτῶν ἐπαπολαῦσαι εὐχῶν καὶ

8 γάρ] δέ?

dam abigentibus, mox imperator Pothum Argyrum patricium ac excubitorum domesticum cum sua legione ducisque bucelariorum et Opsicii ac Thracesiorum misit, qui traiicientes e vestigio eos insequerentur. quamobrem deo acceptis Porphyrogenneti communiti precibus, facta noctu in hostem impressione eorum late stragem dederunt. expugnatis illorum castris praeda recepta atque captivi. Turci vero ingenti ea clade ac fuga confusi ad sua reversi sunt.

48. Operae pretium vero ut et tremendum ex deo ostensum signum ac Constantini Porphyrogenneti migrationis praenuntium exponamus. aiunt namque in illius ortu stellam cometem splendidam ad dies quadraginta luxisse; nuncque iterum sub morbi tempus vitaeque exitum stellam in caelo apparuisse turbido atque obscuro iubare, inque dies multos conspicuam fuisse, hoc nempe praesignantem, Constantinum Porphyrogennetum potiore virtute ac numine conditum esse. sicque se rem habere viri plures probi novere, ac miraculum ad eos qui nescirent transmisere, ita ut etiam elementa Porphyrogenneti finem pari luctu prosequerentur.

Verum quanquam pleraque imperatoris gesta animum fugiunt, ubi unum hoc extremum superius dictis adiecero, orationi finem imponam. (49) incesserat imperatorem cupido ingensque desiderium petendi Olympum montem, et ut sanctos patres illic degentes inviseret, seque vene-

τῇ μεταβάσει τῶν τόπων καὶ τῇ τῶν ἀέρων εὐκρασίᾳ τὸ ὑγιὲς αὐτῷ περιποιήσασθαι· ὑπεσμύχετο γὰρ αὐτῷ νόσος κρυφία, δι' ἣν καὶ ἰατρικαῖς ἐπιμελείαις ἔκδοτος ἐδείκνυτο, καὶ τῆς πρὸς τὸν Ὄλυμπον ἐξελεύσεως ἐδεῖτο τὸ μάλιστα. τούτῳ τῷ πόθῳ κάτοχος γεγονὼς αὐτίκα τοῦ δρομωνίου ἐπέβαινεν καὶ πρὸς χώρας τῶν Βιθυνῶν ἐπεφοίτα καὶ πρὸς Πρίετον, ἥτις Πραίνετος παρὰ τῶν ἐγχωρίων ἐπωνόμασται, ἔκ τινος πατρίου θεοῦ Βιθυνῶν τὴν κλῆσιν
D ἐπιτεθεῖσα. ἐκεῖθεν πρὸς Νικαίαν ἐφίσταται, πόλιν ἀρχαιόπλουτον καὶ πολύανδρον. ἀπὸ δὲ ταύτης εἰς φροντιστήριον μοναχῶν πρὸς τὰς ἐπορείας κείμενον ἀφίκετο τοῦ ἐκεῖσε δοξαζομένου μάρτυρος Ἀθηνογένους· καὶ διὰ κιναβάρεως τοῦ πατρὸς αὐτοῦ γράμματα ὁ ἐκεῖσε καθηγουμενεύων ὑπέδειξε τῷ ἄνακτι. φασὶ γὰρ ὅτι Λέων ὁ εὐσεβὴς βασιλεὺς ἐκεῖσε διερχόμενος, τὴν πορείαν ποιούμενος πρὸς τὰς τοῦ Ὀλύμπου ἀκρωρείας αἰτήσεως χάριν τοῦ δοθῆναι αὐτῷ υἱὸν διάδοχον τῆς βασιλείας αὐτοῦ, καὶ ὁ τηνικαῦτα ἡγούμενος τῆς μονῆς Πέτρος προέφησεν αὐτῷ υἱὸν γεννῆσαι διάδοχον τῆς βασιλείας αὐτοῦ· καὶ αὐτὸς μέλλει ἐξελθεῖν εἰς τὸν
P 290 Ὄλυμπον εἰς τὰ τέλη τοῦ βίου αὐτοῦ. τὴν δὲ γραφὴν ὁ πορφυρογέννητος ἰδίαν εἶναι Λέοντος τοῦ πατρὸς αὐτοῦ γνωρίσας ἀληθινὴν ἔφησεν εἶναι τὴν πρόρρησιν τοῦ μοναχοῦ. ἀπὸ δὲ ταύτης πρὸς τὰς ἐπορείας τοῦ Ὀλύμπου γίνεται, Ὀλύμπου ἐκείνου οὗ καὶ Μυσίων πρόπαλαι γραφῇ παραδέδωκεν, Μυσῶν τὸ παλαιὸν ἐν τούτῳ

10 ὑπωρείας? 12 καθηγεμονεύων? 21 ὑπωρείας? ὃν καὶ Μύσιον πρόπαλαι γραφὴ?

rabilium precum illorum amplo commeatu communiret, nec non ut locorum mutatione auraque leniore aegrae valetudini remedium quaereret. mussitabat enim in eo occulta quaedam aegritudo, cuius etiam curandae causa medicorum se curae addixerat ac ad Olympum exire maxime opus habebat. hoc desiderio ac amore captus confestim praetoriam minorem celocem conscendit, venitque ad Bithynorum fines; et ad Prietum (Praenetus locus vocatus est ab indigenis, eam nactus appellationem a quodam Bithynorum tutelari deo), inde Nicaeam applicat, urbem olim opulentam ac incolis confertam. tum ad monasterium venit, quod ad montis ascensum situm est ac Athenogeni martyri illic cultum habenti sacrum est. ibi loci praepositus illius patris diploma rubrica consignatum imperatori ostendit. aiunt enim piae recordationis Leonem imperatorem illac transeuntem, atque ad Olympi verticem iter habentem, ut a deo filium imperii haeredem votis impetraret, a monasterii tunc praefecto Petro nomine audivisse fore ut filium imperii successorem susciperet, et ut is idem sub vitae exitum Olympum pariter peteret. itaque Porphyrogennetus, propria patris sui agnita scriptura, veram esse ait monachi vaticinationem. inde ad Olympi montosa transit, Olympi, inquam, quem et Mysorum censui (nempe Mysis olim in eo sedes haben-

οἰκούντων. ἐκ δὲ τούτων ἐπὶ τὰς παραλογὰς καὶ δυσκολίας καὶ ἑλικοειδεῖς καὶ κρημνώδεις ἀναβάσεις μόλις διελθὼν ὁ ἄναξ, ταῖς κέλλαις τῶν ἱερῶν πατέρων καταλαβών, οὓς ἰδὼν κατασπασάμενος καὶ τὰς τούτων ψυχωφελεῖς εὐχὰς ἐφόδιον λαβὼν πρὸς τὴν Προῦσαν μετανίσταται, πόλιν ἀνδρὸς τὸ πάλαι Βιθυνῶν βασιλεύσαντος, ὃς ἀνδραγαθίας καὶ πολέμων τῶν τηνικάδε βασιλέων ὑπεραρθέντων B σύμβολον μνήμης τὴν τοιάνδε πόλιν ἐξειργάσατο. ἧς οὐ πολλῷ ἄποθεν καὶ ὑποβρύχιος γέγονε, θερμῶν ἀναδόσεις βλέπων, ἐν οἷς μῦθοί φασιν Ἡρακλῆν κατὰ ζήτησιν Ὕλη περιπλανώμενον τὸν ἐξ Ὕλου φόνον τῷ λύθρῳ ἐναποσμήξασθαι. (50) ὁ δὲ ἄναξ παρὰ τῶν ἱερῶν πατέρων διδαχθεὶς ἐν τῇ κορυφῇ τοῦ Ὀλύμπου ἀσκητὴν εἶναι σημειοφόρον γέροντα ἐν σπηλαίῳ, πόθῳ τῷ πρὸς αὐτὸν ἠπείγετο. καὶ δὴ θείᾳ ἐκλάμψει ὁ γέρων ἐμφανισθεὶς ὡς τοῦ βασιλέως πρὸς αὐτὸν ἀφικομένου, τῆς κέλλης αὐτοῦ ἀπιών, μετάνοιαν δὲ βαλών, τὸ εὐλόγησον ἔφησεν. ὁ δὲ βασιλεὺς ἐρωτήσας "τίς τε ὢν καὶ πόθεν καὶ πῶς καὶ ποῦ παραγίνῃ;" ἔφησεν C "τὴν πρόοδον τῆς βασιλείας σοῦ πρός με γνοὺς μᾶλλον πρὸς σὲ παραγίνομαι." ὁ δὲ θείαν ἀποστολὴν τὸν γέροντα ὑπονοήσας, τὰς τούτου εὐχὰς ἐφόδιον λαβὼν καὶ τὴν τῆς ζωῆς αὐτοῦ μετάστασιν μαθών, πρὸς τὰς κέλλας τῶν ἱερῶν πατέρων ὑπενόστησεν καὶ συνεστιαθεὶς αὐτοῖς τὸ τάχος πρὸς τὴν θάλασσαν κατῆλθεν. καὶ τοῖς πολλοῖς ἐλάνθανεν ὡς εἴη νοσῶν· ἔνδον δὲ κατεδαπα-

6 ὃς om P   9 Ὕλου?

tibus) pridem adscripsere. indeque vix tortuosis anfractuosis praeruptis ac quam difficillimis ad ascensum collibus superatis, ad sacrorum patrum cellas imperator evasit. quibus visis ac salutatis, eorumque salutarium precum commeatu munitus, Prusam commigrat, quam olim vir Bithynis imperans fortitudinis rerumque bello praeclare gestarum nobilioribus gentis regibus monumentum condiderat. in huius pene pomeriis ac suburbanis cum thermae occurrissent, iis lavit; quo loco ferunt fabulae Herculem, quaerendo Hylam circumquaque palantem, ex Hylae nece cruorem abstersisse. (50) interim admonent sacri patres, esse in Olympi summo vertice seniorem ascetam in spelunca signis effulgentem; quo ille nuntio hinc eius visendi desiderio excitatur. ac vero senior divina collustratus apparitione, quasi ad eum imperator venisset, relicta cella sua, facta reverentia (prone scilicet salutato) "benedic" ait. quaerit imperator quisnam tandem et unde et quomodo ac quo venerit. respondit ille "cum maiestatem tuam ad me venire cognoverim, ego potius ad te venio." tum imperator dei nutu seniorem ad se missum suspicatus, eiusque precibus communitus, cum vitae terminum sibi proximum adesse didicisset, ad sanctorum patrum cellas reversus est; ciboque cum illis recreatus cito ad mare descendit. nec eum aegrotare plerique noverant:

νᾶτο καὶ κατηνάλωτο ὑπό τε τοῦ κοιλιακοῦ νοσήματος καὶ τοῦ πυρετοῦ.

51. Ἀλλ' ὦ θνητῆς φύσεως νόμοι καὶ τύχης μεταβολαί, D πρὸς οἵους συνεπείγομαι καὶ ἐλαύνομαι θρήνους! ἐξ οὗ μεταβὰς καὶ κατευθὺ τείνας τὸν πλοῦν πρὸς τὴν βασιλίδα πόλιν κατέλαβεν, τῇ συνεχούσῃ νόσῳ κατατρυχόμενος καὶ βαλλόμενος. ἐπεὶ γὰρ ἡττᾶτο ὁ φοβερὸς βασιλεὺς παρὰ τῆς νόσου καὶ αἱ περὶ τοῦ ζῆν ἐλπίδες προεχώρουν, οὐκ ἦν ὅστις τὸν πορφυρογέννητον μὴ ἀπωλοφύρετο καὶ ἀπωδύρετο τὸν καλὸν ἄνακτα, τὸν γλυκύν, τὸν εὐπροσηνῆ, τὸν εὐπρόσιτον, τὸν γαληνόν, καὶ ὅσοις ἄλλοις χρὴ ὀνόμασι καλέσαι τὸν ἄνδρα πρὸς οὓς τῷ πόθῳ συνδέδεται. ἐπεὶ P 291 δὲ τὰ τελευταῖα πνέων ὡρᾶτο ὁ πορφυρογέννητος Κωνσταντῖνος, Ῥωμανὸν τὸν υἱὸν αὐτοῦ αὐτοκράτορα βασιλέα ἐποίησεν, παραδοὺς καὶ ὁρκώσας Ἰωσὴφ πατρίκιον καὶ πραιπόσιτον τοῦ διαφυλάξαι αὐτὸν τῇ αὐτοῦ ἐντρεχείᾳ καὶ πυκνώσει· καὶ γὰρ τοιοῦτος ἦν ὁ ἀνήρ, πυκνὸς καὶ ὀρθὸς καὶ πιστὸς καὶ πρὸς τὰ πολιτικὰ διοικήματα ἀετοῦ ταχύτερος, εἰς δὲ τὸ ἀπροσωπόληπτον καὶ εὐσεβὴς καὶ δίκαιος, ὡς τοιοῦτον ἕτερον μὴ γνωρίζεσθαι.

52. Αὐγοῦστα Ἑλένη σὺν καὶ τοῖς τέκνοις αὐτῆς καὶ τῷ πατρικίῳ καὶ παρακοιμωμένῳ Βασιλείῳ καὶ τοῖς κοιτωνίταις, ὡς ἑώρων τὸν ἄνακτα Κωνσταντῖνον ψυχορραγοῦντα καὶ συγκοπτό-B μενον, περιχυθέντες τῇ κλίνῃ κλαυθμοῖς καὶ ὀδυρμοῖς ἀμέτροις

18 ὡς om P

sed intus coeliaco morbo contabescebat febrisque ardoribus consumebatur.

51. At, o naturae mortalis leges fortunaeque vicissitudines, in quos luctus ac lamenta compellor! quo ex tempore recedens rectaque mari iter contendens urbem Augustam petiit, quo tenebatur, morbo deterente ac male afficiente. quod enim tremendus quondam imperator vi morbi maiore fatiscebat, iamque spes salutis abscesserant, nemo erat qui non eiulatu luctuque Porphyrogennetum prosequeretur, nemo qui regem optimum, dulcem, mansuetum, alloquio facilem, tranquillum serenumque, ac si qua eiusmodi nomina quis viro affectus adhibeat, non deplangeret ac lamentaretur. quoniam vero extremum iam spiritum Constantinus Porphyrogennetus trahere videbatur, Romanum filium imperatorem designat, eum etiam atque etiam Iosepho patricio ac praeposito commendans, adiuransque, qua pollebat prudentia ac solertia, ut res eius diligenti opera servaret incolumes. talis sane ille vir erat, catus ac prudens rectusque ac fidelis, publicisque rebus administrandis aquila pernicior, integritate iudicii, et ut nullius personam acciperet, pius ac iustus; qua probitate nemo par illi enituit.

52. Helena porro Augusta cum liberis Basilioque patricio et sacri cubiculi praefecto nec non cubiculariis, ubi imperatorem Constantinum animam agentem ac iam linqui viderunt, lecto circumfusi, immenso fletu

περιρραίνοντες ἀπωλοφύροντο καὶ ἀπωδύροντο τοιοῦτον δεσπότην, καὶ πλέον οὐδὲν ὠφέλησαν ἢ κωφοῖς καὶ κενοῖς δάκρυσι καταπλύνοντες τὸ βασιλικὸν ἐκεῖνο σῶμα. καὶ δὴ τὴν κλίνην αὐτοῦ ἀμφοτέρων περικυκλούντων καὶ ταῖς πολλαῖς οἰμωγαῖς κοπτομένων, καὶ πρὸς τὰ τέλη πάντη ὢν ὁ γλυκὺς καὶ πλουτοδότης βασιλεύς, χοροστασίαι ἁγίων καὶ δικαίων μοναχῶν τε καὶ μαρτύρων καὶ ἱεραρχῶν παρίσταντο, καὶ τὸ πανάγιον αὐτοῦ πνεῦμα χερσὶν ἀγγελικαῖς παρέθεντο. καὶ τάχιον τοῦτον ἀποσμήξαντες προέθηκαν ἐν τοῖς δεκαεννέα ἀκουβίτοις. καὶ ψαλμοῖς τοῦτον τελέσαντες παρευθὺ C *ἐξήγαγον, καὶ πρὸς τὴν Χαλκῆν ἀποθέντες, τελευταῖον ἀσπασμὸν ὁ ἀρχιερεὺς καὶ οἱ ἱερεῖς καὶ οἱ μάγιστροι καὶ οἱ πατρίκιοι καὶ ἡ πᾶσα σύγκλητος κατησπάζοντο· καὶ ὁ τῆς καταστάσεως, ὡς ἔθος ἦν, ἀνακράξας "ἔξελθε, βασιλεῦ· καλεῖ σε ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων," καὶ τοῦ πλήθους τοῦ ὄχλου βοὴν καὶ κωκυτὸν καὶ ὀδυρμὸν βαλλόντων, καὶ τοῦ τρίτου τοῦτο φωνήσαντος, παρευθὺ ἄραντες τὸν ἄνακτα ἐξήγαγον ἀπὸ τῶν βασιλικῶν δόμων ἐπὶ τὴν λεωφόρον, καὶ πρὸς τὸν ναὸν τῶν* D *ἁγίων ἀποστόλων ἔφερον, τῆς συγκλήτου πάσης προπεμπούσης, καὶ ᾄσμασι προπομπίοις τὴν ἔξοδον μεγαλύνοντες.* (53) *καὶ τί δεῖ λέγειν εἰς τὸν συνελθόντα λαὸν καὶ ὄχλον τῆς πολιτείας, τῶν μὲν ἀφ' ὕψους τὸ βασιλικὸν ἐκεῖνο σκῆνος κατοπτευόντων, τῶν δὲ πλησίον παραθεωρούντων, καὶ ἄλλων μὲν ἐξ οἰκοδομῶν καὶ*

8 παρέθετο P

ac eiulatu lacrimas libantes, herum talem ac dominum deplangebant ac lamentabantur; nihilque inde maioris frugis consecuti sunt quam ut mutis inanibusque lacrimis imperatoris corpus illud funusque proluerent. hinc inde itaque, eius lectum utrisque ambientibus multoque gemitu deplangentibus, cum prorsus in extremis esset dulcis ac locuples munerator Constantinus, adstiterunt sanctorum iustorumque et monachorum atque martyrum ac hierarcharum chori, suumque ille sanctum spiritum angelicis manibus commendavit; citiusque abstergentes in Novemdecim-accubituum exposuerunt; psalmisque ei defungentes confestim eduxerunt, ac in Chalce deposito supremum urbis episcopus et sacerdotes et magistri et patricii omnisque senatus osculum dederunt ac consalutarunt. tum ex more magister ceremoniarum alta voce atque clamore, "egredere, imperator; vocat te rex regum et dominus dominantium;" plebisque sublato clamore et gemitu longeque lugubri voce, ac cum tertio, quem dixi, inceptor pronuntiasset, confestim tollentes imperatorem e regiis aedibus eduxerunt, publicaque vehentes ad SS. apostolorum detulerunt, pompam comitante universo senatu, ac funebribus canticis magnifice viri exitum exornante. (53) quid vero attinet populi civiumque multitudo quanta confluxerit narrare? cum alii e sublimi regium illud tabernaculum adspectarent, alii e vicino obiter cernerent, alii e domorum altis cenaculis

οἰκημάτων μετεώρων καὶ ὑψηλῶν προκυπτόντων καὶ πρὸς τὴν θέαν τῆς κλίνης ἐπιρριπτόντων, τῶν δὲ κρυφίως μυρομένων καὶ στενα- P 292 *γμοῖς ἐγκαρδίοις κλονουμένων, καὶ ἄλλων ὀδυρμοῖς καταξαινομένων, καὶ ἄλλων τινῶν ὀξύτερον ἐπικωκυόντων, καὶ συνθλιβόμενοι καὶ ἀπολοφυρόμενοι τῷ κοινῷ δυστυχήματι, τινῶν δὲ καὶ τὰ δάκρυα κρουνηδὸν προχεόντων καὶ τὴν χρυσοκόλλητον κλίνην καταρδευόντων καὶ καταρραινόντων. ὡς δὲ τῷ ναῷ τῶν ἁγίων ἀποστόλων προσήγγισαν καὶ ἔσω τὸ βασιλικὸν δορυφορούμενον ἐφαίνετο σῶμα, ὁ πατρίκιος καὶ παρακοιμώμενος Βασίλειος τὸ πανάγιον* B *αὐτοῦ σῶμα ταῖς οἰκείαις, ὡς ἔθος τοῖς νεκροῖς ποιεῖν, λαζαρώσας, καὶ τοῦ τάφου ἤτοι τοῦ λάρνακος εὐτρεπισθέντος καὶ σηκωθέντος, κατέθετο μετὰ Λέοντος βασιλέως τοῦ πατρὸς αὐτοῦ. τὴν δὲ πατρικὴν ἑνότητα καὶ ἀγάπην οὐδὲ μετὰ θάνατον καὶ ταφὴν ὁ φίλτατος υἱὸς ἀπέστρεψεν.*

54. *Ἦν τῇ ἰδέᾳ ὁ πορφυρογέννητος Κωνσταντῖνος ὁ βασιλεὺς εὐμήκης τῇ ἡλικίᾳ, λευκὸς τῇ χροιᾷ ὡσεὶ γάλα, εὐόφθαλμος, χαροποιοὺς ἔχων ὀφθαλμούς, γρυπὸς ἤτοι ἐπίριν, μακρο-* C *πρόσωπος, ῥοδινός, μακροτράχηλος, τῇ ἡλικίᾳ ὄρθιος ὡσεὶ κυπάρισσος, εὐρὺς τοῖς ὤμοις, καλότροπος, προσηνὴς τοῖς πᾶσι καὶ ὡς τὰ πολλὰ δειλός, φιλοτράπεζος καὶ φίλοινος, ἡδὺς τοῖς λόγοις, καὶ τοῖς δώροις καὶ ταῖς ἀντιλήψεσι πλούσιος. οὗτος ἀπὸ τῆς γεννήσεως αὐτοῦ μέχρι θανάτου αὐτοῦ ἔζησεν χρόνους πεντήκοντα πέντε μῆνας δύο ἡμέρας . . . . . ἐτελεύτησεν δὲ μηνὶ Νοεμ-*

6 *κλίνην*] *ἐκείνην* P: cf. p. 296 A   11 *συκωθέντες* P

tantisper prospicientes in feralem lectulum oculos superne coniicerent, alii secum ipsi taciteque lugerent, ac cordis suspiriis quaterentur, alii gemitibus dilacerarentur, nonnulli altius quiritarentur, plangendo ac deflendo commune infortunium, alii ubertim torrentis instar lacrimas funderent, auroque compactam sandapilam illam largiore fletu adspergerent ac perfunderent. ubi ad SS. apostolorum venerandam aedem venerunt, sicque pompa elatum imperatoris funus in illud intulerunt, Basilius patricius ac sacri cubiculi praefectus suis ipse manibus, uti moris est defunctis, sanctissimum eius cadaver linteis institisque convolvens, tumuloque seu urna rite parata ac composita cum Leone eius patre imperatore in monumento condidit, ita sane ut unionem cum patre ac caritatem nec post mortem ac sepulturam carissima proles aversata sit.

54. Erat Constantinus Porphyrogennetus imperator procera statura, candido lactis instar colore, pulchris oculis ac gratiosis, aquilinus seu adunco naso, lata fronte, roseus, oblongo collo, recta corporis statura velut cypressus, latis humeris, probis moribus, in cunctos lenis ac fere subtimidus, epularum vinique amantior, eloquio dulcis, muneribus praemiisque largus. vixit ab ortu suo annos quinquaginta quinque, menses duos, dies ... mortuus est mensis Novembris die 15, indictione 3, anno a

βρίῳ πεντεκαιδεκάτῃ ἰνδικτιῶνος τρίτης, ἔτους ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ τετρακοσιοστῷ ἑξηκοστῷ ἐννάτῳ, καταλείψας αὐτοκράτορα τὸν Ῥωμανὸν καὶ Ἑλένην Αὔγουσταν τὴν μητέρα Ῥωμανοῦ.

ΒΑΣΙΛΕΙΑ P 293
ΡΩΜΑΝΟΥ
ΥΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ.

Ῥωμανὸς ὁ βασιλεὺς κατελείφθη αὐτοκράτωρ παρὰ τοῦ πατρὸς αὐτοῦ τοῦ πορφυρογεννήτου Κωνσταντίνου ἐτῶν ὡς εἴκοσι καὶ ἑνός, τοῦ πορφυρογεννήτου Βασιλείου ἐνιαυσιαίου ὄντος, ἅμα καὶ τῇ μητρὶ αὐτοῦ Ἑλένῃ καὶ Θεοφανῷ τῇ συνεύνῳ αὐτοῦ, μηνὶ Νοεμβρίῳ ἕκτῃ ἰνδικτιῶνος ἕκτης, ἔτους ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ τετρακοσιοστῷ ἑξηκοστῷ ἐννάτῳ· καὶ παρευθὺς τοὺς κοιτωνίτας καὶ ἀνθρώπους τοῦ πατρὸς αὐτοῦ πατρικάτα καὶ πρωτοσπαθαράτα τιμήσας καὶ ἐν ἑτέροις ἀξιώμασιν ὑπερβιβάσας καὶ δώροις καταπλουτίσας τῶν βασιλικῶν δόμων τοῦ παλατίου κατήγαγεν. ἐξελέξατο δὲ καὶ προέκρινεν παραδυναστεύοντας καὶ πρώτους τοὺς τῆς συγκλήτου Ἰωσὴφ πατρίκιον πραιπόσιτον καὶ δρουγγάριον τῶν πλωΐμων, ὅντινα καὶ μετὰ βραχὺ παρακοιμώμενον P 294
προανεβίβασεν, καὶ πᾶσαν ἐξουσίαν καὶ φροντίδα τοῦ ὑπηκόου

10 Κωνσταντίνου P, Βασιλείου margo 12 τρίτης margo Combef.

mundo condito 6469, relicto Romano imperatore atque Helena Augusta Romani matre.

IMPERIUM ROMANI
CONSTANTINI PORPHYROGENNETI F.

Romanus imperator a patre suo Constantino Porphyrogenneto imperii heres, summa rerum ei concredita, relictus est annos natus circiter viginti et unum (Basilio Porphyrogenneto unius anni puero) una cum matre Helena ac Theophanone coniuge, mensis Novembris die 6, indictione 6, anno a mundo condito 6469. mox vero patris cubicularios ac domesticos aulicos patricia ac protospathariorum aliisque maioribus dignitatibus auctos donisque locupletatos e palatii aedibus deturbavit. elegit vero ac cooptavit rerum gerendarum socios ac administros senatusque principes Iosephum patricium praepositum ac rei navalis drungarium; quem etiam haud ita post sacri cubiculi praefectum (id est accubitorem) provexit, omnemque in eum auctoritatem curamque gerendae rei publi-

ἀνατέθεικεν. τὸν δὲ πρωτοσπαθάριον Ἰωάννην λεγόμενον τὸν Χοιρινᾶν πατρίκιον καὶ μέγαν ἑταιρειάρχην προεβάλετο τοῦ φυλάττειν τὸν ἄνακτα ἀπὸ τῶν ὑποπτευομένων προσώπων. καὶ τὸν πρωτοσπαθάριον Σισίνιον τὸν ἀπὸ σακελλίου ἔπαρχον πόλεως ἐχειροτόνησεν, ἄνδρα λόγιον καὶ πρὸς τὸ κοινὸν ἐπιτήδειον, ὅντινα καὶ μετὰ βραχὺ πατρίκιον καὶ γενικὸν λογοθέτην προεβάλετο, καὶ ἀντ᾽ αὐτοῦ ἔπαρχον πόλεως τὸν πατρίκιον Θεόδωρον τὸν ἀπὸ
B *στρατιωτικῶν τὸν λεγόμενον Δαφνοπάτην ἐποίησεν· ὅστις Σισίνιος τῇ ἐπαρχίᾳ διέπρεψεν εὐνομίᾳ καὶ δικαιοσύνῃ καὶ τὸ ἱερὸν πραιτώριον κατηγλάϊσεν. καὶ ἦν ἰδεῖν παρισταμένων τῷ ἐκείνου βήματι, καὶ ἀποκρούων καὶ ἀπορραπίζων τὰς παλινδικίας καὶ παλιμβολίας τῶν δικαζομένων· καὶ δικαστὴς δι᾽ ἑαυτοῦ ἕκαστος τῆς δίκης τῷ ἠδικηκότι ἐγίνετο. ἀλλὰ καὶ συμπόνους τῷ ἐπάρχῳ ὁ αὐτοκράτωρ δέδωκε, τῇ ἐκλογῇ καὶ μαρτυρίᾳ Ἰωσὴφ πατρικίου καὶ παρακοιμωμένου καὶ τοῦ ἐπάρχου Σισινίου, Θεοφύλακτον ἀση-*
C *κρῆτιν τὸν λεγόμενον Ματζίτζικον καὶ Ἰωσὴφ σπαθαροκανδιδάτον καὶ κριτήν, ὅντινα λογοθέτην τοῦ πραιτωρίου ἐποίησεν· οἵτινες τῇ εὐβουλίᾳ τοῦ ἐπάρχου καλῶς τῇ πολιτείᾳ ἐνήργουν.*

2. *Χρὴ οὖν καὶ περὶ τῶν κοινῶν φροντίδων τοῦ ἄνακτος ἐξειπεῖν. εὐθὺς πρὸς πάντα ἀρχηγὸν Ῥωμαίων καὶ βασιλικὸν στρατηγὸν καὶ τῆς Βουλγαρίας καὶ τῆς δύσεως καὶ ἑῴας ἐθνῶν ἀποστελλομένων φιλικῶν γραμμάτων αὐτοῦ, πάντες τῇ τύχῃ καὶ*

21 καὶ τοὺς B. — ἑῴας ἐθνάρχας?

cae reiecit. Ioannem cognomento Chaerinam protospatharium patricium ac magnum hetaeriarcham praefecit, ut per eum eiusque curas cautum esset imperatori, si qui insidiarum illi suspecti essent. Sisinium protospatharium exsacellarium urbis praefectum dedit; quem ipsum brevi post patricium ac generalem logothetam constituit, eiusque loco Theodorum patricium e militaribus numeris, Daphnopatem nuncupatum, urbis praefectum creavit. hic porro Sisinius, quamdiu praefecti munere functus est, aequitate ac iustitia fulsit sacrumque praetorium egregie ornavit. videre erat, cum ad eius tribunal litigantes adstarent, recidivas lites seu controversias ex damnatis causis et mortuis dolosque ac versutias repellere ac procul amandare; hincque adeo sua quisque sponte illatae parti iniuriae iudex erat. quin et adiutores seu assessores urbis praefecto ab imperatore dati hi, Iosephi patricii et accubitoris urbisque praefecti Sisinii iudicio testimonioque probati, Theophylactus a secretis cognomento Matzitzicus, ac Iosephus spatharocandidatus iudexque, quem praetorii logothetam constituit. hi ambo, quibus urbis praefectum probe consiliis iuvabant, operam suam rei publicae bene collocabant.

2. Operae pretium igitur fuerit ut de publicis imperatoris curis disseramus. simul atque rerum summam adeptus est, ad Romanos omnes duces imperatorisque nomine praetores et Bulgariae et Occidentis Orientisque gentium principes amicitiae confovendae causa literas misit: iis

φιλίᾳ αὐτοῦ τοῦ αὐτοκράτορος κράτιστον ἀνύμνουν καὶ φιλικὰς σπονδὰς ὡμολόγουν. δεῖ οὖν καὶ περὶ τῶν πολιτῶν ἐξειπεῖν. ὁ D βασιλεὺς Ῥωμανὸς οὕτως ἐφίλησε τὴν ἐνεγκαμένην ὡς τὴν γεννησαμένην, καὶ ἐν αὐτῇ γένη περὶ πολλοῦ ἐποιήσατο. διά τοι τοῦτο καὶ τὰ εὐγενῆ καὶ καθαρὰ τῶν γενῶν ποιεῖται δι᾽ ἐκλογῆς, καὶ οὓς μὲν ἀξιωμάτων καταλαμπρύνει τιμαῖς, οὓς δὲ μεγαλοπρεπέσι φιλοτιμεῖται δωρεαῖς. ἔσθ᾽ ὅτε καὶ συνεστίους ποιούμενος, ἀργύρια παρέχων, τὸ φίλτρον μᾶλλον ἐνηύξει καὶ ὑπανέφλεγεν, καὶ τὴν ἐκείνων εὔνοιαν ἀντὶ πολλῶν φρουρῶν καὶ φυλάκων προέκρινεν.

3. Τὰς δὲ ἀδελφὰς αὐτοῦ Ζωὴν καὶ Θεοδώραν καὶ Ἀγάθην P 295 καὶ Θεοφανὼ καὶ Ἄνναν ἐκ τῶν βασιλικῶν δόμων εἰς τὰ Κανικλείου, ἐν οἷς Σοφία ἡ Αὐγοῦστα ἡ τοῦ Χριστοφόρου καὶ τοῦ βασιλέως ἦν ἀποκεκαρμένη μοναχή, κατήγαγεν καὶ μοναχὰς ἀπέκειρεν, πολλὰ καὶ τῆς Ἑλένης τῆς μητρὸς Ῥωμανοῦ καὶ αὐτῶν ἀπολοφυρομένων καὶ ἀποκλαιουσῶν, καὶ τῇ χειρὶ παρ᾽ ἀλλήλων σφιγγουσῶν καὶ τῷ τραχήλῳ ἐπικειμένων, πλέον οὐδὲν ὠφέλησαν ἢ κωφοῖς καὶ κενοῖς δάκρυσι. πάλιν δὲ αὐτὰς μετὰ διίππευσιν ἡμερῶν ἀπ᾽ ἐκεῖσε ὁ αὐτοκράτωρ μετέθηκεν, καὶ τὴν μὲν Ζωὴν καὶ Θεοδώραν καὶ Θεοφανὼ εἰς τὰ Ἀντιόχου ἐκλήρωσεν, τὴν B Ἀγάθην εἰς τὸ ἱδρυνθὲν καὶ κατασκηνωθὲν φροντιστήριον παρὰ Ῥωμανοῦ τοῦ τηνικαῦτα βασιλεύσαντος καὶ πάππου τοῦ αὐτοκρά-

1 post αὐτοῦ Combefisius συγχαίροντες. 21 εἰς] καὶ Ἄνναν εἰς?

acceptis, gratulari omnes imperatoris fortunae eiusque sibi amicitiae nomine, optimum celebrare, pacisque cum eo foedera firmare. at neque de civibus praetereunda narratio est. Romanus imperator sic ut parentem patriam diligebat, atque in ea nobiles familias pluris faciebat. idcirco etiam antiquae puraeque nobilitatis instituto delectu, nobilium alios dignitatum honestare honoribus, alios magnificis donare muneribus, quandoque etiam ad mensam adhibere, erogataque pecunia amoris vim magis adaugere ac incendere; quaque illi benevolentia ipsum prosequebantur, multae stipatorum ac satellitum turbae praeferebat.

3. Sorores Zoen Theodoram Agatham Theophanonem Annamque aula detrusas ad Caniclii aedes, ubi Sophia Augusta Christophori imperatoris uxor tonsis crinibus monacham agebat, ipsas quoque sanctimonialium ritu capillis multavit; ac quanquam multis Helena matre sororibusque rei facinus deplorantibus largeque quiritantibus, cum se illae mutuo adstringerent et collo aliae aliis prope haererent, nihil amplius tragico illo spectaculo consecutae sunt quam ut mutis ac inanibus lacrimis defungerentur. iterum vero post dierum aliquot spatium inde amotas alio transtulit; ac Zoen quidem et Theodoram et Theophanonem Antiochi monasterio addixit, Annam vero ad monasterium a Romano tum impera-

τορος ἀπέστειλεν· καὶ διωρίσατο χορηγεῖσθαι αὐτὰς ἃ καὶ ἐν τῷ παλατίῳ ἐδίδοντο.

4. Τὸν δὲ Νικηφόρον καὶ δομέστικον τῶν σχολῶν τὸν τοῦ Φωκᾶ μάγιστρον ἐτίμησεν καὶ κατὰ τῶν ἀρνητῶν τοῦ Χριστοῦ ἐν τῇ ἑῴᾳ ἐξέπεμψεν· καὶ τὸν ἀδελφὸν αὐτοῦ πατρίκιον τὸν Λέοντα στρατηγὸν προεβάλετο, ὅντινα καὶ μετ' οὐ πολὺ μάγιστρον καὶ δομέστικον τῆς δύσεως ἐποίησεν. καὶ ἦν ἰδεῖν τὸν ἄνακτα εὐ- C φραινόμενον, καὶ ἐν κυνηγίοις καὶ θήραις δι' ὅλου ἀγροδιαιτοῦντα, ὡς τὸν βασιλικὸν δόμον πάντη ἀποστρεφόμενον καὶ τὴν φροντίδα τοῦ στρατοῦ τοῖς αὐταδέλφοις καταπιστεύσαντα, αὐτὸς ἔχαιρεν καὶ ἠγαλλιᾶτο τοῖς κυνηγίοις ἔξω τοῦ Βυζαντίου, μετὰ τῶν ὁμηλίκων καὶ κολάκων καὶ κακοσυμβούλων μαστρωπῶν συναναστρεφόμενος.

5. Τί δὲ ἂν εἴπῃ τις περὶ τῆς ἀοκνίας καὶ εὐθύτητος καὶ ἀνδραγαθίας ἀνδρίας τε καὶ ἀγαθότητος τοῦ ἄνακτος; ἐν μιᾷ ἡμέρᾳ καὶ ἐν τῷ ἱππικῷ καθεσθεὶς καὶ τῇ συγκλήτῳ συνεστιαθεὶς D καὶ τὴν δόσιν τῶν ἀργυρίων παρασχών, καὶ τῇ δείλῃ ἐν τζυκανιστηρίῳ σφαιρίσας μετὰ τῶν δοκίμων καὶ ἐμπείρων καὶ πολλάκις τούτους νικήσας, εἰς μεταστάσιμον εἰς Ἀνωράτας μετέβη, κἀκεῖσε θηρεύσας παμμεγέθεις χοίρους τέσσαρας καὶ κυνηγήσας πρὸς τὰ βασίλεια τῇ ἑσπέρᾳ ἀντεπέρασεν. ἦν γὰρ τῇ ἡλικίᾳ νέος, σφριγῶν τῷ σώματι, σιτόχροος, εὐόφθαλμος, ἐπίριν, ῥοδινοπρόσω-

19 fort. Ὁνωρώτας. Combef.

tore avoque pridem conditum atque exstructum misit, et ut eandem atque in palatio annonam vitaeque commeatum consequerentur constituit.

4. Nicephorum Phocam scholarum domesticum magistri dignitate ornavit atque adversus infideles Agarenos in Asiam misit. eius quoque fratrem Leonem patricium exercitus ducem praetoremque constituit, quem etiam brevi post magistrum ac Occidentis domesticum creavit. vidissesque imperatorem genio indulgere, ducendisque canibus ac feris insequendis tempus omne ruri terere, nt qui regiam penitus aversaretur, inque duos, quos diximus, germanos omnem exercitus curam exonerasse. gaudio itaque dies agebat, extraque Byzantium cum aequalibus, palponibus maleque consultis viris ac ganeonibus, venatu totus gestiebat.

5. Quidnam vero quis dicat de imperatoris diligentia rectique studio et fortitudine bonaque indole? uno die cum in Circo sedisset, et cum senatu epulatus esset, ac pecunias elargitus esset, subque vesperam in sphaeristerio cum peritis pilaque probatis lusisset, nec semel aut iterum victor exisset, ad Anoratas superato freto transibat, captisque ibi quattuor praegrandis molis apris, ac venatione functus, sero in regiam iterum commeabat. erat enim aetate iuvenis, vegeto corpore ac luxuriante, triticei coloris, pulchris oculis, naso adunco, roseo vultu, gratio-

πος, χαροποιὸς καὶ γλυκὺς τοῖς ῥήμασιν, ὄρθιος τῇ ἡλικίᾳ ὡσεὶ κυπάρισσος, εὐρὺς τοῖς ὤμοις, ἥσυχος καὶ προσηνής, ὡς πάντας θαμβεῖσθαι καὶ ἐκπλήττεσθαι τὸν ἄνδρα. συνέχαιρεν δι᾽ αὐτὸν ἡ πολιτεία ὡς εὐτυχοῦντα καὶ τῶν ἐθνῶν κρατοῦντα. καὶ τῷ P 296 Βυζαντίῳ πλούσιαι αἱ σιτήσεις καὶ αἱ τροφαὶ χορηγούμεναι.

6. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς καὶ ἕτερον υἱὸν μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ ἀπεγέννησεν, Κωνσταντῖνον τοῦτον ὀνομάσας. καὶ [οὐ] μετ᾽ οὐ πολὺ στέφεται παρὰ Πολυεύκτου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς ἁγίας Σοφίας. ἡ δὲ Αὐγοῦστα Ἑλένη ἐν τῷ παλατίῳ οὖσα κλινήρης καὶ συναγαλλομένη τῷ ἄνακτι, καὶ ἐπὶ ἱκανοὺς χρόνους ἀρρωστοῦσα, εὐσεβῶς τέθνηκεν κατὰ τὴν ἐννεακαιδεκάτην τοῦ Σεπτεμβρίου μηνός· καὶ ταύτην βασιλικῶς τιμήσας, καὶ ἐν τῇ χρυσοκολλήτῳ καὶ διὰ μαργαριτῶν καὶ λίθων κλίνῃ τεθεῖσα, τῆς συγκλήτου προπεμπούσης, ἐν τῷ μοναστηρίῳ B τῷ παρὰ τοῦ πατρὸς αὐτῆς Ῥωμανοῦ βασιλέως συσταθέντι, τῷ ὄντι εἰς τὸ Μυρέλαιον, θάπτεται ἐν λάρνακι πλησίον καὶ σύνεγγυς τοῦ πατρὸς αὐτοῦ.

7. Τὸν δὲ μάγιστρον καὶ δομέστικον τῶν σχολῶν Νικηφόρον τὸν τοῦ Φωκᾶ ὁ ἄναξ ὁ χρηστός, ὁ ἡδύς, ὁ προσηνής, καὶ ὅσοις ὀνόμασι χρὴ καλεῖσθαι καλοῖς καὶ τὸν ἄνδρα ὀνομάζειν, μετὰ ἐκστρατείας καὶ δυνάμεως πολλῆς καὶ ἐξοπλίσεως καραβίων πολεμικῶν καὶ ὑγροῦ πυρὸς εἰς Κρήτην διωρίσατο ἀπελθεῖν· οἱ γὰρ Κρητικοὶ πολλὰ δεινὰ καὶ κακὰ καὶ αἰχμαλωσίας καθ᾽ ἑκάστην εἰς τὴν Ῥωμαίων γῆν ἐποιοῦντο, ἀφ᾽ ὅτου ταύτην τὴν μεγάλην C

sus ac suavis eloquio, statura rectus quasi cypressus, latis humeris, quietus ac lenis, ut omnes admirarentur ac tantas viri dotes stuperent. congratulabatur civitas eius gratia, ut cui bene ac prospere cederet gentiumque victor existeret; quod denique Byzantio copiosas annonas sufficeret, praestoque solandae civium indigentiae cibos ministraret.

6. Suscepit Romanus imperator, ubi iam pater vivis excesserat, alium filium, cui Constantini nomen inditum. is brevi post a Polyeucto patriarcha in S. Sophiae ambone Augustali corona donatus est. Helena Augusta in palatio lecto decumbens, filioque imperatori congaudens ac diu morbo conflictata, mensis Septembris die decimo-nono pie diem obiit. huius funus Romanus imperator regio more elatum, inque auro oblita sandapila gemmisque ac lapillis interstincta positum, senatu deducente, in monasterio a patre ipsius Romano imperatore exstructo, quod est in Myrelaeo, in loculum eius ipsius urnae iuxta positum intulit.

7. Porro Nicephorum Phocam magistrum ac scholarum domesticum imperator, mitis ille et suavis et mansuetus, ac si quid aliud praeclarum est quo is nominari possit, ingenti fretum exercitu ac carabiorum copiosa classe igneque Graeco instructum in Cretam proficisci statuit. Cretenses namque damna multa ac mala quotidie Romanis inferebant, captivosque ac praedas abigebant, quo ex tempore vastam eam insulam suae

νῆσον ἐπόρθησαν. ἐπὶ γὰρ Μιχαὴλ τοῦ Ἀμορραίου τοῦ πατρὸς Θεοφίλου ταύτην ἐκράτησαν, καὶ τῶν στρατευμάτων εἰς τὴν στάσιν καὶ τυραννίδα τοῦ Μωροθωμᾶ τοῦ συντρόφου τοῦ Μιχαήλ (καὶ γὰρ ἐπὶ τρισὶ χρόνοις σχεδὸν καὶ πλεῖον τὴν Θρᾳκικὴν καὶ Μακεδονικὴν ἐκράτησεν ὁ τύραννος) εὐκαιρίαν εὑρόντες οἱ ἀπὸ Σπανίας ἀνελθόντες Σαρακηνοὶ μετὰ πολλοῦ στόλου πολεμικῶν καραβίων κατέσχον ταύτην, ὡς εἶναι τὴν τούτων διακράτησιν καὶ κατάσχεσιν ἕως τῆς ἡμέρας ἧς ἐπορθήθησαν παρὰ τοῦ μαγίστρου καὶ δομεστίκου Νικηφόρου τοῦ Φωκᾶ ἔτη ἑκατὸν πεντήκοντα
D *ὀκτώ.* (8) *ὅθεν ὁ αὐτοκράτωρ Ῥωμανὸς ζήλῳ θείῳ κινηθείς, τῇ συμβουλῇ καὶ εὐβουλίᾳ τοῦ παρακοιμωμένου Ἰωσήφ, ἐκ παντὸς τόπου ναῦς καὶ πλοῖα πολεμικὰ συναθροίσας μετὰ ὑγροῦ πυρὸς καὶ ἐπιλέκτου στρατοπέδου Θρᾳκικῶν Μακεδονικῶν καὶ Σθλαβησιάνων εἰς Κρήτην ἐκπέμψαι ἔδοξεν. ἐκ δὲ τῆς συγκλήτου οἰκείων δούλων αὐτοῦ ἐδυσχέραινον περὶ τῆς ἐκστρατείας τῆς Κρήτης, ἀναμιμνήσκοντες τὸν ἄνακτα τῶν ἐπὶ τῶν παρελθόντων βασιλέων ἐξόδων καὶ καινοτομιῶν καὶ χρημάτων ἀπείρων κατακενωθέντων καὶ μηδὲν ἀνυσάντων, μάλιστα ἐπὶ τοῦ εὐσεβοῦς τῇ*
297 *θείᾳ λήξει Λέοντος βασιλέως καὶ τοῦ πορφυρογεννήτου Κωνσταντίνου, ὅσα χρήματα καὶ λαὸς ἀνήλωτο καὶ ἀπώλετο, δεδοικότες τὸν κίνδυνον τῆς θαλάσσης καὶ τὴν μεγάλην συμμαχίαν τῶν ὁμορούντων Σαρακηνῶν καὶ τὸν στόλον τῶν Σπάνων καὶ Ἀφρικῶν καὶ τὴν διατρέχουσαν φήμην, ὅτι δι' οὗ ἡ Κρήτη πορθηθῇ βασιλεύ-*

dicionis fecerant. Michaele enim Amoriensi Theophili patre rerum potiente, cum Romanus miles in Morothomae Michaelis quondam sodalis compescenda seditione ac tyrannide occupatus esset (annos enim tres hisque amplius tyranni potestate Thracia ac Macedonia potitus est), occasionem nacti qui ab Hispania ascenderant Saraceni, cum ingenti carabiorum bello instructa classe, sibi subiecerant, ac donec a magistro et domestico Nicephoro Phoca recepta est, per annos 158 tenuerant. (8) idcirco Romanus imperator divino zelo succensus, catisque ac sanis Iosephi accubitoris inductus consiliis, ex omni Romana dicione congregatis navibus bellicis igneque Graeco, ac ex Thracia Macedonia Sclavonia lectis copiis, in Cretam mittere statuit. quidam porro senatorii ordinis, viri in rem eius studiosi servique ingenui, Cretensem hanc moleste habebant expeditionem, in memoriam revocantes superiorum imperatorum aetate eo adductas classes novarumque rerum molitiones ac immensas effusas opes, praesertim vero piae memoriae Leone imperatore ac Constantino Porphyrogenneto rerum potiente quantae insumptae pecuniae, quantae copiae excisae; sic nempe illi maris periculo territi, vicinorumque Saracenorum ingentia formidantes auxilia Hispanorumque ac Afrorum classem; tum praeterea per hominum ora volitantem famam, fore ut qui Cretam expugnasset, is Romanorum imperator esset rerumque in se

σει καὶ τῶν σκήπτρων καθέξει τῆς Ῥωμαϊκῆς ἀρχῆς. (9) ὁ δὲ
παρακοιμώμενος Ἰωσήφ, ὁ χρηστὸς καὶ ὀρθὸς καὶ ἄϋπνος νοῦς,
εἰς μέσον σταθεὶς ἔφη "ἡμεῖς μέν, δέσποτα, ἴσμεν πάντες ὅσα
δεινὰ Ῥωμαίοις συνέβησαν παρὰ τῶν ἀρνητῶν τοῦ Χριστοῦ εἰς
ἡμᾶς· καὶ δίκαιόν ἐστι λογίσασθαι τὰς σφαγὰς καὶ τὰς τῶν παρ- B
θένων φθορὰς καὶ τὰς τῶν ἐκκλησιῶν καταστροφὰς καὶ τὰς τῶν
παραλίων θεμάτων αἰχμαλωσίας, καὶ πρέπον ἐστὶν ὑπὲρ τῶν Χρι-
στιανῶν καὶ ὁμοφύλων ἀγωνίσασθαι, καὶ μὴ δεδιέναι τῆς ὁδοῦ
τὸ μῆκος καὶ τὰ τῆς θαλάσσης πελάγη καὶ τῆς νίκης τὸ ἄδηλον
καὶ τῆς φήμης τὸ ἀδύνατον. καὶ χρὴ μάλιστα τῇ θεοσυνεργήτῳ
βουλῇ καὶ προστάξει σου πειθαρχεῖν ἡμᾶς, ὡς ἐκ θεοῦ σοι τοῦτο
τὸ ἐνθύμημα. καὶ γὰρ καρδία βασιλέως ἐν χειρὶ θεοῦ· μάλιστα
διὰ τὸν ὀρθὸν καὶ πιστὸν δοῦλον στέλλεσθαι τὸν δομέστικον τῶν
σχολῶν παρὰ τῆς θεοκυβερνήτου βασιλείας σου." (10) ταῦτα C
ἀκούσας ὁ αὐτοκράτωρ κατέχειν τὴν διάνοιαν οὐκέτι ἠδύνατο·
καὶ ἐξοπλίσας καὶ ῥογεύσας τὸν στρατόν, καὶ τῷ μαγίστρῳ χρή-
ματα δούς, ἀπεκίνησεν μετὰ τοῦ κοιτωνίτου Μιχαὴλ τοῦ ἐπιστά-
του, μηνὶ Ἰουλίῳ ἰνδικτιῶνος πέμπτης. νῆες γὰρ ὑπῆρχον μετὰ
ὑγροῦ πυρὸς δισχίλιαι, δρόμωνες χίλιοι, καράβια καματηρὰ σι-
τήσεις ἔχοντα καὶ ὅπλα πολεμικὰ τριακόσια ἑπτά. ὁ δὲ δομέστι-
κος Νικηφόρος ἀπάρας τῆς βασιλίδος ἐν Φυγέλοις κατέλαβεν, καὶ
τοῦτο ἐφρόντιζεν ὅπως ὁ σύμπας πλοῦς ἐπὶ τὸ αὐτὸ εἶναι καὶ προσ-
ορμίζοιτο. ἔμπροσθεν δὲ ὁ συνετὸς ταχυδρόμους γαλέας ἀπο- D

summam transferret. (9) quin vero Ioseph accubitor, mens scilicet illa proba et mitis rectaque ac insomnis, in medio stans in haec verba infit. "scimus quidem omnes, domine, quanta nobis mala ab infidelibus Saracenis provenerint; iustumque ac aequum est in memoriam revocare acceptas strages, constupratas virgines, eversas ecclesias, maritimas oras direptione vastatas; decetque pro Christianis nostrisque gentilibus certaminis aleam suscipere, nec longum iter, maris pericula, belli incertum exitum, debilis famae vires formidare. in primis vero operae pretium est ut, cui deus auspex ac adiutor est, consilio tuo atque praecepto pareamus, velut scilicet hanc tibi mentem deus afflaverit: cor enim regis in manu dei (Prov. 21 1); idque ea maxime ratione, quod deo praeside instincta maiestas tua recti animi virum servumque fidelem mittat, scholarum domesticum." (10) his imperator auditis nihil iam animum continere potuit. instructo igitur solitoque munere donato exercitu, traditisque magistro in belli sumptus pecuniis, cum Michaele cubiculario praeside ac curatore ire iussit, mense Iulio, indictione quinta. naves erant igne Graeco instructae bis mille, celoces mille, carabia oneraria annonas armaque bellica convehentia septem supra trecenta. solvens itaque Nicephorus domesticus Phygelos venit, etiam atque etiam satagens ut omni collecta classe simul applicaret. missis itaque vir prudens ac catus,

*στείλας κατασκοπῆσαι καὶ κρατῆσαι γλῶσσαν προσέταξεν. καὶ
τούτων ἀφικομένων καὶ κρατησάντων, ἤγαγον πρὸς τὸν μάγιστρον.
καὶ ζητητικώτερον τούτους ἐξετάσας, μαθὼν τὸν ἀμηρᾶν τῆς
Κρήτης καὶ τοὺς πρώτους τοῦ κάστρου ἔξω εἶναι εἰς τὰ οἰκεῖα
προάστεια, εὐθὺς τῷ δρόμῳ καὶ τῇ σπουδῇ κατέλαβεν καὶ προσ-
ώρμισεν. καὶ ἀποβὰς τῶν νηῶν χάρακα καὶ τάφρον βαθεῖαν
κατεσκεύασεν, καὶ πρὸς κοῦρσον ἐχώρει, καὶ πάντας παρῄνει ἐπὶ
τὸ αὐτὸ εἶναι καὶ μὴ ἐξελαύνειν, πρὶν ἂν τὴν δύναμιν αὐτοῦ*
P 298 *γνώσωνται. πρὸς δὲ κάστρον χωρήσας πάντας τοὺς Κρητικοὺς
τοὺς ἔξω ὄντας τοῦ κάστρου μετὰ φόβου ἔσω ἐπέκλεισεν. ἔκτοτε
δὲ πολλοὶ καθ' ἑκάστην ηὐτομόλουν πρὸς τὸν μάγιστρον. μαθὼν
δὲ ὁ Νικηφόρος ὅτι οἱ ἔξω τοῦ κάστρου ἀποκλεισθέντες εἰς τὰ
στενώματα καὶ κλεισούρας καὶ ῥυάκια καὶ ἕλη καὶ ὄρη προσέφυγον,
διακοσμήσας οὖν στρατὸν καὶ ἱπποτοξότας καὶ Ῥῶς καὶ Ἀνατολι-
κοὺς ἄρχοντας καὶ Θρᾳκικοὺς καὶ Μακεδονικοὺς ἀπέστειλεν, αὐ-
τὸς δὲ ὁ συνετὸς καὶ ἀνδρεῖος δομέστικος ὄπισθεν Σάκα κατελεί-
φθη· καὶ πάντες τῇ εὐβουλίᾳ τοῦ ἀνδρὸς ὡς ἐν οἰκείῳ χώρῳ ἐλο-*
B *γίζοντο εἶναι. οἱ δὲ καταλαβόντες καὶ καταδραμόντες ἐν ᾧ τὰ
κτήνη καὶ τὰ θρέμματα καὶ ἡ ὕπαρξις αὐτῶν κατεκρύπτετο καὶ
αὐτοὶ ηὐλίζοντο, πάντα ληϊσάμενοι μετὰ χαρᾶς καὶ νίκης ὑπενό-
στησαν. ἔκτοτε δὲ οἱ Ῥωμαῖοι ἀδεῶς καὶ ἀφόβως ἠπλίκευον ἐν
ᾧ ἦσαν αἱ διειδεῖς κρῆναι καὶ τῶν παντοδαπῶν ὀπωρῶν τὸ πλῆ-*

quae classi praeirent, celeribus galeis, explorare iussit ac indigenas loci rerumque indices captare. venerunt illi captosque ad magistrum duxerunt; ex quibus diligenter sciscitatus Cretae ameram ac urbis proceres foris in suburbanis ipsorum versari comperit. statim ergo concite summaque diligentia venit navesque appulit, eductisque e navibus copiis altum aggerem duxit vallumque posuit, atque ad incursandum praedasque agendum sese accinxit. admonet vero ne longe discedant vel hostem insequantur, donec illius vires cognoverint. admotis autem ad urbem castris, cunctos Cretenses foris palantes metu conterritos intra moenia cogit. exinde plures quotidie ad magistrum ultro confluebant. intelligens autem Nicephorus eos qui urbe exclusi erant in angusta et clusuras alveolosque et saltus et montes confugisse, distributo exercitu, peditum atque equitum selectam manum, Russosque et Asiaticos et Thracicos et Macedonicos tribunos ac centuriones in eos misit, ipse solers fortisque vir animi domesticus post Saca agmen constituit; omnesque eius solertia ac consiliorum sagacitate, velut domi, sic in hostico erant securi. dimissus cuneus eo excurrit ubi horum iumenta et pecora et substantia occulta erat ipsique morabantur; cunctaque depraedatus cum gaudio ac pro victoria ovans reversus est. deinceps autem Romani fiducia omnique metu soluti castra metantur, quo loco limpidissimi fontes pomorumque ac frugum genus omne scatebat. unicuique tabernaculum

θος, καὶ ἕκαστος τὴν καλύβην αὐτοῦ ἐν δένδροις ὀπώρας εἶχον, καὶ τῶν καρπῶν ῥεόντων καὶ πάντων ἀπολαυόντων ἔχαιρον, καὶ ἐπηύχοντο τὸν καλῶς στρατηγοῦντα αὐτοῖς μάγιστρον.

11. Ὁ δὲ ἀμηρᾶς τῆς Κρήτης, ὁ λεγόμενος Κουρούπας, τὰ συμβάντα πρὸς τοὺς ὁμόρους Ἀγαρηνοὺς τῆς Σπανίας καὶ Ἀφρικῆς ἐδηλοποίησεν καὶ βοήθειαν καὶ συμμαχίαν ᾔτει. οἱ δὲ C
ἀποστείλαντες γαλέας εὐθυδρόμους τοῦ μαθεῖν τὸν ἀρχηγὸν καὶ τὸν στρατὸν καὶ τὴν κατάστασιν καὶ ὑποταγὴν τοῦ στρατοῦ πρὸς τὸν ἀρχηγὸν αὐτῶν, καὶ δὴ μετὰ πολλοῦ τοῦ τάχους πρὸς τὴν Κρήτην ἀφίκοντο, καὶ διὰ τῆς νυκτὸς διὰ σχοινίου εἰς τὸ κάστρον εἰσῄεσαν, καὶ τὸν ἀμηρᾶν τὸν Κουρούπαν καὶ τοὺς προύχοντας τοῦ κάστρου ἐντυχόντες, ἐν ἀμηχανίᾳ καὶ ῥαθυμίᾳ καὶ ἀπογνώσει εἰδότες τὸ ὅ τι πράξαιεν κατὰ τοῦ Ῥωμαϊκοῦ στρατοῦ καὶ τοῦ μαγίστρου, περιπλακέντες τῷ τραχήλῳ τοὺς ἀποσταλέντας οὐδὲν ἕτερον προσεφθέγγοντο, τῇ χειρὶ σφίγγοντες, καὶ D
ἔκλαιον ὀδυρόμενοι, ἱκετεύοντες ἐκστρατεῦσαι τοὺς ἀμηράδας πρὸς συμμαχίαν καὶ βοήθειαν αὐτῶν, καὶ τὸ τάχος αὐτοὺς ἀπέστειλαν. οἱ δὲ παλινδρομήσαντες, πρὸς τοὺς ἀμηράδας ἀφίκετο ἕκαστος, καὶ τῆς πολλῆς ἐξοπλίσεως καὶ ἐκστρατείας καραβίων, καὶ τὴν ἐκ τῶν διαφόρων ἐθνῶν συμμαχίαν καὶ συγκρότησιν καὶ τοῦ στρατηγοῦ τὴν διέγερσιν καὶ σύνεσιν καὶ τὴν πρὸς θεὸν πίστιν καὶ δικαιοσύνην καὶ ἀποστροφὴν παντοίων παθῶν ἔφησαν. οἱ δὲ θάμβους πλησθέντες οὐδαμῶς ἠθέλησαν βοήθειαν ἢ συμμαχίαν αὐτοῖς δοῦναι.

tuguriumque inter fruteta positum erat, pomisque decidentibus omnique rerum aliarum ubertate freti cum gaudio agebant, sicque praeclare ducis in eos munere defungenti magistro votis comprecabantur.

11. Cretae ameras, Curupa nomine, rerum tristem eventum vicinis Saracenis, Hispanis Afrisque, missa ad eos legatione, significat, bellique socios ac cladis depulsores invitat. missae ab eis celeres galeae ac triremes, per quas gentis ducem exercitumque explorarent; quae militaris disciplina, ut duci subiectus exercitus condiscerent. ac plane summa velocitate in Cretam advecti, noctuque per funem in castrum illapsi atque Curupae proceribusque congressi, omnem eos spem abiecisse, nec quid in Romanum exercitum eiusque ductorem magistrum moliantur habere, intellexere. in colla itaque ruentes iisque affusi, omni alia defecti voce, ubertim flentes missos adstringebant, eorumque subsidio maturandam expeditionem, iis ad suos remissis, supplices flagitabant. reversi illi ad suos quique ameras venerunt, longeque copiosam ac instructam classem, diversarumque gentium auxilia exque illis conflatum exercitum, ducis item vigilem solertemque animum fidemque in deum et iustitiam, omnis denique generis exosa vitia ac libidines rettulerunt. quibus illi stupore pleni Cretensibus suppetias ferre bellique socios illis accedere recusarunt.

P 299 **12.** Τοῦ δὲ στρατοῦ παρακαθεζομένου ἐν τῇ νήσῳ καὶ
ἀπείρου χειμῶνος καὶ ὑετοῦ καὶ κρύου γενησομένου, καὶ τῶν σι-
τίων καὶ τροφῶν δαπανηθέντων καὶ τῶν περιβολαίων διαλυθέν-
των καὶ γυμνωθέντων καταναρκήσαντες οἱ τοῦ στρατοῦ οἴκαδε
ἠβουλήθησαν ἀναστρέψαι. ὁ δὲ ἀνδρεῖος καὶ συνετὸς ἡγεμὼν
Νικηφόρος τῇ διαλαλιᾷ καὶ τῇ ἡδύτητι τῶν λόγων αὐτοῦ πάντας
κατέσχεν. ἔφη γὰρ πρὸς αὐτούς "ἄνδρες ἀδελφοί μου καὶ συ-
στρατιῶται, λάβωμεν εἰς νοῦν τὸν τοῦ θεοῦ φόβον· ἀγωνισώμεθα
τὴν τοῦ θεοῦ ὕβριν ἐκδικῆσαι· στῶμεν γενναίως ἐν τῇ Κρήτῃ
κατ' ἐχθρῶν δυσσεβῶς ὡπλισμένων· λάβωμεν πίστιν τὴν τῶν
B φόβων φονεύτριαν· ἀναλογισώμεθα ὅτι ἔνδον ἐσμὲν τῆς Συρια-
κῆς νήσου. μέγαν κίνδυνον ἡ φυγὴ ἀπὸ τῶν ὧδε φέρει. ἐκδι-
κήσωμεν τὰς φθορὰς τῶν παρθένων· τὰ τετιμημένα μέλη βλέ-
ποντες τετρωμένα ὀδυνηθῶμεν τὰς καρδίας. οὐκ ἔστιν ἄμισθος
ὁ κόπος καὶ ὁ κίνδυνος. στῶμεν καὶ καρτερήσωμεν εἰς ἀντιπαρά-
ταξιν τῶν ἀρνητῶν τοῦ Χριστοῦ, καὶ Χριστὸς ὁ θεὸς συνεργήσει
ἡμῖν, καὶ ὀλέσει τοὺς ἐχθροὺς ἡμῶν, καὶ πορθήσεται τὸ κάστρον
τῶν ἀλαζόνων τοῦ Χριστοῦ." καὶ ἄλλα πολλὰ πρὸς αὐτοὺς
παραινέσαντος ἀπεκρίθη εἷς ὑπὲρ πάντων "ἤνοιξας ἡμῶν τὰς
καρδίας, μάγιστρε. ἐστόμωσαν καὶ ὤξυναν οἱ λόγοι τὰς δυ-
C νάμεις καὶ προθέσεις ἡμῶν. ἀνεπτέρωσας τὰς διανοίας ἡμῶν,
καὶ ἑπόμεθα τῇ σῇ βουλῇ καὶ προστάξει, καὶ σὺν σοὶ ἀποθα-
νοῦμεν."

12. Porro exercitu diuturniores in Creta moras trahente, ac cum per hiemem immensi imbres geluque exspectaretur, annona absumpta, detritis stragulis et operimentis, torpentes classiarii ipsique in eis tribuni ac proceres domum reverti cogitarunt. forti tamen vir animo solertique imperator Nicephorus oratione sua ac verborum lenocinio in castris detinuit. sic enim aiebat. "viri fratres et commilitones, dei quaeso timorem in animum assumamus; dei iniuriam ulcisci connitamur; adversus hostes impietate armatos fortiter consistamus. fidem arripiamus, quae timores perimit; animo reputemus nos in Syriaca insula versari. ingens periculum est, si inde fugerimus. ulciscamur constupratas virgines; qui nobilia membra saucia videamus, animo doleamus. non vacat mercede labor ac periculum. stemus intrepidi, adversaque acie Christum negantes infideles audacter appetamus, feretque suppetias Christus deus noster, hostesque profligabit, ac superborum eique insultantium oppidum arcemque diruet." haec iisque plura illo hortante, quidam omnium nomine oreque subiecit "aperuisti, magister, corda nostra; sermone vires durasti atque animos acuisti. vix non additis alis, obsequio promptos atque vigiles reddidisti. consilio morem gerimus, ac praecepto obtemperamus; una denique commoriemur."

13. Ἐν δὲ τῷ Ὀκτωβρίῳ μηνὶ τοῦ δευτέρου ἔτους τῆς βασιλείας Ῥωμανοῦ ἐγένετο σπάνη σίτου καὶ κριθῆς ἐν τῇ πόλει· ἐπράθη γὰρ ὁ σῖτος τῷ νομίσματι μόδιοι δ' καὶ ἡ κριθὴ μόδιοι ς'. καὶ ἦν θεάσασθαι τὸν ἐγρήγορον νοῦν Ἰωσὴφ προνοούμενον τὸ κοινόν. εὐθὺς οὖν ἐξαποστέλλει εἰς τὴν ἀνατολὴν καὶ δύσιν τοῦ ἐξελάσαι συνωνὰς καὶ ἐμπορευτικὰ πλοῖα καὶ τοῦ κωλῦσαι τοὺς σιτοκαπήλους ἀποτιθέναι τὸν σῖτον· ἦν γὰρ ὁ ἀνὴρ δίκαιος καὶ ἀπροσωπόληπτος καὶ πιστός. οὐ πολὺς οὖν ἐν μέσῳ χρόνος D παρῆλθεν, ἑπτὰ ἢ ὀκτὼ τῷ νομίσματι ἐπράθη. τοιοῦτος γὰρ ἦν ὁ ἀνήρ, σπουδαῖος καὶ θερμός, ὡς ἄλλον τῶν πρὸ αὐτοῦ ἢ μετ' αὐτοῦ μὴ ἐξισωθῆναι.

14. Μαρτίῳ δὲ μηνὶ ὁ λεγόμενος Πετεϊνὸς μάγιστρος κατηγορήθη Βασίλειος ὀνομαζόμενος, ὑποθήκῃ τινῶν κακοσυμβούλων μοῦλτον μελετῆσαι· καὶ τοῦτον ὁ βασιλεὺς ἐξορίᾳ πέμπει, κἀκεῖσε τελευτᾷ. ὁ δὲ πατρίκιος καὶ δομέστικος τῆς Ἑῴας ἐκ προσώπου τοῦ ἀδελφοῦ αὐτοῦ πεμφθεὶς ἐν τῇ ἀνατολῇ διὰ τὸ μὴ εὑρεῖν τὸν ἄθεον Χαμβδᾶν ἀσκέπαστον τὴν ἀνατολὴν καὶ ἐλάσαι P 300 κοῦρσα καὶ αἰχμαλωτίσαι καὶ πραιδεῦσαι τὴν Ῥωμαϊκὴν γῆν. καὶ ἑνωθεὶς τῷ στρατηγῷ Καππαδοκίας Κωνσταντίνῳ τῷ πατρικίῳ Μαλεΐνῳ καὶ τοῖς λοιποῖς στρατηγοῖς μετὰ τῶν ταγμάτων, καὶ τὴν ἐκστρατείαν τοῦ ἀλαζόνος ἐπιτυχὼν εἰς τὸν τόπον Ἀνδρασσὸν λεγόμενον, συμβαλὼν κατὰ κράτος νενίκηκε, καὶ καταπολεμήσας

10 ἄλλων P

13. Mense Octobri, imperii Romani anno secundo, ingens in urbe penuria tritici exstitit atque hordei. veniit triticum, modii quattuor, nummo uno, hordeum, modii sex. in his videre erat pervigilem, ut communi rei provideret, Iosephi animum. statim ergo in Orientem ac Occidentem missi qui coëmentes frumenta eorumque mercatorias naves extruderent, dardanariosque ac frumentarios triticum frumentaque recondere ac acervare vetarent. erat enim vir iustus nec personarum acceptor, fidei tenax. nec multum interim effluxit tempus, cum altera parte minuto pretio septem octove modii uno nummo venirent. talis nimirum erat, acri vir ingenio fervidoque ac studiosus, ut nemo superiorum aut aequalium illi aequaretur.

14. Mense Martio, is quem Peteinum vocant, Basilius magister accusatus est ut qui malis quorundam consiliis instinctus res novas moliretur. missus itaque in exsilium ibi moritur. patricius vero ac domesticus Orientis ex fratris nomine in Asiam missus, ne per ea loca Romana dicio praesidio destituta impii Chambdae direptionibus pateret, isque liberius praedas ageret ac captivos duceret; coniunctisque copiis cum Cappadociae praetore Constantino patricio Meleino, nec non reliquis ducibus ac cohortium tribunis, superbi Chambdae aciem assecutus in loco cui Andrasso nomen, ac cum eo conserta manu, eum penitus

καὶ εἰς φυγὴν τρέψας. ἦν τότε θεάσασθαι νεκροὺς σκυλευομένους, καὶ ἀναιρουμένους τοὺς ἀλαζόνας Ἀγαρηνούς, καὶ εἰς φυγὴν τρεπομένους, καὶ ἐν ἀνδραπόδων λόγῳ τούτους ζωγρουμένους καὶ B μήτε ἁρμάτων [ἢ ἵππων] ἢ φαρίων ἢ χρημάτων ἢ συγγενῶν μεταποιουμένους· ἀλλ' ἕκαστος ἀπὸ τῆς οἰκείας συμφορᾶς ἑαυτὸν περιέσωζεν. τότε δὴ τότε ὁ ἀλαζὼν καὶ ὑπερήφανος Χαμβδᾶς ἐχειροῦτο σταθέντος καὶ ὀκλάσαντος τοῦ φάρα οὗ τινὸς ἐπέβαινεν, εἰ μὴ ὁ μαγαρίτης Ἰωάννης ὁ ἄνθρωπος αὐτοῦ ἀποβὰς τοῦ ἰδίου φάρα ἐπέδοτο, αὐτοῦ κρατηθέντος καὶ τοῦ ἀλαζόνος περισωθέντος. πάντα δὲ τοῦ πολέμου κρατηθέντος λάφυρα ἅμα τῶν ζωγρηθέντων ἀρνητῶν τοῦ Χριστοῦ εἰς τὸ Βυζάντιον ἀπηνέγκατο καὶ ἐν τῷ θριάμβῳ ἐπόμπευσεν.

15. Τῶν δὲ Τούρκων ἐκστρατείαν ποιησάντων κατὰ τῆς C Θρᾴκης, καὶ τοῦ πατρικίου Μαριανοῦ τοῦ Ἀργυροῦ μονοστρατηγοῦντος ἐν τῷ θέματι τῆς Μακεδονίας καὶ κατεπάνω ὄντος τῆς δύσεως, συνήντησεν καὶ κατεπολέμησεν, καὶ πλείστους ζωγρήσας μετ' αἰσχύνης εἰς τὴν ἰδίαν χώραν ὑπονοστῆσαι ἐποίησεν.

16. Τοῦ δὲ αὐτοκράτορος Ῥωμανοῦ μαθόντος τὴν στενοχωρίαν καὶ γύμνωσιν καὶ ἔνδειαν τῶν τροφῶν τοῦ στρατοπέδου, τῇ εὐβουλίᾳ τοῦ παρακοιμωμένου Ἰωσὴφ παρευθὺ τὰ πρὸς χορηγίαν αὐτοῖς ἀπέστειλεν. οἱ δὲ βραχὺ ψυχαγωγηθέντες καὶ ἐπὶ μησὶν ὀκτωκαίδεκα σχεδὸν καὶ πλέον παρακαθίσαντες, καὶ τῆς τροφῆς καὶ δαπάνης τῶν Κρητικῶν δαπανηθείσης, καὶ εἰς ἀνάγκην προχωρούντων καὶ καθ' ἑκάστην πρὸς τὸν μάγιστρον αὐτομο-

profligavit ac fudit. vidisses tunc mortuis detrahi spolia, occidi superbos Agarenos, in fugam agi, inter spolia capi ac mancipari. nulla illis curruum aut equorum aut pecuniarum vel affinium cura: hoc unum quisque satagebat, ut se ipse periculo eximeret, non ut alteri studeret. sane futurum erat ut et ipse superbus Chambdas caperetur, cum is cui insederat generosus equus fatiscens substitisset, nisi Ioannes Christianae desertor fidei, illius famulus ac domesticus, equum ipse suum hero commodasset. qua ille humanitate captus, Chambdas tanto liberatus periculo est. spolia omnia cum captivis a Leone Byzantium illata ac triumphi specie circumducta.

15. Turcis adversus Thraciam erumpentibus, Marianus patricius Argyri filius summa ducis potestate Macedonum legioni praefectus Occidentique praepositus, in illos incurrens ipsos praelio fudit, multisque captis reliquos cum dedecore ad sua redire coëgit.

16. Romanus imperator ubi quibus in angustiis exercitus versaretur annonaeque in eo penuriam didicit, sanioribus Iosephi accubitoris consiliis confestim illis alimenta submisit. nonnihil itaque novi commeatus ope recreati, cum menses fere octodecim et amplius urbem obsedissent, consumpta Agarenis Cretensibus omni annona iisque in angustias coactis, ac cum ex illis quotidie ad magistrum ultro confluerent, dei

λούντων, καὶ τῇ τὰ πάντα θεοῦ ἡνιοχοῦντος προστάξει τῇ τοῦ D Μαρτίου μηνὸς τῆς ἕκτης ἰνδικτιῶνος ὁ δομέστικος τῶν σχολῶν τὸν στρατὸν πρὸς πολεμικὰς ὤτρυνε παρατάξεις, διαφόρους συστησάμενος φάλαγγάς τε καὶ ἀσπίδας καὶ σάλπιγγας. ἐπεὶ δὲ ταῦτα συνέστησεν, τῶν ταγμάτων καὶ τῶν θεματικῶν ἀρχόντων καὶ Ἀρμενίων καὶ Ῥὼς καὶ Σθλαβησιάνων καὶ Θρᾳκικῶν ἐπελθεῖν τῷ κάστρῳ ἐκέλευσεν. καὶ ἦν ἰδεῖν ὠθισμοὺς καὶ ἀντωθισμοὺς καὶ συγκρούσματα πρὸς ἀλλήλους, καὶ πετρῶν βολὰς καὶ βέλη καὶ μηχανικῶν ἑλεπόλεων πρὸς τὸ τεῖχος καὶ τὰς ἐπάλξεις τοῦ κάστρου, καὶ τοῖς ἀλαζόσι θάμβος καὶ ἔκπληξις καὶ φόβος ἐπιπεσών. καὶ βραχὺ τοῦ πολέμου κρατοῦντος τὸ κάστρον παρέλαβον. καὶ ἦν θεάσασθαι τοὺς Σαρακηνοὺς γυναῖκας καὶ παῖδας

ΙΩΑΝΝΟΥ ΕΥΛΑΒΕΣΤΑΤΟΥ
ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ ΜΟΝΑΧΟΥ
ΔΙΗΓΗΣΙΣ.

Βούλομαι ἐγὼ ὁ μέτριος καὶ πάντων ἔσχατος ἀποδεῖξαι μετὰ P 312 πάσης ἀληθείας, ἐπὶ τῆς παρούσης ταύτης ἁγίας ὑμῶν καὶ ἱερᾶς συνόδου, ὅπως καὶ πότε καὶ ὅθεν ἔσχε τὴν ἀρχὴν ἡ κακίστη καὶ

12 παῖδας] quae desunt, ab Iulio Polluce pete (Leonis Diaconi p. ed. Bonn. 420 C).

tandem cuncta moderantis imperio, mense Martio, sexta indictione, scholarum domesticus aciem instruxit, diversosque ex illis cuneos et phalangas ac turmas constituit. quibus ita constitutis, ex legionariis et Armeniis et Russis et Sclabinis et Thracibus lectos in urbem immisit. alii alios pellebant ac repellebant mutuumque pulsabant. ruebant petrae et iacula, machinisque moenibus admotis turresque quatientibus stupor ac pavor superbos invasit. brevique conserto praelio urbem ceperunt. eratque videre Saracenos, mulieres ac pueros

IOANNIS HIEROSOLYMITANI
REVERENTISSIMI MONACHI
NARRATIO.

Volo tenuis ego omniumque extremus, omni veritate, sub vestrae huius ac sacrae synodi praesentia, demonstrare quomodo et quando quave occasione ortum habuerit pessima haec ac deo exosa Christiano-

θεοστυγὴς αὕτη τῶν Χριστιανῶν, μᾶλλον δ' εἰπεῖν ἀληθέστερον κατηγόρων καὶ εἰκονομάχων αἵρεσις. συντομίᾳ δὲ χρήσασθαι λόγου προαιρούμενος διὰ χάρτου ἔκρινα καλῶς ποιήσασθαι τὴν ἐξήγησιν, ὡς ἂν μηδέν με τῆς ἀληθείας λάθῃ.

B 2. Τοῦ τῶν ἀθέων Ἀράβων τεθνηκότος τυράννου ἤτοι συμβούλου (Σελεϊμὰν δὲ ἦν οὗτος τὸ ὄνομα) διεδέξατο τοῦτον Οὔμαρος, ὃς ἐπιβὰς τῆς ἀρχῆς εὐθὺς μεταστειλάμενος ἀπέστρεψε τὸν ἀνάσκαφον Μασαλμὰν ἀπὸ τῆς γῆς ταύτης, πολέμιον ὄντα δυσμενῆ, ὃς τῇ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτι καὶ τῆς αὐτὸν τεκούσης ἁγίας θεοτόκου, μετ' αἰσχύνης πολλῆς καὶ ἀπωλείας τοῦ οἰκείου τῶν Σαρακηνῶν στρατεύματος, ὑπέστρεψεν εἰς Συρίαν ἀνύσας ὧν ἤλπιζεν οὐδέν. τελευτήσαντος δὲ τοῦ Οὐμάρου τοῦτον διαδέχεται Ἔζιδος, ἀνὴρ κοῦφός
C τις καὶ εὐπαράφορος. ἦν δέ τις ἐν Τιβεριάδι προηγέτης τῶν παρανόμων Ἑβραίων φαρμακόμαντις, δαιμόνων ψυχοβλαβῶν ὄργανον, ἐπονομαζόμενος Σεραντάπηχος, δυσμενὴς ἐχθρὸς τῆς ἐκκλησίας τοῦ θεοῦ, ὃς μεμαθηκὼς τὴν τοῦ κρατοῦντος Ἐζίδου κουφότητα καὶ δὴ τούτῳ προσελθὼν ὁ παμπόνηρος οὗτος Ἑβραῖος ἐπεχείρει μαντεύεσθαί τινα καὶ προλέγειν αὐτῷ. ὡς οὖν ἐκ τούτων εὐπαράδεκτος ἐγεγόνει καὶ εὐπαρρησίαστος τῷ τυράννῳ, "θέλω" ἔφη, "πρωτοσύμβουλε, εὐνοίᾳ τῇ πρὸς σὲ διακείμενος ὑποθέσθαι σοι τρόπον τινὰ εὐχερῶς καὶ ῥᾳδίως ἀρεσθησόμενον,

2 Χριστιανοκατηγόρων margo Combef.

rum vel (ut verius dicam) ipsos criminantium ac iconomachorum haeresis. cumque mihi propositum sit ut brevitati studeam, operae pretium putavi, ne quid me veritatis fugiat, ex charta ac scripto narrationem facere.

2. Mortuo impiorum Arabum tyranno seu symbulo cui nomen Seleiman, Umar eius successor effectus est. hic mox arrepto principatu accersitum Masalmanum eversorem, infensissimum hostem, ab hac regione avertit. hic magni dei et salvatoris nostri Iesu Christi gratia eiusque parentis sanctae dei genitricis, ingenti probro suique Saracenorum exercitus clade ac interitu, nullo peracto eorum quae speraverat in Syriam reversus est. mortuo autem Umare succedit Esidus, homo levis, impos animi nec satis sani capitis. erat vero Tiberiade scelestissimorum Hebraeorum praeses quidam veneficus vates, in rem animarum exitiosorum daemonum organum, cognomento Serantapechus, ecclesiae dei hostis infensissimus. is dominatoris Esidi levitate cognita, ipsumque adeo nequissimus ille adiens, quaedam ei vaticinari ac praedicere tentabat. cum hinc igitur tyranno obrepens eius sibi gratiam quaesiisset auresque ipsius faciles reddidisset, "volo" inquit, "protosymbule, qua in te affectus benevolentia sum, modum quendam facile placiturum nihil-

δι᾽ οὗ σοι προστεθήσεται ζωῆς μῆκος καὶ διαμείνῃς χρόνους P 313 τριάκοντα ἐν τῇδέ σου ἀρχῇ, εἴγε εἰς ἔργον ἀγάγῃς τοὺς λόγους μου.” ὁ δὲ ἄφρων ἐκεῖνος τύραννος, ὁ κεπφωθεὶς τὸν νοῦν ἐφέσει μακροβιώσεως (ἦν γὰρ φιλοτρυφητὴς καὶ ἀκόλαστος), ἀπεκρίνατο ὅτι γε ὅσα ἂν ὑποθῇς μοι, ἑτοίμως ποιῶ· καὶ ἐὰν τύχω πρακτέον, μεγίσταις ἀμείψομαι τιμαῖς. ὁ δὲ φαρμακόμαντις Ἑβραῖός φησι πρὸς αὐτόν “κέλευσον εὐθέως πάσης ἄτερ ἀναβολῆς καὶ ὑπερθέσεως γράψαι κατὰ πᾶσάν σου τὴν ἀρχὴν ἐγκύκλιον τὴν ἐπιστολήν, ὥστε πᾶσαν εἰκονικὴν διαζωγράφησιν, εἴτε ἐν σανίσιν εἴτε διὰ μουσείων ἐν τοίχοις εἴτε ἐν σκεύεσιν ἱεροῖς καὶ B ἐνδυταῖς θυσιαστηρίων καὶ ὅσα τοιαῦτα εὑρίσκεται, ἐν πάσαις ταῖς τῶν Χριστιανῶν ἐκκλησίαις ἀφανίσαι καὶ τελέως καταλῦσαι, οὐ μὴν ἀλλὰ καὶ ὅσα ἐν ταῖς ἀγοραῖς τῶν πόλεων κατὰ κόσμον εἰσὶ καὶ εὐπρέπειαν οἱαδήποτε ὁμοιότητι.” σατανικῷ δὲ κακουργήματι κινούμενος ὁ ψευδόμαντις προσέθηκε, πᾶν ὁμοίωμα ἂν ὑφόρατον, δεῖξαι τὴν πρὸς ἡμᾶς ἔχθραν μηχανώμενος. (3) ὁ δὲ ἀλιτήριος τύραννος τούτῳ κουφότητι πεισθείς, ἀποστείλας καθεῖλεν ἀπὸ πάσης ἐπαρχίας τῆς ὑπ᾽ αὐτὸν τὰς ἁγίας εἰκόνας καὶ λοιπὰ ὁμοιώματα, καὶ τούτῳ τῷ τρόπῳ ἀπεκόσμησε τὰς ἐκκλη- C σίας τοῦ θεοῦ διὰ τοῦ φαρμακοῦ Ἑβραίου ἀφειδῶς, τὰς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, πρὸ τοῦ φθάσαι ἐν τῇ γῇ ταύτῃ τὸ κακόν. φεύγοντας δὲ τοὺς θεοφιλεστάτους Χριστιανοὺς τοῦ μὴ ταῖς οἰκείαις χερσὶ καταστρέψαι τὰς ἁγίας εἰκόνας, Ἑβραίους θεοστυγεῖς καὶ

que gravem docere, quo tibi adiicietur longitudo vitae, annosque triginta integro principatu rerum potieris, si modo sermones meos compleveris.” ad haec demens ille tyrannus, longioris vitae desiderio mente captus (quippe libidinosus homo ac lascivus), facturum se quicquid praeceperit respondit: “ac siquidem” inquit “rei compos exstitero, honoribus maximis iusta mercede cumulabo.” ad quem veneficus vates Hebraeus: “iube statim nulla interposita mora, in omnes tuae dicionis oras ac loca communibus destinatis literis, pictas omnes imagines, sive in tabellis sive musivo opere in parietibus sive in vasis sacris altariumque pallis, ac quaecunque talia occurrerint, in omnibus Christianorum ecclesiis aboleri penitusque disperdi. sed et quaecunque ad ornatum in foro publice in urbibus ulla similitudine posita exstarent.” Satanica vero malignitate motus falsus vates adiecit quicquid demum simulacrorum suspectum exosumque exstaret, suum in nos odium studens declarare. (3) miser vero tyrannus mentis levitate se illi dicto audientem praebens fidemque ipsi habens, mittens, in subiecta omni dicione sacras imagines ac reliqua simulacra abstulit. inque eum modum per veneficum Hebraeum, nulla cuiusquam ratione, per omnes suas urbes ac loca ecclesias dei ornatu spoliavit, priusquam malum ad has oras perveniret. cumque religiosissimi homines Christiani suis ipsi manibus evertere sacras imagines refugerent, deo exosos Hebraeos vilesque Arabas anga-

οἰκτροὺς Ἄραβας ἠγγάρευον οἱ εἰς τοῦτο ἀποσταλέντες Ἀμηραῖοι, καὶ οὕτως ἔκαιον τὰς σεπτὰς εἰκόνας, καὶ τοὺς οἴκους τῶν ἐκκλησιῶν πῇ μὲν κατέχριον πῇ δὲ κατέξεον.

4. Τούτων ἀκηκοὼς ὁ ψευδεπίσκοπος Νακολίας καὶ οἱ D κατ' αὐτὸν ἐμιμήσαντο τοὺς παρανόμους Ἰουδαίους καὶ τοὺς ἀσεβεῖς Ἄραβας, καὶ ἐνύβρισαν τὰς ἐκκλησίας τοῦ θεοῦ.

5. Ἄξιον δὲ κρίνω τὰς ἱερὰς ὑμῶν ἀκοὰς καὶ οἷον ἐδέξατο τέλος ὁ δείλαιος ἐκεῖνος καὶ φαρμακὸς Ἑβραῖος. ὡς γὰρ τοῦτο δράσας ὁ πρωτοσύμβουλος Ἔζιδος οὐ πλείω τῶν δύο ἥμισυ χρόνων βιώσας ἀπέθανε, ἀπῆλθεν εἰς τὸ αἰώνιον πῦρ, καὶ αἱ μὲν εἰκόνες ἐν τῇ ἀρχαίᾳ ἱδρύσει καὶ τιμῇ κατέστησαν, ὁ δὲ τούτου υἱός, Οὔλιδος τοὔνομα, ἀγανακτήσας ὡς φονέα τοῦ ἰδίου πατρὸς τὸν φαρμακὸν αἰσχίστῳ θανάτῳ ἀναιρεθῆναι ἐκέλευσεν, ἄξια τὰ ἐπίχειρα τῆς ψευδομαντείας αὐτοῦ κομισάμενον.

riabant qui in hoc missi erant Ameraei, sicque incendebant sacras imagines, domosque ecclesiarum ac parietes qua oblinebant qua corradebant.

4. Haec ut audivit pseudoepiscopus Nacoliae ac sodales, sceleratos Iudaeos impiosque Arabas aemulati ipsi quoque gravi iniuria dei ecclesias affecerunt.

5. Dignum vero etiam arbitror vestris sacris auribus insinuare et quem finem miserabilis ille ac veneficus Hebraeus nactus sit. cum enim Ezidus hoc perpetrato haud plures duobus cum dimidio annos vitae superstes diem obiisset atque in ignem aeternum abiisset, imaginesque antiquo more erectae pristinum honorem recepissent, indignatus eius filius Ulidus nomine veneficum, tanquam qui patrem ipsius sustulisset, turpissima morte interfici praecepit, dignis falsi sui vaticinii stipendiis donatum.

IOANNES CAMENIATA

DE EXCIDIO THESSALONICENSI.

ΙΩΑΝΝΟΥ
ΚΛΗΡΙΚΟΥ ΚΑΙ ΚΟΥΒΟΥΚΛΕΙΣΙΟΥ
ΤΟΥ ΚΑΜΕΝΙΑΤΟΥ
ΕΙΣ ΤΗΝ ΑΛΩΣΙΝ ΤΗΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ.

Ὡς ἀρίστη τῶν ἀγαθῶν ἡ φιλοπονία, καὶ πάσης ἀρετῆς κτῆσιν P 317
ἐν ἑαυτῇ μαρτυροῦσα. σοῦ δὲ μετὰ τῶν ἄλλων πλεονεκτημάτων
ἔκδηλον καὶ ἐν τούτῳ καθέστηκε τὸ φιλόπονον, ὦ ἀνδρῶν βέλτι-
στε καὶ πολυμαθέστατε Γρηγόριε, οἷς τε πρὸς ἡμᾶς γράφεις καὶ
οἷς παρ' ἡμῶν ἐπιζητεῖς διὰ γραμμάτων μαθεῖν. οὐκ ὀλίγης γὰρ
ἀρετῆς καὶ φιλοπόνου σπουδῆς ἐπίδειξιν ἔχει τὸ πολλῶν ἐθέλειν
εἰληφέναι πραγμάτων γνῶσιν, καὶ μάλιστα δι' ὧν ἡ ψυχὴ τὸν P 318
θεῖον φόβον ἐγκυμονεῖ καὶ οἷον χρειώδεις τινὰς ἀφορμὰς ἐκ τούτου

3 καθέστηκε om P

IOANNIS CAMENIATAE
CLERICI AC CAPELLANI
DE EXCIDIO THESSALONICENSI
NARRATIO
FRANCISCO COMBEFISIO INTERPRETE.

Quam optimum est rerum laudatarum studium, omnemque sibi vindicare virtutem liquido monstratur. tuum vero cum aliis, quibus magnifice praestas, vir optime ac eruditissime Gregori, dotibus ea quoque ratione manifestum studium est atque opera, tum quod ad nos scribis, tum quod per literas a nobis de his doceri quaeris. non enim pusillae virtutis est, solertisque operae indicium habet, multarum rerum cognitionem sibi conquirere, ac potissimum si per illas animus dei timorem concipit, indeque velut peropportunas quasdam occasiones parti mentis,

τῷ θεωρητικῷ μέρει τοῦ νοὸς ἐμβιβάζει, ἐξ ὧν διδάσκεται τῆς μὲν ἁμαρτίας ἐκκλίνειν ὡς δημιουργοῦ τοῦ θανάτου, ἔχεσθαι δὲ τῆς ἀρετῆς, ἧς τὸ τέλος ζωὴ αἰώνιος τοῖς αἱρουμένοις αὐτήν. ἐγὼ δὲ τὴν ἐπιταγὴν πληρώσειν ἀναβάλλεσθαι τέως ἐδόκουν δυοῖν ἕνεκεν, τό τε πρὸς σὲ περὶ τοιούτων γράφειν ἐπαχθὲς κρίνων, ἄνδρα τοσοῦτον, οὗ λόγοι μὲν τὰς πράξεις ἰθύνουσι, πράξεις δὲ B *συμφωνοῦσαι τοῖς λόγοις τὸ ἀκριβὲς ἀλλήλοις ἀντιδιδόασιν (ἤδη γὰρ ἡ φήμη βοᾷ τὴν σὴν ἐν ἅπασι τελειότητα, καὶ σιωπῶντι ταῖς ἡμετέραις ἐγνώρισεν ἀκοαῖς), καὶ τὸ μὴ δύνασθαι περὶ ὧν τὴν ζήτησιν ἐποιήσω καλῶς ἐξηγήσασθαι, τὴν οἰκείαν ἀμαθίαν ὡς εὐπρόσωπον προβαλλόμενος ἀπολογίαν, ὥστε μὴ καθυβρίσαι μηδὲ σμικρῦναι τῷ λόγῳ τὸ περιφανὲς τῶν παρὰ σοῦ ζητηθέντων πραγμάτων, καὶ πραγμάτων ἐκείνων τῶν μικροῦ δεῖν ἅπασαν πληρωσάντων τῇ ἀκοῇ τὴν ὑφ' ἥλιον. ἀλλ' ἐπειδὴ καὶ τοῦτό μοι μετὰ τῶν ἤδη λεχθέντων ἐπῆλθε, μὴ πρὸς τοῖς ἄλλοις ὀφλήμασι* C *καὶ παρακοῆς ἀπαιτηθείην δίκας, τἆλλα μὲν φύσει δεινοῦ πάθους καὶ ὀλεθρίου, καὶ αὐτοῦ δὲ τοῦ θείου νόμου περιφρονῆσαι τοὺς γενάρχας ἡμῶν ἐξ ἀρχῆς ἀναπείσαντος, ἥκω πληρώσων τὸ αἰτηθέν, τῇ σῇ θαρρήσας εὐγνώμονι καὶ συμπαθεστάτῃ φιλίᾳ. εὖ γὰρ οἶδα μήτε ταῖς σου τεχνικαῖς μεθόδοις μήτε μὴν ταῖς ἐπιστημονικαῖς τρυτάναις τῆς σῆς ἀκραιφνοῦς καὶ μεγάλης σοφίας τὸ*

4 *ἀναβαλέσθαι* **A i. e. editio Allatiana** 20 *μήτε ταῖς σου τεχνικαῖς μεθόδοις* **om A**

cuius est speculandi vis, innectit; quibus a peccato, tanquam mortis auctore, declinare condiscit, atque virtuti incumbere, cuius finis vita aeterna, his qui eam amplexantur atque diligunt, sit. enimvero ego hactenus, quod iussus eram, duplici ex causa differre videbar, tum nimirum quod molestum iudicabam ad te scribere, virum tantum, cuius sermones actiones dirigunt, et actiones sermonibus concordes sibi mutuo praestant quod perfectum et exactum est (iam enim fama tuam perfectionem cunctis clamat, et licet ipse taceas, nostris eam intulit auribus), tum quod, de quibus quaesiisti, non ex re satis disserere valeam, qui meam ipse inscitiam velut convenientem excusationem obtendam, ne pene violare videar, earumque rerum quas ex me sciscitaris splendorem imminuam, rerum scilicet eiusmodi ut auditu atque rumore omnem prope terrarum orbem repleverint. verumtamen cum id quoque mihi, cum iis quae dicta sunt, in mentem veniret, ne praeter alia debita etiam inobedientiae obnoxius fierem, dirae alioqui atque noxiae suapte indole aegritudinis vitiique, quo et adducti primi parentes ut divinam ipsam legem contemnerent, accedo petita praestiturus, candida tua humanitatisque plenissima amicitia fretus. probe enim novi nec per artificiosas tuas methodos nec per argutissimas verae magnaeque sapientiae tuae trutinas, quod orationis huius indecorum est ac incon-

ἀκαλλὲς τοῦ τῇδε λόγου καὶ ἀνάρμοστον ἢ τῶν λεγομένων τὸν νοῦν
ἀποδοκιμάζεσθαι, ἀληθῆ δὲ μᾶλλον καὶ παντὸς ἀλλοτρίαν καὶ
ψεύδους καὶ πλάσματος τὴν τῶν ῥηθησομένων προβαίνουσαν συγ-
γραφὴν ἁπάσης μέμψεως ἀπολύεσθαι.

2. Ἐζήτησας μαθεῖν διὰ τῆς ἐπιστολῆς τὸν τρόπον δι᾽ ὃν D
τὴν φρουρὰν οἰκοῦμεν βαρβάρων χερσὶν ἐκδοθέντες, καὶ πῶς τὴν
ἀλλοτρίαν ἀντὶ τῆς ἰδίας διημειψάμεθα, ποίας τέ ἐσμεν πατρίδος,
καὶ τίνα τὰ κατ᾽ αὐτήν. τεκμαίρεσθαι γὰρ ἔφης ἐκ τῆς μικρᾶς
ἐκείνης ὁμιλίας, δι᾽ ἧς παροδεύοντί σοι τὴν Τρίπολιν ὀλίγον
συνεγενόμεθα, πλήρεις μὲν εἶναι ἡμᾶς μακρᾶς ἐξηγήσεως, μεγάλα
δέ τινα καὶ πάσης τραγῳδίας ἐπέκεινα τά τε ἤδη συμβεβηκότα
ἡμῖν καὶ τὰ ἐς ὕστερον προσδοκώμενα. καὶ γὰρ ἔτυχες τότε καὶ
αὐτὸς ἀλητεύων κατὰ τὴν αὐτὴν ἡμῶν συμφοράν, καί τισιν P 319
αἰχμαλώτοις ἐκεῖσε συνεπαγόμενος, οὓς ἔλεγες ὁμοπατρίους εἶναί
σοι Καππάδοκας, μεθ᾽ ὧν καὶ τὴν πρὸς τὴν Ἀντιόχου πόλιν
ἐστέλλου, μηδαμοῦ στῆναι τῶν ἀλγεινῶν ἐξηγούμενος· ὁπότε καὶ
ἡμᾶς ἑώρας, ὡς καὶ αὐτὸς μαρτυρεῖς, τό τε νεαρὸν τοῦ πένθους
ἔχοντας καὶ τὰ ἴχνη τοῦ προλαβόντος φόβου τοῖς προσώποις ἡμῶν
ἐγκαθήμενα, ὡς καὶ σιωπῶντας βοᾶν τὴν συμφορὰν ἐκ τοῦ χρώ-
ματος. ἀλλὰ περὶ τούτων εἰ καθ᾽ ἕκαστον ἐπεξιέναι βουληθείην,
μακρὸν ἂν εἴη καὶ τῇ χρείᾳ μὴ κατάλληλον τὸν λόγον ποιήσομαι, B
τῆς συμμετρίας τὸν νόμον καθυπερβαίνων· ἵνα μὴ λέγω ὅτι καὶ

10 εἶναι] ὄντας A 13 αὐτὴν om P 15 τὴν post πρὸς om A

cinnum, reiectum iri, eorumve quae sunt dicenda sententiam, sed potius veram et ab omni mendacio figmentoque alienam dicendorum narrationem omni abs te crimine ac labe fore liberandam.

2. Data epistola discere quaesiisti modum, cuius gratia carcerem tenemus barbarorumque dediti manibus sumus, ac qua ratione alienum solum patrio commutavimus; qua item orti patria simus, et quae illius res quisve status. etenim coniicere aiebas ex brevi illa fabulatione qua, cum per viae occasionem Tripolim devenisses, paululum congressi sumus, quam longa narratione onustum pectus gereremus, diraque quaedam et tragico omni cothurno lacrimabiliora esse tum ea quae iam nobis evenerant, tum quae imposterum ventura exspectabantur. nam tu quoque pari nobis infortunio errabundus et cum quibusdam captivis illuc abducebaris, quos cives esse tuos asserebas Cappadoces, cum quibus etiam Antiochiam mittebaris, referens nullam requiem malorum invenire, quando nos quoque videbas, ut et ipse testaris, tum recentem luctum tum praeteriti timoris vestigia in facie expressa ferre, ut et tacendo, vultus ipso colore mali immanitatem clamaremus. verum si de his singula recensere velim, longior mihi texenda nec iustae satis necessitatis oratio est, ut quae mediocritatis legem sit excessura; ne di-

τὴν σὴν ἀρρᾴθυμον ἀκοὴν ἀποκναίσω, εἰ καὶ ὅτι δι' ἐφέσεως ἔχεις τοῖς λεγομένοις ἐπακροάσασθαι. ἀλλ' ἐπειδὴ τοίνυν τοῦτο κατ' ἀρχὰς ὑπέσχου, τὸ νουνεχῶς ἀκούειν, ἄρχομαι τῶν καθ' ἡμᾶς ὧδε.

3. Ἡμεῖς, ὦ φίλος, πατρίδος ἐσμὲν Θεσσαλονίκης· αὐτὴν γὰρ πρώτην γνωριοῦμαί σοι, δι' ἧς ἔγνων ὧν οὔπω ἐγνώκειν πολλά· καὶ σοί γε γνωσθεὶς ἄρτι τὴν περὶ αὐτῆς ἐκείνης γνῶσιν εἰσπράττομαι, πόλεως μεγάλης καὶ πρώτης τῶν Μακεδόνων, C τἆλλα μὲν περιφανοῦς οἷς σεμνύνεται πόλις, καὶ μηδεμιᾷ τῶν ἔγγιστα παραχωρούσης μὴ ὅτι κατ' αὐτὴν ὀφθῆναι, περιφανεστέρας δὲ τὴν εὐσέβειαν, ἣν ἐξ ἀρχῆς ἐδέξατο καὶ δεξαμένη μέχρι τοῦ νῦν διεσώσατο. αὐτὸν γὰρ αὐχεῖ Θεσσαλονίκη τὸν Παῦλον ἔχειν τῆς εὐσεβείας διδάσκαλον, τὸ σκεῦος τῆς ἐκλογῆς, ὃς ἀπὸ Ἱερουσαλὴμ κύκλῳ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ τῷ εὐαγγελικῷ περιλαβὼν τὴν οἰκουμένην κηρύγματι ἐν αὐτῇ μᾶλλον τὸν τῆς θεογνωσίας σπόρον κατέβαλε καὶ πολύχουν ἀποδίδοσθαι τὸν τῆς πίστεως D καρπὸν διεσπούδασε· μετ' ἐκεῖνον δὲ τὸν μέγαν ἐν μάρτυσι καὶ ἀξιοθαύμαστον ἐν ἀθλοφόροις Δημήτριον τὸν μυροβλύτην, πολὺν ἀγῶνα καὶ αὐτὸν ὑπὲρ τῆς εὐσεβείας καταβαλόμενον (καὶ γὰρ ἦν πρὸς τοῖς ἄλλοις τῆς ἀρετῆς αὐχήμασιν ἔτι καὶ θείοις ἐμπρέπων διδάγμασιν καὶ τῇ περὶ τῶν δογμάτων ἀκριβείᾳ κεκοσμη-

19 καταβαλλόμενον A

cam fore ut nunquam socordia torpescentibus auribus audienti tibi obtundam, licet audiendi aviditate ad ea quae dicenda a me sunt animum advertas. quando igitur iam initio perattentas aures pollicitus es, ad nostra enarranda in hunc modum aggredior.

3. Nostra, o amice, patria, Thessalonica est. hanc enim primum tibi notam faciam, per quam mihi multa cognoscere licuit quae antea nullus noveram; et qui in tui iam cognitionem venerim, eius ipsius exactam edere cognitionem officii quasi iure tuis votis compellor. nempe urbs magna mihi explicanda, et quae gentis Macedonum primaria existat. urbs rebus aliis, quibus sibi nimium sumunt civitates ac honestantur, conspicua, et quae nulli vicinarum civitatum, pari cum omnibus certans claritate, cedat, pietate vero cunctis illustrior existat, quam a principio suscepit susceptamque hactenus incolumem servavit. ipsum enim Paulum, vas electionis, pietatis sibi gloriatur magistrum; qui videlicet ab Ierusalem in circuitu, et usque in Illyricum evangelica praedicatione universum orbem complexus, illi prae reliquis divinae cognitionis semen commisit, ex eoque uberrimos fidei fructus surgere omni diligentia curavit. post Paulum vero inter martyres magnum interque victores coronatos digne admirandum myroblytam (unguentis scilicet manantem) Demetrium, qui et ipse pro pietate plurimum desudavit. is namque, praeter reliquas eius eximias virtutis laudes, divinae etiam doctrinae luce fulgebat exactaque dogmatum cognitione ornatus erat; quo

μένος, ἐξ οὗ καὶ μᾶλλον τὸ περὶ αὐτοῦ διεδύθη κλέος τοῖς πέρασιν)· εἶτα τοὺς καθεξῆς ἀρχιερεῖς πάντας τοῦ σωτηρίου λόγου στερρῶς ἀντεχομένους, ἐξ ὧν ἀεὶ καταρτιζομένη καὶ παιδαγωγουμένη τὴν θειοτέραν παίδευσιν δαιμονιώδεις καὶ μυσαρὰς πλάνας P 320 καὶ δόξας καὶ εἰδωλικὰς εἰκαιομυθίας τοῖς τιμῶσι τοὺς δαίμονας ἀπεπέμψατο, ὀρθοδόξῳ δὲ διδαχῇ τὴν πίστιν σφραγίσασα, καὶ πᾶν ζιζανιῶδες φυτὸν καὶ αἱρετικὸν καὶ ἀλλόφυλον οὐμενοῦν οὐδέποτε τῷ θείῳ σπόρῳ συγκαταμίξασα, καθαρὰν καὶ ἀκίβδηλον διεσώσατο τὴν εὐσέβειαν. ἧς πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα, ἐξ ὧν ἡ φήμη τὰς ἀφορμὰς λαμβάνουσα λαμπρὸν τὸ περὶ αὐτῆς ἐκήρυττεν ὄνομα, ἓν δὲ τοῦτο πρῶτον καὶ ἰδιαίτατον διεδείκνυτο, τὸ ὀρθόδοξον αὐτὴν καὶ εἶναι καὶ ὀνομάζεσθαι καὶ τούτῳ μᾶλλον ἤπερ τοῖς ἄλλοις σεμνύνεσθαι. ἀλλ᾽ ἐπειδὴ καὶ τὰ κατ᾽ αὐτὴν B ἐκείνην τὴν πόλιν φιλοπόνως μαθεῖν ἐπεζήτησας, τοῦτο δὲ δυσεπιχείρητόν τε ὡς ἐμοὶ τῇ τε παρούσῃ ὁρμῇ τοῦ λόγου παρὰ μικρὸν ἀνακόλουθον, ὀλίγα τινά, καὶ οἷς μάλιστα ἔξεστι δοκεῖν ὁρᾶν σε τῶν λεγομένων τὰ πράγματα, τῇ διηγήσει προσθεὶς ἐπὶ τὴν καθ᾽ ἡμᾶς αὐτοὺς τραπήσομαι συμφοράν.

4. Ἔστιν οὖν ἡ πόλις, ὡς εἴρηται, μεγάλη τε καὶ εὐρεῖα, τείχεσι καὶ προβόλοις συχνοῖς κατωχυρωμένη καὶ τὸ ἀσφαλὲς τοῖς οἰκήτορσιν ὅσον ἐκ τῆς τούτων οἰκοδομῆς παρεχομένη, θαλάσσιον

8 συγκαταδέξασα P 10 ἐξ om P 12 τοῦτο AP 15 τέως AP
17 προθεὶς Combefis. marg.

et magis eius nominis claritas in orbis fines didita est. tum qui deinceps secuti sunt, omnes praesules, salutaris doctrinae ipsi firmi assertores; quorum opera, dum diviniore semper perficitur manuque ducitur ac eruditur disciplina, daemoniacos impurosque errores ac opiniones idolorumque nugaces fabellas ac vanitates ipsorum cultoribus dimisit, rectaeque opinionis doctrina fidem obsignans, ac quidquid zizaniorum et haereticorum alienigenarumque plantationis est, nihil usquam divinae sementi coniunctum admittens, puram illibatamque pietatem conservavit. cuius cum et alia insignia ac notae suppetunt, unde fama occasiones nacta illius clarum nomen effecit, tum unum illud primum ac singularissimum monstratur, quod rectae fidei tenax existat ac celebretur, hocque magis quam ullis aliis ornamentis sibi placeat atque clarescat. sed quia eius ipsius civitatis res accurate ex me discere quaesiisti, idque ut praestem arduum mihi nec praesentis sermonis instituto admodum consentaneum existit, paucis nonnullis, ac quibus maxime ea quae dicenda sunt oculis usurpare tibi ipse videri possis, narrationi adiunctis, ad nostram ipsorum calamitatem orationem convertam.

4. Ea igitur, uti dictum est, magna civitas latoque fusa ambitu, ac moenibus crebrisque propugnaculis atque arcibus munita, eiusmodi scilicet quae civibus, quantum ad horum structuram attinet, tutum ha-

C ἔχουσα κόλπον ἐκ νότου καθηπλωμένον, ᾧ καὶ περικλυζομένη τὴν ἐκ πλαγίου πλευρὰν ταῖς ἁπανταχόθεν εἰσρεούσαις ὁλκάσιν εὐεπίβατον τὴν πρὸς αὐτὴν πορείαν παρέχεται. ὑποκοιλαίνεται γάρ τις ἐκεῖσε θαυμαστὸς λιμήν, ἀσφαλῶς ὑπτιάζων τοῖς πλωτῆρσι τὴν εἴσοδον, ταῖς ἐκ πνευμάτων παντελῶς ἀπείρατος ταραχαῖς καὶ τὸν ὅρμον ἀκύμονα καθιστῶν. ὃν ἐκ τῆς λοιπῆς θαλάσσης ὁ τεχνίτης ἀπέτεμε· μέσον γὰρ ἀπείρξας διά τινος τείχους τὴν τῶν ὑδάτων ἐπίρρυιαν, συναπεῖρξεν ἐκ τοῦ πρὸς θάλασσαν καὶ τῶν πνευμά-
D των τὸν κλύδωνα. ἡ θάλασσα γὰρ τῷ βυθῷ φυσωμένη καὶ τὴν ἐκδρομὴν πρὸς τὴν χέρσον ἐρευγομένη, τῷ διαφράγματι τοῦ τῆδε τείχους κωλυομένη, μὴ ἔχουσα τίνι τὴν ἀπειλὴν ἐπαφήσει, χωρεῖ τοῖς ἐφ' ἑκάτερα τοῦ τείχους μέρεσι, καὶ τὸ ὕδωρ ἠρέμα πως ὀλισθῆσαν ζάλης ἁπάσης ἐκτὸς τὸν τοιοῦτον ὅρμον διατηρεῖ. ὁ δὲ δὴ κόλπος ἐκ τῆς μεγάλης θαλάσσης ἀποτμηθεὶς διά τινος αὐχένος, ἀγκῶνος δίκην προβεβλημένου καὶ ἐπὶ μήκιστον τοῖς ὕδασι διικνουμένου, ὃν οἱ κατὰ χώραν Ἔκβολον ὀνομάζουσι διὰ τὸ πόρρω που τοῖς ὕδασιν ἐκβεβλῆσθαι, στενούμενός τε πρὸς τὴν
P 321 ἑτέραν ἐξ ἐναντίας χέρσον τῇ τοῦ αὐχένος τούτου καινοτομίᾳ, ἕτερος λιμὴν πελάγιος γίνεται· ἐξ οὗ δή περ ἀγκῶνος μέχρις αὐτοῦ τοῦ τείχους τῆς πόλεως κύκλον πανευπρεπῆ τὸ ὕδωρ μιμεῖται, τοῖς ἐφ' ἑκάτερα μέρεσιν ἐπὶ πολὺ ἐκτεινόμενον καὶ πρὸς τὴν πόλιν κατὰ βραχὺ συστελλόμενον. καὶ ἀφορᾷ μὲν ὁ κόλπος ἐκ νότου

16 χώρας AP 21 ἐντεινόμενον P

bitaculum praebeat. marinum sinum ad notum protensum habet, quo, obliquo latere circumluta, navibus undique versum confluentibus facilem in semet praestat aditum. hic enim portus quidam mirabilis cavo recessu funditur, pronoque in se aditu navigantibus tuto resupinatur, a ventorum iniuriis prorsus innoxius et navium stationi placidus ac tranquillus. hunc artifex a reliquo mari divisit, medio siquidem muro aquarum influxu coercito, una quoque praeclusit quae ex vicino mari ventorumque flatu fluctuum vis procellaque illiditur. mare namque alto gurgite inflatum continentem excurrens, muro interposito praepeditum, cum non habeat quo minas suas exoneret, in latera muri convolvitur; et aqua lento quodam modo sensim dilabens ab omni salo aestuque liberum conservat istiusmodi portum. sinus porro a magno mari cervice quadam ac faucibus cubiti instar prominentibus ac quam longissime alto aequore procurrentibus (eam accolae cervicem Ecbolum appellant, quod in mare procul proiecta effunditur) abscissus, inque adversam sibique oppositam continentem cervicis huius artificio ac molimine coartatus, alium portum intra pelagus efficit; ex quo videlicet cubitu flexuque ad ipsum urbis murum orbem pulcherrimum, partibus utrinque late fusis versusque urbem sensim sese contrahentibus, efformare videtur. et respicit quidem

τὴν λοιπὴν θάλασσαν, ἀφορᾷ δὲ τοῦτον ὁμοίως ὁ λιμὴν καὶ τὸν λιμένα ἡ πόλις. ἀλλ' ὁ μὲν λιμὴν τέτρασι γωνίαις ἐμπεριείληπται, ὁ δὲ κόλπος ἐστὶ περιφερής, τὸ κύτος ἔχων διὰ πλείστου βάθους χωροῦν, τὰ πέρατα δὲ καὶ πρὸ πολλοῦ τῆς χέρσου τὰ πολλὰ τῶν ὑδάτων συστείλαντα.

5. Ἀλλ' ἐν τούτοις τὸ κατὰ νότον μέρος τῆς πόλεως B
βάσιμον, τὸ πρὸς βορρᾶν δὲ ὡς λίαν τραχὺ καὶ δύσβατον. ὄρος γὰρ ὑπερκύπτει τοὺς λόφους ὑπερανεστηκός, οὐκ ὀλίγον μέρος αὐτῆς τῆς πόλεως τῆς λοιπῆς ὑπεραῖρον γῆς, ὡς τὸ μὲν αὐτῆς πεδιάσιμον εἶναι καὶ ταῖς χρείαις τῶν ἐνοικούντων κατάλληλον, τὸ δὲ τοῖς βουνοῖς καὶ ταῖς τῶν ὀρῶν ἀκρότησιν ἀνατείνεσθαι. ἀλλ' οὐδὲν ἀδικεῖ τὴν πόλιν ἡ τοῦ ὄρους παράτασις ὡς ἐμπαρέχειν ἄδειαν τοῖς πολεμίοις ἀφ' ὕψους ἐπεμβαίνειν καὶ τοῦ τείχους κατεπαμύνεσθαι· ἔδωκε γὰρ ὀλίγην τινὰ σχολὴν ὁ βουνὸς ἐκεῖνος πρὸς τὸ φυλάττεσθαι πᾶσαν ἐπιβουλήν, τῷ διὰ μέσου χώρῳ τὴν C
εὐχερῆ προσβολὴν ἀποκρούσας. τὸ δ' ἐντεῦθεν ἀνατείνεται μέχρι πολλοῦ τὸ ὄρος καὶ ὑπερίδρυται, τοῖς λόφοις καὶ ταῖς χαράδραις ἐντραχυνόμενον, τὴν μεσαιτάτην ἀνατολὴν ἐπειγόμενον· τοσοῦτον ἐκ πλαγίου ἀφ' ἑκατέρου μέρους ὑποκείμενον διαφεύγει τῆς γῆς. ἐν γὰρ ταῖς δυσὶ πλευραῖς τοῦδε τοῦ ὄρους, τοῦ τε πρὸς νότον φημὶ καὶ τοῦ πρὸς βορρᾶν, πεδία ἀφήπλωται βάσιμά τε καὶ χρή-

7 βάσιμον sumpsi a L i. e. Leone Allatio in Ge. Acropolit. not. p. 225 ed. Paris. 9 αὐτῆς τῆς] καὶ αὐτῆς AL 11 τοῖς om L 14 ἐκεῖσε AL 19 τὰ ἐκ πλαγίου ἐφ' L. ἐφ' etiam A 20 τῇ τε — καὶ τῇ? 21 ἐφήπλωται L

sinus ab austro reliquum mare, portus sinum, urbs portum. ac portus quidem quattuor angulis comprehenditur, sinus flexum in orbem alveo quam maxime profundo agitur; extremis finibus, et longe a continente, magna parte aquae minuuntur.

5. Et hoc modo se habet pars urbis quae ad notum spectat: quae vero ad aquilonem, asperrima est et prope impervia. mons enim altiore supercilio tumulis superpositus eminet, non parvam civitatis partem a reliqua humo sustollens, adeo ut pars illius in planitie accolarum usibus coaptata iaceat, pars in collibus montiumque iugis sese extendat. nihil tamen damni ea montis extensio oppidanis importat, tanquam a superioribus per eum assilire murosque oppugnare hostibus liceat. parvum enim ad amoliendas quascunque insidias, interposito campo, hicce tumulus relinquit spatium, quo inde cives facilem possint propulsare assultum. exinde mons longe protenditur iugoque assurgit, collibus atque vallibus exasperatus, in medium procul se orientem inferens, quantum utrinque subiecti soli agrique oblique subducitur. in duplici namque istiusmodi montis latere, tum scilicet eius quod ad austrum tum quod ad aquilonem est, campi effunduntur ipsi pervii atque utiles, quique civibus

σιμα, πᾶσαν ἀφορμὴν εὐζωΐας τοῖς πολίταις δωρούμενα· ὧν τὸ
μὲν ὡς πρὸς νότον τοῦ ὄρους, πρὸς ἀνατολὴν δὲ τῆς πόλεως, ὡς
D λίαν ἐστὶ παγκαλλὲς καὶ ἐράσμιον. κεκόσμηται γὰρ δένδρεσιν
ἀμφιλαφέσι, παραδείσοις ποικίλοις, ὕδασιν ἀπείροις, τοῖς μὲν
πηγαίοις τοῖς δὲ ποταμίοις, οἷς αἱ λόχμαι τοῦ ὄρους τῷ πεδίῳ
χαρίζονται καὶ αὐτὴν δὲ δεξιοῦνται τὴν θάλασσαν. ἄμπελοι γὰρ
ἀλλήλαις παραπεφυτευμέναι τὰ χωρία στεφανοῦσι καὶ τὸν φιλό-
καλον ὀφθαλμὸν τῇ πληθύϊ τῶν καρπῶν εἰς εὐφροσύνην προτρέ-
πονται· μοναὶ δὲ μοναχῶν πολλαὶ καὶ συχναὶ τό τε ὑπτιάζον τοῦ
ὄρους καὶ τὸ τῆς λοιπῆς γῆς ὑποκείμενον κατοικοῦσαι, καί τισι
τερπνοτάτοις χωρίοις ἐγκαθεζόμεναι, καινόν τι χρῆμα τοῖς τε ὁδί-
P 322 ταις καὶ αὐτοῖς τοῖς πολίταις πεφύκασι. τὸ δὲ κατὰ λαιὰν πλευ-
ρὰν τοῦ ὄρους πεδίον ἐστὶ καὶ αὐτὸ τεταμένον εἰς μῆκος πολύ,
εὐρύνεται δὲ μέχρις ἄλλων ὀρέων· οὗ τινὸς ἐν μέσῳ πελαγίζονται
δύο τινὲς εὐρεῖαι λίμναι, τὸ πλεῖστον τούτου διακατέχουσαι καί
τινα μεγάλην καὶ αὗται συνεισφέρουσαι χρείαν. τρέφουσι γὰρ
ἰχθύας καὶ μικροὺς καὶ μεγάλους, καὶ τοῖς εἴδεσι διαφόρους καὶ
πολλοὺς τῷ πλήθει, ταῖς τε γείτοσι κώμαις καὶ αὐτῇ δὲ τῇ πόλει
δαψιλεστάτην ἀποπληροῦντας τράπεζαν. καὶ γὰρ οἷον φιλονεικοῦ-
σιν αἱ λίμναι ταῖς τούτων ἐπιδόσεσι πρὸς τὴν θάλασσαν, καὶ
B ἁμιλλῶνται τίς αὐτῶν τὸ πλεῖον παράσχηται. πλὴν ἑκάτεραι νι-
κῶνται ἐξ ἑκατέρων, καὶ ἡ νικῶσα οὐκ ἔχει τίνι τὴν ἧτταν κατα-

6 θάλατταν L   11 κοινόν L

quicquid ad vitam commode sustentandam conducit ubere proventu sufficiant. horum alter, quippe ad montis austrum vergens urbisque meridiem, dici non potest quam sit amoenus quantasque delicias praebeat. frondosis enim densisque condecoratur arboribus, hortis varii generis et vivariis, aquis pene innumeris, partim fontium rivis partim et fluviis, quibus montanae silvae lucique campo gratificantes ipsum mare accipiunt. vites enim alternis consitae arva coronant, pulchrique amantes oculos fructuum abundantia ad iucundissimas voluptates invitant. monachorum plura spissaque, religiosa palaestra, hospitia, tum montis declive tum agri reliqui subiecta colentia, locisque amoenissimis posita, novum quoddam spectaculum peregrinis ipsisque adeo civibus offeruntur. sed et campus a montis laeva, ipse quoque longissime fusus, ad alios usque montes dilatatur; cuius medio duo late stagnantes lacus potiorem partem occupant, qui ipsi non contemnendi usus existant. alunt enim tum parvos tum magnos diversique generis et copia pene innumerabiles pisces, qui tum vicinis oppidis tum ipsi civitati uberrime obsonia victumque sufficiant. videntur enim hice lacus suis largitionibus cum mari prope contendere mutuoque certare, utra plura exhibeant. alterum tamen ab altero vincitur, nec cuius victoria est, utri victi dedecus ad-

ψηφίσεται. τὸ δὲ λοιπὸν τοῦ πεδίου ἀνεῖται τοῖς γεωργοῖς, παρα-
χωρεῖται τοῖς ζῴοις, τοῖς τε πειθομένοις ταῖς τῶν ἀνθρώπων
τέχναις καὶ τοῖς ἐλεύθερον ἀφιεῖσι τὸ ἴχνος τοῖς ὄρεσιν. ἔλαφοι
γὰρ τὰ ὄρη λιποῦσαι καὶ ταῖς λίμναις ὥσπερ τῶν ὑδάτων ἐπιτερ-
πόμεναι ὁμοῦ τε ἔχουσιν ἄφθονον τὸ ποτόν, καὶ ταῖς βουσὶν ἐν
αὐτῷ συναγελαζόμεναι κοινὰ τὰ σῖτα προσφέρονται.

6. Ἀλλ' ἱκανῶς ἐν τούτοις τά τε πρὸς ἀνατολὴν καὶ βορ-
ρᾶν τῆς πόλεως, ἔτι γε μὴν καὶ τὰ πρὸς νότον διαγραψάμενοι
τὴν πρὸς δύσιν αὐτῆς τοῦ χωρίου θέσιν κατὰ τὸ δυνατὸν ἱστορή-
σωμεν. ἔστιν ἕτερον πεδίον, ἀπ' αὐτοῦ τοῦ τείχους τῆς Ἐκβολῆς
ἀπαρχόμενον, τῇ δεξιᾷ τοῦ ὄρους ἁπτόμενον, τῇ λαιᾷ δὲ τῇ θα- C
λάσσῃ συνομοροῦν, ἀμύθητον κάλλει ταῖς τῶν ὁρώντων ὑποκεί-
μενον ὄψεσιν. ἔστι γὰρ τὸ μὲν αὐτοῦ διάβροχον ὕδασιν, ὅσον
αὐχεῖ τήν τε πόλιν ἔχειν καὶ τὴν θάλασσαν γείτονα, ἀμπέλοις καὶ
δένδρεσι κατακόμοις καὶ παραδείσοις κατεστεμμένον, οἰκήμασί τε
καί τισι πλείστοις σεβασμίοις σηκοῖς κεκοσμημένον, ὧν τοὺς πλείο-
νας μοναχῶν ἀγέλαι διείλοντο, πᾶν εἶδος ἀρετῆς ἀσκοῦντες καὶ
θεῷ μόνῳ ζῶντες, πρὸς ὃν ἐπείγονται καὶ δι' ὃν τὰς πολιτικὰς
ταραχὰς λιπόντες τὴν πρὸς αὐτὸν καὶ μόνον φέρουσαν τρίβον ἀνεί-
λοντο. τὸ δ' ἐντεῦθεν αὐτοῦ διαχεῖται τῇ χέρσῳ μέχρι πολλοῦ,
ἄξυλον μὲν ὡς τὰ πολλὰ τὴν βλάστην ἔχον, πάσης δὲ γεωργικῆς D
ἐπιμελείας ἐπιτήδευσιν παρεχόμενον. διήκει δὲ τὴν ἡλίου δύσιν

9 αὐτοῖς AL

scribat, valet statuere. agri pars reliqua agricolarum usibus cedit; animantibus quoque indulgetur, tum quae humanis parent artibus ac mansuescunt, tum quae per montana libero pede vagantur. cervi namque relictis montibus, velutque lacuum aquis recreati, tum ubere fruuntur potu, tum ad ipsum convenientes communi cum bobus pabulo vescuntur.

6. Sed iam satis in istis, quae ad ortum et aquilonem ac quae item ad austrum urbis sunt, descriptis, situm loci qui ad occasum vergit, uti fieri poterit, enarrabimus. alius campus est ab ipso Ecboli muro incipiens dextraeque montis adhaerens, laeva vero mari contiguus, quam nemo satis capiat, pulchritudine videntium oculos ad se alliciens. est enim aquis irriguus, qua parte urbis marisque vicinitate gloriatur, vitibusque et densis arboribus ac vivariis hortisque coronatus, nec non aedibus plurimisque venerabilibus delubris decoratus; quorum pleraque monachorum agmina inter se partiti sunt, viri omne virtutum genus colentes solique deo viventes, ad quem et festinant, cuius etiam causa relictis saeculi turbis unam, quae ad ipsum tendit atque fert, semitam elegerunt. qua vero inde intra terram longissimo intervallo diffunditur, nullo fere silvarum aut arbustorum opacatur germine, sed qui idoneum solum exhibeat agricolarum industriae. procurrit vero versus solis or-

ἀποσκοποῦν, ἕως τινῶν ἄλλων ὀρέων ὑψηλῶν καὶ μεγάλων παρατεινόμενον, ἔνθα καὶ πόλις τις Βέρροια καλουμένη κατῴκισται, καὶ αὐτὴ περιφανεστάτη τοῖς οἰκήτορσί τε καὶ πᾶσι τοῖς ἄλλοις οἷς αὔχεῖ πόλις τὴν σύστασιν. ἐμπεριέχει δὲ τῷ διὰ μέσου χώρῳ τὸ πεδίον τοῦτο καὶ ἀμφιμίκτους τινὰς κώμας, ὧν αἱ μὲν πρὸς τῇ πόλει τελοῦσι, Δρουγουβῖταί τινες καὶ Σαγουδάτοι τὴν κλῆσιν ὀνομαζόμενοι, αἱ δὲ τῷ συνομοροῦντι τῶν Σκυθῶν ἔθνει οὐ μα-
P 323 κρὰν ὄντι τοὺς φόρους ἀποδιδόασι. πλὴν γειτνιάζουσιν ἀλλήλαις αἱ κῶμαι τὴν οἴκησιν, καὶ ἔστι καὶ τοῦτο πρὸς τοῖς ἄλλοις Θεσσαλονικεῦσιν οὐ μικρῶς συμβαλλόμενον, τὸ πρὸς τοὺς Σκύθας διὰ τῶν ἐμπορικῶν μεθόδων συναναμίγνυσθαι, καὶ μάλισθ᾽ ὅταν ἔχωσι πρὸς ἀλλήλους καλῶς καὶ μὴ κινῶσιν ὅπλα τὴν μάχην ἐξαγριαίνοντα· ὃ δὴ καὶ πολλῷ τινὶ τῷ πάλαι χρόνῳ παρ᾽ ἑκατέρων μελετηθέν, κοινότητα ζωῆς τὰς χρείας ἀλλήλοις ἀμείβουσι, θαυμασίαν τινὰ καὶ βαθεῖαν εἰρήνην ἐν ἑαυτοῖς συντηρούμενοι. ποταμοὶ δέ τινες παμμεγέθεις ἐκ τῆς Σκυθῶν ἐξορμώμενοι καὶ τὸ
B προλεχθὲν πεδίον καθ᾽ ἑαυτοὺς διελόμενοι πολλὴν δαψίλειαν καὶ αὐτοὶ τῇ πόλει παρέχονται ταῖς τε χορηγίαις ταῖς ἀπὸ τῶν ἰχθύων καὶ ταῖς δι᾽ αὐτῶν ἀπὸ τῆς θαλάσσης τῶν νηῶν ἀναδρομαῖς, δι᾽ ὧν ἐπινοεῖται ποικίλη τις πρόσοδος τῶν χρειῶν τῶν ὑδάτων ἐκείνων συγκαταρρέουσα.

7. Ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν μακράν, ἢ ὡς ἀπ᾽ ἀρχῆς

15 ἐν om L 22 μακρὸν AL

tum, ad alios usque excelsos ac praegrandes montes protensus, ubi et civitas cui nomen Berrhoeae condita est, ipsa quoque habitatorum frequentia ac reliquis omnibus quibus se urbes iactare solent illustrissima. planities medio suo ambitu oppida promiscue continet, quorum aliqua urbis dicionis sunt eique contribuuntur, Drugubitae et Sagudati nomine, aliqua finitimae Scytharum genti, non longe dissitae, tributa solvunt. ceterum oppida e proximo habitantur, quod ipsum praeter alia in Thessalonicensium rem non parum conducit, dum quaestuosa mercatura Scytharum commercia ambiunt; tum praesertim cum utrique genti inter se bene convenerit, nec quibus ad praelia efferantur arma moverint (quod utique ab antiquis olim temporibus iis diligenter quaesitum), communibus vitae rationibus merces alias aliis commutant, admirandam quandam altamque inter se servantes pacem. item fluvii, iique ingentes, ex Scytharum regione erumpentes et, quem dicebam, agrum, inter se dividentes, ipsi quoque uberem urbi praestant annonam, tum piscium praestationibus, tum navium per eos e mari adscendentium vectura, quibus rerum ad vitae usum conducentium, una cum aquis illis confluens, varius excogitatus est proventus.

7. Enimvero imprudens nec nimis caute prolixius his de rebus

ὑπεσχόμην, τὸν περὶ τούτων παρατείνας λόγον. πεποίηκε δὲ τοῦτο ὁ περὶ τὴν πατρίδα πόθος, ἡδέως τῇ τε μνήμῃ συνεφελκόμενος, καὶ ταῖς ἀνατυπώσεσιν οἷον δοκῶν συνεῖναι τοῖς λεγομένοις, καὶ τὸ πρόθυμον καὶ ζητητικὸν τῆς σῆς φιλομαθοῦς ἀκοῆς, ἣν ἐξ ἀρχῆς παραθέσθαι πᾶσαν ἡμῖν καθυπέσχου, μηδενὸς ἄλλου περισπῶντος C αὐτὴν ἢ τοῦδε τοῦ διηγήματος ὑποσύροντος. ταῦτα δὲ οὕτως ἔχει. φιλοῦσι γὰρ ἀεὶ τὰ ποθούμενα τῶν πραγμάτων ἀνάγκης δεσμοῖς καὶ τὸν λέγοντα περὶ αὐτῶν κατέχειν καὶ τὸν ἀκούοντα· καὶ οὐκ ἂν οὕτως εὐχερῶς καὶ ῥᾳδίως οὔτε ὄψις τῶν ἡδίστων θεαμάτων οὔτε ἀκοὴ τῶν τερπνῶν ἀποστήσεται ἀκουσμάτων, οὔτε λόγος ἡδὺς τῆς ὁρμῆς ἀνακοπήσεται, μέχρις ἂν φθάσῃ τὸ πέρας πρὸς ὃ κατ' ἀρχὰς ἐπείγεται. πλὴν εἰ δοκεῖ, πάλιν ἀναδράμωμεν πρὸς αὐτὴν ἐκείνην τὴν πόλιν· μέχρι γὰρ τίνος ὡς ἐν κατόπτρῳ τὸν ἀνδριάντα διαμορφοῦμεν, καὶ ταῖς ἔξωθεν τῶν D χρωμάτων ποικιλίαις ἀπεικονίζειν πειρώμεθα τὸ ἀρχέτυπον, ἐξὸν αὐτοῖς ἐκείνοις ἐντυχεῖν διὰ τῶν καιρίων διηγημάτων τοῖς πράγμασιν, ὡς ἂν γνωριμώτερον εἴη τὸ ἀμυδρῶς πως παραδηλούμενον; Θεσσαλονίκην γάρ, ὁποία τυγχάνει, τῷ λόγῳ διαγράψαι καθ' ὅσον οἷόν τε κατ' ἀρχὰς ὑποσχόμενοι, καὶ τίς οὖσα πρότερον εἰς τί κεχώρηκεν ὕστερον, τοῖς περὶ αὐτὴν ὥσπερ ὑποκλαπέντες, καὶ τοῖς ἔξωθεν, ὡς ἂν εἴποι τις, μέχρι τοῦδε σχολάσαντες διηγήμασι, κινδυνεύομεν βραδύνοντες τὴν τῶν καιρίων διήγησιν. χρεὼν οὖν ἐστὶ καὶ πάλιν πρὸς αὐτὴν ἐπανιέναι τῷ λόγῳ καὶ τὸ πρῶτον περὶ P 324

orationem produxi quam ipse initio in me receperam. in causa fuit amor patriae, non insuaviter cum memoria distractus, rerumque imaginibus, aeque ac praesens, iis ipsis dicendisque infixus, nec non promptae ac exploratrices tuae sedulitatis aures, quas nobis concredere, nullo alio eas subtrahente nec ab ista narratione avellente, initio pollicitus es. et haec quidem ita se habent. ea enim quae amori habentur ac desiderantur, et narrantem et audientem necessitatis vinculis continuo solent colligare, ut non ita facile neque visus a iucundissimis spectaculis neque auris a suavissimis auditionibus avellatur, neque dulcis orationis impetus interrumpatur, donec terminum attigerit ad quem ab initio contendit. nihilominus, si lubet, ad eandem ipsam urbem recurramus. quousque enim velut in speculo statuam effingimus et variis aliunde quaesitis coloribus primum exemplar effigiare conamur, cum liceat illa ipsa per rerum necessariarum narrationem adire, ut apertius innotescat quod subobscure quodammodo indicatur? Thessalonicam siquidem, qualis est, oratione describere, quoad fieri potest, initio polliciti, et qualis cum esset antea, in quid postea redacta sit, pulchris quibus illa circum ambitu decoratur abrepti, et in exterioribus enarrandis, ut quispiam dixerit, hactenus immorati, parum est ut iis quae praecipua sunt ac necessaria enarrandis torpere videamur. operae pretium igitur est ut et ad ipsam iterum sermone redeamus, primamque

αὐτὴν καταμαθεῖν κἄλλο , εἶτα οὕτω γε τοῦ πάθους ἐξειπεῖν ἐν ὑστέρῳ τὸ μέγεθος, ἵνα ὅσον φανείη τῶν ἄλλων πόλεων ἀσυγκρίτως ὑπερτερεύουσα, τοσοῦτον ἀξία κριθείη παρὰ πασῶν θρηνεῖσθαι καὶ κατοικτίζεσθαι.

8. Εἴπομεν ὡς εὐρεῖά τις καὶ μεγάλη ἡ πόλις, καὶ τῷ περιέχοντι πολὺν τὸν διαμέσον χῶρον ἐναποκλείσασα. ἀλλ᾽ ὅσον μὲν τοῦ τείχους τὴν χέρσον ἀποσκοπεῖ, ἐρυμνότατόν τέ ἐστι καὶ τῷ πάχει τῆς οἰκοδομῆς κατωχυρωμένον, τῷ ἔξωθέν τε προτειχίσματι τὸ ἀσφαλὲς πάντοθεν συντηροῦν, προβόλοις καὶ ἐπάλ-
B ξεσιν ἅπαν καταπεπυκνωμένον, καὶ μηδεμίαν ἀνάγκην φόβου τοῖς οἰκήτορσι παρεχόμενον. τὸ δὲ πρὸς νότον αὐτοῦ χθαμαλόν τέ ἐστι παντελῶς καὶ πρὸς πόλεμον ἀπαράσκευον· οἶμαι γὰρ τῷ μηδεμίαν ὑφορᾶσθαι προσβολὴν βλάβης ἐκ τοῦ πρὸς θάλασσαν ὁ τεχνίτης πάλαι τῆς οἰκοδομῆς κατημέλησε. φέρεται δέ τις καὶ παλαιὸς λόγος μέχρις ἡμῶν φθάσας, ὡς ἀτείχιστος ἦν ἐξ ἐκείνου τοῦ μέρους ἡ πόλις χρόνους πολλούς, εἰ μὴ τῷ δέει ποτὲ τοῦ Μήδων Ξέρξου, πλωτὴν γῆν τεκτηναμένου καὶ κατὰ τῆς Ἑλλάδος στρατοπεδεύσαντος καὶ πολλῶν πληθὺν ἐπιφερομένου, ὁ τῶν Ῥωμαίων τὰ σκῆπτρα κατ᾽ ἐκείνους τοὺς καιροὺς ἰθύνων μικρόν τινα
C καὶ ὡς ἐκ τοῦ παρατυχόντος φραγμὸν τῷ τῇδε περιέθηκε μέρει. ἀφ᾽ οὗ δὴ χρόνου καὶ μέχρι τοῦ δεῦρο τὸ αὐτὸ τοῦτο διαμεμένηκεν, οὐδέποτε τῆς ἐκεῖθεν βλάβης, ὡς ᾤετο, κἂν ἐν ὑπονοίᾳ

6 διὰ μέσον A: an διὰ μέσου? 9 πάντοτε P 10 φόβον A

illius pulchritudinem ac claritatem noscamus, ac tum deinceps eius, quam perpessa est, ruinae ac cladis magnitudinem referamus, ut quantum reliquis urbibus incomparabili excessu praestare videbatur, tantum digna iudicetur quam communi omnes luctu prosequantur eiusque miseratione ducantur.

8. Diximus quam latis pomeriis atque ambitu magnaque civitas, et quae vastum limitem eo intercludat: sed murus continentem versus tutissimus est et structurae crassitie munitissimus, exteriorique muro ac propugnaculo tuta undique munitione obseptus, propugnaculis et pinnis omni area constipatus, nec ullam oppidanis iusti timoris necessitatem praebens. pars illius ad notum humilis est ac prorsus depressa belloque plane inutilis. nam reor artificem, quod nullam antiquitus ex maris ora hostium aggressionem metueret, structuram neglexisse. fertur vero antiquo rumore, qui ad nostra haec tempora pervenit, urbem ex ea parte per multos annos omni muro septoque caruisse, ac donec Xerxis quondam Medorum regis timore (eius scilicet qui terram navigabilem fecerat et copiosis agminibus Graeciae bellum indixerat) Romanarum rerum dominator pusillo, et ut sese occasio tulerat, aggere eam partem circumsepsit; qui ipse agger ex eo tempore ad hoc aevi subsistit, nullam inde noxam atrocisque rei suspicionem unquam fore existimans. licet

τισὶν ἐσομένης. εἰ γὰρ καὶ πολλοὺς πολλάκις ἀνέτλη πολέμους καὶ λίαν σφοδροτάτους ἡ πόλις, τούς τε ἐκ τῶν βαρβάρων καὶ αὐτῶν δὲ τῶν συνομορούντων Σκυθῶν, πᾶν εἶδος ἀμυντηρίων κατ' αὐτῆς ἐπινοουμένων καὶ ψάμμου δίκην τῷ πλήθει τῆς στρατιᾶς εἰσρεόντων καὶ μηδὲ ὑποφέρειν τὴν ἀπειλὴν αὐτῶν φιλονεικούντων (καὶ γὰρ ὡς ἀληθῶς ἦσαν ἀκάθεκτοι ταῖς ὁρμαῖς καὶ ποικίλῃ τινὶ πανοπλίᾳ πεφραγμένοι), ἀλλ' ἦν ἄρα περίγειος ὥσπερ ἡ μάχη, καὶ διέφευγε τὰς ἐπιβουλὰς τῷ ἀσφαλεῖ τοῦ τείχους D τὴν ἔφοδον ὑπεκκλίνασα, καὶ τῷ συνήθως αὐτῇ καὶ θερμῶς ὑπερμαχοῦντι, λέγω δὴ τῷ πανενδόξῳ μάρτυρι Δημητρίῳ, τὴν ἑαυτῆς σωτηρίαν καταπιστεύουσα. ἐκ πολλῶν γὰρ αὐτὴν κινδύνων ὁ σωσίπατρις οὗτος ἐρρύσατο, καὶ τὸ νικᾶν αὐτῇ καὶ μήπω τοῦ πολέμου πειραθείσῃ πολλάκις συμπαθῶς ἐδωρήσατο. ἀλλὰ ταῦτα ταῖς τῶν θαυμάτων αὐτοῦ βίβλοις ἐξηγῆσαι παραχωρήσαντες τοῖς ἑξῆς ἡμεῖς τῶν ἤδη λεχθέντων προΐωμεν.

9. Ἦν οὖν ταῖς ῥηθείσαις αἰτίαις ἀνωτέρα κινδύνου παντὸς ἡ πόλις. ἐξ ὅτου γὰρ ἡ κολυμβήθρα τοῦ θείου βαπτίσματος τὸ τῶν Σκυθῶν ἔθνος τῷ χριστωνύμῳ λαῷ συνεμόρφωσε καὶ τὸ P 325 τῆς εὐσεβείας γάλα κοινῶς ἀμφοτέροις διείλετο, πέπαυτο μὲν ἡ τῶν πόλεων στάσις, ἀνεῖτο δὲ τῆς ἐνεργείας ἡ τὰς σφαγὰς ἐπιτηδεύουσα μάχαιρα, καὶ τὰ προλεχθέντα τῷ μεγαλοφωνοτάτῳ τῶν προφητῶν Ἠσαΐᾳ ἐναργῶς ἐφ' ἡμῖν ἐπληροῦτο· αἱ μάχαιραι γὰρ

5 μηδὲν A   11 γὰρ αὐτῶν κινδύνων αὐτὴν ὁ P   14 ἐξηγεῖσθαι?   17 ἁγίου P   19 αἱ τῶν πόλεων στάσεις P   22 Ἰσαΐᾳ A

enim pleraque saepius bella, eaque crudelissima, civitas, tum barbarorum tum finitimorum Scytharum, machinamenta et oppugnantium astus varios excogitantium arenaeque exaequatis copiis influentium ac cunctos minis terrentium (erant namque effrenato impetu et armorum omni genere septi), sustinuerit, cum esset terrestris conflictus, insidias eludebat, huius muri securitate irruptionem declinans, solitoque atque ferventi suo defensori, gloriosissimo nempe martyri Demetrio, suam concredens salutem. ex multis enim periculis servator hic patriae ipsam liberavit, nec raro, cum necdum etiam bellum experta esset, victoriam perhumane concessit. verum haec libris qui de illius miraculis exstant narranda permittentes, ea prosequamur quae deinceps sequuntur.

9. Civitas igitur ob eas quas dicebam causas omnis periculi secura agebat. quo enim ex tempore Scytharum gens, sacri fontis aquis abluta ac Christiano populo sociata, pari illi munere pietatis lac sugere destinaverat, urbium desolationes finem habuerant; ad caedes instructi ensis mucro inhibitus erat retusumque ferrum, ac quae olim prophetarum vocalissimus Esaias (2 4) fuerat vaticinatus, nostro hoc aevo

ἡμῶν μετῆλθον εἰς δρέπανα καὶ αἱ ζιβύναι εἰς ἄροτρα, καὶ πόλεμος ἦν οὐδαμοῦ, καὶ τὴν περίχωρον ἅπασαν εἰρήνη κατεπρυτάνευε, καὶ οὐδεμία ἦν εὐζωΐας ἀφορμὴ ἧς οὐκ εἰς κόρον ἡμεῖς ἀπελαύομεν, ἔνθεν αἱ τῆς γεωργίας ἀφθονίαι, ἐκεῖθεν αἱ τῆς ἐμπορίας χορηγίαι. γῆ γὰρ καὶ θάλασσα λειτουργεῖν ἡμῖν ἐξ **B** ἀρχῆς ταχθεῖσαι πλουσίαν καὶ ἀδάπανον τὴν περὶ ἕκαστον ἐδωροφόρουν. ὧν γὰρ ἦν ἐνδεῶς ἢ καὶ ἀνεπιτηδείως ἔχουσα πρὸς καρπογονίαν ἡ γῆ, τούτων παρ' ἑαυτῆς ἡ θάλασσα τὴν κτῆσιν μηχανωμένη καὶ ταῖς ὁλκάσι συνεισκομίζουσα ἀνενδεὲς τὸ λεῖπον ἐδίδου τοῖς χρήζουσι. τί δὲ τῶν ἁπανταχόθεν ἐπιδημούντων εἴποιμι πρῶτον, καὶ μάλιστα οἷς ἐφιλοτιμοῦντο τοὺς πολίτας ἡμᾶς, τὰ παρ' ἑαυτῶν διδόντες καὶ τὰ παρ' ἡμῶν ἀντιλαμβάνοντες; λεωφόρου γὰρ δημοσίας τῆς πρὸς ἀνατολὴν ἀγούσης ἀπὸ τῆς δύσεως διὰ μέσου τῆσδε χωρούσης τῆς πόλεως, καὶ ἀναγκαίως **C** πειθούσης τοὺς παροδεύοντας πρὸς ἡμᾶς ἐνδιατρίβειν καὶ τὰ πρὸς τὴν χρείαν πορίζεσθαι, πᾶν ὁτιοῦν ἂν εἴποι τις τῶν καλῶν ἐξ αὐτῶν ἐκαρπούμεθά τε καὶ προσεκτώμεθα. ἔνθεν καὶ παμμιγής τις ὄχλος ἀεὶ περιεστοίχει τὰς ἀγυιὰς τῶν τε αὐτοχθόνων καὶ τῶν ἄλλως ἐπιξενουμένων, ὡς εὐχερέστερον εἶναι ψάμμον παράλιον ἐξαριθμεῖν ἢ τοὺς τὴν ἀγορὰν διοδεύοντας καὶ τῶν συναλλαγμάτων ποιουμένους τὴν μέθοδον. ἐντεῦθεν χρυσίου καὶ ἀργυρίου καὶ λίθων τιμίων παμπληθεῖς θησαυροὶ τοῖς πολλοῖς ἐγίνοντο, καὶ τὰ

19 ὡς om A   21 ποιουμένων P

adimpleta conspiciebantur. nostri enim gladii transierant in falces et lanceae in vomeres, nec usquam bellum erat; omnesque ubique finitimae gentes in pace agebant; nullaque erat commodioris vitae ratio ac occasio, qua non affatim frueremur. inde frugum ubertas, inde mercaturae emolumenta. terra enim et mare ab initio ad praestandum nobis obsequium constituta uberem sponteque paratam quandoque suam gratiam munusque conferebant. quae enim terra minus suppeditabat aut ex se proferre non satis erat idonea, haec mare, mercimoniorum solertia comparata atque navibus invecta, quod egentibus deerat, abunde supplebat. quid vero undequaque adventantium primum dixerim, ac quibus praecipue nos cives amice accipiebant, sua tribuentes atque vicissim nostra recipientes? nam cum via publica ab occasu ad ortum per mediam hanc urbem duceret, cogeretque viatores in ea moras interponere et quae in usum suum essent parare, quicquid quis bonorum dicat, ex illis consequebamur nobisque proveniebant. hinc promiscua ex omni hominum genere multitudo, tum indigenarum tum quoquo modo hospitio receptorum, plateas semper circuibant; ut facilius sit arenas maris numerare quam eorum qui forum occupabant ac qui commerciis miscebantur censum inire. hinc auri argenti et pretiosorum lapidum ingentes ac copiosi thesauri vulgo accrescebant; vestesque sericae perinde atque aliis la-

ἐκ Σηρῶν ὑφάσματα ὡς τὰ ἐξ ἐρίων τοῖς ἄλλοις ἐπινενόητο. περὶ γὰρ τῶν ἄλλων ὑλῶν, χαλκοῦ καὶ σιδήρου κασσιτέρου τε καὶ μολίβδου καὶ ὑέλου, οἷς αἱ διὰ πυρὸς τέχναι τὸν βίον συνέχουσι, D καὶ μνησθῆναι μόνον παρέλκον ἡγοῦμαι, τοσούτων ὄντων ὡς ἄλλην τινὰ δύνασθαι πόλιν δι' αὐτῶν δομεῖσθαί τε καὶ ἀπαρτίζεσθαι.

10. Οὕτω δὲ πανταχόθεν εὐθηνουμένη καὶ πλεονάζουσα, ταῖς τεχνικαῖς τε καλλυνομένη μεθόδοις καὶ ταῖς τῶν οἰκημάτων ὑπερηφανευομένη λαμπρότησιν, ἆρα ταῖς ἐκ νόμων παρατηρήσεσιν ἢ ταῖς περὶ τὸ πολίτευμα τάξεσιν ἢ ταῖς περὶ λόγους αὐχήσεσιν ἐφαίνετο τῶν ἄλλων ἐνδεῶς ἔχουσα; οὐμενοῦν· ἐσπουδάζετο γὰρ αὐτῇ γνῶσις ὡς ὀφθαλμοῖς βλέψις καὶ εὐνομία ὡς ζωῆς πραγματεία. P 326 καὶ εἶδες ἂν περὶ μηδὲν ἄλλο τὴν νεάζουσαν τῶν παίδων κῆραν σχολάζουσαν ἢ περὶ λόγους, ἐξ ὧν ἐπιστῆμαι καὶ τέχναι τὸ κράτος ἔχουσι. τὰ δὲ περὶ τῆς ἁρμονίου μουσικῆς τῶν ᾀσμάτων, ἢ τῶν ᾀδόντων τὰ ψυχοτερπῆ μέλη καὶ τῶν τῷ θεῷ κεκληρωμένων σπουδάσματα ἐπὶ τῷ λόγῳ σημάνω; πῶς δὲ τὴν τούτων διαγράψωμαι δήλωσιν; μέχρι γὰρ τοῦδε τοῦ διηγήματος οὐκ οἶδ' ὅπως τῇ ῥύμῃ τοῦ λόγου συναπαχθείς, καὶ τῆς οἰκείας ὥσπερ ἰδιωτείας ἐπιλαθόμενος, ἐπειρώμην μέτριον πῶς, καὶ ὡς οὐκ ἄν τις ἄλλος τῶν λίαν ἀμαθῶν καὶ ἀγροίκων, τῶν παρὰ τῆς σῆς ἀρετῆς αἰτηθέντων B τὴν δήλωσιν διαγράφεσθαι· τὸ δ' ἀπὸ τούτου, καὶ μά-

2 κασσιτήρου AP 9 περιφανευομένη A 14 κοῦραν? cf. p. 367 A 17 τὰ σπουδάσματα ποίῳ λόγῳ? σημανῶ A 20 μέτριον πῶς] μετρίως?

neae excogitabantur. aliarum vero materiarum, aeris ferri stanni plumbi vitri, quibus ad ignem opus facientes artes vitam tuentur ac fovent, vel meminisse superfluum duco, tanta scilicet eorum copia ut ex illis urbs quaedam alia exstrui atque perfici posset.

10. Hac itaque ratione, omni ex parte rebus prosperis ad voluntatem fluentibus, urbs fortunata et artificum ingeniis condecorata, nec non aedificiorum magnificentia superbiens, num vel legum observatione vel civilis rei ordinibus vel dicendi gloria atque doctrina aliis inferior erat? minime vero: nam illi scientia aeque curae erat ac visus oculis, aequitas pariter haud aliter ac vitae negotiatio; vidissesque iuvenum ac adolescentum pubem nulli praeterea quam disciplinis ac literarum studiis vacare, unde scientiae et artes robur obtinent. harmonicae vero musices cantiones aut canentium suavissima mele deique laudibus ac clero mancipatorum studia dicturus, haud equidem scio quibus ea modis exprimam. ad hanc enim usque narrationem nescio quomodo orationis impetu raptus, ac velut propriae inscitiae ac ruditatis oblitus, conabar moderate, et ut non alius quispiam harum valde imprudens rerum ignarusque omnium ac stupidus, quae a tua virtute rogatus eram, scripto digerere ac explicare: exinde vero, ac praecipue quod suavium cantico-

λισθ᾽ ὅτι τῆς εὐρύθμου τῶν ᾀσμάτων ἐμνήσθην ἡδυφωνίας, οὐκ οἶδα τίς γένωμαι ἢ ποῖ τῷ λόγῳ χωρήσω, ποῖον δὲ παραλείπω τῶν ἡδίστων ἐκείνων καὶ εὐτάκτων μελῳδημάτων, οἷς συνέψαλλον καὶ συνεόρταζον ἄνθρωποι ταῖς οὐρανίαις δυνάμεσιν. εἰ γάρ τις τὴν μοῦσαν ἐκείνην, τὴν ἐκ παντὸς στόματος ὑφ᾽ ἓν τῷ θεῷ ἀναπεμπομένην τοὺς ὕμνους ἐν ταῖς πανδήμοις συνάξεσι, τῷ ἤχῳ C τῶν ἑορταζόντων ἀγγέλων, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία, ἐξεικονίσαι θελήσειεν, οὐδὲν τοῦ δέοντος ἁμαρτήσεται. (11) ναοὶ γάρ τινες παμμεγέθεις καὶ περικαλλεῖς τῇ ποικίλῃ διακοσμήσει, διὰ μέσου προβεβλημένοι τῆς πόλεως ὥσπερ τινὰ κοινὰ πρὸς τὸ θεῖον ἱλαστήρια, καὶ τούτων μάλιστα ὁ τῆς παντουργοῦ καὶ θείας τοῦ ὑπερουσίου λόγου σοφίας οἶκος, καὶ ὁ τῆς ἀειπαρθένου πανάγνου καὶ θεομήτορος, ἀλλὰ μὴν καὶ ὁ τοῦ προλεχθέντος πανενδόξου καὶ καλλινίκου μάρτυρος Δημητρίου, ἔνθα D τοὺς θείους ἄθλους διήνυσε καὶ τὸ βραβεῖον τῆς νίκης ἐδέξατο, οἳ καὶ τὸν ἅπαντα δῆμον ταῖς κατὰ περίοδον ἐπανιούσαις τῶν ἑορτῶν ἡμέραις ἐν ἑαυτοῖς ἐκκλησιάζοντες, ἀνεκλάλητον εὐφροσύνην καὶ πνευματικὴν χαρμονὴν τοῖς συνιοῦσιν ἐβράβευον. ἐκεκλήρωντο γὰρ ἐν ἑκάστῳ τούτων τάγματα ἱερέων, δι᾽ ὧν ἡ μυστικὴ τελεῖται λατρεία, καὶ ἀναγνωστῶν συστήματα, δι᾽ ὧν ἡ τῶν ᾀσμάτων σπουδάζεται ὑμνῳδία, ἀμοιβαδὸν τοὺς στίχους ἀλαλάζοντες, καὶ ταῖς χειρονομίαις τῶν μελῶν τὸν φθόγγον διατιθέν-

2 παραλίπω? 11 ἐξιλαστήρια A

rum ac melodiarum mihi incidit mentio, quo me vertam nescio, aut quo sermonis ducam lineam; quodnam item dulcissimarum concinarumque modulatarum cantionum illarum omittam, quibus mortales cum caelestibus potestatibus psallebant ac dies festos agebant. etenim si quis eam modulantiam, quam uno ore in unum congregati omnes divinis canticis, in publicis conventibus, ad deum emittebant, angelorum sonis concelebrantium, ubi laetantium omnium habitatio est, assimilaverit, is a scopo veroque ne vel minimum aberraverit. (11) templa enim quaedam praemagna ac magnifica varioque ornatu pulcherrima, per mediam urbem extantia ac exposita, veluti communia numinis propitiatoria, cum primis vero, interque ea praecipuum, omnium effectricis divinae et supersubstantialis verbi sapientiae, itemque semper virginis immaculatae ac deiparae, nec non, cuius supra memini, gloriosissimi praeclarique victoris, Demetrii martyris, ubi divina peregit certamina et victoriae palmam reportavit, haec nimirum recurrentibus per anni circulum festorum solenniis universae multitudinis in se concionem cogentia laetitiam inenarrabilem et spiritale gaudium convenis inferebant, in horum si quidem singulis sacerdotum ordines cleri matriculam implebant, quorum opera mysticus cultus resque sacra peragitur; lectorum item coetus, qui concinendis canticis diligentiam habeant, et alternis versus tinniant, manuumque

τες, καὶ μεγάλην τινὰ καὶ ἀξιοθέατον χορείαν συνιστῶντες, τῷ τε εἴδει τῆς ἀστραπτούσης στολῆς τὰς τῶν ὁρώντων θέλγοντες P 327 ὄψεις, καὶ τῇ τεχνωμένῃ τῶν ψαλμῶν λύρᾳ τὴν ἀκοὴν κατατέρποντες. τί γὰρ ἦν πρὸς τοῦτον τὸν ὕμνον ὁ μυθικὸς Ὀρφεὺς ἢ ἡ Ὁμηρικὴ μοῦσα ἢ τὰ τῶν Σειρήνων ληρήματα, τῷ ψεύδει τῶν πλασμάτων ἀναγραφόμενα, οἷς λόγος μὲν ἐπαίνων οὐδεὶς ἀληθής, φῆμαι δὲ ψευδεῖς τοὺς ἀνθρώπους πλανῶσαι καὶ πρὸς ἀπάτην ἀνδραποδίζουσαι. μάτην οὖν ἐν τούτοις ἐψευδοκτύπησαν οἱ Ἕλληνες, τὴν ἀληθῆ γνῶσιν τῶν πραγμάτων ἀφῃρημένοι καὶ ταῖς κενολογίαις τῆς αὐτῶν δεισιδαιμονίας καθ᾽ ἑαυτῶν ὁπλισάμενοι. ἡμῖν δὲ καὶ τὸ σεβαζόμενον ἦν ἀληθὲς καὶ αὐτὸ δὲ τὸ ὑμνούμενον. B

12. Ἔνθα δή μοι καὶ θάμβος ἐπέρχεται καὶ φρίκη καὶ ἔκπληξις, ὅταν κατὰ νοῦν λάβω πῶς ὁ τοιοῦτος καὶ τοσοῦτος ὕμνος, ὁ μήπω τινὶ τῶν ἄλλων προσφερομένων θυσιῶν τῷ μεγέθει ἐξομοιούμενος, ἀθρόον οὕτως ἐσίγησε καὶ εἰς οὐδὲν ἐλογίσθη καὶ ὡς ὄναρ ὑπανεχώρησε. πλήν γε τοῦτο λογίζομαι, ὅτι ἐν ταῖς ἁμαρτίαις ὄντες τὰ θεῖα κατὰ τὸν ψαλμῳδὸν ἐδιηγούμεθα δικαιώματα, καὶ τὸ μοχθηρὸν ἡμῶν τῶν τρόπων ἀδόκιμον τὸ περιφανὲς τοῦτο καὶ σεβάσμιον ἀπειργάσατο, ἀνάξιον κρίναντος τοῦ θεοῦ βεβήλοις καὶ ἐναγέσι χείλεσιν ὑμνεῖσθαί τε καὶ γεραίρεσθαι. μέχρι γὰρ τίνος τὴν ἀληθῆ αἰτίαν τοῦ πάντα κίνδυνον ἐπενεχθῆναι C

6 ὡς P 8 οἱ om A 10 τῆς αὐτῶν δεισιδαιμονίας om P
15 προφερομένων A 17 ταῖς om A

motibus modulationum sonos disponant, ac magnam quandam digneque spectabilem choream constituant, tum effulgente vestium forma spectantium oculos demulcentes, tum artificiosa psalmorum lyra auditum oblectantes. quid enim erat, si haec cantica consideres, fabulosus Orpheus aut Musa Homerica aut Sirenum deliramenta, fictionum mendaciis digesta, ut nulla laudum vera ratio sit, sed falsi rumores, mortalium genus seducentes atque errori mancipantes? frustra igitur in his Graeci crepantibus buccis sese iactant, qui vera rerum scientia careant vanisque sermonibus ipsi sibimet ipsis pugnent: nobis vero tum numen verum est, tum ipsum quod canimus laudisque obsequio frequentamus.

12. Hic mihi et admiratio subit incessitque horror ac stupor, dum mente recolo quomodo talis et tanta modulatio, ipsa nulli non alii hostiarum, quae deo offeruntur, magnitudine praestans, sic repente conticuit et in nihilum abiit velutque somnium abscessit. enim vero hoc recogito: nempe cum in peccatis essemus, iuxta Psalmistae (49 6) sententiam, divinas enarrabamus iustitias, morumque nostrorum improbitas illustrem hunc ac venerabilem cultum reprobum effecit, indignum iudicante numine profanis impurisque labiis laudari se honorique haberi. quousque enim tandem veram causam, ob quam nobis omnis haec illata

ἡμῖν εἰς μέσον οὐ παριστῶμεν, ἵν' ἔχωσι γνῶναι διὰ τοῦ καθ' ἡμᾶς ὑποδείγματος οἱ μετέπειτα ὅπως δεῖ λατρεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ καὶ ἑαυτοὺς ὑπεράνω παντὸς ὀλέθρου διατηρεῖν, ἵνα μὴ τοῖς ὁμοίοις ἡμῶν τῆς κακίας ὑπολισθαίνοντες πλημμελήμασι τὴν θείαν ἀγανάκτησιν ἐφ' ἑαυτοὺς ἐπισπῶνται. οὐδὲ γὰρ ἄλλου τινὸς ἕνεκεν τῆς μεγάλης ἀπειλῆς ἐκείνης, ἧς καὶ μεμνημένος ἐξίσταμαι, διὰ πείρας γεγόναμεν, ἀλλ' ἢ διὰ μοχθηρᾶς καὶ κακῆς D προαιρέσεως, εἴτε διὰ τὸ παρηλλαγμένον καὶ διάφορον τῆς τε πολιτείας καὶ τῶν ἠθῶν, τῶν συνεισρεόντων τῇ πόλει ἀνθρώπων ἐκ παντὸς ἔθνους καὶ τόπου ἄλλων ἄλλο τι συνεισφερόντων κακὸν καὶ τούτου τῷ πλησίον μεταδιδόντων (καὶ γὰρ δι' ἣν εἴπομεν ἄφθονον τῶν χρειῶν χορηγίαν οἱ τῶν πλησίον χωρῶν καὶ πόλεων ἄνθρωποι ἐν ταύτῃ τὴν οἴκησιν μετηλλάττοντο, καὶ μάλισθ' ὅσοι ταῖς ἤδη προαλωθείσαις νήσοις ἐκ τῆς τῶν δυσωνύμων Ἀγαρηνῶν ἐπιδρομῆς ὑπελείφθησαν, ἐπὶ τήνδε προσέφευγον, μηδεμίαν, ὡς ὑπελάμβανον, ἐν αὐτῇ πολεμίων φροντίδα τοῦ λοιποῦ ποιησόμε- P 328 νοι), εἴτε δὲ πάλιν διὰ τὸ ἀνειμένον τῆς τρυφῆς καὶ ἀφρόντιστον καὶ πρὸς πᾶσαν ἡδονὴν ποικίλον τῆς χρείας καὶ ἐπιτήδειον ὥσπερ τινὰ λήθην πεπόνθαμεν τοῦ θεοῦ, μακράν τινα καὶ ἀδιεξόδευτον πλανώμενοι πλάνην, καὶ καθὼς φησὶν ὁ ἀπόστολος, ἕκαστος ταῖς ἰδίαις ἐπιθυμίαις ἐπορευόμεθα, ἀδεῶς κατὰ πάσης ἁμαρτίας χωροῦντες καὶ τῆς πρὸς ἀρετὴν ἀγούσης μηδεμίαν ποιούμενοι ἐπι-

9 συνεισιόντων P ἀνθρώπων om P 14 τῆς om P

malorum vis, in medium non adducimus, ut nostro exemplo discant posteri quonam pacto colendus sit deus vivus ac verus, seque ab omni servent immunes interitu, ne iisdem atque nos delictis obnoxii divinam in se attrahant indignationem. nam nulla alia causa immanis illius poenae iraeque, cuius vel sola memoria extra mentis sedem exeo, periculum fecimus nisi ob pravam perditamque voluntatem, sive propter dissonos diversosque mores ac ingenia seu instituta, omni ex gente ac loco in urbem confluentium atque aliud alias malum importantium ac cum proximo illud communicantium. nam propter eam, quam diximus, uberem rerum in vitae usum suppeditationem vicinarum regionum atque urbium incolae mutatis sedibus in hac habitationem locabant; ac praecipue qui ex captis iam insulis per impuros Agarenos illorum grassationi superstites fuerant, ad eam confugiebant, nulla deinceps, ut sibi videbatur, hostium cura solliciti, atque in eam rationes suas transferebant. sive rursus etiam propter molles delicias nullisque studiis animum implicatum, tum ad omnem libidinem, ita usu subministrante, proclive ingenium, velut in dei quandam oblivionem venimus, longo quodam et inextricabili viarum errore ab illo abiuncti. et ut ait apostolus, unusquisque desideriis nostris ambulabamus, ad omnia licenter scelera procurrentes, et viam quae ad virtutem ducat pro nihilo habentes.

μέλειαν. (13) ποῖον γὰρ εἶδος κακίας, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐν ἡμῖν οὐκ ἐπράττετο; πορνεῖαι, μοιχεῖαι, ἀκαθαρσίαι, μίση, ψεύδη, κλοπαί, ἔριδες, φιλονεικίαι, λοιδορίαι, θυμοί, πλεονεξίαι, ἀδικίαι· καὶ ὁ ἀρχηγὸς τῶν κακῶν φθόνος κοινὸν ἐμμελέ- B τημα καθ' ἑκάστην καὶ ἀγοραῖον ἦν. οὐ γὰρ ὅστις ἡμῶν τῷ πλησίον πράξει καλῶς διὰ σπουδῆς εἶχεν, ἀλλ' ὅστις αὐτῷ τῶν ἀβουλήτων ἐπενεγκεῖν τι φρενοβλαβῶς ἐτεκταίνετο· οὐδ' ὅστις ἐκ τοῦ οἰκείου μεταδοῦναι τῷ χρῄζοντι τὸ συμπαθὲς πληρῶν ἐβεβούλητο, ἀλλ' ὅστις ἐκ τοῦ ἀλλοτρίου τὸ οἰκεῖον πλεονάσαι πρὸς τὸν ὁμόφυλον διεμάχετο, κατ' ἀλλήλων εἰρωνευόμενοι, ἀλλήλους πλήττοντες, ἀλλήλους διαβάλλοντες, πᾶν ὁτιοῦν κακὸν ἐν ἑαυτοῖς ἐξευρίσκοντες, ὀρφανοὺς ἄγχοντες, ὁρίοις χηρῶν ἐπεμβαίνοντες, ἔχθρας συνάπτοντες. καὶ τί δὴ τὸ τέλος τούτων ἁπάντων; ὀκνῶ C μὲν τὴν γλῶτταν τῷ μεγέθει τῶν πραγμάτων ἐπαφιέναι, καὶ οὐκ ἂν ἠνεσχόμην τῶν ἀλγεινῶν ἐκείνων ὧν ἤδη πεπόνθαμεν καὶ πάλιν ἐπιμνησθῆναι· ἀλλ' ἐπειδὴ τῶν τοιούτων διηγημάτων οὐκ ἔστιν ὅπως ὑπεκκλῖναι τὴν μνήμην, δι' ὧν τῷ βίῳ καινόν τι καὶ φοβερὸν ὑπελείφθημεν ἄκουσμα, λέξων ἔρχομαι τοῦ κινδύνου τὸ μέγεθος, ἵν' εἰδῇς καὶ αὐτὸς ὁποῖα τῆς ἁμαρτίας εἰσὶ τὰ ὀψώνια. ἐν ὅσῳ γὰρ ἐτρυφῶμεν, ἐν ὅσῳ ἐσπαταλῶμεν καὶ πᾶσιν ἀτόποις διεζῶμεν ἐπιτηδεύμασιν, ὅτε κατὰ τὸ ψαλμικῶς ῥηθὲν πάντες ἐξέ- D κλιναν, ἅμα ἠχρειώθησαν, καὶ οὐκ ἦν ὁ ἐκζητῶν τὸν θεόν, τότε

5 ἕκαστον P   9 τὸν] τὸ P   11 ἐνδιαβάλλοντες A

(13) quod enim malitiae genus, ut verum dicamus, in nobis non exercebatur? fornicationes, adulteria, immunditiae, odia, mendacia, furta, lites, contentiones, convicia, irae, rapinae, iniustitiae; et malorum omnium causa, invidentia, commune omnium studium et quotidianum atque forensis meditatio erat. neque enim ullus nostrum hoc satagebat ut de proximo bene mereretur, sed ut illi invisum aliquid malumque inferret stolide machinabatur. nec ut ex suo egenti tribueret, implens quod misericordiae est, animo reputabat, sed ut de alieno substantiam augeret, gentilibus suis pugnabat, cum se invicem deriderent, mutuo caederent, alter alteri calumniam strueret ac detraheret, nullum non malum secum ipsi excogitarent, pupillos suffocarent, viduarum fines invaderent, inimicitias necterent. enimvero quis horum omnium exitus? torpet animus rerumque magnitudini linguam iniicere horret; nec rursus malorum, quibus iam perfuncti sumus, meminisse sustinebam. quia tamen fieri non potest ut istiusmodi narrationum memoriam vitemus, qua ratione nova quaedam ac terribilis narratio mundo relicti sumus, periculi magnitudinem narraturus accedo, ut et ipse cognoscas quaenam sint peccati obsonia atque praemia (Rom. 6 23). cum enim luxu perditi essemus, voluptate liquesceremus ac mollitie flueremus, malisque omnibus institutis vitam duceremus; cum, ut psaltes concinit (13 3), omnes declinassent, simul inutiles facti essent, nec esset qui deum re-

τῆς φοβερᾶς ἐκείνης ἐπειράθημεν ἀπειλῆς, μᾶλλον δὲ καταστροφῆς, ἵν᾽ οἰκειότερον εἴπω, ἢ δικαίας ἀνταποδόσεως.

14. Καὶ σκόπει κἀνταῦθα τοῦ θεοῦ τὸ φιλάνθρωπον, τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. εἰδὼς γὰρ τὸ ἀκάθεκτον καὶ μοχθηρὸν τῆς γνώμης ἡμῶν ἐπὶ τὰ πονηρά, τί μηχανᾶται πρὸς τὸ τὴν ὁρμὴν ἐπι-
P 329 σχεῖν τῆς κακίας καὶ ἐπιστροφῆς ἡμῶν ἐμβαλεῖν αἰτίαν; πρῶτον μὲν τὴν ἤδη λεχθεῖσαν γείτονα πόλιν, τὴν Βέρροιαν λέγω, ἐπικατασεισθῆναι πεποίηκε τοῖς περιοίκοις ὡς πολλοὺς τῶν ἐκεῖσε συλληφθέντων ἐξαναλῶσαι, τί διοικούμενος ἐκ τούτου; ἵν᾽ ἡμεῖς πάντως τῶν ἑτέροις ἀπειλουμένων τὴν αἴσθησιν λαβόντες, τῶν ἰδίων κακῶν ἀποχὴν κἂν ὀψὲ γοῦν ποιησώμεθα καὶ πρὸς ἀρετὴν τὰς πράξεις ἰθύνωμεν. εἶτα ἐπειδὴ τούτου γενομένου οὐκ ἐνεδώκαμεν τῆς κρατούσης ἐν ἡμῖν παλαιᾶς συνηθείας, ἐφ᾽ ἕτερον εἶδος μηχανῆς μεταβαίνει, τὴν καὶ ἡμῖν αὐτοῖς ἔσεσθαι μέλλουσαν ἀμε-
B ταμέλητα πράττουσι συμφορὰν ἐν ἄλλοις προϋποδείξας. Δημητριὰς γὰρ οὕτω καλουμένη τῆς Ἑλλάδος ἑτέρα πόλις, οὐ μακρὰν ἡμῶν ἀπῳκισμένη, πολλῷ πλήθει τῶν οἰκητόρων καὶ τοῖς ἄλλοις οἷς μέγα καυχῶνται πόλεις τῶν ἔγγιστα ὑπεραιρομένη, οὐ πρὸ πολλοῦ τῆς ἡμῶν ἁλώσεως ἔργον ἐγένετο τῶν βαρβάρων. πολιορκηθεῖσα γὰρ ὡς μικροῦ δεῖν πάντων τῶν ὑπ᾽ αὐτὴν ἐν μαχαίρᾳ

3 τὸ τοῦ θεοῦ P   9 πολλῶν P   19 ὑπεραιρουμένη AP   21 πάντας?

quireret, tunc tremendum illud minarum pondus experti sumus, quin immo, ut verius dicam, eversionis seu iustae retributionis.

14. Et considera hic quoque dei humanitatem, qui non vult mortem peccatoris, sed ut convertatur et vivat (Ezech. 33 11). cum enim sciret proiectam scelestissimamque animi nostri ad mala pronitatem, quid machinatur ac consilii init, ut perditum illum furorem inhibeat et ad conversionem inducat? primum quidem, quae dicta a nobis est, Berrhoëam, urbem finitimam, cum tota vicinia terrae motu quassavit, adeo ut multi eo oppressi perierint. quid inde disponens ac procurans? ut nos scilicet, malorum divina ultione aliis inflictorum sensu percepto, tandem aliquando a propriis ipsi malis abstineremus actusque nostros ad virtutem dirigeremus. deinde, quia ne illo quidem casu de veteri vigente in nobis consuetudine quicquam remiseramus, ad aliud machinae genus transit, in aliis ante specimen edens eius calamitatis quae nobis ipsis obventura esset, dum nulla paenitudine peccaremus. Demetrias namque sic dicta, Graeciae alia urbs, haud longe a nobis dissita, tum accolarum frequentia tum rebus aliis, quibus urbes altum sapere ac gloriari solent, supra finitimas alte supercilium tollens, haud multo ante nostrae urbis excidium in barbarorum potestatem venit. obsessa enim ac capta, ut pene omnes qui in ea erant gladio ceciderint, nihil aliud

πεσεῖν, οὐδὲν ἕτερον παρεῖχε νοεῖν ἢ τοῖς κακοῖς ἡμᾶς ἐπιμένοντας τὴν ὁμοίαν πεῖραν τῶν πραγμάτων ἐκδέχεσθαι καὶ καθάπερ εἰς ἔμψυχον στήλην ἐν αὐτῇ τὰ κεχρεωστημένα ἡμῖν ἀναγινώσκειν παθήματα.

15. Ἀλλὰ μηδεὶς ἀποφαινόμενόν με οἰέσθω ταῦτα λέγοντα C ὅτι δι' ἡμᾶς αἱ πόλεις αὗται τῶν φοβερῶν τὴν πεῖραν ἐδέξαντο. ὠφείλετο γὰρ αὐταῖς, ὥς οἶμαι, καὶ δι' οἰκείαν μοχθηρίαν ὁ κίνδυνος, ὡς καὶ ἡμῖν μετ' ἐκείνας, ἀξίας τῶν ἡμαρτημένων ἑκάστῳ τὰς τιμωρίας ἐπάγοντος τοῦ θεοῦ. ἀλλ' ἐν τούτοις καὶ ἡμᾶς οὐ τὴν τυχοῦσαν ἀφορμὴν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιστροφῆς καὶ σωτηρίας εὔκολον ἦν ἐξευρεῖν, τὴν ἐκείνων καταστροφὴν οἰκείαν ἀσφάλειαν ποιουμένους. ὅμως ἐπειδὴ τὸν νοῦν ἡμῶν εἶδεν ὁ τὰς καρδίας ἐρευνῶν πάσῃ σπουδῇ τῆς ἐπ' ἀπωλείᾳ ἀγούσης ἐχόμενον, D μηδεμίαν μὲν τῶν σωτηρίων ἐντολῶν καὶ παιδευτικῶν ἐνεργειῶν ὑπολειφθεῖσαν, ἐξ ὧν αἰσθητικὴ καὶ νήφουσα ψυχὴ τὸ καλὸν μεταμανθάνει, διαφεύγουσα τῶν χειρόνων τὰς πράξεις, δι' ἃς ἐπέρχεται ἡ ὀργὴ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ὥς φησιν ὁ ἀπόστολος, ἔδει δὲ τὴν κακίαν ἐκτριβῆναι, ἵνα μὴ τῇ ἐπὶ πλεῖον προόδῳ καὶ ἑτέρους λυμαίνοιτο, διὰ τοῦτο ἀφῆκεν ἡμῖν ἐπενεχθῆναι τὴν φοβερὰν ἐκείνην καὶ φρικώδη πληγήν, ἵν' ὅπερ ἄλλων πασχόντων ἡμεῖς οὐκ ἐδιδασκόμεθα, τοῦτο ἡμεῖς παθόντες ἄλλοις ὑπόδειγμα ποιησώμεθα.

5 λέγειν? 12 οἶδεν AP 14 μηδεμίαν] καὶ μηδεμίαν?

cogitandum animis ingerebat quam fore ut qui in malis perseveraremus, parem in nos ultionem exciperemus, et ut velut in animata columna ac cippo, quae nobis debita essent mala diraque, perscripta legeremus.

15. Nullus tamen existimet, dum haec ita pronuntio, me velle hasce urbes nostri causa tremenda haec expertas fuisse illisque malis factas obnoxias. nam et illis, opinor, ob ipsam earum pravitatem, aeque ac nobis post ipsas, animadversio debebatur, deo scilicet singula quaeque scelera digne ulciscente. verum in iis nos quoque haud levem occasionem melioris frugis ineundae atque salutis facile fuit invenire, ita nimirum ut earum casu noxaque res nostras in tuto collocaremus. verum enimvero quia is qui corda scrutatur (Psal. 7 10) animum nostrum omni studio haerere noverat viae quae ducit ad interitum, cum nihil ei salutarium mandatorum castigationumque deesset, quorum sensu ad sobrietatem reductus animus mutato consilio, quod honestum ac officii est, condiscit, vitans scelera ob quae ira ingruit in filios inobedientiae, ut ait apostolus (Ephes. 5 6), decebatque malitiam elidi ac aboleri, ne maius incrementum faceret atque aliis noxam inferret, iccirco tremendam illam atque horrendam plagam nobis inflixit, ut quod aliorum malis praemoniti non didiceramus, eius nos aliis, nostro ipsi periculo, exemplo essemus ac documento.

P 330 16. *Ἀλλὰ τί δεῖ μακρολογεῖν; καιρὸς γὰρ ἤδη τῶν καιρίων διηγημάτων ἐφάψασθαι, καὶ ὅπως τὴν ὀδυνηρὰν ἐκείνην πολιορκίαν ὑπέστημεν παραστῆσαι τῷ λόγῳ, ὡς εἶναι τοῖς μετέπειτα νουθεσίας ὑπόθεσιν καὶ ἐναργοῦς διδασκαλίας παραίνεσιν. ἐν τούτοις γὰρ ὄντων ἡμῶν ἧκέ τις ταχυδρόμος ἄγγελος ἀπὸ τοῦ κρατοῦντος τὰ τῶν Ῥωμαίων σκῆπτρα, Λέοντος τοῦ φιλευσεβοῦς ἄνακτος, τὴν ἔφοδον τῶν βαρβάρων, λέγω δὴ τῶν δυσωνύμων Ἀγαρηνῶν, καταμηνύων καὶ ὡς τάχα ὁπλίζεσθαι, πρόσφυγάς τινας ἀπ᾽ αὐτῶν ἐκείνων τῶν βαρβάρων ἀφῖχθαι λέγων, καὶ τὴν*
B *βουλὴν αὐτῶν, ἥτις ἐστί, προειπόντας τῷ βασιλεῖ, καὶ ὅτι πᾶσαν τὴν ὁρμὴν ἐπὶ τήνδε πεποίηνται, ὑπὸ πολλῶν ἤδη τῶν ὑπ᾽ αὐτῶν προχειρωθέντων βεβαιωθέντες ὡς ἀτείχιστός ἐστιν ἐκ τοῦ πρὸς θάλασσαν μέρους καὶ ταῖς ἀπὸ τῶν νηῶν μάχαις εὐεπιχείρητος. ταύτης οὖν ἀγγελθείσης τῆς πονηρᾶς ἀγγελίας, θροῦς μὲν ἐγένετο κατὰ πᾶσαν τὴν πόλιν καὶ φόβος καὶ τάραχος, ἀσυνήθους πράγματος καὶ φοβεροῦ ταῖς ἀκοαῖς ἡμῶν ἐν ἀρχαῖς προσπεσόντος, ἐβουλευσάμεθα δέ, οἴμοι, τὴν οἰκείαν περιποιήσασθαι σωτηρίαν, καὶ ὅσα πρὸς τὴν τῶν ἐναντίων ἄμυναν καταρτίζειν,*
C *καὶ πρὸς τὸν κατ᾽ αὐτῶν πόλεμον διεγείρεσθαι. πλὴν ἔκαμνε μὲν ὁ λογισμὸς ἑκάστου καὶ ταῖς ἄλλαις μερίμναις τῆς ἀπειρίας τοῦ μάχεσθαι, μήπω τοῦ πράγματος ὢν ἐν πείρᾳ, μηδ᾽ ὅπως τὴν ἀρχὴν λαμβάνει δεδιδαγμένος· πλέον δὲ τὸ μὴ ἐπιτήδειον εἶναι τὸ τεῖχος ἔνθα καὶ τὴν προσβολὴν ἐσκοποῦμεν, τὰς ἁπάντων ψυ-*

23 τὸ om P

16. Sed quid necesse orationem trahere? iam enim tempus est necessaria rerum momenta aggredi, ac modum quo diram illam obsidionem pertulimus sermone referre, quo scilicet inde posteris admonitionis argumentum ac ratio claraeque doctrinae adhortatio sit. etenim cum res nostrae ita se haberent, celer quidam cursor nuntius a Leone, piissimo imperatore tum imperii Romani sceptra moderante, venit: barbarorum (inauspicati scilicet nominis atque ominis Agarenorum) irruptionem denuntians, ad arma statim convolare iubet. venisse profugos quosdam ex ipsis barbaris, eorumque consilii imperatorem praemonuisse: impetum omnem versus Thessalonicam vertere, ea scilicet ratione, quod ex pluribus iam ab eis bello captis ac subiugatis certo didicerint, qua parte respicit mare, nullis eam cingi moenibus exque navibus conserta pugna facile expugnari posse. malo hoc igitur allato nuntio per totam urbem rumor diditur, timorque ac titubatio omnes occupat, insueta plane re atque tremenda tum primum nostris auribus illapsa. eo nobis (heu!) versa consilia, ut salutem nostram tutaremur, ac quae arcendo hostes essent omnia pararemus, atque ad bellum sustinendum animis excitaremur. verum concidebat cuiusque animus, cum aliis disiectus curis, quod bello inexperti eramus nulloque rei usu, nec ut ipsa eius ducenda exordia noveramus; tum vero magis quod murus nihil idoneus erat, quo et

χὰς κατεβύθιζε· καὶ γὰρ ἦν ὡς ἀληθῶς ὕποπτον, οὐ μόνον τοῖς ἀπειροπολέμοις καὶ ἀόπλοις ἡμῖν, ἀλλ' ἤδη καὶ αὐτοῖς τοῖς γεγυμνασμένοις καὶ προαποκειμένας ἔχουσι τὰς τῶν τοιούτων πραγμάτων αἰτίας. (17) ἐβουλευσάμεθα δ' οὖν, εἴ τι καὶ δέοι πράττειν, ἐν αὐτῷ πράττειν τῷ τείχει καὶ πρώτης ἔχεσθαι τῆς αὐτοῦ ἀσφαλείας καὶ πρὸς τὸ κρεῖττον μεταποιήσεως. οὐ συνεβούλευε D
δ' ἡμῖν τοῦτο τέως ὁ ταύτην ἡμῖν τὴν ἀγγελίαν πρὸς τοῦ βασιλέως κομίσας (Πετρωνᾶς δὲ οὗτος ἐκαλεῖτο, τῷ καταλόγῳ τῶν πρωτοσπαθαρίων ἐναριθμούμενος, ὃς ἦν ἐπιτετραμμένος ἐγχρονίσαι μικρὸν τῇ πόλει καί τινος αὐτῇ μεταδοῦναι βοηθείας καὶ δεούσης ἐν τοῖς πράγμασι συνεργείας), ἄλλην δὲ σοφωτάτην ἔλεγεν ἐξευρεῖν ἐπίνοιαν, ὡς λίαν ἐνεργῆ καὶ σωτήριον, εἰ μὴ καὶ ταύτης αἱ προοδοποιοῦσαι τὴν καθ' ἡμῶν ἀπώλειαν ἁμαρτίαι ἀναίρεσιν καθυπέβαλον. ἐλλόγιμος γὰρ ὢν ὁ ἀνὴρ καὶ πολλὴν πραγμάτων ἐσχηκὼς πεῖραν, καθ' ἑαυτὸν συνιδὼν ὡς εἰ θελήσοι τοῦ τείχους P 331
τῆς οἰκοδομῆς ἐπιμεληθῆναι, καὶ κόπους παρέξει τῇ πόλει καὶ πλέον οὐδὲν τῶν πρὸ αὐτοῦ περὶ τούτου φροντισάντων ὀνήσειεν, ἐφ' ἕτερον εἶδος ἀσφαλείας (καὶ σκόπει πῶς εὐφυὲς καὶ ἁρμόδιον) τὸν νοῦν μετηγάγετο. εἰδὼς γὰρ ὡς ἅπαν περικλύζεται τὸ κατὰ νότον μέρος τῆς πόλεως ὑπὸ τῶν θαλασσίων ὑδάτων, ἐκεῖθεν δὲ προσπίπτοντος τοῦ πολέμου εὐχερῶς ἔχειν τοὺς βαρβάρους πᾶν ὁτιοῦν βούλοιντ' ἂν ἐν αὐτῷ διαπράξασθαι, μηδενὸς κωλύοντος

2 αὐτοῖς γεγυμνασμένας ἔχουσι P   20 ἀπὸ AP

hostium impetum exspectabamus, omnium animos desperatione mergebat. ac sane res suspecta erat, non solum nobis bello inexpertis ac inermibus, sed et si qui iam exercitati istiusmodi rerum causas apprime callerent. (17) itaque in eam sententiam ivimus, si quid esset moliendum, id esse in ipso muro conandum, et ante omnia illius securitati et in melius refectioni prospiciendum. cogitata non laudabat qui ab imperatore nuntium nobis attulerat (Petronae nomen erat), vir protospathariorum adscriptus catalogo; cui erat impositum ut paululum in urbe commoraretur opemque suam conferret et rebus debita subsidia subministraret. is aliud sapientissimum consilium, quippe valde efficax ac salutare, se invenisse aiebat, nisi illud quoque scelera nostra dissipassent, quae nostro excidio sternebant viam. namque cum aliis vir ille, sed maxime rerum experientia praestaret, intra se ipsum examinans, si in exstruendis muris cura adhiberetur, maxima urbi adfutura incommoda, et nihilo magis iis se profecturum qui ante ipsum simile opus aggressi essent, ad aliud securitatis genus (et nota quam aptum ac peropportunum) animum advertit. considerabat enim, cum pars urbis noto adversa marinis aquis tota circumlueretur, si inde barbari arma movissent, quicquid libuisset, in ea facile effecturos, cum nemo ipsorum ascensui in muros (ipsos humiles ac terrae contiguos) impedimento

αὐτοὺς ὑπεράνω τῆς οἰκοδομῆς γενέσθαι τοῦ τείχους διὰ τὸ πρόσγειον καὶ χθαμαλώτατον εἶναι τάς τε νῆας μᾶλλον ὑπερανέχειν ἐκ
B τοῦ κατὰ πρύμναν μέρους, καὶ ἀπὸ μετεώρου δύνασθαι τοὺς ἐν ταῖς ἐπάλξεσιν ὄντας κατατιτρώσκειν, ἐβουλεύσατο φραγμόν τινα καὶ τετεχνημένην ἐνέδραν ἐν αὐτοῖς ἐγκρύψαι τοῖς ὕδασιν, ὡς ἂν καὶ τῇ πόλει τὸ ἀσφαλὲς καὶ τοῖς ἐχθροῖς ἐμπόδιον κατ' αὐτὸ γένηται. πολλοὶ γὰρ ἦσαν ἐκ μονολίθου γεγλυμμένοι τύμβοι κατά τε τὸ πρὸς ἀνατολὴν καὶ δύσιν μέρος τῆς πόλεως, ἐν οἷς πάλαι τοὺς ἑαυτῶν νεκροὺς οἱ τήνδε κατοικοῦντες ἐνεταφίαζον Ἕλληνες· οὓς καὶ συνάγων καί τινι παραδόξῳ μεθόδῳ, ἣν αὐτὸς μόνος ἐξεῦρε, τῇ θαλάσσῃ βυθίζων, καὶ ὡς ἀπὸ μικροῦ τινὸς διαστή-
C ματος στοιχηδὸν τούτους τοῖς ὕδασιν ἀποκρύβων, θαλάσσιόν τι καὶ ξένον ἔρυμα καὶ τοῦ πρὸς ὕψος τῇ χέρσῳ προβεβλημένου τείχους ὀχυρώτερόν τε καὶ ἀσφαλέστερον τῇ ἀληθείᾳ κατετεχνάζετο. καὶ δὴ καὶ εἰς ἔργον ἂν ἐξέβη πᾶσαν ἀσφάλειαν τῇ πόλει περιποιούμενον, ὡς μηδὲ δύνασθαι τὰς νῆας πλησιάσαι τὸ παράπαν καὶ τῆς ἑαυτῶν μεταδοῦναι βλάβης, εἰ μὴ καὶ τοῦτο διὰ τὴν μοχθηρίαν ἡμῶν ἐκωλύθη καὶ εἰς οὐδὲν προεχώρησεν. (18) ἤδη γὰρ περὶ τὰ μέσα που τοῦ κινδυνώδους τόπου πεφθακότος τοῦ τοιούτου διαποντίου φραγμοῦ, καὶ πᾶσαν ἡμῶν ὑπόνοιαν ἐπίφο-
D βον καὶ πονηρὰν ὑποτέμνοντος, ἵκετό τις ἕτερος, καὶ αὐτὸς πρὸς τοῦ βασιλέως πεμφθείς, τὸν εἰς τοῦτο πεμφθέντα Πετρωνᾶν σπουδαίως μεταπεμπόμενος καὶ τὴν φροντίδα πᾶσαν τῆς πόλεως

2 καὶ χθαμαλώτατον om P 22 ταχθέντα A

esse posset: nam navium puppis ita eminebat, ut ex ea tanquam ex loco superiori in propugnaculis immorantes hostium iaculis obnoxii essent. statuit igitur aggerem quendam arteque factitatas insidias in aquis ipsis occultare, quibus securitas urbi simulque hostibus obstaculum foret. erant namque in tractu urbis ad orientem ac occidentem vergente plurima ex uno lapide excavata sepulchra, quibus antiquitus gentiles, qui eam inhabitaverant, suos mortuos condebant. haec ille in unum convehens, ac mirabili quodam artificio, cuius ipse solus sibi auctor exstiterat, in mare demergens, et perparvo intervallo a se dissitos ordine tamen digestos inter aquas contegens, marinum quoddam ac pene inauditum munimentum, eo ipso muro qui ad continentem altiore structura eminebat validius ac securius, artificiosa vere sedulitate condebat. et iam opere praestitum fuisset, omnem urbi securitatem praestans, cum non possent naves appellere noxaque urbem afficere, ni hoc quoque propter nostram improbitatem interruptum in nihilum recidisset. (18) cum enim prope iam circa medium loci periculosi per mare ductum sepimentum istiusmodi pervenisset, omnemque nobis metum ac malam suspicionem levaret, venit alius ab eodem imperatore missus, Leo nomine, qui in eam rem missum Petronam cito revocans, omnem

εἰς ἑαυτὸν μετατιθείς· Λέων δὲ οὗτος ἐκαλεῖτο, πάσης τῆς περιχώρου προχειρισθεὶς στρατηγὸς καὶ πᾶσαν ἐπιμέλειαν τῶν πρὸς τὴν μάχην εὐτρεπιζομένων πραγμάτων ἀναδεξάμενος. ᾧ καὶ ἔδοξε τὴν τοῦ ἔργου τούτου σχολάσαι τέως φροντίδα, καὶ τοῦ τείχους τὴν οἰκοδομὴν ἐξανύεσθαι. ἅμα γὰρ ἧκε, καὶ μεθίστησιν εὐθὺς τὸν δῆμον ἅπαντα τὸν εἰς τοῦτο τεταγμένον πρὸς τὸ τὰς χρειώδεις ὕλας τοῖς τεχνίταις ἐπικομίζειν, ὡς ἂν τῇ πολυχειρίᾳ τυχὸν καὶ τῇ τῶν δεόντων δαψιλεῖ χορηγίᾳ τὸ σπουδαζόμενον εἰς ἔργον ἄγοιτο. P 332
ἤδη μὲν οὖν πάλιν τὰ τῆς οἰκοδομῆς ἦν ἐνεργῆ. ἀλλ' ὅσον ἐδόκει τὸ πρὸς ὕψος ἐγειρόμενον τοῦ τείχους τὴν τῶν ἐναντίων ἀπείργειν κακόνοιαν, τοσοῦτον ἐφαίνετο τὸ λεῖπον τοῖς πολίταις ἡμῖν παντὸς κινδύνου καθυπεμφαῖνον ὑπόνοιαν. οὔτε γὰρ ἅπαν διορθωθῆναι δυνατῶς εἶχε πολλῷ μήκει διατεινόμενον πρὸς τὸ μηκέτι τὴν ἐξ αὐτοῦ συμφορὰν ἡμᾶς ὑποπτεύειν, καὶ ὁ χρόνος τὴν τῶν πολεμίων ἔφοδον ἐφεστάναι προεμαρτύρατο μήπω τοῦ μέσου χώρου τῆς οἰκοδομῆς ἁψαμένης, ἐξ οὗ καὶ τὴν βλάβην ὑπωπτευόμεθα. ἀγγελίαι γὰρ τῶν προτέρων φοβερώτεραι καὶ συχνότεραι B
τὰς ἁπάντων ἡμῶν ἀκοὰς περιεθρύλουν, καὶ τοὺς βαρβάρους ἐγγίζειν ἤδη τὸ πλεῖστον τοῦ πλοὸς διανύσαντας. οὐκ ἦν γὰρ ὅπου καὶ πρὸς μικρὸν αὐτοὺς ἐμβραδῦναι, διὰ τὸ τὰς πλείονας νήσους ὑπ' αὐτῶν προεκπορθηθῆναι, καὶ τὰς πρὸς θάλασσαν ἐχούσας πόλεις τὴν οἴκησιν τῇ καταπλήξει μόνῃ τῆς ἀκοῆς αὐτῶν πρὸς φυ-

3 την om P

in se civitatis curam recepit. Leo itaque finitimae omnis regionis ac provinciae praetor creatus, omnisque bellici apparatus cura in se translata, coepti huius operis laborem interim intermittendum putavit, murorum contra exstructionis opus absolvendum. statim enim atque appulit, omnem mox multitudinem in hoc constitutam ad necessariam artificibus materiam convehendam transfert, quo scilicet laborantium multitudine et copiosa necessariarum rerum suppeditatione substructionis murorum destinatum opus efficeret. iam itaque huic operi diligentia habebatur, reique instabant. quantum enimvero sublatus in altum murus hostium destinatam malitiam arcere videbatur, tantum nobis civibus, quod eius reliquum erat, mali ominis ac periculi suspicionem sensumque coniectura haud levi ingerebat. non enim totus, in longitudinem nimiam expansus, ita reparari poterat ut omnem deinceps exspectatae ex eo cladis timorem auferret; tempusque iam prope hostium irruptionem instare testabatur, cum necdum structura medium ipsum locum attigisset, ex quo nobis suspectum malum et exitium foret. nuntii enim prioribus terribiliores ac crebriores nostrum omnium aures obtundebant, iamque barbaros prope imminere, maxima parte navigationis illis expleta. neque enim erat quod vel minimum eis moras iniiceret, cum iam plerasque insulas populati essent, urbesque maritimae sola auditus eorum conster-

γῆν ἐκτραπῆναι, καὶ μηδὲν ὑπάρχειν ὃ τὴν ὁρμὴν αὐτῶν ἢ τὴν τῶν ὅπλων συνέχειαν ἐξαρκεῖν ὑπομεῖναι. τέτταρας γὰρ ὁμοῦ καὶ πεντήκοντα τὰς βαρβαρικὰς εἶναι προέλεγον νῆας, οὐδὲν ἧττον πόλεως ἑκάστης αὐτῶν τῷ μεγέθει καὶ ταῖς ἄλλαις κατασκευαῖς C τυγχανούσης, ἐν αἷς ἦν παμμιγής τις ὄχλος ἀπονενοημένων καὶ μανιωδῶν, τῶν τε τὴν Συρίαν οἰκούντων Ἰσμαηλιτῶν καὶ τῶν ὁμορούντων Αἰγυπτίοις Αἰθιόπων, πάντων αἱμοβόρων καὶ θηριογνωμόνων ἀνθρώπων, πολλὴν τὴν ἐν τοῖς φόνοις ἐπιστήμην ἐξησκημένων καὶ ταῖς ληστρικαῖς ἐπινοίαις τὰς σφαγὰς ἐμμελετησάντων, ὡς μὴ δύνασθαί τινα κἂν ἀκοῇ τὴν τούτων ἐκδέξασθαι πεῖραν, ἀλλὰ σπεύδειν ἕκαστον ὑποχωρεῖν τῆς ἐνεγκαμένης, κρεῖττον ἡγούμενον τὴν μετὰ θηρῶν ἀγρίων ἐν τοῖς ὄρεσιν οἴκησιν ἢ τὸ ὑπ᾽ αὐτῶν ληφθῆναι καὶ πολυώδυνον ἀπενέγκασθαι θάνατον.

D 19. Πλὴν ἐν τούτοις τούτων ἐχόντων πάλιν φοβερώτερός τις τῶν ἤδη λεχθέντων ἐξελήλυθεν ἄγγελος, τῶν βαρβάρων τὴν ἔφοδον πλησιέστερον οὖσαν ἅπασι προδηλῶν. Νικήτας δὲ οὗτος ἐκαλεῖτο, στρατηγὸς τὴν ἀξίαν καὶ τὴν ἐν τοῖς βουλεύμασιν εὐταξίαν. οὗτος ἐλθὼν συνεπαμῦναι τῇ πόλει κατηγγυᾶτο (εἰς τοῦτο γὰρ ἔλεγεν ἀφῖχθαι); καὶ εἴ τι δέοι πράττειν, ἑτοίμως ἔχειν καθυπετίθετο. πλὴν ὅτι συνέβη τι καὶ τοιοῦτον γενέσθαι μεταξὺ τῆς προσδοκίας τῶν πολεμίων ἐξ ἐπινοίας τοῦ σκανδαλουργοῦ καὶ

5 οἷς P   15 τῶν ante βαρβ. om P   18 εὐταξίαν Combefisius pro ἀταξίαν

natione ac pavore fugam arripuissent, nihilque esset quod eorum impetum subsistere aut constipatam aciem sustinere posset. quattuor enim supra quinquaginta simul esse barbaricas naves nuntiabant, quae singulae urbibus magnitudine ac reliquo apparatu exaequabantur, in quibus promiscua vesanorum hominum ac furentium turba veheretur, tum Ismaëlitarum, qui Syriam inhabitant, tum Aethiopum Aegypto confinium, cruentorum omnium ferinisque animis atque indole praeditorum, qui caedium arte plurimum exercitati essent, latrociniisque olim dediti fusi noxam cruoris necisque studium omne habuissent, ut nec vel auditu eorum quisquam periculum sustinere posset, sed singuli quique festine patria excederent, quibus potius esset in montibus cum feris bestiis habitare quam ut ab eis capti aerumnosa morte diroque cruciatu perirent.

19. Ceterum rebus se ita habentibus, rursus alius nuntius dictis iam ac superioribus terribilior venit, barbaros quam proxime adesse omnibus referens. Nicetae nomen fuit; qui ut dignitate, sic consiliis componendo civitatis ordine dux erat. suo is accessu opem se urbi allaturum pollicebatur: ad hoc enim aiebat se venisse; ac si quid agendum esset, ad omnia se paratum affirmabat. verum enimvero per eam interim suspensam hostium exspectationem, scandalorum auctoris ac ne-

πονηροτάτου δαίμονος. ὁ γὰρ ἤδη λεχθεὶς στρατηγὸς τούτῳ δὴ
τῷ νεωστὶ παραγενομένῳ Νικήτᾳ αὐτοῦ που περὶ τὴν οἰκοδομὴν P 333
τοῦ τείχους κατ' ἀρχὰς ἐντυχὼν ἵππῳ ἐφεζόμενος, ὡς τὴν συνήθη
πρὸς τὸν φίλον ἔδοξεν ἐκπληρῶσαι τῷ ἀσπασμῷ προσηγορίαν, καὶ
αὐτὸν ἵππῳ ἐγκαθεζόμενον, τοῦ ῥυτῆρος ἀμελήσας δεινόν τι πέ-
πονθε πρᾶγμα καὶ πολλῶν δακρύων ἐπάξιον. ἐκταραχθέντες οἱ
ἵπποι, καὶ πλέον οὗτος ἐφ' ὃν ὁ στρατηγὸς κεκαθίκει, τῇ φυσικῇ
μανίᾳ πληγεὶς τόν τε αὐχένα σιμώσας καὶ τὴν κόμην φρίξας, ὄρ-
θιον ἀρθεὶς τῆς ἕδρας αὐτὸν ἀπεβάλετο, καὶ ἐκ τοῦ πρὸς οὐρὰν
κυβιστήσας καὶ πρὸς τοὔδαφος ῥιφεὶς τὸν δεξιόν τε μηρὸν καὶ τὰ
πρὸς τὴν κοτύλην μέλη θλασθεὶς ἐλεεινὸς ἦν καὶ αὐτῆς τῆς ζωῆς
ἀπειπών· ὃν οἱ τῆς στρατιωτικῆς τάξεως δορυφόροι παραχρῆμα B
ταῖς χερσὶν ἀνελόμενοι ἀπῆγον οἴκαδε, μηδὲν ὡς εἰκὸς περὶ τῶν
προκειμένων πραγμάτων τοῦ λοιποῦ φροντιούμενον. ἔκειτο δὴ ὁ
ἀνὴρ ὀδύναις ἀφορήτοις βληθείς, οὐκ ἔχων ᾧ τινὶ πρῶτον τὸν
νοῦν ἐπαφήσει. εἷλκε μὲν γὰρ αὐτὸν ἡ φροντὶς τοῦ προσδοκωμέ-
νου κινδύνου, πῶς καὶ τίνα τρόπον περισώσει τὴν πόλιν ἐκ τῆς
ἐπιδρομῆς τῶν βαρβάρων· ἀνθεῖλκε δὲ τοῦτον πρὸς ἑαυτὸν πλέον
ἡ δριμεῖα ὀδύνη καὶ τὸ θάνατον ἀπειλεῖν τῶν πληγέντων μελῶν
τὸ πάθος, καὶ ἀνέπειθε μηδὲν ἕτερον προτιμᾶν τῆς ἑαυτοῦ σωτη- C
ρίας. καὶ οὕτως ἐν μεθορίῳ δύο χαλεπῶν κείμενος καὶ ἐξ ἑκατέ-
ρου νικώμενος πρὸς πᾶσαν ἐνέργειαν ἦν τῶν δεόντων ἀνεπιτήδειος.

5 ἵππον A 8 καὶ τὴν — 9 ἕδρας om P 12 τῆς om P
13 μηδενὸς εἰκὸς AP 17 ἐκ om P 21 καὶ om ante οὕτως P

quissimi daemonis machinamento, eiusmodi aliquid accidit, ut nempe laudatus praetor, dum in Nicetam, qui nuper advenerat (ubi tum is exstruendo muro operam dabat) equo insidens incidisset, et cum eo quasi amico consuetam mutuis complexibus salutationem complere visum esset, ipso quoque equo insidente, nec caute satis frena tenens, diro casu multisque lacrimis prosequendo laederetur. nam obturbati equi, et immanius is quo ipse ferebatur, naturali furore percitus, reducta cervice atque rigide erecta iuba, rectum sese sustollens eum sede expulit; qui per caudam devolutus et in solum prostratus, coxa dextra et circa cotylem membris collisis, ita misere habitus est ut et de vita ipsa desperaret. eum militaris cohortis satellites, statim manibus sublatum, domum adduxerunt, nullam, ut par est, deinceps eorum quae in manibus essent curam habiturum. iacebat itaque vir intolerandis affectus doloribus, nesciens cui primum animum adhiberet. trahebat enim ipsum imminentis periculi solicitudo, quomodo quave ratione urbem ab invasione barbarorum tutam servaret; magis vero contra trahebat ad seque retrahebat acerrimus dolor et membrorum fractura, quae mortem minitabatur, propriaeque saluti reliqua posthabenda illi suggerebat. sic in medio duorum malorum positus ac utroque fatiscens, quicquid necessariae operae incumberet, ineptissimus erat. nihilominus nos urgente rerum

πλὴν διὰ τὸ κατεπεῖγον τοῦ καιροῦ πύργους τινὰς ξυλοσυνθέτους
τῷ διερρυηκότι μέρει τοῦ τείχους ἡμεῖς δομησάμενοί τε καὶ προσ-
πελάσαντες ὀλίγην τινὰ παρέσχομεν ἑαυτοῖς χρηστῆς ἐλπίδος ἀνα-
ψυχήν, ὡς δῆθεν ἀφ' ὕψους τοὺς ἀπὸ τῆς θαλάσσης ἐρχομένους
ἀπείργειν καὶ μὴ παραχωρεῖν αὐτοῖς πλησίον ἰέναι τοῦ τείχους καὶ
τὰς κακοβουλίας αὐτῶν ἐνεργεῖν. ταῦτα δὲ σπευδόντων ἦν ἐφευ-
D ρήματα, τῆς ἀνάγκης τοῦ φόβου τὰς ἐπινοίας τῶν ματαίων ὑπο-
βαλούσης, εἰ καὶ ὅτι, καθώς τις ἔφη σοφός, εὐμήχανόν ἐστιν
ἅπαν τὸ πιεζόμενον. οὐκ ἦν γὰρ ὅστις ἐν ἡμῖν βεβαίως κατὰ τοῦ
μέλλοντος σκέψεται ἢ τῆς τῶν ἐλπιζομένων ἐκβάσεως.

20. Ὅμως ἐπειδὴ τοῦ στρατηγοῦ πληγέντος ἡ περὶ ἡμῶν
ἅπασα φροντὶς εἰς τὸν ῥηθέντα μετῄει Νικήταν, ἤρχετο καὶ αὐτὸς
τὰ παρ' ἑαυτοῦ τὸ κατὰ δύναμιν ἐπιδείκνυσθαι, ἔλεγε δὲ καὶ τῶν
πλησιοχώρων Σκλαβήνων, τῶν τε ὑφ' ἡμᾶς τελούντων καὶ τῶν
ὑπὸ τὸν στρατηγὸν Στρυμόνος, πλῆθος πολὺ προστετάχθαι συνε-
P 334 λάσαι τῇ πόλει, τῆς τοξικῆς ἐμπείρων, ὡς ἂν μηδ' ἡμεῖς τυχὸν
εὑρεθῶμεν τῆς τῶν ἐναντίων ἐνδέοντες πανοπλίας, ἀλλ' ἔχωμεν
οἷς τὴν πρώτην αὐτῶν ἀποκρουσόμεθα προσβολήν. ὃ καὶ εἰς ἔργον
ἄγειν προεθυμεῖτο· ἐπιστολὰς γὰρ χαράξας διὰ πάσης ἐξέπεμψε
τῆς περιχώρου, ἥκειν τὸ τάχος πρὸς ἡμᾶς τοὺς ἀμφὶ τοὺς Σκλα-
βήνους κατεπισπεύδων, ἕκαστον αὐτῶν ὡς οἷόν τε ἦν ὁπλισάμε-
νον. ἐξ οὗ δὴ καὶ συνέρρεον ὀλίγοι μέν τινες ἀφελεῖς, οὐχ ὅσοι

5 εἶναι P 6 ἐφευρέματα A 15 τῶν στρατηγῶν AP: corr Combefisius

articulo, turribus quibusdam ex ligno congestis in parte muri collapsa exstructis atque admotis, lenioris nobis spei pusillum aliquod refrigerium suscitavimus, tanquam qui e loco superiori pugnatum e mari venientes arcere, nec muro accedere sinistraque explere consilia sinere haberemus. sed erant haec festinantium subtilia inventa, cum videlicet metus necessitas inania haec excogitanda menti ingereret; tametsi, quod ait sapiens quidam, ingeniosum atque solers est quicquid premitur. nemo enim in nobis erat qui firmis rationibus adversus futurum sive mala quae eventura exspectabantur deliberaret.

20. Verum quoniam laeso praetore nostri omnis cura in dictum Nicetam translata erat, coepit ipse quoque pro virili, quae suarum partium erant, exhibere. aiebat vero vicinorum Sclavenorum, tum eorum qui sub nostra dicione erant, tum qui sub potestate ducis Strymonis, ut imperatum erat, magnam multitudinem in urbem concessuram, sagittandi arte instructissimam, ne ipsi forte pro hostium armatura ac potentia non satis instructi inveniremur, sed haberemus unde primam illorum aggressionem propellere possemus. quod et opere praestare enixe conabatur. exaratas enim epistolas in omnem circumvicinam regionem misit, serio urgens circumiacentes Sclavenos, ut quam celerrime, pro eo ac cuique licebat, armis instructi convenirent; quo et factum est ut

δὲ τὴν χρείαν ἐπλήρουν, ἀλλὰ καὶ λίαν εὐαρίθμητοι καὶ πρὸς τὴν μάχην ἀπαράσκευοι. τοῦτο δὲ συνέβαινεν ἐκ τοῦ σκαιούς τινας εἶναι καὶ πονηροτάτους τοὺς ἐμπεπιστευμένους αὐτοὺς ἄρχοντας, B *τὸ οἰκεῖον μᾶλλον συμφέρον ἤπερ τὸ τοῦ κοινοῦ σκοποῦντας, καὶ τῷ πλησίον ἐξ ἔθους ὄντας ἐπιβουλεύεσθαι, δωροληψίαις τε ἐπιμαινομένους, καὶ μηδὲν ἄλλο προτιμᾶν τῆς τούτου ἐμμελετήσαντας κτήσεως. καὶ δὶς γὰρ καὶ τρὶς καὶ πολλάκις διὰ γραμμάτων ἐκφοβεῖν πειρωμένου τοῦ προλεχθέντος Νικήτα τὸν στρατηγὸν Στρυμόνος, καὶ τῆς βραδυτῆτος αὐτὸν καταιτιωμένου, καὶ ὡς εἴ τι πάθοι κινδύνου παρόντος ἡ πόλις, αὐτῷ μόνῳ τὴν αἰτίαν ἐπὶ τοῦ κρατοῦντος καταψηφίσεται, οὐδὲν ἧττον ἢ πρότερον εἶχε τῆς συνήθους ἐκεῖνος κακοβουλίας ἐχόμενος, πρῶτον μὲν τοῦ θείου* C *ἔπειτα δὲ τοῦ ἀνθρωπίνου φόβου ὑπεριδών, καὶ τὴν ἀπώλειαν τῆς τοσαύτης πόλεως εἰς μηδὲν θέμενος, οὔτε αὐτὸν δι' ἑαυτοῦ οὔτε τινὰ τῶν ὑπ' αὐτὸν ὄντων ἐλθεῖν καὶ συνεπαμῦναι τοσαύτῃ συμφορᾷ περιστοιχηθεῖσιν ἡμῖν ἐβουλεύσατο, ἀλλὰ τῇ προσδοκίᾳ τοῦ ἀεὶ παρεῖναι μέχρι τῆς ἐσχάτης ἡμέρας τοῦ πολέμου πάντας ἡμᾶς ἀποπλανήσας, ἔλαθε συμπεράνας τὴν καθ' ἡμῶν ἐπιβουλὴν καὶ τῷ ὀλέθρῳ μέγα καὶ κομψὸν ἐγγελάσας, ᾧ συνεσχέθημεν.*

21. *Οὕτω δὲ τῆς ἀπὸ τῶν συμμάχων Σκλαβήνων ἀποβουκοληθέντες ἐλπίδος, καίτοι οὐδ' ἡμεῖς ὄντες εὐαρίθμητοι,* D *ἀλλὰ πολλῷ πλήθει τὴν χρείαν ἀποπληροῦντες καὶ λίαν τὴν τῶν*

4 ἤτοι P   6 τούτων?   10 ἡ om P   17 ἡμᾶς om P

pauci quidam tenues accurrerent, nec quot necessitas postulabat, sed qui facillime numerari possent et ad pugnandum prorsus imparati essent. in causa erat quod morosis quibusdam et improbissimis ducibus illa provincia demandata erat, qui propria commoda publicis anteferrent, et vicinis insidias struere assueti essent, ac muneribus inhiarent, nihilque eorum lucris sibi fortunatius ducerent. nam licet iterum tertioque ac saepius laudatus Nicetas missis literis Strymonis ducem terrere conatus esset, eique tarditatis dicam scriberet, ac si quid civitas praesenti periculo gravius pateretur, illi uni adscribendum eiusque apud imperatorem reum peragendum sancte assereret, haud tamen ille melior factus quicquam remisit de consueto suo malignoque consilio; quin primum divino deincepsque humano metu deposito, de tantae urbis excidio nihil curans, neque ipse per se venire neque pro se alium, qui sub potestate illius esset et suppetias ferret, nobis in summas adductis angustias voluit mittere; sed exspectatione nunquam sui defuturi adventus ad extremum belli diem illudens, intentas adversus nos insidias imprudentibus nobis absolvit, et eo cui obnoxii facti sumus exitio magnum lepidumque insultans risit.

21. Sic vero indignis modis a sociis Sclavenis deludificati, tametsi neque nos essemus numeratu faciles, sed copiosa longe multitudine pro praesenti negotio sufficeremus atque barbarorum copias nimis superare-

βαρβάρων καθυπερβαίνοντες στρατιάν, ὅμως τὸ μηδεμίαν πεῖραν πολέμου ἐνυπάρχειν ἡμῖν, μηδὲ προαποκειμένην ἔχειν τὴν περὶ τούτου μελέτην, φοβεράν τινα καὶ ἐκπλήξεως γέμουσαν τὴν ἔφοδον αὐτῶν ἐνεποίει. ἄλλως τε καὶ τὸ μηδὲν φθάσαι πρὸς τὴν τούτου ἐξευρεῖν ἄμυναν πονηρὸν ἡμῖν κατεφαίνετο. καὶ φυγῇ μὲν χρήσασθαι τέως φορτικὸν ἦν· ἔμελλε γὰρ ἡμῶν ἐκτραπέντων πόλις τε ἁλωθῆναι, καὶ τῶν προλεχθέντων σεβασμίων οἴκων ὅ τε
P 335 διὰ χρυσοῦ καὶ ἀργύρου καὶ λοιπῆς χρειώδους ὕλης ἀφαιρεθῆναι κόσμος ἢ καὶ αὐτοὶ οἱ πανευαγεῖς οἶκοι πυρίκαυστοι γενέσθαι. ἅμα δὲ καὶ τὴν τῶν βαρβάρων ὑπεκκλίνοντες βλάβην, οὐκ εἴχομεν ὅπως τὴν καθ' ἡμῶν τοῦ κρατοῦντος ἀγανάκτησιν διαθώμεθα. ἀλλὰ ταῦτα μὲν ἦν ἀνεκτὰ καὶ πάσης σωτηρίας ἐχόμενα, εἰ καὶ ὅτι πρὸς μνείαν μόνον ἐλθεῖν τῶν τοιούτων μήπω τοῦ κακοῦ τὴν πεῖραν ἐσχηκόσι παντὸς θανάτου χαλεπώτερα· τοῖς τοσούτου πράγματος χωρεῖν δῆλον, μηδὲν ἄλλο προεθισθέντας πλὴν τὸ ἁβρὸν μεταδιώκειν καὶ τρυφηλὸν βίον, καὶ πολεμικοῖς ἀγῶσι μήπω
B προγυμνασθέντας, ἔκστασιν ἡμῖν ἐνεποίει καὶ φρίκην.

22. Πλὴν ὅτι τοῖς λογισμοῖς θατέρου τούτων παλαίοντες, οὕτω τὰς ἐφεξῆς ἡμέρας διετελοῦμεν. καὶ ὃ μόνον τοῖς ἀπορουσιν ὑπολείπεται, τοῦτο καὶ ἡμεῖς ἐσπουδάζομεν ἤδη, τοὺς ἀφάτους τῆς θείας συμπαθείας οἰκτιρμοὺς καὶ τὰς τῶν ἁγίων πρεσβείας ἐπικαλούμενοι. κατειληφότες γὰρ τὸν προλεχθέντα πανευπρεπέ-

5 τούτων? 11 διωθώμεθα? 15 προεθισθέντα A 17 προγυμνασθέντα A

mus, attamen quod nulla in nobis esset belli experientia nec ea re ulla nobis fuisset posita opera, formidabilem ac consternationis plenam eorum nobis aggressionem reddebat. praeterea etiam quod nihil ante excogitatum esset ad depellendam iniuriam, pessimi ominis nobis videbatur. et quidem uti fuga grave hactenus putabatur. nobis enim fugam arripientibus civitas desolanda erat, earumque, quas dicebam, venerabilium aedium ornatus omnis, auri argenti reliquae necessariae materiae, auferendus; aut etiam ipsae omni veneratione ducendae aedes igni exurendae: simul item barbarorum noxam declinantes, non erat quomodo imperatoris in nos indignationem caveremus. verum haec quidem tolerabilia erant maximeque salutaria, quanquam vel solum meminisse, cum necdum mali periculum fecissemus, omni morte graviora. talibus nimirum premi aerumnis nulla praevia exercitatione assuetos, sed delicate vitam agitantes et luxui deditos nec aliquo militarium certaminum usu edoctos, in metum nos ac angustias maximas coniiciebat.

22. Ceterum variis cogitationibus distracti ac titubantes per reliquos insequentes dies, quod miseris reliquum est, hoc nos ipsi iam enitimur, ut scilicet quae nemo dicere valeat, divinae miserationis viscera sanctorumque patrocinia, votis invocemus. quippe venientes ad supra

στατον οἶκον τοῦ πανενδόξου μάρτυρος Δημητρίου, ὅσοι τε τὴν πόλιν οἰκοῦμεν καὶ ὅσοι ἐξ ἀλλοδαπῆς ἦσαν ἐπήλυδες, ἀξία πᾶσα καὶ ἡλικία, καὶ θρηνώδεις χοροὺς συστησάμενοι, ἐπεβοῶμεν τῷ μάρτυρι προστάτην ἡμῖν γενέσθαι κατὰ τῆς προσδοκωμένης ἀπει- C λῆς τῶν βαρβάρων, "ἔδειξας" λέγοντες, "ὦ γενναῖε μάρτυς, τὸ θερμὸν τῆς σῆς ἀντιλήψεως ἐν πολλοῖς κινδύνοις πολλάκις ἐπελθοῦσι τῇ πόλει σου, καὶ πᾶσαν ἐναντίων ἐπιβουλὴν διεσκέδασας, καὶ ὀλέθρου παντὸς ἀπείρατον αὐτὴν διετήρησας. δεῖξον καὶ νῦν, συμπαθέστατε, τὴν ἄμετρόν σου περὶ ἡμᾶς κηδεμονίαν, καὶ μὴ καυχήσωνται καθ᾽ ἡμῶν ἔθνη βάρβαρα καὶ ἀλλόφυλα, μὴ εἰδότα θεόν· μηδὲ δῷς βεβηλωθῆναι τοῦτον τὸν οἶκον, ὃν πᾶσα ἡ οἰκουμένη κοινὸν ἰατρεῖον καὶ προσφύγιον κέκτηται, ὑπὸ ἐναγῶν καὶ ἀθέων ἀνθρώπων, τὴν πίστιν ἡμῶν μυκτηριζόντων καὶ τὴν λα- D τρείαν ἐξουθενούντων, καὶ τοῦτο μόνον ἔγκλημα καθ᾽ ἡμῶν ἐπαγόντων τὴν θεοσέβειαν, καὶ θάνατον ἀπειλούντων ἄωρον καὶ ὀλέθριον. εἰ γὰρ καὶ μυρίων ἐσμὲν ἄξιοι τιμωριῶν δι᾽ ἃς ἐπράξαμεν ἐπὶ γῆς ἁμαρτίας, καὶ τῆσδε τῆς ἐπερχομένης καταστροφῆς ὑπόδικοι καθεστήκαμεν, ἀλλ᾽ οὐκ ἔγνωμεν ἕτερον θεὸν εἰ μὴ τὸν σὲ στεφανώσαντα, δι᾽ ὃν καὶ τοὺς θείους ἄθλους διήνυσας, ὃν καὶ τῇ μιμήσει τοῦ πάθους ὑπερεδόξασας, ἐξ οὗ καὶ τῶν πολλῶν θαυμάτων τὴν χάριν ἀπείληφας, καὶ ἡμῖν δεδώρησαι τεῖχος ὀχυρὸν καὶ ἀκλόνητον ἔρεισμα, τὰς ὑπὲρ ἡμῶν ἑκάστοτε ποιούμενος P 336

memoratam praeclaro decore splendidissimam gloriosissimi martyris Demetrii aedem, tum omnes civitatis accolae tum ex variis gentibus advenae, omnis dignitas atque aetas, lamentabilique choro composito, sublato ad martyrem clamore patronum nobis fore adversus ingruentem barbarorum minaci ira interitum ac caedem rogabamus. "ostendisti" dicebamus, "generose martyr, defensionis tuae promptam ardoreque animi opitulationem in multis haud raro periculis, quae tuam appetiere urbem, cunctisque adversariorum dissolutis insidiis ab omni immunem noxa ac interitu conservasti. ostende nunc quoque, miserantissime, tuam erga nos immensam curam; et ne glorientur adversum nos gentes barbarae et alienigenae, quae deum ignorant. neque vero dederis domum hanc, quam orbis universus communem morborum officinam medicam paratumque refugium habet, ab impuris impiisque hominibus profanari, qui nostram subsannant fidem cultumque spernunt ac religionem, atque hoc unum nobis crimen impingunt, qua sumus in deum, pietatem, mortemque immaturam comminantur et exitium. licet enim innumeris digni sumus suppliciis ob ea scelera quae in terra commisimus, huicque ipsi quae ingruit, vastitati ac cladi sumus obnoxii, non tamen alium novimus deum quam qui te coronavit, in cuius etiam gratiam divina peregisti certamina, quem et aemula passione clarificasti; cuius etiam munere multorum miraculorum gratiam consecutus es, nobisque murus firmus inconcussumque fulcimentum ac columen concessus es, ad quem quotidie

πρὸς αὐτὸν ἱκεσίας καὶ ἐξαιτῶν ἡμῖν τὰ συμφέροντα. ἔπιδε οὖν καὶ νῦν ἐπὶ τὴν ἀπορίαν καὶ ἀμηχανίαν τοῦ λαοῦ τούτου, καὶ τῆς δεήσεως ἡμῶν ἐπακούσας στῆθι εὐπαρρησιάστῳ τῇ πρεσβείᾳ ὑπὲρ ἡμῶν τῶν οἰκετῶν σου, καὶ τῆς προσδοκωμένης ἐξάρπασον συστροφῆς, ἵνα μὴ καυχήσωνται καθ' ἡμῶν τὰ τέκνα τῆς παιδίσκης Ἄγαρ, μηδὲ εἴπωσι, ποῦ ἐστὶν ὁ προστάτης αὐτῶν; ὁρᾷς γὰρ καὶ αὐτός, εὐμενέστατε, ὅτι οὐκ ἐν δόρασιν, ἀλλὰ τὸ πᾶν ἀνεθέμεθα τῇ δυνατῇ σου πρεσβείᾳ, τῆς σῆς προνοίας καὶ αὖθις ἐπιτυχεῖν ἐλπίζοντες." τούτους τοὺς ἱκετηρίους μετὰ συνοχῆς
B καρδίας τῷ μάρτυρι νύκτα καὶ ἡμέραν πάντες προσάγοντες καὶ τὸ ἔδαφος τοῦ ναοῦ τοῖς δάκρυσι πλύνοντες τῇ προσδοκίᾳ τῶν ἐναντίων διετελοῦμεν, καθάπερ τινὸς ἕρκους ὀχυρωτάτου τῆς ἁμαρτίας ἡμῶν ἀντικαθισταμένης καὶ τὰς πρεσβείας τοῦ μάρτυρος κωλυούσης πρὸς τὸ τὴν θείαν ἡμῖν εὐμένειαν ἐπικλῖναι. εἰκὸς γὰρ καὶ πρὸς αὐτὸν ῥηθῆναι, καθάπερ πάλαι πρὸς τὸν προφήτην Ἱερεμίαν ὑπὲρ τοῦ Ἰσραὴλ ποιουμένου τὴν δέησιν, μὴ τῆς θεϊκῆς συμπαθείας ὄντος ἀξίου τυχεῖν, ὅτι μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου· οὐ γὰρ εἰσακούσομαί σου. ἔδει γάρ, ἔδει τὸν παραχω-
C ρηθέντα καθ' ἡμῶν ὄλεθρον ἐνεργεῖσθαι, ἵν' ἔχωσι γνῶναι πάντες οἱ ἐν ἁμαρτίαις ὄντες ὡς οὐδὲν οὕτως ἐπισπᾶται τὸ θεϊκὸν οὖς πρὸς τὰς ὑπὸ τῶν ἁγίων προσφερομένας δεήσεις ὡς ὀρθοτομία βίου καὶ ἀρίστων ἐπιμέλεια πραγμάτων.

9 μετὰ] πάντες μετὰ P   11 πλύναντες AP   13 καὶ om P

supplices pro nobis fundens preces, quae in rem nostram conducant efflagitas. respice igitur nunc quoque in populi huius consilii mentisque inopiam ac spes depositas, orationemque nostram exaudiens sta libera intercessione pro nobis servis tuis, et ab exspectata nos eversione eripe, ne filii ancillae Agar contra nos glorientur, nec dicant, ubi est defensor eorum? nam vides et ipse, benignissime, nos non in lanceis, sed in potenti intercessione tua rei summam deposuisse, qui et rursus tuae nos providentiae ac curae compotes fore speremus." haec vota cum animi angore omnes suppliciter martyri noctu diuque offerentes, atque lacrimis templi solum rigantes, hostium exspectatione suspensi agebamus, cum peccatum nostrum haud secus ac septum firmissimum ex adverso obstaret atque martyris intercessionem cassam redderet, ne divinam nobis benignitatem propitio numine conciliaret. merito enim ipsi quoque dicebatur, velut olim Ieremiae prophetae orationem fundenti pro Israële, qui divina miseratione minime dignus esset: "noli orare pro populo hoc, quia non exaudiam te (Ier. 7 16)." plane enim necesse erat ut quod adversum nos decretum erat exitium opere compleretur, ut quotquot in peccatis agunt scire possent nihil ita divinas aures ad preces a sanctis fusas audiendas allicere, ut vitae rectae instituta ratio et optimorum actuum accuratio.

23. Ἐν ὅσῳ γὰρ ὑφ᾽ ἡμῶν ἐπὶ ματαίῳ ταῦτα διεσπουδάζετο, ἧκέ τις τὰς βαρβαρικὰς νῆας ἤδη που παρὰ τὸν αὐχένα τοῦ ῥηθέντος Ἐκβόλου πλησιάσαι καταμηνύων κυριακῆς ἡμερῶν ἐπιφωσκούσης, ἐννάτης καὶ εἰκάδος ἀγομένης μηνὸς Ἰουλίου, ἔτους ‚ςυιβ΄. τῆς οὖν φήμης ταύτης πᾶσαν ἀθρόως διαδραμούσης τὴν πόλιν θόρυβος μὲν παρὰ πᾶσιν ἀνήγερτο καὶ κλόνος καὶ τάραχος, ἄλλων ἄλλο τι βοώντων καὶ περὶ τοῦ προκειμένου βουλευομένων, ὁπλιζομένων τε ἁπάντων ὡς οἷόν τε ἦν, καὶ πρὸς τὸ D τεῖχος κατασπευδόντων. οὔπω δὲ ταῖς ἐπάλξεσι τοῦ τείχους διασπαρέντων, ἰδοὺ δὴ καὶ τῶν βαρβάρων αἱ νῆες ἐκ τῆς ῥηθείσης ἐφάνησαν ἐξοχῆς, πεπετασμένα ἔχουσαι τὰ ἱστία. καὶ γὰρ κατά τινα σύμβασιν ἔτυχε τῷ καιρῷ τούτῳ κατ᾽ οὐρὰν αὐταῖς ἐπεισφρήσας ἄνεμος, ὡς τοῖς πολλοῖς δοκεῖν μηδὲ ἐφ᾽ ὑδάτων ἀλλὰ δι᾽ ἀέρος μεταρσίους κομίζεσθαι. Ἰούλιος γὰρ ἤγετο, καθὼς εἴρηται, μήν, ὅτε καὶ πλέον τῶν ἄλλων ἡμερῶν ὁ τῇδε διακόλπιος ἐπεισέρχεται ἄνεμος, ἐκ τῶν ἐξοχῶν τοῦ τῆς Ἑλλάδος Ὀλύμπου τὴν ἀρχὴν ἔχων, καὶ μέχρις ἐννάτης ὥρας ἀπὸ πρωΐθεν ἐφ᾽ ἑκάστης τῶν θερινῶν ἡμερῶν συνεισπίπτων τῇ πόλει καὶ τὸν ἀέρα P 337 διαφορῶν. ἐκεῖνον οὖν εὑρηκότες συνεργὸν οἱ πολέμιοι, ἔτι τῆς ἡμέρας ἐν ἀρχῇ οὔσης, ἐγγύθεν προσέρρηξαν. καὶ πρῶτα μὲν τὰ ἱστία χαλῶσιν αὐτοῦ που παρὰ τὸ τεῖχος γενόμενοι, καὶ τὴν πόλιν ὁποία τις οὖσα τυγχάνει ἐπιμελῶς κατενόουν· οὐδὲ γὰρ ἅμα τῷ καθορμισθῆναι τῆς μάχης ἀπήρξαντο, ἀλλ᾽ ἐνέδωκαν ὀλίγην

8 πάντων A 13 ὑφ᾽ P 23 τοῦ A

23. Interim enim dum haec a nobis frustra geruntur, venit quidam, qui barbaricas naves iam proxime Ecboli, cuius superius mentio facta est, cervici accessisse nuntiet. dominica tunc illucescebat, 4 Kalendas Augusti, anno ab orbe condito 6412 (Christi 904). fama igitur extemplo per totam urbem divulgata turbari omnes, titubare, trepidare, alius aliud inclamare, deque praesenti negotio consulere, arma pariter pro eo ac licebat sumere, ad murum properare. necdumque illis per propugnacula dispertitis, en tibi et barbarorum naves ex dicta eminentia passis velis apparuere. ita namque eventu quodam tunc temporis ventis secundissimis navigandi cursum tenere eos contigerat, ut multis viderentur non super aquas sed per aërem sublimes vehi. mensis Iulius, uti diximus, tunc erat, cum magis aliis diebus ventus hic sinum irrumpit, ex Helladici Olympi montibus spirans, et a mane diei singulis aestivis diebus ad nonam horam urbem feriens, aëremque eventilans ac discutiens. huius itaque venti favente aura, ipso diei exordio, hostes illapsi prope applicuerunt. ac primum, ubi prope murum venissent, vela contrahunt, et urbs quaenam ac quanta esset diligenter explorant. neque enim statim appulsi pugnam aggressi sunt, sed parum aliquid otii

τινὰ σχολὴν τοῦ τε προπειραθῆναι τῆς ἡμετέρας ἰσχύος, ὅπως ἔχωμεν πρὸς τὴν διὰ τοῦ πολέμου συμπλοκήν, καὶ ἑαυτοὺς πρὸς τοῦτο αὐτὸ ἐξασκῆσαι. ἔστησαν οὖν τέως περιδεεῖς, μηδενὶ τῶν B ὁρωμένων ἔχοντες ἐξομοιοῦν τὰ βλεπόμενα· πόλιν γὰρ κατενόουν πολλῷ μέν τινι μεγέθει πεπλατυσμένην, λαοῦ δὲ πλήθει ἅπαν τὸ τεῖχος περιεστοιχισμένην. ἐξ οὗ δὴ καὶ πλέον καταπλαγέντες μικρὸν τὴν μάχην ἐπέσχον, ὡς ἐκ τούτου καὶ ἡμῖν ἐγγενέσθαι βραχύ τι θάρσος καὶ μεταξὺ τῆς τοιαύτης σχολῆς τὰς ψυχὰς ἀνακτήσασθαι.

24. Οὕτω δὲ ὄντων ἡμῶν ἔδοξε τῷ καθηγουμένῳ τοῦ τῶν βαρβάρων στρατοῦ διελθεῖν ἅπαν τὸ τεῖχος, ὅσον περικλύζεται τῇ θαλάσσῃ. σκαιὸς δὲ οὗτος καὶ παμπόνηρος ἦν, καὶ τῇ ὁμωνυμίᾳ C τοῦ θηρὸς κατάλληλον καὶ τὴν πρᾶξιν ἐπιδεικνύμενος, καὶ οὐδὲν ἄμεινον ἐκείνου τῶν τρόπων τῇ ἀγριότητι καὶ τῷ ἀκαθέκτῳ τῆς ὁρμῆς διακείμενος. ἔγνως δὲ τοῦτον πάντως καὶ αὐτὸς ἐκ τῆς φήμης, περιβόητον ἐχούσης τὴν τοῦ ἀνδρὸς κακίαν, ὡς μηδέποτέ τινα τῶν λαλουμένων ἀσεβῶν εἰς τοσαύτην ἐλάσαι, ὡς ἀκορέστως ἔχειν ὁρᾶν ἀνθρωπίνων αἱμάτων ἐκχύσεις καὶ μηδὲν ἕτερον προτιμᾶν τῆς τῶν Χριστιανῶν ἀναιρέσεως. τοῦτο γὰρ καὶ αὐτὸς ὤν ποτε καὶ τῇ τοῦ σωτηρίου βαπτίσματος ἀναγεννήσει μεμορφωμένος τήν τε ἡμετέραν θρησκείαν δεδιδαγμένος, ὑπ᾽ αὐτῶν χειρωθεὶς τῶν βαρβάρων τὴν ἐκείνων δυσσέβειαν τῆς εὐσεβοῦς ἀντηλ-

8 θράσος P

sibi indulsere, tum ut antea nostras vires atque animos ad pugnandum experirentur, tum ut semet ipsos ad hoc ipsum exercerent. steterunt igitur hactenus meticulosi, cum nulli eorum quae vidissent exque usu haberent in conspectu posita iusta satis similitudine comparare possent. namque urbem considerabant ingenti magnitudine longe lateque diffusam, frequentia populi per muri ambitum circumseptam. unde et magis attoniti paululum a pugna se continuerunt, ut et nos quoque inde paulo audaciores facti per eas moras et otium animos resumpserimus.

24. In his cum essemus, visum est barbarici exercitus duci omnem muri partem, quae mari alluitur, circumlustrare. erat vero hic vir improbus scelestissimusque, ac qui cognominis belluae ad amussim gestus motusque referens nihil impari illi genii ferocitate effrenique impetu praeditus esset. cognovisti et tu prorsus hominem, ex fama quae hominis perversitatem ac nequitiam ubique gentium depraedicat, ut nullus eorum qui usquam impietatis nomine celebrati sunt, in tantam eius immanitatem excessumque evaserit, cuius sit insatiabilis ardor fundendi humani cruoris, ac cui nihil maioris sit plurisque habeatur Christianorum caedibus. id enim cum et ipse aliquando fuisset, ac salutari renatus baptismate eoque formatus religionis nostrae mysteria edoctus esset, ab iisdem captus barbaris piam fidem illorum impietate commutavit,

λάξατο πίστεως, καὶ πλέον οὐδὲν αὐτοῖς ἀεὶ διὰ σπουδῆς ἔχει
χαρίσασθαι ἢ τὴν κλῆσιν κυρῶσαι ταῖς πράξεσι καὶ παραβάτου D
καὶ λῃστοῦ δράματα ἐνδεικνύμενος ἐκ τούτων καὶ φιλοτιμεῖσθαι
καὶ ὑπεραίρεσθαι. οὗτος δὴ οὖν ὁ ἀτίθασσος καὶ παραβάτης
Λέων περιήει τῇ νηῒ διὰ τῆς θαλάσσης τὸ τεῖχος ἀποσκοπῶν καὶ
πόθεν ἀφορμήσας προσβάλοι κακούργως ἐμμελετῶν. αἱ δὲ λοιπαὶ
νῆες ὑφ' ἑνὶ χώρῳ τοῦ πρὸς ἀνατολὰς αἰγιαλοῦ προσορμισθεῖσαι
συνεσκευάζοντο. οἱ καθ' ἡμᾶς δὲ πολῖται καὶ αὐτοὶ τοῖς ὅπλοις
ἐφράττοντο, τὰς ἐπάλξεις διελόμενοι καὶ ἑαυτοὺς πρὸς τὸν προ-
κείμενον ἀγῶνα συναπαλείφοντες. καὶ γὰρ ἦν ἀγὼν ἀληθῶς, καὶ
τῶν μεγάλων ἀγώνων ὁ διαβόητος, οὐ παλαιστοῦ τινὸς ἀγωνίαν P 338
ἐν ταῖς πρὸς τὸν ἀντίπαλον τοῦ σώματος ἀντερείσεσι τὸν παρὰ
τῶν ὁρώντων ἔπαινον προξενῶν, οὐκ ἔπαθλα προτιθεὶς ὕλης τινὸς
πρὸς ὀλίγον τέρψιν τῷ νικήσαντι παρεχόμενα, οὐδὲ πάλιν ἧτταν
μέχρις αἰσχύνης μόνης τὸν νικηθέντα καταβιβάζουσαν, ἀλλ' ἢ
περισωθεῖσαν τοσαύτην πόλιν ἐκ τοσούτου κινδύνου γέρας ἀμίμη-
τον ἀναδήσασθαι, ἢ παθοῦσάν τι τῶν ἀπειλουμένων ἀπαρηγόρη-
τον ὀδύνην ἐνέγκασθαι.

25. Ἀλλ' ἐπειδὴ τὸ τεῖχος ἅπαν ὁ θὴρ ἐκεῖνος κατεῖδεν,
ἔτι δὲ καὶ τὸν πορθμὸν τοῦ λιμένος ἁλύσει σιδηρᾷ καί τισι ναυσὶ B
βεβυθισμέναις ὄντα κατάφρακτον, μᾶλλον ἐκεῖθεν τὴν προσβολὴν
ποιήσασθαι διεσκέψατο, ὅθεν διέγνω μήτε τὰς ἔξωθεν κωλύειν

4 ἀτίθασσος] ἄνθρωπος P 6 προσβάλλοι P 17 ἀπειλημένων P

nihilque aliud illis gratius praestare habet quam ut quod vocatur factis ipsis confirmet, desertorisque ac praedonis cruenta facinora exhibens ex iis quoque sibi magnifice placeat ac superbiat. hic igitur immansuetus desertorque Leo navi per mare circumvectus murum dispiciebat, ac qua parte impetum daret malitiose ac malefice cogitabat. reliqua classis ad littoris orientalem plagam subducta in apparatu instruendo erat. cives ipsi quoque arma induti, distributisque propugnaculis, ad propositum certamen mutuo sese animare. vere namque certamen erat, ac quidem inter magna clarissimum, non luctatoris ullius, contentis in adversarium fortiter corporis viribus ab spectatoribus gloriam laudemque ambientis; non propositis ei qui victor exeat levis materiae modicum tempus oblectantis praemiis; nec rursus quo amissa victoria, eius qui ea ceciderit unum dedecus poena labesque sit: sed in quo aut tantae civitatis ex tanto periculo liberatione incomparabile decus liberanti accesserit, aut quo ingruentium malorum aliquid passa ac labefactata inconsolabile vulnus allatura sit.

25. Cum murum omnem bellua illa et portus fretum ferrea catena immersisque navibus undique munitum animadvertisset, inde adoriri urbem decrevit, unde nec externos ante demersorum integrae molis lapi-

τῶν προβυθισθέντων μονολίθων ἐνέδρας τὴν τῶν νηῶν ἔφοδον, μήτε μὴν ἀφ' ὑψηλοῦ τοῦ ἤδη δομηθέντος τείχους ἐπίτασιν πολέμου ταύτας ἐκδέχεσθαι· ἀλλ' ἔνθα βαθυνόμενον τὸ τῆς θαλάσσης ὕδωρ τῷ χθαμαλωτέρῳ τείχει προσρήγνυται, τοὺς τόπους σημειωσάμενος καὶ πρὸς τοὺς ἑταίρους ἀνθυποστρέψας, ἐνέδωκε τὸν ἀγῶνα. οἱ δὲ τὸ τάχος τοῖς λεχθεῖσι τόποις ταῖς ναυσὶ διασπα-
C ρέντες, βοῇ τε χρησάμενοι βαρβαρικῇ καὶ τραχείᾳ, ἐφώρμησαν τῷ τείχει, ταῖς κώπαις ἐλαύνοντες, καὶ τοῖς ἐκ τῶν δέρρεων κατεσκευασμένοις τυμπάνοις καταπληκτικὸν κτυποῦντες, καὶ πολλοῖς ἄλλοις φοβήτροις τοὺς ἐν ταῖς ἐπάλξεσιν ἐκταράττοντες. ἀντεβόησαν δὲ μᾶλλον καὶ γεγωνοτέραν φωνὴν οἱ πρὸς τὸ τεῖχος ἑστῶτες, τὸ σωτήριον ὅπλον τοῦ σταυροῦ πρὸς τὴν κατὰ τῶν ἐναντίων ἐπικαλούμενοι συμμαχίαν, καὶ τοσοῦτον ὡς ἀκηκοότας τοὺς βαρβάρους τὸν πολυάνθρωπον ἐκεῖνον καὶ παντὸς ἀκούσματος φοβερώτερον ἀλαλαγμὸν ἰλιγγιᾶσαι τέως καὶ μηδὲν ἀνύσειν προσδοκᾶν,
D τοῦ δήμου τὴν πληθὺν ἀναλογισαμένους ἐκ τῆς βοῆς, καὶ ὡς οὐκ ἂν πρὸς τοσούτους ἀποδυσαμένους εἰς μάχην εὐχερῶς ἔχειν πόλιν τοσαύτην ῥᾳδίως ἐκπορθεῖν, ἣν οὐδενὶ παραδείγματι συγκρίνειν εἶχον. ὅμως ἵνα μὴ δόξωσι κατεπτηχέναι τὴν πρώτην προσβολήν, οὐκ ἀδεῶς μέν, οὐδὲ πάλιν μεθ' ἧς ὕστερον ἐχρῶντο μανίας, ἀλλά τινι λύσσῃ φόβῳ συγκεκραμένῃ πλησίον γενόμενοι ταῖς ἀπὸ τῶν βελῶν νιφάσι τοὺς ἐξ ἐναντίας ἠμύναντο. ἔπειτα δέ τι

6 δὴ A 22 τι om P

dum cuneos aggressioni navium obsistere, neque a muro tum demum in altum exstructo easdem belli astu diutius vexari posse agnoverat, sed ubi maris aqua, ipsa altiore vado, humiliori muro alliditur. signato loco, ac cum ad socios reversus esset, pugnae tesseram dedit. qui ocius per dicta loca navibus effusi, barbarico asperoque sublato clamore ac rugitu, concitatis remige navibus, ac tympanis ex corio factis horride perstrepentes, multisque aliis terriculamentis eos qui in propugnaculis erant perterrentes, in murum proruunt. cives contra, et qui ad murum stabant, maiori ipsi sublato clamore ac penetrabiliore elata voce, salutarem crucis armaturam adversus infestam hostium classem invocare. tantaque horum erupit clamoris vis, ut barbari, immensae eius turbae omnique auditione terribiliore percepto ululatu, quasi vertigine capti dubii haererent, desperarentque de exitu, ex clamore illo armatorum in urbe multitudinem coniicientes, et se non posse adversus tantos inito praelio eius facile potiri ipsamque diripere, cui nulla alia similis superiori exemplo occurreret. ne tamen ex prima illa aggressione metu attoniti viderentur atque perculsi, non absque trepidatione, nec eo rursus quo postmodum usi sunt furore, sed rabie timore mixta propius admoventes denso sagittarum nimbo adversarios premebant. postmodum

καὶ ἀναιδέστερον ἐπεχείρουν καὶ πλησιέστερον ἐφορμᾶν ἐφιλονείκουν, καθώσπερ τινὲς ὑλακτικοὶ κύνες τὸν οἰκεῖον θυμὸν διεγείροντες, τοῖς κατ' αὐτῶν φερομένοις ἀπὸ τοῦ τείχους ἐξαγριούμενοι. [P 339] οὐδὲ γὰρ οἱ τῆς πόλεως τῆς τοξικῆς κατημέλουν, ἀλλ' ἐχρῶντο ταύτῃ μᾶλλον ἐναργῶς καὶ ἐπιτηδείως, πάντας τοὺς ἐκ τῶν πλησίον χωρῶν προσρυέντας Σκλαβήνους τοῖς τόποις ἐκείνοις καταστησάμενοι, ὧν οὐδέν ἐστιν οὕτως τῶν ἄλλων εὐεπιχείρητον ὡς τὸ κατὰ σκοποῦ βάλλειν καὶ μηδὲν τῶν βελῶν αὐτῶν τὴν ῥύμην ἀνθυποφέρειν.

26. Ἀλλ' οὕτω βαλλόντων ἑκατέρων καὶ βαλλομένων, ἰσοπαλῆ τε τὴν μάχην προσπίπτουσαν ἐνδεικνυμένων, διαιρεθέντων τινὲς τῶν βαρβάρων, τῶν ἄλλων ὡς εἰκὸς εὐτολμότεροι καὶ θρασύτεροι, καὶ τῇ θαλάσσῃ τῆς νηὸς ἑαυτοὺς ἀκοντίσαντες, κλίμακά τε ξυλίνην μεθ' ἑαυτῶν συγκαθελόντες, ὤθουν ἄγοντες ἐν τοῖς ὕδασιν, πειρώμενοι δι' αὐτῆς ἀνιέναι τῷ τείχει, μηδένα λόγον [B] τῶν ἐκεῖθεν κατ' αὐτῶν πεμπομένων ποιούμενοι. μέχρι γὰρ τοῦ πλησίον γενέσθαι ἐκάλυπτον τὰ σώματα, νηχόμενοί τε τῷ ὕδατι καὶ τὰς κεφαλὰς ταῖς ἀσπίσι περιφραττόμενοι· ὅτε δ' ἐγγύθεν ἐγένοντο, τὸ ὕδωρ ἀποδυσάμενοι ῥωμαλεώτερον ἀντεῖχον ταῖς βολαῖς προσπαλαίοντες, τὰς ἀσπίδας μόνας φέροντες ἐπὶ κεφαλῆς, εἶτα τὴν κλίμακα θᾶττον κατὰ τῶν ἐπάλξεων ἀνελκύσαντες ἐπεχείρουν δι' αὐτῆς ἀνιέναι καὶ εἴσω χωρεῖν. ἀλλὰ προέφθασε τὸ βεβουλευμένον ὁ θάνατος, καὶ πρὶν ἀκριβῶς σκοπῆσαι πῶς τὴν

18 ταῖς om P

vero etiam impudentius aggredi ac proximiore impetu vim contendere, haud secus ac latrantes canes proprium excitantes furorem, iis quae e muro in ipsos iactabantur immane efferati. nam neque oppidani iaculandi artem neglexerant, sed ea acrius dexterioreque conatu utebantur, omnibus qui ex finitima regione confluxerant Sclavenis iis in locis dispositis, quibus in reliquis nihil sic expeditum quam ut rite collineent et scopum feriant nec ruentia ipsorum iacula quicquam sustineat.

26. Hoc autem modo, dum utrique iaculis et darent ictus et acciperent, fortique dimicatione pugnam ancipitem facerent, barbarorum quidam a suis divisi, reliquis, ut par est, maiori audacia ac praefidentia freti, e navi in mare prosilientes, atque scalam, quam in aquis pellebant, secum ferentes, ea in murum evadere tentabant, nullam rationem habentes eorum quae inde in illos praesidiarii mittebant. cum enim necdum prope omnino essent, corpora tegebant aquis innatantes, capita scutis circumsepti. ubi autem iam prope venissent ac aquis exissent, robustius resistebant, ictibus colluctantes, cum scuta solummodo in capitibus ferrent. tum scala celerrime propugnaculis admota, per eam ascendere atque intro pervadere tentabant. verum mors consilium praevertit vitaque extruduntur, eius tantae rei perficiendae modo necdum

C ἐπίνοιαν συμπεράνωσι, τῆς ζωῆς ἀπελύοντο· μόνον γὰρ ὅτι ταῖς βαθμίσι τὰ ἴχνη ἐκίνησαν, καὶ δίκην χαλάζης πυκνῆς οἱ λίθοι κατ' αὐτῶν ἀφεθέντες ὁμοῦ τῇ θαλάσσῃ καὶ τῷ ὀλέθρῳ τούτους ἐξανεσκεύασαν. ἐν τούτοις ὀπισθόρμητοι πᾶσαι χωροῦσιν αἱ νῆες, οὐδενὸς ἄλλου τοιούτου τέως ἐπιχειρεῖν τολμηρῶς ἔχουσαι· μόναις δὲ ταῖς ἀπὸ τῶν βελῶν νιφάσι, καὶ αὐτὸν τὸν ἀέρα συσκιαζούσαις, ἔβαλλον ἀπὸ μηκόθεν, οὐδὲν ἧττον καὶ αὐτῶν βαλλομένων τοῖς τε βέλεσι πεμπομένοις εὐστόχως καὶ ὀλίγα διαμαρτάνουσι καὶ ταῖς ἀπὸ τῶν πετροβόλων καταφοραῖς, ὧν καὶ αὐτὸς μόνος ὁ διὰ τοῦ ἀέρος ἐγγινόμενος ῥοῖζος ἔκστασιν τοῖς βαρβάροις ἐναπειργά-
D ζετο. (27) ἤδη γὰρ καὶ ὁ λεχθεὶς Νικήτας, ὁ πρὸς τοῦ βασιλέως σταλείς, τὸ τεῖχος ἅπαν διέτρεχε τὸν δῆμον παραθαρρύνων, "ἄνδρες" λέγων "Θεσσαλονικεῖς, ἄλλας μὲν εἶχον πρὸ τοῦδε περὶ ὑμῶν ὑπολήψεις, καὶ οὐκ ἂν οὕτω γενναίους καὶ πρὸς τὸ ἔργον τοῦ πολέμου τολμηροὺς ἔκρινον εἶναι, μηδὲν τοιοῦτον μήτε πειραθέντας πάλαι μήτε κατενεργήσαντας· νυνὶ δὲ τοῦ πράγματος ἡ ἀκμὴ οὐκ ἀγεννεῖς ἔχειν τὰς περὶ ὑμῶν παρέσχεν ἐλπίδας. ὁρῶ γὰρ πάντας ὑμᾶς τοῖς τε σώμασι σφριγῶντας καὶ ταῖς ψυχαῖς ἀνδριζομένους καὶ ὅλους ὄντας τῶν προκειμένων, τῶν ἀντιπάλων καταγελῶντας καὶ τὰς μηχανὰς αὐτῶν γενναίως ἐκτρεπομένους.
P 340 καὶ οὐδὲν ἀπεικὸς πράττετε· περὶ γὰρ ὑμῶν αὐτῶν ἐστὶν ὁ ἀγών, ἀνδρῶν τιμίων καὶ τοῖς εἴδεσι καὶ τοῖς ψυχικοῖς προτερήμασι, καὶ περὶ τῆς λοιπῆς πόλεως, ἧς οὐδὲν ἐρίζει τῶν ἀξιολόγων εἰς περι-

1 ὅτι] ἔτι P 23 ἢ?

dispecto: vix enim gradibus vestigia admoverant, cum grandinis instar spissa lapidum vis in eos missa et mari et leto profligavit. in his omnes retroversae naves nihil simile imposterum ausae sunt: tantummodo sagittarum nimbis, qui et aërem ipsum obtegebant, eminus incessebant, cum et ipsi nihilominus telis incesserentur, scite directis parumque ab scopo aberrantibus, et e balistis ac catapultis emissis lapidibus, quorum vel solus per aërem conceptus fragor stuporem barbaris incutiebat. (27) iam enimvero et supra laudatus Nicetas, ab imperatore missus, murum omnem percurrebat, populum animans, "viri" dicens, "Thessalonicenses, alia de vobis antea existimabam, nec adeo generosos et ad sustinendum praelium audaces putabam, cum nihil tale antea experti sitis aut praestiteritis. nunc vero ipsum vertens summum discrimen nihil de vobis degeneres spes sinit habere. etenim vos omnes video tum corporibus vegetos, tum fortes animis ac strenuos, totosque in rem intentos ac alacres, qui hostibus insultetis eorumque machinas robusto conatu evertatis. ac sane nihil alienum ab officio agitis. de vobis enim ipsis certamen est, viris scilicet praeclaris atque ornatis tum corporis ipsa indole praestantiaque tum animorum egregiis dotibus, deque reliqua civitate, quacum nihil earum rerum quae pluris merito fiunt, maiori

φάνειαν. ὑπεράνω μὲν γὰρ γενομένοις τοῦ τῇδε κινδύνου ὁ παρὰ πᾶσιν ὑμῖν ἔπαινος ἐποφείλεται· παθοῦσι δέ τι τῶν ἀβουλήτων, καὶ ὧν οἱ βάρβαροι κατηπείληνται, οὐκ ἔστιν ὅπου τὴν συμφορὰν εἰκάζειν ἢ τῆς αἰσχύνης τὸ μέγεθος. διὰ τοῦτο στῆτε γενναίως τῇ τε πατρίδι καὶ ὑμῖν αὐτοῖς τὴν νίκην περιποιούμενοι, καὶ μὴ δῶτε νῶτα χερσὶ πολεμίων, μηδὲ καινόν τι καταλίποιτε τῷ βίῳ διήγημα, μικρᾶς ῥαθυμίας κίνδυνον τοσαῦτον ἀνταλλαξάμενοι." B τούτοις τοῖς παρακλητικοῖς ὑπαλείφων τὸν δῆμον καὶ θάρσος οὐκ ὀλίγον ταῖς ἁπάντων ψυχαῖς ἐνιεὶς τὴν περίοδον ἐποιεῖτο. ὁ δὲ δὴ στρατηγὸς ὥσπερ τοῦ οἰκείου πάθους ἐκλελησμένος, καίπερ χαλεποῦ τε ὄντος ἐξ οὗ προείπομεν πτώματος, καὶ μείζονα τῆς δυνάμεως τὴν ὀδύνην παρεχομένου, ἡμιόνῳ τινὶ ἐπιβάς, οὐ περιβάδην ἀλλὰ κατὰ πλευρὰν καὶ ὡς αἱ τῶν θλασθέντων μελῶν ἀλγηδόνες ἐπέτρεπον, περιῄει καὶ αὐτός, τοὺς προθυμοτέρους τῶν τοξοτῶν κατά τινας χρειώδους τόπους τοῦ τείχους ἐγκαθιστῶν, C ὡς ἂν τὸ κατ᾽ αὐτοὺς τυχόν, καὶ τοὺς πλησίον πρὸς μίμησιν ἐρεθίζοντες, τὰ πρὸς τὸν πόλεμον διατίθενται.

28. Οἱ βάρβαροι δὲ οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ πολλάκις διὰ πάσης ἐκείνης τῆς ἡμέρας συνεφορμήσαντες, μᾶλλον ἢ πρότερον πεπληγμένοι πρὸς τοὐπίσω χωρήσαντες, ὑφ᾽ ἑνὶ συνθήματι τὴν [πρὸς] καθ᾽ ὕδατα λιπόντες μάχην ὑπανεχώρουν ταῖς ναυσί,

1 μὲν om P   4 εἰκάζειν ἐστὶν ἢ A   17 διατίθωνται?

splendore certaverit. hocce enim oblato periculo, si modo superiores evaseritis, omnium vobis officiis debita laus comes erit: sin autem quidpiam eorum quae invisa sunt ac quae barbari comminantur acciderit, nihil est cui tanta calamitas probrique magnitudo assimilari possit. quamobrem forti animo state, qui tum patriae tum vobis ipsi victoriam paretis; nec terga dederitis hostium manibus, neve novum mundo exemplum, cum exigua socordia tanto commutato periculo, reliqueritis." hisce hortamentis animato populo, omniumque animis haud exiguo praelii ardore immisso, audaciam praestans ritu militari urbem lustrabat. dux vero ac praetor, velut sui mali oblitus (tametsi illud grave erat ex eo quem rettuli casu, ac quam pro ipsius virtute, maiore dolor cruciaret), mula vectus, non divaricatis pedibus sed e transverso illi insidens, ut contusorum membrorum dolores concedebant, ipse quoque circuibat, eos qui maioribus animis dexterioresque sagittarii essent, in necessariis quibusdam muri locis constituens, ut tum sua ipsi virtute, tum eos qui e vicino essent imitationis studio excitantes, rem belli rite disponerent.

28. Verum barbari, non semel duntaxat sed et saepius per omnem illum diem ingeminato impetu, magis quam antea animis perculsi, retrocedentes, pugna quae mari est ex composito relicta, navibus sese sub-

καὶ τῷ πρὸς ἀνατολὰς ὄντι τῆς πόλεως αἰγιαλῷ προσωρμίσθησαν. εἶτα τῶν νηῶν ἐκβάντες πάλιν τοῖς βέλεσιν ἐχρῶντο κατὰ τῶν D ἐκεῖσε λαχόντων τὴν στάσιν ἐν τῷ μετεώρῳ τείχει, ἔνθα καὶ πύλη τις διεξέχει Ῥώμη καλουμένη, γειτνιάζουσα τῇ θαλάσσῃ. οὗ δὴ μέχρι βαθείας νυκτὸς μαχεσάμενοι, καὶ ὥσπερ κεκμηκότες τῇ ἀγωνίᾳ, καθησύχασαν ἐν ταῖς ναυσί, τάχα σκεπτόμενοι πῶς ἐπιθῶνται τῇ ἑξῆς ἡμῖν, καὶ πρὸς ἑτέρας μηχανὰς σκευαζόμενοι. ἤδη δὲ καὶ ἡμᾶς τοῦ πολέμου μικρὸν ἀνεθέντας ἄλλη πάλιν φροντὶς ἐπεισήρχετο, ἐπαγρυπνεῖν τοὺς ἐν ταῖς ἐπάλξεσι διὰ πάσης κύκλωθεν τῆς πόλεως, καὶ ὑποβλέπεσθαι τοὺς βαρβάρους, μή τινα λόχον νυκτερινὸν ἢ ἐνέδραν λάθωσι πεποιηκότες καὶ ἐν τῷ P 341 τείχει γενόμενοι τὸ πᾶν ἐξανύσωσιν. εἰσὶ γὰρ εὐφυεῖς πρὸς ταῦτα μάλιστα, καὶ ἅμα τῷ διανοηθῆναι πρὸς τὸ ἔργον χωροῦντες, πάντα κίνδυνον εἰς μηδὲν τιθέμενοι, ἑνὶ δὲ μόνῳ προσέχοντες τῷ κατάρξασθαι τοῦ βεβουλευμένου. κἂν τάχα καὶ ἐναντίον ἢ ὡς ἐφώρασαν τὸ τέλος ἐκβῇ τοῦ πράγματος, δόξαν ἔχειν ἡγοῦνται τὸ τέως ἀδυνάτοις πειρᾶσθαι τολμηρῶς ἐπιχειρεῖν. τούτου ἕνεκεν πᾶσαν ἐκείνην ἐπαγρυπνοῦντες ἐτελοῦμεν τὴν νύκτα, οὐδὲν ἑαυτοὺς τῶν προηγωνισμένων μεμφόμενοι· πρὸς τοσοῦτον γὰρ ἤλθομεν θάρσος ὡς καὶ αὐτὸν τὸν καθηγούμενον τῶν βαρβάρων ἐν θαύματι γεγονέναι, καὶ περὶ πολλοῦ ποιεῖσθαι μαθεῖν ὕστερον

1 καί τινι πρὸς A 4 Ῥώμα P 5 μαχησάμενοι P 6 ἐν om A 13 περινοηθῆναι P 14 μόνον P 16 τὸ ante τέλος om P 18 ἐτελοῦμεν τὴν om P οὐδὲ P 19 γὰρ om P

ducentes ad orientalis littoris oram applicuerunt. ibi navibus desilientes, adversus eos qui in altiore muri parte stationem habebant, iaculis rursus concertabant, quo loco porta prominens mari adiacet, Roma nuncupata; ubi ad multam noctem pugnatum est. tum velut delassati certamine in navibus se silentio continuerunt, id forte deliberantes, quomodo insequenti die impetum darent, et ad alias machinas sese accingentes. iam vero nos quoque parumper pugnae labore levatos alia rursus incessit cura, ut scilicet omni circum civitate qui in propugnaculis constituti essent, vigilias agerent barbarosque observarent, ne ullis per noctem cuniculis ac insidiis clam muro obrepentes eiusque potiti negotio omni liberarentur. sunt enim ad haec maxime ingeniosi, et ubi mox deliberaverint, opus aggrediuntur, nullo periculi metu deterriti, atque unum hoc spectantes, ut quod consultum visum fuerit, hoc adoriantur. ac licet forte contrario res exitu cedat, quam existimaverant, gloriae sibi ducunt, quod proiecta temeritate ac audacia, ad ipsa quoque impossibilia aggressi sint. quamobrem totam illam noctem pervigiles, nec de navata iam opera queruli, ad tantam praefidentis animi devenimus audaciam, ut et ipse barbarorum ductor in admirationem adductus pluris

τὴν αἰτίαν, πῶς πρὸς ἑκάστην προσβολὴν οὕτως ἀνδρείως ἀντέ- B στημεν, καὶ ὧν περὶ ἡμῶν ἐλπίδος αὐτοῦ περιτραπείσης.

29. Ἀλλ᾽ ἐπειδὴ κῆρυξ ἦν ἐπιστὰς ὁ ὄρθρος τῆς δευτέρας τοῦ πολέμου ἡμέρας, καὶ τῶν πραχθέντων ἤδη χαλεπώτερα καθ᾽ ἡμῶν ὑπὸ τῶν βαρβάρων ἐπινενόητο, ἔκαμνον πάλιν οἱ στρατηγοὶ ταῖς φροντίσι τὸν ἑκάστου θυμὸν διεγείροντες καὶ τὸ καθ᾽ ἑαυτοὺς πρόθυμον εἰσηγούμενοι. τῆς ἡλιακῆς οὖν ἀκτῖνος τὸν ἀέρα περιλαμψάσης ἐφώρμησαν καὶ αὖθις τῶν νηῶν ἐκβάντες οἱ βάρβαροι τῷ τείχει, διασπαρέντες καὶ κατά τινας τόπους ταῖς φάλαγξιν ἑαυτοὺς διελόμενοι, κατὰ δὲ τὰς διεξόδους τῶν πυλῶν μᾶλλον συρρεύσαντες ὅλην ἐκίνουν [τὴν] καθ᾽ ἡμῶν αὐτῶν τὴν C πανοπλίαν. οἱ μὲν γὰρ αὐτῶν τοῖς τόξοις, ἕτεροι δὲ χειροποιήτῳ βροντῇ τῶν λίθων ἐκέχρηντο· ἄλλοι τοῖς πετροβόλοις ἐγκαθήμενοι τὰς ὑπερμεγέθεις ἐκείνας τῶν πετρῶν χαλάζας μετεωρίζοντες ἔπεμπον. καὶ πολυειδής τις ἦν ὁ καθ᾽ ἡμᾶς ἀπειλούμενος φόνος, καὶ πανταχόθεν προσπίπτων φοβερὰν ἐποίει τὴν πεῖραν τοῖς προστυγχάνουσι. καὶ γὰρ κατὰ μόνης τῆς ῥηθείσης πύλης ἑπτὰ παρέστησαν πετροβόλους, πάντοθεν περιπεφραγμένους, οὓς διερχόμενοι τὴν Θάσον πρὸς τὴν τοιαύτην χρείαν προπαρεσκεύασαν. καὶ μὴν ξυλοσυνθέτους τινὰς κλίμακας ἀντικρὺ τούτων τῷ τείχει προσπε- D λάσαντες ἀνιέναι δι᾽ αὐτῶν ἐπειρῶντο, τοῖς ἀπὸ τῶν πετροβόλων ἀφιεμένοις λίθοις τὸ ἀσφαλὲς ἑαυτοῖς συντηρούμενοι· οὐ γὰρ εἴων

11 τὴν post αὐτῶν om A 22 αὐτοῖς P

habuerit scire postea causam qua sic strenue singulis aggressionibus restiterimus, et multo quam ipsi exspectaverant generosius.

29. At cum mane ortumque diluculum sequentis diei praelii praeco adstitisset, iamque barbari graviora in nos anteactis adinvenissent, novus nostris ducibus labor incumbebat, ut singulorum animos excitarent et quod in ipsis erat alacre offerrent. aëre itaque polaribus radiis collustrato, rursus barbari navibus exscendentes impetum dedere, muro circumfusi; certisque quibusdam locis, cohortibus divisis, ad portarum praecipue exitus confluentes, qua licebat, omni armorum vi in nos praeliabantur. alii namque iaculis, alii lapidum, quos manu mittebant, tonitruo utebantur; plerique balistis ac catapultis insistentes immanes illas saxorum grandines sublimi impetu iactabant; eratque, qui ab illis nobis impendebat, multiformis interitus, ingruensque undequaque impetus, in quos incideret, tremendum experimentum dabat. etenim adversus unam portarum, quam dicebam, septem catapultas undique constipatas ac communitas erexerant, quas Thasum percurrentes ad hoc negotii ante paraverant. praetereaque scalas quasdam ex lignis compositas illic adversas muro applicantes, per eas ascensum moliebantur, saxis per catapultas retortis sese tuentes, ut rem incolumes praestarent. non enim sine-

ἐνδελεχῶς ἐνεργοῦντες ἐκεῖνοι προκύπτειν ἀβλαβῶς τοῦ μετεώρου τείχους τινά. καὶ δὴ εἰς ἔργον αὐτοῖς ἔφθασαν ἂν τὰ βεβουλευμένα, ἤδη τὴν κλίμακα ταῖς ἐπάλξεσι τοῦ προτειχίσματος ἀνελκύσασιν, εἰ μὴ θεία τις δύναμις ἄνδρας τινὰς τολμηροὺς καταπηδῆσαι τῷ τόπῳ ἐνίσχυσεν, οἳ καὶ δόρασι τρώσαντες τοὺς βαρβάρους πρὸς τοὐπίσω σὺν τῇ κλίμακι τούτους ἐναπεκρήμνισαν. οὕτω δὲ καὶ τὴν ἐπίνοιαν ταύτην εἰς μηδὲν προβᾶσαν ἑωρακότες, φυγῇ
P 342 τε χρησαμένων ὡς καὶ τὴν κλίμακα καταλιπεῖν, εἰς τοσοῦτον ἡμεῖς ἤλθομεν θάρσος ὡς καὶ γελᾶν κατ' αὐτῶν, καὶ προθυμότερον τῆς ἄλλης ἡμέρας τοῖς τε βέλεσι χρῆσθαι καὶ τοῖς ἀπὸ τῶν πετροβόλων λίθοις, καὶ μηκέτι συγχωρεῖν αὐτοῖς κἂν πρὸς βραχὺ προσιέναι τῷ τείχει, κἂν ὅτι πρὸς μανικώτερον ἐξαφθέντες καὶ αὐτοὶ δίκην συῶν ἀγρίων τοὺς ὀδόντας παρέθηγον, καὶ εἴ πως ἐνῆν, ζῶντας ἐθέλειν ἡμᾶς ἐν αὐτοῖς διαρρήξασθαι. οἷον γὰρ ἦν αὐτῶν φοβερὸν ἀκούειν καθ' ἡμῶν μεμηνότων! πῶς τῆς ὑπερβαλλούσης ὀργῆς ἐποιοῦντο τὴν ἔνδειξιν, ὁπότε βύθιον ἔβρυχον καὶ τοῖς ἐκ τοῦ στόματος πεμπομένοις ἀφροῖς τὸ δαιμονιῶδες αὐ-
B τῶν παρεδείκνυντο, οὐδὲ τροφῆς μεταλαβεῖν διὰ πάσης ἐκείνης τῆς ἡμέρας βουλόμενοι, ἀλλ' ἀκορέστως ἔχειν τοῦ πολέμου ἐν οὕτω λαβροτάτῳ καύματι, καὶ μηδ' ὅτι σώματα περίκεινται καὶ καμάτῳ δαμαζόμενα καὶ τῷ ὑπὲρ κεφαλῆς ἡλίῳ καυσούμενα παντελῶς αἰσθανόμενοι, τοῦτο δὲ μόνον διὰ φροντίδος ἔχοντες, ἢ πορθῆσαι τὴν πόλιν καὶ τὸν καθ' ἡμῶν ἀναπλῆσαι θυμόν, ἢ μὴ προ-

7 ἑωρακότων A 8 καὶ om P 15 ἀκούειν om P 18 παρεδείκνυτο AP

bant, sic continua saxa eiaculando, ut ex altiori muri parte innoxie quisquam procumberet. ac certe iam voto potiti essent, scala semel anterioris muri propugnaculis admota, nisi divina quaedam vis viros quosdam audacis animi, ut loco irruerent barbarosque hastis vulneratos una cum scalis retro praecipites darent, fortiore nisu roborasset. sic vero hanc quoque molitionem eis cassam cessisse, arreptaque fuga scalam deseruisse videntes, adeo animos auximus, ut et risum in eos moveremus, et maiori prae hesterna die alacritate iacula intorqueremus, et ex machinis saxa revolveremus, ac ne minimum quidem ad muros accedere illis permitteremus, licet et ipsi saeviori rabie conciti suum agrestium more dentes acuerent, et si fieri posset, nos viventes iis dilaniare vellent. quantum enim illorum in nos tremendus furor? quomodo exsuperantem irarum vim prodebant? nempe intime animis fremebant, et actis ex ore spumis in se latentem daemonem indicabant, ne cibum quidem tota illa die sibi indulgentes, sed insatiabili pugnae ardore, aestu illo gravissimo, ne sentientes quidem an corpora induti essent, eaque eius generis quae labore delassarentur, solque capitibus imminens exureret; unum hoc solicite agentes, ut aut urbem vastarent suumque in

βαίνοντος τούτου καὶ τῆς ζωῆς ἀπειπεῖν καὶ ἑαυτοὺς τοῖς ὅπλοις διαχειρίσασθαι. θυμὸς γὰρ ἅπαξ βαρβαρικὸς ἐξαφθεὶς οὐ πρότερον τῆς κινούσης αὐτὸν ἀλογίστου ὁρμῆς ἀπολήξειε, μέχρις ἂν ἢ τοῦ οἰκείου αἵματος ἢ τοῦ ἐξ ἐναντίας ἀντιπράττοντος ἴδῃ τὴν ἔκχυσιν.

30. Ἀλλ' ἐπειδὴ τὸ προσπελάζειν αὐτοὺς τῷ τείχει οὐκ C ἀκίνδυνον ἦν, πάντα τοῖς βέλεσι καὶ τοῖς πετροβόλοις ἐπέτρεπον. στιχηδὸν γὰρ ἑαυτοὺς κατατάξαντες, καὶ τοσοῦτον ἀποστάντες ὅσον τὰς βολὰς αὐτῶν μήπω τῆς ὁρμῆς ὑπενδιδούσης τῇ πόλει προσπίπτειν, ταῖς ἀσπίσι τε φραξάμενοι καὶ ὅλοι τῆς ἀγωνίας γενόμενοι, ἵσταντο καθάπερ τινὲς ἀνδριάντες ἐκ χαλκοῦ ἤ τινος ἄλλης στερροτέρας ὕλης συμπεπηγότα ἔχοντες σώματα, μυρίῳ τινὶ καὶ ἀνεκδιηγήτῳ καρτεροῦντες πόνῳ καὶ πρὸς τὸν πόλεμον ἁμιλλώμενοι. τοῦ γὰρ ἡλίου κατὰ τὸ μέσον ἄγοντος τὴν ἡμέραν, ὅτε καὶ ταῖς βολαῖς τῶν ἀκτίνων τὸν ἀέρα πλέον τῶν ἄλλων ὡρῶν διαπυροῖ, τῇ ἀκμῇ τοῦ καύματος ὥσπερ τὴν φυσικὴν ἐκκαύσαντες D λύσσαν, καὶ τὸν ἄλογον ἐκεῖνον θυμὸν ταῖς ἀπονοίαις προσερεθίσαντες, ἐφ' ἕτερον εἶδος πολιορκίας (καὶ σκόπει πῶς χαλεπὸν) τὴν ὁρμὴν μετηγάγοντο. τεττάρων γὰρ πυλῶν πρὸς τῷ ἀνατολικῷ μέρει τῆς πόλεως διεξαγουσῶν, ἐσκέψαντο τὰς δύο αὐτῶν πυρὶ τεφρῶσαι, τήν τε ῥηθεῖσαν Ῥώμην καὶ τὴν Κασσανδρεωτικὴν καλουμένην, τοῦτο ἐν τῇ διανοίᾳ θέμενοι, ὡς εἰ δυνηθεῖεν τῶν ἔξω πυλῶν καιομένων εἴσω χωρῆσαι τοῦ προτειχίσματος καὶ

9 ὑπενδούσης P — 13 πόνῳ] πολέμῳ P

nos furorem exsatiarent, aut, si minus res cederet, vita quoque proiecta ipsi se ipsos armis conficerent. semel enim accensus barbaricus furor non prius a movente eum dementi impetu cessaverit, quam vel suum ipsius vel adversarii cruorem fusum conspexerit.

30. Quod enimvero muro propinquare haud eis periculo vacabat, iaculis ac catapultis omnia permittebant. sese enim ordine componentes, tantaque distantia semoti quantam iactus proprii necdum remisso impetu superarent, ut urbem incesserent, scutis vallati totique in rem pugnae intenti, haud secus ac statuae quaedam ex aere fusae seu ex alia quadam duriore materia conflatis corporibus, stabant, immenso quodam, et quod verbis narrari non potest, durantes ac concertantes praelio. nam sole medium agitante diem, dum et radiorum iactu maiore prae horis aliis aërem ardore exurit, vi ipsa ardentis aestus innata sibi velut accensa rabie dementique illo furore superbia mentis excitato, ad aliud obsidionis genus (et cogita quam dirum!) impetum transferunt. etenim ex quattuor portis, ad orientalem urbis oram aditum pandentibus, duas igne absumere decernunt, quam diximus, Romam, et quam Cassandreoticam vocant, hoc nimirum reputantes, si illis incensis intra murum exteriorem iis penetrare liceret ac murum sublimem subire, citra du-

τὸ μετέωρον ὑποδύσασθαι τεῖχος, μηδένα φόβον ἔχειν πρὸς τὸ καὶ τὰ ἔνδον κακουργῆσαι καὶ τῇ πόλει πάντας ὑφ' ἓν συνελάσαι,
P 343 ἐξ ἐναντίας παραστησάμενοι τοξότας εὐστόχους τε καὶ δεινούς, ὡς ἂν τῇ συνεχείᾳ τῶν βελῶν μὴ ἐᾶν ἀκινδύνως προκύπτειν τῶν ἔνδον τινά. (31) καὶ δὴ τοῦ τεχνάσματος οὕτως ἐνήρξαντο. ἁμάξας ἐφευρόντες ἐπέθηκαν ἐν αὐταῖς πρηνεῖς τὰς βραχυτάτας νῆας, αἷς πρὸς τὴν θήραν τῶν ἰχθύων οἱ καθ' ἡμᾶς ἁλιεῖς ἐκέχρηντο, ἔτι δὲ καί τινων ἄλλων ξύλων πληθὺν καὶ φρυγάνων σωρείαν, ἅτινα πίσσῃ καὶ θεάφῳ καταρράναντες καὶ τὰς ἁμάξας ὑποδύντες ἔστρεφον τοὺς ἄξονας, ἄγοντες αὐτὰς ταῖς χερσίν, ἕως ἔφθασαν μέχρις αὐτῶν τῶν πυλῶν. εἶτα τὴν ὕλην ἐκείνην ὑφάψαντες, καὶ
B ὀπισθόποδες ταῖς ἀσπίσι φραξάμενοι πρὸς τοὺς τοξότας χωρήσαντες, ἔλαθον τὸ βεβουλευμένον εἰς ἔργον ἀγαγεῖν. τὸ πῦρ γὰρ τῆς ὕλης λαβόμενον καὶ τοῖς ὑπεκκαύμασι πρὸς μείζονα φλόγα διεγερθὲν τὴν μὲν ἔξω τῶν πυλῶν ἐπιφάνειαν, ἥτις ἦν ἅπασα σεσιδηρωμένη, πυρακτωθῆναι πεποίηκε, τὴν λαμπάδα δὲ καὶ πρὸς τὸ εἴσω μετοχετεῦσαν ἐξαφθῆναι δι' ὅλου τὰς πύλας ἠνάγκασεν, ὡς μετὰ βραχὺ ταύτας καταπεσεῖν καὶ δειλίαν οὐ τὴν τυχοῦσαν ἅπασιν ἐμβαλεῖν. μόνον γὰρ ὅτι καθ' ὅλης ἐκηρύχθη τῆς πόλεως ἡ τῶν πυλῶν ἔκκαυσις, καὶ καθάπερ τινὸς ξίφους ὑποδραμόντος τὰς ἁπάντων καρδίας, οὕτως ἐναγωνίους καὶ τρομώδεις τοὺς ἀν-
C θρώπους πεποίηκε, τὰς μορφὰς ἀλλοιώσαντας καὶ πᾶσαν χρηστὴν ἀθρόον προδεδωκότας ἐλπίδα. καὶ γὰρ οἱ πρὸ βραχέος τοῖς τεί-

2 τὰ] τὰς A 3 τε om P 6 τὰς om P 10 αὐτοὺς P
13 βεβουλημένον P 19 τῆς om P

bium etiam his quae intus erant noxam illaturos omnesque ad unum in urbem compulsuros, constitutis ex adverso solertibus gnavisque sagittariis, ut continua iaculorum grandine neminem oppidanorum tuto prospicere ac emergere sinerent. (31) et machinamentum ita coeptum est. minores naviculas piscatorias, cuiusmodi scilicet nostris ad piscandum hominibus usus est, inversas plaustris imponunt, aliorumque praeterea lignorum copiam et sarmentorum congeriem, pice sulphureque conspersam; plaustraque subeuntes axes vertebant, ea manibus ducentes, donec ad ipsas portas pervenere: tum materiae igni iniecto, pedemque referentes scutis obtecti et ad sagittarios sese recipientes, nobis prope insciis meditatum opus absolvere. ignis enim correpta materia, fomentisque in largiorem flammam accensus, exteriorem portarum faciem, ferro undique obductam, igne candentem fecit, flammamque in interiora derivans omni ex parte ipsius ardoribus portas combussit, adeo ut paulo post corruerint, nec levem formidinem cunctis iniecerint. per omnem enim prope civitatem publicato incendio, ac velut gladio omnium cordibus infixo, sic pavore anxii actique tremore cives ac vultu immutati mitiorem spem omnem repente abiecerunt. qui enim paulo ante muris

χεσιν ἐξαλλόμενοι καὶ πρὸς τὸν διὰ μάχης ἀγῶνα ἀλλήλους ἐγκελευόμενοι πτωκῶν ἀδρανέστεροι ταῖς ἀληθείαις ἐδείκνυντο. αὐτὸ γὰρ τοῦτο, τὸ τὴν μηχανὴν ἐκείνην εἰς ἔργον ἐκβῆναι, μαντεύεσθαι τοῦ τέλους ταῖς ἁπάντων ἐδίδου ψυχαῖς. πλὴν ὅτι τῶν ἔξω πυλῶν πυρποληθεισῶν τὰς ἔνδον ἡμεῖς τειχίῳ τινὶ νεοδομήτῳ θᾶττον περιφραξάμενοι, ὕδατά τε ταῖς ἐπάλξεσιν ἔν τισι προαποθέμενοι σκεύεσιν, ἐφυλαττόμεθα πότε καὶ πρὸς ταύτας τυχὸν ἐφορμήσουσιν οἱ πολέμιοι, ἵν᾽ ὅτε τῆς κακουργίας καὶ αὖθις ἐπιχειρήσωσιν, ἔχωμεν ὅπως τῆς φλογὸς ἀντιποιησόμεθα καὶ τῆς D ἐπιβουλῆς ἀπειράτους τὰς πύλας διατηρήσομεν. ὃ δὴ καὶ γνόντες ἐκεῖνοι οὐκέτι ταῖς τοιαύταις κακοβουλίαις ἐχρήσαντο, ἑτέραις δέ τισιν ἔμελλον δεινοτέραις ἔτι καὶ σφοδροτέραις τὸν καθ᾽ ἡμῶν ἐπιτηδεύειν ὄλεθρον, ὃν οὐδεμιᾷ μεθόδῳ τοῦ λοιποῦ δυνατὸν ἦν διακρούσασθαι ἐνεργῆ τε ὄντα καὶ πᾶσαν μηχανὴν ὑπερβαίνοντα. πλὴν οὕτω τοῦ πυρὸς παυσαμένου τὸ λοιπὸν τῆς ἡμέρας τοῖς πετροβόλοις ἐχρῶντο καθ᾽ ἡμῶν καὶ τοῖς τόξοις, μέχρις ἂν τὸ νυκτερινὸν σκότος τὸ φῶς διεδέξατο καὶ τῆς ἀγωνίας παύεσθαι μηδὲ βουλομένους αὐτοὺς κατηνάγκασε.

32. Εἶτα ἐπειδὴ τοῦ πολεμεῖν ἐπαύσαντο, ταῖς ναυσὶν P 344 ἐμβάντες καί τι μικρὸν ἡσυχάσαντες ἤρχοντο τοῦ δράματος ὅπερ ἦσαν ταῖς ἑαυτῶν δεινότησι προεξευρημένοι. τὸ δὲ ἦν τοιαύτην

12 ἔτι om P   14 τε om P

assiliebant seque mutuo ad pugnae certamen animabant, leporibus timidiores re ipsa exstitere. ipsum enim hoc, quod sic machina commodum exitum habuisset, cunctorum animis haud incerta coniectura de fine augurari praebebat. nos enimvero exterioribus portis igne absumptis, interiores muro de novo exstructo conteximus, aquarum vim in vasis repositam in propugnaculis servantes, si quando et illas adversarii incesserent, ut siquidem istud maleficii denuo aggrederentur, in promptu esset quo restingueremus incendia atque ab insidiis liberas labisque immunes portas servaremus. quod illi quoque intelligentes nihil ultra maleficum istud commentum usurparunt: aliis tamen quibusdam dirioribus validioribusque exitium nostrum erant molituri, cuius depellendi nulla deinceps via nobis reliqua esset, tanta illorum vi, tantis nervis atque conatu, ut vim omnem machinarum excederent. hoc itaque modo cum ignis cessasset, quod reliquum erat diei, catapultis iaculisque peractum est, donec nocturnis tenebris lux cessit, offusaque caligo et invitos a pugnae certamine retraxit.

32. Tum, cum pugnae finem fecissent, conscensis navibus curaque animi parumper remissa molitionis opus aggressi sunt, cuius sibi ipsi solertia sua ingeniique dexteritate inventores auctoresque exstiterant.

αὐτοῖς ἀπόπειραν ἐμποιοῦν, ὡς εἰ μὲν δι' αὐτοῦ δυνηθεῖεν τὴν
πόλιν πορθήσειν, εὖ ἂν ἔχειν, διὰ τὸ μηδὲν ἄλλο τῶν εἰς πολιορ-
κίαν συντεινόντων ἴσα δύνασθαι τούτου, καὶ μάλισθ' ὅταν ἀφ'
ὑδάτων ἐστὶν ἡ μάχη καὶ μὴ μεσιτεύει χέρσος τὴν ἐπιβουλὴν δια-
κόπτουσα· εἰ δέ γε μετὰ τῶν ἄλλων ὧν προενήργησαν καὶ τοῦτο
εἰς μηδὲν αὐτοῖς συντελέσειε, τοὺς εἰς τοῦτο παρορμήσαντας αὐ-
B τοὺς καὶ τοσοῦτον πλοῦν διανύσαι μάτην ἀποπλανήσαντας τοῖς
ὅπλοις διαχειρίσασθαι, καὶ οὕτως ἐν τοῖς ἰδίοις ἀπαίρειν. ταύτην
οὖν παρ' ἑαυτοῖς θέμενοι τὴν βουλήν, ἔτι κατ' ἀρχὰς οὔσης τῆς
νυκτός, τοῦ ποικίλου καὶ πολυειδοῦς ἐκείνου ἀπήρξαντο μηχανήμα-
τος. ἐξάψαντες γὰρ πανταχοῦ φῶτα, καὶ πάσας αὐτῶν τὰς νῆας
κατὰ δύο συζεύξαντες ἑτέραν τῆς ἑτέρας ἐχομένην, καί τισι κάλοις
στιβαροῖς καὶ σιδηραῖς ἁλύσεσι τὰς ἑκατέρων πλευρὰς συσφίγξαν-
τες πρὸς τὸ μὴ ῥᾳδίως ἀφίστασθαι, ἀνείλκυσαν διὰ τῶν κατὰ
C πρώραν ἀπῃωρημένων ἐξαρτίων τὰ διὰ μέσου προβεβλημένα ξύλα,
ἃ τοῖς ναυτιλλομένοις κατάρτια καλεῖν ἔθος. εἶτα τοὺς τῶν ἑκα-
τέρων νηῶν αὐχένας ἐν τούτοις διὰ τῶν εἰς τὴν κεφαλίδα στρεφο-
μένων σχοινίων μέσον που τοῦ ἀέρος μετεωρίσαντες, τάς τε σπά-
θας αὐτῶν ἐκ τοῦ κατὰ πρώραν μέρους καὶ πέρα τῆς τῶν νηῶν
διαμέτρου προβεβληκότες, ξένον τι καὶ παρηλλαγμένον πανούρ-
γευμα διὰ τοῦ τοιούτου τεχνάσματος ἐτεκτήναντο. ὕψου γάρ,
ὡς ἔφην, τῶν αὐχένων μετεωρισθέντων, ἔβαλλον ἐν αὐτοῖς ἐπι-

1 αὐτῆς P 2 ἔχειεν P, ἔχοιεν A 6 αὐτοῖς] αὐτὴν A
11 ὑφάψαντες A 15 ἐξαρτύων AP 19 κατὰ om A
22 μετεωρηθέντων AP

nempe hoc illis consilium, is scopus, ut experimentum eiusmodi facerent, ut si eo expugnari civitatem contingeret, bene esset, quod nullum aliud ad obsidendas urbes conducibilius videretur aut validius, et potissimum cum ex aquis pugna conseritur, nec interiecta continens molitionis opus interrumpit: sin vero cum aliis, quae antea ipsi moliti essent, haec quoque iis opera cassa foret, eos qui ad rem aggrediendam provocassent, et ut tanta navigatio susciperetur fuco eis auctores exstitissent, ferro trucidarent, tumque ad propria redirent. hoc igitur inter eos deliberato consilio ipso noctis obortu varium illud et multiforme machinamentum adorti sunt. accensis enim ubique luminibus, cunctisque quas conduxerant navibus binis coniugatis, et ut altera alteri cohaeresceret, densisque retinaculis et catenis ferreis earum latera colligantes, ne a sese facile divellerentur, per malos in prora appensos ligna in medio eminentia, quae vulgo nautis catarria dicta, sursum traxere. tum ambarum navium *αὐχένας* quos vocant (ac si iuga dicas) interea per funes in capite intortos in medium aërem levantes, suosque enses ex prorae parte extraque navium diametrum exporrigentes, inauditum fidemque excedens ac portentosum fraudis omnis solertiaeque inventum artificio illo commenti sunt. in altum enim, uti dicebam, navium iugis protensis, longa

θέντες μακρά τινα ξύλα στιχηδὸν ἄλλο κατ' ἄλλο, καὶ τὸν διὰ μέσου τόπον γεώσαντες τῇ σεσοφισμένῃ ταύτῃ μηχανῇ, τὰ πέρατά τε πάντοθεν σανίσι καταφραξάμενοι, καὶ τὰ ἄκρα τῶν αὐχένων D ἐν τοῖς κατὰ πρύμναν μέρεσιν ἄλλοις στιβαρωτάτοις δεσμοῖς ἐνασφαλισάμενοι, πύργους τινὰς τῶν εἰς τὴν χέρσον ἐν τῷ τείχει καθισταμένων χρειωδεστέρους τῇ ἐπινοίᾳ ταύτῃ κατετεχνάσαντο, ἐν οἷς ἐνόπλους τινὰς βαρβάρους ἐπανεβίβασαν, ῥώμῃ σωμάτων καὶ τολμηρίᾳ φύσεως ἀνεσταλμένους, τὴν καθ' ἡμῶν ὑστάτην καὶ τελευταίαν ἐπιβουλὴν ἐνεργήσοντας. ἐπέτρεπον γὰρ τοὺς μὲν αὐτῶν βάλλειν τοῖς τόξοις κατὰ τῶν ἐνδοτέρων τοῦ τείχους ἑστώτων, τοὺς δὲ τοῖς χειροπληθέσι λίθοις· ἄλλους πυρί τινι, καὐτῷ τετεχνημένῳ κἂν τισιν ὀστρακίνοις σκεύεσι προευτρεπισμένῳ, καθ- P 345 οπλίσαντες κατὰ τῶν ἀντιπρόσωπον αὐτῶν ἐρχομένων προσέταττον ἀκοντίζειν. ταῦτα δὲ πάντα ἦν αὐτοῖς ἐνεργῆ τε καὶ ἐπιτήδεια διὰ τὸ μηκέτι περὶ γῆν αὐτοὺς εἶναι ποιεῖν, ἀλλὰ τῷ προλεχθέντι κακουργῷ τεχνάσματι ὑψηλοτέρους αὐτοὺς καὶ αὐτῆς τῆς οἰκοδομῆς γενέσθαι τοῦ τείχους καὶ πᾶσαν αὐτῶν κακόνοιαν ὡς ἀπὸ μετεώρου χρειώδη συμβαίνειν.

33. Ἀλλ' ἐπειδὴ ταῦτα πάντα κατ' αὐτὴν ἐκείνην τὴν νύκτα εἰς ἔργον ἤχθη τοῖς ἀσεβέσιν, οὐδὲν δὲ τῶν πραττομένων τέως ἐλάνθανεν ἡμᾶς διὰ τό, ὡς εἴρηται, φῶτα ἔχειν αὐτοὺς πολλὰ καὶ πλησίον εἶναι τὸν αἰγιαλὸν εἰς ὃν αὐτοῖς τὰ δόξαντα B

8 ἐνεσταλμένους? sed infra quoque, c. 53, ῥώμῃ ἀνεσταλμένοι. 10 ἐνδοτέρω? 12 καί A 15 εἶναι] ὄντας? 16 τῆς om P

quaedam ligna tignaque, unum post aliud ordine collocantes, iis iniecerant; locaque interiecta terra explentes in solerti hac machina, extremaque undique asseribus communientes, atque iugorum capita ad puppis partes validissimis vinculis adstringentes, quae in rem magis essent belloque conducerent quam quae in muro ad continentem erant, subtili eo invento artisque solertia turres effecere. his barbarorum quidam armati impositi, robusto corpore audacique indole atque genio, qui extremum novissimumque militare consilium in nos exsequerentur. in mandatis enim acceperant ut alii iaculis impeterent eos qui in interiori murorum parte insederant, alii saxa immania, alii ignem, ipsumque arte confectum atque in vasculis testaceis antea paratum, in eos proiicerent quos sibi adversum incursantes haberent. erant vero cuncta illis operi parata ac peridonea, quod non amplius humi serperent, sed malefico illo artis commento ipsa quoque iam muri structura superiori mole exstarent, omnisque ipsorum machinae vis velut e superiori loco commode iis cederet.

33. Quia igitur cuncta haec per eam ipsam noctem ab impiis ad opus deducta erant, nec eorum quae egissent hactenus nos quicquam latuerat, quippe cum ipsimet, uti dictum est, multa lumina accendissent, nec littus longe distaret, in quo illi sic eis visa moliti essent, omnes ti-

διεσπούδαστο, ἔλαβε πάντας φόβος καὶ ἔκπληξις, καὶ οὐκ εἶχον ᾧ τινὶ τοῦ λοιποῦ τρόπῳ τὸ ἀσφαλὲς ἑαυτοῖς συντηρήσονται. ἦν γὰρ ἰδεῖν τὸν δῆμον ὅλον δι' ὅλου κλονούμενόν τε καὶ ἀπορούμενον, ἄλλοτε ἄλλως ἀμηχανῶντα καὶ πρὸς αὐτὴν τὴν ζωὴν κινδυνεύοντα. οὐ γὰρ ὅπως ἕκαστος ἀποκρούσηται τὴν ἐφεστῶσαν ἀνάγκην διὰ φροντίδος εἶχεν, ἀλλὰ πῶς ἢ μεθ' οἵας ἀλγηδόνος τῷ θανάτῳ προσομιλήσει τοῖς λογισμοῖς κατετέμνετο. φυγεῖν μὲν γὰρ οὐκέτι οὔτε πρόχειρον οὔτε ἀσφαλὲς ἦν, κύκλῳ τοῦ τεί-
C χους τῶν βαρβάρων περιεστώτων καὶ κατὰ τῶν πυλῶν ἐφεδρευόντων· προσμένειν δὲ πάλιν ὁ κατ' ὀφθαλμοὺς οὐκ ἐδίδου κίνδυνος. πᾶσαν οὖν ἐλπίδα σωτηρίας προδόντες, καθάπερ ἐνεοί τινες τὸ τεῖχος διήμειβον, τῷ μεγέθει τῆς συμφορᾶς ἀπορούμενοι. πλὴν ἔδοξέ τισιν, ὅσοις οὐ κατέσβη τελείως τῆς ἀνδρίας ἡ θρυαλλίς, μεταξὺ τῆς προσδοκίας τῶν πολεμίων προευτρεπίσαι τινὰ τῷ τείχει εἰς ἀποτροπὴν τῶν ἐπερχομένων. τὰ δὲ ἦν πίσσα καὶ δᾷδες καὶ ἄσβεστος καί τινα ἄλλα, οἷς τρέφονται τὸ τάχος πυρὸς φλόγες, σκεύεσιν ὀστρακίνοις ἐπιτετηδευμένα, ὡς ἂν τῶν νηῶν τυχὸν ἐφορ-
D μουσῶν τούτοις χρώμενοι καὶ διὰ μέσου τούτων ἐξακοντίζοντες ἀπράκτους αὐτοὺς τῆσδε τῆς ἐπιχειρήσεως ἀποδείξωσιν.

34. Ὡς δὲ καὶ ταῦτα ἀνθρώπων ἦν ἀπορουμένων ἔργα καὶ διαβούλια, ἤδη δὲ καὶ τῆς ἡμέρας τὸ φῶς τὸν νυκτερινὸν ζόφον διέλυεν, ἰδοὺ δὴ καὶ αἱ νῆες, ὡς εἶχον σκευῆς, κατὰ πολ-

16 τὸ om AP

mor invasit et trepidatio animique deiectio, nec iam erat qua se ratione tutos ac incolumes servarent. vidisses enim omnem populi multitudinem titubantem ac consilii inopem, aliumque alias anxium, ac vitam ipsam, eius palam alea, desperantem. neque enim quomodo imminentem quisque necessitatem depelleret animis solliciti erant, sed quomodo quantoque cruciatu periret cogitationibus dissecabantur. fuga enim amplius neque in promptu nec tuta erat, cum muros barbari circumvallassent et portis insisterent: rursus vero manere non sinebat quod ob oculos discrimen versabatur. omni igitur spe salutis abiecta, velut muti murum circuibant, infortunii immanitate attoniti. visum tamen est nonnullis, in quibus fortis animi scintilla non prorsus exstincta erat, dum adhuc hostes exspectarentur, ad eorum propulsandum impetum in muro picem et taedas et calcem aliaque quaedam, quibus flammae ignis celeriter innutriuntur, in vasis testaceis disposita praeparare, ut si forte naves adventassent, illis usi, hisque mediis ipsa haec eiaculantes, ab hac quoque aggressione repellerent et eorum conatus irritos facerent.

34. Cum vero haec quoque hominum titubantium facta ac consilia essent, iamque illucens dies noctis tenebras dissolveret, en et naves, ut erant instructae, per multa loca divisae in murum irrumpunt, novumque quoddam ac incredibile cunctorum oculis spectaculum ingerunt. unum-

λοὺς τόπους διαιρεθεῖσαι τῷ τείχει προσέρρηξαν, καινόν τι καὶ παράδοξον θέαμα ταῖς ἁπάντων ὄψεσι προδεικνύμεναι· ἑκάστη γὰρ αὐτῶν συζυγία ἐπεφέρετο τὴν σεσοφισμένην ἐκείνην τῶν ξυλοσυνθέτων πύργων κατασκευήν, πολλῷ τῷ μέτρῳ τὴν τοῦ τείχους οἰκοδομὴν ὑπερβαίνουσαν, ἄνωθέν τε τοὺς βαρβάρους ἐξαλλομένους καθάπερ τινὰς ἐξοιστρημένους ταύρους, καὶ τὸν ὄλεθρον πᾶσιν ἐπισείοντας. τότε δὴ τότε, ὅσοι τοῦ δήμου τῆς πόλεως τοῦ P 346 μὲν θανάτου καταφρονήσαντες ἀφύκτου τε ὄντος καὶ κατὰ κόρης, ὡς εἰπεῖν, ἱσταμένου ὅλοι τῆς ἀγωνίας ἐγένοντο, ἐπίδειξιν ἀνδρίας τοῦ κινδύνου τὴν ἀκμὴν ποιησάμενοι ἔστησαν γενναίως ἀθλοῦντες ἐν τῷ πολέμῳ, καὶ τὰ παρ' ἑαυτοῦ ἕκαστος αὐτῶν ἐπεδείκνυτο· οὐ γὰρ εἴων τέλεον πλησιάζειν τὰς νῆας, ἀλλὰ τὸ μὲν τοῖς συχνοῖς βέλεσι τὸ δὲ τοῖς τοῦ πυρὸς ὑπεκκαύμασιν ἀπεῖργον αὐτὰς τοῦ προσπελάζειν τῷ τείχει καὶ τὰ παρ' ἑαυτῶν ἐνεργεῖν. ὅσοι δὲ τῇ δειλίᾳ τὴν ψυχὴν βληθέντες οὐδὲ προσβλέπειν τοῦ κακοῦ τὴν πεῖραν ὑπὸ τῆς ἄγαν ἀμηχανίας ἐξίσχυον, ἑαυτοὺς τοῦ τείχους κατὰ μικρὸν ὑποσύροντες ἐπὶ τὰς ἀκρωρείας τῆς πόλεως ἔφευγον, καὶ B λοιπὸν θαρρεῖν ἐδίδουν τοῖς ἐναντίοις. ὡς γὰρ εἶδον κατά τινα τόπον τοῦ τείχους τὴν οἰκοδομὴν πλέον τῶν ἄλλων διαρρυεῖσαν, ἔνθα καὶ τοὺς ξυλίνους ἦμεν προπεπηγότες προβόλους, ἔγνων δὲ καὶ τὸ τῆς θαλάσσης ὕδωρ ἐν αὐτῷ μᾶλλον τῷ τόπῳ διὰ βάθους χωρεῖν, μίαν συζυγίαν τῶν ἐζευγμένων ἐκεῖ συνελάσαντες ὤθουν ταῖς κώπαις κατὰ μικρόν, ἕως ἔφθασαν πλησίον ἐν αὐταῖς ταῖς

1 τε P 8 κόρρης? 11 καὶ τὰ — ἐπεδείκνυτο om P
12 τοῖς om P 22 χωροῦν A τῶν ἐζευγμένων om P

quodque enim iugatarum navium par turrium ex lignis ingeniose structarum fabricam convehebat, murorum aedificio multo elatiorem; supra quas erant barbari subsilientes, aeque ac tauri oestro perciti, cunctisque interitum comminantes. tunc sane quotquot civium spreta morte, quae inevitabilis certaque immineret et ob oculos, ut aiunt, inque pupilla posita esset, toti certaminis ardore exarserant, fortis animi specimen ipsam periculi magnitudinem facientes, hi videlicet conserta pugna strenue dimicavere. haud enim omnino naves propinquare sinebant, sed partim telorum spissa grandine partim vero eiaculatis ignibus a muro arcebant ac noxam prohibebant. quotquot vero saucio formidine animo atque pavido erant, praeque ingenti mentis inopia nec ipsum mali incursum adversis oculis poterant aspicere, e muris sensim sese subtrahentes et ad tumulos elatioraque civitatis loca diffugientes hostes deinceps audaciores fecere. ut enim quodam muri loco structuram prae aliis magis ruinam facere viderunt, ubi scilicet nos ipsi lignea propugnacula praefixeramus, deprehenderuntque aquam maris altiore sinu eo loco urbem alluere, iunctarum navium par illo inferentes paulatim remis impulerunt,

ἐπάλξεσι τὰ κατὰ πρῴραν τῶν νηῶν προσπελάσαντες. εἶτα ὡς ἐπεχείρουν κατ' αὐτῶν λίθους βαλεῖν οἱ τοῖς ξυλίνοις ἐγκαθήμενοι C προβόλοις, μέγαν τινὰ καὶ τραχὺν ἀλαλαγμὸν ἐμβοήσαντες ἄνω τῶν ῥηθέντων μηχανημάτων ἑστῶτες οἱ βάρβαροι, λίθοις τε βαλόντες οὐκέτι χειροπληθέσιν ἀλλὰ καὶ λίαν παμμεγέθεσι καὶ ὧν οὐδεὶς ἐδύνατο τὴν φορὰν ὑπομεῖναι, πῦρ τε διὰ τῶν σιφώνων τῷ ἀέρι φυσήσαντες, καί τινα ἄλλα σκεύη καὶ αὐτὰ πυρὸς ἀνάμεστα εἴσω τοῦ τείχους ἐξακοντίσαντες, εἰς τοσαύτην ἔκπληξιν καὶ δειλίαν τοὺς ἐν τοῖς προβόλοις ὄντας ἐνέβαλον ὡς καταπηδῆσαι τὸ τάχος καὶ πρὸς φυγὴν ἐκτραπῆναι καὶ κενὸν ἅπαντα τὸν περίπατον τοῦ τείχους καταλιπεῖν. ἐπειδὴ δὲ τὸ τέλος εἶδον τῶν βεβουλευμένων (πάντες γὰρ καθάπερ ἐξ ἀνέμου φύλλα πρὸς τὴν γῆν κατε-
D φέροντο, οὐδὲ κατὰ τῶν κλιμάκων, ἀλλ' ὡς ἂν αὐτοὺς ὁ φόβος κατήπειγεν), ἕνα τινὰ τολμηρὸν βάρβαρον καὶ τῶν ἄλλων ὡς εἰκὸς μανικώτερον, Αἰθίοπα τὴν χροιάν, ταῖς ἐπάλξεσιν ἐπαφῆκαν. ὁ δὲ τὴν μάχαιραν ἣν ἐτύγχανε ταῖς χερσὶ κατέχων ἀναρριπίζων, καὶ κατὰ τοῦ τείχους ἁλλόμενος, ἐπέμενε σκοπῶν τὴν ὁρμὴν τοῦ πλήθους, εἴ γε μὴ πρὸς ἀπάτην ἀλλὰ πρὸς τελείαν φυγὴν ἐκεῖθεν ἐξέκλινε. καὶ γὰρ ὑφωρῶντο μή τινα κεκρυμμένην ἐνέδραν ἔχωσιν οἱ τῆς πόλεως ἐν ταῖς ἀγυιαῖς, δι' ἧς αὐτοὺς εἰς πολλὰ διαιρεθέντας δολερῶς κακουργήσονται, καὶ ἀμφέβαλλον τέως μὴ ἀπροόπτως
347 οὕτως προσχωρεῖν τῇ πόλει καὶ τὰ παρ' ἑαυτῶν ἐνεργεῖν. ὅτε δὲ ταῖς ῥιπίσι τῆς βαρβαρικῆς μαχαίρας ἐξαστράπτων ὁ ἀὴρ κατά-

2 βάλλειν A 16 ἔτυχε A 19 ὑφωρᾶτο P

donec ipsa propugnacula navium prorae contigere. tumque his qui in ligneis propugnaculis positi erant in eos lapides iacere incipientibus, magno horrendoque sublato clamore ac ululatu, supra eas quas dicebam machinas stantes barbari, nec manualia duntaxat sed quam immanissima, et quorum impetum nullus sustinuisset, convolventes saxa, ignemque siphonibus aëri insufflantes, atque alia vasa (ipsa quoque igne plena) intra murum iacientes, tantum metum ac stuporem illic constitutis praesidiariis incusserunt, ut quam celerrime exsilientes in fugam verterentur omnemque muri aream vacuam desererent. ubi autem voti se compotes factos esse viderunt (omnes enim velut a vento excussa folia in terram proruebant, neque per scalas, sed ut eos pavor raptabat), unum quempiam audacis animi barbarum, ceterisque, ut videbatur, maiori fretum vesania, colore nigerrimum, in propugnacula immittunt. is ensem, quem in manibus gestabat, rotans, inque murum insiliens, ac moras in eo trahens, multitudinis impetum observabat, num scilicet fraude, an quod omnino fugam fecissent, inde abscessissent: verebantur enim ne insidiis adversus eos in occulto per angiportus vicosque dispositis cives se in multa divisos agmina malo dolo, gravi ullo damno afficerent; dubiique hactenus subsistebant, ne sic improvise in urbem irrumperent exque genio illius vastitatem darent. at ubi barbarici ensis frequenti circum-

δῆλον ἐποίει πανταχοῦ τῶν πολεμίων τὴν εἴσοδον (καὶ γὰρ ἦν ὥρα τρίτη τῆς ἡμέρας), τότε δὴ πάντες τοῦ κακοῦ τὴν ἔκβασιν θεασάμενοι ἐτρέποντο ἄλλος ἀλλαχοῦ, τῷ θανάτῳ συνελαυνόμενοι. ὁ δὲ ἦν ἐφεστὼς καὶ μηδεμίαν τοῦ λοιποῦ παραχωρῶν ἐπίνοιαν δι' ἧς αὐτὸν ὑπεκκλίνωσιν.

35. Εἶτα ὡς ἅπαν κενωθὲν τὸ τεῖχος εἶδον οἱ βάρβαροι, καὶ τὸ ἀσφαλὲς ἑαυτοῖς εἶχον ἐκ τῆς τοῦ πλήθους ἀνυποστάτου φυγῆς, σπουδῇ τῶν νηῶν ἐκβάντες καὶ τῶν ἐπάλξεων εἴσω καταπηδήσαντες τάς τε πύλας ἀναρριπίσαντες ἐδήλουν καὶ ταῖς ἄλλαις B ναυσὶ τῶν πεπραγμένων τὸ πέρας, αἵτινες σπουδῇ καὶ αὗται παρὰ τὰς διεξόδους ἐγγύθεν προσορμισθεῖσαι ἔπεμπον τῇ πόλει τοὺς βαρβάρους, τὰ σώματα γεγυμνωμένους, μικρῷ τινὶ μόνῳ περιβολαίῳ τὰ κατὰ τὴν αἰδῶ ἐγκαλύπτοντας, τὰς μαχαίρας ἔχοντας ἐν χερσίν· οἳ καὶ ἔνδον γενόμενοι πρῶτον μὲν οὓς εὗρον ἔτι περὶ τὸ τεῖχος ἐνστρεφομένους, εἴτε τῷ φόβῳ βληθέντας καὶ κινηθῆναι μὴ δυναμένους παρεθέντος αὐτοῖς ἐκ τοῦ φόβου τοῦ σώματος, εἴτε πάλιν τοῖς ῥηθεῖσι πτώμασι συγκλασθέντας καὶ πρὸς τὴν φυγὴν ἀπελπίσαντας, τούτους τὸ τάχος ἀνεῖλον, εἶθ' οὕτω ταῖς λεωφόροις κατεμερίσθησαν. τὸ δὲ πλῆθος τῆς πόλεως εἰς πολλὰ μέρη C τμηθὲν διεθροεῖτό τε καὶ συνείχετο, οὐκ ἔχον ὅπου περισωθείη ἢ τὴν συμφορὰν διακρούσηται. ἦν γὰρ ἰδεῖν τότε τοὺς ἀνθρώπους

13 αἰδῶ] εἴσοδον P συγκαλύπτοντας A ἔχοντες A 16 τοῦ post ἐκ om P 17 συνθλασθέντας A 20 διεθροεῖτο Combefisius, διεθρυλλεῖτο AP 21 διακρούσεται A

actu effulgurans aër hostes in urbem pervadere atque ingredi palam fecit (erat namque hora diei tertia), tunc nimirum, tunc cuncti, mali eventu perspecto, alius alio, contrusi fato, diffugere, cum dira mors cunctis ingrueret, nec eius amoliendae ullum deinceps consilium ratioque suppeteret.

35. Postmodum cum nudatum defensoribus murum barbari conspexissent, exque effusa multitudinis fuga nihil iam sibi periculi imminere intelligerent, statim navibus effusi inque propugnacula insilientes ac portas diffindentes reliquis quoque navibus gestorum exitum indicavere. quae et ipsae celeriter ad viarum exitus prope appulsae barbaros in urbem immittebant, corporibus nudos, exiguoque solum amictu verenda contectos, ac manus gladiis armatos. urbem porro ingressi primum quidem, quos adhuc in muris versantes offendere, sive metu perculsos nec se movere valentes, corpore eis ex metu dissoluto, sive rursus iis quos dicebam casibus praecipitiisque confractos, sibique fuga consulendi omni spe destitutos, quam cito trucidabant. tum per vicos ac plateas dispertiti sunt: urbana autem multitudo, huc atque illuc multis partibus divisa, tumultuabatur et clamitabat angustiisque tenebatur, cum nulla salutis ratio aut depellendae calamitatis in promptu esset. vidisses enim tunc

ὡς ἀκυβέρνητα σκάφη τῇδε κἀκεῖσε περιφερομένους, ἐλεεινὸν θέα-
μα, ἄνδρας γυναῖκας νήπια, ἀλλήλοις συμπίπτοντας, ἀλλήλων
ἐκκρεμαμένους, ἀσπαζομένους τὸν οἴκτιστον ἐκεῖνον καὶ τελευταῖον
ἀσπασμόν. εἴ πού τις καὶ πατὴρ ἐν αὐτοῖς πρεσβύτης, ἐπιπεσὼν
τῷ τραχήλῳ τοῦ παιδὸς δεινὸν ἐπεκώκυε, τὸν χωρισμὸν οὐ φέρων,
ἀλλὰ τὰ μέλη κατέχων τοῦ φιλτάτου, καὶ πρὸ τοῦ ξίφους τῷ φυ-
D σικῷ νυττόμενος πάθει τὸν θρῆνον ἑαυτῷ διετίθει, "φεῦ μοι" λέ-
γων, "ὦ παῖ, ἐν τίσι νῦν ἐξεταζόμεθα; τίνα ταῦτα τοῖς ὀφθαλ-
μοῖς καθορῶ; εἰς τοῦτο γάρ σε ἐπιμελῶς ἐξέθρεψα, καὶ διὰ τοῦ-
τό σε παιδευταῖς ἐξεδόμην καὶ συνέσει διαπρέπειν ἐν τοῖς ὁμήλιξι
διεσπούδασα, ἵν' ὅτε προσεδόκων ζηλωτὸς μὲν εἶναι τῇ εὐπαιδίᾳ,
ἐπίφθονος δὲ τῇ ἐπὶ σοὶ καυχήσει, μακαριώτερος δὲ πολλῶν ἄλλων
πατέρων ὡς τοιοῦτον ἔχων εὐπρεπέστατον τέκνον, ἐράσμιον μὲν
τὴν ἡλικίαν τοῦ σώματος, ἐρασμιώτερον δὲ τοῦ προσώπου τὴν
θέαν καὶ ἔτι μᾶλλον τῆς ψυχῆς τὴν ἰδέαν, τότε κατ' ὀφθαλμοὺς
P 348 ἰδέσθαι τὸν ὀλέθριον τοῦτον καὶ δυστυχέστατον ἀπὸ σοῦ χωρισμόν;
καὶ διὰ τοῦτο μέχρι τοῦδε τῇ δυστήνῳ ταύτῃ τετήρημαι πολιᾷ,
ἵν' ὑπὸ βαρβάρων ἴδω καταικιζόμενόν σου τὸ σῶμα καὶ τὰ φίλτα-
τά μου καὶ παμπόθητα μέλη τῷ ξίφει τοῦ δημίου ἀνηλεῶς δια-
σπώμενα; οἴμοι, τίς γένωμαι; ποίαις ὄψεσι ταῦτα κατίδω; ποῖον
ἐπὶ σοὶ ποιήσομαι θρῆνον; εἴθε τοιούτου τύχοιμεν δημίου ὃς ἐμὲ
πρῶτον τῇ μαχαίρᾳ διέλοι, ἵνα μὴ καθυστερήσας δριμυτέρας τοῦ

4 εἴ που] cf. p. 349 d   8 ἐξετάζομαι A   16 ὄλεθρον A
19 μοι?

homines velut navigia omni rectore destituta hac illacque procella circumferri, miserabile spectaculum, viros mulieres parvulos in se mutuo collabentes, ex se mutuo pendentes, infelicissimum illud supremumque dantes osculum ac consalutantes. sicubi forte in eis pater vetulus in filii collum ruens maeste conquerebatur, separari non sustinens, sed carissimi membra tenens et ante ensem naturali punctus dolore atque affectu, sibi ipse luctum digerebat. "heu me, fili," aiebat, "in quibus nunc versamur! quaenam haec oculis usurpo? eamne in rem diligenti cura educavi, propptereaque magistris tradidi, et ut maiore prudentia inter aequales fulgeres operam sumptusque locavi, ut cum plane prolis felicitate aemulandum me fore exspectabam, tuique gloriatione invidiam provocaturum, necnon aliis vulgo parentibus beatiorem, ut qui tali honestissimo filio praeditus essem, ipsa corporis statura amabili, vultusque adspectu amabiliori, magisque adhuc forma animae ac decore, tunc ob oculos exitiosam hanc infortunatissimamque a te separationem videam? an ideo miseranda hac canitie huc aetatis provectus sum, ut corpus tuum a barbaris caedi amantissimaque ac desideratissima membra lictoris gladio cernam immaniter discerpi? heu me! quo me vertam? quibus oculis haec conspiciam? quo te luctu deplangam? utinam talem liceat nancisci lictorem, qui me priorem gladio diffindat, ne tardiore nece subla-

ξίφου ἐπὶ σοὶ τὰς ἀλγηδόνας αἰσθήσωμαι. ἑνὶ τούτῳ τῷ μιαιφόνῳ χάριτας ὁμολογήσω, εἴγε τῆς σφαγῆς ἀπὸ τοῦ ἐμοῦ κατάρξηται γηραιοῦ τραχήλου· εἶθ' οὕτω τῷ ἐμῷ λύθρῳ τὸ σὸν σπείσειεν B αἷμα. καὶ γὰρ οὕτω τὴν πολλὴν ὀδύνην ὑποτέμοι τῷ ἐγχειρήματι."

36. Καὶ ταῦτα μὲν οὗτος· ἄλλοθεν δὲ πάλιν ἄλλος τις τῇ συννόμῳ γυναικὶ προστυχών, βύθιόν τι καὶ μέγα στενάξας, τὴν κεφαλήν τε κινήσας καὶ τὴν μορφὴν ἀλλοιώσας, προσδραμὼν αὐτῇ καὶ περιπλακεὶς τὴν συμφορὰν ἐτραγῴδει. "σῴζου, γύναι, καὶ τοῦ συννόμου μὴ ἐπιλάθου. ἤδη γὰρ ἡ μεγάλη στοργή, ἣν πρὸς ἀλλήλους ἐθέμεθα τῇ κοινωνίᾳ τῆς φύσεως, διακόπτεται σήμερον, καὶ ξίφος καινοτομεῖ τὴν συνάφειαν, καὶ θάνατος ἄωρος τὴν συζυγίαν διίστησιν. οὐκέτι τὴν ζωὴν τῇ κοινότητι τῆς C βιοτῆς ἐξανύομεν. οὐδεὶς ἡμῖν τοῦ λοιποῦ παιδοποιίας λόγος. εἴθε μηδὲ ταῦτα, ἃ νῦν ἡμᾶς περιέστηκε νήπια, τοῖς ὀφθαλμοῖς κατείδομεν ἐξ ἀρχῆς. εἴθε τῇ σορῷ ταῖς ἡμετέραις χερσὶν ἀπεδόθησαν, καὶ μὴ τοῖς θηρσὶ τούτοις εἰς δυστυχῆ δουλείαν διετηρήθησαν." εἶτα τοῖς τέκνοις ἀναμιχθέντες καὶ τὸν θρῆνον χοροστατήσαντες τὴν διαίρεσιν ἐκαρτέρουν. ἀδελφὸς δὲ πάλιν ἀδελφῷ συναντήσας καὶ φίλος φίλῳ, ὁ μὲν τὴν συγγένειαν ὁ δὲ τὴν μακρὰν συνήθειαν ἀπεκλαίετο. καὶ ἁπλῶς τῇ ἀμετρίᾳ τῶν κατὰ μέρος θρήνων κραυγῆς ἀσήμου πάντα πεπλήρωτο, ὥσπερ ἂν εἰς σφαγὴν D

6 οὕτως A   10 μὴ] μου Combefisius.

tus acerbiores gladio super te cruciatus experiar! uno hoc cruento tortori gratias agam, si a senili mea cervice ducto caedis initio tuum mox sanguinem cruori meo libaverit. sic namque eoque molimine doloris partem plurimam abstulerit."

36. Et haec quidem iste. aliunde vero alius, quacum vixerat ac quam contubernalem habuerat, uxorem offendens, imo ex pectore altumque trahens suspirium et caput movens vultumque immutans, ad eam accurrens eique circumfusus ac stringens, dirum casum lugubri voce plangebat. "vale, mulier, meique coniugis obliviscere: iam enim ingens illa amoris vis, quam inter nos sociali naturae vinculo ratam habuimus, hodie discinditur, et gladius coniunctionem dividit, morsque intempesta aeterno divortio coniugium dirimit. non ultra sociali iugo trahemus vitam. nulla deinceps futura nobis prolis suscipiendae ratio. atque utinam ne susceptos unquam circumstantes parvulos oculis usurpassemus. utinam nostris manibus tumulo traditos hisce feris bestiis ad infelicem servitutem minime servassemus." tum se cum filiis immiscentes, ac velut choro luctum sustollentes, divisionem exspectabant. frater vero rursus fratri et amicus amico obviam facti, ille sanguinis necessitudinem deflebat, hic longam consuetudinem. et ut summa dicam, immensa turba eorum qui singuli lamentis indulgebant, incondito clamore cuncta repleban-

συγκλεισθέντων προβάτων καὶ σύμμιγῆ φωνὴν ἀφιέντων. οἱ μὲν γὰρ αὐτῶν πρὸς τοὺς οἴκους ἀπέτρεχον, οἱ δὲ τὰς ὁδοὺς ἀπεσκόπουν· ἄλλοι πρὸς τοὺς σεβασμίους οἴκους ἠλαύνοντο, ἄλλοι τὰς πύλας τῆς πόλεως καταλαβεῖν ἔσπευδον. ἕτεροι δὲ πρὸς τὸ τεῖχος ἀνιέναι ἐβούλοντο μέν, οὐ δεδύνηντο δὲ ὑποκλαζούσης αὐτοῖς τῆς φυσικῆς ἰσχύος τῇ προσδοκίᾳ τῶν φοβερῶν· οὐκ εἶχον γὰρ ὅπως διάθωνται πρὸς τὸ κακόν, ἀλλ' ὅπου περ ἂν ἔτυχον γεγονότες τῆς πόλεως, κατὰ πρόσωπον εὕρισκον ἀπαντῶντα τὸν θάνατον, ὡς μηδὲν αὐτοῖς εἶναι λοιπὸν ἀσφαλὲς πρὸς ἐπίνοιαν.

P 349 37. *Ἀλλὰ πῶς ἄν σοι τοῦ λοιποῦ τὴν καθ' ἡμᾶς συμφοράν, ὦ ἀνδρῶν λογιώτατε, ἢ τὴν ἐπαλληλίαν τῶν τοσούτων ἀνιαρῶν διαγράψομαι; ποῖον τούτων πρῶτον εἰπὼν τοῖς ἄλλοις δευτερεύειν παραχωρήσω; ἐπὶ τίνι τὴν γλῶτταν κινήσω ἢ τὴν χεῖρα πρὸς γραφὴν ἐξενέγκω; ἐξιστᾷ γάρ μου τὸν νοῦν ἡ μνήμη τῶν γεγονότων, καὶ οἷον ὁρᾶν πάλιν δοκῶν τῶν λεχθησομένων τὰ πράγματα δυσεπιχείρητον τὴν περὶ τούτων ἐξήγησιν ἐπαισθάνομαι. ἡ γὰρ ἀνατύπωσις τῶν γεγονότων ὡσανεὶ πραττομένων τῇ ψυχῇ διὰ τῆς μνήμης τὸν κίνδυνον εἰκονίζουσα καὶ διαμορφοῦσα τῇ φαντα-*
B *σίᾳ τὰ πράγματα, τὴν ὁρμὴν τοῦ λέγειν ἐπέχειν βιάζεται. οἷα γὰρ ἦν τὰ τελούμενα τότε! οἱ μὲν πρὸ τῆς σωματικῆς τὴν τῆς ψυχῆς πλέον δεδιότες πανωλεθρίαν πρὸς τὸ θανεῖν ἐδυσφόρουν, ἀρχὴν τῶν ἐκεῖθεν κολάσεων τὸν χωρισμὸν ἡγούμενοι τὸν τοῦ σώ-*

14 *γράφειν* P 17 *ὡσανεὶ* Combefisius, *ὡς ἄν τι* AP 22 *τὴν ἐκεῖθεν κολάσεως* P

tur, velut si oves ad iugulandam conclusae commixtam vocem ederent. horum namque alii ad domos confugiebant, alii vias observabant, alii ad venerabiles aedes contendebant, alii ad portas civitatis properabant, alii muros conscendere in animo habebant, nec tamen poterant, collapsa in eis naturali virtute malorum exspectatione. nam nesciebant quo se modo ad malum compararent: sed quovis civitatis loco constitissent, adversa facie occurrentem sibi mortem offendebant, ut nullum iam eis reliquum esset consilium, quo rebus suis tuto prospicerent.

37. Sed quanam tibi ego ratione subsecutam deinceps calamitatem, virorum eruditissime, aut tantorum malorum longam seriem catenamque describam? quod horum primum assumens, secundas reliquis partes adscribam? cuius argumento movebo linguam, aut ad scribendum manum extendam? rerum enim gestarum dirique casus memoria mentem sede deiicit; ac qui prope oculis res ipsas quas dicturus sum videre videar, quam earum ardua narratio sit plane sentio. rerum namque mente informatio, ut quae ipsum coram animo gestorum periculum per memoriam simulacro exhibeat ac phantasiae (vi scilicet cogitandi) effingat ac repraesentet, orationis impetum retardat ac inhibet. qualia enim erant quae fiebant per eas angustias? alii, animi potius quam corporis noxam reformidantes, aegre mortem ferebant, qui videlicet separationem a cor-

ματος· οἱ δὲ τῇ γῇ προσερείδοντες τὰ γόνατα, κρουνούς τε δα-
κρύων ἐκβλύζοντες, ἀξίους παραδεχθῆναι τῆς κλήσεως διὰ τοῦ
τοιούτου θανάτου τὸν θεὸν ἐλιτάνευον. ἄλλοι τῇ μνήμῃ τῶν ἡμαρ-
τημένων τομώτερον τοῦ ξίφους τὸ συνειδὸς νυττόμενοι τὸν ἀναλω-
θέντα χρόνον ἐπὶ ματαίῳ ἀνεκαλοῦντο μεταμελούμενοι. ἕτεροι
μηδὲν τοιοῦτον ἐνεργῆσαι δυνάμενοι, ἀλλὰ τὸν λογισμὸν προδόντες C
τῇ ἀγωνίᾳ, ἵσταντο τρομώδεις, δίκην ἀψύχων δένδρων τὴν τομὴν
ἀναμένοντες. ἄλλοι δὲ καθάπερ οἴστρῳ τῷ φόβῳ πληττόμενοι
ἀκάθεκτοι ταῖς ὁρμαῖς ἦσαν· ἐξ ὧν καὶ πλεῖστοι πρὸς τὸ ἐκτὸς
τοῦ τείχους ἀσυλλογίστως ἑαυτοὺς ἀκοντίσαντες ἢ τῷ πτώματι τὴν
ζωὴν συνεπέραναν ἢ τοῖς ἐκεῖσε στρεφομένοις βαρβάροις ἑαυτοὺς
ἐνεχείρισαν.

38. Τί δὲ τῶν γυναικῶν εἴπω πρῶτον, οἷς καὶ αὐτὸν τὸν
ἀέρα συνθρηνεῖν αὐταῖς ἐβιάζοντο, ἤγουν τὰς ἀνακλήσεις, τὰς
οἰμωγάς, τῶν τέκνων τὰς περιπλοκάς; οὐδ᾽ εὐσχημονεῖν ἔτι βου- D
λόμεναι νικηθεῖσαι τῷ πάθει, οὐδὲ τῆς ὄψεως τῶν ἀνδρῶν ἑαυ-
τὰς ὑπεκκλίνειν, ἀλλ᾽ ἀναιδῶς φερόμεναι, τὰς κόμας ἔχουσαι λε-
λυμένας καὶ τῶν πρὸς συστολὴν ἀμελήσασαι, ἤγοντο συνεκβοῶσαι
τοὺς θρήνους καὶ τοῦ κινδύνου καταστενάζουσαι. εἴ που καὶ
παρθένος ἐν αὐταῖς, ἡ μήπω τῆς οἰκουρίας προβᾶσα ἀλλ᾽ ἀσφα-
λῶς τηρουμένη τῷ γάμῳ καὶ σεμνότητα πᾶσαν δεδιδαγμένη, τὴν
αἰδῶ τῆς ὄψεως περιάρασα, καὶ μηδ᾽ ὅτι γυνὴ τυγχάνει τῷ δέει

2 ἀξίως Combef. 16 κινηθεῖσαι P

pore futuri aevi poenarum initium ducerent. alii, fixis terrae genibus largoque lacrimarum fonte perfusi, digne vocatione recipi istiusmodi mortis periculo deo supplicabant. alii delictorum memoria, omni gladio acutius conscientia vulnerati tempus vane insumptum dolebant, maestique paenitudine revocabant. alii nihil eiusmodi praestare valentes, nimiaque doloris vi excussa ratione atque prodita, tremebundi stabant, velut prope inanimatae arbores ferri ictum exspectantes. alii velut oestro, metu perculsi, contineri non poterant: quorum etiam plurimi inconsulta mente extra murum ruentes praecipites vel casu allisi vitam finiere, vel ipsi se barbaris illic consistentibus tradidere.

38. Mulierum autem quid prius referam, quae vel ipsum aërem una secum planctum edere cogebant, compellationes scilicet et eiulatus liberorumque amplexus? hae gravi dolore concitae nec decorum tenere nec virorum se conspectibus subducere volebant, sed impudentia actae, solutis crinibus, omniumque oblitae quae ad modestiam ac verecundiam faciunt, flebili clamore adversusque periculum gemitu, bacchantium more cursitabant. inter eas et virgines, necdum domo prodire solitae, sed quae tuto alligandae servarentur connubio omnemque modestiam essent edoctae, pulso ab ore pudore, et neque an mulieres essent, sexumque

λογιζομένη, διῄει τῆς ἀγορᾶς ἐν μέσῳ, ταῖς ἄλλαις γυναιξὶ κοι-
P 350 νωνοῦσα τοῦ θρήνου καὶ δεινὸν ἀλαλάζουσα. μονασταὶ δὲ καὶ μονάζουσαι, ὅσοι τὴν προσπάθειαν τοῦ βίου κομιδῇ νέοι ὑπάρχοντες τῷ φίλτρῳ τῆς ἀρετῆς ἀπεσείσαντο, ἑαυτοῖς μόνοις καὶ θεῷ ζῶντες, τῶν ἀσκητηρίων ἐκβάντες καὶ ταῖς πλατείαις διασπαρέντες τῆς πόλεως τὸν κοινὸν ὄλεθρον γοερῶς ἐκλαυθμύριζον. ἐξ οὗ δή μοι καὶ θάμβος ἐπέρχεται, ὅταν κατὰ νοῦν λάβω τὴν ποικίλην καὶ διάφορον ἀρετὴν τῶν Ναζηραίων ἐκείνων, ἣν καταμόνας ἐφιλοπόνουν, ἤτοι τὴν πάννυχον ψαλμῳδίαν καὶ τὴν ἱερὰν παρθενίαν τήν τε ἐκτενῆ προσευχὴν καὶ τὸ ἀκατάπαυστον δάκρυον, πῶς τὴν πρὸς ἡμᾶς θείαν οὐ .... συμπάθειαν, πῶς οὐ κατηγγυήσαντο
B τὴν πόλιν, πῶς οὐχ εὗρον ἔπαθλον ἀρετῆς τὴν ἀποφυγὴν τοῦ κινδύνου, συνελήφθησαν δὲ μᾶλλον καθάπερ ἀνεπισκόπητα πρόβατα, πάντες τῆς μαχαίρας γεγονότες καὶ τῷ κλήρῳ τῶν ἁμαρτωλῶν τῆς σφαγῆς κοινωνήσαντες. πλὴν ἡγοῦμαι ὅτι τούτων μὲν ὁ θάνατος, ὥς φησιν ὁ ψαλμός, τίμιος γέγονεν ἐναντίον κυρίου, κἂν τούτῳ τοῦ σοφοῦ τοὺς οἰκείους δούλους τιμήσαντος, ἵνα μετὰ τῆς λοιπῆς ἀρετῆς καὶ τὸ τέλος μαρτυρικὸν ἀπενέγκωνται, ὡς ἂν ἐπιδαψιλεύσηται τούτοις τὰ τῆς ὑπομονῆς γέρα καὶ τῶν ἀρρήτων ἐκεί-
C νων ἀγαθῶν τὴν ἀντίδοσιν· ἡμῶν δὲ τὸ πλῆθος παραπτώσεων οὐ μόνον τὰς τούτων ἐντεύξεις ἀλλὰ καὶ τὰς τῶν μαρτύρων πρεσβείας ἀσυντελεῖς δειχθῆναι πεποίηκεν, ἵν' ἡμῶν παθόντων ὅπερ ἤδη

6 γοερὸν A 10 πῶς τὴν — συμπάθειαν om A 13 ἀνεπίσκοπα A 17 δούλους om P 20 δὲ om A

suum graviore metu cogitantes, medio foro, pari ac maritatae planctu diroque eiulatu vagabantur. monachi ipsi ac moniales, quotquot ipso iam aetatis flore iunioresque virtutis amore saecularis vitae affectum libidinemque excusserant, sibi solis deoque viventes, monasteriis egressi et per plateas civitatis dispersi commune excidium eiulatu lugebant. hinc magnopere miror ac stupeo, ipse mente reputans multiplicem diversique generis dictorum Nazaraeorum virtutem, quam colebant solitarii, nocturnas modulatis psalmorum vocibus productas vigilias, sacram virginitatem, continuas preces iugesque lacrimas; quomodo nihil nobis divinam conciliarunt miserationem? quomodo fidem suam ad urbis incolumitatem non obstrinxerunt? quomodo non virtutis praemio consecuti ut a periculo liberarentur? sed magis velut oves absque pastore comprehensi omnes ferro iugulati sunt, parique cum sceleratis nece interierunt? enimvero horum mortem pretiosam apud dominum, ut psalmus loquitur (115 15), arbitror exstitisse, cum hoc quoque dei sapientia caros suos ac famulos honoraverit, ut cum reliquis virtutibus martyrii quoque laurea clarescant, patientiae munera eis cumulatius reponens, arcanorumque bonorum praemia largiens: nostrorum vero scelerum multitudinem non solum horum preces, sed et martyrum intercessiones inutiles reddidisse, ut ex iis quibus iam recentique exemplo sumus accepti malis, intelligere

πεπόνθαμεν, ἔχωσι γνῶναι πάντες οἱ τῶν θείων καταφρονηταὶ διατάξεων ὡς κακίᾳ πλεονεκτοῦντας οὐδὲν αὐτοὺς τῆς δεσποτικῆς ἀπειλῆς τῶν σωτηρίων βοηθημάτων ἐξαιρήσασθαι δυνηθήσεται.

39. *Ὡς γὰρ κατὰ πᾶσαν εἰσελθόντες διεμερίσθησαν τὴν πόλιν οἱ βάρβαροι, εὐθὺς πᾶσα ἡλικία καὶ πᾶν γένος ἀνθρώπων ὑπ' αὐτῶν ἀνῄρητο. οὐδὲ γὰρ ἦν οἶκτος αὐτοῖς οὐδεὶς πάλαι προ-* D *μεμηνόσι καὶ τὴν καθ' ἡμῶν διψῶσιν ἀπώλειαν, ἀλλὰ καὶ γέρων καὶ ἀκμάζων ἔτι καὶ νεανίσκος καὶ πᾶς ὁ προστυχὼν ἔργον τοῖς μιαιφόνοις ἦν, οὐδὲ καιρίας κατ' αὐτῶν ἀφιεῖσι πληγάς, ἀλλ' ὡς ἂν αὐτοὺς ἐνδιατρίβειν ποιῶσι τοῖς ἀλγεινοῖς, τὰ πρὸς τὸν νῶτον μέρη καὶ τοὺς μηροὺς κατατέμνοντες σχολάζειν αὐτοὺς τῇ τελειώσει παρεβιάζοντο. καὶ οὐδ' οὕτως ὁ πολιορκῶν αὐτοὺς ἐνεπίμπλατο θυμός, ἀλλ' ὅτι μὴ πολλάκις δύνανται θνήσκειν μανικῶς ἐδυσφόρουν. ἵνα γὰρ τὴν θηριώδη καὶ ἀδάμαστον ἐκείνην ὄρεξιν ἐμφορήσωσιν, οὐδὲ γυναικῶν ἐφείσαντο κατ' ἀρχὰς τοῦ κινδύνου, οὐδὲ παίδων αὐτῶν, ὧν τὸ τῆς ἡλικίας ἄωρον ἄγειν βιάζεται πολλάκις καὶ θηρῶν ὀφθαλμοὺς εἰς συμπάθειαν· ἀλλ' ἦν ἐπ' ἴσης* P 351 *ἅπασιν ἡ τομή, καθάπερ ἐν χλοηφόρῳ πεδίῳ, πᾶν τὸ παρατυχὸν ἐκθερίζουσα, ὡς ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἄοικον ἀποδειχθῆναι τὴν πόλιν τὴν πρὸ μικροῦ στενοχωρουμένην καὶ τοῖς πλήθεσι βρίθουσαν. καθὸ γὰρ φθάσαντες εἴπομεν, τὸ μὲν τοῦ δήμου τὰς ἀκρωρείας κατειλήφει κατὰ τὴν καλουμένην ἀκρόπολιν συνελαθέν, ἢ τὴν περιοικίδα τοῦ ὁσίου Δαβὶδ ὀνομαζομένην (τοῦτο γὰρ μᾶλλον τῆς*

possent omnes divinarum legum contemptores, cum maiorem in modum nequitiae indulgent seque vitio mancipant, nullo se ab ira dominica iustaque ultione liberatum iri salutari subsidio.

39. Ut itaque ingressi per omnia urbis loca dispersi sunt barbari, omnis aetas omneque hominum genus ab eis confestim trucidatur. neque enim ulla eis miseratio erat, qui pridem rabie exarsissent nostramque internecionem sitirent: sed et senex et florenti adhuc aetate atque iuvenis, quisquis denique occurrisset, gladio necabatur. nec vero letali statim vulnere feriebant, sed ut diutius doloribus excruciarent, quae circa dorsum coxasque sunt concidentes, tarda eos nece conficiebant. ac ne sic quidem exsatiabatur eos obsidens furor, sed quod non saepius mori poterant, immanitatis rabie gravius dolebant. ut enim belluinam illam ac indomitam libidinem satiarent, nec mulieribus mali initio neque pueris ipsis pepercerunt, quorum immatura aetas haud raro etiam ferarum oculos ad miserationem cogit; sed cunctis perinde indicta excisio erat, quae velut in prato herbescente quicquid obvium esset demeteret. hincque adeo factum est ut brevi temporis momento urbs, quae paulo ante vix non angusta habitatoribus erat ac plebe constipata, deserta vilesceret. ut enim superius diximus, populi pars collium cacumina ad acropolim sic dictam (i. e. arcem) occupaverat, aut quam sancti Davidis

λοιπῆς ὑπερανέχουσι πόλεως, ἔνθα δὴ καὶ πλῆθος ἦν μοναχῶν ἐναρέτων πάντων καὶ τῆς οὐρανίου πολιτείας ἠξιωμένων), τὸ δὲ B πάλιν ταῖς δυσὶ πύλαις προσερρύη ταῖς πρὸς δύσιν ἀφορώσαις τῆς πόλεως, μίαν ἐχόντων πάντων σπουδήν, τοῦ ξίφους διεκφυγεῖν τὴν τομήν. ἀλλ᾽ οὐδὲν πλέον τῶν ἄλλων διήνυον, τῶν πυλῶν ἐκτὸς τῶν βαρβάρων ἐφεδρευόντων, καὶ μηδ᾽ ἄλλως ἔχοντες εὐχερῶς ὑπερβῆναι, τῷ συνωθισμῷ πιέζοντες ἀλλήλους καὶ τὴν διέξοδον ἀποφράττοντες. (40) οἷον γὰρ ἐγεγόνει κακὸν κατὰ τὴν καλουμένην Χρυσῆν πύλην! πῶς παρανοῖξαι ταύτην βουληθέντες μικρόν, ὅσοι τοῦ δήμου τῷ τόπῳ συνερρύησαν, διήμαρτον τῆς ἐπιχειρήσεως! μόνον γὰρ ὅτι τὰς πύλας ἀλλήλων διέστησαν, καὶ C τῷ ἰδίῳ πιλήματι πάλιν ἐν ἑαυταῖς συνδραμεῖν αὐτὰς κατηνάγκασαν· οὕτω δὲ ἔχοντας αὐτοὺς καταλαβόντες οἱ δυσμενεῖς οὐκέτι καθ᾽ ἕνα τοῖς ξίφεσιν ἀνῄρουν, ἀλλ᾽ ὡς εἶδον συνεσφιγμένους ἀλλήλων τε ἐχομένους καὶ ἐκτραπῆναι μὴ δυναμένους, κατὰ κόρρης αὐτοὺς τοῖς ξίφεσιν ἔπαιον, ὡς μετὰ τὴν πληγὴν διαιρεῖσθαι τοῦ προστυχόντος τὴν κεφαλήν, καὶ τοῖς ὁμοίοις τῇδε κἀκεῖσε τὰ μέρη συμπίπτειν, καὶ μηδὲ μετὰ θάνατον τῇ γῇ δίδοσθαι ἀλλ᾽ ἔτι παρακρατεῖσθαι τοῖς λοιποῖς σώμασιν, ἕως πάντων ἀναιρεθέντων, καὶ ὥσπερ τοῦ ὑποστηρίζοντος, τῆς ἁπάντων λέγω ζωῆς διαδράσης, αἵματος ἀλλήλων καθάπερ καὶ τῆς τελευτῆς κοινωνήσαντα.

1 ὑπερανέχει Combef. 9 χρυσέαν A 10 συνέρρευσαν A 12 συνδρομεῖν P

viciniam vocant. quae regio reliqua urbe altiore situ eminet; ubi etiam monachorum multitudo erat, viri omnes virtute clari caelestique instituto digni habiti. pars vero rursus ad duas portas, ad occidentalem urbis plagam respicientes, confluxerant, in hoc unum cunctis operam conferentibus, ut gladii ictum effugerent. sed nihil his melius cessit quam aliis, cum iam barbari extra portas insiderent, nec alioqui facile eis esset ut transirent, cum alter alterum pulsando comprimerent exitumque obstruerent. (40) quantum enim contigit malum in porta quam Auream vocant? quomodo, qui eo confluxerant (omnis illa populi pars) cum aliquantulum aperire voluissent, conatu frustrati sunt? vix enim valvas diducere coeperant, cum conferta hic multitudine atque agmine in se rursus coire nectique compulerunt. quos ita constipatos cum hostes offendissent, non iam viritim ensibus obtruncabant, sed ut illos inter se compressos, aliosque aliis haerentes averti non posse conspexerunt, in faciem gladiis caedebant, adeo ut post ictum cuiusque diviso capite hinc inde partes dissilirent et ad similia utrinque membra conciderent. ac neque post mortem humo mandabantur, sed cum reliquis adhuc corporibus pari acervo tenebantur, donec omnibus trucidatis, ac velut fulciente, omnium scilicet eliminata vita, uti morte sic et cruore socio iungerentur.

41. Τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ τὴν ἄλλην πύλην, ἣν κα- D λοῦσι Λιταίαν, πραχθῆναι συνέβη. καθὼς γὰρ ἔφαμεν, τῶν ἄλλων τὰς μὲν πρὸς θάλασσαν ἐξαγούσας αὐτοὶ προκατεῖχον οἱ βάρβαροι, τὰς δέ γε πρὸς ἀνατολὴν ἀφορώσας ἡμεῖς προαποκλείσαντες ἦμεν, τὴν τοῦ πυρὸς μηχανήν, ἣν κατὰ τῶν ἔξω τοῦ προτειχίσματος πυλῶν προπεπόνθαμεν, καὶ ἐν αὐταῖς ὑφορώμενοι, ὡς λοιπὸν ἐκ τούτων πανταχόθεν ἀποροῦντα τὸν δῆμον πρὸς τὴν φυγὴν περὶ τὰς ἀγυιὰς μόνον εἰλεῖσθαι καὶ ἁπανταχοῦ τῷ θανάτῳ προσπίπτειν. σχεδὸν γὰρ ὀλίγοι, καὶ λίαν ὡς εἰκὸς εὐαρίθμητοι, κατὰ τὸ δυτικὸν μέρος τοῦ λιμένος ἑαυτοὺς τῶν τειχῶν ἀκοντίσαντες τὸν κίνδυνον ὑπεξέφυγον· καί τινες ἄλλοι τῆς κατὰ τὴν ἀκρό- P 352 πολιν πύλης λάθρα ὑπεκδραμόντες πρὸ τοῦ τὴν συμφορὰν ὑφεστάναι διεσώσαντο τὴν ζωήν. οὗτοι δὲ ἦσαν οἱ τῶν Σκλαβήνων ἡγούμενοι, πάλαι προμελετήσαντες τοῦτο καὶ τὰς κλεῖδας τῶν πυλῶν ἐκείνων προϋφελόμενοι. οὓς καὶ ἐχρῆν, τὴν ἀκμὴν τοῦ κακοῦ θεασαμένους, παντὶ τῷ προστυχόντι παραχωρῆσαι τὴν ἔξοδον· οὕτω γὰρ πολλοὶ τῶν αὐτόθι λαχόντων, πρὸ τοῦ τοὺς βαρβάρους ἐπελθεῖν, τὸν θάνατον ὑπεξέκλιναν ἄν. οἱ δὲ τοιοῦτον μὲν οὐδὲν οὐδὲ εἰς νοῦν λαβεῖν ἠνέσχοντο· ἀεὶ δὲ τὸ οἰκεῖον προορώμενοι, καὶ ὅπως τὸν κίνδυνον διακρούσονται κἂν τούτῳ δια- B σκεψάμενοι, τὰς πύλας μικρὸν παρανοίξαντες καὶ τὴν ὑπεκδρομὴν τομῶς ποιησάμενοι, ἕνα τινὰ τῷ τόπῳ καταλιπόντες πρὸς τὸ μετὰ τὴν ἐκείνων ἔξοδον καὶ αὖθις ταύτας συγκλεῖσαι, οὕτω τῆς πάντων

3 θάνατον A οἱ om P 8 πανταχοῦ A 15 ἐχρῆν τῷ τὴν A 17 τῶν om P 18 ἀπελθεῖν AP

41. Hoc ipsum vero et in porta quam Litaeam vocant fieri contigit. nam barbari, uti diximus, priores reliquis occupaverant portas, quae ad mare ducunt. quae vero ad ortum, nos ipsi ante occluseramus, in iis quoque suspectam habentes machinam, cuius in exterioris muri portis noxam labemque senseramus. hincque adeo omni undique praeclusa fugae ineundae spe, populus in plateis solum volutabatur, inque mortis casses omni loco incursabat. vix enim pauci, valdeque, ut par est, numero exigui, in occidentali ora portus sese e muris proiicientes periculum evaserunt. quidam etiam alii e porta quae ad acropolin (arcem scilicet) est, sese clam subducentes, cum necdum calamitas appetiisset, saluti consuluerunt. et hi fuerunt Sclavenorum duces, meditati fugam multo ante, atque portarum illarum claves eam in rem pridem suffurati. quos decebat, mali mole inspecta, cuivis exitum permittere: sic namque multi ibi constituti, antequam adventassent barbari, caedem declinassent. hi tamen nihil eiusmodi in animum saltem inducere sustinuerunt: sed suis semper rebus prospicientes, attentisque animi rationibus quomodo hinc quoque periculum a se depellerent, portis paululum subapertis seque prompte subducentes atque dilapsi, uno quodam ibi re-

ἐπεβουλεύσαντο σωτηρίας καὶ τότε, πρόφασίν τινα δολίαν πλασάμενοι, ὡς οὐ πρὸς φυγὴν ἐκτρέπονται, πρὸς ὑποδοχὴν δὲ μᾶλλον τῶν Στρυμονιτῶν συμμάχων, τοῦ στρατηγοῦ δῆθεν τοῦτο προστάξαντος.

42. Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ ξιφήρεις οἱ βάρβαροι ταῖς πύλαις ἐπέστησαν, καὶ οὐκέτι δυνατὸν ἦν οὐδὲ προσβλέψαι
C μόνον ἐκτὸς ἀκινδύνως τινά, μήτοι γε τὸν κίνδυνον ὑπαλύξαι. κἀγὼ γὰρ αὐτὸς σὺν τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς (δύο δέ μοί εἰσιν οὗτοι νεώτεροι, τῆς ἐμῆς ἡλικίας ὑποβεβηκότες, οἱ μέχρι τοῦ δεῦρο τῆς τε φρουρᾶς καὶ τῶν λοιπῶν ἀλγεινῶν μοι συγκοινωνοῦντες) κατ' αὐτὴν τὴν ὥραν παρόντες εὑρέθημεν ἐν τῷ τόπῳ μετὰ καί τινων ἄλλων τῶν ἀπὸ τῆς πόλεως οὐκ ὀλίγων. καὶ ὡς ἤδη τὴν πονηρὰν ἐκείνην ὑπέστημεν ἐπιβουλήν (μετὰ γὰρ τὸ πραχθῆναι τὴν σκῆψιν τὸ συμβὰν ἐπεγνώκειμεν), ὀπισθόρμητοι πάντες, ἕκαστος ἡμῶν ὡς εἶχε τάχους, πρὸς τὴν πόλιν συνηλαυνόμεθα, ἄλλος ἀλλαχοῦ διαιρεθέντες, καθὼς ἂν ἦγεν ἡ συμφορά, τοῦ φόβου διατιθεῖσα τὰ σχήματα. ἔδοξεν οὖν τῷ τε πατρὶ καὶ ἡμῖν, μήπω
D πεφθακότων πρὸς ἡμᾶς τῶν βαρβάρων, εἴς τινα πύργον τῶν κατὰ τὸ ἐνδότερον τεῖχος ἀνιέναι τέως καὶ μὴ τῷ πλήθει συναναμίγνυσθαι, ὡς ἂν τῶν πολεμίων τυχὸν ἐπιστάντων, τῶν ἄλλων διαιρεθέντες καὶ μόνοι τούτοις κατὰ τῶν ἐπάλξεων ἐντυγχάνοντες, δυνηθῶμέν τινα πρεσβείαν τούτοις προσαγαγεῖν καὶ τὴν ζωὴν ἑαυτοῖς

10 συμφορᾶς P 14 ἐπεγνώκειμεν, καὶ ὀπισθόρμητοι P

licto, qui et rursus egressis illis portas clauderet, in eum modum omnium saluti insidiati sunt, tunc quoque id dolo commenti, non se fugam inire, sed potius ad socios Strymonitas suscipiendos (ita nimirum iubente praetore) exire.

42. Nec multum temporis intercesserat, cum barbaris strictis gladiis in portas ingruentibus nemo ultra tuto vel saltem foras prospicere poterat, tantum abest ut periculum posset vitare. nam et ego ipse cum patre et fratribus, quos duos aetate iuniores atque ad hoc usque aevi meae habeo tum captivitatis tum reliquarum aerumnarum consortes, eadem hora cum aliis civibus, iisque non admodum paucis, eodem in loco constiteramus. et ut iam tristes illas insidias passi sumus (postquam enim fraus illis commissa est, nos rem, uti gesta erat, cognovimus), retrocedimus omnes et in civitatem incredibili celeritate festinamus, alio alioque dispersi, prout mali vis ferebat, metus species exque illo affectus alios atque alios digerens. visum itaque est patri et nobis, cum nondum barbari ad nos pervenissent, in turrim quandam in interiori muro sitam interim evadere et non multitudini commisceri, ut forte, imminentibus hostibus, ab aliis disiuncti solique in propugnaculis ipsos alloquentes facilius supplicatum iremus, vitaeque nostrae aliquo modo provideremus. quod et divina

διασώζεσθαι. ὃ δὴ καὶ γέγονε τῇ θεϊκῇ προνοίᾳ. τὸ δ' ὅπως καὶ μεθ' οἵας παραδοξοποιοῦ δυνάμεως, λέξων ἔρχομαι.

43. Ἀνήλθομεν ἐν τῷ τείχει σπουδῇ θέοντες κατά τινα πρόβολον ἀντικρὺ τοῦ ἐκεῖ σεβασμίου σηκοῦ τοῦ πρωτοκλήτου τὴν ἀποστόλων Ἀνδρέου. πέντε δὲ ἦμεν οἱ πάντες ὁμοῦ, ὁ πατὴρ ὁ P 353
ἐμὸς κἀγὼ σὺν τοῖς ῥηθεῖσι δυσὶν ἀδελφοῖς καί τις ἕτερος μετέχων καὶ αὐτὸς τῆς ἡμῶν ἀγχιστείας, κληρικοὶ πάντες καὶ τῷ τῶν ἀναγνωστῶν διαπρέποντες τάγματι. μικρὸν οὖν αὐτόθι καθησυχάσαντες, καὶ καθ' ἑαυτοὺς λογιζόμενοι τὸ ἐφεστὸς τῆς μαχαίρας τέλος, ἠρχόμεθα τῶν γόων, ἕκαστος τῆς τε οἰκείας ψυχῆς καὶ τῆς ἐξ ἀλλήλων καταστενάζοντες διαιρέσεως. καὶ πρῶτος ἐξῆρχε θρήνων ὁ πατήρ, ἤδη προβεβηκὼς ὢν καὶ πολλὴν περὶ τὸ λέγειν ἐπιστήμην ἐξησκημένος, "φεῦ μοι" λέγων, "ὦ τέκνα πολυπαθῆ, ἐν τίσιν οὖν περιελήφθην, καὶ τίνι ταῦτα ἀπέκειτο τῇ δυστήνῳ μου B
ταύτῃ καὶ ταλαιπώρῳ ζωῇ, ἵν' οὓς κατὰ διαφόρους ἀπέτεκον χρόνους καὶ τῇ γενέσει παρέθηκα, ὑφ' ἓν ἴδω τὴν τελευτὴν ὑπερχομένους, καὶ μηδ' ὅπερ τοῖς ἀτυχοῦσίν ἐστι συγκεχωρημένον, σχολὴν ἄγω ἄξιον τοῦ πάθους ὀδύρασθαι. συνεκάλεσα γὰρ ἂν πρὸς τὸ κοινὸν τοῦτο καὶ ἀπαρηγόρητον πάθος καὶ αὐτὰ τὰ ἄψυχα τῶν κτισμάτων κοινωνῆσαί μοι τοῦ πάθους καὶ τὴν συμφορὰν συμμερίσασθαι. οὐδὲ γὰρ οἱ πάντες τῶν ὁμοπατρίδων ἄλλως

1 διασώζασθαι A 8 οὖν] δὲ P 12 θρηνῶν AP λόγιον P 14 οὖν] νῦν Combef. τίνι] τί? 18 ἄγων A 21 ὁμοπατριδων AP

providentia factum est: quonam vero id pacto et quam inaudita stupendaque virtute, dicere nunc aggredior.

43. Murum celeriter accurrentes conscendimus, ac propugnaculum quoddam venerandis inter apostolos primum vocati Andreae aedibus adversum. omnes quinque simul eramus, pater meus et ego cum duobus fratribus (quos dicebam) atque alius quidam, ipse quoque nobis affinitate coniunctus, clerici omnes et lectorum ordine insigniti. ut ibi paululum conticuimus, ipsi nobiscum imminentem reputantes gladii exitum, lamenta occeptavimus, singulis tum suae cuiusque animae tum mutuam inter se divisionem deplorantibus. ante vero omnes pater, longe iam provecta aetate et dicendi artibus plurimum exercitatus, sic primum planctum auspicatur, "vae mihi" dicens, "filii multis aerumnis malisque obnoxii, in quibus nunc circumvolvor, et cui haec, infelici atque afflictae huic vitae meae, reposita erant! ut quos diversis temporibus genueram liberosque susceperam, eorum uno momento mortem conspicerem, nec, quod infidelibus conceditur, tantum mihi superesset temporis, quo tantae calamitati paria ingemiscerem. convocassem enim ad communem hunc et inconsolabilem luctum ipsa etiam inanimata, ut una mecum doloris atque infortunii partem assumerent. neque enim ulli alii civium

ἄγουσιν ἢ ἐγώ, ἕκαστός τινα τῶν οἰκείων ἀπεκδεχόμενος καὶ τῆς ἑτέρου συμπαθείας ἐπιδεόμενος. ἐμοὶ γὰρ δύο δεινὰ συνέβη κατὰ C ταὐτό, ὅ τε ψυχικὸς κίνδυνος ἐν ἁμαρτίαις τὴν ζωὴν δαπανήσαντι, καὶ ὁ ἐξ ὑμῶν οὗτος ἀπροσδόκητος χωρισμός, ὃν οὕτως οὔποτε προσεδόκησα, ἀλλ' ἀεὶ δι' ἐντεύξεως εἶχον ὑφ' ὑμῶν καλυφθῆναι τὰ βαρυπενθῆ ὄμματα ταῦτα, ἵν' ἐπαναπαυσάμενος ταῖς ὑμετέραις χερσὶ τῷ τάφῳ τῶν πατέρων δοθῶ, καὶ ὑμᾶς ἐν ἀσφαλείᾳ καταλείπω τῆς τε μητρὸς γηροκόμους καὶ τοῖς ἔτι κομιδῇ νέοις καὶ τῷ χρόνῳ καθυστερίζουσι δυσὶν ἀδελφοῖς ὑμῶν τὰς περὶ τὸ ζῆν ἀφορμὰς προνοήσοντας. νυνὶ δὲ πᾶσα μὲν τοιαύτη διόλωλεν ἐλπίς, ἐν μέσοις δὲ τοῖς δεινοῖς ἀπειλημμένος ἄωρον ἐκδέχομαι D τὴν μεθ' ὑμῶν τελευτήν. καὶ οὕτω με τετήρηκε τῶν ἀνομιῶν τὸ πλῆθος καὶ εἰς ταύτην τεταμίευκε τὴν ἡμέραν, ἵνα κατ' ὀφθαλμοὺς ἴδω τὰ φίλτατά μοι τῶν τέκνων βαρβαρικῶν ξιφῶν παρανάλωμα καὶ τὰ παμπόθητα μέλη ταῖς χερσὶ τῶν δημίων ἀνηλεῶς διασπώμενα, ὢ τῆς ὀδύνης, οὐδὲ τοῦτο ἀσφαλὲς ἔχων, ὅτι τὸν δύστηνον ἐμὲ πρῶτον ὁ μιαιφόνος τῆς ζωῆς ἀπαλλάξει. ἦν γὰρ ὡς ἐν συγκρίσει κακῶν τὸ κατ' ἐμὲ φορητόν· ὕποπτον δέ μοι τὸ νεάζον καθέστηκε τῆς καθ' ὑμᾶς ἡλικίας, καὶ τῶν προσώπων τὸ ἀνθηρὸν μαντεύεσθαί με ποιεῖ, πρῶτον τῆς ἀφ' ὑμῶν τομῆς τοὺς ἐχθροὺς ἐμφορηθέντας ἐν ὑστέρῳ με πολλοὺς ὑπομεμενηκότα θανάτους καὶ καθ' ἕνα ὑμῶν ἀθλήσαντα, οὕτω τοῖς ὑμετέροις αἵμασι

1 ἀποδυρόμενος Combef. τῆς] τοῦ P 10 προνοήσαντας A
12 μεθ'] καθ' AP

aliter ac ego ipse affecti sunt, ut cum e suis aliquem dire lugeant, aliorum propenso miserantis affectu indigeant. me vero duo mala eodem momento invadunt, tum animae periculum, ut qui nequiter ac perdite vitam transegerim, tum haec a vobis inexspectata divisio, quam sic eventuram in animum nunquam induxeram, cum haec iugiter mea vota essent, ac supplicarem ut hosce vos luctuosissimos obtegeretis oculos, qui nimirum requiescens inter vestras manus maiorum sepulturae traderer, et vos in vado relinquerem, qui matris senectutem curaretis et adolescentulis aetateque minoribus duobus fratribus victus necessaria provideretis. at nunc omnis eiusmodi spes mihi sublata est, et in mediis irretitus malis immaturam mortem vestram exspecto. sicne me scelerum copia servavit et in hunc reservavit diem, ut ob oculos carissima pignora barbaricis gladiis concisa viderem, membraque mihi desideratissima per manus lictorum crudeliter discerpta conspicerem? o doloris vim! neque id tuto tenens, an me miserum parricida primum vita privabit. nam esset, malis hinc inde collatis, hoc mihi tolerabilius malum. verum mihi suspecta est vestra iuvenilis aetas, ac vultus flos vaticinari facit, vestris prius caedibus hostibus satiatis, postmodum me, multas mortes perpessum et in singulis vobis nova semper certamina ingressum, sic vestris

συμφυραθῆναι. (44) ἀλλὰ γὰρ ἔλαθον ἐμαυτόν, ὦ φίλτατα P 354 τέκνα, πόρρω τοῦ δέοντος πλανηθεὶς καὶ ἅπερ οὐκ ἔδει τοῖς θρήνοις συνεξειπών. νενίκημαι γὰρ τῷ κακῷ, καὶ ἡ πάνδημος συμφορὰ καταστενάξαι τοῦ καιροῦ καὶ τῶν πραγμάτων καὶ ἄκοντά με παρεβιάσατο. τίς γὰρ ἂν καὶ λιθίνην ἔχων καρδίαν, τῷδε τῷ πάθει συνεπαρθείς, ἑαυτὸν καὶ τοὺς ἀμφ' αὐτὸν τοσούτῳ κακῷ συσχεθέντας μὴ ἀποδύρηται; ἀλλ' οὐδέν ἐστιν ὃ βούλεται καὶ πράττει θεὸς ἐν ἀνθρώποις μὴ πρός τι χρήσιμον τέλος οἰκονομούμενον. τάχα γὰρ ἀπέκειτο διὰ τὴν μοχθηρίαν ἡμῶν τὸ οὕτως ἀποθανεῖν· καὶ ἰδοὺ κατ' ὀφθαλμοὺς ἡ τῆς ζωῆς ἐφέστηκεν ἔκτισις, βιαίως τοῖς ξίφεσι τὰς ψυχὰς ἡμῶν ἐκτιννύουσα. ἀλλ' οὐκ B ἔστιν ἄδικος ὁ συγχωρήσας ταῦτα παθεῖν καὶ τόνδε καθυπενέγκαι βίαιον τοῦ σώματος χωρισμὸν καὶ τὰς εὐθύνας τῶν ἡμαρτημένων κατὰ τὴν μέλλουσαν εἰσπραχθήσεσθαι δίκην. διὸ στῆτε γενναίως, τὴν ἐλπίδα πᾶσαν πρὸς αὐτὸν μόνον ἀπαιωρήσαντες τὸν δυνάμενον ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας. καὶ κἄν τι δέοι παθεῖν ἀλγεινὸν χάριν τῆς εἰς αὐτὸν πίστεως, ἐνέγκωμεν μύσαντες, καὶ μηδὲν φοβηθῶμεν ἀπὸ τοῦ σωματικοῦ τούτου θανάτου, ὃν εἰ καὶ μὴ οὕτως, ἀλλὰ πάντως ἑτέρως καθυπομεῖναι χρεών ἐστι καὶ τῇ γενέσει τὸ ὀφειλόμενον λειτουργῆσαι. γενέσθω οὖν ἡ τῆς ζωῆς C στέρησις εὐχαριστίας ἡμῖν ἀφορμή, ἵνα μὴ θάνωμεν μόνον, ἀλλὰ καὶ ἐπ' ἐλπίδι τῆς ἐκεῖθεν μακαριότητος." ταῦτα λέγων ἕκαστον

1 συμφυρᾶσαι? 5 παρεβιάσαντο AP 12 κατεπενέγκαι P
14 μέλλουσαν ἡμᾶς εἰσπρ. A

cruoribus immiscendum. (44) enimvero adverto me, dulcissimi filii, ab eo quod officii erat per imprudentiam procul aberrasse, et quae non decebat lamentis inserta deplanxisse. etenim victus a malo sum, et communis calamitas, adversum tempus atque res, etsi invitum, planctum edere coëgit ac quiritari. quis enim, vel si saxeo pectore sit, sic diri casus acerbitate abreptus se ipsum suosque tanto malo oppressos non deploraverit? ceterum nihil est quod velit aut agat deus, quod non ad utilem finem providentia disponat. forte enim ob ingentem nostram pravitatem decretum erat ut sic moreremur: et ecce ob oculos, qua vitam exsolvamus, ultio, et qua gladiis violenter in animas nostras animadvertatur. haud enimvero iniustus est, qui haec nobis evenire, animamque a corpore violenter avelli, ac poenas scelerum in futuro iudicio infligendas hic nos luere permisit. quare state fortiter, vestram omnem spem in eum solummodo collocantes, qui super terram potest peccata dimittere. quanquam vero aerumnarum aliquid ferendum sit eius fidei gratia, clausis oculis sustineamus, nec mortis hunc interitum quicquam timeamus; quem etsi non hac ratione, alia tamen omnino sustinere necesse est, et ut debitum naturae fatoque dependamus. sit ergo nobis vitae privatio gratiarum actionis argumentum atque ratio, ut non solum moriamur, sed et in spe futurae beatitatis mortem oppetamus." hisce moni-

ἡμῶν πρὸς τὸν διὰ ξίφους θάνατον ἐπαιδοτρίβει, καὶ προθυμίαν παρεῖχε μὴ ἀπευδοκεῖν τὴν τελείωσιν.

45. Ἐν ὅσῳ δὲ ταῦτα πρὸς ἡμᾶς διελέγετο καὶ συμπεσόντες ἀλλήλοις τὰ τελευταῖα συνεταττόμεθα, ἰδοὺ δὴ καὶ τῶν βαρβάρων κατεφάνησάν τινες ἀνιόντες, τὸν ἀριθμὸν οὐκ ὀλίγοι, Αἰθίοπες τὴν χροιάν, τὰ σώματα γεγυμνωμένοι, ἐσπασμένας ἔχοντες D τὰς μαχαίρας, δεινὸν ἐξαλλόμενοι καὶ τῇ παραθήξει τῶν ὀδόντων συῶν δίκην τὸ μανικὸν ἐνδεικνύμενοι. ἐφεστῶτες οὖν τῷ τόπῳ πρῶτον τοὺς μεθ' ἡμῶν ὑποστρέψαντας ἀπὸ τῆς τῶν πυλῶν κακούργου συγκλείσεως, αὐτοῦ που παρὰ τὸ τεῖχος εἰλουμένους, τοῖς ξίφεσιν ἐκείνοις διεχειρίσαντο· οἷς οὐδὲν ἦν πρὸ τούτου πλέον μελετηθὲν ἢ μόνον τῇ δεξιᾷ τοῦ δημίου τὸν αὐχένα ὑπέχειν καὶ πρὸς τὴν τομὴν σχηματίζεσθαι. καὶ ἦν ἰδεῖν τὸ πραττόμενον ἐκπλήξεως γέμον. εἰ γὰρ τῷ εὐπειθεῖ τοῦ ἑαυτὸν προδόντος καὶ πρὸς τὸν θάνατον ὑποκλίνοντος ὁ φονεὺς κατενύγη, καιρίαν ἄγων θᾶττον αὐτὸν τῶν ἀλγηδόνων ἀπήλλαττεν· εἰ δὲ μὴ ἐμαλάχθη τὴν λιθώδη καρδίαν, ἀλλ' ἤθελεν ἐντρυφᾶν τῆς μανίας, μᾶλλον P 355 τοῖς τῶν ἁλόντων ἀτυχήμασι τὸν θυμὸν διεγείρων, μεληδὸν κατήκιζε τὸ προστυχὸν σῶμα καὶ πολλῶν θανάτων φορὰν ἐν μιᾷ συμφορᾷ τῷ δειλαίῳ παρείχετο. οὐδὲν δὲ ἕτερον ἦν ἀκούειν ἐν οὕτω παμπληθεῖ καὶ πολυανθρώπῳ δήμῳ, ἀλλ' ἢ μόνον τὸν συριγμὸν τῶν ξιφῶν καὶ τῶν τοῦ αἵματος ὀχετῶν τὴν μετὰ βίας ἔκρυσιν. (46) οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ πάντες ἔκειντο θέαμα πολλῶν

4 δὴ om P   7 παραδήξει A   8 δεικνύμενοι P   14 ἑαυτοῦ A

tis, ad mortem gladio destinatam nostrum singulos erudiebat, et ne hac consummari refugeremus animos alacritatemque praestabat.

45. Cum haec ille ad nos loqueretur, aliique alios complexi et in colla ruentes vale diceremus, en adest et barbarorum manus, nec exiguo numero, Aethiopica cute nudisque corporibus, strictis ensibus, immaniter insultantium suumque instar dentes exacuendo rabiem furoremque prodentium. cumque in locum venissent, eos primum contrucidant qui ibi prope murum convoluti a portis maligno nocendique consilio clausis nobiscum reversi erant, quibus scilicet nihil aliud curae fuerat quam ut solum lictoris dexterae collum supponerent, seque motu gestuque corporis ictui excipiendo aptarent. ac videre erat rem stuporis horrorisque plenam. si enim sicarius, dedentis se atque ad necem inclinantis obsequendi facilitate, miserantis ullo sensu affectus esset atque compunctus, letale vulnus adigens eum a doloribus ocius liberabat: sin minus saxeum cor emollitum esset, sed vesana se rabie oblectare mallet, captorum infortuniis furorem gravius excitans, obvium quemque membratim caedebat ac dehonestabat, multarumque necium vim una in calamitate misero adhibebat. nec in tam immani ac copiosa multitudine aliud audire erat, quam solummodo ensium stridorem ac rivorum sanguinis impetu defluentis fragorem. (46) sic brevissimo tempore prostrati omnes

ὀδυρμῶν καὶ θρήνων ἐπάξιον. ὡς δὲ καὶ πρὸς ἡμᾶς ἔφθανεν ἡ τομὴ (τῷ τείχει γὰρ εἶδον συγκεκυφότας), ἐφώρμησαν ὁμοθυμαδὸν καθάπερ εἴς τι πρόχειρον θήραμα. φθάσαντες δὲ πλησίον τὴν ὁρμὴν ἐπέσχον. ἦν γὰρ ὁ ῥηθεὶς ἐν τῷ μεταξὺ πύργος, δι' B οὗ διελθεῖν ἔμελλον καὶ πρὸς ἡμᾶς γενέσθαι, ὃς πάλαι ἦν τὸ ἔδαφος ἅπαν ξύλοις ἐστρωμένος, ἅτινα τῷ χρόνῳ σαπέντα καὶ διαρρεύσαντα οὐκ ἀσφαλῆ παρεῖχον τὴν ἐκεῖθεν διάβασιν· δύο γὰρ μόνα κατὰ μέσον ξύλα ἐναπῃώρηντο, δι' ὧν οἱ ταύτην διερχόμενοι ὑπότρομον τὴν πάροδον ἐπεποίηντο. τὸ ἀμφίκρημνον οὖν τοῦ κινδυνώδους τόπου κατιδόντες οἱ βάρβαροι ἐφώρασαν μή πως ἐν μέσῳ τῶν ξύλων γενομένων αὐτῶν λάθωμεν τεχνάσματα πεποιηκότες εἴσω τοῦ πύργου καὶ κρημνισθῆναι τούτους παρασκευάσωμεν, εἰς ὕψος ἐπηρμένου πολὺ καὶ χαλεπὴν τὴν πτῶσιν ἐπαπει- C λοῦντος. τοῦτο δὲ ὁ τῶν θαυμασίων θεὸς ταῖς αὐτῶν διανοίαις ὑπέβαλεν· εἰ γὰρ ἅμα τῷ πρὸς ἡμᾶς γενέσθαι τομῶς τῆς διαβάσεως κατετόλμησαν, οὐδὲν ἧττον καὶ ἡμεῖς τῶν κειμένων τὸν ὄλεθρον ὑπεμένομεν. τῆς σχολῆς τέως τῆς τῶν λογισμῶν αὐτῶν διαιρέσεως, τοῦ φόβου τὰς ψυχὰς ἕκαστος ἡμῶν περιάραντες, εἴ τι καὶ δέοι πράττειν τῷ καιρῷ χρήσιμον ταῖς φρεσὶ κατεμεριζόμεθα. ὡς οὖν εἶχον ἐγὼ τάχους ἀναπηδήσας καὶ θανάτου καταφρονήσας καὶ μηδ' ὅ τι κατὰ κόρρης ἐφέστηκε τὸ παράπαν εἰς νοῦν θέμενος, κατ' αὐτὴν γενόμενος τοῦ πύργου τὴν εἴσοδον ἔμελλον διὰ

10 μήπω P   11 γενόμενοι P, omisso αὐτῶν   τεχνάσματι P
17 τῆς ante τῶν om P

iacebant, multarum lacrimarum ac luctuum dignum plane spectaculum. ubi autem nostris quoque capitibus ensis iam impendebat (viderant enim e muro prospectantes), velut ad paratam praedam unanimes irruerunt. ubi tamen propius accessissent, impetum reprimunt. media enim, quam dicebam, interiecta turris, ac qua ad nos venturi erant ac transituri, ea ratione, quod olim omne pavimentum lignis constratum tempore computruerat ac diffluxerat, haud tuto inde transire sinebat: duo enim duntaxat ligna in medio pendula viam tremulam transeuntibus sternebant. periculosae itaque viae gradu utrinque praecipite circumspecto, barbari anxii animi agitare, ne forte dum in lignorum medio constitissent, nostra aliqua in turre fraude praecipites agerentur, cum altius elatus locus tristem ruinam minaretur. id vero consilii rerum admirandarum deus illorum animis ingessit. si enim statim ut locum attigerunt, nulla mora quo ruebant impetu audacius transissent, nihil minus caesis reliquis nos quoque dira nece sublati essemus. dum enim illi incerti deliberant, quique nostrum ex metu paululum conviviscentes, quid in rem nostram per eas angustias foret, disquirebamus. quanta igitur licuit celeritate ipse exsiliens mortemque contemnens, nec quod erat ob oculos discrimen prorsus in animum inducens, ad ipsum turris ostium veniens per ligna

D τῶν ξύλων πρὸς τοὺς βαρβάρους χωρεῖν. οἱ δ' ἐπειδὴ οὕτω με θαρσαλέως πρὸς αὐτοὺς κατεῖδον αὐτομολήσαντα, ἄοπλον μὲν καὶ πρὸς ἄμυναν οὐδὲν ἐπιφερόμενον, ἔχοντα δέ τι σπουδαῖον εἰπεῖν, ἐπῆλθον καὶ αὐτοὶ στοιχηδὸν ἀλλήλους συντάξαντες καὶ τὰς δεξιὰς ἀνατείναντες, τάς τε μαχαίρας κατὰ τῆς ἐμῆς κορυφῆς ἐπαγαγεῖν σχηματισάμενοι. ὡς δ' οὐδὲ τοῦτό με τέως καταπτῆξαι πεποίηκεν (ὅλον γὰρ εἶχον τὸν νοῦν πρὸς ἅπερ ἤθελον λέγειν ἠσχολημένον), εἷς τις τῶν Αἰθιόπων, καὶ τούτων μάλιστα ὁ γενναιότερός τε καὶ εὐτολμότερος, μεγέθει τῶν λοιπῶν διενηνοχώς, κατ' ἐμὲ γενόμε-
P 356 νος ἐπεχείρει μοι τὴν μάχαιραν κατενεγκεῖν τῷ μετώπῳ. ἐγὼ δὲ τὰς χεῖρας ἀνασχὼν "μὴ τοῦτο πράξῃς" εἶπον, "ἐπεὶ πολλῶν χρημάτων σεαυτὸν καὶ τοὺς περὶ σὲ ζημιοῖς." (47) οὕτως ἔτυχον εἰπών, καὶ τῷ πεπαρρησιασμένῳ τοῦ σχήματος τὴν ὁρμὴν τοῦ Αἰθίοπος τέως πρὸς τὸ μὴ τὴν τομὴν ἐνεγκεῖν ἀνακόψας, τὴν λαιὰν δὲ τῶν χειρῶν ἐγκρύψας εἴσω τοῦ κόλπου καί τινα χρύσεα κόσμια τὸ τάχος ἐξενεγκὼν καὶ τῇ παλάμῃ τούτου ἐνθέμενος, "ἔστωσάν σοι ταῦτα" ἔφην "ἐνέχυρα τῆς ζωῆς τῆς ἐμῆς. εἴπερ δὲ πολὺ πλείονα τούτων εὐπορῆσαι βούλει, τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ τἀδελφῷ τοῦ πατρός," ἐπιστραφεὶς καὶ τού-
B τους ἐν ᾧπερ ἦσαν τόπῳ τῷ δακτύλῳ καθυποδείξας, "τὸ μὴ θανεῖν κατεγγύησαι, καὶ παρέξομαί σοι χρήσιμα δῶρα, τῇ προσδοκίᾳ ὑμῶν ἔν τισιν ἀφανέσι τόποις προαποτεθειμένα, οὓς ἡμεῖς τε μόνοι διαγινώσκομεν καὶ ὑμῖν προθύμως σωτηρίας τυγχάνοντες ὑποδείξο-

ad barbaros procurrebam. hi vero sic audacter mea sponte ad eos progredientem videntes, virum inermem, nec quod ulciscendo esset aliquid inferentem, sed rem aliquam momenti dicere habentem, ipsi quoque ordine digesto seque eo componentes, extentis dextris, inque verticem simulato gladios adigentes, incurrere. ac ne sic quidem incusso timore (omni enim mentis facultate a me dicendis attentus eram) unus quidam Aethiopum, inter illos fortissimus praefidentiorque ac proceritate reliquos superans, prope accedens ensem in frontem impingere pertentabat. ego sublatis manibus, "ne hoc feceris" inquam: "alioqui magnarum pecuniarum vi te tuosque fraudabis." (47) dixeram, gestusque et habitus omnisque indolis praefidentia ac firma constantia Aethiopis hactenus impetum, ne ictum inferret, retardans, cum laeva in sinum missa, eaque quantocius aurea quaedam monilia extrahens, ac illi in manum tradens "sint haec" inquam "meae vitae pignora. quodsi his quoque longe maiora nancisci desideras, patri fratribusque, quin et patris fratri," conversus, ac quo loco delituerant, eos digito monstrans, "vitam paciscere, donaque amplissima praebebo, dum vos exspectamus obscuris quibusdam forulis reposita; quae nos tantummodo novimus, certique de nostra salute prompte ostendemus. sin mori contigerit, actum illis est ac perie-

μεν. εἰ δέ γε θάνοιμεν, διόλωλεν ἐκεῖνα, τάς τε ὑμῶν διαφυγόντα χεῖρας καὶ τῇ ζωῇ τῇ ἡμετέρᾳ συναπολήξαντα," τούτοις τὸν θυμὸν παρακατασχὼν τοῦ βαρβάρου, καὶ τῇ ἐπιδόσει τῶν κοσμίων εἰς ὑπόνοιαν ὧν φθάσας εἶπον τὴν διάνοιαν αὐτοῦ ἐμβαλών, ἐν οἷς ποικίλως ἑαυτὸν πρὸς ἱκεσίαν κατεσχημάτιζον. οὐδὲ γὰρ ᾔδει βάρβαρος ὢν ἃ πρὸς αὐτὸν διελεγόμην, ἀλλ' ἢ μόνον ἐφαίνετο θαυ- C μάζων τὴν παρρησίαν καὶ τὸ σεσοφισμένον τῆς πληροφορίας παντὶ τρόπῳ κατενεργούμενον.

48. Ἐν τούτοις ἕτερός τις ἐγγύθεν ἐλθὼν ἀφῆκε φωνήν, "τί ταῦτα οὕτω ποιεῖς, καὶ τὸν Αἰθίοπα ταῖς ἱκεσίαις παρακατέχεις, ἐξὸν εἰπεῖν πρὸς ἐμέ; καὶ εἴ τι καὶ δέοι, συναντιλήψομαί σοι." ἐγὼ δὲ τὸ πλέον θαρρήσας καὶ τῇ τοῦ ἀνδρὸς παρουσίᾳ πρὸς τὸ εὐθυμότερον μετατεθεὶς ἀνέκραγον, "σῶσον" εἰπών, "ὅστις εἶ, πρὸς θεοῦ ἡμῖν ἐν τούτοις χρειωδῶς ἀπεσταλμένε, καὶ τῆς παρούσης ἀνάγκης ἐξάρπασον. λήψῃ δὲ παρ' ἡμῶν ταύτης τῆς χάριτος ἕνεκεν ἄξια τῆς ζωῆς ἡμῶν λύτρα, καὶ ὧν οὐδὲν ἐξ ἴσου, D κατὰ πᾶσαν ἣν ἥλωτε τήνδε τὴν πόλιν, ἐν ἄλλοις τισὶν εὑρεθήσεται." ἐκεῖνος οὖν "θαρσεῖτε" ἔφη, "καὶ τοῦ θανάτου τῆς ἐννοίας ἀπόσχεσθε, καὶ πρὸς τὸ εὐθυμότερον ἑαυτοὺς μεθαρμόσατε. ἐγὼ δέ" φησι "καὶ τοὺς Αἰθίοπας πείσω τὰ αὐτά μοι συνθέσθαι, καὶ μέχρις αὐτοῦ τοῦ καθηγουμένου παντὸς τοῦ στρατοῦ ὑμᾶς ἀπάξω πρὸς τὸ καὶ ὑπ' ἐκείνου λαβεῖν τὴν περὶ τοῦ ζῆν πληροφο-

1 ὑμῖν A 2 τῆς ζωῆς τῆς ἡμετέρας A 5 οὐδὲν P 6 ὧν ἃ] ὢν P 17 ἥλωται A

runt, quae et manus vestras effugiant, et una cum vita nostra in rerum censu usuque hominum esse desinant." his verbis represso barbari furore, pignorumque illa erogatione in eorum quae a me dicerentur sensum prope adducens; quibus scilicet me ipse vario gestu atque habitu ad supplicandum efformabam. nihil enim ille intelligebat eorum quae ad ipsum loquebar, sed solummodo libertatem mirari videbatur, atque ad certam modis omnibus praestandam fidem catam solertiam.

48. Interea alius quispiam prope accedens "quid tu haec" inquit "ita facis, et Aethiopem supplicando detines, cum ad me loqui liceat, qui et opitulabor, si quid necesse sit?" tunc ego audacior factus virique praesentia aequiore animo mutatus, "serva" inquam, "quicunque es, a deo nobis in his angustiis non incommode missus, et a praesenti nos necessitate eripe. referes enim a nobis digna eius quam servaveris vitae nostrae praemia, eiusmodi scilicet ut in universa hac, quam diripitis, civitate apud reliquos nulla ipsis occurrerint paria." et ille "confidite" inquit, "mortisque cogitationem depellite, et ad hilarius ingenium vos ipsos componite. ego autem" inquit "etiam Aethiopibus auctor ero ut idem mecum paciscantur, et ad ipsum usque universarum copiarum ductorem ac imperatorem vos ducam, ut ab eo quoque vitae securitatem

ρίαν. μόνον αὐτοὶ τὰ ὑποσχεθέντα πληρῶσαι πρὸς ἀλλήλους δια-
νοήθητε· εἰ γάρ τι τῶν παρ' ὑμῶν λεχθέντων μὴ πρὸς ἔργον
ἀχθῇ, ταῖς μαχαίραις ταύταις κριθήσεται." ὡς οὖν ταῦτα ἔλε-
P 357 γεν, εὐθὺς ὁ πατὴρ ὁ ἐμὸς σὺν τοῖς ῥηθεῖσι δυσὶν ἀδελφοῖς καθ'
ἡμᾶς γενόμενοι, καὶ τοῖς ποσὶ τούτου τὰς κεφαλὰς προσερείσαν-
τες, ἐδέοντο τὴν αὐτὴν ἐμοὶ πληροφορίαν λαβεῖν, βεβαιούμενοι
πληρώσειν ἑτοίμως ὅσα ἐγὼ προκατεῖπον. θᾶττον οὖν ἐκεῖνος
πάντα ἃ παρ' ἡμῶν ἠκηκόει ταῖς τῶν ἄλλων ἐνθέμενος ἀκοαῖς,
καὶ τούτῳ μάλιστα ᾧ κατ' ἀρχὰς ἐγὼ περιέτυχον ἕκαστα προειπών,
λόγον τε πείσας ἔνορκον ἡμῖν παρασχεῖν, οὕτως μηδὲν παρῄνει
τοῦ λοιποῦ δεδιέναι.

49. Συλλαβόμενοι δὲ ἡμῶν καὶ τοῦ τείχους καταβιβάσαν-
τες, εἰς μέσους τε αὐτῶν διαλαβόντες, ἦγον τὴν ἐπὶ θάλασσαν,
B ἐπάνω τῶν σωμάτων τῶν ἤδη ἀναιρεθέντων βαδίζοντες. τῆς οὖν
εἴσω πόλεως τὴν πύλην ἐμβάντες οὐ κατευθὺ τὴν πορείαν ἐποιού-
μεθα, ἀλλὰ τῷ ὑπτιάζοντι μέρει τραπέντες τοῦ ἐκεῖσε βουνοῦ πρὸς
τὸ κάταντες ἐφερόμεθα. ἔνθα καί τινες ἄλλοι κατεφάνησαν ἀνιόν-
τες Αἰθίοπες, καὶ αὐτοὶ μαχαίρας κατέχοντες ταῖς χερσίν, οἳ καὶ
μέσον τῶν ἤδη χειρωσαμένων διειλημμένους ἑωρακότες ἡμᾶς τῇ
φυσικῇ μανίᾳ πληγέντες ὥρμησαν ἀναιδῶς, πόρρωθεν δεικνύμενοι
τοῦ κινοῦντος θυμοῦ τὴν ἐπίτασιν. ἀλλ' ἐπειδὴ καθ' ἡμᾶς γεγο-
νότες ἔγνων μηδὲν ἡμῖν ἐπενεχθῆναι δεινὸν τοὺς ἤδη προειληφότας

9 προσειπὼν P 14 ἤδη om P

accipiatis, si modo inter vos ipsi consenseritis, ut ea quae promissa sunt impleatis. si quid enim eorum quae locuti estis effectu caruerit, hisce gladiis iudicium de vobis erit." haec itaque eo loquente, illico pater meus cum iam laudatis duobus fratribus ad nos procedentes, atque eius pedibus capita defigentes, eandem ipsam quam mihi spoponderant vitae securitatem rogabant accipere, omnino affirmantes rata habituros ac prompte impleturos quaecunque ego praelocutus eram. actutum igitur ille, cunctis quae ex nobis audierat auribus illorum depositis, praesertim vero ei quem a principio ipse offenderam omnibus per singula enarratis, cum et iureiurando promissa firmare suasisset, nihil deinceps timere hortabatur.

49. Secum itaque assumentes atque e muro deducentes ac in medio sui agmine collocantes versus mare iter habebant, super caesorum cadaveribus gradientes. interiorem porro civitatis portam ingressi non recta statim iter contendimus, sed ad collis qui illic est clivum versi in declive ferebamur. ubi et alios quosdam Aethiopes ascendentes conspeximus, qui et ipsi enses manibus gestarent. hi quoque, ut inter eos qui iam ceperant nos adduci videre, naturali rabie conciti impudenter impetu irruerunt, procul etiam furoris vim nimiam ostendentes. postquam vero iam prope facti eos qui nos ante ceperant, ne quid nobis noxae inferre-

σπουδάζοντας, ἐν ἑαυτοῖς σκεδασθέντες ὑπανεχώρησαν. εἷς δέ τις C αὐτῶν ἀναιδέστερος τῶν ἄλλων ὡς εἰκὸς καὶ θρασύτερος, ὥς εἴ τις ὑλακτικὸς κύων μεμηνὼς κατηκολούθει, καί τινα πλῆξαι τῇ μαχαίρᾳ δολερῶς ἐτεκταίνετο. ἕνα γάρ τινα τῶν ἑλόντων ἡμᾶς ἑαυτὸν εἶναι προσποιησάμενος ἔλαθεν, οὐκ οἶδ' ὅπως, ὑποσύρων τῶν ἄλλων ἐμέ, καὶ μικρὸν ἀποστὰς ἀνελεῖν ἐπεχείρει. ἀνῴμωξα οὖν εὐθύς· ὁ δὲ πατὴρ ὁ ἐμὸς τεταραγμένος συστραφεὶς (καὶ γὰρ ἔτυχον σὺν αὐτῷ βαδίζων) ὡς τῷ θανάτῳ με παρεστῶτα κατεῖδε καὶ τὸν δήμιον βρύχοντα μέλλοντά τε τὸ ξίφος τῷ τραχήλῳ μου D βάπτειν, κατέχοντα τῶν τριχῶν, τὸν ἤδη περισωσάμενον ἡμᾶς τοῦ πρῴην κινδύνου ἐγγύθεν ὄντα τῇ χειρὶ νύξας, καὶ σπουδῇ τὸ δρᾶμα καθυποδείξας, "τί ὅτι" ἔφη "καὶ δι' ἣν αἰτίαν τοῦ ἐμοῦ παιδὸς κατεψηφίσασθε θάνατον, τῶν πρὸς ἡμᾶς ἀλογήσαντες ὑποσχέσεων; εἰ οὖν αὐτὸς θάνοι, οὐδ' ἡμῖν λυσιτελής ἐστιν ἡ ζωή. ἀλλ' ἐξελοῦ τοῦτον τοῦ κατέχοντος, εἴ τις καὶ περὶ ἡμῶν σοι φροντίς· εἰ δὲ μή, τῷ ἐκείνου λύθρῳ σπεῖσον καὶ ἡμᾶς. οὐδὲ γὰρ διῃρημένην φέρομεν ἐξ ἀλλήλων ὑπομεῖναι τὴν τελευτήν." εὐθὺς οὖν θορυβηθέντα ἐπὶ τούτοις ἀναδραμεῖν τὸν ἄνθρωπον, P 358 καὶ ἐπιστάντα τῷ τόπῳ τὴν δεξιὰν κατασχεῖν τοῦ βαρβάρου τεταμένην οὖσαν καὶ τὴν σφαγὴν σχηματίζουσαν. ὃς καὶ ἐπισχεθείς, ὡς μὴ δυνηθεὶς τὸ δοκοῦν ἐκτελέσαι, πρὸς πλείονα ἐξῆπτο θυμόν· καὶ φρίξας τὰς σιαγόνας τούς τε ὀφθαλμοὺς στρεβλώσας καὶ τοὺς

1 σχεδασθέντες AP   20 σχηματίσασαν A

tur, occurrere viderunt, ad sese divisi paulatim recesserunt. unus vero quispiam illorum, maiore reliquis impudentia, ut videbatur, audaciaque, haud secus ac canis latrandi impotens, insania furens sequebatur atque unum aliquem nostrum gladio ferire dolo moliebatur. unum namque e nostris praedatoribus sese simulans, nescio qua ratione a reliquis me clam subductum et a coetu paululum abiunctum interficere conabatur. in quo statim ingemui. pater autem meus obturbatus atque conversus (quippe cui comes incedebam) ut iam morti propinquum vidit, frementemque lictorem ac in meo gutture, quem capillitio arreptum teneret, gladium condere parantem, eum qui ante a periculo liberaverat, cum prope esset, manu vellens, anxieque scenam aperiens, "quid id est," ait, "et quam ob causam, vestrarum promissionum obliti, filium meum quasi capitis damnatum morte multatis? ille si morte sublatus fuerit, nec vita nobis quicquam utilis erit. eum itaque ab oppressore libera, si quid tibi curae est et de nobis. sin minus, nos quoque illius libato cruoribus. non enim sustinemus ut seorsum unus ab alio mortem oppetamus." his commotus ille statim excurrit, atque ad locum accedens extensam iam barbari dexteram ensemque vibrantem detinuit. is vero, etsi conatu inhibito, ut cui non licuisset destinatam animo patrare caedem, maiori furore exarsit, maxillisque fremens et oculos distorquens dentesque stri-

ὀδόντας κροτήσας (τοῦτο γὰρ βαρβάρων ἔθος), φόνιόν τι καὶ βλοσυρὸν ἐνιδών, ἐπεχείρει τοῦ κατέχοντος ἑαυτὸν ἀπορρῆξαι καὶ αὖθίς μοι ἐπελθεῖν. οὐκ εἴα δὲ τοῦτον ἐκεῖνος ὁ πρὸς θεοῦ πεμφθεὶς ἡμῖν ἐν καιρῷ σωτήρ, ἀλλὰ πάσαις αὐτὸν κολακείαις μετατρέπειν ἐμηχανᾶτο. ὡς δ' οὐδὲν ἤνυτο τούτοις πλέον αὐτῷ, μᾶλ-
B λον ἐκείνου τῷ θυμῷ διεγειρομένου καὶ φόνον ἐρευγομένου, ὡς καὶ λαθεῖν αὐτὸν ἅπαξ κατὰ τοῦ νώτου μου τὴν μάχαιραν αἴφνης κατενεγκεῖν καὶ πλῆξαι πληγὴν μανίας πλήρη, τὴν καὶ μέχρι νῦν δεικνῦσαν τῆς δεξιᾶς τὴν ἐπίτασιν, ἀθρόον πρὸς τὸ ὀργιλώτερον ἑαυτὸν ἀλλοιώσας ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ καὶ τὸν Αἰθίοπα στερρῶς ὠθίσας, ἐμέ τε συναρπάσας ἤδη παρὰ πόδας ἑστῶτα καὶ τῷ τῆς ὠτειλῆς περιρρεόμενον αἵματι, δρομαίως τὸ τάχος πρὸς τοὺς ἑταίρους ἐχώρει. (50) ὡς οὖν μετὰ τοῦ πλήθους γενόμενος καὶ αὖθις ἐγώ, καὶ τόδε τὸ κακὸν διαδράς, τὴν εὐχαριστίαν πρὸς
C τὸν θεὸν ἐποιούμην, λαβόμενός τε σχολῆς τὴν τοῦ νώτου πληγὴν κατενόουν, αἰφνιδίως πάλιν δευτέρας πληγῆς ἐπῃσθόμην, πλέον ἢ πρότερον ὀδύναις βληθείς. ὁ δὲ τολμηρὸς ἐκεῖνος, οὐκ οἶδ' ὅθεν ἐπιστάς, ὤθισέ μοι κατὰ πλευρὰν ἐκ τῆς ὀπίσω τὸ ξίφος, δεινὸν ἀλαλάξας καὶ τὸ ἀκάθεκτον τοῦ τρόπου τῇ φωνῇ παραστήσας. ὡς εἰπεῖν συνόντι μοι τῷ ὑπερμαχοῦντι ἀνδρὶ "τίνος χάριν τῆς ἐμῆς μόνης ζωῆς ἠφειδήσατε, καὶ τῷ βαρβάρῳ" συστραφεὶς καὶ τὸν Αἰθίοπα δείξας "πρὸς θάνατον ἐκδεδώκατε; τοῦτο γνόν-

1 βαρβάροις P 4 πείσας P 11 ὠθήσας P 12 δρομέως A 13 ἑτέρους A 18 ὅθεν ἄλλοθεν ἐπιστάς A

dens (id enim barbaris in more est) cruento trucique adspectu a tenente sese expedire conabatur ac rursus in me irruere: sed non sinebat ille qui a deo opportunus nobis servator missus fuerat, sed blande suadendo a proposito avocare studebat. ubi autem omnem in eo operam perdere advertit, illo maiores excitante iras ac caedem evomente, ut et clam semel repente aggressus gladium humero adegerit plenumque furoris vulnus incusserit, quod et modo quanta vi ictus datus sit ostendit, subito vir ille admirandus acriore excitus ira, Aethiopem valide propellens, meque ad illius genua prolapsum exque vulnere cruore madentem corripiens, ocius se ad comites refert. (50) cum itaque rursus reliquis simul euntibus comes adiunctus eoque periculo liberatus, deo gratias agerem, nactusque otium de accepto vulnere cogitarem, aliud repente inflictum vulnus maiore quam prius dolore ictus persensi. vir enim ille audacia procax, nescio unde facto impetu, gladium retro in latus adegit, ingenti sublato ululatu, effreneque ingenium vocis immanitate prodens. hincque adeo ad virum mihi defensorem, et qui ipse aderat, "ut quid vero" inquam "meam unius vitam neglexistis, atque barbaro" ad Aethiopem versus eumque monstrans "in mortem dedistis? hoc vero scitote, nisi omnes

τες ἔστε, ὡς εἰ μὲν κοινῇ πάντες, οὓς τοῖς ὅρκοις ἐβεβαιώσασθε,
τὸν θάνατον διαφύγοιμεν, πέρας λάβοι καὶ ἅπερ ἡμεῖς ὑπεσχό-
μεθα, εἰ δ' ἑνί γέ τινι τύχοι δι' ἀμέλειαν ἐπιστὰς θάνατος, πάν- D
τες τῷ ἐκείνου πτώματι τὴν ζωὴν συμπεραίνομεν, καὶ οὐδενὸς
ὑμεῖς τῶν ἐλπιζομένων ἐντεύξεσθε. ἀλλ' εἴπερ μὴ πρὸς ἀπάτην
ἀλλ' ἀληθὴς γέγονεν ὁ διὰ μέσου προτεθεὶς ὅρκος, πάσῃ μηχανῇ
τὸ ἀσφαλὲς ἡμῖν συντηρήσατε, καὶ εὖ ἴστε πάντα καὶ ἡμᾶς πλη-
ρώσειν ὅσα πρὸς ὑμᾶς συνεθέμεθα." ταῦτα ἐκεῖνος ἀκηκοὼς καὶ
τοῖς περὶ αὐτὸν γνωρίσας ἔπεισε πάντας ἐφορμήσαντας κατὰ τοῦ
δυσμενοῦς μακρὰν αὐτὸν ἀπελάσαι· οἳ δὴ καὶ κυκλώσαντες ἡμᾶς
ἔκτοτε σχολαιοτέρως ἐβάδιζον.

51. Ἤλθομεν δὲ κατά τινα τόπον ἔνθα μονή τις ἔστι
παρθένων ἀσκουσῶν γυναικῶν, ἥτις πάλαι τοῦ Ἀκρουλλίου κατο- P 359
νομάζεται. καὶ πάλιν ἄλλῃ τινὶ κουστωδίᾳ βαρβάρων ἐντυχόντες
κατὰ τὴν προαυλαίαν οἱ μεθ' ἡμῶν βάρβαροι, καί τι μικρὸν συ-
στάντες αὐτοῖς, ἔδοξαν εἴσω χωρεῖν ὥς τι σπουδαῖον τοπάσαντες
ἐφευρεῖν. συνειπόμεθα δὲ τούτοις καὶ ἡμεῖς, τοὺς παρόντας
ὑποβλεπόμενοι καὶ μή πω τὰς ψυχὰς τῆς προτέρας σκοτοδίνης
ἀπαγαγόντες. ὡς οὖν εἰσῄειμεν τοῦ ναοῦ τὰ προπύλαια ὃς τοῦ
ἁγίου ἐπικέκληται Γεωργίου, ὁρῶμέν τινα βάρβαρον σκιμποδίῳ
ἐγκαθεζόμενον, ἀνασπάσαντά τε τὰς ὀφρύας ξίφος τε κατέχοντα
γεγυμνωμένον, καὶ ἀτενὲς τοὺς ἑστῶτας βλέποντας εἰς αὐτόν, εἴ τι B

5 ἐντεύξησθε AP 9 κατὰ τοῦ δυσμενοῦς ἐφορμήσαντας P
13 τοῦ om P 18 μήπως P

simul, quibus iureiurando fidem obstrinxistis, a morte immunes servati fuerimus, finem non accipiet quod ipsi sumus polliciti. sin autem vel unum nostrum, quod rem minus curaveritis, desiderari contigerit, illius omnes interibimus occasu, nec vos ullius eorum quae speratis compotes efficiemini. quare si non fraude sed vere iureiurando fidem obstrinxistis, omni opera vitae securos praestate; probeque noveritis a nobis quoque praestitum iri omnia quae pacti sumus." quibus ille verbis, ac cum sociis indicasset, cunctis auctor fuit ut uno impetu perditum hominem procul arcerent ac propellerent. indeque agmine cingentes lentius incedebant.

51. Venimus autem ad quendam locum, ubi erat monasterium virginum religiosa palaestra merentium, quod ab antiquo Acrullii nuncupatur. rursus vero aliam quandam barbarorum custodiam in vestibulo offendentes, qui nobiscum erant barbari, ac cum eis tantisper collocuti, introire decernunt quasi aliquid aestimatione dignum ibi reperturi. nos eos sequebamur in praesentes limis oculis obtuentes, necdum a pristina mentis refecti vertigine. ingressi igitur templi vestibula (erat illud Georgii martyris nomine consecratum) videmus barbarum quendam in scabello sedentem, erecto supercilio, strictumque ensem tenentem; atque eos qui

καὶ βούλοιτο πράττειν, ἑτοίμους εἶναι ταῖς ὁρμαῖς ὑπεμφαίνοντας. ὡς οὖν κατ' αὐτὸν ἐγενόμεθα, ἤρετο τοὺς περὶ ἡμᾶς τίνες ἐσμὲν καὶ ποίᾳ προφάσει τὸν θάνατον διεφύγομεν. οἱ δὲ πάντα συντόμως ἐξεῖπον, καὶ τῶν νώτων ἡμῶν λαβόμενοι πρηνεῖς τοῖς ποσὶν αὐτοῦ τῷ ἐδάφει προσέρρηξαν. ὁ δὲ τὸ ξίφος, ὅπερ ἔτυχε ταῖς χερσὶ κατέχων, ἑτέρως ἢ ὡς πέφυκε τέμνειν ἀνθυποστρέψας, ἐπάταξε ταῖς κάραις ἐφάπαξ καθ' ἕνα ἡμῶν. εἶτα ἀνίστασθαι καὶ θαρρεῖν ἐκέλευσε, καὶ "τοῦτο" φησί "τῆς ἀσφαλείας τεκμήριον ἔχοντας μηδὲν τοῦ λοιποῦ δεινὸν ὑμᾶς ὑποπτεύειν παρεγγυῶ."
C τοῖς παρεστῶσι δὲ βαρβάροις τοῦ ναοῦ τὰς πύλας, αἳ τέως ὑπῆρχον κεκλεισμέναι, προστάξας ἀναρριπίσαι, τῆς καθέδρας ἐξαναστὰς καὶ τὸν ἐμὸν πατέρα τῇ λαιᾷ ταῖν χειροῖν, τῇ ἑτέρᾳ δὲ τῶν ἀπ' ἐμοῦ δύο ἀδελφῶν τὸν ἕνα κατέχων, ἔνδον εἰσῄει τοῦ σεβασμίου σηκοῦ. ὁ δὲ ἦν ἅπας πεπληρωμένος ἐλεεινῶν ἀνθρώπων ἐν αὐτῷ προκαθειρχθέντων, τριακοσίων περί που τὸν ἀριθμόν, ὡς ἐν ὑστέρῳ κατεμανθάνομεν. (52) οὐκ ὀλίγον δὲ καὶ μιαιφόνων πλῆθος τῷ δυσμενεῖ συνεισῆλθεν. ἀλλ' ἐκεῖνος εὐθὺς εἰσπηδήσας
D ἀνῆλθεν ἐπάνω τοῦ καθηγιασμένου βωμοῦ, ἐν ᾧ παρὰ τῶν ἱερέων ἡ μυστικὴ τελεῖται λατρεία· καὶ τοὺς πόδας συμπλέγδην ἐν ἀλλήλοις ἀνθυποστρέψας, ὡς ἔθος ἐστὶ τοῖς βαρβάροις, ἐκάθητο γέμων θυμοῦ καὶ ἀπονοίας, τόν τε δῆμον τῶν ἀνδρῶν ἐκείνων περισκοπῶν, καὶ ἅπερ ἐβούλετο δρᾶν, τῇ κακεντρεχείᾳ τῶν φρενῶν διοικούμενος· τὸν ἐμὸν δὲ πατέρα καὶ ἀδελφὸν ἑκατέραις διαλα-

13 τὸν om P   16 μιαιφόνον P

circum erant intentis in eum oculis, si quid faciendum iussisset, promptos se obsequio gestu nutuque significantes. ad eum igitur cum venissemus, interrogat qui nobis ductores erant, quinam essemus, quave ex causa mortem effugissemus. illi paucis omnia exponunt, et per humeros nos accipientes ad eius pedes pronos in solum prosternunt. at ille ense, quem manibus gestabat, aversa acie, ut secare non posset, uniuscuiusque nostrum caput leviter percussit; tum surgere bonoque animo esse iussit. et "hoc" inquit "securitatis pignus habentes, praecipio ut nihil in posterum mali timeatis." tum adstantibus barbaris templi fores, quae clausae essent, reserare iubet, deque sede exsiliens, ac patrem meum sinistra alteraque unum fratrum meorum tenens, venerandam sacram illam aedem ingreditur. erat illa miserabilium hominum, ante in ipsam coniectorum, plena, qui, ut postea nobis relatum est, trecentorum fere numerum implebant. (52) cum truci autem illo non exigua quoque patricidarum turba intravit. verum ille statim saltu in sacrosanctum altare, in quo a sacerdotibus mysticum sacrificium divinaque res peragitur, insiliit, et pedibus inter se complicatis, ut barbarorum moris est, sedit, furoris dementisque superbiae plenus; hominumque illam multitudinem circumspiciens, ac quod animo destinaverat, ut faceret, versutae mentis solertia ac dolositate disponens, patrem quoque meum et fratrem utra-

βὼν ταῖς χερσί, καὶ ἡμᾶς αὐτοῦ που πρὸς τῇ εἰσόδῳ φυλάττεσθαι παρὰ τῶν ἑλόντων ἐγκελευσάμενος, νεύματι τοῖς βαρβάροις ἀνελεῖν ἐκείνους προσέταττεν. οἱ δὴ τὸ τάχος καθάπερ ἀτίθασσοι λύκοι θήρας ἐπιτυχόντες, οὕτως ἠπειγμένως καὶ ἀνηλεῶς τοὺς ἀθλίους κατέτεμον. ἔτι δὲ τῷ θυμῷ ζέοντες, τί καὶ περὶ ἡμῶν ἐθέλοι αὐτοὺς πράττειν, πρὸς τὸν δεινὸν ἐκεῖνον δικαστὴν ἀπεσκό- P 360 πουν. ἀλλ' ἐκεῖνος μὲν τῆς καθ' ἡμῶν αὐτοὺς τέως ἐπιχειρήσεως διεκώλυσεν, ἐδόκει δὲ καὶ ἡμῖν αὐτόθι φυλαττομένοις τόν τε πατέρα καὶ τὸν ἐμὸν ἀδελφὸν τοῖς κειμένοις συναναιρεθῆναι καὶ μόνους ἡμᾶς φειδοῦς ἀξιωθῆναι. πάλιν ἐκείνοις περὶ ἡμῶν αὐτὸ τοῦτο, τῷ βωμῷ φυλαττομένοις, λογίζεσθαι ἐπήρχετο. πλὴν οὐκ εἴχομεν ᾧ τινὶ πέρατι τὴν περὶ ἀλλήλων στῆσαι ἀμφιβολίαν. ὡς γὰρ ἔληξεν ὁ κατ' ἐκείνους τοὺς δυστυχεῖς φόνος, πεπλήρωτο δὲ τὸ ἔδαφος ἅπαν νενεκρωμένων σωμάτων, μέσον δὲ τούτων ἐλίμναζεν ἡ πλημμύρα τοῦ αἵματος, οὐκ ἔχων ὅπως ὁ μιαιφόνος ἐκεῖνος πρὸς τὸ ἐκτὸς γένηται, ἄλλο κατ' ἄλλο τὰ πτώματα τῶν κειμένων B τοῖς ἑκατέρωθεν τοῦ ναοῦ περιδρόμοις ἐπιτεθῆναι διεκελεύσατο. οὗ δὴ καὶ γενομένου θᾶττον εὐθὺς αὐτὸν τοῦ βωμοῦ καταπηδήσαντα, καὶ πάλιν τὸν ἐμὸν πατέρα καὶ ἀδελφὸν ἑκατέραις χερσὶν ἐναγκαλισάμενον γενέσθαι μέχρις ἡμῶν. τοσαύτη δὲ ἦν ἡ ἐκδειματώσασα τὰς ψυχὰς ἡμῶν τῶν θεαμάτων ἐκείνων ἀχλύς, ὧν τε ἐκείνοις κατείδομεν καὶ ὧν ἐν ἡμῖν αὐτοῖς ἐτοπάσαμεν, ὡς ἐν

6 ἐθέλοιεν P, ἐθέλειν A   8 καὶ om A

que manu prehendens, nosque ad ianuam prope ab his qui ceperant servari iubens, omnes in ea nutu iugulari praecepit. qui actutum velut efferati lupi, iam praedae compotes facti, incitatis animis atque impetu crudelem in modum miseros conciderunt; adhucque rabie furentes a diro illo saevoque iudice signo ostendi exspectabant quid et nobis factum vellet. ceterum ille eorum hactenus in nos impetum inhibuit. porro videbatur nobis, qui ibi servabamur, patrem ac fratrem gladio sublatos esse cum his quorum caesa cadavera iacebant, nobisque duntaxat immitem illum pepercisse: nec aliter ipsis, qui prope altare servabantur, de nobis cogitare in animum veniebat. nec vero erat quo tandem fine mutua illa de nobis sedaretur anxietas. ut enim miserorum peracta caede, omnique solo contrucidatorum hominum cadaveribus constrato ac inter illa stagnantibus cruoribus proluto, parricidae exitus non patebat, quo se foras subduceret, iacentia illa corpora in ambulacris utrinque templum ambientibus unum supra aliud congeri iussit. quo facto statim ex altari prosiliit, patremque meum ac fratrem ambabus rursus manibus amplexus ad nos usque venit. tanta vero erat, quae animos nostros perterritabat, eorum spectaculorum, quae tum in illis vidimus tum in nobis suspicati sumus, caligo et horror, ut quamvis in tanta internecione soli mortem

τοσαύτῃ πανωλεθρίᾳ μόνοι διαφυγόντες τὸν θάνατον μηδέν τι τοῦ σκυθρωποῦ καθυφεῖναι, ἀλλὰ μόνον τοῖς προσώποις ἀλλήλων C ἐνατενίζειν, ὥσπερ ἐκπληττόμενοι καὶ μηδὲ φωνὴν ἀφεῖναι τῷ πράγματι συγχωρούμενοι. τοὺς πλείονας δὲ τῶν βαρβάρων ὁ σοβαρὸς ἐκεῖνος ἀποτεμόμενος, ἵππῳ ἐπιβὰς ἐφεστῶτι ἀπέπτη ἐκ μέσου ἡμῶν, προστάξας καὶ αὖθις συλλαβεῖν ἡμᾶς καὶ πρὸς τὸν λιμένα τῆς πόλεως σπουδῇ θέειν· αὐτόθι γὰρ κατασπεύδειν καὶ ἑαυτὸν ἔφη.

53. Παραλαβόντες οὖν ἡμᾶς ἦγον ὡς τάχιστα, πᾶσαν ἡμῖν πανταχόθεν ἀσφάλειαν περιποιούμενοι. καὶ πολλαχοῦ τῆς ὁδοῦ περιπίπτομεν πολλοῖς πλήθεσι τῶν εἰσρεόντων βαρβάρων, πάντων φόνον πνεόντων· καὶ οὐ μικρὸν ἦν ἔργον λανθάνειν τού-D τους, εἰ καὶ ὅτι ῥώμῃ πολλῇ σωμάτων καὶ οἱ προειληφότες ἡμᾶς Αἰθίοπες ὑπῆρχον ἀνεσταλμένοι, καὶ οὐδὲν ἦν ἢ καταπτῆξαι ἢ τῆς ὁρμῆς αὐτοὺς ἐνδοῦναι τὸ παράπαν δυνάμενον. πλὴν οὐ μετ' ὀλίγου καμάτου καὶ ἀγωνίας τὸν ῥηθέντα λιμένα τῆς πόλεως κατελάβομεν. αὐτόθι γὰρ ἔτυχεν ὢν καὶ ὁ τῶν πολεμίων τοῦ στρατοῦ καθηγούμενος, ᾧ δὴ καὶ ἀνηγγέλη τὰ καθ' ἡμᾶς ὑπὸ τῶν συνόντων βαρβάρων, γνωρισάντων καὶ τὴν αἰτίαν δι' ἣν μόνους ἡμᾶς ἐκ πάντων τῶν προστυχόντων περιεσώσαντο. ὃς ἐξ αὐτῆς ἕνα τινὰ τῶν σὺν αὐτῷ τῆς καθέδρας ἐξαναστήσας καὶ τοῖς ἑστῶσιν ἐπισυνάψας, τοιαύτην δέδωκε καθ' ἡμῶν αὐτῷ ψῆφον, ὡς εἰ μὲν

1 μόνον AP 3 ἀτενίζειν P 5 διέπτη A ἦν ἢ] ἦν ὃ A

evaserimus, nihil minori maestitia affecti fuerimus, sed tantummodo velut attoniti alii in alios intentis vultibus nec vocem mittere rei immanitate sineremur. plurima autem barbarorum parte ferox ille atque arrogans a se dimissa, in equum, qui praesto erat, insiliens e medio nostri avolavit, rursus imponens ut et nobis assumptis ad littus civitatis propere festinarent, quo nimirum ipse quoque iter celeraret.

53. Sic itaque assumptos quam celerrime ducebant, omnem nobis undique procurantes securitatem. nec raro in via in multas barbarorum confluentium turmas ac manipulos incidebamus, qui omnes caedem spirarent; nec leve erat ac expeditum illos effugere, tametsi, qui nos primi ceperant, Aethiopes viri corpore robustissimi essent, nec ulla re aut terreri possent aut ad impetum remittendum induci. ceterum non levi labore ac trepidatione ad eum quem dicebam venimus civitatis portum. ibi enim hostium classis ductor ac imperator consederat; cui et de nobis nuntiatum est a barbaris, qui simul erant, causaque exposita cur nos soli servati essemus ex omnibus in quos ipsi inciderant. tum ille statim unum aliquem assessorum surgere iubens ac rectum stare, eiuscemodi in nos sententiam promulgandam contradidit, nempe, si vera comperiren-

ἀληθῆ φανεῖεν ὅσα τοῖς βαρβάροις ἐν τῷ τείχει προϋπεσχόμεθα, P 361 ἔργοις αὐτοῖς πληρούντων τὰς ὑποθήκας, καὶ φειδοῦς ἀξιωθῆναι καὶ πρὸς αὐτὸν πάλιν ἀνθυποστρέψαι· εἰ δέ γε μηδὲν τοιοῦτον ἀληθῶς λεχθὲν εὕροιεν, ἀλλ' ἢ προαπολωλεκότας τὰ χρήματα, ἢ τὸν θάνατον δεδιότας ἅπαντα ψευσαμένους καὶ ὥσπερ τὴν πρώτην ἔντευξιν ἀποκρούσασθαι διὰ τὴν ἀνάγκην τοῦ καιροῦ σοφισαμένους, τοῖς ξίφεσιν ἕνα ἕκαστον ἐκεῖσε διελόντας τῆς ζωῆς ἀπαλλάξαι. παραχρῆμα οὖν καὶ πάλιν μέσους ἡμᾶς διαλαβόντες ἄγειν ἐπέταττον, ἔνθα δὴ τεταμιεῦσθαι, φασίν, ὑφ' ἡμῶν προεδηλώθη τὰ χρήματα, ἐξειπόντες καὶ τὴν καθ' ἡμῶν B ἐξενεχθεῖσαν ἀπόφασιν, καὶ ὡς εἴ τι τυχὸν τῶν λεχθέντων μὴ πρὸς ἔργον ἀχθείη, τοῖς ξίφεσι τούτοις διακριθήσεται. δέος οὖν ἡμῖν καὶ τότε μᾶλλον ἢ πρότερον ἐπεισῄει, τάχα μή πού τις τῶν οἰκετῶν ἢ τῶν προπειραθέντων τοῦ τόπου, παραπλησίᾳ περιτυχὼν ἀνάγκῃ καὶ θέλων καὶ αὐτὸς τὸν ὄλεθρον ἐκφυγεῖν, προεσήμανε τὴν δαψίλειαν τῶν κεκρυμμένων, καὶ μάτην εὑρέθημεν ἡμεῖς τοσαύταις μηχαναῖς τὴν ἑαυτῶν ζωὴν συντηρούμενοι.

54. Ἀλλ' οὔπω ταῦτα βεβαίως ἔχοντες σκοπεῖν, πεφθάκαμεν τὸν τόπον οὕτως ἔχοντα καθὼς ἐν τῷ καιρῷ τῆς φυλακῆς C ἐσημειωσάμεθα· ὑφ' ἑνὶ γάρ τινι κρυφιώδει ταμείῳ, ὅσοιπερ ἂν ἦμεν κατὰ συγγένειαν ἀγχιστεύοντες, προαποθεῖναι τὰ ἑαυτοῦ ἕκαστος, ὥσπερ τοῦ μέλλοντος μαντευόμενοι, συμφερόντως ἐβου-

10 ὑμῶν? 12 ἡμῶν AP 19 πέφθαμεν P

tur, quaecunque in muro ante barbaris promiseramus, rebusque ipsis quae pacti essemus impleremus, nobis parcendum esse atque ad ipsum rursus revertendum: sin nihil eiusmodi vere dixisse invenerint, sed vel antea male consumptis pecuniis vel metu mortis mendacio cuncta finxerimus, et ut primum impetum vitaremus, necessitate ita urgente eam fraudem fecerimus, ibidem singulos in membra divisos neci dedendos. statim igitur rursusque nos circumvallentes eo ducere iubebant, ubi repositas esse pecunias antea dixeramus; simul etiam sententiam contra nos latam edebant, et si quid ex dictis forte reipsa praestitum non esset, quibus accincti erant, ensibus decernendum esse. quare tum magis quam ante metus incessit, ne forte vernarum quispiam, vel eorum qui ante loci expertes essent, ipse quoque pari quadam necessitate adactus mortisque interitum cavere volens absconditarum rerum copiam prior indicasset, frustraque tantis machinis ac consiliis vitae studere inveniremur.

54. Enimvero cum necdum haec certo dispicere possemus, ad locum devenimus, sicque habentem offendemus quemadmodum eum, cum res occultarentur, signaveramus. in uno enim occulto conclavi, quicunque eramus sanguinis necessitudine coniuncti atque propinqui, sua quisque reponere, quasi id quod erat futurum divinaremus, haud inconsulta ra-

λευσάμεθα. οὗ καὶ τὴν ἔξοδον τοῖς βαρβάροις καθυποδείξαντες, ἥτις ἦν λιθίνῃ πλακὶ κατησφαλισμένη, ἱστάμεθα τῶν πολλῶν λογισμῶν τὰς ψυχὰς περιάραντες. ἤδη μὲν γὰρ μηδὲν τοῦ λοιποῦ δεδιέναι χάριν τῆς ὑποσχέσεως, τοὐναντίον μὲν οὖν καὶ συμπαθείας τυχεῖν τῷ πλήθει τῆς ἐπιδόσεως. ὡς γὰρ ἐκεῖνοι τῶν κρυφίων ἐπέτυχον, εὐθὺς ἀπὸ τοῦ ὀργίλου πρὸς τὸ περιχαρὲς μετεβάλλοντο καὶ ἡμῖν διευθυμεῖσθαι προσέταττον. "τούτοις" γὰρ
D ἔφασκον "κατηγγύησθε τὴν σωτηρίαν, καὶ διὰ τούτων ὑμῖν τὸ ζῆν κεχάρισται σήμερον. ἀλλ' ἀπέλθωμεν δὴ καὶ πρὸς τὸν ἡγούμενον τοῦ στρατοῦ, ὡς ἂν καὶ παρ' αὐτοῦ τελείαν δέξησθε τὴν ἀσφάλειαν." ἦγον οὖν πάλιν ἡμᾶς ἐκεῖθεν τὴν εἰς αὐτόν, περιεπίπτομεν δὲ φοβεροῖς τισὶ καὶ παραδόξοις θεάμασιν. ἔκειντο γὰρ τὰ σώματα τῶν ἀνῃρημένων ἔτι τοῦ λύθρου ἐναποστάζοντα, φρικτὸν ὅραμα, πᾶσα ἡλικία τῶν ἀνθρώπων μιᾷ ψήφῳ τὸν διὰ ξίφους κατακριθεῖσα θάνατον, καὶ μετὰ τῶν ἄλλων καὶ ταφῆς ἀμοιροῦσα. κατεχεῖτο δὲ κατὰ παντὸς στενωποῦ περιρρέων ὁ οἶνος, καὶ τοῖς
P 362 αἵμασι τῶν πεπτωκότων ἀνακιρνώμενος ἅπαν τὸ ἔδαφος τῆς πόλεως κατεμέθυσκεν. παριόντες οὖν ἐσκοποῦμεν, καὶ εἴ πού τινα τῶν ποτὲ γνωρίμων ἢ φίλων μεταξὺ τῶν ἄλλων νεκρῶν ἀπηκριβωσάμεθα, ἠρέμα μόνον τοῖς στεναγμοῖς πρὸς ἀλλήλους τοῦτον διεσημαίνομεν. σχολὴ δ' οὐκ ἦν ἢ θρηνῆσαι τοῦτον ἢ χαρίσασθαί τι τῆς ποτὲ φιλίας τῷ καιρῷ χρήσιμον· ἀλλ' ἢ μόνον ἄπρακτα

17 ἔδαφος κατεμέθυσκεν. παριστάντες P

tione statueramus. huius aditu barbaris commonstrato, ipso lapidea tabula obstructo, stetimus, multis anxiisque cogitationibus animo liberato. iam enim nihil erat quod promissionis causa timeremus, contra vero ut etiam affluente rerum suppeditatione indulgentiam consequeremur. ut enim illi absconditis potiti sunt, statim ira trucique ingenio in hilaritatem converso nos quoque bono animo iusserunt. "his enim" aiebant "vestram salutem redemistis, et per ea vitae vobis hodie munera indulgentur. sed abeamus ad exercitus ducem ac imperatorem, ut ab illo perfectae securitatis pignora condonentur." hinc itaque rursum nos ad eum duxerunt. per viae autem praesentiam tremenda quaedam ac inaudita spectacula nostris se oculis obiiciebant. nam proiecta iacebant caesorum cadavera adhuc cruore fluentia, horrendum visu! omnis hominum aetas una sententia gladii morte damnata, ac cum aliis ipso quoque iusto funere ac sepultura privata. fundebatur vinum, et per omnes civitatis vicos diffluens, mixtumque caesorum cruoribus omne solum inebriabat. cum ergo prope essemus, considerabamus, ac si quem eorum quos unquam familiares sive amicos habuissemus, inter reliqua cadavera satis dignosceremus, hoc solummodo gemitibus ac suspiriis inter nos indicabamus: at non vacabat ut aut lugeremus aut aliquid opportunum pro veteris amicitiae iure indulgeremus, sed solum nulla fruge mortuo indo-

τῷ κειμένῳ περιαλγήσαντες πάλιν περὶ τῶν καθ᾽ ἑαυτοὺς ἐσκεπτόμεθα.

55. Ἤδη δὲ φθασάντων ἡμῶν τὸν λιμένα παρέστημεν τῷ τυράννῳ, ὅτε καὶ τοὺς τῶν νηῶν ἀρχηγέτας ἐκκλησιάσας τῆς καλουμένης εὐχῆς ἐθρήσκευε τὴν δυσσέβειαν· ὃς μετὰ τὴν συμ- B πλήρωσιν ἐκείνης τῆς τελετῆς ἀχθῆναι ἡμᾶς κατὰ πρόσωπον τοῖς ἐφεστῶσι διεκελεύσατο. ὡς οὖν ἤχθημεν, ἐπυνθάνετο τὸν πατέρα, "εἰ ἐπίσκοπος" φησί "τυγχάνεις τῆσδε τῆς πόλεως;" ἐτεκμαίρετο γὰρ ὅσον ἐκ τῆς ἐσθῆτος οὐδὲν ἀλλοῖον ἔχειν τοῦ ἀξιώματος. ὁ δὲ "οὐκ εἰμί" ἔφη, "κληρικὸς δὲ καὶ τῆς ἐκείνων εὐχῆς προσδεόμενος." ἄλλος δέ τις ἐγγύθεν ἑστώς, ὃς ἦν ἀρχηγὸς τοῦ ἑτέρου στρατοῦ, πρὸς αὐτὸν ἔφη "ἐπίσκοπος μὲν οὐκ ἔστιν οὗτος, κατ᾽ οὐδὲν δὲ διαφέροντα βαθμὸν ἐκείνοις κεκλήρωται· ἔξαρχον γὰρ αὐτὸν ἴσμεν τῆς Ἑλλάδος ἁπάσης, οὐδὲν τῆς τιμῆς ἐκείνων καθυ- C στερίζοντα." "οὗτος δὲ τίς ἐστι;" τῷ δακτύλῳ σημάνας ἐμέ. "υἱός ἐστι τοῦδε," καὶ αὖθις ὁ παρεστὼς ἔφη, "κληρικὸς καὶ αὐτός, καὶ τῶν ἐν τοῖς οἴκοις τῶν βασιλείων τεταγμένων εἷς. οὗτοι δὲ ἀδελφοὶ τυγχάνουσι τοῦδε," τοὺς ἀπ᾽ ἐμοῦ δύο παραδηλώσας, "ἄμφω δὲ υἱοὶ τοῦδε τοῦ προεστῶτος, διαφόρως μὲν ἀποτεχθέντες αὐτῷ, ἄγοντες δὲ καὶ διάφορον ἡλικίαν." "ὁ δὲ συνὼν αὐτοῖς οὗτος ὁ γηραιὸς τίς ἂν εἴη;" πάλιν ὁ δεινὸς ἤρετο δικαστής. "ἀδελφὸς ἐμός," προλαβὼν ὁ πατὴρ ἀπεκρίνατο, νεύματι κἀκεῖ-

15 σημαίνων P 16 ἔφη om P 17 τῶν ante βασ. om P

lentes ad nostra iterum studium nostrum atque animum transferebamus.

55. Cum vero iam ad littus devenissemus, tyranno sistimur, quo tempore navarchis in concionem vocatis, eius quam vocant precationis impio cultu rituque defungebatur. quo expleto peractaque caerimonia ad se nos coram adducere adstantibus iussit. ut igitur adducti sumus, interrogabat patrem. "num" inquit "huiusce urbis episcopus existis?" quantum enim ex cultu coniiciebat, quod a dignitate abhorreret nihil habebat. ille "non sum" ait, "sed clericus, et cui episcoporum benedictionis sit opus." alius vero quidam prope stans, alterius exercitus ductor, ad eum ait "haud quidem ille episcopus est, gradum tamen nihil ab episcopali diversum nactus est. scimus enim eum omnis Atticae exarchum esse, quo munere nihil minori honore prae episcopis fulget." "hic vero quis est?" digito me monstrans. "filius eius est," rursus astans ille respondit; "ipse quoque clericus, exque Palatinis clericis unus. hi autem duo fratres illius sunt," illos indicans qui a me sequebantur, "utrique primi illius filii, non uno tempore ab eo suscepti, et qui diversam aetatem agant." "quis hic vero, qui cum illis esset, senex ille," iterum dirus ille iudex quaesivit. dictum arripiens pater meus "frater

νον συνθέσθαι πρὸς τὴν πεῦσιν ἀναδιδάξας. ἐπειδὴ δὲ τούτων
D ἀκήκοε, καθεσθῆναι πάντας προσέταξε, καὶ ἑαυτὸν τῶν ἄλλων ἀποτεμόμενος ἡσυχῇ πρὸς ἡμᾶς ἔφη "πάσης ὑμᾶς πονηρᾶς ὑποψίας ἐκτὸς εἶναι βούλομαι· τό τε γὰρ ἀόπλους τοῖς εἰληφόσιν ἐντυχεῖν καὶ τὸ νῦν ἐν ὄψεσι ταῖς ἐμαῖς προτεθὲν χρημάτων πλῆθος τὴν ζωὴν ὑμῖν, ἥτις δυσέλπιστός ἐστι τοῖς πολλοῖς, ἐχαρίσαντο, καὶ οὐκ ἔστιν ὑμῖν ὑπόνοια τοῦ λοιποῦ θανάτου ἐξ ἐπιβουλῆς, οὐδέ τις ἄλλη ἐπήρεια παρὰ τῶν ἐμῶν ὑπηκόων. ἀλλ' ἄπιτε τὰ συμφέροντα συμβουλεύοντες ἑαυτοῖς, χρηστάς τε παραζευγνύντες ἐλπίδας. οὕτω γὰρ ἡμᾶς φθάσαι τὴν Συρίαν γενήσεται, καὶ πρὸς Ταρσὸν εὐθέως πόλιν τῆς Κιλικίας ὑμᾶς διαπέμψω τηρη-
P 363 θησομένους σὺν τοῖς ἐκεῖσε φρουρουμένοις μέχρι τῆς προσδοκωμένης καταλλαγῆς, ἀντίλυτρον ἔχοντας τοὺς ὑπὸ τῶν Ῥωμαίων καιροῖς οὐκ ὀλίγοις ἑαλωκότας ὁμοεθνεῖς ἡμῶν Ἀγαρηνούς, ὧν ἀφικομένων καὶ ὑμεῖς τῶν δεσμῶν λυθήσεσθε καὶ τὰ οἰκεῖα ἕκαστος ἀπολήψεσθε." οὕτως ἔφη, καὶ πρὸς τοὺς ὑφ' ἑαυτὸν πάλιν ὑποστραφεὶς τὰ περὶ ἡμῶν διεξῄει, βαρβαρίζων τὰ πλεῖστα. οὐδὲν δὲ τέως ἐλάνθανεν ἡμᾶς, τὸν κατ' ἀρχὰς περισώσαντα εἰσέτι μέσον ἡμᾶς περιάγοντα καὶ πάντα ἐξ ἐκείνου μανθάνοντας.
B (56) τόπῳ δέ τινι τῇ θαλάσσῃ περικλυζομένῳ καθεσθέντας ἀσφαλῶς ἡμᾶς τηρεῖσθαι προσέταξεν. οὗ δὴ γενομένου πρῶτον

3 ὑμᾶς] ἡμᾶς AP 4 ἀόπλοις A 10 οὔπω? 11 πρὸς τὴν Ταρσὸν A 12 ἐκεῖ A 15 καὶ ante ὑμεῖς om P 19 περιάγοντα] ἔχοντας addit Comb.

meus" respondit, nutu ut id et ipse confirmaret edocens. haec ubi audiit, omnes sedere iussit, et ab aliis dimotus, nobis placide ac silentio dixit. "volo vos ab omni procul mala suspicione esse. tum enim quod inermes in eos incideritis qui ceperunt, tum quae nunc prae oculis exposita est pecuniarum vis, vitam vobis elargita sunt, cuius aegre spes vulgo existat. nullusque deinceps mortis ex insidiis paratae vobis metus erit, nulla suspicio; nec a subditis meis ulla alia iniuria violabimini. sed ite, vestris ipsi rebus, quae sint proficua, consulentes atque vos optima spe lactantes. sic enim in Syriam veniemus, vosque protinus Tarsum Ciliciae dimittam, ibi custodiendos cum illis qui ibi captivi detinentur, usque ad exspectatae permutationis tempus. eruntque redemptionis vestrae pretium, qui non raro a Romanis aliisque atque aliis expeditionibus capti sunt, gentiles nostri Agareni; quorum adventu vos quoque a vinculis liberabimini et suas quisque sedes recipietis." dixit, et ad suos iterum regressus nostra enarrabat, barbare ut plurimum loquens. nihil vero nos latebat, cum is qui nos a principio servarat adhuc nobiscum esset ac circumduceret, ex quo omnia condiscebamus. (56) porro in quodam loco mari circumluto sedentes tuto custodiri iubebat. quo facto primum a mortis exspectatae metu animos per-

τῆς ἐλπίδος τοῦ θανάτου τέλεον τὰς ψυχὰς μετηγάγομεν καὶ τῇ θεϊκῇ προνοίᾳ τὰ ἑξῆς ἐπετρέπομεν.

Ἐπήρχετο δὲ τότε τοῖς λογισμοῖς ἡμῶν, ὥσπερ ἄρτι τοῦ κακοῦ τὴν ἀρχὴν ἀναθεωροῦσιν, ἡ τῶν οἰκείων φροντίς, νύττουσα τὰς καρδίας ἡμῶν μᾶλλον ἢ τὰ κυκλοῦντα ξίφη, πῶς ἄρα καὶ ποῖον τεθνήκασι τρόπον, ἤ τινες αὐτῶν τοῦ κινδύνου διεκφυγόντες εἰς τὴν ὁμοίαν ἡμῖν ἀπαγωγὴν ἐκρίθησαν. ὅμως οὐδ᾽ οὕτως εἴχομεν ἀσφαλῶς περὶ τούτων γνῶναι διὰ τὸ πρόσφατον γεγονέναι C τῶν πολεμίων τὴν εἴσοδον, καὶ πάντα μεστὰ κραυγῆς ἀσήμου καὶ θορύβου τυγχάνειν, καὶ πολὺ πλῆθος εἴσω τοῦ λιμένος ἐνστρέφεσθαι τῶν τε ἐκ τῆς πόλεως χειρουμένων καὶ αὐτῶν δὲ τῶν βαρβάρων, πῇ μὲν ἐγκωμιαζόντων τὰ σκῦλα, πῇ δὲ γυναῖκας καὶ ὑπομάζια βρέφη ἐκ παντὸς τόπου καὶ πάσης οἰκίας βιαίως ἐφελκομένων, ἐλεεινὸν ὀδυρόμενα καὶ τὴν στέρησιν τῶν μητέρων γοερὸν κλαυθμυρίζοντα, ἄλλων τῶν ἀρχόντων τινὰς ἢ τῶν περιφανῶν πλουσίων κατά τινας παραπλησίας ἡμῶν αἰτίας τὸν ὄλεθρον διακρουσαμένους ἀνηλεῶς ἐπισυρομένων· ἤδη γὰρ καὶ αὐτὸς ὁ πρὸς τοῦ βασιλέως σταλεὶς Νικήτας, ἀλλὰ μὴν καὶ ὁ τῆς περιχώρου D στρατηγὸς χειρωθέντες ὑπῆρχον ἔν τισι ναυσὶ βαρβαρικαῖς φυλαττόμενοι. διά τοι ταῦτα οὐδὲν πλέον ἢ πρὸ τοῦδε περὶ τῶν οἰκείων φροντίζοντες ὠφελοῦμεν.

5 καὶ] κατὰ A 6 διαφυγόντες P 9 μετὰ AP 12 τῇ — τῇ P
20 τε AP

fecte advocantes, quae deinceps erant divinae providentiae committebamus.

Tum animum subire cogitationibusque obrepere, ac si malum tum primum pensaremus, necessariorum cura ac propinquorum, graviore hinc cordibus inflicto vulnere quam circumpositis gladiis, quomodo ac qua ratione ii morte sublati essent, num aliqui ex ipsis periculo liberati pari nobis abductione damnati forent. ac ne sic quidem certi aliquid de illis scire poteramus, quod hostibus recens urbis potitis eamque ingressis cuncta inconditi plena clamoris ac tumultus essent, multaque turba in portu convolveretur, tum civium qui capiebantur, tum et barbarorum partim quidem spolia collaudantium, partim vero mulieres ac lactentes infantes, misere eiulantes ac matrum privationem luctuose gementes, omni ex loco cunctisque aedibus violenter raptantium, aliorumque nonnullos ex nobilibus virisque primariis, seu maioribus claris opibus, qui pari nobis indulgentia ac pollicitatione interitum evasissent, crudelem in modum trahentium. iam enim ipse ab imperatore missus Nicetas necnon circumiacentis regionis praetor atque dux in hostium potestatem venerant, et in quibusdam barbarorum navibus sub custodia erant. propterea nihil magis ac antea, quicquid de necessariis solliciti essemus ac curaremus, fructus aliquis sequebatur.

57. Ἀλλ' ἦν ἰδεῖν ἐπὶ τοῖς πραττομένοις καί τι καινότερον, τὰς ἡλιακὰς ἀκτῖνας τοῦ κατὰ φύσιν παρατραπείσας καὶ τῷ καύσωνι τῶν πειρασμῶν συνεκταθεῖσαν καὶ τοῦ καιροῦ τὴν ἐπίτασιν, ὡς ἐν ὀλίγῃ ῥοπῇ πελιδνωθῆναι τὰς τῶν ἀνθρώπων ὄψεις P 364 καὶ πρὸς τὴν συμφορὰν μεταβάλλεσθαι, πάντας δὲ ὁμοίως ἐφίεσθαι καὶ ἀπορεῖν ῥανίδος μιᾶς ὕδατος τούς τε ἐντελεῖς τὴν ἡλικίαν καὶ τοὺς ἔτι κομιδῇ νέους, οὐδὲν ἕτερον ἀλλ' ἢ μόνον ἀναψῦξαι μικρὸν τὴν συνέχουσαν δίψαν ἐπιζητοῦντας, καὶ οὐδὲ τούτου τυγχάνοντας.

Ἀλλ' ἐν τούτοις τὸ τῆς ἡμέρας ἐκείνης περιῆλθε διάστημα, πάντων προστάξει τοῦ δυσωνύμου θηρὸς κατὰ διαφόρους τόπους σωρηδὸν ὑπὸ τῶν βαρβάρων ἀφορισθέντων, οἷς καὶ φύλακας ἐφήδρευσαν ὑποβλέπεσθαι τούτους διὰ πάσης νυκτός, μή πού τις ἐκ μέσου διαδρᾶναι δυνηθείη. καὶ ἡμῖν δὲ αὐτοῖς ἐν ᾧπερ ἦμεν φυ- B λαττόμενοι τόπῳ συμμιγῆναι προσέταξε τῶν ἁλόντων ἄνδρας ὡσεὶ πεντήκοντα, ὧν οἱ πλείους καὶ τραυματίαι ἐτύγχανον, τὰ ἴχνη τοῦ θανάτου τοῖς σώμασι περιφέροντες καὶ μηδὲ τοῖς ἑξῆς θαρρεῖν ἔχοντες· ἐκ μέσου γὰρ αὐτῶν μέχρι δέκα τὸν ἀριθμὸν λαβόντες ἐναπέσφαξαν, καὶ οὐδὲ τούτοις ὑπῆρχον ἐν ἀσφαλείᾳ αἱ περὶ τοῦ ζῆν τέως ἐλπίδες, ἀλλ' ἐκλονοῦντο καὶ διεθρύπτοντο τὴν ὁμοίαν τοῖς κειμένοις ἀπόφασιν περιμένοντες. ἀλλ' ἐπειδή, καθὸ λέλεκται, τὰ περὶ τούτων τέλη παρ' ἑαυτοῖς ἔφθασεν ἡ νὺξ δια-

14 ἐν om A

57. Enimvero praeter hostium illa trucia videre erat et aliud quidpiam insolitum magis ac mirandum, nempe solares radios ab eo quod est ex natura devios, et cum praesenti malorum aestu temporis quoque sic auctam exaestuationem, ut brevi momento hominum facies livore contracto ac nigrescentes ex infortunii ratione aliam formam induerint; cunctique pariter ardentibus votis aquae guttam desiderabant, ac ne eius quidem compotes erant. perfecta viri aetate atque iuvenes, eaque adhuc minuscula ac pueri, aliud nihil exposcebant quam ut solum refrigerio aliquo sitim temperarent, ac ne id quidem obtinebant.

Sic nimirum omnis illa transacta dies, omnibus diversis in locis infamis belluae iussu acervatim segregatis, quibus et custodes praefecti in omnem noctem dispecturi, ne quis e medio se subducere ac diffugere posset. sed et nobis, quo loco servabamur, ex captivorum turba viri circiter quinquaginta commisceri iussi; qui et plerique acceptis vulneribus mortis vestigia corporibus impressa circumferrent, nec ut mitius in posterum haberent ullam spem haberent. ad decem enim e medio illorum raptos tristi nece gladius sustulit. sed nec reliquis ulla vitae securitas erat, sed interturbati et nutantes ac dissoluti eandem ac iugulati, et quorum iacebant cadavera, sententiam exspectabant. quia vero, uti dicebam, ipsorum in his studia nox interrupit, nec satis per eam nego-

κόψασα, ἐσόβουν τινὲς τῶν βαρβάρων περιερχόμενοι καί τισι κυμβάλοις κτυποῦντες καὶ ἀλαλάζοντες, ἕως πάλιν ἔφθασεν ἐπιστὰς C ὁ ὄρθρος, ὀδυνηρὰν προσδοκίαν τοῖς ἐν ὑποψίᾳ θανάτου μεθ' ἑαυτοῦ κομιζόμενος. ἀλλ' οὐδὲν πλέον ἢ διὰ ξίφους ἡ διὰ τῆς δίψης φθορὰ πάντας ἀνήλισκεν, ᾗ καὶ σφοδρῶς πιεζόμενοι ἐδεόμεθα τοῖς συνοῦσι κἂν τῶν διερχομένων ὑδάτων τῷ τόπῳ μεταλαβεῖν καί τινος βραχείας μετασχεῖν ἀνοχῆς. οἱ δὲ πρὸς τοῦτο ἀνένευον, οὐχ ὅτι τινὶ συμπαθείᾳ περὶ ἡμᾶς ἐκέχρηντο (πῶς γὰρ οἱ ταῖς σφαγαῖς ἐντρυφῶντες καὶ θάνατον ἀποπνέοντες;) ἀλλ' ὅτι τὸ ὕδωρ ἐκεῖνο τῆς πόλεως ὂν ἁπάσης τῶν ἐφέδρων ἀπόρροια ἱκανὸν ἦν καὶ δίχα πάσης ἄλλης ἐπιβουλῆς τοὺς μετέχοντας ἀπαλλάτ- D τειν. πλὴν ὡς ἀπὸ χιόνος ἄρτι λυθείσης εἰλικρινὲς καὶ ἡδὺ πόμα, οὕτω μεθ' ἡδονῆς ἕκαστος τῷ στόματι τὴν σαπρίαν ἐκείνην προσέφερε, καὶ τὴν κύλικα τῆς δυσωδίας μέλιτος πλήρη τοῖς λογισμοῖς ὑπελάμβανεν.

58. Ἐν τούτοις πάλιν ἀπόφασις ἐξήνεκτο παρὰ τοῦ τυράννου, περιέχουσα οὕτως "εἴ τις τῶν συλληφθέντων χρήματά που ταμιευσάμενος ἔχει, παρελθὼν ἐν μέσῳ τούτοις ὠνησάσθω τὴν σωτηρίαν· εἰ δέ τις μηδὲν ἔχων λύτρον τῆς ἰδίας ζωῆς φωραθείη, οὗτος τὴν κεφαλὴν τμηθεὶς τῶν ζώντων διαιρεθείη." προσέταττε δὲ τοῦτο παρὰ τῶν βαρβάρων ἀκηκοὼς ὡς οὐκ ἄν τινα P 365 φειδοῦς ἠξίουν, ὅτε κατ' ἀρχὰς εἰσήλασαν ἐν τῇ πόλει, εἰ μή

4 ἢ] ὡς ἡ A, omisso mox φθορὰ   8 κατένευον? quod est p. 379 ima   10 ἀφέδρων?

tio finem imponere licuit, barbarorum quidam circumeuntes cymbalisque quibusdam perstrepentes ac ululantes sese inferebant, donec rursus mane adveniens molestam iis, qui se neci tradendos verebantur, exspectationem secum afferens illuxit. nihil tamen minus quam gladius cunctos consumebat siti contracta labes; qua ipsi immaniter incensi rogabamus nostros custodes ut vel ex aquis locum praeterlabentibus bibere liceret atque hinc levi aliquo solatio sitim levare. qui annuere, non ulla erga nos moti miseratione (quomodo enim qui caedibus oblectabantur et neces spirabant?) sed quod ipsa haec aqua, quae profluvium esset totius urbis cloacarum, una a se absque ullo alio admixto veneno bibentibus interitum afferre posset. perinde tamen ac si e nive iam dissoluta purus ac dulcis potus esset, suavissime unusquisque nostrum marcorem illum ori admovebat, graveolensque illud poculum melle plenum animo aestimabat.

58. Interim decretum rursus a tyranno profertur in hanc sententiam. quisquis ex captis pecunias repositas haberet, in medium procedens salutem illis redimeret. qui vero nullum vitae suae redemptionis pretium habere deprehensus esset, hic caeso capite e viventium albo excideret. id vero imperabat, cum audisset a barbaris se, cum primum in urbem ingruerent, nemini pepercisse, nisi illis duntaxat qui ipsi ha-

που παρ᾽ αὐτῶν ἐκείνων ἐβεβαιοῦντο ἔχειν αὐτοὺς ἐν ἀποκρύφοις χρήματά τινα πᾶσαν δυνάμενα ἐκφυγεῖν ἔρευναν. ὅσοι δὴ οὖν τῶν ἑαλωκότων ὑπῆρχον ἔχοντες εἴδησιν ἀκριβῆ περὶ ὧν ἦσαν προκεκρυφότες, εὐθέως ἐκδήλους ἑαυτοὺς καθίστων κατεπείγοντες τὴν δόσιν ὡς τῆς ζωῆς παραιτίαν· ὅσοι δὲ μηδὲν τοιοῦτον ἔχειν παρ᾽ ἑαυτοῖς ἐπεγίνωσκον, ἀλλ᾽ ἐπὶ ματαίαις μόνον ἐλπίσι τὰς συνθήκας ἐπλάσαντο, τὴν σφαγὴν ἐξεδέχοντο ἀναμφιβόλως τοῖς B ἐνδεῶς ἔχουσι κεκριμένην. τάττονται δὴ οὖν ἐπὶ τούτῳ τῶν βαρβάρων τινές, ὥστε τοὺς βουλομένους παρέχειν τὰ ἑαυτῶν ἐν ταῖς ἰδίαις ἀποφέρειν οἰκίαις, καὶ εἰ μὲν ἄξια εἴη πλεονεκτικὸν ὀφθαλμὸν κορέσαι, σωτηρίας τε ἀξιοῦσθαι τούτους καὶ αὖθις τοῖς δεσμίοις ἐναριθμεῖσθαι, εἰ δ᾽ εὐτελῆ τινὰ καὶ βραχέα καὶ οἷς οὐκ ἂν κρίνοιεν εὐδοκοῦντα τὸν ἀποστείλαντα, τῆς μαχαίρας γενέσθαι. οὐκ ὀλίγος ἦν ἐκ τούτου πάλιν τοῖς χειρωθεῖσιν ὁ κίνδυνος, πολλῶν διακρινομένων ἐκ τῶν ἐχόντων ὕλην τινὰ περισπούδαστον. ἐτελεῖτο δὲ ταῦτα ἐφ᾽ ὅλοις νυχθημέροις δέκα, τῆς πληθύος ἀεὶ τῶν χρημάτων ἐκφορουμένης ἀπὸ τῆς πόλεως, τῆς τε λοιπῆς C ἀναγκαίας ὕλης, ὅση διὰ σηρικῆς ἐσθῆτος εὐπρεπὴς ἦν καὶ ὅση διὰ λίνου τοῖς ἀραχναίοις ἤριζεν ὑφάσμασιν, ὡς ὄρη καὶ βουνοὺς ἐκτελεῖσθαι τὰς τούτων σωρείας, ἄλλων ἐπ᾽ ἄλλοις ἐπιτιθεμένων καὶ τὸν ὑποκείμενον τόπον πληρούντων. χαλκῶν γὰρ καὶ σιδηρέων σκευῶν ἢ τῶν ἐξ ἐρίων ἐσθημάτων οὐμενοῦν οὐδ᾽ ὅλως

2 διαφυγεῖν A   4 καθιστῶντες AP   8 κεκρυμμένην A   14 πάλιν ἐν τοῖς P   19 λινοῦ τοῖς ἀραχνίοις AP

bere se pecunias absconditas, nulli obnoxias indagini, affirmassent. quotquot igitur inter captivos eorum quae abscondissent certo sibi conscii erant, ipsi se statim prodentes dare urgebant, ut qui rem vitae pignus sibi noverant: qui vero nihil tale apud se exstare sciebant, sed inani solummodo spe pasciscendo verba dederant, indubie mortem exspectabant illis, quibus haec deessent, decretam. quare super hoc barbarorum quidam destinantur, ut, qui sua praebere vellent, eos in proprias aedes reducerent; et si haec tanti essent quae avarum oculum merito exsatiare possent, salute donatos inter vinctos rursus collocarent; quodsi vilia quaedam et pusilla, ac quae minus placitura mittenti existerent, eos gladii mucrone conficerent. non leve hinc rursus periculum captivos circumstare, cum inter eos multi essent quibus nulla eiusmodi materia pretiosa suppeteret suique illecebra capiens. protracta haec per totos decem dies noctesque, cum pecuniarum multitudo continue ex urbe exportaretur, et alia necessaria materia, ipsa sericis indumentis emicans, vel quae lino confecta cum textura aranearum contenderet, ut horum cumuli montes ac colles exaequarent, cum alia aliis superaggesta subiectum locum constiparent. aereae enim aut ferreae supellectilis aut ex lana contextarum vestium nulla eis erat ratio, quod horum censu

ἐφρόντισαν, περιττὸν ἡγούμενοι τὴν κτῆσιν αὐτῶν. εἴ που δέ τι
τοιοῦτον ἀγαγὼν ἔλαθέ τις, τῷ τῆς θαλάσσης δεδώκασιν ὕδατι,
κἂν τούτῳ τοὺς διαδράντας τὸν κίνδυνον ἀμυνόμενοι, ἵνα καὶ αὐ-
τοί τι μετέχωσι τοῦ κακοῦ, πολυσχιδῆ καὶ διάφορον τὴν τῶν ἐνυπ-
αρχόντων ζημίαν ἐπαισθανόμενοι.

59. Ἦν δέ τις μετὰ τοῦ λοιποῦ πλήθους τῶν αἰχμαλώτων D
συλληφθεὶς εὐνοῦχος τοῦ βασιλέως καὶ τῶν ἐξόχων εἷς, Ῥοδοφύ-
λης οὕτω καλούμενος, ὃς ἔτυχε πρὸ μικροῦ τοῦ κινδύνου τὴν ἐπὶ
δύσιν σταλείς, καί τινων χρειῶν ἕνεκεν πρὸς τῇ πόλει γενόμενος,
μεθ' ἡμῶν συγκλεισθῆναι καὶ τῶν ῥηθέντων ἀνιαρῶν μετασχεῖν·
ὃς καὶ ἐκόμιζε μεθ' ἑαυτοῦ πλῆθος χρυσίου, ὅπερ ἔλεγεν ἀπάγειν
ἐπικουρίας τινὸς χάριν τοῦ κατὰ Σικελίαν στρατοῦ, συμπλεκομέ-
νου τοῖς κατὰ τὴν Ἀφρικὴν βαρβάροις ἀεὶ καὶ πολλῆς δεομένου
τῆς ἐν τοῖς πράγμασι συνεργίας. οὗτος οὖν κατὰ τὴν νύκτα μεθ'
ἣν τοῦ κινδύνου τὴν πεῖραν ἅπαντες ἐδεξάμεθα, ἔλαθεν οὐκ οἶδ'
ὅπως ἐξενεγκεῖν τῆς πόλεως τὸ χρυσίον ἐκεῖνο μετά καί τινων τῶν P 366
ὑπηρετουμένων αὐτῷ, καὶ πρὸς τὸν στρατηγὸν Στρυμόνος ἐξαπο-
στεῖλαι, χαράξας ἐπιστολὴν περιέχουσαν ἀσφαλῶς φυλάττειν τοῦτο
μέχρι τῆς ἐκβάσεως τοῦ πολέμου. χειρωθεὶς οὖν οὗτος ἤχθη
κατὰ τὸ πρόσωπον τοῦ τυράννου. ὁ δὲ τὴν μορφὴν ἀλλοιώσας,
ἐμβριθέστερόν τε μᾶλλον ἢ πρότερον εἶχε πρὸς αὐτὸν χρησάμενος,
ἀνηρώτα. "ποῦ δή" φησι "τὸ τοῦ βασιλέως χρυσίον, τὰ δύο
τάλαντα ἅπερ ἐπὶ Σικελίαν ἄγειν ἐτάχθης;" ὁ δὲ "τοῦτο δή"

gravari superfluum ducerent. et si quis imprudens tale quid attulisset, in mare iaciebant, hoc quoque eos multantes qui periculum evasissent, ut et ipsi multiiugam diversamque rerum iacturam sentientes vastitatis et mali tantisper participes fierent.

59. Cum reliqua captivorum multitudine captus quoque fuerat quidam imperatoris eunuchus, unus ex primatibus, cui Rhodophylo nomen erat. is paulo ante periculum in Occidentem missus, cum necessariis quibusdam ex causis in urbem venisset, pari nobis eventu inclusus, malorum quae dicta sunt ipse quoque consors efficitur. nempe vim magnam auri portabat, quam in sumptus et stipendia exercitus Siculi, continue cum Africanis barbaris manus conserentis eamque ob rem multa ope egentis, se deferre aiebat. hic itaque nocte quae antecessit discrimen cuius nos omnes periculum fecimus, clam aurum illud atque ex servis suis nonnullos, nescio quomodo, urbe extulerat atque ad Strymonis ducem miserat, datis literis hoc tenore, ut ad belli usque exitum pecuniam creditam tuto servaret. captus igitur Rhodophylus et ad tyrannum adductus illi coram sistitur. ille adspectu mutato, maiorique quam habebat antea ex indole firmitate ac vehementia illi congressus, interrogabat: "ubinam" inquit "imperatoris aurum, duo scilicet talenta, quae in Siciliam avehere iussus es?" at Rhodophylus "hoc ipsum, in

φησίν, "εἰς ὅπερ κατείλημμαι, δεδιώς, τὴν πολιορκίαν λέγω τῆς
B πόλεως, ἐπείπερ αὐτὸς ἐγὼ δεῦρο τυχὼν ἀδυνάτως εἶχον τοσούτου
κινδύνου παρόντος ὑποχωρεῖν καὶ μὴ τὰ παρ' ἑαυτοῦ δεικνύναι,
πάντων εἰς ἐμὲ βλεπόντων ὡς ἄν τι χρηστὸν αὐτοῖς καὶ τῷ καιρῷ
τούτῳ χρήσιμον δυνάμενον παρασχεῖν, τούτου δὴ χάριν τὸ μὲν
χρυσίον ἐκεῖνο τῆς πόλεως ὑπεξήγαγον (οὐ γὰρ ἠδυνάμην ἀκριβῶς
περὶ ἀδήλων στοχάσασθαι), ἐγὼ δέ σοι παρέστηκα τήμερον δο-
ρυάλωτος, πολλῶν ἄλλων χρημάτων παραίτιος, εἴγε ζῶντά με
καὶ ἀβλαβῆ συντηρήσειας." ἀχθεσθεὶς οὖν ἐπὶ τούτοις ὁ ἀλαζὼν
ἐκεῖνος, καὶ τὸν θυμὸν ὁποῖος αὐτὸν εἶχε διά τε τῶν ὀφθαλμῶν
καὶ τῆς φωνῆς ἔκδηλον καταστήσας, βύθιον ἐξεβόησεν. "ἐπειδή-
C περ" φησίν "οὐκ ἔμαθεν ἐκ τῶν προκειμένων ἀδιάδραστον εἶναι
τὴν τοῦ θανάτου ψῆφον τοῖς μὴ τὰ οἰκεῖα χρήματα λύτρον παρ-
εχομένοις ὁ τῆς γυναικωνίτιδος οὗτος, ἀλλ' ὥσπερ ἐπὶ σκηνῆς
ἐπίδειξιν ποιεῖται, τὸ πλάσμα τοῦ ψεύδους μέγα καὶ θαυμαστὸν
οἷον κατὰ τῆς ἑαυτοῦ προβαλλόμενος σωτηρίας, ῥάβδοις τυπτέ-
σθω τά τε ἰσχία καὶ τὰ κατὰ τὸν νῶτον μέρη, ὡς ἂν ἄρτι γνῷ
πρῶτον τίνι παρίσταται καὶ περὶ τίνων διαλέγεται, καὶ μὴ χρη-
μάτων ἀλλοτρίων ἀμφισβητῶν τὸν περὶ ψυχῆς ἑαυτῷ περιποιῆται
κίνδυνον." οἱ λειτουργοὶ οὖν τῶν ἀδίκων φόνων, ὡς μόνον εἶδον
αὐτὸν μεθ' ὑποσυρμοῦ φωνῆς καὶ μανίας τὴν τοιαύτην ψῆφον
D κατὰ τοῦ ἑστῶτος ἐξενεγκάμενον, θᾶττον λόγου παντὸς τῇ γῇ

7 στοχάζεσθαι A 10 ὁποῖον P 11 παραστήσας A
17 ἂν om P

quo et versor, urbis scilicet excidium veritus, quodque ego ipse, cum praesens essem, tanto vertente periculo haud secedere poteram, nec quae mearum partium essent conferre, omnium in me conversis oculis, ut qui eis aliquid conducibile ac tempori opportunum praestare forsitan possem, ob eam utique causam aurum illud secreto urbe exportavi. non enim de obscuris ac dubiis certi aliquid licebat coniectari. porro ego tibi hodie captivus adsto, multarum aliarum pecuniarum tibi auctor futurus, si unum me vivum atque a noxa liberum servaveris." hisce superbus ille commotus et aegre ferens, omnemque ipsum obsidentem oculis voceque furorem prodens, imis ex praecordiis intonuit. "quandoquidem" inquit "haud ex praesentibus didicit mortis sententiam evitari non posse ab his qui suas pecunias pro redemptione sua non praebuerint, hic qui ex gynaecio est, sed velut in scena sese ipse ostentat, mendacii larvam velut prope rem magnam ac admirandam adversus suam proferens salutem, coxas et scapulas fustibus contundatur, ut nunc tandem agnoscat cui adstet et de quibus loquatur, et ne de alienis pecuniis ambigens vitae sibi periculum arcessat." ministri igitur iniquarum caedium, ut solum ipsum viderunt longo vocis tractu effusa insania adversus coram stantem tulisse sententiam, omni verbo ocius hominem

τοῦτον προσέρραξαν, καὶ τοσαύταις βάλλουσι πληγαῖς ὡς μὴ ἐπὶ πολὺ ἀντισχεῖν τοῦ ἀθλίου τὸ σῶμα ἀλλ' εἰς πολλὰ διαιρεθέν, καὶ τοῖς ὀχετοῖς τῶν αἱμάτων τὸν ὑποκείμενον τόπον πληρῶσαν, οὕτως τὴν ψυχὴν ἐπαφεῖναι, καρτερεῖν ταῖς δριμείαις ἐκείναις ἀλγηδόσιν οὐκ ἐξισχύσασαν. ὡς οὖν ἀπείρηκε καὶ δῆλος ἦν τοῖς ὠμοῖς ἐκείνοις δορυφόροις, μηκέτι τὰς πληγὰς ἀφιεῖσι καὶ μετὰ θάνατον, μόλις ποτὲ τῆς κατεχούσης ἑαυτὸν ὀργῆς περιάρας ὁ δυσέντευκτος θήρ "ἔστω" φησί "μετὰ τοῦ χρυσίου ἐκείνου καὶ οὗτος εἰς ἀπώλειαν· ἀλυσιτελὲς γάρ, ὡς ἔοικεν, καὶ εὑρεθὲν ἂν διεδείκνυτο."

60. Τοῖς δὲ τῶν νηῶν ἀρχηγοῖς προσέταττε σκευάζεσθαι P 367
πρὸς τὸν ἀπόπλουν, τὴν νεάζουσαν κούραν τοῦ πλήθους ἀρρένων
τε καὶ θηλειῶν πρῶτον ταῖς ναυσὶν εἰσενεγκόντας, μὴ κατὰ συγ-
γένειαν ἀλλὰ διακεκριμένως, ἵν' ἔχωσι κἂν τούτῳ τιμωρίαν οὐ
τὴν τυχοῦσαν, τὴν φυσικὴν ἐξ ἀλλήλων διαίρεσιν, εἶθ' οὕτω
τὰ χρήματα, καὶ ὅσα ἄλλα τῶν συνειλεγμένων φανεῖεν χρήσιμα,
συμφορήσαντας αὐτάρκη ταῖς ναυσὶ τῶν ἀγωγίμων ἐμποιῆσαι τὸν
φόρτον. ἤγετο οὖν τὸ νεάζον πρόσωπον ἅπαν, τοῦτο μόνον κατ-
ηγορίαν ἔχον, τὸ ἀνθηρὸν τῆς ἡλικίας ἢ τῶν προσώπων τὴν
ὡραιότητα. κἂν γὰρ ἡ σύγχυσις τῶν λυπηρῶν ἅπαντας πρὸς τὸ B
σκυθρωπὸν ἦγεν, ἀλλ' ὁ φυσικὸς χαρακτὴρ ἐδήλου ταῖς ὄψεσι τὴν
εὐγένειαν· καὶ πρόφασις ἦν τοῖς πολλοῖς τὸ κάλλος, ἐν τοῖς δει-

5 ἐξισχύσαν P   12 κήραν A   17 συμφορήσαντες P
22 ἔμφασις P

humi allidunt, totque mactant verberibus ut miseri corpus non diu restiterit, sed in multa concisum, subiectoque solo sanguinum rivis impleto, tantis scilicet doloribus impar ac cruciatibus, animam efflaverit. iam ergo illo defatigato ac fatiscente, cum nec cruentos tortores res lateret, ipso iam exstincto et a morte caedere desinebant; cum vix tandem inexorabilis bellua iram remittens "esto hic quoque" inquit "cum auro illo in perditionem: nam, ut videtur, si etiam fuisset repertum, in rem nostram nihil conduxisset."

60. Tum navarchis convasare imperat, ut se recessui praeparent omnemque multitudinis masculorum pariter ac feminarum iuniorem pubem primum in naves inferant, nulla consanguinitatis ratione, sed separatim, ut hinc quoque, propinquorum ab invicem invita natura divortio, non levis eis poena accresceret; deinde ut pecunias, et quaecunque alia in his quae collegerant utilia fore viderentur, comportantes, vecturae onus sufficiens navibus imponerent. ducebatur itaque iuvenum universa pubes, hoc solum onerata crimine, quod florenti aetate esset aut quod eleganti ac venusta facie. licet enim malorum confusio maesto omnes vultu efficeret, naturalis tamen character elucentem in eo ingenuitatem monstrabat, ac decoris micans ipse radius non paucis ut malis

νοῖς αὐτοὺς προδιδόμενον. ἀλλὰ ποῖον τούτων πρῶτον ἐξείπω; ποῖον δὲ κατ' ἀξίαν ἐλεεινότερον κρινῶ; ὁπότε συμμιγής τις καὶ σφοδρὸς ἀνήγερτο θρῆνος διχοτομουμένης τῆς φύσεως, ἀλλήλους τοὺς ἀγχιστεῖς ἀνακαλουμένους καὶ τὸν χωρισμὸν δυσχεραίνοντας. καὶ γὰρ ἦν ἰδεῖν τοὺς τῷ πάθει συγκεχυμένους, ἄνδρας γυναῖκας, C ἀκμάζοντας παῖδας, ὁμοῦ πάντας δεινὸν ἀλαλάζοντας καὶ ἑαυτοὺς διαρρηγνύντας, καὶ μηκέτι κατέχειν τὴν ἀθυμίαν τῶν τοσούτων ὀχληρῶν ἐξισχύοντας, ἀλλὰ δηλοῦντας ταῖς οἰμωγαῖς τὴν ἔνδον τῆς καρδίας διάθεσιν, ὡς ἅπασα καταπίμπραται τῶν πειρασμῶν ταῖς φλογώσεσιν. ὡς γὰρ βιαίως οὕτως ἐξ ἀλλήλων διαιρεθέντες φύρδην ταῖς ὁλκάσιν εἰσήχθησαν, εὐρείαις τε οὔσαις καὶ ἱκαναῖς πολλοῖς πλήθεσιν ἐξαρκεῖν, οὐ κατάστοιχα, οὐδ' ὡς ἄν τις εἴποι, ἐν αὐτάρκει τόπῳ τοῦ σωματικοῦ ὄγκου τῶν εἰσελθόντων ἕκαστος D τὴν καθέδραν ἐλάμβανεν, ἀλλ' ὡς ἔτυχεν ἅπαξ κατενεχθείς, τοῦτο μόνον ἀπεκεκλήρωτο, μὴ δυνηθεὶς ἐν ὅλαις ταῖς ἐφεξῆς ἡμέραις ἕως μιᾶς παλαιστῆς τόπον ἐφευρεῖν, ἵν' ἀνακλιθεὶς ἀνάπαυσιν δῷ κἂν βραχεῖαν τῷ σώματι. (61) πᾶσαι δὲ αἱ νῆες τῷ τρόπῳ τούτῳ πεπλήρωντο, τέτταρες [γὰρ] οὖσαι, καθὼς ἔφημεν, καὶ πεντήκοντα. ἔτι δὲ πλῆθος ἦν περιττεῦον, ἄξιον καὶ αὐτοῖς κρινόμενον τῆς ἀποδημίας. οἱ οὖν βάρβαροι συναγαγόντες τὰς νῆας P 368 τῆς πόλεως, αἷς ἐχρῶντό ποτε πρὸς τὸ τὸν σῖτον ἐπικομίζειν οἱ

1 εἴπω P 2 τις om P

dederentur causa fuit. quodnam vero horum primum referam? quodnam autem digne iustaque ratione miserabilius statuam? cum immiscuo ingentique eiulatu exorto, natura partibus scissa, alius alium consanguineorum affiniumque arcesseret ac separationem indignissime ferret vidisses enim eius rei dolore viros confusos, mulieres, florenti aetate omnes simul pueros dire ululantes ac sese discerpentes, nec tantorum malorum immanitate effusam maestitiam retinere valentes, sed gemitibus ac eiulatu internam animi affectionem prodentes, ut qui nimirum eius tantae cladis ardoribus ac flammis toti exustularentur. cum sic enim violenter a se in vicem fuissent divisi, promiscue ac confuse navigiis impositi sunt, quae admodum patentia plurimis avehendis sufficere poterant, non digesto ordine, nec (ut quis dicat) tanto loci spatio assignato quantum pro corporis mole sufficeret, ut sic congesti atque contrusi suum quique situm sedemque obtinerent: sed quomodo quisque semel iniectus fuerat, ita constipabatur iisque artabantur loci angustiis ut reliquis omnibus diebus ne minimi quidem palmi spatium, ut reclinatus brevem saltem corpori requiem afferret, occupare cuiquam licuerit. (61) omnes porro naves hoc modo onustae erant. nam cum essent quattuor et quinquaginta, ut supra dictum est, adhuc tamen hominum copia redundabat, quae nec ipsa visa indigna quam ad sua inque Syriam hostes transferrent. quare barbari urbis navigiis collectis, quibus nostri mercatores quandoque utebantur ad convehendum triticum quasque etiam

καθ᾽ ἡμᾶς ἔμποροι, ἔτι δὲ καὶ ἃς ἦμεν βυθίσαντες κατὰ τοῦ πορθμοῦ τοῦ λιμένος σοφίσματί τινι ἀνελκύσαντες, ὃ καὶ ἐνήργησαν διά τινων στροφίγγων τοῖς ἐκεῖσε προβόλοις ἐπιτετηδευμένων καὶ τὴν ἐπίνοιαν ἐργώδη δεικνύντων, ἑλισσομένων τινὶ τεχνάσματι καὶ διὰ τῶν ἀπῃωρημένων κάλων ἀνελκυόντων τὸ ὑποκείμενον, — οὕτως οὖν καὶ ἄλλων νηῶν πληθὺν εὐπορήσαντες εἰσεκόμισαν ἅπαντας, ὡς μηδένα πώποτε τῶν εἰς τοῦτο τεταγμένων παραλειφθῆναι. ἐξ ὧν ἁπάντων οὐκ οἶδα εἴ πού τις τῶν ἀρρένων τὸν ἴουλον ἐτετρίχωτο ἢ κἂν μία τῶν γυναικῶν ἥβασκεν. πάντες δὲ B καὶ πᾶσαι νέαν ἦγον τὴν ἡλικίαν, καὶ τούτων μάλιστα τὰ ἀρτιγενῆ βρέφη. οὓς ἄν τις καθ᾽ ἕνα λογιζόμενος κατεκλᾶτο, μὴ σθένων ὁρᾶν τὰ καθ᾽ ἕκαστον αὐτῶν ἀτυχήματα.

62. Καθ᾽ ἡμῶν δὲ τῶν κατὰ διαφόρους αἰτίας ἐκφυγόντων τὸ ξίφος ἐκηρύχθη τοιαύτη παρὰ τοῦ τυράννου καὶ αὖθις ἀπόφασις, ὥστε τοὺς μὲν ἐξ ἡμῶν, καὶ μάλιστα ὅσους ἔδοξε τὰ τοῦ πλοὸς ἐγκαρτερῆσαι δυναμένους ἐπίπονα, μετ᾽ αὐτῶν ἐκείνων τῶν στρατηγῶν διαιρεθέντων εἰσελθεῖν ἀνὰ πέντε ἐφ᾽ ἑκάστης τῶν βαρβαρικῶν νηῶν, τηρεῖσθαί τε χάριν τοῦ πρὸς τὴν Ταρσὸν διαπεμφθῆναι λόγῳ τῆς εἰρημένης καταλλαγῆς· τοὺς λοιποὺς δέ, C ὡς μηδέν τι χρηστὸν αὐτοῖς δυναμένους πορίζειν, εἴ γε τῆς ἀποδημίας μετάσχωσι, μᾶλλον μὲν οὖν καὶ ἀνωφελῆ φόρτον αὐτοὺς ἐπισύρεσθαι, ἔδοξεν ἐπαφεῖναι τῇ πόλει, οὐδὲ τοῦτο φειδοῦς

20 οὐδέν P 21 κατάσχωσι AP 22 τούτου A

in portus fretum demerseramus, extractis machina quadam navibus, quod illi per annulos quosdam in retinaculis ibidem defixos inque rem praestandam atque inventum summe conducentes perfecere, artificio quodam per funes circumvolutos appensosque quicquid subiectum erat attrahentes. hac ratione, et navibus aliis abunde ditati, omnes immiserunt, ita ut eorum qui in hoc destinati erant nullus dimitteretur. inter quos omnes haud scio an vel unus ex masculis exstiterit qui pilorum lanugine exasperaretur, vel ex feminis quae pubes esset, cum omnes utriusque sexus essent iuvencula ac calenti aetate, et inter eos potissimum recens nati infantuli; quorum si quis unumquemque reputasset, indoluisset animo, ut eorum cuiusque infortunia oculis usurparet, ferre non valens.

62. Verum adversum nos, qui diversis ex causis ferrum evasissemus, a tyranno rursus aliud promulgatur decretum, ut scilicet, qui ex nostris essent, iique praecipue qui navigationis incommoda sufferre posse visi essent, inter duces divisi, in unamquamque barbaricarum navium quini intromitterentur, inque eis servarentur, ea scilicet ratione ut dictae iam commutationis causa Tarsum mitterentur: reliqui vero, velut inhabiles et nulli usui, si abducerentur, quin immo oneri minime proficuo futuri, visum est ut urbi dimitterentur. sed ne id quidem ulla

τινὸς ἕνεκεν, οὐδ' ὅτι τῷ θεῷ παρεῖχε, καθώς τινες τοὺς βαρβάρους πράττειν ἀλόγως φιλονεικοῦσιν, ἀλλὰ καὶ τοῦτο μετά τινος μεθόδου καὶ μοχθηρᾶς ἐπινοίας, ἵν' ἐν μηδενὶ φανείη τῶν πεπραγμένων ἀσυντελής, ᾧ μὴ κέρδος ἑαυτῷ συμπορίσοιτο. ἀκρι-
D *βῶς γὰρ εἰδὼς ὡς μετὰ μικρὸν ἔσεσθαι μέλλει τῶν αἰχμαλώτων ἡ διὰ τῆς καταλλαγῆς ἀπολύτρωσις, ἐσοφίσατο μηδὲ τούτους εἰκῇ καὶ ὡς ἔτυχεν ἐλευθερίας τυχεῖν. καὶ σκόπει τὸ πανοῦργον τοῦ δράματος. ἐρχομένοις γάρ τισι μετὰ τὸ τὴν πόλιν ἁλῶναι, τοῖς ὁπωσδηποτοῦν διαδρᾶσι, καὶ τοὺς ἰδίους αἰχμαλώτους ὠνουμένοις, συνείπετο μετ' αὐτῶν καί τις ἀνὴρ καλούμενος Συμεών, φρονήσει βεβηκὼς καὶ διὰ πείρας ὢν πολλῶν πραγμάτων, ὃς ἦν πρὸς τοῦ βασιλέως σταλεὶς δι' αἰτίαν τινὰ χρειώδη πρὸ μικροῦ τῇ πόλει, περὶ ἧς νῦν οὐκ ἀναγκαῖον εἰπεῖν. τούτοις οὖν καθ' ἑκάστην μέχρι τῶν ἡμερῶν τοῦ ἀπόπλου συχνῶς ἐρχομένοις ἀνεκοινώνησε τὴν κατὰ τῶν εἰρημένων βουλὴν ὁ δεινὸς οὗτος Λέων,*
P 369 *εἰπὼν πρὸς αὐτούς* (63) *ὡς ἐγὼ ἀπεχθῶς, φησί, φερόμενος ἐξ ἀρχῆς καθ' ὑμῶν οὐκ ἔκρινον ζῶσαι τῶν ἁλόντων οὐδένα· τίς γὰρ ἐκ θεοῦ μισθὸς πολεμίοις ἀνδράσιν ἐν καιρῷ νίκης τὸν θάνατον συγχωρεῖν, ὃν αὐτοὶ μᾶλλον ἐτέκταινον καθ' ἡμῶν; ἀλλ' ἐπειδὴ χρεία τις ἐπείγει, καθ' ἣν ἐστιν ἐπάναγκες ζωωθῆναι τούτους, εἴπερ αἰσίου τύχοι τοῦ πέρατος, περὶ τούτου καθ' ἑαυτοὺς ὑμεῖς σκέψασθε. ἐπείγομαι γὰρ ἤδη τοῦ καιροῦ με καλοῦντος πρὸς τὴν ἰδίαν ἀποπλεῖν πατρίδα. δύνασθε οὖν ἀντιποιη-*

4 *συμπορίσαιτο* P

lenioris animi humanitate edixit, nec deo aliquid exhibiturus, uti barbaros facere nonnulli stulte contendunt, verum id quoque artificio peraeque singulari improboque commento, ne quid non in suas rationes ac lucra constituisse videretur. cum enim optime sciret non diu post captivos per commutationem fore redimendos, hoc quoque excogitaverat, ne hi temere et quasi oblatam sponte libertatem consequerentur. et considera callidum hominis consilium. venientibus enim nonnullis post urbis excidium, qui eius utcunque ruinam casumque evaserant, suosque captivos redimentibus, una cum eis advenerat vir cui Symeoni nomen erat, adulta prudentia et multarum rerum experientia celebris. ille paulo ante ab imperatore negotii cuiusdam necessarii causa missus fuerat, de quo nihil impraesentiarum dicere interest. his itaque quotidie confertimque ad navium usque recessum venientibus, consilium suum adversus iam dictos immitis Leo hisce communicavit. (63) "ego" inquit, "quo in vos odio a principio excitus eram, statueram nemini captivorum vitae indulgentiam facere. quae enim ex deo merces est, hostibus favente victoria mortem condonare, qui ipsi eam in nos sedulo machinarentur? cum tamen utilitas quaedam urgeat, qua necesse sit ut sic vivi serventur, siquidem fortunatum finem res sortiatur, de hoc vobiscum ipsi deliberate. festino enim, poscente iam tempore, ad propria remeare. in

θῆναι τούτων ὄντων διακοσίων τὸν ἀριθμὸν δι' ἐγγράφου ἐγγύης, ὡς λαβεῖν ἡμᾶς ἀντ' αὐτῶν ἐν τῷ καιρῷ τῆς καταλλαγῆς ἰσαρίθμους Ἀγαρηνούς, πεῖσαί τε τὸν κρατοῦντα τῶν Ῥωμαίων τὰ B σκῆπτρα μηδεμίαν περὶ τούτου ἀμφιβολίαν ἔχειν, ἀλλὰ συνθέσθαι ὑφ' ὑμῶν πεπραγμένοις; ἢ δεδίττεσθε μὲν τὴν ἐγγύην ὡς μὴ ἐν ὑμῖν κειμένην, ἄδηλον ὂν εἰ παραδεχθήσεται ὑπ' ἐκείνου ἢ μή, ἐν οὐδενὶ δὲ τίθετε τοσοῦτον κακόν, μικρᾶς προθυμίας μέγαν προξενοῦντες τοῖς ὁμοφύλοις τὸν ὄλεθρον; εἴπατε οὖν ὁποτέρῳ τούτων στοιχεῖτε, ἵν' ἑνί γε τὴν ψῆφον δῶμεν, ἢ τοῦ ζωῶσαι ἢ τοῦ ἀπαλλάξαι αὐτούς. ὁ οὖν ῥηθεὶς Συμεών, ἅτε δὴ τῶν ἄλλων προέχων, πρὸς αὐτὸν ἔφη "ἐγὼ ταύτην τὴν ἐγγύην μόνος C κατεγγυῶμαι, σαφῶς εἰδὼς τὸ περὶ πάντα φιλάνθρωπον τοῦ καθ' ἡμᾶς αὐτοκράτορος, καὶ ὡς δίχα λόγου παντὸς παρέξεται τούτων ἕνεκεν, ἐξ ὧν ἔχει δεσμίων Ἀγαρηνῶν, τοσούτους ὅσοι καὶ οὗτοι τυγχάνουσιν ὄντες· οὓς καὶ αὐτὸς ἐγὼ τῇ Ταρσῷ διακομίσω, ἵν' ἐπ' ἐμοὶ πάλιν τὰ περὶ τῆς ἐγγύης λυθῇ, καὶ μηδὲν ἔχῃς κατ' ἐμοῦ προφέρειν, ἐπὰν τὴν ὀφειλὴν ἐκπληρώσω. μόνον τύχωσι κἂν οὗτοί τινος σωτηρίας, ἵνα συλλέξαντες ταφῇ δῶσι τῶν ἀποιχομένων τὰ σώματα, ἃ διὰ πάσης τῆς πόλεως κείμενα καὶ αὐτὸν τὸν ἀέρα πρὸς θρῆνον ἐφέλκεται." ταῦτα ἀκούσας ὁ κακοήθης ἐκεῖνος, ἔγγραφόν τε πείσας τὸν αὐτὸν Συμεὼν καὶ ἐνώμοτον D παρασχεῖν τὸν περὶ τῶν συνθηκῶν τούτων λόγον, ἀπολυθῆναι

vosne valetis recipere, cum hi sint numero ducenti, fidei iussione scripto consignata, nos pro eis commutationis tempore totidem ex nostris (Agarenos scilicet) recepturos, suasurosque Romanorum sceptra moderanti ut nullam eius rei causa ambiguitatem afferat, sed his quae pacta a vobis erunt assensum praebeat? an fidem dare formidatis, quasi non in vestro sita arbitrio pollicitatio sit, ac velut incertum habeatis, sitne ille ratam habiturus necne? remque nihili grande adeo malum ducatis, tantum scilicet popularibus vestris, minori vestra in illos alacritate ac pietate, procurantes interitum? ergo dicite utrum probetis; quo unam in partem lata sententia, hosce vel vita superstites servemus vel victorum iure contrucidemus." tunc dictus Symeon, ut qui aliis dignitate praestaret, ad eum infit. "unus ego hanc in me sponsionem recipio, ut qui clementissimi imperatoris in omnibus humanitatem explorate compertam habeam, fore nimirum ut citra omnem disceptationem iurgiumque tanto numero vinctos Agarenos contribuat, quanto sunt quos hic in spoliis habetis captivos; quos ego ipse Tarsum adducam, ut in me rursus fidei iussio dissolvatur, nihilque in me proferre possis, postquam debitum exsolvero. tantum hi salute aliqua potiantur, ut defunctorum cadavera colligentes sepulturae tradant, ipsa tota urbe proiecta ipsumque aërem diro rei conspectu ad luctum trahentia." his nequissimus ille auditis, suasoque Symeone ut pacta illa scripto consignata iureiurando firma-

πάντας ἐκείνους τοὺς ἐξ ἡμῶν περιττεύσαντας ἄνδρας ἐπέτρεψεν.

64. Ἐπειδὴ δὲ τὰ περὶ τούτου καλῶς εἶχεν αὐτῷ καὶ ἐν ἀσφαλείᾳ ἦν τὸ πανούργευμα, ἕτερον πάλιν οὐκ ἔλαττον τούτου τῇ δολιότητι τῶν φρενῶν ἐπενόησε. πυρποληθῆναι γὰρ ἅπασαν τὴν πόλιν προσέταττεν, ἵν' ᾖ καὶ τοῦτο αὐτῷ οὐ τὸ τυχὸν παρεμπόρευμα· ᾔδει γὰρ ὡς οἱ τοὺς αἰχμαλώτους ὠνούμενοι οὐδὲ τοῦτο πράττειν αὐτὸν ἐξ ἀνάγκης ἀνάσχοιντο, αἱρούμενοι μᾶλλον αὐτοὺς ἐκείνους καταπρησθῆναι ἢ τοιοῦτόν τι κἂν ἀκοῇ παραδέξασθαι.
P 370 μήπω γὰρ τῶν βαρβάρων διὰ μέσου τῆς πόλεως τὴν φλόγα διασπειράντων, ἀλλ' ἔτι τὰς πλησιαζούσας τῇ θαλάσσῃ πυρπολούντων οἰκίας, μόνον ὅτι πρὸς τὸ καταβάλλειν τὰς ὑπὲρ τῆς πόλεως τιμὰς οἱ παρόντες πρὸς ἀλλήλους ἐκύρωσαν, καὶ πάλιν πρόσταγμα πανταχοῦ διεπέμπετο παύεσθαι τῆς οἰκείας συνεργίας τὸ πῦρ, ὡς εἰς χρηστὸν αὐτῷ πέρας καὶ ταύτης προελθούσης τῆς ἐπινοίας. οἱ γὰρ ἄνδρες ἐκεῖνοι σὺν τῷ ῥηθέντι Συμεὼν, μὴ ἔχοντες ἄλλοθέν ποθεν καταβάλλεσθαι τὴν περὶ τούτου ποσότητα, τὰ δύο ὑπέσχοντο τοῦ χρυσίου τάλαντα ἅπερ ἦν ὁ θανὼν ἐκ τῶν ῥοπάλων
B εὐνοῦχος πρὸς τὸν Στρυμόνα ἐξαποστείλας· ἃ καὶ θᾶττον ἀγαγόντες διά τινων ταχυδρόμων ὅθεν ἐκρύπτοντο, καὶ τοῖς βαρβάροις ἐναριθμήσαντες, οὕτως τὴν πόλιν τῆς πυρκαϊᾶς ἐσώσαντο.

65. Ἀλλ' ὅτε δὴ καὶ τοῦτο πέρας εἰλήφει, καὶ οὐκ ἐνέλιπεν οὐδὲν ὃ τοῖς ἀκορέστοις ἐκείνοις ὀφθαλμοῖς ὑπόθεσις χρυσίου

3 δὲ] καὶ AP   4 πανούργημα P   14 ἐνεργείας?

ret, omnes illos qui ex nobis iustum numerum excedebant dimitti mandavit.

64. Cum hoc quoque in rem suam rite peregisset ac sibi fraudem tuto statuisset, non minori aliam calliditate instruxit. iubet enim omnem civitatem incendi, ut hoc quoque non vulgari sibi lucro cederet. nec immerito: sciebat enim eos qui captivos redimebant id nunquam omnino permissuros; ita nimirum ut illi ipsi flammis incendi mallent, quam ut vel solo auditu eiusmodi aliquid acciperent. nondum enim per mediam civitatem illata barbaris flamma atque dispersa, sed cum adhuc aedes mari vicinas comburerent, mox qui aderant cives pro civitate pretium numerare immobili inter se consilio statuunt. hincque adeo rursus iussa ubique sparguntur, ignem ab aedibus submovendum esse, cum haec quoque machina illi prospere cessisset. qui enim cum laudato Symeone viri comitabantur, quod aliunde non suppetebat unde summam numerarent, duo auri talenta daturos spopondere, quae eunuchus fustibus mactatus Strymonem dimiserat; quibus etiam inde ubi recondita erant per veloces cursores cito advectis atque barbaris numeratis, per eum modum civitatem ab incendio illaesam servaverunt.

65. His quoque ad optatos fines perductis, cum nihil superaret quod viri insatiabilibus oculis auri extorquendi ratio non fuisset, nec

μὴ ἐγεγόνει, ἔδει δὲ μὴ ἐπὶ πολὺ καρτερεῖν τῷ τόπῳ, ἀλλὰ φροντίζειν καὶ τῶν κατὰ τὸν πλοῦν συμπτωμάτων μᾶλλον τῷ καιρῷ τούτῳ τοῖς πλωτῆρσιν ἐγγινομένων, τότε δὴ περὶ μεσημβρίαν ὄντος τοῦ ἡλίου τῇ δεκάτῃ τῆς ἁλώσεως ἡμέρᾳ τοῦ λιμένος ἐξωρμήσαμεν καὶ πρὸς τὴν ῥηθεῖσαν Ῥωμαίων πύλην μετήχθημεν, τὸ C *λοιπὸν ἐκεῖσε τελέσοντες τῆς ἡμέρας. ἦμεν οὖν ἡμεῖς οἱ πέντε, καθὼς ἐχειρώθημεν, εἴς τινα ναῦν τοῦ ἀρχηγοῦ τοῦ κατ' Αἴγυπτον στόλου, οὗ καὶ προσδεηθεὶς ἦν ὁ ἐμὸς πατὴρ διά τινος ἑρμηνέως (οὐδὲ γὰρ ᾔδει λαλεῖν καθ' ἡμᾶς) προστάξαι τοῖς ὑπ' αὐτὸν δορυφόροις ἀγαγεῖν ὅθεν ἂν ἦσαν διασπαρέντες οἱ κατὰ συγγένειαν ἡμῖν πλησιάζοντες. ὃ δὴ καὶ παρὰ μικρὸν ἐτελεῖτο ἄν, εἰ μὴ κἀν τούτῳ παρεμποδὼν γέγονε τὸ πλῆθος τῶν ἡμετέρων κακῶν, καὶ πρὸς τὴν ἔρευναν ἀποκνῆσαι τοὺς ἀπεσταλμένους πεποίηκε. τὴν γὰρ μητέρα τὴν ἐμὴν καὶ τῶν ἄλλων ἀδελφῶν ἕνα, τῶν μὴ κατ' ἀρχὰς μεθ' ἡμῶν ληφθέντων, ἔτι δὲ καὶ τὴν τοῦ* D *ἀδελφοῦ γαμετὴν τὸ τάχος, ὅθεν ὑπῆρχον, πρὸς ἡμᾶς ἠγάγοντο· τὴν ὁμόζυγα δὲ τὴν ἐμὴν σὺν τρισὶ νηπίοις καὶ τὴν ὑποβεβηκυῖαν κατὰ τὴν γέννησιν ἡμῶν ἀδελφὴν μετὰ καὶ ἄλλου πλήθους τῶν προσηκόντων οὔτε ἀνευρεῖν ἠθέλησαν, οὔτε δὲ ἀνευρόντες ἴσως ἀγαγεῖν πρὸς ἡμᾶς ἠβουλήθησαν, ἀλλ' ἦσαν ἄλλος ἀλλαχῇ τῷ κοινῷ πλήθει καὶ ταῖς νιφάσι τῆς ἐξ ἡμῶν βαλλόμενοι διαιρέσεως. ὅμως ἐκαρτεροῦμεν ὡς ἐν δεινοῖς καὶ τὴν ἐξ ἀλλήλων κατατομήν, εἰ καὶ ὅτι παντὸς ἀνιαροῦ πεῖραν τὰ καθ' ἡμᾶς ὑπερέβαλλεν.*

6 τελέσαντες AP   16 τ' ἀδελφοῦ A   19 οὐχ pro οὔτε ante ἀνευρεῖν P

diutius illic ei morandum foret, sed de navigationis potius eventibus, per id tempus navigantes appetere solitis, anxie cogitandum, tunc scilicet, cum sol medium circiter caeli axem teneret, decimo excidii die, e portu enavigantes atque ad Romanam portam devecti reliquum diei ibi peregimus. eramus nos quinque, quemadmodum capti fueramus, in quadam Aegyptiacae classis ductoris nave. quem et pater meus per unum interpretum, quippe cum lingua nostra loqui nesciret, rogaverat ut missis stipatoribus omnes nobis affinitate coniunctos atque propinquos, ubicunque dispersi essent, adduceret; quod et prope factum esset, nisi hic quoque malorum nostrorum multitudo obstitisset, eosque qui missi fuerant ad investigandum segniores reddidisset. nam matrem meam et ex aliis fratribus unum, qui initio nobiscum capti non fuerant, necnon et fratris uxorem, cito, unde erant, ad nos deduxerunt: meam vero uxorem cum tribus infantibus, et ultimo loco post nos omnes natam sororem cum affinium turba reliqua nec invenire voluerunt, nec forte inventos, ut adducerent, in animum induxerunt: sed erant alius alibi communi vulgo convoluti, nostraeque divisionis nimbis onerati. sustinebamus tamen, ut in malis iisque dire accepti, hoc quoque, quod eramus alii ab aliis dissecti, etsi res nostrae genus omne angoris molestiaeque excederent.

66. Ἤδη δὲ τοῦ πλοὸς ἄρχεσθαι μέλλουσι στρέβλας
P 371 τινὰς τοῖς ποσὶ πᾶσιν ἡμῖν ἐπιθέντες οἱ βάρβαροι, οὕτως καθ᾽
ἕνα ταῖς ναυσὶν ὥσπερ ἄψυχόν τινα διεστοίβασαν ὕλην, μὴ ἐν-
διδόντες κἂν ἐλεύθερον ἀναπνεῖν τὸν ἀέρα, ἀλλὰ καὶ τοῦτον τῇ
συνεχείᾳ τοῦ πνιγμοῦ συναπείργοντες. οὕτω γὰρ ἡμᾶς ἐν ἀλλή-
λοις ἐπισυνῆψαν ὡς ἓν ἀδιάσπαστον ὁρᾶσθαι σῶμα τὴν πληθὺν
ἅπασαν, μηδ᾽ ὅλως διισταμένην ἢ ἀπερρηγμένην τῆς συνεχοῦς
ἐκείνης πιλήσεως. ἀλλ᾽ ἐπειδὴ κατὰ δύσιν ὁ ἥλιος ἦν καὶ πρὸς
τὸν νυκτερινὸν γνόφον ἔληγε τὸ φῶς τῆς ἡμέρας, ἐπινίκιόν τι
μέλος τοῖς τε κυμβάλοις καὶ τυμπάνοις ἀποκρουσάμενοι, καὶ τὸν
B ὑπὲρ κεφαλὰς ἀέρα ταῖς διὰ τῶν ξιφῶν ῥιπίσεσι περιαστράψαντες,
οὕτως μετὰ βαθεῖαν ἑσπέραν ἄσημόν τινα καὶ τραχὺν ἀλαλαγμὸν
ἐπαφέντες καὶ τὰς ἀγκύρας τῶν νηῶν ἀνασπάσαντες τῆς γῆς ἀπε-
δίδρασκον. ἦν δὲ ἀκούειν ὅπως ἡσυχῇ μόνον τὸ πλῆθος κατεστε-
νάζομεν τῆς πατρίδος, καί πού τινα πρὸς τὸν θεὸν ἐν τῷ ἀφανεῖ
τῆς ψυχῆς ἕκαστος ἡμῶν ἠφίει φωνήν, ὅσοις ἂν αὐτὸς βούλοιτο,
παιδευτικοῖς πειρασμοῖς ὁμιλήσαντας καὶ πάλιν ἀποδοθῆναι τῇ
θρεψαμένῃ, καὶ μὴ εἰς τέλος ἐγκαταλειφθέντας ἀνέλπιστον ἔχειν
τὴν ἐκ τῶν λυπούντων ἀπαλλαγήν.

67. Ὡς δὲ τοῦ πλεῖν ἤδη πρὸς ὄρθρον οὔσης τῆς νυκτὸς
ἀπηρξάμεθα, εἶχε μὲν ἡμᾶς καὶ ἄλλων δυσχερῶν ἀνάγκη πολλῶν,
C τοῦ λιμοῦ, τῆς δίψης, τῆς συνεχείας ὁ ὑπωπιασμὸς (καὶ γὰρ
κατὰ μόνην τὴν ναῦν ἔνθα ἦμεν ἡμεῖς ὀκτακοσίων αἰχμαλώτων

1 δὲ om A 11 κεφαλῆς A 15 που om P

66. Dum vero iam navigationem parant, tortis quibusdam ac cuneis nostrum omnium pedibus impositis, sic unum post alium velut inanime quoddam pondus barbari navibus constipant, nec vel libero aëre respirare concedentes, sed hunc quoque continua suffocatione trudentes. sic enim alios aliis adstrinxerunt, ut omnis multitudo unum indivulsum corpus videremur, nulla prorsus separatione disiunctum aut a continua illa constipatione abruptum. quia vero solis iam occasu diei lux in noctis tenebras ac caliginem ibat, victoriae melos quoddam cum cymbalis atque tympanis pulsantes, aëremque capitibus affusum ensium circumductibus collustrantes, sic ad multam noctem incondito horrendoque ululatu producto atque ancoris navibus avulsis e terra profugerunt. audisses multitudinem partim tacite solum patriam gemitu deplorare, partim nostrum quemlibet in cordis occulto missa ad deum voce supplicare, ut quibus ipsi liberet, malis salubriter castigatos denuo patriae redderet, neque in finem deserens nulla spe liberationis in illis versari in perpetuum sineret.

67. Ut iam autem diluculo discussaque nocte navigare coepimus, tum alia nos quoque plura mala conficiebant, famis, sitis, ipsa compressio exque ea sugillatio (in una enim illa navi, in qua nos vehebamur,

ψυχῶν ἀριθμὸς ἦν, δίχα τῶν ἐν αὐτῇ βαρβάρων, διακοσίων καὶ αὐτῶν ὄντων), πρὸς τούτοις δὲ καὶ τῶν κομιδῇ νηπίων ἡ ἐλεεινὴ βοὴ μηδαμῶς δυναμένων φέρειν τῶν μοχθηρῶν τὴν ἐπίτασιν, ἀλλ᾽ οὐδὲν ἢ θάνατον αὐτοῖς ἐπισπεύδουσαν ἄωρον. πλείω δὲ πάντων ἡ κατὰ τὴν γαστέρα χρεία, ἧς οὐκ ἦν μηδεμίαν μέθοδον ἐφευρεῖν, τῆς φυσικῆς ἀνάγκης κατεπειγούσης πρὸς τὴν διέξοδον· τὴν γὰρ αἰδῶ τοῦ πράγματος πολλοὶ προτιμῶντες καὶ καρτερεῖν τὴν βίαν μὴ σθένοντες συχνῶς ἐκινδύνευσαν. πλὴν τῆς ἡμέρας ἀρχομένης τὸν ἀγκῶνα παραπλεύσαντες τοῦ ῥηθέντος Ἐκβόλου, D *ἀνήχθημεν περὶ δείλην βαθεῖαν εἴς τινα τόπον Βολβὸν καλούμενον, ἔνθα τινὲς ἱππεῖς ἐφάνησαν ἀπὸ τῆς γῆς ἐρχόμενοι πρὸς ἡμᾶς. οὗτοι δὲ ἦσαν οἱ καὶ πρῴην ἐν τῇ πόλει παραγενόμενοι, ῥητάς τινας γυναῖκας ὠνήσασθαι θέλοντες, ἃς τὸ τάχος οἱ βάρβαροι τῶν νηῶν ἐξενεγκόντες ἀπέδοντο, πολὺ χρυσίον ὑπὲρ αὐτῶν κομισάμενοι.*

Ἐκεῖθεν δὲ πάλιν ἀναχθέντες κατήραμεν περὶ τὰ τέλη τῆς νήσου τῆς καλουμένης Παλλήνης· καί τι μικρὸν ἐκεῖσε καθησυχήσαντες, τοῦ πνεύματος ἐπιτηδείου ὑπάρχοντος καὶ αὖθις πρὸς ἑσπέραν ἐσπάσθησαν τὰ ἱστία, ἃ καὶ διαπρησθέντα τῇ σφοδροτάτῃ ῥύμῃ τοῦ πνεύματος ἦγον ἡμᾶς φερομένους βιαίως, ἕως τῆς P 372 *ἐφεξῆς κατ᾽ ἀρχὰς ἡμέρας εὑρέθημεν εἴς τινα τόπον Διαδρόμους παρὰ τῶν ναυτιλλομένων ὀνομαζόμενον, δύο μὲν ἔχοντα νήσους*

4 *ἀλλ᾽ οὐδὲν ἢ*] *ἀλλὰ* A 5 *τὴν* om P 8 *ἐκινδύνευον* A
9 *προρηθέντος* A 14 *ὑπὲρ*] *ὑπ᾽* P 20 *ἕως ἐφεξῆς τῆς* AP
21 *τινας τόπων* A

ad octingenta captivorum capita censebantur, praeter barbaros, qui ipsi in ea ducenti erant), tum praeterea infantulorum voces atque clamores, nulla ratione vim tantam malorum ferre valentium, ac quibus aliud nihil quam mors immatura iis celerabatur. sed omnium maxime enecabat alvi resolutio, cui sane nullo remedio occurri poterat, naturali necessitate recrementa foras expellente. multi namque rei ipsa necessitate pudorem pluris facientes, nec vim tolerare valentes, haud raro in discrimen adducebantur. ceterum clara iam luce memorati Ecboli sinu praeternavigato, et in serum vesperum declinante iam die, Bolbum quem vocant pervenimus; quo loco nonnulli equites ad nos accesserunt (erant hi qui et antea in urbem venerant) certas quasdam matronas redempturi; quas barbari actutum navibus eductas, ingenti auri vi pro eis accepta, dediderunt.

Inde vero rursus educti Pallenes insulae extremis haesimus; dumque ibi paululum immoramur, secundo vento flante ad occidentem rursus vela impulsa sunt; quae validissimo venti impetu inflata violenter nos deferebant, donec sequentis diei initio locum a nautis Diadromus nuncupatum attigimus. is habet duas insulas, utrinque longo limite exten-

ἀμφιμήκεις ἐξ ἐναντίας ἀλλήλων, μέσον δὲ τούτων ποταμοῦ δίκην τὴν θάλασσαν παραθέουσαν καὶ τὰς νήσους ὡς ἀπὸ σταδίου καὶ μόνον ἐξ ἀλλήλων διείργουσαν. ἔνθα δὴ καὶ γενόμενοι νηός τινος δυστυχοῦς σίτου πεφορτισμένης περιετύχομεν, καὶ οὕτως ἀθρόον ὡς μηδὲ δυνηθῆναι τῷ αἰφνιδίῳ τῆς συμβάσεως τοὺς ἐν αὐτῇ σωτηρίας ἐχόμενόν τι προσεξευρεῖν. εἰ γὰρ καὶ ἔδοξαν πρὸς τὴν παρακειμένην νῆσον τὴν ναῦν ἐποκεῖλαι καὶ πρὸς φυγὴν ἐκτραπῆ-
B ναι, ἀλλ᾽ οὐδὲν ἐκ τούτου ἀπώναντο· θᾶττον γὰρ αὐτοὺς ἐξελθόντες οἱ βάρβαροι συνελέξαντο, καὶ χωρὶς ἑνὸς μόνου πάντας πρὸς θάνατον ὑπηγάγοντο.

Ἐκεῖθεν δὲ πάλιν ἀπάραντες ἐπὶ δυσὶ νυχθημέροις τὴν μεγάλην νῆσον παρεπλέομεν τῆς Εὐβοίας, καὶ κατὰ τοῦ βορειοτέρου ταύτης πελάγους ἰθύναντες τὰ ἱστία, τὰ παρὰ πόδας τῆς Ἄνδρου μετά τινος σφοδροτάτου ῥοιζήματος κατελάβομεν. οὐ γὰρ ἐποιούμεθα κατ᾽ εὐθεῖαν τὸν πλοῦν, οὐδὲ κατά τινος ὡρισμένου τόπου, ἀλλ᾽ ὡς ἂν ἔδοξε τοῖς τῶν νηῶν ἀρχηγοῖς, τῇδε κἀκεῖσε τὰς μεταβάσεις καὶ ἀντιστροφὰς ἐποιούμεθα. καὶ γὰρ ἐδεδίεσαν μή που τύχοι παρὼν ὁ τῶν Ῥωμαίων στόλος, καὶ λάθοι κατ᾽ αὐτῶν ἐπί-
C νοιάν τινα μοχθηρὰν ἐργασάμενος. διὰ τοῦτο ἄλλοτε ἄλλας νήσους καθάπερ τινὲς πλανῆται περιηρχόμεθα.

68. Οὕτω δὲ φερόμενοι κατηντήσαμεν εἴς τινα νῆσον Πάτμον καλούμενον· ἔνθα δὴ καὶ προσεμείναμεν ἓξ ἡμέρας, παντὸς χαλεποῦ πεῖραν ἐν αὐτῇ καθυπομένοντες. ἀνύδρου γὰρ

6 προεξευρεῖν A 13 Ἄντρου AP 17 ἐδεδίησαν AP

sas, sibi adversas; inter quas veluti fluvius mare praeterfluens insulas unius duntaxat stadii spatio dividit. ubi huc venissemus, infortunatam in navem incidimus, frumento onustam, sicque repente ut ex subitaneo eventu, qui in ea vehebantur, nautae nihil moliri potuerint, quo suae consultum saluti esset. quanquam enim videbantur ad insulam adiacentem navem detrusisse ac fugam capessivisse, nihil inde tamen commodi retulere: quam ocissime enim egressi barbari comprehensos omnes, uno duntaxat excepto, contrucidant.

Hinc denuo navigantes duos dies ac noctes Euboeae magnae insulae oram legebamus; versusque mare magis boreale directis velis prope Andrum, non sine immani ventorum sibilo, pervenimus. neque enim recta navigabamus neque certa ad loca, sed hac atque illac, pro eo ac navarchis videbatur, aliud alio obversimque iter mutabamus. timebant enim ne quo loco Romana classis consisteret, adversumque incautos sinistrum aliquid molita damnum inferret. propterea que ad alias atque alias insulas perinde atque errones circumferebamur.

68. Dum hoc pacto vagamur, in Patmum insulam deflexinus; in qua sex dies malorum omnium experimentis divexati mansimus. cum

ὄντος τοῦ τόπου ἐληΐζετο τοὺς αἰχμαλώτους ἡ δίψα. οὐ γὰρ ἐδίδοτο ἡμῖν ὕδωρ ὅσον πρὸς σύστασιν τῆς ζωῆς ἐπήρκει, ἀλλ' ὅσον ἐμβραδύνειν ἐποίει καίπερ παρόντα τὸν θάνατον· οὗπερ ὁ μετέχων, εἰ μὴ τὴν ὄσφρησιν κατὰ τὴν γεῦσιν ἐπεῖχεν ὡς μὴ κατ' ἀρχὰς τῆς αὐτοῦ δυσωδίας ἐπαισθανθῆναι, οὐδ' ὅλως τούτου παρεχωρεῖτο μεταλαβεῖν, τῆς φύσεως ἀνιωμένης καὶ εἰ μόνον ἀπιδεῖν ἠβουλήθη τοῦτο, καὶ πρὸ τῆς πείρας τῆς καταπόσεως. ἡ D
τροφὴ δὲ ἡμῶν ἄρτου τρύφος ἦν μόνον, καὶ τοῦτο διεφθορός, κατάλυσιν ἐργαζόμενον. ἃ γὰρ ἔτυχον λαβόντες οἴκοθεν πρὸ πολλῶν ἡμερῶν πρὸς χρείαν ἑαυτῶν οἱ πολέμιοι, ταῦτα περιττεύσαντα καὶ πρὸς τελείαν σηπεδόνα χωρήσαντα, καὶ οἷς οὐκ ἄν τι τῶν ἀλόγων ἐδυνήθη κἂν ἀπιδεῖν, εἰς μετάληψιν ἡμῖν προσεφέροντο, ἀφάτου μὲν δυσωδίας καὶ ἀηδίας πλήρη, μεστὴν δὲ σκωλήκων καὶ πολλῇ σαπρίᾳ συμπεφυρμένην, πρός τε τὴν ἕξιν τοῦ σώματος παντελῶς ἀνενέργητον. καὶ γὰρ ἦν εἰκάσαι πλῆθος ἄπειρον ἐκ τούτων ἐφ' ἑκάστης τῆς ἡμέρας τῷ θανάτῳ συνελαυνόμενον, πάρεργον τῆς δίψης καὶ τοῦ λιμοῦ, τά τε σώματα τῶν P 373
θνησκόντων ἀκοντιζόμενα τῆς νηὸς ἐπὶ θάλασσαν, καὶ μέχρι πολλοῦ τοῖς κύμασιν ἐπισπαίροντα, καὶ τούτων μάλιστα τὰ δείλαια βρέφη τῷ ἀτελεῖ τῆς φύσεως πλείω τῶν ἄλλων τῶν ἀλγεινῶν ἐμφορούμενα, τοὺς ζῶντας δὲ πάλιν οὐ πόρρω τῶν προκειμένων ὑπάρχοντας, ἀλλὰ πρὸς τὸ ὅμοιον βλέποντας πέρας. ἐξ ὧν ἁπάντων μᾶλλον ἡμεῖς, ὅσοι ταῖς στρέβλαις ἦμεν πεπεδημένοι, πλείοσι

15 τῶν σωμάτων A 19 ἐπισπαίροντα Comb.: ἐπισπείροντα AP

enim locus esset inaquosus, sitis captivos vastabat. non enim tantum aquae nobis praebebatur quantum sat esset ad vitam sustentandam, sed quantum ad mortem, ipsam iam ingruentem, tantisper remorandam; quam bibens, nisi in ipsa gustatione compressis naribus, ne a principio graveolentiam persentisceret, nullo modo haurire poterat, cum ante etiam potionem unus ipse aspectus naturam offenderet ac molestius haberet. porro cibus panis duntaxat crustum erat, idque putridum, vitam evertens ac internecinum. quae enim hostes in proprios usus domo exportarant, cum iis superflua essent omninoque carie vitiata, ut nec ulla brutarum animantium saltem oculos posset advertere, haec nobis in cibum apponebantur, quanta nec dici possit, graveolentiae ac insuavitatis plena, ipsa vermibus scatentia multoque mucore conspersa et ad corpus sustinendum nullas plane vires habentia. inde enim coniectura erat infinitam fere multitudinem quotidie in mortem cogi per sitis famisque iniuriam, morientiumque corpora e navi in mare iactari, atque in multum tempus inter undas subsultantia ferri. praeque reliquis infantum miserabile genus, necdum eis constante natura, pluribus incommodis malisque afficiebantur. vivi rursus haud multum a demortuis distabant, atque parem interitum res illorum spectabant. inter quos omnes nos,

βασάνοις προσεπαλαίομεν. καὶ γὰρ θυλάκων ἀψύχων δίκην ταῖς
B σελλίων ἀλλήλοις ἐπικαθήμενοι, καὶ τοῖς ξύλοις, οἷς ἐνηρτήμεθα, τιτρωσκόμενοί τε καὶ συνθλιβόμενοι, ἀνεκδιήγητόν τινα καὶ ἄρρητον ὑφιστάμεθα τὴν ἀνάγκην, οὐδ' ὁπωσοῦν συστραφῆναι ἢ τινος ἑαυτοῖς μεταδοῦναι σχολῆς συγχωρούμενοι, ἀλλ' ἢ μόνον τὰς κεφαλὰς ὑψοῦντες μικρόν, εἴ που κἂν ἐλεύθερον ἀέρα ταῖς ῥισὶν ἐφελκύσωμεν καὶ μὴ πρὸς παντὸς ἄλλου δεινοῦ τῇ τῶν παρόντων ἀναθυμιάσει τὴν πνοὴν ἐπαφήσοιμεν. (69) τὸ δὲ τῶν φθειρῶν πλῆθος ἕτερον ἦν κακὸν ἄφατον· καθάπερ γάρ τις θάνατος ἕρπων, τὴν ἁπάντων ζωὴν κατεβόσκοντο, ὡς ἐκ τούτου
C τὰς μορφὰς πάντων ἀλλοιωθῆναι, καὶ ἐν ὑποψίᾳ ζώντων, οὐκ ἀληθείᾳ λογίζεσθαι. ὅσας δὲ πληγὰς ἠφίεσαν μανικῶς φερόμενοι καθ' ἡμῶν, ἢ ὅσαις λοιδορίαις καὶ ὀνείδεσι καθ' ἑκάστην ἡμᾶς ἔπλυνον ὥραν, καὶ οἷς ἐφαίνοντο τὴν μῆνιν φυλάττοντες τῶν ἡμερῶν τοῦ πολέμου, ποῖος μὲν λόγος καθιστορῆσαι δυνήσεται, ποία δὲ ἀκοὴ τὴν τούτου παραδέξασθαι τραγῳδίαν; ἐμοὶ δὲ ἔκστασις ἐπεισέρχεται, ὁσάκις εἰς ἔννοιαν ἔλθω μόνον τῶν ἀμετρήτων κακῶν ἐκείνων ὧν κατὰ πᾶσαν τὴν περίοδον τοῦ πλοὸς ὑπεμείναμεν, πῶς ἐκαρτερήσαμεν ἐνέγκαι τοσαύτην πολυειδῆ συμφο-
D ρὰν ἀνθρώπεια σώματα, οἷς ἦν πρὸ τοῦδε τρυφηλὴ καὶ διαρρέουσα δίαιτα καὶ πειρατικαῖς ἀνάγκαις οὐδαμῶς ἐνεθισθεῖσα, πῶς δὲ τὴν ἀνύποιστον καὶ δισσὴν πύρωσιν, τήν τε ἐκ τοῦ

1 ταῖς] ἐπὶ?

qui tortis colligabamur, acrior cruciatus urebat. folliculorum enim inanimatorum instar unus iuxta alium sedentes, cuneisque, quibus appensi eramus, convulnerati atque compressi, quas nemo verbis eloquatur ac referat angustias sustinebamus, quibus ne minimum quidem contorqueri aut solatii aliquid captare licebat, nisi duntaxat paululum sustollere capita, si quando liberi aliquid aëris naribus attrahere liberet, ne omnium aliorum malorum cumulo, praesentium rerum immanem foetorem halitu hauriremus. (69) pediculorum etiam ingens vis, malorum genus aliud improbissimum: haud secus enim ac mors repens omnium vitam depascebantur. hinc omnium ora immutata, sicque affecta ut opinione vivere, non re ipsa videremur. quot vero plagas insaniter in nos ferocientes intulerint, aut quibus probris ac iniuriis per horas singulas momentaque onerarent, quibus potissimum a pugnae congressione iram servare videbantur, quae oratio enarrare sufficiat? quis vero auditus rei huius tragoediam possit excipere? ego sane mente moveor, quotiescunque vel solum in memoriam venit innumerabilium illorum malorum quibus per totam illam navigationis periodum fuimus obnoxii, quomodo multiformem adeo aerumnam noxamque humana corpora sustinere potuerint, anteacto tempore luxu ac deliciis diffluentia, nec molestiis, quae per praedones inferri solent, usquam assueta? quomodo intolerabilem et duplicem

φλογμοῦ τῆς δίψης καὶ τὴν ἐκ τῆς θερινῆς ὥρας τὰς φυσικὰς ἰκμάδας ἀναξηραίνουσαν, καὶ τό γε τούτων ἐλεεινότερον, πῶς συνεκρατεῖτο καὶ παρέμενεν ἐν ἡμῖν ἡ ψυχή, ὁπότε ταῖς νυξὶν ἐφήπλουν τὰς δερματίνας δέρρεις διὰ πασῶν τῶν νηῶν καὶ πάντας εἴσω τοὺς δυστυχεῖς ἡμᾶς ἐναπέκλειον, ὥσπερ καὶ τοῦ φωτὸς ἡμῖν μετὰ τῶν ἄλλων βασκαίνοντες, ἵνα σκότῳ καὶ καύματι, δυσὶν ἀφύκτοις κακοῖς, τὴν ζωὴν εἰσπραττώμεθα. ἀλλ' ἡγοῦμαι ὡς ταῦτα πάντα καρτερεῖν ἡ θεία καὶ προνοητικὴ τοῦ παντὸς ὑπὲρ πᾶσαν ἀνθρωπίνην διάνοιαν ἐνεδυνάμου πρόνοια, ἵν' ἐν ὑστέρῳ P 374 γνόντες ἐξ οἵων τότε κακῶν παρ' ἐλπίδας ἐρρύσθημεν, ἡμᾶς τε αὐτοὺς καὶ ἄλλους τῷ ὑποδείγματι σωφρονίζωμεν.

70. Ἐπειδὴ δ' ὁ καιρὸς ἐκάλει τῆς πρὸς τὰ οἰκεῖα τοῖς βαρβάροις ἀφίξεως, πάλιν ἐκεῖθεν ἀποπλεύσαντες κατήχθημεν εἴς τινα νῆσον καλουμένην Ναξίαν, ἐξ ἧς οἱ τὴν Κρήτην οἰκοῦντες φόρους λαμβάνουσιν· ἐν ᾗ γενομένων ἡμῶν οἱ κατ' αὐτὴν ὄντες ἄνδρες δώροις τοὺς ἀρχηγοὺς ἠμείψαντο τῶν νηῶν, οἷς μάλιστα ἐδόκουν αὐτοὺς ἐνδεῶς ἔχειν πρὸς τὴν τοῦ πλοὸς χρείαν. πλὴν κἀκεῖ δύο μόνας ἡμέρας προσμείναντες κατηγόμεθα τὴν ἐπὶ B Κρήτην (ἐκάλει γὰρ ἡμᾶς ἐπιτήδειον πνεῦμα), ἕως κατήραμεν ἔν τινι τόπῳ Ζωντάριον μὲν παρὰ τῶν ἐγχωρίων ὀνομαζομένῳ, ἀντιστρόφῳ δὲ ἡμῖν τῇ ἀληθείᾳ γνωριζομένῳ· πολλοὺς γὰρ τὸ Ζωντάριον ἐκεῖνο τῆς μὲν ζωῆς ἀπεστέρησε, τῷ θανάτῳ δὲ πρού-

3 ἐν om A 9 ἀνεδυνάμου P 10 γε AP 12 τοὺς βαρβάρους A 20 Ζωνταρίων A ὀνομασμένῳ P

ustionem, tum scilicet incendii sitis, tum aestivae tempestatis naturalem humorem exsiccantis? quodque his miserabilius est, qua ratione detinebatur et in nobis perseverabat anima, cum extensis noctu per omnes naves pellibus nos omnes miseros iis includerent, ut lucis quoque, ut et reliqua, usuram nobis inviderent; quo scilicet tenebris aestuque, duplici malo inevitabili, vitae a nobis debitum exigeretur. verum existimo divinam, et quae rerum huius universitatis curam gerat, providentiam ad haec omnia toleranda vires nobis roburque supra humanam omnem aestimationem contulisse, ut in posterum intelligentes ex quibus tunc malis praeter omnem spem liberati fuerimus, tum nos ipsos tum reliquos exemplo ad frugem corrigeremus.

70. Verumtamen cum iam tempus instaret ut se barbari in patriam reciperent, inde rursus solventes in quandam insulam devecti sumus, Naxum nomine, Cretensibus tributariam. in eam cum appulissemus, insulani muneribus et donis, iis maxime quibus in usum navigationis indigere sciebant, navarchos accipiebant. ibi duos dies immorati versus Cretam cursum intendimus: invitabat enim secundissimus ventus, donec ad locum sic incolis dictum Zontarium (ac si Vivarium dicas) venimus, sed contraria nobis veritate agnitum. sic enim a vita dictus locus mul-

δωκε. διὰ γὰρ τὸ μὴ τὴν ἀπὸ τοῦ νότου καὶ τοῦ λιβὸς δεδιέναι βλάβην τοὺς ἐν αὐτῷ καθορμιζομένους, τὴν πρὸς αὐτὸν διατριβὴν τοῦ ναυστάθμου τῆς πόλεως οἱ βάρβαροι προκεκρίκασιν. ὡς οὖν κατήχθημεν, ἔγνων οἱ Κρῆτες (προεώρων γὰρ ἡμᾶς τῆς C θαλάσσης μακρόθεν), καὶ πρῶτον τῶν Ῥωμαίων τὸν στόλον ἐφώρασαν ἐπέρχεσθαι τῇ νήσῳ, ἐξ οὗ καὶ περιδεεῖς ἐγένοντο διὰ τὸ μὴ προπαρεσκευάσθαι πρὸς πόλεμον. ἔπειτα γενομένων ἡμῶν ἐγγύθεν, ἐπειδὴ ἐπέγνων τινὰ γνωρίσματα τῶν νηῶν, πεφθάκασι τὸν τόπον μετὰ πολλῆς θυμηδίας τοὺς ἀμφ' αὐτοὺς δεξιούμενοι, καὶ ὥσπερ τῇ κοινωνίᾳ τῶν τρόπων τὸ γνήσιον τῆς πρὸς ἀλλήλους στοργῆς ἐνδεικνύμενοι· ἀεὶ γάρ, ὡς λόγος, τὸ ὅμοιον τῷ ὁμοίῳ προστρέχει. τότε δὴ πρῶτον ἅπαντες τῶν νηῶν ἐξῆλθον οἱ βάρβαροι, καί τινος ἡμᾶς τυχεῖν ἀνέσεως τῆς ἐν ἀλλήλοις στενοχωρίας ἠξίωσαν, μετέδωκαν δὲ καὶ τῶν κατὰ τὸν τόπον ὑδάτων πολλῶν ὄντων καὶ ἀφθόνως τοῖς κύμασι τῆς θαλάσσης ἐπιρρεόντων. D καὶ οὕτω τὴν νύκτα πᾶσαν τῶν συνεχῶν ἀνεθέντες πόνων ἐδοκοῦμεν τῇ ἑξῆς χρηστοτέρων τινῶν μετασχεῖν, ἅτε πεπληθυσμένης οὔσης τῆς νήσου καὶ πολλὴν ἐχούσης τῶν χρειῶν δαψίλειαν. οὐκ ᾔδειμεν δὲ παραπλησίοις ἐν αὐτῇ τῶν πρῴην ὁμιλεῖν χαλεποῖς, ἢ καὶ χείροσι, καὶ διὰ ταῦτά γε μᾶλλον ἐκεῖνα πάσχειν, ὡς ἂν δι' ἐκείνων τούτοις συντηρηθῶμεν.

71. Ἤδη γὰρ τῆς νυκτερινῆς σκιᾶς σκεδασθείσης, τοῦ δὲ

1 τοῦ ante νότου om AP 5 τὸν Ῥωμαῖον A 13 ἡμῖν P 15 περιρρεόντων A 17 πεπλησμένης P 21 δι' ἐκεῖνα P

tos nostrum vita exemptos morti tradidit. dum enim ad eum applicantes a noto et africo sibi noxam non timent, in eo quam in urbis navali in ancoris stare barbari maluere. quo cum venissent, cognoverunt Cretenses: a mari enim procul nos prospiciebant, atque Romanorum classem invadere insulam deprehendisse se putabant. quo et metu conterriti sunt, quod ad bellum imparati erant. postmodum nobis appropinquantibus, signis navium agnitis, cum magno gaudio suos accipientes, ac velut morum commercio genuinae inter se amicitiae usum commonstrantes, ad locum accesserunt: semper enim, ut proverbio fertur, simile ad sibi simile accurrit. tunc itaque primum barbari omnes, exscensu ex navibus in littus effusi, nos quoque a mutua illa compressione paululum relaxari siverunt. suppeditata quoque aquarum copia, quae multae ibidem irriguae in maris se undas affluenter exonerant. et sic tota ea nocte a continuis refecti laboribus, existimabamus sequenti luce mitiorum nos tantisper potituros, quod dives insula rebusque ad vitae usum necessariis confertissima esset. verum nesciebamus prioribus aeque malis, seu etiam acerbioribus, divexandos, proptereaque illis accipi ut per ea atrocioribus istis conservaremur.

71. Iam enim dissipatis noctis tenebris, ac cum lucis fulgoribus

φωτὸς ἀρχομένου τὸν ὄρθρον ἐπανατέλλειν, κυριακῆς ἡμερῶν
ἐπιφωσκούσης, ἀλαλαγμὸς ἐφ' ἑκάστης νηὸς ἠκούετο, ὥσπερ τινὰ
θυμήρη φωνὴν τῶν βαρβάρων συνεπηχούντων καὶ τοῖς κυμβάλοις
κτυπούντων, ὡς πάντα δοκεῖν δονεῖσθαι τὸν τόπον καὶ πρὸς τὴν P 375
κραυγὴν ἐκταράττεσθαι. εἶτα μετὰ τὴν ἄσημον ἐκείνην καὶ φο-
βερωτάτην ἠχὴν ἐπεχείρουν πρὸς τὴν γῆν ἀποφορτίζειν τὸν γόμον,
διελόντες εἰς μερίδας κατὰ τὸν ἀριθμὸν τῶν νηῶν τὸν παρακείμε-
νον τόπον, ὅπου μιᾶς ἑκάστης φόρτον, ὅστις ποτὲ ἦν, διῃρημέ-
νως καὶ ἀποκεκριμένως ἀλλήλων ἐξεκομίζοντο, ὡς ἂν ἀμιγῆ τη-
ρεῖσθαι τὴν ἑκάστης περιουσίαν καὶ τῶν προσόντων ταῖς ἄλλαις
παντελῶς ἀνεπίμικτον. πᾶσαν οὖν ἐκείνην ἀνάλωσαν εἰς τὴν ἀπο-
σκευὴν τὴν ἡμέραν. τῇ δὲ ἑξῆς ἐξῆλθον τῆς θαλάσσης οἱ τῶν
νηῶν ἀρχηγοὶ διελεῖν πάλιν εἰς ἄλλας μερίδας τό τε πλῆθος τῶν B
αἰχμαλώτων καὶ τὴν πολλὴν τῶν σκύλων ὕλην, ἧς ἐξίσταντο τὴν
πληθὺν οἱ Κρῆτες, οὐδενὶ παραδείγματι συγκρίνειν ἔχοντες τὰ
βλεπόμενα. ἐπειδὴ δὲ τοῦτο πρῶτον ἔδοξε τοῖς βαρβάροις, ἀνα-
μιχθῆναι τῶν δυστυχῶν τὸν δῆμον, ὅπως τὸν ἀναγνωρισμὸν καὶ
αὖθις οἱ συγγενείας τινὸς μετέχοντες ἐν ἀλλήλοις ποιήσονται, τότε
δὴ φοβερός τις ἠκούετο καὶ ταραχώδης θρῆνος πάντων ὡς ἀπὸ
μιᾶς πηγῆς ἀφιέντων τοὺς κρουνοὺς τῶν δακρύων, καὶ θρυλου-
μένων, εἴ πού τινος εὐτυχήσοιεν τῶν φιλτάτων, καὶ μὴ λάθῃ
παρελθοῦσα ἡ προθεσμία τῆς ἀνευρέσεως καὶ μείωσιν ἐπ' οὐδενὶ C

17 οὕτως A 21 εὐτυχήσειεν P 22 μένωσιν P

exortum mane splendesceret, dominica scilicet illucescente, ululatus in quavis navi audiri, barbaris velut gratam quandam ac laetam vocem pari conspiratione edentibus cymbalisque perstrepentibus, ut locus ille totus concuti et clamoris fragore turbari videretur. tum post inconditum terribilissimumque sonitum navium onus atque vecturam in terram eiicere coeperunt, cum subiectum locum pro numero navium certis spatiis divisissent, quo navis cuiusque onus, quale tandem illud esset, distincte ac seorsum ab aliis inferrent, ut uniuscuiusque opes ac substantia nihil prorsus aliis commixta extarent. totum igitur diem illum exonerandis navibus insumpserunt. sequenti vero navarchi, ipsi quoque egressi, aliis rursus partibus tum captivorum multitudinem divisere tum spoliorum copiosam amplamque messem, cuius admiratione obstupentes Cretenses, cui exemplo comparent quae ob oculos posita erant, nullum habebant. quia vero id primum barbaris constitutum erat, ut infortunato illo populo commixto, qui ullo affinitatis iure sanguinisque necessitudine devincti essent, alii alios denuo agnoscerent, tunc utique horribilis turbatusque audiri eiulatus, omnibus velut uno ex fonte lacrimarum rivos large fundentibus, identidemque susurrantibus, num quo loco ullius carissimorum compotes forent, nec illis temere constitutum tempus inquirendi suos elaberetur, incertique manerent qua se spe recreandos

βεβαίῳ τὴν περὶ αὐτοὺς ψυχαγωγίαν ἐλπίσαντες. περιήρχοντο
οὖν αἱ δυστυχεῖς γυναῖκες, τὰς κόμας ἔχουσαι λελυμένας, πανταχοῦ περισκοποῦσαι καὶ διαβρόχους τοὺς ὀφθαλμοὺς περιάγουσαι,
τίνι τῶν τέκνων πρῶτον ἐντύχωσιν. οἱ δὲ δὴ παῖδες, ὅσοι τὰ
δεινὰ τῆς θαλάσσης διέφυγον, καθάπερ τινὲς ἁπαλοὶ μόσχοι γοερὸν
μυκῶνται τῆς θηλῆς ἀφαιρούμενοι, οὕτω δὴ καὶ οὗτοι ἐλεεινόν τι
καὶ συμπαθὲς ἐκλαυθμύριζον, ἄλλος κατ' ἄλλο μέρος τῆς διασπορᾶς ἐκείνης γενόμενοι καὶ τὰς μητέρας ἀνακαλούμενοι· οἷς
D καὶ περιτυγχάνουσαι πολλάκις αἱ δείλαιαι μητέρες τὴν φυσικὴν
ἐκένουν ἐπ' αὐτοῖς συμπάθειαν, περιπλεκόμεναι τοῖς αὐχέσι καὶ
πάντα αὐτῶν καταφιλοῦσαι τὰ μέλη καὶ δάκρυσι πλύνουσαι, τοῦτο
μόνον ἡγούμεναι μέγα τι καὶ θαυμαστὸν ὡς ἐν δεινοῖς παρηγόρημα τὸ παρ' ἐλπίδα σωθῆναι καὶ ζῶντας αὐταῖς καὶ αὖθις τοὺς
φιλτάτους ἀποδοθῆναι. ἀλλὰ ταῦτα μὲν ἐπὶ ταῖς ἐχούσαις ἐν
χερσὶν ἤδη τοὺς παῖδας καὶ τὸ κατ' αὐτοὺς ἀσφαλὲς ἐκ τῆς πείρας αὐτῆς γνωριζούσαις· τί δ' ἂν εἴποιμι περὶ τῶν ἄλλων, ὧν
καθ' ὑδάτων τὰ βρέφη διόλωλε καὶ ἄδηλον ἦν αὐταῖς τὸ συμβάν,
πῶς διεσπάραττον τοὺς χιτῶνας, τὸν ἔνδον τῆς καρδίας μὴ ὑπο-
P 376 μένουσαι κλύδωνα; πῶς οὐκ ἤθελον μηδαμοῦ στῆναι, ἀλλὰ περιήγοντο φερόμεναι μάτην ὑπὸ τῆς ἀλόγου τοῦ πάθους ὁρμῆς,
τῇδε κἀκεῖσε τὰ ὄμματα περιστρέφουσαι, εἴ πού τινα τῶν ποθουμένων θεάσοιντο ἤ τινος περὶ αὐτῶν ἀκριβῶς ἰδόντος ἀκούσοιντο,

2 γοῦν A   αἱ om P   5 γοερῶς P   10 ἐκίνουν A et interpretes   16 εἴποιμεν A

illis amplexandis fruendisque per eam indulgentiam existimassent. circuibant miserae mulieres, capillis dissolutis, quaquaversum circumspicientes, et irriguos lacrimis oculos circumferentes, si quem primum filiorum offenderent: filii vero, velut tenelli vituli subducto iis lacte ac uberibus flebilem edunt gemitum, sic et illi miserabile quidpiam ac miserandi pronum affectu vagiebant ac eiulabant, alius alia in parte dispersionis illius palantes ac matres appellantes; in quos et deploratae illae haud raro incidentes, naturali in eos miseratione commotis visceribus, cervices amplecti, omnia illorum membra exosculari, rigare lacrimis, ingens illud solatium unumque admirandum malorum illa immanitate existimantes, praeter spem servata adhucque vita sospite carissima eis pignora reddita esse. et haec quidem de illis quae iam filios in manibus habebant resque illorum in tuto esse experimento didicerant. quid vero de aliis dicam, quorum infantuli in aquis perierant, et eorum exitus latebat? quomodo tunicas discerpebant, cum intimum cordis turbinem non sustinerent? quomodo nullo loco subsistere ferebant, sed frustra hac illacque vesani affectus impetu circumagebantur, in omnem partem oculos distorquentes, sicubi desideratissimorum aliquem videre liceret, aut ex aliquo qui certo sciret vidissetque audire, ut eo solatio animi

ἵν᾽ ἐκείνῳ τὸ τῆς ψυχῆς φλεγμαῖνον κενώσειε; καὶ ταῦτα μὲν ἔπραττον ἐπὶ δυσὶ πολλάκις ἢ καὶ τρισὶν ἡμέραις, ἕως πολλὰ καμούσαις ἄλλοι τινὲς τῶν γνωρίμων τὸ περὶ τῶν ζητουμένων ἐδήλωσαν πέρας, λιμοῦ πολλάκις ἢ δίψης ἔργον τοὺς φιλτάτους αὐτῶν γεγενημένους· ἐξ οὗ δὴ καὶ μᾶλλον τὸ πάθος ἐξαγριαίνουσαι, B γεγωνοτέροις θρήνοις καὶ ἄλλοις θλιβερῶν εἴδεσι τοὺς ἀποιχομένους ἐφιλοφρόνουν. ἀλλὰ τί μάτην τὴν ἐπὶ τούτοις ἐπιχειρῶ συγγραφήν, οὐδὲ τὸ πολλοστὸν μέρος τῶν τότε πεπραγμένων ἱκανὸν παραστήσασθαι; ἐκεῖνον γὰρ αὐτὸν ἔδει παρεῖναι τὸν τοὺς θρήνους τῆς Ἱερουσαλὴμ ἀναγραφόμενον Ἱερεμίαν, ἵν᾽ ἐπαφῇ δάκρυον ἀπαρηγόρητον ἐπὶ τοσοῦτον λαὸν τοσαύταις ἀλγηδόσι κατατρυχόμενον. οὐ γὰρ οὕτω φωνὴν ἀφῆκε Ῥαχὴλ ἐν Ῥαμᾷ, ὅτε τὴν στέρησιν τῶν τέκνων ἀπωλοφύρετο, καθώς φησιν ἡ γραφή, ὡς ἡ κοιλὰς ἐκείνη καθ᾽ ἣν ἐτελεῖτο ταῦτα, τὰς ἀλγηδόνας τῶν C ἁλόντων συνεπιτείνουσα.

72. Οἷον γὰρ πάλιν ἀπὸ τούτων παρὰ τῶν μισοθέων ἐπράχθη κακόν! καθὸ γὰρ φθάσαντες ἔφημεν, λογισαμένων αὐτῶν πρῶτον ὡς εἰ κατὰ συγγένειαν πρὸς ἀλλήλους οἱ τοῦ πλήθους ἀναμιχθῶσι τῶν αἰχμαλώτων, καὶ τῶν πολλῶν ὀδυνῶν παύσονται, καὶ πρὸς τὴν δουλείαν ἡνίκα ἂν ἐκδοθῶσι, φορητὴν αὐτοῖς εἶναι ὡς ἐν κακοῖς τὴν ἐπήρειαν, ὡς εἶδον αὐτοὺς ταῖς ἀγχιστείαις ἐπισυναλλαττομένους καὶ καθάπερ σειρὰν ἄλυτον ἕτερον ἐχόμενον τοῦ

1 κενώσειαν? 8 ἱκανὸς ὤν? 9 αὐτὸν om P

aestum leniret? et haec ut plurimum per duos aut tres dies agebant, donec multo defessis labore, alii quidam ex notis, quo evasissent qui quaerebantur, certiores reddebant, fame scilicet aut siti dulcissima capita plerumque enecta esse. quare etiam illae maiori dolore exasperatae clamosioribus lamentis aliisque discrutiationum generibus defunctos accipiebant. quid enimvero his scripto enarrandis frustra laboro, qui nec minimam illorum partem quae tunc gesta sunt repraesentare sufficiam? etenim adesse par esset, qui Hierosolyma deplangendo Threnos conscripsit, sacratissimum Ieremiam, quo scilicet, in tanto populo tantis doloribus malisque oppresso, inconsolabiles lacrimas funderet. neque enim Rachel sic vocem in Rhama emisit, cum sublatos filios deploraret, ut divinae tradunt literae (Ier. 3 21), quemadmodum vallis illa, in qua haec agitabantur, captivorum dolores malaque auctavit.

72. Quale vero tunc rursus ab impiis deique osoribus patratum est malum? ut enim iam diximus, cum illis primum in mentem venisset, si modo captivi, qua necessitudine alii alios contingerent affinesque essent, confusi miscerentur, fore ut multa dolorum parte levarentur ac servitutem, postquam addicti essent, ut in malorum procella, quovis modo tolerabilem ducerent, ut illos penes familias necessitudinisque iure devinctos ac consociatos inque morem insolubilis catenae alterum alteri cohae-

ἑτέρου, τόν τε χωρισμὸν δυσδιαίρετον, καθὸ ἔμελλον τὰς μερί-
D δας μιᾶς ἑκάστης νηὸς ἀπονεῖμαι, ἐβουλεύσαντο πάλιν βουλὴν
πονηρὰν καὶ πολεμίαν τῆς φύσεως. τοὺς ἅπαξ γὰρ ἑνωθέντας
διαιρεθῆναι καὶ αὖθις προσέταττον, καὶ εἴ πού τις μήτηρ, φησίν,
ἐν αὐτοῖς νήπιον ἔχουσα τοῦ γάλακτος δεόμενον, τοῦτο μόνον πρὸς
τὴν τεκοῦσαν μένειν οἱ δυσσεβεῖς κατεθέσπισαν ὡς μηδὲν τυχὸν
δυνάμενον ἑαυτῷ πρὸς τὴν ζωὴν συντελεῖν, τοὺς λοιποὺς δὲ τῶν
συγγενικῶν συναφειῶν καὶ αὖθις διαιρεθέντας ἀναμὶξ καὶ ἀδιαφό-
ρως τοῖς κλήροις ἀποδοθῆναι. ἀλλὰ τίς λόγος τὸ μέγεθος τῆς
συμφορᾶς ταύτης ἐκφράσοι; ποία δὲ γλῶσσα ῥητόρων ἐπεξελθεῖν
δυνηθείη τὴν ποικίλην ἐκείνην καὶ πολυειδῆ τῶν ὀδυνῶν κάκωσιν,
P 377 ὁπότε καὶ ἡ αὐτὴ φύσις τῷ καινῷ τούτῳ καὶ παραλόγῳ προστά-
γματι εἰς πολλὰ κατετέμνετο, τοῦτο μόνον ἔγκλημα τὴν κοινωνίαν
τοῦ γένους ἔχουσα καὶ τὴν ἔμφυτον τῶν ἑνωθέντων συνάφειαν;
καὶ γὰρ ἀπεσπᾶτο πατρὸς μὲν υἱός, μητρὸς δὲ θυγάτηρ καὶ ἀδελ-
φὸς ἀδελφοῦ. ἐν οἷς τί πάσχειν εἰκὸς τούτους ἅπαντας, ὁπότε
πρὸς δουλείαν ἤγοντο εἰς γῆν ἀλλοτρίαν, ὅπου τὸ μὲν σέβας τῆς
καθ' ἡμᾶς πίστεως ὡς ἐναγὲς ἐνυβρίζεται, πάθη δὲ τιμᾶται ἀλο-
γώτατα· ὅπου πορνεία σεμνύνεται καὶ μανία γεραίρεται, καὶ πολ-
λῆς τιμῆς καταξιοῦται ἀναίδεια· ὅπου τῶν ἀρρένων ἡ φύσις εἰς
B γυναικείαν χρῆσιν μετάγεται, καὶ ἡ κτίσις ὑβρίζεται, καὶ συγχύ-
σεως γέμει πάντα καὶ πρὸς τὸ κακὸν ἀνατέτραπται. τί πρῶτον

5 προσδεόμενον A

rentes ab invicem aegre dividi patientes videre, dum singulis navibus partes adscribunt onusque distribuunt, improbum rursus consilium ac naturae pugnans inferunt. iubent eos qui semel iuncti fuerant iterum disiungi. si quae tamen mater in eis infantem lacte indigentem haberet, hunc duntaxat cum parente manere impii homines sanxere, ut qui nimirum sibi ipsi vitae compendio nihil conferre valeret: reliquos omnes ab affinibus cognatisque distractos promiscue nullaque discretione sortibus esse committendos. quae enimvero oratio tantae calamitatis infortunium narraverit? quae oratorum lingua variam illam et multiformem dolorum immanitatem dicendo expresserit, cum et natura ipsa insolito hoc vesanoque praecepto in multa scinderetur, cui solum in crimen verteretur generis communio ac, quam natura facit, propinquorum coniunctio? filius namque a patre, a matre filia, frater a fratre divellebatur. ubi quid omnes illos pati vero simili ratione existimandum, cum in servitutem in terram alienam abducerentur? ubi scilicet nostrae fidei cultus, ut exsecrandus, omni iniuriarum procacitate laceratur, vesanissimaeque libidines atque vitia coluntur. ubi fornicatio honestatur, insaniaque praemio afficitur, ac impudentia plurimum honoratur. ubi masculorum sexus in muliebrem usum transfertur, et violatur creatura, suntque omnia confusionis plena et ad malum conversa. quid horum omnium primum

τούτων ἁπάντων ἐκόψαντο; ἐν ποίῳ δὲ μὴ ἀγχόνην ᾑρήσαντο; ἀλλ' ὅμως ἔφερον πάντα, τὴν ἐπὶ πᾶσι μεγαλοψυχίαν παρεχομένου θεοῦ καὶ τῷ οἰκείῳ βουλήματι τὰ καθ' ἕκαστον μεθαρμόζοντος.

73. Ὡς δὲ πάλιν τῷ προστάγματι τούτῳ τῆς ἐξ ἀλλήλων διῃρέθησαν συγγενείας, ἐκάθηντο φρουρούμενοι κατὰ διαφόρους τόπους, ἕως ἐξῆλθεν ἕτερον πρόσταγμα, πάντας ἀριθμηθῆναι καὶ πρὸς τὰς ἰδέας τῶν προσώπων καὶ τῶν ἡλικιῶν τὸ διάφορον C ἑκάστης νηὸς ἴδιον σύνταγμα γνωρισθῆναι, ἵν ἐν μηδεμιᾷ φανείη πλεονασμός, φησίν, ἢ ὑφαίρεσις, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ἐνόντων ταῖς ναυσὶ βαρβάρων, οὕτω καὶ τὰς μερίδας γενέσθαι καὶ μηδὲν αὐταῖς περιττὸν ἢ ἐλλεῖπον ἀποδοθῆναι. ἠρίθμησαν οὖν ἐν πρώτοις τὴν πληθὺν ἅπασαν· ἡ δὲ ἦν δύο καὶ εἴκοσι χιλιάδες, ἐξ ὧν ἁπάντων, χωρὶς ἡμῶν τῶν λόγῳ τῆς καταλλαγῆς τηρουμένων, οὐκ ἦν οὐδεὶς ὃς τὸν πώγωνα εἶχε τετριχωμένον. ἀλλ' οὐδὲ προβεβηκυῖα γυνὴ ἐν ταύταις πάσαις ταῖς χιλιάσιν. ἐπίλεκτος δέ τις ἦν καὶ νεάζων ὁ δῆμος, καὶ οἷον ἐρίζων ἕκαστος ἢ τῷ D ἀκμαίῳ τῆς ἡλικίας ἢ τῷ ὡραίῳ τῆς μορφῆς ὑπερβαίνειν τὸν ἕτερον, κἂν ἡ ἐπαλληλία τῶν δυσχερῶν τῶν φυσικῶν αὐτοὺς ἔξεων ἀλλοτριοῦν ἐβιάζετο. ἀλλ' ὅτε δὴ πάντες εἰς μερίδας γενόμενοι πάλιν μετὰ τῶν σκύλων ταῖς ναυσὶ συνηλάθησαν (ἄμφω γὰρ καὶ ταῦτα σὺν τῷ πλήθει διενεμήθησαν), τότε δὴ τῶν βαρβάρων οἱ

14 τὸν λόγον A   15 τὸν om P   21 ἅμα?

planxerunt? in quo non magis laqueum elegerunt? ferebant tamen omnia, deo in omnibus animos ac constantiam praebente suaeque voluntatis nutu singula quaeque disponente.

73. Iam vero rursus edicto hoc ac iussione a cognatis necessariisque divisi diversis in locis sub custodia sedebant, donec novo decreto imperatur ut numerentur omnes, exque personarum aetatumque ratione diversum cuiusque navis proprium agmen cognoscatur, ne ulla navium aut superfluo onere gravetur aut illo minuatur. sed pro multitudine eorum qui in navibus barbarorum essent, distributis partibus, nec maius aliquid iusto redderetur nec minus. in primis igitur numerata omni multitudine, summa fuit duo et viginti milium capitum; inter quos omnes ne unus quidem erat (nobis duntaxat exceptis, qui commutandi servabamur) cui mentem pilis fruticaret. at neque in tot mulierum milibus ulla erat quae pubem excederet. erat vero electus populus et iuventa conspicuus, ac in quo alii aliis prope certare videretur seque mutuo excedere aut aetatis flore aut venustate formae, tametsi afflictorum casuum vis continua a naturali decedere eos habitu cultuque cogebat. postquam autem omnes in partes distributos iterum cum spoliis in naves contruserant (nam haec quoque cum multitudine divisa fuerant), barbari

τὴν Κρήτην οἰκοῦντες οὐκ ὀλίγους ὠνοῦντο, πολὺ χρυσίον ὑπὲρ
αὐτῶν καταβαλέσθαι μὴ παραιτούμενοι, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυ-
χεν, ἀλλὰ κέρδους τινὸς ὑπόθεσιν ἑαυτοῖς ἐκ τούτου περιποιού-
μενοι. ᾔδεισαν γὰρ πολλαπλασίονα τῶν διδομένων λαβεῖν, ἡνίκα
P 378 ἂν καταλλαγῆς ἐπέλθοι καιρός, ὁπότε τοὺς ὁμοφύλους αὐτῶν,
τοὺς παρὰ τῶν Ῥωμαίων χειρωθέντας, ἐκδέχονται. οὐδὲ γὰρ ὡς
ἐν τοῖς κατὰ Συρίαν, οὕτω καὶ τούτοις ἡ τῶν αἰχμαλώτων ἀπο-
λύτρωσις ἐκτελεῖται, ἀλλ' ἐπεκράτησεν ἐν τούτοις παλαιὸν ἔθος
χρόνῳ βεβαιωθέν, ἵνα καὶ τὸν βάρβαρον, ὅστις ποτὲ ἦν, χάριν
τοῦ κατεχομένου κομίζωνται, καὶ τὴν ὑπὲρ αὐτοῦ δοθεῖσαν τιμὴν
ἀπαιτῶσιν εἰς τὸ διπλάσιον. διά τοι τοῦτο πολλοὺς οἱ Κρῆτες
τῶν αἰχμαλώτων ὠνήσαντο, τὴν καθ' ἡμᾶς συμφορὰν κέρδους
συνεισφορὰν ἑαυτοῖς ἐφευράμενοι. ἐπράχθη δὲ ταῦτα ἐφ' ὅλαις
B ἡμέραις δέκα, ἀεὶ τῶν ἐθάδων νηῶν μετασκευαζουσῶν τοὺς ὠνου-
μένους καὶ πρὸς τὴν ἰδίαν πόλιν μεταγουσῶν. ἐν οἷς ἔτυχεν ἐκ-
δοθεῖσα καὶ ἡ τοῦ ἐμοῦ ἀδελφοῦ σύζυγος, οὐ μετρίαν ἡμῖν ὀδύ-
νην περιποιήσασα. ἡ δέ μοι μήτηρ καὶ ἡ γαμετὴ σὺν δυσὶ τέκνοις
(τὸ γὰρ ἕτερον ἔργον ἦν γενόμενον τῆς θαλάσσης), ἔτι δὲ καὶ
ἐλεεινὸς ἄθλιος ὁ τλήμων ἀδελφὸς καὶ ἡ τῷ χρόνῳ πάντων ἐφυστε-
ρίζουσα ἀδελφή, ἔκ τινος θεϊκῆς προνοίας εἰς μίαν Σιδονίαν ἔτυ-
χον ναῦν, τῆς πρὸς Συρίαν ἀποδημίας τηρούμενοι. ἡμᾶς δὲ πάν-
τας τοὺς ἐν τῇ καταλλαγῇ τηρουμένους ἔτι διεσπαρμένους ὄντας
συναγαγόντες οἱ βάρβαροι καί τινι πολεμικῇ νηῒ τῶν ἐκ τοῦ λιμέ-

4 πολυπλασίονα A, πολυαπλανσίονα P

Cretam incolentes ex eis non paucos commercati sunt, multa in eam rem sponte numerata pecunia, non temere nullave ratione, sed cum sibi inde lucrum factitarent. plane enim noverant multo sibi plura restituenda commutationis tempore, dum suae nationis captivos a Romanis in captivitatem redactos reciperent. non enim, quemadmodum in Syria, sic his quoque in locis transigitur captivorum redemptio: sed in his veteri consuetudine usu firmata obtinuit, ut et barbarum, quisquis ille sit, loco illius quem ipsi detinent referant, et exsolutum pro eo duplex pretium reposcant. eam ob rem multos Cretenses captivos mercati sunt, nostram scilicet calamitatem sui lucri auctionem commenti. gesta haec per decem integros dies, cum semper consuetae naves eos qui empti essent transferrent et in proprias urbes deveherent. inter haec divendita quoque et fratris mei uxor, quae res non levi nos affecit maestitia. ceterum mater et coniux cum duobus filiis (nam tertius demortuus in mare proiectus fuerat) nec non miser ac aerumnosus frater, atque omnibus aetate iunior soror, divina quadam providentia in una Sidoniarum navium servabantur, in Syriam asportandi. nos vero omnes, quos commutandos servabant, cum adhuc dispersi essemus, colligentes barbari,

νος ἀνασπασθεισῶν ὑφ' ἓν εἰσενεγκόντες καθεῖρξαν, φύλακάς τινας C τῶν καθ' αὑτοὺς ἐμπείρων αὐτῶν ἡμῖν συμβιβάσαντες.

74. Καὶ οὕτως ἐσκευάζοντο μετὰ μίαν ἄλλην ἡμέραν ἔχεσθαι τοῦ πλοός· ἤδη γὰρ ἦγεν αὐτοὺς ὁ καιρὸς καὶ χρονίζειν οὐκ ἐδίδου τῷ τόπῳ, πρὸς τὸ χειμέριον τὸν ἀέρα μετατιθέμενος. ἵπποις οὖν ἐφεστῶσιν ἐπιβάντες οἱ τῶν νηῶν ἀρχηγοὶ μετὰ καὶ αὐτοῦ τοῦ τυράννου πρὸς τῇ πόλει γεγόνασιν, ἅμα μὲν ἐνδεικνύμενοι τοῖς Κρησὶ τὴν ἐπὶ τοῖς πεπραγμένοις ἐν ἡμῖν περιφάνειαν, ἅμα δὲ καὶ τὴν βδελυρὰν αὐτῶν τελετὴν ἐκπληρώσοντες, δεξιωθῆναί τε παρὰ τῶν αὐτοχθόνων καί τινος τυχεῖν τῶν προηγωνισμένων ἀνέσεως. οὗ δὴ καὶ μίαν ἄλλην ἡμέραν προσδιατρίψαντες τομῶς ὑπέστρεψαν, ἐπισπεύδοντες τὰ πρὸς τὸν πλοῦν, καλοῦντος αὐτοὺς D ἤδη τοῦ πνεύματος. ἤδη δὲ τῆς δωδεκάτης ἡμέρας ἀρχομένης, λέγω δὴ τῆς πρὸς τὴν Κρήτην ἀφίξεως, τοῦ πλοὸς ἀπηρξάμεθα. μετήχθημεν δὲ πρὸς τὴν ἀντικρὺ νῆσον, ἥτις Διὸς καλεῖται· καὶ πάλιν ἐκεῖθεν ἀναχθέντες ἐν τῷ τῆς νήσου πέρατι προσωρμίσθημεν. ἐν ᾧ καὶ ὑδρευσάμενοι καὶ μικρόν τι τῷ τόπῳ προσμείναντες, ὡς κατ' οὐρὰν εἶδον γεγονότα τὸν ἄνεμον, ἀπέπλευσαν ἐκεῖθεν κατὰ μέσον ἰθύναντες τοῦ πελάγους. ἦμεν δὲ πάντες, ὡς εἴρηται, ἐν μιᾷ νηῒ Ῥωμαϊκῇ πολεμικῇ, ἥτις ἦν διήρης, ὧν τὴν μὲν ἄνω καθέδραν οἱ λαχόντες εἶναι μεθ' ἡμῶν βάρβαροι ἑαυτοῖς ἐκληρώσαντο, τὴν κάτω δὲ ἡμῖν ἐπαφῆκαν, σκότους πολλοῦ καὶ δυσω- P 379

3 κατὰ P **10** αὐτοχθονίων A **15** ἢ τοῦ P **20** Ῥωμαίᾳ A

et in navi bellica a littore avulsa, in unum convehentes, concluserant, custodibus ex suis, rerum experientia praeditis, nobis constitutis.

74. Atque altera statim die navigationem capessere parabant reique instare. iam enim tempus urgebat deflectens ad hiberna, nec longiores ibi moras trahere sinebat. navarchi itaque equis conscensis, quos in promptu habebant, una etiam adiuncto tyranno, urbem petunt, tum ut Cretensibus praeclara adversus nos facinora commonstrarent, tum ut abominandas suas caerimonias explerent, humaniusque ab opidanis acciperentur, atque a laboribus, quos pertulerant, animos nonnihil relaxarent. ibi alterum quoque diem commorati festine revertuntur, secundoque iam vento navigationem solicitant. iamque duodecimo, a nostro scilicet in Cretam appulsu, illucescente die e portu solvimus, inque adversam insulam, quam Iovis dicunt, vecti sumus. inde rursus profecti, ad insulae extremam oram applicantes, aquatum exscendimus; ibique mora aliqua facta, ut a puppi flare ventum advertere, per medium mare cursu directo recedunt. eramus omnes, ut dictum est, in una Romana bellica biremi: illius superiores sedes barbari nobiscum navigantes sibi delegerant, inferiores et prope carinam nobis reliquerant, tenebris ob-

δίας πλήρη. καὶ τί ἄλλο γε χρὴ λέγειν ἢ τάφον ἐφ' ὕδασι φερόμενον; εἰ γὰρ ἀπαριθμῆσαι θελήσω καθ' ἓν ὅσα κατὰ τὴν περίοδον ἐκείνην τοῦ πλοὸς ὑπέστημεν καὶ μεθ' ὅσης στενοχωρίας, μύθους δόξω τοῖς πολλοῖς ἐξηγεῖσθαι καὶ τῆς ἀληθείας ἐκτρέπεσθαι, καθ' ἣν ἐν ἀρχῇ τοῦ λόγου πάντα γραφῇ παραδοῦναι καθυπεσχόμην. διά τοι τοῦτο τὰ πλεῖστα τῶν πεπραγμένων ἑκὼν παραδραμών, οἷς ἂν ἐδόκουν μάλιστα τὴν ἡμετέραν ἐξαρκεῖν διάνοιαν μέχρι τοῦ νῦν προσδιατρίψας, ὡς ἐν ἅπασι τὸ πιστόν σοι παρασχεῖν, ὦ σοφώτατε ἀνδρῶν καὶ φιλομαθέστατε Γρηγόριε,
B κατὰ τὸν αὐτὸν τρόπον πάλιν καὶ περὶ τῶν λοιπῶν διεξίω, ἱκανῶν καὶ ὡσαύτως ὄντων καὶ ἀμείλικτον διαθρύψαι καρδίαν, μήτι γε τὴν σήν, ἧς τοῦτο μᾶλλον τῶν ἄλλων ἐστὶν ἰδιαίτατον ἡ συμπάθεια, ᾗ πειθαρχῶν εἰς ταύτην ἡμᾶς ἐλθεῖν τὴν συγγραφὴν προετρέψω καὶ πράγματος τοσούτου κατατολμῆσαι παρεβιάσω, τὴν καθ' ἡμᾶς ὑπερβαίνοντος δύναμιν.

75. Πλὴν ἀλλ' οὕτω περὶ πολλὰς συμφορῶν ἰδέας προσπαλαιόντων ἡμῶν ἔφθασεν ἐπιστᾶσα καὶ τρικυμία τις, θαλάσσιον διεγείρουσα κλύδωνα, τὸν περὶ ψυχῆς ἀπειλοῦντα κίνδυνον· ἐξ οὗ καὶ πᾶσαι διεσκορπίσθησαν αἱ νῆες, τῷ ῥοίζῳ τοῦ πνεύματος
C ἐξ ἀλλήλων μακρὰν διασπασθεῖσαι καὶ τοῦ κατ' εὐθεῖαν ἥκειν ἐκκλίνασαι. οὐκ οἶδα δ' ἐκ τίνος πονηροῦ δαίμονος ἔτυχε παρα-

1 πορευόμενον A

sitas et graveolentiae plenas; nec aptiori vocabulo expresseris, quam si sepulchrum super aquas ambulans appellaveris. etenim si singula recensere voluero quae per eius navigationis circulum sustinuimus, quantisque in angustiis versati simus, fabulas narrare plerisque videbor et longe a veritate aberrare, qua auspice omnia me scripturum pollicitus sum in orationis exordio. eapropter gestarum rerum partem plurimam sponte praeteriens, iis in quibus mihi vires sufficere viderentur huc usque immoratus, ut credibilia per omnia dicerem, o Gregori hominum sapientissime atque studiosissime, eodem modo et reliqua percurram, quae ipsa, ut reor, quamvis durum cor et implacabile emollire sufficiant; ne tuum dicam, in quo inter alia maxime proprius enitet animi miserantis affectus, ex cuius nutu atque indole ad haec scribenda adhortatus es remque tantam, etsi viribus longe imparem, aggredi compulisti.

75. Ceterum dum sic inter varia infortuniorum genera colluctamur, ingens quaedam exorta procella, mari tempestate turbato, in vitae nos grave periculum induxit. hinc naves omnes vehementiore flatu a se invicem totaque classe procul dispersae atque divisae, nec recta cursum valentes intendere. nescio vero quonam malo daemone, proximus nobis

πλέων ἡμῖν ἐγγύθεν ἐξ εὐωνύμου ὁ δυσώνυμος Λέων, κατὰ πρύμναν τῆς ἰδίας νηὸς καθήμενος καὶ τοῖς κυβερνήταις τὴν περὶ τοῦ πλεῖν ἐμπειρίαν διατάττων. μεθ᾽ ὧν καί τις ὄπισθεν ναῦς ἑτέρα εἷλκε τῶν ἄλλων ὑποδεεστέρα, ἥτις ἦν τῇ βίᾳ τῆς ζάλης μέσον διαρραγεῖσα καὶ ἀπειλοῦσα τοῖς ἐν αὐτῇ ἤδη παρόντα τὸν ἐν ὕδασι θάνατον· ἐξ ἧς ἀνέκραγον οἱ κατ᾽ αὐτὴν βάρβαροι "σῶσον ἐπιστάς, ὦ καθηγεμὼν τοῦ στρατοῦ, καὶ μὴ ἐάσῃς δῆμον τοσοῦτον Ἀγαρηνῶν ἀπολέσθαι, οὓς μέχρι τοῦδε πολλῶν κινδύνων ἀπειράτους ἐτήρησας," ἐξειπόντες ἐν ὀλίγῳ καὶ τὸ συμβάν. ὁ δὲ παρευ- D
θὺς κατ᾽ αὐτοὺς τὴν ναῦν ἰθῦναι τοῖς περὶ αὐτὸν προστάξας ἀκριβέστερον ἀνηρώτα. οἱ δὲ πάλιν ὁμοθυμαδὸν ἐβόων, καὶ τὸ πάθος τῆς νηὸς ὑποδείξαντες ἐπρεσβεύοντο πάντων ἡμῶν τῶν δεσμίων τῇ θαλάσσῃ ῥιφέντων αὐτοὺς εἰς τὴν καθ᾽ ἡμᾶς ναῦν μετασκευασθῆναι, ἐφύβριστον εἶναι λέγοντες ἐν τοσούτῳ κακῷ σωζομένων ἡμῶν ἐκείνους τοῦ κατὰ θάλασσαν γενέσθαι κινδύνου καὶ μὴ προτιμηθῆναι τῆς ἡμετέρας ζωῆς. πρὸς ὃ δὴ καὶ κατένευσε παραχρῆμα, ἐπιτρέψας στᾶσαν τὴν ναῦν ἡμᾶς μὲν τῇ θαλάσσῃ ῥιφῆναι, ἐκείνους δὲ ἐν αὐτῇ μετακομισθῆναι. ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, ἐλάθομεν οὐκ ὀλίγον ἀποστάντες ἡμεῖς· ἐφερόμεθα γὰρ βιαίῳ τινὶ καὶ χαλεπῷ τῷ ὁρμήματι τοῖς κύμασιν ἐλαυνόμενοι, P 380
ὡς οὐ μόνον κραυγῆς ἀλλ᾽ οὐδὲ βροντῆς ἐκεῖθεν, ἐξ οὗ κατελίπομεν αὐτούς, δυνάμενοι ἐξακούειν. ὡς οὖν εἶδον μακρὰν ἀποστάν-

3 ὃν? 4 *ταῖς ἄλλαις* P *ἦν*] *καὶ* P 11 *ἐνηρώτα* P

ad laevam infausti nominis Leo, suae navis puppi assidens et gubernatores navigandi peritia instruens, vehebatur. eum navis alia, sed multo imbecillior, vi tempestatis (navigantium certo indubitatoque periculo) media diffracta sequebatur. ex ea clamare, qui illa vehebantur barbari, "serva tua praesentia, o copiarum dux, nec tantam Agarenorum multitudinem perire sinas, quos hucusque ab omni immunes periculo conservasti." tum ille, actutum in eos directa navi, certius perquirebat. illi una voce omnes clamare, et navem fractam commonstrantes suppliciter rogare ut nobis omnibus, qui vincti essemus, in mare proiectis, ipsi in navem nostram convasarentur. nimirum probrosum esse in tanto periculo nobis servatis illos maris perire naufragio, nec illorum vitam nostrae anteferri. ad quod ille ocissime annuit, imperatque sisti navem, exque illa nos in mare proiici, illos vero in ipsam transferri. cum haec agerentur, sensim longius elabimur: ferebamur enim violento ac furenti impetu, propellentibus fluctibus, ut non tantum clamor sed ne tonitru quidem exaudiri posset, quo ex loco ab eis disiuncti fueramus. ut vero

τας, νεύματι μόνον προσμένειν τοὺς σὺν ἡμῖν βαρβάρους ἐπέτρεπον. οἱ δὲ εἴτε μὴ συνιέντες πρὸς ὃ ταῦτα ἐποίουν, εἴτε καὶ ἑκόντες αὐτοὺς παραλογισάμενοι τῷ μηδ᾽ ὅλως φαίνεσθαι προσέχειν τοῖς ὑπ᾽ αὐτῶν προσταττομένοις, τάχα δὲ τοῦτο πλέον ὑπὸ τῆς ἀφάτου περὶ ἡμᾶς κηδεμονίας τοῦ θεοῦ διδαχθέντες, εἴχοντο τοῦ πλοός, μηδένα λόγον τῶν κατόπιν ποιούμενοι, ἀλλὰ πάσῃ σπουδῇ τὴν αὐτῶν τε καὶ ἡμῶν σωτηρίαν ἐν οὕτω βιαιοτάτῳ μηχανώμενοι
B κλύδωνι. (76) ὡς δὲ μακρὰν ἀποστάντας εἶδον ἡμᾶς ἐκεῖνοι καὶ εἰς οὐδὲν τὴν σκῆψιν χωροῦσαν, συνείχοντο δὲ κινδυνεύοντες τοῖς ὕδασι τῆς νηὸς καταδυομένης, ἄλλην τινὰ δέησιν τῷ τυράννῳ προσῆγον, λαβεῖν μὲν αὐτοὺς εἰς τὴν ἰδίαν ναῦν, ἐᾶσαι δὲ τοὺς μετ᾽ αὐτῶν, μεθ᾽ ὧν ἐπεφέροντο σκύλων, τῇ θαλάσσῃ δοθῆναι. ὁ δὲ πρὸς τοῦτο πάλιν ἦν εὐπειθής, καίπερ τοῦ καιροῦ μὴ συγχωροῦντος ἀλλὰ τὴν πάντων ἀπόγνωσιν ἐπιτείνοντος, καὶ τῶν ἀγωγίμων τοῦ πρῴην φόρτου αὐτάρκη τῆς νηὸς αὐτοῦ τὴν χρείαν
C ἀποπληρούντων. πλὴν οὐκ ἔδοξε τοῦτο συμφέρον εἶναι, τῶν βαρβάρων περισωθέντων τοὺς αἰχμαλώτους καταλιπεῖν τῷ θαλασσίῳ βυθῷ, ἀλλά τι δῆθεν ἐλέους ἐχόμενον καθ᾽ ἑαυτὸν βουλευσάμενος, τάχα τῇ μανίᾳ τῆς φιλαργυρίας εἰς τοῦτο συνελαθείς, οὐχὶ δὲ συμπαθείᾳ τινὶ περὶ τῆς αὐτῶν ἀπωλείας δυσωπηθείς (πῶς γὰρ ὃς ἐφαίνετο πρῴην τοῖς ἀδίκοις φόνοις τρυφῶν;), ὅμως

4 προσταττομένοις Combefisius: libri πραττομένοις 9 σκέψιν?

nos a se longe dissitos conspexerunt, nutu solo barbaros qui nobiscum erant exspectare iubebant. qui sive non intelligentes quid illi vellent, sive etiam sponte non curantes, cum quod illi agerent, attendere nullo modo viderentur, forte vero (quod et verisimilius est) ineffabilis erga nos dei providentiae instincti edoctique numine, navigationi continue instabant, nulla eorum qui retro essent ratione habita, sed ut omni diligentia atque opera suam pariter nostramque, in tam dira immanique procella, statuerent salutem. (76) ubi porro nos longe distantes conspiciunt, suaque cogitata in nihilum cedere advertunt, atque navi prope mergenda in praesentaneum vitae discrimen se adductos cernunt, aliud quidpiam a tyranno efflagitant, ut scilicet in propriam navim ipsis receptis, eos qui cum ipsis erant, praedamque universam mari concrederet. quibus ille rursus animum facilis adhibet, licet id tempus non permitteret, sed omnium magis magisque desperationem augeret, priorique vectura ac onere eius abunde navis constipata esset. haud enimvero e re satis illi visum ut barbaris servatis captivos maris gurgiti sorbendos desereret. quin immo secum ipse misericordia pronum consilium agitans, et forte avaritiae furore concitus, non ulla nostrorum interitus tactus miseratione (quomodo enim, qui nuper sic iniustis caedibus gaudentem

καὶ αὐτοὺς μετενέγκαι σὺν τοῖς βαρβάροις ἐπέταττεν, ἵν' ἔχοι κἂν τούτοις ἁδρότερον ποιῆσαι τὸ τῆς πλεονεξίας βαλάντιον καὶ τὴν φιλόχρυσον ἀναπλῆσαι λύσσαν, κἂν τάχα φορτικὸν ἦν καὶ τόλμης ἀλόγου τὸ ἐγχείρημα. πάντων δὲ κατὰ τὴν αὐτοῦ ναῦν τὸ τάχος μετενεχθέντων, ἔδυ ἐκείνη τοῖς ὕδασι βλεπόντων τῶν βαρβάρων καὶ αὐτῶν δὲ τῶν στρατηγῶν ἐν αὐτῇ τῇ νηῒ τοῦ τυ- D ράννου φυλαττομένων αὐτοῖς· οἵτινες καὶ ἡμῖν ἐν ὑστέρῳ ταῦτα διηγήσαντο, τὸ παντεπίσκοπον καὶ φιλάνθρωπον ἐκπληττόμενοι τῆς θεϊκῆς προνοίας. πολλῷ γὰρ πλείω τῶν χιλίων ψυχῶν ἔφασκον εἶναι κατὰ τὴν ναῦν ἐκείνην, ἔκ τε τῶν βαρβάρων καὶ τῶν αἰχμαλώτων τῶν ἐν τῇ Κρήτῃ κατ' αὐτὴν εἰσενεχθέντων καὶ τῶν ἐκ τῆς ῥηθείσης προστεθέντων αἰτίας, ὡς τοσοῦτον ἀπέχειν βαπτισθῆναι τὴν ὁλκάδα ὅσον μιᾶς παλαιστῆς τὸ μέτρον ἐστίν. οὐ συνεχώρησε δὲ τοῦτο ὁ τῶν ἀφανῶν γνώστης καὶ τῶν κρυφίων ἐξεταστὴς κύριος, ἀλλ' ὡς εἶδε τὰς καρδίας ἁπάντων πάσης μὲν P 381 χρηστῆς ἀπειπούσας ἐλπίδος, αὐτῷ δὲ μόνῳ τὴν ἀμηχανίαν ἐμφανιζούσας τῷ πάντα δυναμένῳ μόνῳ τῷ βούλεσθαι, ἐπέβλεψεν ἐπ' αὐτούς, καὶ εἰς πράαν μὲν αὔραν τὴν καταιγίδα, εἰς γαλήνην δὲ τὴν τῶν κυμάτων καταστορέσας τραχύτητα, ἔσωσεν αὐτοὺς ἐκ τοσούτου κινδύνου, πᾶσιν ἐμφαίνων, καὶ μόνον οὐχὶ βοᾶν δεικνύων τὰ πράγματα, ὅπως ῥύεσθαι δύναται ὁ

9 τῶν om A

prodiderat?), illos quoque nihilominus cum barbaris invehi iubet, ut hinc quoque nummatum marsupium auctius redderet aurique avidam rabiem exsatiaret, tametsi fortasse id grave dementisque audaciae facinus esset. omnibus autem in eius navim celerrime invectis, alia ab aquis navis absorpta est, barbaris intuentibus, ipsisque navarchis in ipsa tyranni navi servatis, qui et postea, divinae providentiae vim omnium inspectricem et humanitatem ac clementiam stupentes, haec ipsa nobis narravere. mille enim et amplius animas dicebant in ea numerari nave, tum barbarorum tum captivorum apud Cretam in eam invectorum, ac postremo eorum qui per eam causam illi vectores accessissent, ut unius duntaxat palmi mensura exstaret, ac ne aquis mergeretur abesset. quod tamen non permisit occultorum cognitor dominus, et qui abscondita scrutatur. sed ubi omnium corda vidit, omni iam felicioris exitus spe deposita, ipsi uni, in quo versabantur, manifestare consilii inopiam, qui videlicet sola voluntate salvos potest praestare, in illos oculos convertit, ac procellam quidem in auram lenem, fluctus vero exasperatos in tranquillum mare sternens, a tanto illos periculo liberavit, cunctis nimirum prodens, vixque res non clamare ostendens, posse

τῶν θαυμασίων θεὸς τοὺς ἐν ἀληθείᾳ καὶ φόβῳ ἐπικαλουμένους αὐτόν.

B 77. Ἤδη δὲ μετὰ πέμπτην τοῦ πλοὸς ἡμέραν κατήραμεν ἐν τῇ νήσῳ τῆς Κύπρου κατὰ τὸν ὅρμον τῆς Πάφου, ἐν ᾧ καὶ ἀνεθέντες μικρὸν ὡς ἐξελθεῖν τοὺς βαρβάρους καὶ τοῖς παρακειμένοις ὕδασι λούσασθαι, πάλιν ἐκεῖθεν ἀναχθέντες μετά γε νυχθήμερον ἄλλο τὴν Τρίπολιν κατελάβομεν, κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ὑψοῦται τὸ σωτήριον τοῦ σταυροῦ ξύλον, ὅτε καὶ ἡμεῖς τῶν κατὰ θάλασσαν ἄρτι πρῶτον ἐμέλλομεν πειρασμῶν ἀφεθῆναι. γενομένων οὖν ἡμῶν πλησίον τοῦ τείχους, ἐχεῖτο περὶ τὸν ναύσταθμον ἁπάντων ἐγχωρίων βαρβάρων τὸ πλῆθος, τοὺς μὲν οἰκείους προσλαμβανόμενον, τοὺς καθ' ἡμᾶς δὲ θαμβούμενον. C ἅμα γὰρ συνέβη πάσας τὰς τῆς πόλεως συνελθεῖν νῆας καὶ πρὸς τὸν ὅρμον γενέσθαι, εἶτα ἐξεκομίζετο ἀφ' ἑκάστης αὐτῶν τῶν τε χρημάτων τὸ πλῆθος καὶ τῶν λοιπῶν σκύλων ὥσπερ ἀπό τινων πόλεων, καὶ μετήγετο εἴς τινας προηυτρεπισμένας οἰκίας, ὡς ἐν ὀλίγῳ πληρωθῆναι τὴν πόλιν τῆς τούτων ὑποδοχῆς. προέφερον δὲ καὶ ἡμᾶς ἄγοντες καθάπερ τι τρόπαιον νίκης, ἐπὶ πᾶσιν ἡμᾶς θριαμβεύοντες καὶ θέατρον ποιούμενοι τὴν καθ' ἡμᾶς συμφοράν. οἷον γὰρ ἀνέκραγον καὶ τοῖς ἐξάλμασιν ἐπεσκίρτησαν, ὅτε πρὸς αὐτῇ γεγόναμεν τῇ εἰσόδῳ τῆς πόλεως, ἀφορμὴν θυμη-

21 αὐτὴν AP

mirabilium deum liberare eos qui in veritate atque timore ipsum invocant.

77. Post quintum navigationis diem in insula Cypro Paphi portum intravimus; paululumque recreamur, dum barbari navibus exeuntes ad vicinas aquas lavatum eunt. tum inde solventes post diem unum ac noctem tripolim concessimus, eodem ipso die quo salutare crucis lignum exaltatur, quando et nos iam primum a maris periculis malisque eramus liberandi. cum prope murum venissemus, oppidanorum barbara omnis multitudo, suos excipiens nostrosque admirans, ad ipsum navale effundebatur. mox enim ac urbis naves omnes simul coactas in portum deferri contigit, tum e singulis et pecuniarum copia et reliqua spolia, velut ex vastae capacitatis urbibus, educi et in domos ad id antea paratas convehi, ut brevi intervallo his in eam invectis urbs impleretur. quin nos quoque ducentes offerebant, et quasi victoriae quoddam tropaeum, in omnium oculis traducentes, miseriam nostram ac calamitatem velut in orbis theatro producebant. quam multis enim vociferationibus usi sunt saltibusque insultarunt in urbis ingressu, cum ad eam accessimus, dum probra nostra ac iniurias magnae sibi iucunditatis argumen-

δίας τὴν καθ' ἡμῶν ὕβριν δεικνύμενοι! ὃ δὴ καὶ πλείω τῶν ἄλ- D
λων ὠδύνησεν ἡμᾶς, οὐκέτι φέροντας τῶν δεινῶν ἐκείνων καὶ τῆς ὑπερβαλλούσης αἰσχύνης τὴν ἐπαλληλίαν ὑφίστασθαι. ἀλλ' ὅτε δὴ καὶ μετὰ τοῦτον τὸν θρίαμβον ἐκληρώθη τις οἶκος ἐν ᾧ φρουρεῖσθαι κατεκρίθημεν τηρηθησόμενοι τῆς πρὸς τὴν Ταρσὸν ἀφίξεως, τότε δὴ τῶν πολλῶν ἀνεθέντες πόνων καὶ τῇ γῇ τὰς κεφαλὰς προσερείσαντες ἐδεόμεθα τοῦ θεοῦ μετὰ δακρύων στῆναι ἡμῖν ποτὲ τὰ κακὰ καὶ μηκέτι χώραν λαβεῖν καθ' ἡμῶν τοιούτων ὀχληρῶν ἐπίτασιν, ὧν καὶ ἡ ἀκοὴ μόνη μετήγετο διὰ πείρας ἐλθεῖν· παντὸς γὰρ ἀλγεινοῦ φύσιν ἐκβέβηκεν.

Ἀλλὰ ταῦτα ἡμεῖς οἱ πρὸς τὴν καταλλαγὴν τηρούμενοι καὶ P 382
οἱ μεθ' ἡμῶν λαχόντες τῶν λοιπῶν αἰχμαλώτων κατὰ τὴν Τρίπολιν. (78) *οἱ δέ γ' ἐν Κρήτῃ ἐξ ἡμῶν διαιρεθέντες ἐν ταῖς ἄλλαις ναυσὶ ταῖς ἀφ' ἑκάστου τόπου διεσπάρησαν καθ' ὅλης τῆς παραλίας Συρίας· οὓς καὶ ὠνούμενοι πολλοὶ τῶν ἐμπόρων καὶ πάλιν μεταπιπράσκοντες κατὰ διαφόρους τόπους ἐν ἀλλήλοις μέχρι καὶ νῦν αὐτοὺς ἀνταμείβουσιν, ὡς καὶ αὐτὴν φθάσαι τὴν Αἰθιοπίαν τινὰς ἐξ αὐτῶν καὶ τοὺς τὴν ἀκροτάτην μεσημβρίαν κατοικοῦντας βαρβάρους. ὧν εἰ θελήσοι τις τὰς συμφορὰς ἀναγράφεσθαι, ὅμοιος εἶναι δόξει τῷ τὴν παραλίαν ψάμμον ἐκμετρεῖν* B
εἰκαίως τοπάσαντι. πάντως γὰρ καὶ αὐτός, φιλομαθέστατε ἄν-

2 *ὠδίνησεν* AP 14 *ἀν'* P

tum sumunt! quod et reliquis maiorem nobis dolorem incussit, cum mala illa et iterata opprobria maximaque dedecora ferre non possemus. ubi enimvero post eum expletum triumphum assignatae nobis sunt aedes, in quibus sub barbarorum custodia addicti tenebamur usque dum Tarsum proficisceremur, tunc nimirum a multis laboribus levati, fixisque in terram capitibus, non sine lacrimis deum precabamur ut tandem aliquando malis nostris finem imponens, haud ultra tot molestiarum turbines in nos intenderet, quorum vel solo auditu animus horreret, quippe cum et illae vim omnem doloris excederent.

Verum haec quidem, quod ad nos attinet, qui commutationis iure manu mittendi servabamur, et quibus obtigerat captivis reliquis ut tripoli nobiscum versarentur. (78) qui autem nostrum Cretae in aliis navibus divisi fuerant, per omnem Syriae oram maritimam dispersi sunt; quos mercatores commercati, rursus aliis in locis divendentes, inter se ad hoc aevi sic commutant ut ex illis nonnulli in Aethiopiam extremamque austri plagam inter barbaros immigrarint. horum, inquam, si quis mala atque aerumnas scripto consignare tentaverit, similis illi videbitur qui se maris arenas in numerato habere stulte putaverit. omnino enim

δρῶν, εἴπερ ἐνέτυχές τισιν ἐξ αὐτῶν, ἔν τε τῇ Δαμασκῷ καὶ ταῖς περὶ αὐτὴν πόλεσιν — ἐνέτυχες γάρ, οἶδα, πολλοῖς ἐκεῖσε, διὰ τὸ πάσας τὰς Τυρίας νῆας τοῖς μέρεσιν ἐκείνοις τοὺς αἰχμαλώτους αὐτῶν ... ἐῶ γὰρ λέγειν ὅτι καὶ ἡμῶν ἡ περὶ τὴν Τρίπολιν διαγωγή, ὁπότε διερχομένῳ σοι ἐκεῖθεν κατ' ἀρχὰς μικρὸν ἀνεγνωρίσθημεν, ἱκανῶς σε περὶ τούτων πεπληροφόρηκε, καὶ σιωπώντων ἡμῶν τὰ πράγματα παριστῶσα καὶ τὴν ὀδύνην τῶν ψυχῶν ταῖς μορφαῖς ἐξελέγχουσα. ἐξ οὗ δὴ καὶ αὐτὸς συμπαθήσας τότε,
C καὶ ἐν τούτῳ κοινωνήσας ἡμῖν τοῦ πάθους ἐν τῷ περὶ πολλοῦ ποιήσασθαι μαθεῖν τὴν περὶ τούτων ἀκολουθίαν, ἔκδηλος ἐγένου τῇ λύπῃ πληγεὶς καὶ πέρα τοῦ μετρίου τὴν καρδίαν ὀδυνηθείς. πλὴν οὕτω ταῖς πολλαῖς καὶ ἀπείροις ἐκείναις τῶν πειρασμῶν ταλαιπωρήσαντες καταιγίσι, καὶ οὐδὲν κρεῖττον οὐδ' ἐν αὐτῇ τῇ Τριπόλει, παρ' ὅσον ἐν αὐτῇ διετρίψαμεν χρόνον, γενόμενοι, ἀλλὰ μόνον ὅσον τὸ κατ' ἐμὲ καὶ μοχθηροτέροις τισὶν ὁμιλήσαντες (ἐκεῖσε γὰρ ἐγὼ καὶ τοῦ καλοῦ πατρὸς ἀπωρφανίσθην, καθάπερ ἄλλην ἀρχὴν τῶν δεινῶν τὴν ἐκείνου στέρησιν ἐφευράμενος), ὅμως
D μετὰ τὴν σὴν ἀναχώρησιν οὐ μετὰ πολὺν χρόνον προστάξει τοῦ τυράννου πάντες ὁμοῦ τῇ προτέρᾳ πάλιν βληθέντες νηῒ μετὰ καί τινων διακομιζόντων ἡμᾶς βαρβάρων ταύτην δὴ τὴν φρουρὰν τῆς Ταρσοῦ κατελάβομεν· καὶ νῦν ἐσμὲν ἐν μεθορίῳ δύο πραγμάτων

17 ἐφευρόμενος P

et tu ipse virorum studiosissime, si quos illorum Damasci et in circumiacentibus urbibus offendisti. offendisse enim illic non paucos scio, quod omnes naves Tyriae captivos suos in illas partes asportarunt. mitto enim ex nostra quoque tripoli commoratione, cum per illa loca tibi tum primo transeunti parumper innotuimus, perquam abunde te de his didicisse; quae et nobis tacentibus res repraesentet, animorumque dolorem ac cruciatum ex ipsa vultus specie certo indicet. quapropter tum tu quoque commiseratus, et fortunarum nostrarum particeps sociusque effectus, ea ratione quod horum omnem seriem doceri plurimi feceris, satis manifeste significas te a maerore laesum ultra modum animo indoluisse. ceterum eum in modum multis illis ac innumerabilibus afflictionum procellis divexati nihil melius, nec in ipsa tripoli, quandiu in illa morati sumus, nos habuimus, nisi quod (vel me certe quod attinet) prioribus etiam deterioribus malis oppressi sumus. ibi enim optimo quoque patre orbatus sum, velut aliud novum malorum initium illius nactus carentiam. attamen a tuo discessu, non multo post, ita mandante tyranno, omnes simul priori rursus navi impositi, quibusdam barbaris una vectoribus, ad hanc Tarsi custodiam venimus. et nunc inter duas res

ἐλπιζομένων, ἢ τοῦ τυχεῖν τῆς πάλαι θρυλουμένης διὰ τῆς σωτηρίου καταλλαγῆς ἀπολυτρώσεως, ἢ τῷ θανάτῳ παραπεμφθῆναι καθ' ἑκάστην ἐφεστῶτι ταῖς συχναῖς ἀρρωστίαις καὶ ἄλλως τοῖς ἐν τῇ φρουρᾷ πλησίον συνῳκισμένῳ. πλὴν οὐκ ἔχομεν ἀσφαλῶς γινώσκειν ὁποτέρῳ τούτων προτέρῳ διαλαχεῖν.

79. Ἐγὼ δὲ τὴν ἐπιταγὴν ἤδη πεπλήρωκα, πάνυ θαυ-
μάζων τὴν σὴν ἀρετήν, πῶς περὶ τούτων πεφιλοπόνηκας, ὥς καὶ P 383
διὰ γραμμάτων παρορμῆσαι ἡμᾶς δῆλά σοι πάντα ποιήσασθαι
τὰ περὶ τῆς ἁλώσεως τῆς καθ' ἡμᾶς πόλεως. οὐχ ἕνεκεν δέ τινος
ἄλλου τὴν σὴν ἀξίωσιν ἐκπληρῶσαι δίκαιον κέκρικα, ἀλλ' ἵν' ἔχῃς
ὑπόμνημα τῆς πρὸς ἡμᾶς φιλίας τὴν καθ' ἡμᾶς αὐτοὺς συμφο-
ράν, ἀεί σε περικεντοῦσαν τοῖς ἀλγεινοῖς καὶ πρὸς τὸν ζῆλον τῶν
καλῶν παραθήγουσαν. πέφυκε γάρ πως ἡ μνήμη τῶν λυπηρῶν
εἰς ἀρετὴν ἐνάγειν τῶν σπουδαίων τὸ φρόνημα, καὶ φοβερῶν
πραγμάτων ἐξήγησις ψυχικὴν ἀσφάλειαν ἀπεργάζεσθαι. ἀλλὰ μὴ
τῇ ἰδιωτείᾳ προσέχων τῆς συγγραφῆς τῶν αὐτῇ προσόντων τὴν B
ὠφέλειαν διαπτύσῃς, τῷ ἀτεχνεῖ δὲ μᾶλλον καὶ ἀνεπιτηδεύτῳ τῶν
λεγομένων τὴν πίστιν συνακολουθεῖν ἐννοούμενος εὐχαῖς ἡμᾶς
ἀμείψασθαι τῆσδε τῆς ἐγχειρήσεως προθυμήθητι, τὸν κοινὸν
δεσπότην ἐξιλεούμενος ἢ παρενεγκεῖν ἡμῖν τὰ δεινὰ ἢ καρτερῶς γε

6 θαυμάζω A

anxii nimis iactamur, aut salutari commutatione redimendi, aut mortem oppetituri; quae ipsa crebris quotidie aegritudinibus ingruat, ac praeterea iis qui in carcere detinentur prope contubernalis existat. haud tamen certo scire possumus utrum horum prius nanciscemur.

79. Ego vero iam tua iussa implevi, virtutem tuam non satis admirans, qua ratione ad haec pervestiganda sic adhibueris animum, ut et scriptis literis omnem nostrae urbis excidii narrationem ex me solicitaveris. nec ulla alia de causa tuis parere iussis operae pretium duxi quam ut amicitiae nostrae monimentum nostram hanc calamitatem haberes, quae te tristium recordatione continue compungat et ad eorum quae sunt honesta et officii aemulationem alacriorem reddat, funestarum siquidem rerum memoria studiosorum mentem ad virtutem promovere solet, terribiliumque narratio animis securitatem praestare consuevit. cave tamen ne scriptionis simplicitati animum attendens, quae illi inest, utilitatem despicias: sed potius nullo artificio concinnata inepteque digesta ipsa veritati haerere fidemque sibi conciliare existimans, eiusce vices operis preces nobis ex animo repende, communem dominum exorans ut

φέροντας ἐν τῇ ἡμέρᾳ τῆς αὐτοῦ δικαιοκρισίας τὸν τῆς ὑπομονῆς ἀξιῶσαι μισθόν.

Τέλος τῆς ἀξιομνημονεύτου ἱστορίας κῦρ Ἰωάννου τοῦ Καμενιάτου καὶ κουβοκλεισίου τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, ἣν ὀφείλει πᾶς τις, μάλιστα δὲ Θεσσαλονικεύς, ἐπιστατικῶς τε καὶ νουνεχῶς διελθεῖν ὡς πάνυ οὖσαν τό γε εἰς ψυχικὴν ἧκον ὠφέλειαν ἀρίστην τε καὶ λυσιτελεστάτην.

4 κουβουκλεισίου P   5 τε om P

aut a nobis mala amoveat, aut fortiter tolerantibus in die sui iusti iudicii patientiae mercedem tribuat.

Finis memoria dignissimae historiae domni Ioannis Cameniatae, cubuclesii sanctissimae metropoleos Thessalonicae, quam quilibet, sed Thessalonicensis potissimum, ut (quod ad animum attinet) optimam summeque proficuam solerter et cordate debet percurrere.

SYMEONIS MAGISTRI

ANNALES.

Σ Υ Μ Ε Ω Ν
ΜΑΓΙΣΤΡΟΥ ΚΑΙ ΛΟΓΟΘΕΤΟΥ
ΧΡΟΝΟΓΡΑΦΙΑ.

Κόσμου ἔτος ͵ϛτζʹ, τῆς θείας σαρκώσεως ἔτος ωζʹ, Ῥωμαίων P 401
βασιλεὺς Λέων Ἀρμένιος ὁ καὶ Χαμαιλέων, ὁ παραβάτης καὶ εἰκονομάχος, ἔτη ζʹ μῆνας εʹ. ἦν δὲ τὴν ἡλικίαν κοντός (διὸ καὶ Χαμαιλέων προσηγόρευται), ἐπίμεστος, εὐπρεπής, γένειον ἔχων καθιστάμενον, ὀγυρὸς τὴν κόμην, φωνὴν ἔχων βροντώδη δίκην λέοντος, θρασύς τε καὶ δειλός. διγενὴς δὲ ἦν ἐξ Ἀσσυρίων καὶ P 402
Ἀρμενίων· καὶ Ἀσσύριοι μὲν ἐξ Ἀσσύρων ἐκλήθησαν, Ἀρμένιοι δὲ ἀπὸ Ἀρμενίου τινὸς οὕτω καλουμένου, τοῦ ἀπὸ Ἀρμενίας πόλεως Θετταλίας γενομένου, ὃς Ἰάσονι συνεστράτευσεν.

S Y M E O N I S
MAGISTRI AC LOGOTHETAE
A N N A L E S
A L E O N E A R M E N I O
AD NICEPHORUM PHOCAM.

Mundi annus 6307, divinae Incarnationis 807, Romanorum imperator Leo Armenius, qui et Chamaeleon dictus est, fidei desertor et iconomachus, annos 7, menses 5. homo statura pusillus (quo etiam nomine Chamaeleon appellatus est) corpulentus atque torosus, decorus, barba plena, constipata caesarie, voce leonis in morem tonante; audax pariter et timidus: ex duplici unus prosapia, Assyriorum Armeniorumque genus. ac Assyrii quidem ab Assyris traxerunt nomen, Armenii vero ab Armenio quodam sic dicto, Armenia Thessaliae oppido oriundo, qui Iasoni fuit expeditionis comes.

2. Οὗτος ὁ Λέων στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου
ἐβεβαίωσεν αὐτὸν ἐγγράφως ὡς ὀρθόδοξός ἐστι τῇ πίστει. ἀλλὰ
γὰρ οὐκ ἔλαθεν τῷ καλῷ ποιμένι ὁ λύκος τῷ κῳδίῳ ἐγκεκρυμμέ-
νος· ὡς γὰρ τὸ διάδημα τῇ μιαρᾷ ἐκείνου κεφαλῇ περιτέθεικεν,
ἐδόκει ὡς ἀκανθῶν καὶ τριβόλων προστρίψεσιν ὀδύνης ἐπαισθά-
B νεσθαι. καὶ τῆς συνήθους τάξεως τελεσθείσης ἐπὶ τὸ παλάτιον
ὁ ἀλιτήριος εὐφημούμενος ἀπῄει. ὡς δὲ πρὸ τῶν τῆς Χαλκῆς
πυλῶν ἐν τῷ κατ' ἐπιφάνειαν κυκλικῷ καὶ πορφύρῳ μαρμάρῳ
ἐγένετο, εὐχαριστήριον ἀπεδίδου τῷ ἐκεῖσε Χριστοῦ τοῦ θεοῦ
ἡμῶν εἰκονίσματι, εἴτε ἀληθῆ εἴτε προσχήματι. ἔνθα ἐκδιδύ-
σκεται τὴν ἐσθῆτα, ἣν ἐπεβέβλητο ῥοδοειδέσι χρόαις ἐκλάμπου-
σαν, καὶ κολόβιον ὃ προσονομάζουσι κατὰ τὸ ἔκπαλαι τῶν στρα-
τηλατῶν τηρηθὲν ἔθος· καὶ Μιχαὴλ τῷ ἐξ Ἀμοραίων ἱπποκόμῳ
C αὐτοῦ ὄντι ἐπιδίδωσι. τοῦ δὲ ταύτην ἀναβαλλομένου, εἰς οἰωνὸν
μετὰ Λέοντα τῆς βασιλικῆς ἐπιβάσεως τοῖς εἰδόσι λελόγιστο. εἶτα
εἰς τὰ λεγόμενα Σκῦλα ἐλθόντες, τὴν ἐσθῆτα Λέοντος ἐπιβάσει
βαρείᾳ καθύβρισεν. ἐν συνέσει δὲ τούτου Λέων γενόμενος νεω-
τερισμόν τινα παραυτὰ ἔσεσθαι αὐτῷ οἰωνίσατο. (3) ἧκεν οὖν
εἰς λογισμὸν αὐτῷ περὶ τοῦ ἐν τῷ Φιλομηλίῳ μονάζοντος, ὃς ἐπὶ
τοῦ Βαρδανίου εἶπεν αὐτῷ τὰ συμβησόμενα. στέλλει οὖν αὐτῷ
τὰ πρὸς χρείαν κατ' εὐχὴν ἀναθήματα. ἐκείνου τοίνυν ἐν τῷ
μεταξὺ τελευτήσαντος, συνέβη ἀντ' αὐτοῦ ἕτερον μοναχὸν Σαβ-
D βάτιον λεγόμενον, ὃς καὶ τὰ τοῦ πρῴην μοναχοῦ ῥήματα ἤκουσεν

2. Hic Leo augustali corona donatus a Nicephoro patriarcha ab eoque inauguratus rectae fidei se cultorem esse scripto professus est. nec tamen lupus ovina pelle contectus bonum pastorem latuit. dum enim scelestum caput diademate cingit, videbatur sibi quasi spinarum ac tribulorum infixis aculeis doloris sensu affici iisque peruri. consueto inaugurationis ritu expleto, populo faustis ominibus deducente, miser ad palatium iter habebat. ut autem ad Chalces portam venit, quo loco templum orbiculari figura porphyretico marmore incrustatum splendescit, Christi dei nostri illic effigiei, seu veras seu specie tenus ac ludicro animo, gratias egit. ibi quam praetextam indutus erat, roseis coloribus fulgentem, ac quod more antiquo praetorum colobium vocant, exuens, suo tum equisoni Michaëli Amoraeo tradit. illo mox induente, in praesagium abiit rem scientibus adipiscendi post Leonem imperii. inde in locum dictum Scyla cum venissent, acriori incessu Leonis praetextam proculcavit. Leo re intellecta rebellionem aliquam in se mox excitatum iri coniecit. (3) venit igitur illi in mentem eius monachi, qui religiosa palaestra in Philomelio exercens, quae illi eventura essent, Bardane principe vaticinatus erat. mittit itaque voti causa, quae illi usui forent, munera donaque. illo enimvero interim vivis exempto, eius loco monachus alius, Sabbatius nomine, qui et antecessoris monachi verba au-

ἐπεισδύνας τῇ αὐτοῦ σκηνῇ, καὶ τῇ τῶν ἁγίων εἰκόνων προσκυνήσει ἀντικαθίστατο. θεασάμενος δὲ τὰ παρὰ τοῦ βασιλέως σταλέντα ἀποπέμπειν προσεποιεῖτο διὰ τὸ τὸν βασιλέα προσκυνεῖν τὰς ἁγίας εἰκόνας, ἀνθ' ὧν καὶ καταστρέψαι κύριον τὴν αὐτοῦ βασιλείαν ἐπιστέλλων προήγγειλεν. τούτοις φρεναπατηθεὶς ὁ βασιλεὺς μετακαλεῖται Θεόδοτον τὸν Κασσιτηράν, ὅστις καὶ πρὶν ἢ τῆς βασιλείας δράξεσθαι τὸν Λέοντα, γυναικός τινος πνεῦμα Πύθωνος ἐχούσης ἀκούσας ἐπὶ τῆς ἀγορᾶς περιπατούσης καὶ κραζούσης ὡς ὁ τῶν Ἀνατολικῶν στρατηγὸς μέλλει τὴν τοῦ Μιχαὴλ βασιλείαν δέχεσθαι, τὸν Λέοντα προσλαβόμενος ἄπεισιν ἐν τῷ P 403
τοῦ ἁγίου Παύλου ναῷ ἐν τῷ Ὀρφανοτροφείῳ, καὶ συνθήκας πρὸς ἀλλήλους φυλακῆς ποιησάμενοι, θαρρεῖν πρὸς αὐτόν, ὅτι μοι περὶ σοῦ ἐκ θείας ὁράσεως προέγνωσται ὡς τῆς βασιλείας τάχιον ἐπιτεύξῃ. τοῦτον οὖν τὸν Θεόδοτον μετακαλεσάμενος δείκνυσιν αὐτῷ τὰ ἀπεσταλμένα· ὃς τοῦ τοιούτου σκοποῦ δραξάμενος τῷ κακῷ κακὸν πλεονάζει, καὶ περί τινος μοναχοῦ τὴν οἴκησιν κεκτημένου ἐν τοῖς Μαυριανοῦ πείθει παρ' αὐτοῦ ἐνεργεῖσθαι παράδοξα, ἕτερον αὐτὸν ἐπιφημίζων μέγαν Ἀντώνιον. ταῦτα B
τῷ βασιλεῖ ὑποθέμενος ἄπεισι πρὸς τὸν μοναστήν, καὶ πεπλαστουργημένως τάδε φησίν, ὡς τῇ ἐπιούσῃ νυκτὶ τὸν βασιλέα εὐτελεῖ καταστήματι προσοίσω σοι, ὃν ἐπαρᾶσθαι καὶ τάχιον παρελθεῖν τοῦ βίου ἐξειπεῖν συμβουλεύομαι, εἰ μὴ Λέοντος τοῦ Ἰσαύρου στοιχειοῖτο τῷ δόγματι. καὶ ὡς εἰ τοῦτο παραφυλάξοι, οβ'

dierat, in eius cellam locumque successerat, sanctarumque imaginum cultui obsistebat. is ubi imperatoris ad se missa conspexit, abs se ablegare ac simulato repellere, quod ipse nimirum sacris imaginibus cultum adhiberet; quamobrem etiam deo vindice eius evertendum imperium data epistola malus vates ariolatus est. eoque factum ut Leo errore deceptus ac dementatus Theodotum Cassiteram accerseret. is nimirum iam ante adeptum Leoni imperium, audita muliere spiritu Pythonico afflata in foro ambulante ac vociferante fore ut Orientalium praetor Michaëlis in se imperium susciperet, eodem secum Leone assumpto ad sancti Pauli delubrum, quod in Orphanotrophio est, concesserat, dataque et accepta arcani tegendi fide divina sibi visione monstratum asseverat, fore ut ille brevi imperio potiretur. hunc ergo Leo Theodotum accersens, quas a monacho literas acceperat, ostendit. ille consilii eiuscemodi arrepto proposito, malumque malo cumulans, alterius quoque commeminit monachi, in Mauriani aedibus stationem habentis. ab eo inaudita patrari affirmat, et quae omnem fidem excedant, alterum magnum Antonium praeconio venditans atque celebrans. rem sic habere Leoni persuadet; tumque ad monachum veniens malo haec animo infit. "insequenti nocte imperator vili habitu me ductore praesto futurus est: tu, si me audies, maledictis incesses, brevique moriturum denuntiabis, ni Leonis Isauri doctrinam fidemque sequatur. hoc si praestiterit, annos duos supra

βασιλεύσειεν, καὶ παῖδας παίδων ἐπὶ θρόνου τῆς βασιλείας ἰδεῖν, καὶ τρισκαιδέκατος τῶν ἀποστόλων φανῆναι· εἰ δὲ μή, τἀναντία,
C μυρία δεινὰ καὶ ἀπώλειαν σύντομον. τῆς οὖν νυκτὸς ἐπιστάσης ἀπήει ὁ βασιλεὺς μετὰ Κασσιτηρᾶ πρὸς τὸν μοναχόν, καὶ εὐθὺς παραυτὰ ἀπορραπίζεται ὡς προεγνωκότος τὸ αὐτοῦ πρόσχημα, οὕτω λέγων, μὴ δεῖν ἐν ἰδιωτικῇ καταστάσει βασιλέα σε ὄντα οὑτωσὶ ὑποκρίνεσθαι. δι' ὧνπερ καταπλαγεὶς ὁ βασιλεὺς εὐπειθὴς τούτῳ καθίσταται πρὸς τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν· καὶ παρευθὺ τὸν ἐν αὐτῷ κατὰ τῆς εὐσεβείας ἰὸν ἐξεμέσας καὶ μανεὶς ἤρξατο τῆς αἱρέσεως.

D 4. Συμμύστας ἐπιζητήσας εὑρίσκει Ἰωάννην τὸν λεγόμενον γραμματικόν, ἄλλον Ἰαννὴν μᾶλλον ἢ Σίμωνα, ὃς καὶ Ὑλζιλᾶς ὠνομάζετο, ὅπερ Ἑβραϊστὶ ἑρμηνεύεται πρόδρομος καὶ συνεργὸς τοῦ διαβόλου· ἦν δὲ υἱὸς Παγκρατίου σκιαστοῦ, καὶ ἐκ παιδόθεν δαίμονα εἶχε, διαβεβόητο δὲ ἐπί τε λεκανομαντείαις καὶ αἰσχρουργίαις. εὗρε καὶ Κωνσταντῖνον πρεσβύτερον τζαγγαρίου, ὃς καὶ νομικὸς εἰς τὰ Φορακίου γέγονε, διὰ δὲ ἐγκλήματα φυγόντα καὶ γενόμενον μοναχὸν μετονομασθέντα Ἀντώνιον, μυθολόγον καὶ γελοιαστὴν καὶ αἰσχρῶς βιοῦντα· ὃς καὶ ἡγούμενος εἰς τὴν μονὴν
P 404 τὰ Μητροπολιτῶν γενόμενος καὶ τοὺς ὑπ' αὐτὸν ταῦτα ἐξεπαίδευσεν, ὕστερον δὲ κατὰ παραχώρησιν θεοῦ καὶ ἐπίσκοπος Συλαίου γέγονεν. εὗρε δὲ καὶ ἑτέρους τινὰς ὁμόφρονας αὐτῷ. ἐν τῷ ἀνα-

septuaginta potiturum imperio, filiosque filiorum visurum sedentes super solio; tertii decimi demum apostoli honore elatum iri. sin autem secus se gesserit, innumeris malis fore obnoxium brevique imperium cum vita amissurum." iam ergo noctis obscuro imperator Cassitera comite ad monachum profectus statim ab eo durius increpatur, tanquam ille fictum eius animum fraudemque praesciverit. "non sic decebat" inquit, "qui sis imperator, privati habitu personam simulare." his imperator stupore perculsus in sententiam abolendarum sacrarum imaginum facilem se adduci permisit; statimque quod animo impietatis virus condebat, evomens furiisque agitatus haeresis exordium duxit.

4. Symmystas vero sibi quaerens adiungere, Ioannem dictum grammaticum (quin alium magis Iannem aut Simonem) offendit, Hylzilam et ipsum nuncupatum; cuius Hebraica nominis interpretatio diaboli praecursor dicatur ac adiutor. erat vero ille Pancratii sciastae (dicamus nos pileorum artificis) filius, quem a puero daemon incesserat, ac cuius late rumor divinationum ex pelvi nomine turpitudinumque ac libidinum percrebuerat. invenit et Constantinum presbyterum sutoris filium, qui et leges in Phoracii docuerat, ac crimen, in quod vocabatur, a se amoliens sibique Antonii nomen adsciscens monachum induerat, homo fabulis atque ludicris studens, vitamque turpem agens. is monasterii quod Metropolitarum vocant factus praepositus, etiam quos imperio regebat monachos haec ipsa docebat; ac postea, deo sic permittente, Sylaei episcopus factus est. invenit et alios, qui ipsi idem sentirent. inter haec

μεταξὺ ἀστὴρ κομήτης ἐφάνη ἐν σχήματι δύο λαμπρῶν δίσκων σεληναίων, ἑνουμένων καὶ πάλιν διαιρουμένων εἰς διάφορα σχήματα, ὥς καὶ εἰς ἀκεφάλου διάπλασιν ἀνδρὸς τυποῦσθαι, οἷος καὶ ἐπὶ Μιχαὴλ βασιλέως τοῦ Κουροπαλάτου ἐφάνη· ὅνπερ τινὲς ἑρμηνεύσαντες ἔφασαν τὴν ἀκέφαλον εἶναι κεφαλήν, προδηλοῦντα τὸν μέλλοντα ἀνταρσίαις ἐπιθήσεσθαι μετὰ ταῦτα Θωμᾶν καὶ B τοὺς μετ' αὐτοῦ στασιαστάς. καὶ μέντοι καὶ σεισμοὶ φοβεροὶ καὶ λοιμοὶ καὶ αὐχμοὶ καὶ φλογώσεις γεγόνασιν ἐπὶ τῶν ἡμερῶν τοῦ θεοστυγοῦς.

5. Τῷ αὐτῷ ἔτει προσκαλεῖ Νικηφόρον ἀοίδιμον πατριάρχην καὶ τοὺς σὺν αὐτῷ ἐπισκόπους ἐνώπιον τῆς συγκλήτου, καὶ φησίν "ἴστε σαφῶς ὡς ἀνέστησάν τινες λέγοντες μὴ δεῖν προσκυνεῖσθαι τὰς εἰκόνας." πρὸς ὃν πρῶτος ὁ ἐν ἁγίοις Νικηφόρος φησί "τιμητέαι, ὦ βασιλεῦ, αἱ ἱεραὶ τῶν ἁγίων εἰκόνες εἰσὶν ὡς ἐξ ἀρχῆς θείῳ νεύματι φανεῖσαι. καὶ γὰρ ἡ ἁγία ὀθόνη ἥν ποτε C λαβὼν ὁ Χριστὸς ἐπέθετο ἐπὶ τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ εἶδος αὐτοῦ ἀχειροποιήτως ἐγένετο, τιμητέα καὶ σεβάσμιός ἐστιν. ἔπειτα αἱ τῶν ἁγίων ἀποστόλων ἰδιόχειροι εἰκόνες τοῦ τε αὐτοῦ Χριστοῦ καὶ τῆς τοῦτον τεκούσης, ἥ τε ἐν Ῥώμῃ μέχρι τοῦ νῦν τηρουμένη τῆς μεταμορφώσεως, καὶ ἀνεφάνη ὁ Χριστὸς μετὰ Μωσέως καὶ Ἠλία ἐν Θαβώρ· ἥτις προτροπῇ Πέτρου τοῦ κορυφαίου γέγονεν. ἀλλὰ μὴν καὶ ἐν τῇ Λύδδᾳ πόλει τῆς Ἑῴας τὸ γενόμενον. σε-

20 καὶ ἀνεφάνη] καθ' ἣν ἀν.? an καθὼς ἀν.? cf. p. 505 d

conspectus cometa est, figura duorum splendentium orbium tanquam lunae, simul coeuntium tumque in diversas figuras abeuntium, ut et in viri figuram trunco capite deinceps formarentur; cuiusmodi etiam Michaele Curopalata imperatore conspectum sidus. eius nonnulli praesagia exponentes dixerunt caput esse quod capite careat: nempe praesignare Thomam, qui postea arrepta tyrannide cum sociis ac coniuratis urbem aggressurus erat. sed et tremendi terrae motus luesque et siccitates ac inflammationes fuerunt per viri deo exosi dies.

5. Eodem anno virum inclytum Nicephorum patriarcham cum collegis episcopis coram senatu accersit, ac ait "plane non vos latet surrexisse quosdam qui dicant haud prorsus colendas esse imagines." ad quem primus ait S. Nicephorus "sane honori habendae sunt, o imperator, sacrae sanctorum imagines, ut quae a principio divino nutu exstiterint. quod namque acceptum quondam in manibus sacrum linteum sibique vultui adhibendo sua Christus effigie, nulla viri opera, obsignavit, merito honori habeatur ac dignum veneratione sit. deinde, quas apostoli suis ipsi manibus imagines pinxerunt (ipsius nimirum Christi eiusque genitricis) et quae etiamnum Romae servatur picta imago transfigurationis, per quam Christus cum Mose et Elia in Thabor eluxit, ac quam Petrus princeps apostolorum fieri praecepit. sed et quod Lyddae Orientis civitate miraculum exstitit. vetus enim venerabile templum

βάσμιος γὰρ ναὸς ἀρχαῖος ἔστιν εἰς ὄνομα τῆς θεοτόκου ὑπὸ πι- D *στῶν ἀνεγηγερμένος, ἐν ᾧ ἱστόρηται τὸ εἶδος τῆς θεοτόκου· ὃν ἀντιποιούμενοι ὡς οἰκεῖον οἱ Ἰουδαῖοι, ἡ θεομήτωρ ἀκούσασα ἐν Ἱερουσαλὴμ οὕτως εἶπεν, κεκλείσθω ὁ ναὸς καὶ εἰσίτω μηδείς, καὶ τῇ μʹ ἡμέρᾳ ἀνοιγέσθω· καὶ εἰ μὲν οὐδὲν ὀφθῇ σημεῖον ἐν αὐτῷ, ἔστω τῶν Ἰουδαίων ὁ ναός. μετὰ γοῦν τὴν προθεσμίαν ἀνοίξαντες ὁρῶσι τὸ εἶδος τῆς θεοτόκου τὸν Χριστὸν ὡς βρέφος ταῖς χερσὶ περιεχούσης, θαυμαστὸν ἅμα καὶ αἰδεσιμώτατον καὶ θεοπρεπέστατον εἶδος καὶ κάλλος, ἐν πλαξὶ διαυγέσι, καὶ ἐμφανὲς θεωρούμενον καὶ ὅλον δι' ὅλου εἰς βάθος κεχωρηκός· ὅπερ* P 405 *ἰδόντες Ἰουδαῖοι ἔφυγον. μετὰ ταῦτα πολλοὶ Ἰουδαῖοι καὶ Ἕλληνες ἀποξέσαι τοῦτο πειραθέντες ἠστόχησαν· μένει δὲ ὡσαύτως ἄχρι τοῦ νῦν ἡ ἀχειροποίητος ἐπὶ τῆς πλακὸς μορφὴ εἰς δόξαν θεοῦ. πρὸς τούτοις καὶ ἡ τῆς αἱμόρρους εἰκών, διὰ τῆς βοτάνης πᾶν πάθος ἰωμένη ἐν Πανεάδι καὶ πάσῃ τῇ γῇ."*

6. *Μετὰ τοῦτον ὁ ἱερὸς Εὐθύμιος μητροπολίτης Σάρδεων παρρησιασάμενος ἀπεστόμισε τὸν ἀλιτήριον. Θεόδωρος δὲ ὁ τῶν Στουδίου ἡγούμενος ἔφη "μὴ παρασάλευε, βασιλεῦ, κατάστασιν ἐκκλησιαστικήν· σοὶ μὲν γὰρ ἡ τῆς πολιτείας κατάστασις καὶ ἡ* B *τοῦ στρατοπέδου ἐπιστεύθη τούτων φροντίζειν, τὴν δὲ ἐκκλησίαν ἄφες." ὁ δὲ τύραννος ὑπερζέσας τῷ θυμῷ πάντας μεθ' ὕβρεων ἀπήλασεν, καὶ τὸν μὲν πατριάρχην Νικηφόρον ἐξώρισε καὶ τὸν*

sanctae dei genitricis nomine a fidelibus excitatum est, in quo eiusdem dei genitricis picta imago visitur. templum hoc cum Iudaei ut proprium sibi vendicare studerent, audiit, quae Hierosolymis versaretur, sancta deipara, inque haec verba respondit. 'clauso templo nemo ingrediatur; ac demum quadragesimo post die aperiatur. ac quidem si nullum in aede apparuerit signum, Iudaeorum iuris esto.' praestituto itaque die templo reserato, sanctae dei genitricis effigiem vident, Christum, pueri specie, manibus et sinu complectentis. mirandam sane omnique dignam veneratione divinissimoque decore effigiem ac pulchritudinem pellucidis appictam tabulis, ipsam aperte conspicuam, totamque ex toto alte pervadentem. ea conspecta Iudaei fuga se praeripuerunt. postea quoque multos Iudaeos Graecosque conatos abradere, frustrato eorum conatu illaesa, abs se abdicavit; manetque hactenus eodem se modo habens ad dei gloriam in tabella nullis hominum manibus effícta forma. praeterea quoque mulieris sanguine fluentis imago, herbae adminiculo omnem Paneade ac toto orbe aegritudinem sanans."

6. Secundo a patriarcha ordine vir sacer Euthymius Sardorum metropolita, libera et ipse confessione atque sermone, scelesto os occlusit. Theodorus vero Studii praepositus "noli, imperator," inquit, "ecclesiae statum convellere. nam tibi quidem ac tuis curis rei publicae status exercitusque procuratio credita est: verum ecclesiam ipsam sibi relinque." his nimio furore concitus tyrannus a se omnes indigne habitos expulit; ac quidem Nicephorum patriarcham et Theodorum exilio

Θεόδωρον· ὅτε καὶ λέγεται ὅτι τοῦ πατριάρχου Νικηφόρου ἐν ἐξορίᾳ παραπεμπομένου, πόρρωθεν ἰδεῖν Θεοφάνην τὸν τῆς Σιγριανῆς λεγόμενον καὶ τῆς μονῆς τοῦ μεγάλου Ἀγροῦ προϊστάμενον προορατικοῖς ὀφθαλμοῖς, θυμιάματά τε καῦσαι καὶ μετ' εὐχῆς ἀποπέμψαι, τὰς χεῖρας αἴροντα καὶ τῷ θεῷ τοῦτον παραδιδόντα καὶ τὸν ἀσπασμὸν ἐπιτείνοντα· καί τινος ἐρομένου αἰτίαν εἰπεῖν C ὅτι ἰδοὺ διέρχεται ἐν ἐξορίᾳ ὁ μέγας ὁμολογητὴς Νικηφόρος ὁ πατριάρχης, ὑπὲρ τῶν ἁγίων εἰκόνων ἀγωνιζόμενος. τὸν δὲ ἱερὸν Εὐθύμιον, ἅτε δὴ τὸν ἔλεγχον τῆς αἱρέσεως ἀποτομώτερον ἐκφωνήσαντα, τὰς σιαγόνας τοῖς ῥαπίσμασι καταθλᾷ καὶ ταῖς μάστιξι τὸν νῶτον καταξαίνει τοσοῦτον ὡς ἐν αὐταῖς τοῦτον ἐκπνεῦσαι. τούτων γενομένων Θεόδοτον τὸν Κασσιτηρὰν πατριάρχην χειροτονεῖ, ἄλογον ἄνδρα καὶ ἰχθύων ἀφωνότερον, καὶ διωγμὸν ἄσπονδον κατὰ τῆς ἐκκλησίας ἀναρριπίζει φανερῶς, τοῖς συμμύσταις αὐτοῦ καταπιστεύων, τρία ὑποθέντας αὐτῷ ποιῆσαι, τῆς ὀρθοδόξου ἡμῶν πίστεως τὴν ἄρνησιν, τῶν θείων εἰκόνων τὴν καθαίρεσιν καὶ τῶν εὐσεβούντων τὴν δίωξιν. D καὶ πρῶτον μὲν καθαιρεῖ πᾶσαν ἱερὰν τῶν ἐκκλησιῶν ἀναστήλωσιν, κἀντεῦθεν τοὺς εὑρισκομένους ἔχοντας εἰκόνα Χριστοῦ ἢ τῶν ἁγίων δειναῖς τιμωρίαις καὶ θανάτῳ κατεδίκασεν, πολλοὺς δὲ τῶν ἐν δόξῃ καὶ περιφανῶν, ἀλλὰ μὴν καὶ μοναχοὺς ἀπείρους, πεφόνευκεν.

7. Ἐπεὶ δὲ Μιχαὴλ τὸν ἐξ Ἀμορίου, οὗ τὴν παῖδα ἐκ τῆς

22 *alii τὸν υἱόν* margo P

relegavit: quando etiam ferunt Nicephorum patriarcham in exsilium proficiscentem, Theophanem Sigrianum nuncupatum, magni Agri (sic dicti monasterii) praepositum, prospiciendi vim habentibus oculis procul adspexisse, suffitusque accendisse, atque precibus votisque, sublatis in caelum manibus, eum prosecutum esse, deo nimirum commendando amplexusque atque salutes dirigendo. ac quodam quaerente causam dixisse Theophanem iccirco haec factitare, quod magnus confessor Nicephorus patriarcha, pro sanctis imaginibus agonem desudans, viam transiens in exsilium proficisceretur. sanctum autem Euthymium, quod austerius liberiorique voce haeresim coarguisset, colaphis pugnisque effractis malis, diris adeo verberibus dorso caedit ut in eis animum exhalarit. his ita peractis Theodotum Cassiteram patriarcham praeficit, mutum hominem et pisce elinguiorem; palamque adversus ecclesiam implacabilem excitat persecutionem, eorum quos symmystas sibi adhibuerat consiliis cedens. haec illorum tria documenta: orthodoxam Christianorum fidem negaret; divinas imagines everteret; pios ac orthodoxos persecutione vexaret. ac primum quidem ubique in ecclesiis erectas demolitur imagines: tum qui domi Christi sanctorumve ullam imaginem habere deprehensi essent, diris suppliciis ac morte damnavit: complures denique viros illustres ac claros (sed et monachorum innumeram turbam) nece sustulit.

7. Quod autem Michaelem Amorio ortum, cuius filiam ex spiritali

πνευματικῆς κολυμβήθρας υἱοποιήσατο, πατρίκιον καὶ ἐκκούβιτον ἐτίμησεν, αὐτὸς δὲ τῇ τολμηρίᾳ τῆς γλώττης τὸν Λέοντα ὠνεί- P 406 διζεν ὡς καθαιρέτην τῶν ἁγίων εἰκόνων, καὶ τὴν γαμετὴν αὐτοῦ ἀνοσίοις γάμοις ἐμμιγῆναι, ὑπολαβὼν αὐτὸν ἀνταρσίαν μελετᾶν εἰς τὸ τοῦ παλατίου λοῦτρον Πιθήκειον δεσμεῖ, κοντῷ τε προσδεθῆναι κελεύει καὶ τῷ καμιναίῳ πυρὶ παραδοθῆναι ἀνάλωμα· οὗ προβιβασθέντος ὁ βασιλεὺς εἱστήκει θεωρῶν τοῦτον. ἡ δὲ βασίλισσα Θεοδοσία δάκρυσιν ἱκετεύσασα τῆς μιαιφονίας ἐλυτρώσατο, καὶ ὁ βασιλεὺς τὸν ὑπεύθυνον ἐαθῆναι προσέταξεν. πρὸς δὲ τὴν ἑαυτοῦ γυναῖκα εἶπεν "ὦ γύναι, τὴν μὲν ἐμὴν ψυχὴν τῆς ἐκεῖθεν B σήμερον δίκης ἀπήλλαξας, ἴσως μὲν καὶ τῆς ζωῆς συντόμως στερήσεις· σὺ δὲ καὶ τὰ τέκνα ἡμῶν θεάσῃ τὸ ἀποβησόμενον." ἦν γὰρ αὐτῷ ἔκ τινος συμβουλικῆς βίβλου ὁ ἀναιρέσιμος χρόνος μεμνημένος. εἶχε γὰρ γραφὴν τοιαύτην, Λέοντος εἰκόνα θηρίου ὁλόκληρον, ἐν μὲν τῇ κεφαλῇ ἔχουσαν Χ γράμμα, ἐν δὲ τοῖς ὄπισθεν Φ, καὶ μέσον τοῦ θηρίου πρὸς αὐτὴν τὴν ψόαν ξίφος ἤγουν σπάθην ἐμπεπηγμένην καὶ ᾑμαγμένην· ἣν ὑποδείξας Στεφάνῳ, ᾧ ἐπίκλην Καπετωλίγης, ἔφη πρὸς αὐτὸν "τί δηλοῖ ταῦτα;" ὁ C δὲ ἔφη "ἄφες, δέσποτα, μὴ ἴδω καὶ τὴν γραφήν." ὁ δὲ οὐ κατεδέξατο. συλλογισάμενος οὖν ὁ Στέφανος λέγει τῷ βασιλεῖ "οὗτος ὁ λέων εἰς πρόσωπον τῆς βασιλείας κεῖται, καὶ μέσον τοῦ Χ γράμματος καὶ τοῦ Φ κακόν τι συμβαίνει αὐτῷ." καὶ ὁ βα-

11 *μέντοι?* 13 *Σιβυλλιακῆς?* cf. p. 22 c

piscina Leo adoptaverat, patricii dignitate ornarat et excubitorem praefecerat, isque audaciore ac procaci lingua, Leoni, uti sacrarum imaginum eversori exprobrabat, eiusque uxorem incestis nuptiis commiscendam fore dictitabat, moliri eum tyrannidem arbitratus, ad palatii Thermas, quas Pithecium vocant, vinctum paloque alligatum in fornacem igni exurendum iniici mandat; reique iam procinctu imperator spectator futurus adstabat. enimvero Theodosia Augusta lacrimis supplex ab ea virum liberat carnificina. iussus itaque a Leone interim dimitti reus, cuius haec ad uxorem verba "tu quidem, mulier, animam meam a futuro hodie liberasti iudicio; fortean vero etiam brevi vita privabis; ipsaque adeo ac liberi quid sit eventurum videbis." noverat enim ex quodam Sibyllinorum oraculorum libro, quo illi tempore, ut nece tolleretur, fatis indictum esset. nempe illo expressa erat figura eiusmodi. leonis figuram ex integro referebat. capiti litera *X* inscripta erat, a tergo vero litera *Φ*, mediae bestiae ad ipsa ilia impactus cruentus ensis haerebat. hac imperator Stephano cognomento Capitoliges ostensa, ex eo sciscitabatur quid haec sibi vellent. cui ille "sine, domine, ut nec oculis figuram usurpem." is enimvero nihil acquievit. tunc igitur Stephanus secum ipse reputans imperatori infit "leo iste in imperii signum positus est; ac inter literam *X* et *Φ* malum aliquod illi imminet."

σιλεὺς "τί ἐστι τὸ Φ καὶ τὸ Χ;" ὁ δέ φησι "μέσον τῆς Χριστοῦ γεννήσεως καὶ τῶν φώτων." ἀλλὰ καὶ ἐκ τοῦ ῥηθέντος αὐτῷ διὰ τοῦ πατρικίου Βαρδανίου παρὰ τοῦ ἐν τῷ Φιλομηλίῳ μονάζοντος, καὶ ἐκ τῆς ἀμφιάσεως καὶ ἐπιβάσεως τῶν ἐσθήτων, ὅτε πρὸς τὰ βασίλεια εἰς τὴν ἀρχὴν εἰσήρχετο. προσέτι δὲ καὶ ἡ τῆς μητρὸς ὄψις ἐπλήρου φόβου αὐτόν, ἣ τότε μὲν λεχθεῖσα εἰς οὐδὲν τούτῳ λελόγιστο, τὰ νῦν δὲ καὶ σφόδρα δάκνουσα ἐπέκειτο τὴν [D] ψυχήν. ἐφάνη γὰρ αὐτῇ, κατὰ τὸν ἐν Βλαχέρναις θεῖον ναὸν προσφοιτώσης ἀεί, κόρη τις ὑπὸ πολλῶν λευχειμόνων περιστοιχιζομένη καὶ ὁ ναὸς ἅπας αἵματι πλήρης. ταύτην οὖν τὴν κόρην εἰπεῖν τινὶ τῶν παρεστώτων, χύτραν πληρώσαντα αἵματι ἐπιδοῦναι τῇ μητρὶ τοῦ Λέοντος πιεῖν. αὐτῆς δὲ πολυετίαν προβαλλομένης δι' ἧς μήτε κρεῶν μήτε τινὸς τῶν ἐναίμων γεύσασθαι, καὶ διὰ τοῦτο μηδὲ ταύτης χρῄζειν τῆς χύτρας, "καὶ πῶς" ἀντέφη ἡ κόρη μετὰ θυμοῦ "ὁ σὸς υἱὸς οὐ παύεται ἐμὲ πολλῶν αἱμάτων πληρῶν καὶ τοῦτον τὸν ἐμὸν υἱὸν παροργίζων καὶ θεόν;" πολλά [P 407] τε ἔκτοτε ἐλιτάνευε τὸν ἑαυτῆς υἱὸν τῆς τῶν εἰκονοκαυστῶν αἱρέσεως ἀποστῆναι, τὴν ὄψιν αὐτὴν ἐκτραγῳδοῦσα. ἄλλη δὲ ὄψις τοῦτον ἐδειμάτου νυκτερινὴ τῆς πρώτης οὐκ ἔλαττον· τοῦ γὰρ ἀοιδίμου Ταρασίου τοῦ πατριάρχου πάλαι τὸν βίον μετηλλαχότος, ἤκουσε τοῦτον Μιχαὴλ τινα ἐξ ὀνόματος καλέσαι, καὶ ἐπιπηδή-

tum imperator "quid vero sibi volunt *X* et *Φ*?" ait ille "inter Christi natalem et *τῶν φώτων* diem" (Epiphaniorum scilicet atque luminum.) sed et quod patricio Bardane referente a Philomelio monacho dictum acceperat: ex eo item quod praetextam ille induerat, eiusque extremam vestis oram calcaverat, tum cum imperio potiturus ipse regiam intrabat. ad haec vero etiam matris visio terrore implebat. ipsa quidem quo tempore contigit nullius illi frugis habita est; nunc vero etiam gravius mordens animum ac distorquens incumbebat. nam cum illa ad divinam crebrius Blachernensem aedem sese conferret, piisque votis iugiter eam frequentaret, apparuit ei puella multo candidatorum satellitio stipata: aedes ipsa cruore inundabat. tum puella uni adstantium imperare, impleta cruore olla, imperatoris matri ut propinaret. excusante illa longosque obtendente annos, per quos nec carnes nec eorum aliquid quibus sanguis concretus est degustasset; iccirco neque olla hac illi opus esse; contra respondere puella cum ira, "ecquid vero filius tuus non cessat multis me cruoribus implere meumque hunc filium ac deum ad iracundiam provocare?" quo ex tempore etiam atque etiam filium rogabat ut se ab eorum qui sacras imagines flammis traderent ac abolerent haeresi abstineret, hanc lugubriter visionem deplorans. sed et alia visio nocturna nihil priore minorem terrorem iniiciebat. inclitae enim memoriae Tarasium patriarcham pridem vivis exemptum audivit Michaelem quendam ex nomine vocare, illumque irruentem letalem Leoni plagam

σαντα ἐπιπλῆξαι λέοντα καιρίαν καὶ κατὰ κρημνοῦ ὠθῆσαι ἄβυσσον ἔχοντος.

8. Ἀπὸ δὲ τῶν ἡμερῶν τοῦ ἀθέου Λέοντος ἦλθον οἱ Βούλγαροι μηδενὸς αὐτοὺς ὑπαντῶντος ἢ κωλύοντος ἕως τῆς πόρτης· B καὶ ποιήσας ὁ Κροῦμος θυσίαν κατὰ τὸ ἔθος αὐτοῦ ἔξωθεν τῆς Χρυσῆς πόρτης ἔθυσε ἀνθρώπους καὶ κτήνη πολλά· καὶ εἰς τὸν αἰγιαλὸν τῆς θαλάσσης βρέξας τοὺς πόδας αὐτοῦ καὶ περικλυσάμενος, καὶ ῥαντίσας τὸν λαὸν αὐτοῦ καὶ εὐφημισθεὶς ὑπ' αὐτῶν, διῆλθεν μέσον τῶν παλλακίδων αὐτοῦ προσκυνηθεὶς ὑπ' αὐτῶν καὶ δοξασθείς, καὶ ταῦτα θεωρούντων ἐκ τοῦ τείχους πάντων, καὶ μηδενὸς τολμῶντος κωλῦσαι αὐτὸν ἢ ἀπολῦσαι βέλος κατ' αὐτοῦ. καὶ ποιήσας πάντα τὰ ἐπιθυμητὰ αὐτοῦ καὶ ἅπερ ἐβούλετο, περιεκύκλωσεν τὴν πόλιν καὶ ἔβαλεν χάρακα ἐπ' αὐτῇ, καὶ ποιή- C σας ἡμέρας τινὰς καὶ πραιδεύσας τὰ ἔξωθεν τῆς πόλεως ἤρξατο ζητεῖν πάκτα χρυσίου καὶ ἱματισμοῦ ἀριθμὸν πολὺν καὶ κοράσια ἐπίλεκτα ποσότητα τινά. καὶ δὴ ποιήσας ὁ Λέων βουλὴν μετὰ τῶν ἀρχόντων ἐδήλωσε τὸν Κροῦμον ὅτι ἐλθὲ ἕως τοῦ αἰγιαλοῦ μετὰ ὀλίγων τινῶν μὴ ἐπιφερομένων ὅπλα, καὶ ἡμεῖς ἐξερχόμεθα διὰ τῆς θαλάσσης ἄοπλοι μετὰ χελανδίου, καὶ συλλαλοῦμεν, καὶ ἅπερ ᾐτήσω πάντα ποιοῦμεν. καὶ ταῦτα διαλαλήσαντες, διὰ τῆς νυκτὸς ἐξαγαγόντες τινὰς ἐνωπλισμένους τρεῖς ἄνδρας, κατέκρυψαν αὐτοὺς ἐν δωματίοις τισὶ τῶν Γάλλης ἔξωθεν τῆς πόρτης τῶν

2 ἔχοντα editio Paris. (P)

incussisse, atque in praecipitium, subiecta immensa voragine, impulisse.

8. Impii Leonis diebus, eoque imperii sceptra moderante, Bulgari, nemine occurrente atque eos aditu prohibente, ad urbis usque portam venerunt, Crumusque more gentis sacrificio extra portam Chrysem instructo homines ac pecora plura immolavit; tinctisque ad maris littus pedibus ac aqua lotus, lustratoque exercitu, faustis suorum vocibus ominibusque acceptus, per medium pellicum gregem, iis venerationis ergo procumbentibus ac laudantibus, processit. haecque adeo cunctis e muro spectantibus, ac cum nemo obniti auderet vel in eum iaculum mittere. cunctis itaque ex libito illi atque animo expletis, urbem obsidione cingit ac vallum mittit. producta dies aliquot obsidio, cunctisque ruri urbisque pomeriis direptis, auri pensum annuum vestiumque ingentem copiam ac puellarum lectarum certum numerum exposcere coepit. quare Leo, consilio cum proceribus habito, Crumo significat, cum paucis quibusdam inermibus ad maris littus procedat; ipsos pariter inermes navi accessuros, collatoque mutuum sermone, quicquid ille petierat, id se praestituros. haec cum ita significassent, tres quosdam armatos noctu educentes, in Gallae aedibus ad Blachernarum portam ex

Βλαχερνῶν, δώσαντες αὐτοῖς σύσσημον ὅτι διαλεγομένων ἡμῶν μετὰ τοῦ Κρούμου, σημεῖόν τι ἔχομεν ποιῆσαι, ὅπερ θεασάμενοι D *ἐξέλθατε καὶ ἀποκτείνατε αὐτόν. καὶ τῇ ἐπαύριον ὄντων τῶν Βουλγάρων ἐπὶ τὸ μέρος τῶν ἁγίων Ἀναργύρων ἔξωθεν τῆς πόλεως, κατῆλθεν ὁ Κροῦμος ἐπὶ τὴν θάλασσαν κατὰ τὴν συνταγὴν μετὰ ἄλλων τριῶν, τὸν λογοθέτην αὐτοῦ καὶ Κωνσταντῖνον τὸν λεγόμενον τοῦ Πατζικοῦ φυγόντος εἰς Βουλγαρίαν πρὸ πολλῶν ἐτῶν, ἔχοντα καὶ τὸν υἱὸν αὐτοῦ ὄντα ἐξ ἀδελφῆς τοῦ Κρούμου· οἵτινες τέσσαρες ἐξελθόντες ἐκ τοῦ λαοῦ αὐτῶν ἄοπλοι κατῆλθον ἕως τῆς θαλάσσης κατὰ συνταγήν, μὴ γινώσκοντες τὸ ἔνεδρον αὐτῶν. λοιπὸν δὲ καὶ οἱ ἐκ τῆς πόλεως ἐξῆλθον μετὰ χελανδίου* P 408 *βουλόμενοι συλλαλῆσαι μετὰ τοῦ Κρούμου, καὶ λαβόντες λόγον ἐξῆλθον τοῦ καραβίου· καὶ ἀποκαβαλικεύσας ὁ Κροῦμος ἐκάθισεν ἐπὶ τοῦ ἐδάφους, καὶ τὸν ἵππον αὐτοῦ ὁ υἱὸς Κωνσταντίνου στρωμένον καὶ χαλινωμένον ἐκράτει. καὶ διαλεγομένων αὐτῶν ἐποίησεν ὁ εἷς τῶν ἐκ τῆς πόλεως τὸ σημεῖον, ὃς ἦν Ἑξαβούλης, τῇ χειρὶ τὴν κεφαλὴν ἀποσκεπάσας. ὃν ἰδὼν ὁ Κροῦμος καὶ σκανδαλισθεὶς ἀνεπήδησεν· καὶ ἔχων ἕτοιμον τὸν ἵππον, σηκώσαντες αὐτὸν οἱ μετ' αὐτοῦ, ἐκαβαλίκευσεν. καὶ ἀνέκραζεν ὁ λαὸς ἀπὸ τοῦ τείχους "ὁ σταυρὸς ἐνίκησεν." καὶ αὐτὸς ἤρξατο φεύγειν. καὶ ἐξελθόντες οἱ ἐνωπλισμένοι ἐκ τῶν δωμάτων κατεδίωξαν ὀπίσω* B *τοῦ Κρούμου, καὶ ἀπολύσαντες αὐτῶν τὰ βέλη ὡς ᾠήθησαν ὅτι ἐπλήγωσαν αὐτόν, αὐτὸς δὲ μονώτατος ἔφυγεν εἰς τὸν λαὸν αὐτοῦ. οἱ δὲ ἄλλοι τρεῖς ἐπιάσθησαν ὑπὸ τῶν ὄντων ἐν τῷ χελανδίῳ.*

2 *τινα* P

insidiis collocarunt, data tessera ut interim conserto cum Crumo sermone aliquod signum ederent, quo conspecto ex insidiis egressi in Crumum impetum darent. postero die Bulgaris ad aedem sanctorum Anargyrorum extra civitatis portam considentibus, Crumus ex condicto cum aliis tribus (eius scilicet logotheta et Constantino Patzici nuncupato, qui ante annos plures in Bulgariam fugerat, ac quem ille filium ex Crumi sorore sustulerat) ad mare descendit. hi quattuor, a reliquo inermes abiuncti exercitu cum aliis tribus, ad mare usque, uti constitutum erat (quos laterent insidiae) venere. egressi pariter ex urbe lintre vecti, qui cum Crumo sermonem collaturi erant; acceptaque fide ex navicula exiere. Crumus equo desiliens humi resedit; equum sella frenisque instructum tenebat filius Constantini. interea iis sermonem miscentibus, unus quis ex urbe signum dedit, Exabules scilicet, qua manu caput aperuit. animadvertit Crumus, reique indicio offensus resiliit, iamque parato equo a sociis evectus illo insedit. tum populus e muro clamare "vicit crux;" ac Crumus fugam arripuit. egressi ex aedibus qui armati latebant, retro insecuti sunt; missisque spiculis cum se eum vulnerasse putarent, ille ad suos incolumis evasit. alii tres capti sunt ab iis qui

καὶ ὁ μὲν λογοθέτης παραυτὰ ἐσφάγη, Κωνσταντῖνος δὲ καὶ ὁ υἱὸς αὐτοῦ ζῶντες ἐπιάσθησαν.

9. *Λοιπὸν οὖν τούτων γενομένων θυμωθεὶς ὁ Κροῦμος ἐκέλευσε τῇ ἐπαύριον ἐμπυρίσαι καὶ καταστρέψαι πάντα τόπον· καὶ ἀρξάμενοι ἐμπυρίζειν κατέκαυσαν πάσας τὰς ἐκκλησίας τὰς ἀντίπεραν τῆς πόλεως, μεγάλας οὔσας, ἃς ἀνεκαίνισαν Εἰρήνη καὶ Νικηφόρος καὶ Μιχαήλ· ὁμοίως καὶ τὰ μοναστήρια καὶ τὰ*
C *παλάτια καὶ τοὺς οἴκους καὶ τὰ προάστεια. καὶ ἐλθόντες εἰς τὸν ἅγιον Μάμαντα ἐνεπύρισαν τὰ ἐκεῖσε παλάτια καὶ τοὺς βασιλικοὺς κοιτῶνας, καὶ τοὺς κίονας κατέκλασαν, καὶ τοὺς μολίβδους ἐπῆραν καὶ τὰ ζῴδια τοῦ ἱπποδρομίου, καὶ πᾶσαν τὴν αἰχμαλωσίαν κατέσφαξαν, ὁμοίως καὶ τὰ κτήνη. καὶ διελθόντες τὴν παραθαλασσίαν τοῦ Στενοῦ καὶ τὴν ἄνω πάντα τὰ ἐμπόρεια κατέκαυσαν, καὶ ἄραντες σκῦλα πολλὰ ᾤχοντο. καὶ πιάσαντες τὸ δεξιὸν μέρος τῆς πόλεως πρὸς ἀνατολάς, κατέκαυσαν τὰ ἔξωθεν τῆς Χρυσῆς πόρτης ἕως τοῦ Ῥιγίου. καὶ ἐλθόντες εἰς τὸν Ἀθύρα κατέστρεψαν τὸ ἐκεῖσε κάστρον καὶ τὴν γέφυραν παράξενον οὖσαν καὶ πάνυ*
D *ὀχυρωτάτην. καὶ ἐλθόντες εἰς Σηλυβρίαν κατέστρεψαν τὸ αὐτόθι κάστρον ἕως τοῦ ἐδάφους, καὶ τὰς ἐκκλησίας καὶ τοὺς οἴκους ἐνεπύρισαν. καὶ μετὰ τοῦτο τὸ Δαώνην κάστρον ὑπάρχον κατέστρεψαν. καὶ ἐλθόντες εἰς τὴν πόλιν Ἡρακλείας, μὴ δυνάμενοι εἰς αὐτὴν ἐλθεῖν, ἐνεπύρισαν πάντα τὰ οἰκήματα τὰ ὄντα εἰς τὸν λιμένα καὶ τὰ πέριξ τῆς αὐτῆς πόλεως. καὶ μετὰ τοῦτο ἐλθόντες εἰς Ῥαιδεστὸν κατέστρεψαν καὶ τοῦτο τὸ κάστρον, ἐμπυρίσαντες*

in lintre erant. ex iis logotheta statim iugulatus, Constantinus eiusque filius vivi capti sunt.

9. Iam itaque his ita gestis, furore accensus Crumus omnia loca in crastinum igni ferroque suos vastare praecepit. coeptoque incendio ecclesias omnes trans urbis portum, magnas sane ac superbo opere, quas Irene et Nicephorus atque Michael instauraverant, monasteria item et palatia aedesque alias ac suburbana igni devastarunt. ad S. Mamantem pariter progressi his, quae ibi sunt, palatiis regiisque ac sacris cubiculis ignem subiecerunt, ac columnas confregerunt. plumbi moles circique ambitum ornantes statuas sustulerunt. captivos omnes iugularunt; similiter quoque pecora peremerunt. hinc Steni littora superioremque oram peragrantes navalia omnia succenderunt, ingentique potiti praeda abierunt; dextraque civitatis parte occupata ad Orientem, quae sunt extra Chrysem portam ad Rigium usque combusserunt. Athyra cum venissent, quod illic est oppidum, rari quoque operis pontem, ipsumque longe firmissimum, everterunt. Selybriam profecti eius loci oppidum solo aequaverunt, ecclesiasque et domos incenderunt. exinde Daonem oppidum demoliti, Heracleam cum venissent nec civitatem ingredi potuissent, domos omnes ad littus positas, et quae urbi circumvicina sunt praedia locaque, combusserunt. postea Rhaedestum venientes, hoc

πάντα τὰ ἐν αὐτῷ οἰκήματα καὶ τὰς ἐκκλησίας καὶ κατασφάξαντες αὐτόθι λαὸν πολύν. καὶ ἐλθόντες εἰς τὸ Πάνιον κάστρον εὗρον αὐτὸ ἠσφαλισμένον, ἔχοντα λαὸν πολύν· καὶ μηδὲν ἰσχύσαντες εἰς αὐτό, τὰ ἔξω πάντα ἐμπυρίσαντες καὶ καταστρέψαντες ἀνῆλθον εἰς τὸν Ἄσπρον, κάστρον ὂν καὶ αὐτό, καὶ καταστρέψαντες καὶ P 409 τοῦτο καὶ ἐμπυρίσαντες, καὶ ἕτερα πλεῖστα κάστρα, κατῆλθον ἐκεῖθεν δι' ἡμερῶν δέκα, καὶ εἰσῆλθον εἰς τὰ ὄρη τοῦ Γάνου· καὶ εὑρόντες ἐκεῖσε λαὸν πολὺν κρυπτόμενον καὶ σχεδὸν πάντα τὰ κτήνη τῆς Θρᾴκης, κατέσφαξαν τοὺς ἀνθρώπους, καὶ τὰ κτήνη ὄντα εἰς πλῆθος αἰχμαλωτεύσαντες ἀπέστειλαν εἰς Βουλγαρίαν, καὶ γυναικόπαιδα πολλά. καὶ λοιπὸν ἀπῆλθον καὶ εἰς τὸ Ἑξαμίλην, καὶ κατῆλθον ἕως Ἄβυδον, καὶ ἀνέκαμψαν ἐπὶ τὸν Ἕβρον καὶ τὴν ἄνω, καὶ πάντα τὰ κάστρα κατέστρεψαν ἀπὸ μικροῦ ἕως B μεγάλου ἕως τῆς Ἀδριανουπόλεως. καὶ εὑρόντες τὴν Ἀδριανούπολιν κραταιουμένην παρεκάθισαν. καὶ ποιήσαντες ἡμέρας πολλὰς καὶ μηδὲν ἰσχύσαντες ἀπὸ τοῦ περικαθισμοῦ, στήσαντες μαγγανικὰ ἐπολέμουν τὸ κάστρον. καὶ δὴ στενωθέντες, μὴ ἔχοντες βοήθειάν ποθεν καὶ ἀποθνήσκοντες τοῦ λιμοῦ, παρέδωκαν ἑαυτούς. καὶ λαβόντες οἱ Βούλγαροι τὴν αἰχμαλωσίαν πᾶσαν εἰς πλῆθος οὖσαν ἀναρίθμητον καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν, μετῴκισαν αὐτοὺς εἰς Βουλγαρίαν ἐκεῖθεν τοῦ Ἴστρου ποταμοῦ. καὶ τούτων γινομένων ὁ Λέων τῆς πόλεως οὐκ ἐξῆλθεν, ἀλλ' C

3 ἔχον τε? 16 παρακαθισμοῦ?

quoque oppidum demoliti, cunctas in eo aedes ac ecclesias incenderunt, multamque ibi hominum turbam sustulerunt. Panium cum venissent, oppidum munitum invenerunt ingentique tutum praesidio militum; frustraque eius tentatis moeniis, suburbanis omnibus igni ferroque vastatis, indeque Asprum versus, quod ipsum oppidum est, iter dirigentes, eo quoque aliisque pluribus oppidis eversis atque incensis, abhinc digressi decem circiter dies Gani montes intrarunt. illic latentis plebeculae innumeram nacti multitudinem cunctaque fere Thraciae pecora, hominibus neci traditis, pecora puerosque ac mulieres ingenti turba captivos in Bulgariam misere. iamque adeo ad Hexamilium quoque transeuntes Abydum usque descenderunt; flexoque itinere Ebrum assecuti ac superiorem illi regionem, oppida omnia maiora pariter et minora Adrianopolim usque everterunt. Adrianopolim autem munitam cum invenissent, urbem obsederunt; protractaque dies non paucos obsidione, cum potiri civitate non possent, instructis machinis eam oppugnare coeperunt. et vero cives in angustias coacti, cum nulla auxilii spes usquam affulgeret diraque fames consumeret, hostibus deditionem fecere. Bulgari captivis omnibus acceptis, tanta multitudine ut et numerum vinceret, omnique illorum direpta supellectili, in Bulgariam trans Istrum flumen procul deportarunt. interea Leo, tantaque hostis grassatione, nec urbe egressus,

ἐκράτει τῆς βασιλείας τυραννικῶς. καὶ λοιπὸν φθασάντων τῶν ἑορτῶν ἔστεψεν τὸν υἱὸν αὐτοῦ μικρὸν ὄντα καὶ ἐπονομαζόμενον Σαμβάτην, ἐψεύσατο λέγων ὅτι Κωνσταντῖνος καλεῖται· καὶ σωρεύσαντες τὸν περισωθέντα λαὸν ἐκ τῶν διαφόρων πόλεων, ἐρόγευσεν αὐτούς, ποιήσας αὐτοὺς εὐφημῆσαι Λέοντα καὶ Κωνσταντῖνον, μιμούμενος τοὺς πρώην βασιλεύσαντας Λέοντα καὶ Κωνσταντῖνον τοὺς Ἰσαύρους, ὧν καὶ τὴν αἵρεσιν ἀνενεώσατο, βουλόμενος ζῆσαι ἔτη πολλὰ ὡς καὶ αὐτοὶ καὶ γενέσθαι περίφημος·
D οὗ τινὸς τὴν βουλὴν ὁ θεὸς κατῄσχυνεν, κόψας τοὺς χρόνους αὐτοῦ.

10. Καὶ δὴ λοιπὸν γεγονότος εὐδίου τοῦ ἀέρος τῷ χειμῶνι, καὶ τῶν ποταμῶν μὴ ἐχόντων ὕδωρ πολύ, ἐξῆλθον οἱ Βούλγαροι χιλιάδες λʹ ὁλοσίδηροι· καὶ ἐλθόντες ἕως Ἀρκαδιούπολιν καὶ περάσαντες τὸν Ῥιγίαν (ποταμὸς δὲ οὕτως ἐστὶν λεγόμενος) ηὗρον λαὸν πολὺν καὶ ᾐχμαλώτευσαν αὐτόν. καὶ πρὸ τοῦ περᾶσαι αὐτοὺς τὴν αἰχμαλωσίαν ἐγένετο ὑετὸς πολὺς ἡμέρας ὀκτώ, καὶ ὀγκωθεὶς ὁ ποταμὸς ἐγένετο ὡς θάλασσα. καὶ μὴ
P 410 δυνάμενοι ἀντιπερᾶσαι οἱ Βούλγαροι ἔμειναν ἡμέρας ιεʹ, κατέχοντες τὴν αἰχμαλωσίαν. καὶ μηνύσαντες τὸν Λέοντα τοῦ βοηθῆσαι, οὐ προσέσχεν, οὐδὲ τῆς πόλεως ἐξῆλθεν, οὐδὲ ἄλλους τινὰς ἀπέστειλεν πρὸς βοήθειαν. καὶ λοιπὸν γενομένης εὐδίας καὶ τοῦ ποταμοῦ ἐλαττωθέντος, αὐτοὺς τοὺς αἰχμαλώτους παρεσκεύασαν

3 ὃν ἐψεύσατο? 11 εὐδία P

tyrannice imperium tenebat. cumque iam festa venissent Nataliciorumque solennis, filium suum adhuc pusillum Sammatem nomine, quem falso Constantinum vocari aiebat, corona Augustali donavit; collectisque ex diversis urbibus qui cladi superstites essent manipulis, erogata eis pecunia, faustis acclamationibus votisque Leonem ac Constantinum prosequi iussit, illos imitatus qui nuper imperium gessissent, Leonem et Constantinum Isauros, quorum etiam haeresis instaurator fuit, dum velut illi, longaevos sibi imperii annos auguratus, ingentem nominis claritatem ambit; cuius tamen deus consilium in angustum coactis ipsius annis confudit.

10. Ceterum sudo hiemis tempestate aëre, hincque adeo fluviatilibus aquis subsidentibus, facta Bulgarorum ad triginta milia cataphractorum excursio; venientesque Arcadiopolim, ac superato Rigio (hoc nimirum fluvii nomen) inventam ingentem hominum multitudinem sub iugum miserunt. necdum vero transmissis captivis, ingenti imbrium vi in dies octo sic fluminis aquae intumuerunt, ut maris prope vastitatem aequare viderentur. cumque inde permeari non posset, dies quindecim in stativis captivos tenuerunt. rogata illis frustra a Leone auxilia: nam nec animum attendit, nec urbe ipse prodiit, nec qui suppetias irent ullos alios misit. iamque adeo facto sereno atque flumine intra alveum compresso, ipsosmet captivos ligna caedere ac pontem struere coegerunt;

κόψαι ξυλὴν καὶ ποιῆσαι γέφυραν, καὶ οὕτως ἐπέρασαν μετὰ τῆς αἰχμαλωσίας ὄντων ὁμοῦ ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων χιλιάδες ν΄. λαβόντες καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, Ἀρμενιατικὰ στραγλομαλωτάρια καὶ νακοτάπητα ἀνώτερα καὶ ἱματισμὸν πολὺν καὶ χαλκώματα, ἐφόρτωσαν πάντα εἰς τὰς ἁμάξας, καὶ λαβόντες B πάσας τὰς ἀγέλας αὐτῶν βόας καὶ πρόβατα εἰσῆλθον εἰς Βουλγαρίαν. καὶ ὁ ἀδίκως βασιλεύσας κατὰ παραχώρησιν θεοῦ οὔτε αὐτὸς ἐξῆλθεν τῆς πόλεως πρὸς βοήθειαν τῆς αἰχμαλωσίας οὔτε ἄλλους ἀπέστειλεν.

11. Λοιπὸν οὖν μετὰ ταῦτα ἀνηγγέλη αὐτῶν λεγόντων ὅτι ὁ Κροῦμος ἐστράτευσεν λαὸν πολὺν συναθροίσας καὶ τοὺς Ἀβάρεις καὶ πάσας τὰς Σκλαβινίας· πρὸς δὲ τούτοις παρασκευάζει διαφόρων ἑλεπόλεων ὄργανά τε καὶ μηχανήματα καὶ μαγγανικὰ παμμεγεθέστατα, τριβόλους καὶ πετροβόλους καὶ χελώνας καὶ C ὑψηλοὺς κλίμακας, σφαίρας τε καὶ μοχλοὺς καὶ ὄρυγας, κριούς τε καὶ βελοστάσεις, πυρόβολά τε καὶ λιθόβολα καὶ σκορπίδια εἰς τὸ βαλέσθαι βέλη καὶ σφενδόνας, πάντα τὰ μηχανήματα κατὰ τῶν ἐπάλξεων πρὸς τὸ ἑλεῖν τὴν πόλιν. ἐπὶ τὸ δυτικὸν δὲ μέρος, φησίν, τῆς πόλεως κατὰ τοῦ τείχους τῶν Βλαχερνῶν ταῦτα πάντα βούλεται προσαγαγεῖν τὰ μηχανήματα, ἔνθα καὶ ἐτοξεύθη, σταβλίζων βόας χιλιάδας δέκα πρὸς τὸ βαστάξαι πάντα τὰ προλεχθέντα ὄργανα, τεθέντα ἐπὶ ἁμαξῶν, ἃς προσέταξεν χιλιάδας ε΄ σιδηροδεθέντας. ταῦτα ἀκούσας Λέων, πέμψας τε κατασκόπους καὶ μα- D

10 αὐτῷ?

inque hunc modum cum iisdem, ad quinquaginta circiter milia, virorum mulierum ac puerorum, amnem transmiserunt; omnemque eorum substantiam, Armeniacas vestes stragulas, grandesque acu pictos tapetes ac vestimentorum multam supellectilem, vasaque aenea, cuncta curribus imposita; omnes denique greges et armenta, bovesque et oves, convexerunt; hacque ditati praeda in Bulgariam intrarunt. nec qui dei indulgentia inique sceptra moderabatur, aut ipse opem laturus captivis egressus est, aut qui ferrent alios ullos destinavit.

11. Iam igitur perlatus ad Leonem rumor, ingentem Crumum conflare exercitum, Avaresque et Sclabinorum copias omnes adlegisse; ad haec, instrumenta atque machinas tormentaque expugnandis urbibus comparata omnis generis struere, ingentia sane illa; tribulosque seu murices et testudines, altas scalas, globos, vectes, ligones vasaque fossoria, arietes, balistas, ignea iacula, petrarias, scorpiones mittendis iaculis ac fundas; quicquid denique machinarum quatiendis eruendisque turribus ac propugnaculis ad urbis excidium adhiberi queat, ad urbis occiduam partem murosque Blachernarum visum illi adhibere omnia, ubi et telo petitus fuerat. boum decem milia cunctis his convehendis stabulari; currus ferro vincti iussi fieri, ad quinque milia. Leo hostis apparatu au-

θῶν τὴν ἀλήθειαν, συναθροίσας λαὸν πολὺν καὶ τεχνίτας ἤρξατο κτίζειν ἕτερον τεῖχος ἔξωθεν τοῦ τείχους τῶν Βλαχερνῶν, κόψας καὶ τὴν σούδαν πλατεῖαν. καὶ ἀρξάμενος κτίζειν, μήπω τελέσας, ἵνα δείξῃ ὁ θεὸς ὁ διασκεδάζων βουλὰς ἐθνῶν, ἀθετῶν λογισμοὺς λαῶν καὶ ἀθετῶν βουλὰς ἀρχόντων, ὅτι οὐκ ἐν τῇ μηχανίᾳ καὶ τῇ ἰσχύϊ αὐτῶν οἱ ἄνθρωποι δύνανταί τι ποιῆσαι, οὔπω τοῦ ἔαρος καταλαβόντος, ὥς φασί τινες διασωθέντες τῆς αἰχμαλωσίας ἀπὸ Βουλγαρίας, περὶ τῇ μεγάλῃ πέμπτῃ τοῦ πάσχα ὁ πρῶτος Βουλγαρίας ὁ Κροῦμος, ὁ περίφημος, ὁ τὴν πόλιν ἑλεῖν βουλόμενος,
P 411 τέλει τοῦ βίου ἐχρήσατο ἀοράτως σφαγιασθείς· ὃς καὶ ἐξήγαγεν αἱμάτων ὀχετοὺς διά τε τοῦ στόματος καὶ τῶν ῥινῶν καὶ τῶν ὤτων αὐτοῦ, καὶ οὕτως ἀπέρρηξεν τὴν ψυχὴν αὐτοῦ ἐν κακοῖς.

12. Ἐπαρθεὶς τοίνυν τῷ φρονήματι ὁ Λέων, ὅτι αὐτὸς κατέβαλε τὸν πολέμιον, οὐχὶ θεός, ἔπεμψεν εἰς πάσας τὰς χώρας σάκρας, ἀναγγέλλων ὅτι εὗρον τοὺς Βουλγάρους ἐγγὺς ὄντας τῆς πόλεως, καὶ διὰ τῆς φρονήσεως καὶ ἀνδρίας καὶ διὰ τῆς ἀγωγῆς μου τοξεύσας τὸν πρῶτον αὐτῶν πάντας ἀπώλεσα· ὅστις καὶ διὰ τὴν πρόφασιν ταύτην ἀποθνήσκει, φησίν, ὁ ἐχθρὸς ἡμῶν. καὶ
B ταῦτα μὲν περὶ τούτου· (13) λέγεται δὲ καὶ φωνὴν οὐρανόθεν ῥαγῆναι αὐθωρόν, τὴν τοῦ ἀθέου βασιλέως κατάλυσιν εὐαγγελιζομένην, καὶ πολλοῖς πλέουσιν ἀκουστὴν γενέσθαι· ἧς τὸν καιρὸν

5 εὐμηχανίᾳ?

dito, missisque exploratoribus ac veritate comperta, ingentibus conductis copiis ac artificum turba, extra Blachernarum murum murum alium aedificare coepit, vallumque latum excisum opposuit. iamque coepto solummodo opere ac necdum peracto, deus, qui dissipat consilia gentium et reprobat cogitationes populorum reprobatque consilia principum (Ps. 32 10), ut ostenderet nihil quemquam iuvare ad aliquid praestandum industriam propriam ac potentiam, necdum vere exorto, ut quorundam a Bulgarica captivitate receptorum relatu compertum est, magna scilicet Quinta, Bulgariae princeps, clarissimus Crumus, qui capiendam urbem animo destinaverat, invisibili dei potentia mactatus fatis concessit, sanguinis rivos ore naribus auribusque profundens; atque in eum modum animam in malis abrupit.

12. Eo successu animo elatus Leo, ac si ipse, non deus, hostem profligasset, destinatis in omnes urbes ac provincias divalibus literis in haec verba scribit. "Bulgaros offendi iam urbi imminentes, meaque solertia et robore, facta denique impressione, eo telis confosso qui inter eos primus ac princeps erat, omnes internecione delevi; eoque vulnere" inquit "hostis noster occumbit." atque haec hactenus. (13) aiunt vocem caelitus missam mox erupisse, impii regis mortis nuntiam, ipsamque non paucis navigantibus auditam; signatoque tempore et hora, cum hora

καὶ τὴν ὥραν ἀπογραψάμενοι (ἦν γὰρ δεκάτη ὥρα τῆς νυκτὸς) ἐσχάτως εὗρον τὴν ἀλήθειαν.

14. Ὅμως τὸν Μιχαὴλ εἱρκτὴ καὶ δεσμὰ εἶχον· καὶ ἐπεὶ ἐβούλετο αὐτὸν μετὰ τὴν ἑορτὴν τῶν Χριστοῦ γέννων ἀνελεῖν, δηλοῖ ὁ Μιχαὴλ τοῖς συμβούλοις, μεθ' ὧν ἦν καὶ ὁ τοῦ παλατίου παπίας, ὡς εἰ μὴ σπουδάσητε ἐξελεῖν με τῆς φρουρᾶς, πάντας ἡμᾶς καταμηνύω τῷ βασιλεῖ. οἱ δὲ συναχθέντες καὶ φελόνια ὡς C ἱερεῖς φορέσαντες, καὶ ἔνδοθεν τὰ ξίφη φοροῦντες, ἐπεὶ τὸ παλάτιον ἀνεῴχθη καὶ ὁ βασιλεὺς εἰς τὸν ναὸν εἰσῆλθεν, αὐτοὶ εἰσπηδήσαντες τοῦτον μεληδὸν κατέκοψαν καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ Πρώτῃ νήσῳ ἔχωσαν. καὶ αὐτῇ τῇ ὥρᾳ λύουσι τῶν δεσμῶν τὸν Μιχαήλ, καὶ εἰσάγουσιν ἐν τῇ ἑορτῇ ἀντὶ δεσμοφόρου στεφηφόρον. καὶ ἐπληρώθη τὸ προφητικὸν τὸ "ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις." τήν τε γαμετὴν αὐτοῦ ἐν τῇ τῶν Δεσποτῶν μονῇ ἀπαγαγεῖν· Συμβατίῳ δὲ τῷ υἱῷ τῷ κατὰ τὸ στέψιμον μετονομασθέντι Κωνσταντῖνον, καὶ τοῖς λοιποῖς, Βασιλείῳ τε καὶ Γρηγορίῳ ἅμα Θεοδοσίῳ, ἐν τῇ Πρώτῃ νήσῳ ἀποκείραντες μοναστὰς πεποιήκασιν. ἔνθα καὶ Κωνσταντῖ- D νος μετονομασθεὶς Βασίλειος, ἀφωνίᾳ συσχεθεὶς μετὰ τὸ τὰ γόνιμα τῶν μορίων ἀφαιρεθῆναι, ἐδέετο μὲν τοῖ θεοῦ, ἀλλὰ καὶ Γρηγορίου τοῦ θεολόγου ἐκεῖσε ἀνεστηλωμένου, τὴν ἑαυτοῦ λυθῆναι φωνὴν καὶ τὴν γλῶτταν τὸ εὔηχον ἀπολαβεῖν. ὅθεν καὶ εἰση-

4 τῶν] τὴν τοῦ P: cf. p. 454 b 15 ἀπήγαγον?

noctis decima ageretur, qui observarunt, sic tandem se rem habuisse invenerunt.

14. Ceterum Michael in carcere ac vinculis tenebatur. quodque Leoni constitutum erat ut statim peractis Christi nataliciorum solenniis illi necem inferret, mandat Michael coniuratis, e quorum numero ipse palatii papias, in haec verba, "nisi quam cito me e carcere liberaveritis, ad unum omnes deferam imperatori." congregati itaque, ac casulas sacerdotum more induti subque illis gladios occultantes, quod apertae fores palatii essent, ingresso in templum imperatore insilientes frustratim ipsum conciderunt, ac cadaver in Prote insula condiderunt. ipsaque hora solutum vinculis Michaelem inter solennia inducunt, pro vincto infulis coronatum. sicque illud scripturae (Ps. 29 6) impletum est, "ad vesperum demorabitur fletus, et ad matutinum exsultatio." Leonis uxor in monasterium adducta, quod vocant Dominarum: Symbatium filium, ab inauguratione dictum Constantinum, cum reliquis, Basilio scilicet et Gregorio nec non Theodosio, positis crinibus monachorum ordini addixerunt. ubi et Constantinus Basilii auctus nomine, una cum virilibus etiam vocis usu amisso, deum rogabat ac Gregorium theologum, cuius illic erecta erat effigies, ut soluta voce linguam sonoram reciperet.

κούσθη. κατὰ γὰρ τὴν τῶν φώτων πανήγυριν ὁρᾷ τὸν θεῖον ἐκεῖνον χαρακτῆρα, "τὸν κηρὸν" λέγοντα "λαβὼν ἀνάγνωθι." ὁ δὲ ἀδιστάκτως εἰσελθὼν ἀνέγνω λαμπρᾷ καὶ καθαρᾷ τῇ φωνῇ "πάλιν Ἰησοῦς ὁ ἐμός." ἔκτοτε οὖν τὴν πατροπαράδοτον αὐτοῦ βδελυξάμενος αἵρεσιν τὰς τῶν ἁγίων ἰδέας ἐτίμα καὶ περιεπτύσσετο. ἀλλὰ ταῦτα μὲν ὕστερον.

P 412 *Κόσμου ἔτος ͵ϛτιδʹ, τῆς θείας σαρκώσεως ἔτος ωιδʹ, Ῥωμαίων*
B *βασιλεὺς Μιχαὴλ Ἀμοραῖος ὁ Τραυλὸς καὶ εἰκονομάχος ἔτη ηʹ μῆνας θʹ. οὗτος Εὐφροσύνην τὴν θυγατέρα Κωνσταντίνου τοῦ τυφλωθέντος, τὸν μονήρη βίον προσηκαμένην, εἰς γαμετὴν ἠγάγετο. ὃς μικρόν τι τῆς προκατασχούσης κακίας ὑπενδούς, ὅσον τοὺς ἐν εἱρκταῖς καὶ ἐξορίαις ἐλευθερίαν καὶ ἄνεσιν ὀνειρωδῶς φαντάζεσθαι, τὸ τοῦ προηγουμένου δυσσεβοῦς ὑπέθαλπε θεοστυγὲς φρόνημα· ὁμοίως γὰρ τῷ αὐτῷ περιεπάρη τῆς δεινῆς αἱρέσεως ἀγκίστρῳ ἐξ ἀκροτάτης ἀλογίας καὶ ἀπαιδευσίας. ὅθεν ἐπὶ σελεντίου ἔφη "οἱ μὲν πρὸ ἡμῶν ἐρευνησάμενοι τὸν ἐκκλησιαστικὸν*
C *θεσμὸν τῶν δογμάτων τὸν περὶ αὐτῶν εἰσπραχθήσονται λόγον, εἰ καλῶς ἢ κακῶς ἐθέσπισαν. ἐν ᾧ τὴν ἐκκλησίαν εὕρομεν βαδίζουσαν, ἐν τούτῳ καὶ διαφυλάττειν προκρίνομεν. τὸ γὰρ τιμᾶν τὰς εἰκόνας καὶ μὴ τιμᾶν ἀδιάφορον ἔστω κατὰ τὸ αὐτό." κατὰ τὸν*

4 τὴν] *αὐτὴν* P

unde etiam exauditus est. die enim festo luminum videt divinam illam cera fusam imaginem ita affantem, "surge, lege." in quae verba, omni semota dubitatione, clara limpidaque voce ingressus legit, "iterum Iesus meus." exinde itaque quam a maioribus hauserat, execratus haeresim, sanctorum imagines colebat ac amplexabatur. verum haec postea.

Mundi annus 6314, divinae incarnationis annus 814; Romanorum imperator Michael Balbus, iconomachus, annos 8, menses 9. hic Euphrosynam, Constantini eius qui matris imperio caecatus fuit filiam, sanctimonialis institutum professam uxorem duxit. parum aliquid de malitia, quae ante obtinuerat, remittens (hactenus scilicet, ut qui clausi ergastulis vel exsilio relegati erant, velut visu nocturno ac insomnio libertatem factamque aliquam remissionem ac indutias animo cogitarent) impii decessoris sui deo exosum sensum opinionemque subocculte fovebat. nam et ipse ex summo stupore ac inscitia pari nequissimae haeresis unco adactus est. unde solenni conventu habito, "qui ante nos" inquit "ecclesiasticorum dogmatum scita scrutati sunt, ex illis exigenda ratio est, num bene an male sanxerint. nos autem, in quo ecclesiam ambulantem invenimus, in eo et servare potius ducimus. colere enim aut non colere imagines perinde indifferens sit ac cuique liberum." eo tempore

καιρὸν τοῦτον τὸν τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν Ἀντώνιος ὁ τοῦ Συλαίου, τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων ἀλλότριος.

2. Ἐπὶ τούτοις στέφει Μιχαὴλ Θεόφιλον τὸν ἐξ Εὐφροσύνης υἱὸν αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. Θωμᾶς δὲ ὁ ἀντάρτης ἐκ τῶν ἀνατολικῶν μερῶν ἀπάρας, λαόν τε καὶ ἀγυρτώδη καὶ D
ἐπίμικτον ἐπισυρόμενος, ἐπὶ τὸ Βυζάντιον ἐκίνησεν, τῆς βασιλείας παρ' ἀξίαν ἐφιέμενος. Ῥωμαῖος γὰρ ὢν καὶ ἀφανὴς πρὸς Συρίαν ἀφίκετο, καὶ Κωνσταντῖνον ἑαυτὸν μετονομάσας υἱὸν Εἰρήνης τῆς βασιλίσσης ἔλεγεν· κἀντεῦθεν πολλοὺς ἀπατήσας βαρβάρων τε καὶ Ῥωμαίους, καὶ πλῆθος ἄπειρον συναθροίσας, μεγαλαυχῶν τῷ πλήθει ἐπῄει τῇ Κωνσταντινουπόλει, καὶ ταύτην ἐπὶ τρεῖς χρόνους πορθήσας, ἐπεὶ τὰς ναῦς αὐτοῦ εἶδεν πυρὶ καυθείσας καὶ τοὺς λογάδας τῶν πολεμίων ὑπὸ τῶν πολιτῶν ἀπολωλότας, ἀμηχανίᾳ ληφθείς, τὴν πόλιν καταλιπὼν ἐπὶ τὴν Θρᾴκην χωρεῖ, ταύ- P 413
την ληϊζόμενος. ὁ δὲ Μιχαὴλ τῆς πόλεως ἐξελθὼν μετὰ πλείστης δυνάμεως πρὸς αὐτὸν ἐξώρμησε, καὶ δὴ παρακαθίσας βραχύν τινα καιρὸν τοῦτον ἀμογητὶ ἐχειρώσατο· ἀκρωτηριάσας τε αὐτὸν χεῖρας καὶ πόδας, εἶτα καὶ ἀνασκολοπίσας, κατέπαυσε τὸν ἐν τρισὶ χρόνοις ἐμφύλιον γενόμενον πόλεμον.

3. Ἐν τούτοις τοῦ Μιχαὴλ ἐνασχολουμένου Κρήτη καὶ Σικελία καὶ αἱ Κυκλάδες νῆσοι τῆς τῶν Ῥωμαίων ἀρχῆς ἐξ Ἀφρικῶν τε καὶ Ἀράβων περιηρέθησαν, λαβόντος ἀρχὴν ἄρτι πρῶτον διὰ τὰς τοῦ λαοῦ ἁμαρτίας καὶ τὴν τῶν κρατούντων δυσσέβειαν.

1 τὸν om P

summi sacerdotii arcem tenebat Antonius Sylaei, qui a sacrarum imaginum cultu abhorrebat.

2. Interea Theophilum filium suum ex Euphrosyna augustali corona donat in magna ecclesia. Thomas vero arrepta tyrannide ex Orientalibus partibus profectus, confusaneae commixtaeque turbae exercitu fretus, adversus Byzantium cum exercitu venit; immerito sane imperii desiderio ebrius. Romanus enim cum esset et homo obscurus, in Syriam profectus erat, inditoque sibi Constantini nomine Irenes Augustae filium sese dictitabat; qua fraude multos barbaros Romanosque decepit. innumera itaque collecta multitudine, eaque glorians, Cpolim invadit atque annos tres expugnat ac diripit. at ubi suam classem igni succensam fortissimosque suorum a civibus interfectos vidit, consilii inops, relicta urbe, praedas agens in Thraciam concedit. Michael vero urbe egressus cum ingentibus copiis in eum eduxit, atque ad breve tempus obsidens nullo negotio in potestatem redegit; praecisisque manibus atque pedibus, ac tum palo affigens, civile trium annorum bellum consopivit.

3. Inter hos tumultus, hisceque curis distento Michaele, Creta Sicilia et Cyclades ab imperio Romano ab Afris et Arabibus rescissae sunt, cum iam ex populi peccatis ac principum impietate defectio ha-

B τῶν δὲ πραγμάτων οὕτως ἐχόντων προσκαλεῖται ὁ βασιλεὺς Εἰρηναῖον τὸν μάγιστρον, καὶ φησὶ πρὸς αὐτόν "συγχαίρω σοι, μάγιστρε, ὅτι ἡ Σικελία ἐμούλτευσεν." ὁ δὲ ἔφη "τοῦτο ξένον χαρᾶς ἐστί, δέσποτα." καὶ στραφεὶς πρός τινα τῶν μεγάλων ἔφη

ἀρχὴ κακῶν γε πεσεῖται τῇ χθονί,
ὅταν κατάρξῃ τῆς Βαβυλῶνος δράκων
δύσγλωσσος ἄρδην καὶ φιλόχρυσος λίαν.

(4) ὁ γὰρ τῶν Ἀγαρηνῶν ἀρχηγὸς Ἀπόχατ τῷ τῆς Κρήτης ἀκρωτηρίῳ προσέβαλε καὶ προσωρμίσθη τῷ Χάρακι, ὁρίσας τὸν ὑπ' αὐτὸν λαὸν καταλιπεῖν τὰς ναῦς αὐτῶν καὶ τὴν χώραν ληΐζεσθαι. τοῦ δὲ C στρατοῦ πρὸς τὴν τοιαύτην ἐγχείρησιν ἀποκινήσαντος προστάξας τὰς ναῦς αὐτῶν ἐπυρπόλησεν. καταγογγυζόντων δὲ αὐτῶν περὶ τούτου ἔφη πρὸς αὐτοὺς ὅτι τῇ προτεραίᾳ κατεγογγύζετέ μου, ὦ ἄνδρες, ζητοῦντες χώραν εἰς κατοικίαν, καὶ διὰ τοῦτο ἤγαγον ὑμᾶς ἐνταυθοῖ, ἐν ᾧ γάλακτος καὶ μέλιτος ἔστιν ἀπορρώξ." οἱ δὲ ἀντεῖπον αὐτῷ "καὶ ποῦ τὰ τέκνα καὶ τὰς γυναῖκας ἡμῶν εὑρήσομεν;" ὁ δὲ πρὸς αὐτοὺς "ἴστε ὅτι αἰχμαλωσίαν πλείστην ἑαυτοῖς ἠνέγκατε· ἐκ ταύτης οὖν γυναῖκας ὑμῖν ἁρμόσασθε." καὶ ἤρεσεν αὐτοῖς τοῦτο, καὶ χάρακα περιέθεντο πρὸς ὀχυρώματα· D ἀφ' οὗ ὁ τόπος Χάραξ μέχρι τῆς δεῦρο προσονομάζεται. μοναστής δέ τις μετέπειτα τῇ νήσῳ προσφοιτήσας ἔφη αὐτοῖς ὅτι εἴπερ ἐθέλοιτε καταδυναστεῦσαι τῆς νήσου, ἀκολουθήσατέ μοι, καὶ ὅπου

19 καὶ σκώλοψ πυκνός, χάρακα P

buisset exordium. sic autem se rebus habentibus, accersito imperator Irenaeo magistro, ait illi "congratulor tibi, magister, quod Sicilia rebellavit." ad quem ille "procul est, domine, ut gratulandum sit eo nomine;" conversusque ad quendam procerum ait

hoc initium malorum telluri accidet,
rerum potietur cum Babylonius draco,
linguae impeditae et auri sitientissimus.

(4) Agarenorum enim dux Apochat, ad Cretae promontorium, cui Charax nomen, appulsa classe castra posuit, iubens ut relictis navibus, quos duxerat milites, omnes regionem praedatum direptumque irent. copiis autem in praedas effusis eorum naves succendi iussit. cuius rei causa murmurantibus, ait "vos ipsi nudiustertius, o viri, murmurantes coloniam ducere quaerebatis. in eam rem vos ego huc loci adduxi, ubi tellus lacte ac melle fluit." at illi "ubinam vero liberos nostros uxoresque inveniemus?" quibus ille "scitis plurima vos spolia ac captivos tulisse. ex illis mulieres in sponsas vobis adiungite." placuit omnibus consilium; crebroque circumquaque vallo locum munierunt: χάρακα Graeci dicunt. ex quo factum est ut et locus hactenus Charax nominetur. postea vero monachus quidam in insulam devectus infit illis "siquidem hoc vobis constitutum est, sicque animis sedet ut plene insula potiamini, mihi vos adiungimini comites, ac ubi locum ex-

ἂν στοχασάμενος παραδείξω ὑμῖν ἐπιτηδειότητα κτίσεως, ἐκεῖσε πόλιν οἰκοδομήσατε, δι' ἧς τῆς νήσου ἐξουσιάσητε. καὶ ἀπήγαγεν αὐτοὺς εἰς τόπον καλούμενον Χάνδακα, ἐν ᾧ ἡ πόλις τούτων καθίδρυται, καὶ ταύτην κυκλόθεν ἐτάφρευσαν. καὶ ἐννενήκοντα πόλεις κρατήσαντες ἠνδραποδίσαντο, μιᾶς μονῆς μὴ ἁλωθείσης ἀλλ' ἢ λόγῳ ἀπολιορκήτου μεινάσης, τῶν οἰκητόρων αὐτῆς σὺν ἐλευθερίᾳ ποιεῖν τὰ Χριστιανῶν συγκεχωρημένων· οἳ μέχρι τοῦ νῦν ὑπολόγιοι κέκληνται. καὶ δὴ ἂν ὑπὸ Ἀγαρηνῶν κατεκράτηντο P 414 αἱ νῆσοι, εἰ μὴ Μιχαὴλ ὁ βασιλεὺς Κρατερῷ τῷ τῶν Κιβυρραιωτῶν στρατηγῷ ἐνετείλατο πάσας τὰς ὑπ' αὐτῷ ναῦς ἑτοιμάσαι καὶ ἀπᾶραι εἰς Κρήτην· ὃς σὺν διακοσίαις ναυσὶ παραγενόμενος αὐτὰς ἠλευθέρωσε, καὶ ἐν τῇ Κρήτῃ ἀπάρας τῶν ἐκεῖσε Ἀγαρηνῶν πάντων κατεκυρίευσεν, καὶ ἀναιρήσειν βεβούλευτο, εἰ μή τινες τοῦ λαοῦ κακῶς φρονοῦντες τοῦτο ἐκώλυσαν, εἰρηκότες ὡς οὐδαμῶς ἐν νυκτὶ οὗτοι πρὸς ἡμᾶς ἀντιτάξοιντο, τῷ δὲ πρωῒ κατάσχωμεν αὐτούς. καὶ δὴ φρεναπατηθέντες τοῖς τούτων λόγοις πρὸς τὰς σκηνὰς αὐτῶν ἐπανέλυσαν, μηδαμῶς τῆς σωτηρίας αὐτῶν πεφροντικότες. B τῆς δὲ νυκτὸς ἐπελθόντες οἱ ἐχθροὶ σιδήρειον ὕπνον τούτοις πᾶσιν ἐπήγαγον, μόνου τοῦ στρατηγοῦ αὐτῶν ἐμπορικῷ ἐπιβάντος πλοίῳ καὶ ἀποπλεύσαντος. ὅπερ μαθὼν ὁ τῶν Ἀγαρηνῶν ἀρχηγὸς δυσὶν ὁλκάσιν ἐπεβίβασε καὶ κατεδίωξεν ὄπισθεν, καὶ πρὸς τὴν νῆσον τὴν Κῶ τοῦτον κατέσχεν, καὶ ἐν αὐτῇ τοῦτον ἀνεσκολόπισεν. εἶτα ὁ Ὀρύφας τὸ ἐπώνυμον προστάξει βασιλέως

struendae urbis commodum monstravero, ibi aedificate, unde imperium vestrum tota late insula proferatis." duxit itaque in locum Chandax nomine, ubi eorum sita civitas est, eamque vallo undique munierunt; captisque nonaginta urbibus, in servitutem omnes addixerunt, una duntaxat non expugnata atque direpta, quae accepta fide, deditione facta, ritu Christiano vivendi liberam facultatem accepit. hactenus Graeca voce *ὑπολόγιοι* audiunt, ac si dicas spontanea deditione in fidem accepti. ac sane Agarenorum dicionis mansissent insulae, nisi Michael Cratero Cibyrrhaeotarum duci iussisset ut omni instructa classe in Cretam vela daret. ducentarum igitur navium classe invectus eas vendicavit; Cretamque profectus, omnium in ea Agarenorum potitus, hostes neci dare constituerat, nisi militum quidam haud sano satis consilio intercessissent; qui dicerent nullam eos noctu impressionem facturos: mane tenendos ac capiendos fore. horum itaque dementati sermonibus, suae salutis neglecta cura, in tabernacula sese receperunt. noctu autem irruentes hostium cunei illis omnibus ferreum somnum immiserunt. solus eorum dux Craterus mercatorio usus navigio fuga salutem tentavit. id vero ut comperit Agarenorum dux, imposita duobus ratibus militum manu fugacem insequi iussit. hi porro in Co insula eum assecuti, in crucem agentes, e vivis sustulerunt. post haec Oryphas (hoc viro no-

συναθροίζει ναυτικὸν στρατολόγημα· οἷς ἀνὰ τεσσαράκοντα χρυσίου ἐπιδοὺς νν, ὁλκάσι τε ἐπιβάντες καὶ ἐπὶ Κρήτης στρατεύσαντες ἄπρακτοι ἐκ τοῦ πολέμου ὑπεχώρησαν, οἱ πλείους ἐκεῖσε κα-
C τασφαγέντες· ὧν καὶ τοὺς ἀπολειφθέντας τεσσαρακονταρίους ὠνόμασαν. ἐν ταύτῃ τῇ νήσῳ Κύριλλος ὁ θαυματουργὸς ἐπίσκοπος Γορτύνης ταύτης τῆς νήσου ὑπὲρ Χριστοῦ, ἄμωμον ὡς ἱερεῖον, ὑπὸ τῶν Ἀγαρηνῶν ἐσφαγίαστο, οὗ τὸ τίμιον αἷμα μέχρι τῆς δεῦρο ἀναβλύζον θαύματα ἀπεργάζεται.

Καὶ τοῦτον μὲν οὕτος εἶχε τὸν τρόπον· ὁ δὲ δυσσεβὴς Μιχαὴλ ἐκ τῆς δυσουρίας ἀρρωστήσας χαλεπῶς καὶ τῆς τῶν νεφρῶν ἀλγηδόνος κακῶς ἀπηλλάγη τοῦ ζῆν. τὸ δὲ δύστηνον αὐτοῦ σῶμα ἀποκομισθὲν ἀπέθετο ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων· Θεόφιλος
D δὲ ὁ υἱὸς αὐτοῦ μετὰ τῆς μητρὸς αὐτῷ Εὐφροσύνης τῆς βασιλείας ἐκράτησεν.

Κόσμου ἔτος ,ςτκγ', τῆς θείας σαρκώσεως ἔτος ωκγ', Ῥωμαίων βασιλεὺς Θεόφιλος ὁ υἱὸς Μιχαὴλ τοῦ Τραυλοῦ, εἰκονομάχος,
P 415 ἔτη ιβ'. τῆς δὲ μητρὸς αὐτοῦ Εὐφροσύνης βουληθείσης δοῦναι αὐτῷ γυναῖκα, ἄγει κόρας διαφόρους ἀσυγκρίτους τῷ κάλλει, μεθ' ὧν μία τις ἐξ αὐτῶν κόρη ὡραιοτάτη ὑπῆρχεν Εἰκασία λεγομένη καὶ ἑτέρα Θεοδώρα ὀνομαζομένη. τούτῳ δοῦσα ἡ μήτηρ χρυσοῦν μῆλον εἶπεν δοῦναι τῇ ἀρεσάσῃ αὐτῷ. ὁ δὲ βασιλεὺς Θεόφιλος

12 ἀπετίθετο? Combef. 13 Scylitzes et Cedrenus melius μητρυιᾶς.

men) imperatoris iussu, navali coacto exercitu, in singulos quadraginta aureos distribuit, atque navibus imponit; profectique Cretam re infecta reversi sunt; plerique etiam illic desiderati, qui et Quadragenarii dicti sunt. in ea insula Cyrillus Gortynae eius insulae civitatis episcopus, vir miraculorum patrator, velut immaculata hostia pro Christo ab Agarenis immolatus est; cuius pretiosus sanguis hactenus ebulliens miracula facit.

Ac sic quidem ille. impius autem Michael urinae difficultate graviter aegrotans renumque doloribus excruciatus male vitam finivit. eius miserum funus elatum in sanctorum apostolorum aede conditum est, Theophilus vero eius filius cum matre Euphrosyna imperio potitus.

Mundi annus 6323, divinae incarnationis 823, Romanorum imperator Theophilus Michaelis Balbi filius iconomachus, annos 12. eius mater Euphrosyna volens ei coniugem iungere, plures incomparabili venustate cogit virgines. erat inter illas una quaedam formosissima Icasia nomine, aliaque nomine Theodora. mater aureum malum cum dedisset, dare iussit cuius illi magis forma placuisset. Theophilus Icasiae pul-

τῷ κάλλει τῆς Εἰκασίας ἐκπλαγεὶς ἔφη ὡς ἄρα διὰ γυναικὸς ἐρρύη τὰ φαῦλα. ἡ δὲ μετ᾿ αἰδοῦς πῶς ἀντέφησεν "ἀλλὰ καὶ διὰ γυναικὸς πηγάζει τὰ κρείττονα." ὁ δὲ τῷ λόγῳ τὴν καρδίαν πληγεὶς ταύτην μὲν εἴασεν, Θεοδώρᾳ δὲ τὸ μῆλον ἀπέδωκεν, οὔσῃ ἐκ Παφλαγονίας. καὶ στέφονται ἀμφότεροι ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου B
Στεφάνου ὑπὸ Ἀντωνίου πατριάρχου τῇ ἁγίᾳ πεντηκοστῇ, κἀκεῖθεν ἔρχεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, φιλοτιμησάμενος χρήμασι πολλοῖς τόν τε πατριάρχην καὶ τὸν κλῆρον ἅμα τῇ συγκλήτῳ. καὶ ἡ μὲν Εἰκασία τῆς βασιλείας ἀποτυχοῦσα μονὴν κατεσκεύασεν, εἰς ἣν καὶ ἀποκειραμένη φιλοσόφῳ βίῳ καὶ θεῷ ἀρέσκοντι διετέλεσε μέχρι τελευτῆς αὐτῆς, πολλὰ ἴδια συγγράμματα αὐτῆς καταλιποῦσα· ἡ δὲ τοῦ βασιλέως μήτηρ Εὐφροσύνη ἑκουσίως κατελθοῦσα τοῦ παλατίου ἐν τῇ μονῇ τῶν Γαστρίων ἡσύχασεν.

2. Ἱππικοῦ δὲ γενομένου ἄγεται τὸ πολυκάνδηλον τὸ ἐν τῇ C
σφαγῇ τοῦ Ἀρμενίου Λέοντος ξίφει διακοπέν, καὶ ὑποδείκνυσιν αὐτὸ πάσῃ τῇ συγκλήτῳ ἐν τῷ καθίσματι, καὶ φησὶν ὡς εἰς ναὸν κυρίου τετολμηκότας ποιήσασθαι τὴν ἀναίρεσιν, τῇ δ᾿ ἀληθείᾳ ὡς τὸν συναιρεσιώτην αὐτοῦ καὶ ὁμόφρονα εἰς ἀσέβειαν ἀποκτείναντας. εἴχετο γὰρ ὁ ἀλιτήριος τῆς ἐκείνου θεοστυγοῦς αἱρέσεως, τῶν τε ἁγίων εἰκόνων τὰς μὲν κατασπῶν τὰς δὲ ἀνορύττων, καὶ τοὺς ἐπ᾿ εὐλαβείᾳ μοναχοὺς ἐξορίζων καὶ αἰκιζόμενος.

3. Τῷ β′ τούτου ἔτει προσέφυγε Θεόφοβος ὁ Πέρσης Ῥω- D
μαίοις, ἅμα τῷ πατρὶ αὐτοῦ μετὰ Περσῶν χιλιάδας ιδ′, οὓς καὶ

chritudinem stupens "a muliere" ait "emanarunt mala." cui illa subverecunde "sed et res meliores e muliere exuberant." ille responso attonitus atque offensus, ea dimissa, malum aureum Theodorae dedit ex Paphlagonum gente. ambo coronati ab Antonio patriarcha in sancti Stephani oratorio in die pentecostes. inde facto processu ad magnam ecclesiam, ingenti largitione patriarcham et clerum senatumque donavit. ac quidem Icasia, imperii spe frustrata, monasterium exstruit; inque eo coma posita, vita ex virtutis ratione instituta ac deo placita, adusque vitae finem perseveravit, multis proprii ingenii monumentis relictis. Euphrosyna autem imperatoris mater ipsa sponte a palatio discedens in monasterio Gastria vitam privato cultu egit.

2. Cum Circenses agerentur, profertur multitudini candelabrum, quod in caede Leonis Armeni fuerat gladio discissum. ostendit Theophilus in sedilis loco universo senatui, ac velut qui in templo domini caedem perpetrassent, in eos iubet animadverti, re vera autem velut qui eiusdem secum haeresis socium parique laborantem impietate sustulissent. adhaerebat enim miser deo exosae illius haeresi; qui sanctorum imagines alias detraheret, alias effoderet, atque monachos pietate illustres exsilio multaret ac verberibus aliisque cruciamentis dehonestaret.

3. Theophili anno secundo Theophobus Persa una cum patre ac Persarum quattuordecim milibus ad Romanos transfugit; quibus per tur-

*διένειμεν ἐν τοῖς θέμασι κατασκηνώσας καὶ τούρμας ἀποκαταστή-
σας. αὐτὸν δὲ τὸν Θεόφοβον εἰς ἀδελφὴν Θεοδώρας Αὐγούστης
γαμβρὸν ἐποιήσατο τρόπῳ τοιῷδε. τοῖς Πέρσαις ἔθος ἦν ἐκ σει-
ρᾶς βασιλικῆς ὑπέχειν ἀνάρρησιν· ὅθεν τοῖς ἀλλεπαλλήλοις πολέ-
μοις τῆς βασιλικῆς σειρᾶς ἐκλιπούσης, καὶ ἐν ἀμηχανίᾳ γεγονότες,
ἔγνωσαν ὡς ἐκ τῆς βασιλικῆς συγγενείας τῷ βασιλεῖ Ῥωμαίων τινὲς
προσερρύησαν, καὶ ἐπὶ τούτῳ ἀσπαστὸν ἐλογίσαντο τῆς οἰκείας
χώρας ἀπαναστεῦσαι καὶ προσχωρῆσαι τῇ Ῥωμαΐδι διὰ τὸν Θεό-*
P 416 *φοβον, ὅπως τοῦ κατὰ γένους ἀρχηγοῦ ἐπιτεύξοιντο, καὶ μάλιστα
ὅτι καὶ ὁ Περσῶν ἀρχηγὸς Βαβὲκ ἀποστάσει τῇ πρὸς τὸν ἀμερ-
μουμῆν ἐπὶ πέντε ἔτεσιν ἐκεκορύφωτο. ὧν ἀναμεταξὺ πόλεμοι
συμβεβηκότες, ἡττηθεὶς ὁ Βαβὲκ εἰσῄει σὺν χιλιάσιν ζ' πρὸς τὴν
Ῥωμαϊκὴν ἐπικράτειαν, τὸν Θεοφόβου πατέρα κατὰ τὴν πόλιν
Σινώπῃ ἀνερευνῶν· ὃν ὁ Βαβὲκ κατειληφώς, ἐγγύας τε παρὰ βα-
σιλέως δεξάμενος, τὸν ὑπ' αὐτῷ λαὸν καὶ ἑαυτὸν τῷ βασιλεῖ ὑπή-
κοον τέθεικεν. ἄλλως δέ φασιν ὅτι ὁ τοῦ Θεοφόβου πατὴρ εἰσῄει
τῷ Βυζαντίῳ πενόμενος, καί τινι γυναικὶ κατὰ μισθαρνίαν καπη-*
B *λεύειν λαχούσῃ προσκεκόλληται· ὃς τῷ πρὸς αὐτὴν ἔρωτι ἁλοὺς
πρὸς ἡδονὴν συμβιβάζεται· ἐξ οὗ συνειληφυῖα ἄρρενα ἐκατέτοκεν.
οἱ οὖν Πέρσαι ἀστρονομίᾳ καὶ μαντείᾳ ἠκριβωμένοι ἔγνωσαν τοῦ
Περσῶν βασιλέως συγγενῆ τινὰ ἐν Βύζαντι διάγειν. ἐντεῦθεν*

9 *γένος?* 14 *Σινώπης?* 19 *παῖδα τέτοκεν?* 21 *ἐν τῇ Βύζαντος?*

mas divisis in thematibus habitationes assignavit: ipsum vero Theophobum Theodorae Augustae sorori nuptiis copulans, ea sibi ratione levirum fecit. Persarum moribus ea lex obtinebat ut ex stirpe regia designarent qui apud illos rerum essent potituri. cum itaque continuis bellis excisa defecisset stirps regia inque his angustiis Persae versarentur, in mentem venit quosdam regii sanguinis ad imperatorem Romanum transfugisse. quocirca necesse putaverunt, relicta patria, ut ad Romanae dicionis loca proficiscerentur, Theophobi causa, quo ex gente sua ducem eis nancisci liceret. ac vel maxime, quod et Persarum dux Babec, cum annos quinque defectione ab amermume exaltatus esset, bellorum interim praeliorumque incerto superatus, Theophobi patrem Sinope quaesiturus, cum septem milium cohorte ad Romanos accesserat. hunc Babec cum invenisset, atque ab imperatore securitatis fidem accepisset, eam cui praeerat militum manum seque ipsum imperatori subiecit. sunt qui aliter referant, Theophobi patrem egenum hominem Byzantium venisse, ac cuidam mulieri sub mercede cauponaria merenti adhaesisse. eius vero captum amore venereos cum illa amplexus habuisse; ex quo mulier cum concepisset, masculum peperisse. Persas itaque astronomica scientia ac vaticinali solertia exercitatissimos Persarum regis affinem quendam Byzantii versari cognovisse; tumque ad imperatorem ingressos

πρὸς τὸν βασιλέα εἰσελθόντες τοῦτον περὶ οὗ ἦλθον ἐρευνήσασθαι ἠξίωσαν. ὁ δὲ βασιλεὺς τοῦτο ἀκηκοὼς καὶ ἐρευνησάμενος περὶ τούτου οὐδὲν ἤνυσεν. ἐν ὑστέρῳ δὲ τὸ γύναιον εὑρηκότες μεθ' οὗ τὴν ἀναστροφὴν ὁ Πέρσης ἐπεποίητο Βαβέκ, ἔμαθον ὡς ἐκεῖνος μὲν τετελεύτηκεν, ὁ δὲ ἐκ τούτου προενηνεγμένος κατὰ συζυγίαν παῖς ἔτι περίεστιν· ὃν καὶ τούτῳ ἐπεδείκνυον δωδεκαετῆ τυγχά- C νοντα. τοῦτον ὁ βασιλεὺς προσλαβόμενος ἀνέτρεφεν ἐν τῷ παλατίῳ, καὶ τοὺς Πέρσας ἐν τοῖς στρατιωτικοῖς κώδιξιν ἀνεγράψατο.

4. Ὁ τοίνυν βασιλεὺς Θεόφιλος φιλόκοσμος ὢν κατασκευάζει ἐξ ἀρχῆς τὸ Πενταπύργιον, καὶ τὰ δύο μέγιστα ὄργανα ὁλόχρυσα μετὰ διαφόρων λίθων, καὶ δένδρον χρύσεον, ἐν ᾧ στρουθοὶ ἐφεζόμενοι διὰ μηχανῆς τινὸς μουσικῶς ἐκελάδουν, τοῦ πνεύματος διὰ κρυφίων πόρων εἰσπεμπομένου. (5) ἐκαινούργησε δὲ καὶ τὰς βασιλικοὺς στολάς, τούς τε λώρους καὶ τὰ λοιπά, D πάντα χρυσοῦφαντα κατασκευάσας. καὶ τὰ τῆς πόλεως τείχη χθαμαλὰ ὄντα ἀνύψωσε. δικαιοσύνην τε κοσμικὴν προσποιούμενος ὁ τὴν πίστιν καὶ τὴν εὐσέβειαν πλέον ὑπὲρ τοὺς πρῴην βασιλεύσαντας ἀδικήσας, προσελθούσης αὐτῷ γυναικὸς χήρας ἐν Βλαχέρναις (ἔθος γὰρ αὐτῷ ἐκεῖσε ἀπέρχεσθαι) καὶ βοησάσης ὡς ἀδικοῖτο παρὰ τοῦ τῆς Αὐγούστης ἀδελφοῦ Πετρωνᾶ δρουγγαρίου τῆς βίγλας ὄντος (ὑψοῖ γὰρ τὰ ἑαυτοῦ οἰκήματα, τὰ δὲ ἐμὰ σκοτεῖ καὶ εἰς τὸ μηδὲν εἶναι ποιεῖ ὡς ἅτε χήρας καταπεφρονημένης), παρευθὺ ἀποστέλλει ἰδεῖν τὴν ἀλήθειαν, εἰ οὕτως ἔχει·

eum, cuius causa iter susceperant, diligenter quaerendum rogasse. imperatorem, cum audisset deque homine sedulo sciscitatus esset, nihil operae fecisse. postea tamen inventa muliere, cum qua Babec Persa versatus fuerat, didicisse illum quidem iam vivis excessisse, quem autem ex illis amplexibus filium sustulerant, adhuc superstitem esse, ac duodennem ipsi ostendisse; eumque assumptum imperatorem in aula educasse, inque militares numeros Persas rettulisse.

4. Theophilus itaque imperator, cum rerum elegantia ornatuque ac sumptu delectaretur, Pentapyrgium ex integro fabricatus est, duoque maxima organa auro solida diversis interstincta lapillis, arborem quoque auream, insidentibus in ea aviculis ac machina quadam, immisso occultis meatibus spiritu, musice cantillantibus. (5) regia quoque paludamenta loraque instauravit ac reliqua, auro cuncta contexens. urbis quoque muros, qui humiliores essent, in maiorem altitudinem extulit. humani iuris tenacem praeferebat, qui cunctis retro decessoribus fidem ac pietatem gravius laesit. accedens ad eum vidua quaedam, ad Blachernas ex more procedentem, cum iniuriam, qua a Petrona Augustae fratre excubiarum drungario afficiebatur, conclamasset, exaltare illum suas aedes, illiusque aedibus lumen adimere, ac nullius illi frugis facere, ea scilicet ratione quod vidua despicabilis esset, mittit statim explora-

P 417 *καὶ βεβαιωθεὶς ὡς ἀλήθειαν ἡ γυνὴ λέγει, ἐν μέσῃ τῇ ὁδῷ ἐκδύσας τὸν δρουγγάριον τύπτει σφοδρῶς, καὶ τὰ εἰρημένα οἰκήματα αὐτοῦ ἐξεδαφίσας τῇ χήρᾳ δίδωσι. καὶ πλοίου ποτὲ διὰ τοῦ Βουκολέοντος διερχομένου, ἐρωτήσας τίνος ἂν εἴη τοῦτο, καὶ μαθὼν ὡς τῆς δεσποίνης ἐστίν, "οἴμοι" ἔφη "φανερωθέντος ναυκλήρου, ἐπείπερ τοῦτο τῆς ἐμῆς συμβίου ἐστί." καὶ ἀποστείλας αὐτοῖς τοῖς ἀγωγίμοις τὴν ναῦν ἐνέπρησεν.*

6. *Ἡ δὲ τοῦ Θεοφίλου μήτηρ Εὐφροσύνη ἐν τῇ ἰδίᾳ μονῇ τὸν Γαστρίων οἶκον ἑαυτῆς ὄντα, ὃν ἐξωνήσατο παρὰ Νικήτα πατρικίου καὶ μοναστήριον γυναικεῖον ἐποίησεν, ἐπονομάσασα*
B *Γαστρία, μονάζουσα ἦν. τὰς τῆς Θεοδώρας θυγατέρας μετακαλουμένη (πέντε δὲ ἦσαν, ἥ τε Θέκλα καὶ Ἄννα Ἀναστασία τε, Μαρία καὶ Πουλχερία) ἐν πάσῃ εὐσεβείᾳ καὶ νουθεσίᾳ κυρίου καὶ τῇ προσκυνήσει τῶν ἁγίων εἰκόνων νουθετοῦσα οὐκ ἐπαύετο. τοῦτο τὸν Θεόφιλον οὐκ ἔλαθεν, ἀλλὰ προσκαλούμενος τὰς θυγατέρας αὐτοῦ πάντα ἠρώτα. καὶ αἱ μὲν ἄλλαι τὰς πεύσεις τούτου, ἀγαθὰ φρονοῦσαι, ὥσπερ τινὰς λαβὰς ἐρρωμένως παρέτρεχον· ἡ δὲ Πουλχερία, ἅτε δὴ καὶ ἡλικίᾳ καὶ νῷ νηπιάζουσα, τάς τε φιλοφροσύνας ἔλεγε καὶ τὸ πλῆθος τῶν ὀπωρῶν, συναπηρίθμει δὲ καὶ*
C *τῆς τῶν σεπτῶν εἰκόνων προσκυνήσεως, οὕτω δὲ οὐ πολλὰ φρονοῦσα καὶ λέγουσα ὡς νινία πολλὰ εἶναι αὐτῇ κατὰ τὸ κιβώτιον, καὶ ταῦτα τῇ κεφαλῇ τε καὶ τῷ προσώπῳ ἡμῶν ἐπιτίθησι μετὰ*

11 aut *ἦν* omittendum aut *δὲ* post *τὰς* addendum

turos num se ita res haberet. certiorque factus iure merito feminam expostulare, media ipsa via nudatum acriter iubet dorso vapulare, aedesque solo aequatas in viduae ius cedere. transeunte quandoque navi per Bucoleonem, percontatur cuiusnam esset; auditoque esse Augustae "vae mihi" inquit, "qui sim effectus nauclerus, siquidem illa navis uxoris est;" mittensque navim cum mercibus igni absumpsit.

6. Theophili mater Euphrosyna in suo Gastriorum monasterio (quae eius aedes essent, coëmptae a Niceta patricio, ac quas illa feminarum monasterium fecerat, dictum Gastria) sanctimonialis erat; filiasque Theodorae accersens (quinque enim illa susceperat, Theclam Annam Anastasiam Mariam et Pulcheriam) in omni pietate et disciplina domini nec non cultu sacrarum imaginum erudire non cessabat. neque res Theophilum latuit. illas enim accersens cuncta ex eis sciscitabatur. ac quidem reliquae saniori mente ac consilio, quicquid ille interrogabat, velut ansas ac capiendi lenocinia quaedam constanter declinabant: Pulcheria autem, quippe tum aetate tum sensu parvula, quam blande ab illa exciperentur, ac fructuum copiam referebat, una quoque venerabilium imaginum adorationem memorans, sic nimirum, haud firmiore sane iudicio, locuta, multas eam in arca puppas habere, hasque post oscula illarum

τὰ φιλήματα. ταῦτα τὸν βασιλέα εἰς μανίαν ἦγεν· μηδὲν δὲ δρᾶσαι δυνάμενος αὐτῇ, μόνην ἀπέτεμεν τὴν πρὸς τὴν μάμμην τῶν τούτου θυγατέρων ἄφιξιν.

7. Τούτοις ἀδελφὰ καὶ τῇ βασιλίδι Θεοδώρᾳ συμβέβηκεν. ὑπῆρχέ τι τῷ βασιλεῖ παρακεκομμένον ἀνδράριον, τῷ Ὁμηρικῷ Θερσίτῃ διενηνοχὸς κατ' οὐδέν (Δένδερις ὄνομα τούτῳ), ἄσημά τε φθεγγόμενον καὶ γέλωτας κινοῦν καὶ θυμηδίας ἕνεκεν τοῖς βασιλείοις ἐνδιαιτώμενον. οὗτος γοῦν εἰσπηδήσας ποτὲ κατὰ τὸν τῆς D
Αὐγούστης κοιτωνίσκον κατέλαβεν αὐτὴν θείας εἰκόνας ἐμπεριειλημμένην καὶ τοῖς ἑαυτῆς ὄμμασι μετὰ σπουδῆς προσαγούσης. ταύτας ὑπ' ὄψιν ἰδὼν οὗτος ὁ παραπαίων τί τε εἶεν ἐπυνθάνετο, καὶ πλησιέστερον διέβαινεν· ἡ δέ "τὰ καλά μου" ἔφησεν οὕτως "νινία, καὶ ἀγαπῶ ταῦτα πολλά." κατὰ τὴν τράπεζαν τηνικαῦτα εἱστιᾶτο ὁ βασιλεύς, καὶ δὴ πρὸς αὐτὸν εὐθὺς διαβάντα εἴρετο αὐτὸν ὅποι ποτὲ ἐτύγχανεν ὤν. ὁ δὲ παρὰ τὴν μάναν ἔφησεν εἶναι, τὴν Θεοδώραν οὕτω λέγων, καὶ θεάσασθαι ἐν αὐτῇ καλὰ νινία τοῦ προσκεφαλαίου ἐξαίρουσαν. συνῆκεν οὖν ὁ βασιλεύς, καὶ πλήρης ὀργῆς γεγονώς, ὡς ἐξανέστη τῆς τραπέζης, πρὸς P 418
αὐτὴν ἀπῄει, ἄλλαις τε πολλαῖς ὕβρεσιν αὐτὴν ἐπαντλῶν καὶ εἰδώλων λάτριν ἀκολάστῳ γλώττῃ ταύτην ἀποκαλῶν· καὶ ἅμα διεζήτει τοὺς λόγους τοῦ παραπαίοντος. ἡ δὲ τέως τὸν θυμὸν κατὰ στέρνων κύουσα "οὐ τοῦτό ἐστιν" ἐξ ἑτοίμου ἔλεγεν, "ὦ βασιλεῦ, οὐ τοῦτο, ὡς ὑπείληφας σύ. τὸ δὲ κάτοπτρόν μου ἤμην ἀτενίζουσα μετὰ τῶν θεραπαινίδων, καὶ τὰς ἐκεῖσε τικτομένας ἰδὼν ὁ

capiti orique admovere. hinc ira oestroque furoris percitus Theophilus, cum nihil ei facere posset, filiabus ea saltem cum avia familiaritate deinceps interdixit.

7. Germanus huic casus contigit etiam Theodorae Augustae. erat imperatori delirus quidam homunculus, Homerici illius Thersitae nihil dissimilis, Denderis nomine, linguae impeditae, ac risum permovens, deliciarum duntaxat causa in aula versans. hic igitur quandoque in sacrum Augustae cubiculum temere insiliens invenit complectentem imagines, easque oculis studio adhibentem. has stultus ille coram contuitus, rogabat quidnam essent; atque eis oculos propius adhibebat. cui illa "pulchrae meae sunt puppae, plurimumque eas diligo." sedebat tunc ad mensam imperator, statimque ad se transeuntem Denderim rogat ubinam tandem fuisset. respondit ille "apud manam" (sic Theodoram vocans, ac si matrem aviamque dicas) pulchrasque apud eam puppas vidisse, ex pulvinari depromptas. intellexit itaque imperator, iraque plenus, ut a mensa surrexit, cubiculum irrumpens multis aliis conviciis onerat, effrenique lingua idololatram vocans, deliri homunculi indicium verbaque exquirebat. Augusta vero, ipsa interim iram condens, haud ita se rem habere confestim ait, ac ille suspicatus erat: sed cum se illa cum ancil-

Δένδερις μορφὰς ἐλθὼν ἀπήγγειλεν ἀφρόνως τῷ δεσπότῃ καὶ βασιλεῖ." *οὕτω μὲν οὖν ἐκείνου τέως κατέσβεσε τὸν θυμόν· τὸν Δένδεριν δὲ μετ' οὐ πολλὰς ἡμέρας παιδείᾳ καθυποβαλοῦσα πέ-*
B *πεικε σωφρονεῖν, οὕτω πως ἐπιλέγουσα καὶ διδάσκουσα ὡς μή ποτε λέγειν περὶ τῶν καλῶν νινίων τινί. καί ποτε παρὰ πότον ἐγκαυχώμενος καὶ τῆς δεσποίνης κατεπαιρόμενος ὁ Θεόφιλος ἠρώτα τοῦτον περὶ αὐτῆς, εἰ πάλιν ἄρα τὰ καλὰ νινία ἡ μάνα ἀσπάζεται. ὁ δὲ τοῖς χείλεσι τὴν δεξιὰν χεῖρα ἐπιθείς, καὶ τῇ ἀριστερᾷ τῶν ὄπισθεν μερῶν ἐπιλαβόμενος, "σίγα, σίγα περὶ τῶν νινίων, ὦ βασιλεῦ," ἀντέφησεν ὁ παραπαίων.*

8. *Τῷ γ' αὐτοῦ ἔτει, Ἀλέξιον τὸν Ἀρμένιον, ᾧ ἐπώνυμον Μουσελέ, λίαν ἀνδρεῖον ὄντα καὶ ῥωμαλέον εἰσεποιήσατο γαμβρὸν εἰς Μαρίαν τὴν θυγατέρα αὐτοῦ, καὶ πατρίκιον ἐποίησεν, εἶτα*
C *καὶ μάγιστρον. ὑπολήψεις δέ τινας ἐπ' αὐτῷ σχὼν ὡς ὀρεγομένῳ τῆς βασιλείας, στρατηγὸν καὶ δοῦκα Σικελίας πέμπει. οἷα δὲ ὁ φθόνος ὠδίνει, Σικελοί τινες ἀνελθόντες διέβαλον τοῦτον τῷ βασιλεῖ ὡς τὰ μὲν τῶν Χριστιανῶν Ἀγαρηνοῖς προδίδωσι, κατὰ δὲ τῆς βασιλείας σου μελετᾷ. ἐν δὲ τῷ μεταξὺ τῆς θυγατρὸς τοῦ βασιλέως Μαρίας τεθνηκυίας, ὁ βασιλεὺς τὴν λάρνακα ταύτης ἐξ ἀργύρου ἐκόσμησε, καὶ τόμον ἐλευθερίας τοῖς ἐν αὐτῷ προσφεύγουσι τέθεικεν· ὅνπερ ἄργυρον Λέων ὁ βασιλεὺς μετὰ ταῦτα ἀνείλετο.*

9. *Τῷ δ' αὐτοῦ ἔτει Θεόδωρον τὸν ἀρχιεπίσκοπον τὸν λεγό-*

lis in speculo conspiceret, Denderisque relucentes inde formas intuitus esset, pro suo delirio de puppis domino ac imperatori rettulisse. his illi eius tantisper sedata ira. Denderim vero post non multos dies dignis modis castigans sapere docuit, ita fere inferens dicensque "cave ulli unquam de pulchris puppis loquaris." quandoque vero a potu calentior Theophilus, cum Augustae insultaret, rogabat de illa, num adhuc mana pulchras puppas osculis amplexuque acciperet. Denderis dextera ori imposita, ac sinistra posteriora tenens, "tace, tace, imperator," respondit, "ac de puppis ne loquare."

8. Anno imperii tertio, Alexium Armenium cognomento Muselem, virum valde strenuum ac robustum, collocata ei Maria filia generum sibi ascivit, patriciumque ac deinde magistrum creavit. tum vero in suspicionem adductum velut qui imperium aucuparetur, praetorem ducemque Siciliae institutum abs se ablegavit. qualia vero parturit livor! Siculi quidam venientes crimen illi intentant, prodere eum quae Christianorum existant Agarenis, resque novas adversus imperatorem moliri. inter haec mortua Maria Theophili filia, pater illius urnam argenteis laminis contexit, ad eamque confugientibus dato diplomate immunitatem sanxit. hoc postea argentum Leo imperator sustulit.

9. Anno imperii quarto, Theodorum archiepiscopum cognomento

μενον Κρίθινον, ἐν τῷ καιρῷ τῆς διαβολῆς Ἀλεξίου ἐν τῇ πόλει ὄντα, D δίδωσιν ὁ βασιλεὺς τὸ ἴδιον φυλακτόν, καὶ ἀποστέλλει εἰς Σικελίαν δοῦναι λόγον ἀπαθείας Ἀλεξίῳ καὶ ἀγαγεῖν πρὸς αὐτόν· ὃν καὶ ἐλθόντα ὁ βασιλεὺς ὡς ἀντάρτην τύψας ἔθετο εἰς φυλακήν, τὰ αὐτοῦ πάντα δημεύσας. Θεόδωρος οὖν τοῦτο εἰδὼς ἤσχαλλε καὶ ἐδυσφόρει· καὶ μετ᾽ ὀλίγον τοῦ βασιλέως ἐν Βλαχέρναις ἀπελθόντος προλαβὼν ἔστη ἔμπροσθεν τοῦ θυσιαστηρίου, τὴν ἱερατικὴν στολὴν ἐνδεδυμένος, καὶ τοῦ βασιλέως τῇ σωλέᾳ πλησιάσαντος αὐτὸς φωνῇ μεγάλῃ ἐβόησεν "ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε· ἕνεκεν τίνος, ὦ βασιλεῦ;" αἰδεσθεὶς οὖν ὁ βασιλεὺς τὴν σύγκλητον ἔφη "ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης." P 419 ὁ δέ "καὶ ποία δικαιοσύνη ἐν σοί; ὅτι δοὺς ἐνυπόγραφον λόγον Ἀλεξίῳ δι᾽ ἐμοῦ οὐκ ἐφύλαξας τοῦτον." ὁ δὲ βασιλεὺς θυμῷ καὶ ὀργῇ ἀκατασχέτῳ κινηθεὶς τοῦτον τοῦ θυσιαστηρίου βιαίως ἐξήγαγε καὶ πληγὰς οὐ μετρίας ἐπιθεὶς ἐξώρισεν, οὐ διὰ τὸ ἐλεγχθῆναι ὑπ᾽ αὐτοῦ μόνον, ἀλλ᾽ ὅτι καὶ ἔμαθεν αὐτὸν σέβειν καὶ τιμᾶν τὰς ἁγίας εἰκόνας καὶ τὴν αὐτοῦ δυσσέβειαν διαβάλλειν. μετ᾽ οὐ πολὺ δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ παραγενομένου καὶ τοῦ πατριάρχου αὐτὸν ὀνειδίσαντος, ἤγαγε τὸν ἀρχιεπίσκοπον μετὰ παρακλήσεως. B τοῦ δὲ ἀνάξιον ἑαυτὸν δι᾽ ἃ πέπονθε τῆς ἱερωσύνης κρίναντος, ὁ βασιλεὺς οἰκονόμον αὐτὸν τῆς μεγάλης ἐκκλησίας πεποίηκεν. καὶ Ἀλέξιον τοῦ δεσμωτηρίου ἐκβαλὼν ἀπέδωκεν πᾶσαν αὐτοῦ τὴν

Crithinum, tunc in urbe versantem, cum Alexius per calumniam delatus est, accersitum, traditaque ei cruce sua pectorali, Theophilus in Siciliam mittit, securitatis fidem Alexio praestiturum ad seque revocaturum. cumque venisset, imperator tanquam rebellem durius caedit, eiusque bonis omnibus publicatis in carcerem tradit. Theodorus ubi rescivit, rem aegerrime tulit. ac brevi post imperatore ad Blachernas profecto, eius ille iter occupavit, ac sacerdotali indutus stola ante altare stetit. iamque ad soleam prope posito, magna voce clamavit "intende, prospere procede et regna: quorsum, rogo te, o imperator? (Ps. 44 5) ille senatum coram praesentem reveritus "propter veritatem" inquit "et mansuetudinem et iustitiam." tum Theodorus "ecquaenam tua iustitia, qui per me subscriptione tua firmatam fidem Alexio dederis, nec eam servaveris ?" his imperator impotenti ira furoreque concitus ab altari violenter abstractum hominem graviusque verberibus affectum in exsilium expulit. nec eo duntaxat nomine, quod is eum reprehendisset, sed quod etiam colere eum ac venerari sacras imagines eiusque impietatem vituperare audisset. non multo post autem, cum in magnam ecclesiam venienti patriarcha rem probro obiecisset, archiepiscopum cum obsecratione reduxit. illo autem indignum se sacerdotio conclamante ob eam qua fuerat violatus iniuriam, imperator magnae ecclesiae oeconomum fecit. Alexio vero e carcere educto substantiam omnem restituit, ac vi-

ὕπαρξιν καὶ ἐν τιμῇ εἶχεν. ὁ δὲ ἀποκαρεὶς τὴν Ἀνθεμίου μονὴν ᾠκοδόμησεν, καὶ ἐν αὐτῇ τελειωθεὶς ἐτάφη ὁσίως.

10. Τῷ ε΄ αὐτοῦ ἔτει ὁ ὀνομαστότατος πάσης ἀνατολῆς στρατηγὸς Μανουὴλ μεγάλως ἦν τιμώμενος παρὰ τῷ βασιλεῖ, καί C ποτε μετὰ Μύρωνος τοῦ λογοθέτου τοῦ δρόμου καὶ πενθεροῦ τοῦ Πετρωνᾶ συμβαλὼν λόγους τινὰς διεβλήθη τῷ βασιλεῖ ὡς τῆς βασιλείας ὀρέγεται, καὶ ἐμελετᾶτο δεινὰ κατ' αὐτοῦ. Λέων δὲ ὁ πρωτοβεστιάριος τοῦ Μανουὴλ φροντίζων καὶ προϊστάμενος διεβεβαιοῦτο τῷ βασιλεῖ ὡς ψευδῆ εἰσὶ τὰ κατ' αὐτοῦ λεγόμενα. ἃ μαθὼν Μανουὴλ καὶ τὴν ὀργὴν τοῦ βασιλέως ἐκκλίνων καὶ τὰς διαβολάς, λάθρα τῆς πόλεως ἐξελθὼν μέχρι Πυλῶν καὶ τοῖς δημίοις ὀχήμασιν ἐπιβὰς ἀπῆλθε φυγὰς μέχρι τῶν κλεισουρῶν Συρίας, τὰς τῶν ἵππων ἰγνύας ἐκκόπτων. ἐδήλωσε δὲ τοῖς Ἀγαρηνοῖς ὡς βασιλέως ὀργὴν φεύγω· καὶ εἴ γε μὴ καταναγκάσητέ D με τὴν πίστιν μου καταλιπεῖν, προσφεύγω ὑμῖν. εἰ οὕτω καὶ ἐπὶ τούτοις προσδέχεσθέ με, λόγον ἀπαθείας μοι ἀποστείλατε. οἱ δὲ μετὰ χαρᾶς λόγον ἀποστείλαντες προσεδέξαντο ὡς βασιλέα Ῥωμαίων. τοῦτο ἀκούσας ὁ βασιλεὺς ἐν πολλῇ θλίψει καὶ ἀθυμίᾳ γέγονε, καὶ βουλὴν βουλεύεται καὶ ποιεῖται μετὰ Ἰωάννου συγκέλλου περὶ τούτου. ὁ δὲ εἶπεν "εἰ προθύμως βούλει τὸν Μανουὴλ πρὸς σὲ ἐλθεῖν, ὦ βασιλεῦ, αὐτὸς ἐγὼ ἕτοιμος τοῦτο ποιεῖν. χρήματα λαβὼν καὶ πρὸς τὸν ἀμερμουμνὴν σταλείς, τοὺς ἐν εἱρκταῖς δῆθεν ἐπισκεψόμενος καὶ δεσμοῖς, ἔχων ἐνυπόγραφον λόγον παρὰ

rum coluit. verum ille posita caesarie Anthemii monasterium condidit, inque illo diem obiens sancti sepultura elatus fuit.

10. Quinto eius imperii anno totius Orientis ducum nominatissimus Manuel magno in pretio a Theophilo habebatur. is quandoque cum Myrone dromi logotheta ac Petronae socero quaedam collocutus apud imperatorem delatus est, quasi imperium affectaret et dira adversus eum moliretur. contra vero Leo protovestiarius de Manuelis salute solicitus, illumque defendens, falso haec in eum iactari serio affirmabat. Manuel ubi haec comperit, iramque imperatoris declinans, ac quibus petebatur calumnias fugitans, clam urbe Pylas usque egressus, publicisque conscensis curribus, ad Syriae usque clusuras excisis equorum poplitibus aufugit; significavitque Agarenis se imperatoris iram fugere, ac nisi fidem deserere cogant, ad eos se profugum transire. quodsi ita hisque condicionibus accipiant, fidem ei securitatis mittant. illi nuntio recreati ac laeti, ea fretum nihil impari ac imperatorem Romanum cultu susceperunt. id ubi Theophilus audivit, ingenti maerore mentisque angustia concidit. habitoque cum Ioanne Syncello consilio ait ille "si vere ex animo Manuelem ad te reverti cupis, o imperator, id tibi ut praestem, mihi promptum est. acceptis namque pecuniis arreptoque ad Amermumnem itinere, quasi eos qui in carcere ac vinculis tenentur invisurus, subscriptumque maiestatis tuae manu securitatis diploma habens, inde

τῆς σῆς βασιλείας, δι' ὧν πείσω τὸν Μανουὴλ εἰς ὄψιν ἐλθεῖν, P 420 δοκῶ τοῦτο πρᾶξαι τῷ τε ἐνυπογράφῳ λόγῳ καὶ τῇ ἐμῇ πειθοῖ καὶ τῇ εὐσεβείᾳ ἐκείνου καὶ τῷ εἰκὸς εἶναι τὴν πατρίδα αὐτοῦ ἐρᾶν." ὁ δὲ βασιλεὺς πάμπολλα χρήματα καὶ δῶρα δοὺς αὐτῷ ἀπέστειλεν. ὁ δὲ εἰσελθὼν καὶ τοὺς ἐν δεσμοῖς ῥογεύσας καὶ τὸν πρωτοσύμβουλον θηρασάμενος ἠδυνήθη καὶ λάθρα τῷ Μανουὴλ συντυχεῖν καὶ δοῦναι αὐτῷ τὸν ἐνυπόγραφον λόγον καὶ τὸ φυλακτὸν τοῦ βασιλέως. ὁ μὲν οὖν ταῦτα πράξας ὑπέστρεψεν, ἀναγγείλας τῷ βασιλεῖ πάντα. ὁ δὲ Μανουὴλ ἐξαιτησάμενος τὸν ἀμερμουμνῆν μετὰ τῶν αἰχμαλώτων Ῥωμαίων τῶν καθειργμένων ἐν B φυλακαῖς, πίστιν αὐτῷ δοὺς ὑπὲρ τούτων ὡς οὐ φεύξονται, εἴπερ ἐξέλθωσιν, ἀλλὰ πολεμήσουσιν ἰσχυρῶς, ἔτυχε τῆς αἰτήσεως, καὶ λαβὼν τὸν τοῦ ἀμερμουμνῆ υἱὸν καὶ λαὸν πλεῖστον ἐξῆλθε κατὰ Περσῶν, καὶ νίκην μεγάλην ποιήσας, ἀλλὰ καὶ θηρῶν ἀτιθάσσων τοὺς Ἀγαρηνοὺς λυμαινομένων τούτους ἐλευθερώσας, ἐν μείζονι μᾶλλον τότε τιμῇ ἢ τὸ πρότερον καθίσταται, καὶ πάντα ἦν αὐτὸς παρὰ τῷ ἀμερμουμνῇ δυνάμενος. ὅθεν φροντίδα πολλὴν ἔχων τοῦ ἐξελθεῖν εἰς Ῥωμανίαν, μετὰ καιρόν τινα εἶπεν πρὸς τοὺς δυ- C νάστας Συρίας ὅτι ἐάν μοι τὸν υἱὸν τοῦ ἀμερμουμνῆ παρέξητε καὶ λαὸν καὶ ἐξέλθω, ὑποτάξαι ἔχω τὴν Ῥωμανίαν. οἱ δὲ τὸν ἀμερμουμνῆν εἰπόντες τοῦτον ἀπέστειλαν. ὁ δὲ Μανουὴλ ἐλθὼν πλησίον τῶν θεμάτων τῆς ἀνατολῆς, καὶ προσκαλεσάμενος τοὺς ὑπο-

Manueli suasurus ut se tibi praesentem exhibeat. id vero nihil mihi cassum cessurum arbitror, tum subscripta illa securitatis fide meaque suasionis vi, tum viri ipsa pietate, ac quod verisimile est ipsum patriam suosque diligere." imperator itaque ingenti instructum pecuniarum vi copiosisque muneribus a se hominem ablegat. ingressus vero Ioannes, vinctisque elargitus munere ac protosymbuli expugnato animo, Manueli ut occulte loqui fidemque securitatis ac imperatoriam crucem dare liceret obtinuit. sic itaque peracto negotio reversus cunctorum rationem imperator rettulit. Manuel autem oblata Amermumnae supplicatione, ut cum Romanis quos sub custodia vinctos tenebat suscipiendae expeditionis facultatem faceret, obstricta illi fide fugam minime arrepturos, siquidem ad bellum exirent, sed fortiter pugnaturos, ex voto impetravit. assumpto itaque Amermumnis filio, copiosoque fretus exercitu, adversus Persas aciem direxit; partaque ingenti victoria, sed et liberatis Agarenis a feris bestiis vastitatem regioni afferentibus, maiorem sibi honorem ac claritatem apud illos conciliavit, nihilque erat quod ab Amermumne, qua apud eum gratia pollebat, non consequeretur. quamobrem longe animi anxius ac solicitus, ut ad Romanos gentilesque suos rediret, post interiectum aliquod tempus ait Syriae regulis, "si mihi Amermumnis filium copiasque praebueritis, atque his ego stipatus expeditionem suscepero, Romaniam subiugabo." rettulerunt illi ad Amermumnem, et dimiserunt. Manuel autem ad Orientalia prope themata accedens, convo-

χειρίους αὐτῷ, ἀλλὰ καὶ τὸν υἱὸν τοῦ ἀμερμουμνῆ ὡς δῆθεν διακινήσων καὶ κυνηγήσων, πόρρωθεν τῶν πολεμίων γενόμενος καὶ περιπλακεὶς τῷ υἱῷ τοῦ ἀμερμουμνῆ καὶ καταφιλήσας εἶπεν "ἐγὼ
D μὲν ἀπέρχομαι πρὸς τὸν βασιλέα καὶ τὰ ἴδια, μηδὲν ἐν τῷ βίῳ προτιμήσας πίστεως καὶ συμφυλετῶν· σὺ δὲ μετὰ τῶν σῶν, ὡς μηδὲν δεινὸν πείσεσθαι ὑποπτεύων παρ' ἡμῶν, ἄπιθι πρὸς τοὺς σούς." καὶ οὗτος μὲν μετὰ δακρύων καὶ αἰσχύνης ὑπέστρεψεν, ὁ δὲ Μανουὴλ ἐχώρει πρὸς τὸν βασιλέα, προαποστείλας αὐτοῖς τὸν μηνύσοντα. ὁ δὲ βασιλεὺς τὸν μηνυτὴν φιλοτιμησάμενος αὐτάρκως, καὶ τὸν Μανουὴλ ὡς ἄξιον ἦν ὑποδεξάμενος, μάγιστρον εὐθὺς καὶ δομέστικον τῶν σχολῶν ἐποίησε, καὶ τοὺς αὐτοῦ παῖδας ἐκ τοῦ ἁγίου βαπτίσματος ἀνεδέξατο.

P 421 11. Τῷ ζ' αὐτοῦ ἔτει ἐξέρχεται ὁ βασιλεὺς μετὰ Μανουὴλ καὶ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ παντὸς κατὰ Ἀγαρηνῶν. καὶ εὐπετῶς τήν τε Ζάπετρον καὶ τὸν Σαμοσάτορα πλούτῳ κομῶντα διὰ τὸ ἀμερμουμνῆν ἐκεῖθεν εἶναι παραλαβών, ἐπανῄει τῇ νίκῃ καὶ τοῖς λαφύροις γαυρούμενος. καὶ ἐλθὼν μέχρι τοῦ Βρύα πρόσεταξε παλάτιον οἰκοδομηθῆναι καὶ παραδείσους φυτευθῆναι καὶ ὕδατα ἀγαγεῖν· ἃ καὶ γεγόνασιν. ἐκεῖθέν τε εἰς τὴν πόλιν ἀφικόμενος, ἱππικὸν ποιήσας καὶ τὸ πρῶτον βάϊον παίξας, ἅρματι λευκῷ ἐποχησάμενος καὶ τὰ λάφυρα θριαμβεύσας ἐστεφανώθη,
B τῶν δήμων ἐπιβοώντων "καλῶς ἦλθες, ἀσύγκριτε φακτωνάρη."

8 αὐτῷ margo P

catisque quos sub potestate habebat ordinibus, adhaecque Amermumnis filio, tanquam scilicet animi relaxandi gratia ac venaturus, longiusque ab hostibus digressus, Amermumnis complexus filium ac deosculatus, ad eum infit "ego quidem ad imperatorem ac propria revertor, qui nihil in vita potius fide atque civibus habendum ducam: tu vero cum tuis, omnis a nobis mali securus, te ad tuos recipito." atque hic quidem cum lacrimis ac pudore reversus est: Manuel vero ad imperatorem profectus est, praemisso qui eius adventum illi nuntiaret. imperator nuntio liberaliter accepto, ac qua par erat humanitate ac benevolentia Manuele suscepto, magistrum statim ac scholarum domesticum praefecit, eiusque liberos e sacro fonte suscepit.

11. Anno eius imperii septimo imperator cum Manuele et senatu cunctoque exercitu adversus Agarenos profectus, facilique negotio captis Zapetro et Samosato, urbe divitiis longe locupletissima, quod inde Amermumnes oriundus esset, victoria spoliisque elatus reversus est. cumque ad locum Brya venisset, exstrui palatium iubet hortosque plantari ac vivaria, atque aquas deduci; quod et factum est. inde in urbem rediens, Circensibus ludis exhibitis, primoque ipse munere ludens, candidis equis invectus spoliaque triumpho traducens victor coronatus est, factionibus acclamantibus, "bene fausteque veneris, omni maior comparatione factionarie."

12. Τῷ η' τούτου ἔτει, τοῦ πατριάρχου Ἀντωνίου τελευτήσαντος, ἀντ' αὐτοῦ χειροτονεῖται Ἰωάννης ὁ σύγκελλος, Ἰαννὴς δὲ μᾶλλον καὶ Ἰαμβρής, ὁ ἐπὶ τοῦ Ἀρμενίου καὶ παραβάτου Λέοντος μνημονευθεὶς γραμματικός, βεβοημένος ἐπί τε μαγείαις καὶ λεκανομαντείαις καὶ πάσῃ ἀσεβείᾳ. ὃς ὄργανον ἐπιτήδειον εὑρεθεὶς τῆς τοῦ βασιλέως ἀσεβείας σὺν αὐτῷ πάντα τὰ πρὸς ἀπώλειαν κατειργάσατο· καὶ ὃν ὤδινεν κατεῖχε δὲ βασιλίσκον τῆς ἀσεβείας ὁ βασιλεὺς ἐξέρρηξε καὶ ἀπέτεκεν, τὰς ἁγίας εἰκόνας ἀναχρίσεσθαι C προστάξας ἢ ἐπαλείφεσθαι.

13. Οὗτος ὁ Ἰωάννης πρὸ τοῦ ἄστεος οἴκημα ἐκ λίθων λαξευτῶν κατασκευάσας, ὃ Τροῦλος μέχρι τοῦ νῦν ὀνομάζεται, διά τινων θυσιῶν ὡμίλει τοῖς δαίμοσι καὶ τῷ βασιλεῖ τὰ μέλλοντα διεσήμαινεν· ὃ καὶ ἀοίκητον ἔμεινεν διὰ τὰς ἐν αὐτῷ γενομένας τότε τῶν δαιμόνων ἐπιφοιτήσεις.

14. Ἐν τούτοις Ἀγαρηνοῦ τινὸς γυναίου πνεῦμα Πύθωνος ἔχοντος, ὃ αἰχμάλωτον ἔλαβεν, ἐκμαντεύεσθαι μαθὼν ὁ βασιλεὺς μετακαλεσάμενος ἐκπυνθάνεται, τίνος ἡ βασιλεία ἐν πολλοῖς D διαρκέσει ἔτεσι· καὶ ἐξεῖπεν "ἡ τῶν Μαρτινακίων." κατὰ πληροφορίαν δὴ τῆς τοιαύτης προφάσεως τὸν μονήρη βίον κατέκρινε Μαρτινάκιον, τὸν αὐτοῦ οἶκον ποιήσας εἰς μοναχῶν φροντιστήριον. ἐντεῦθεν καὶ Κωνσταντίνῳ τῷ Τριφυλλίῳ τὰ συμβησόμενα αὐτῷ προδεδήλωκεν, ὅτι ὡσαύτως καὶ σὺ καὶ τὰ τέκνα ἀποκαρήσεσθε κληρικοὶ ἐπὶ αὐτοκράτορος Βασιλείου· ὃ καὶ συμβέβηκεν.

12. Anno eius imperii octavo defuncto patriarcha Antonio, Ioannes syncellus (potius vero Iannes et Mambres) in eius locum suffectus est, is nimirum cuius in Leone Armeno et praevaricatore mentio supra habita est, homo praestigiis, divinationibus ex pelvi omnique impietate nominatissimus. et vero idoneum organum regiae impietatis inventus, collata cum eo opera, quae ad interitum existant, propense omnia exsecutus est; ac quem parturiebat (occultabat tamen) impietatis basiliscum, imperator edidit peperitque, promulgato edicto quo sacras imagines oblini ac aboleri iuberet.

13. Hic Ioannes exstructa in urbis pomerio ex sectis lapidibus domo (Trullus hodieque vocatur) sacrificiis quibusdam daemonibus familiarius utens, quae futura erant, imperatori denuntiabat. manserunt aedes illae inhospitae ob daemonum per haec tempora in illis frequentiam.

14. Inter haec Agarenam quandam mulierem bello captam spiritu Pythone afflatam cum vaticinari imperator audisset, rogabat ex illa, cuius in domo imperium in annos plures duraturum esset. cui illa Martinaciorum. eius vaticinii fide eaque occasione Martinacem monachi instituto damnavit, eiusque domum in monasterium redegit. hinc quoque Constantino Triphyllio, quae eventura essent, praedixit, perinde scilicet eum liberosque clericalis ordinis gratia detonsum iri Basilio imperatore;

ὁμοίως καὶ ἄλλοις πολλοῖς τὰ συμβησόμενα αὐτοῖς προὔλεγε, καὶ τὸν βασιλέα τὰ μετὰ θάνατον αὐτοῦ ὀφείλοντα γενέσθαι ἀκριβῶς P 422 προηγόρευσεν, ἀλλὰ καὶ τὴν τῶν εἰκόνων προσκύνησιν καὶ τὴν τοῦ Ἰαννῆ καθαίρεσιν. καὶ Γεωργίῳ δὲ τῷ τὰς στρατιωτικὰς δέλτους ἐπειλημμένῳ ἐπὶ τῇ σφενδόνῃ εἶπεν τῇ κατὰ τοῦ ἱπποδρόμου ἀποκτάνεσθαι, καὶ τὴν ὕπαρξιν αὐτοῦ τῷ βασιλείῳ ἀνειλῆφθαι ταμείῳ.

15. Τῷ θʹ αὐτοῦ ἔτει Ἄραβες μετὰ δυνάμεως πολλῆς κατὰ Ῥωμανίας ἐξῄεσαν, καὶ ὁ βασιλεὺς ἅμα τοῖς πρόσφυξι Πέρσαις καὶ τοῖς τάγμασι καὶ Μανουὴλ δομεστίκῳ κατ᾽ αὐτῶν ἐχώρει. καὶ συμβολῆς γενομένης ἡττηθεὶς ὁ βασιλεὺς μέσον εἰσῆλθε τῶν Περσῶν, ὑπ᾽ αὐτῶν περισωθῆναι ὑπολαμβάνων. Μανουὴλ B δὲ ὡς ἔγνω περισκοπῶν ἐν μέσῳ τῶν Περσῶν τὸν βασιλέα ὄντα, αὐτοὺς δὲ βουλομένους ἤδη τοῖς Ἄραψι τοῦτον παραδοῦναι καὶ δι᾽ αὐτοῦ καταλλαγῆναι αὐτοῖς, διασχίσας μέσον αὐτῶν καὶ τοῦ χαλινοῦ τοῦ ἵππου τοῦ βασιλέως λαβόμενος ἐξεῖλκεν ἄκοντα τοῦτον, αἰσχύνην ἡγούμενος οὐ καθεκτήν, εἰ τὸν βασιλέα Ῥωμαίων Ἄραβες αἰχμάλωτον λάβωσιν. ὁ δὲ βασιλεὺς τῷ δέει τοῦ καθεστηκότος ἐκστὰς προσρυῆναι πάλιν τοῖς Πέρσαις ἐβούλετο. ὁ δὲ Μανουὴλ τὸ ξίφος ἀνέτεινεν ὡς πατάξων αὐτόν. ὁ δὲ φοβηθεὶς ἐξῆλθεν. ἐκεῖθέν τε ἐξ αἰσχύνης ὑποστρέφει ἐν τῷ Δορυλαίῳ. C ὁ δὲ Μανουὴλ ἐν τῷ πολέμῳ τρωθεὶς καὶ νοσήσας ἐτελεύτησεν, πολλὰς ἀνδραγαθίας κατὰ Ἀγαρηνῶν ποιησάμενος· τὸ δὲ σῶμα

quod et contigit. similiter quoque aliis non paucis futuros eventus praenuntiavit. etiam qui ab illius morte futurus esset imperator, clare Theophilo edidit; item fore ut imagines venerationem cultumque reciperent, et ut Iannes sede moveretur. Georgio quoque militares tabulas consecuto ad Circi fundam necandum fore vaticinata est, eiusque fisco addicendam substantiam.

15. Imperii Theophili anno nono Arabes ingentibus copiis Romanae dicionis provincias locaque invasere; in quos imperator cum Persis profugis, Romanisque copiis ac Manuele domestico aciem eduxit. conserta pugna victus imperator in medium Persarum agmen, per eos liberatum se iri arbitratus, subiit. Manuel circum lustrans, ut in medio Persarum cuneo haerentem imperatorem cognovit, iamque illis constitutum esse ut Arabibus ipsum proderent illiusque pretio eorum gratiam inirent, perrupto illorum cuneo frenoque imperatoris equo apprehenso pene reluctantem trahebat, nullo modo ferendum probrum ducens, si ita ab Arabibus Romanorum imperatorem capi contingeret. at imperator timoris nimia vi saniore mente deiectus ad Persas rursus desciscere volebat. Manuel gladium strinxit quasi percussurus; quo territus imperator exivit, indeque pudore, ingentique accepta clade, Dorylaeum rediit. Manuel e praelio saucius morboque correptus diem obiit, multis adversus Agarenos strenue bellicaque fortitudine clare gestis. eius cadaver

αὐτοῦ ἀπεκομίσθη ἐν τῇ ὑπ᾽ αὐτοῦ κτισθείσῃ μονῇ, τῇ σύνεγγυς κειμένῃ τῆς τοῦ Ἄσπαρος κινστέρνης. (16) καὶ εὐθὺς διαβολαὶ πρὸς τὸν βασιλέα κατὰ Περσῶν καὶ ἀπειλαὶ κατὰ Θεοφόβου ὡς ἀντάρτου καὶ προδότου καὶ δυσμενοῦς. ταῦτα μαθὼν Θεόφοβος, τοὺς Πέρσας καταλαβὼν κατῆλθεν ἕως Σινώπης· ἥτις τὴν κλῆσιν εἴληφεν ἀπό τινος τῶν Ἀμαζόνων αὐτὴν δειμαμένης, Ἄμαστρις δὲ ἡ πρὶν Κρῶμμα ὠνομασμένη ἀπὸ Ἀμάστριδος τῆς Περσίδος, θυγατρὸς Ὀξυάρτου ἀδελφοῦ Δαρείου, ἥτις συνοικήσασα Διονυ- D σίῳ τῷ Ἡρακλείας τυράννῳ, ὑπ᾽ ἐκείνῳ οὖσαν τὴν πόλιν ἀπὸ τῆς συζύγου ὠνομακέναι. καὶ ταύτην παραλαβὼν κατεῖχε τυραννικῶς· ὅπερ γνοὺς ὁ βασιλεὺς ἐν μεγάλῃ λύπῃ γέγονε. φοβούμενος δὲ μὴ παραρρυῶσι τοῖς Ἄραψι, μέχρι Παφλαγονίας ἀπῄει, καὶ λόγους αὐτοῖς ὡς οὐδὲν πείσονται δεδωκὼς καὶ τὸν Θεόφοβον ἀναλαβόμενος ὑπέστρεψεν ἐν τῇ πόλει, τῶν ἄλλων Περσῶν παραγενομένων οὗπερ ἕκαστος κατεσκήνωσεν ἐξ ἀρχῆς. ἠγαπᾶτο δὲ ὁ Θεόφοβος παρὰ τῶν πολιτῶν οὐχ ἧττον ἢ τῶν Περσῶν ὡς ὀρθόδοξος.

17. Τῷ ι′ αὐτοῦ ἔτει γίνεται τῷ βασιλεῖ παῖς ἐκ Θεοδώ- P 423 ρας, ὃν ἐπωνόμασεν Μιχαήλ. ἀπερχομένῳ δὲ τῷ βασιλεῖ πρὸς Βλαχέρνας, καθὼς εἴθιστο, ὑπήντησεν αὐτῷ τις λέγων "ὁ ἵππος ᾧ ἐποχεῖται ἡ βασιλεία σου ἐμός ἐστιν." ὁ δὲ βασιλεὺς τὸν κόμητα τοῦ στάβλου ἐπηρώτησεν "τίνος ἐστὶν ὁ ἵππος;" ὁ δέ φησιν "ὁ κόμης τοῦ Ὀψικίου ἀπέστειλεν αὐτὸν τῇ βασιλείᾳ σου." τῇ δὲ

ad monasterium relatum, quod ipse construxerat haud procul ab Asparis cisterna. (16) statim proditionis delati Persae apud imperatorem: intentatae minae in Theophobum, tanquam tyrannus et rebellis ac proditor et hostis esset. Theophobus compertis quorum reus agebatur, assumptis secum Persarum turmis, Sinopem concessit. (accepit illa nomen a quadam Amazonum, quae eam condidit. Amastris vero, quae prius Cromma vocaretur, ab Amastride Persa, Oxiarti Darii fratris filia. fuit haec uxor Dionysii Heracleae tyranni, qui urbis cum potiretur, ex uxoris nomine illam appellavit.) Theophobus quam urbem occuparat, tyranni iure tenebat. imperator ubi rescivit, ingenti maerore affectus est. veritus autem ne illi se Arabibus adiungerent, in Paphlagoniam usque venit; dataque fide nihil mali passuros, assumptoque Theophobo in urbem rediit. Persae reliqui ad sedes cuique dudum assignatas reversi. porro Theophobus non minus civibus quam Persis amori habebatur, ea ratione quod orthodoxus erat.

17. Theophili imperatoris anno decimo nascitur ei filius ex Theodora, cui Michaëlis nomen indidit. procedenti ex more ad Blachernas obvius factus quispiam ait "equus quo vehitur maiestas tua, meus est." quaerit imperator ex comite stabuli cuius equus sit. qui ait "Obsicii

ἐπαύριον τὸν κόμητα τοῦ Ὀψικίου ἀγαγὼν (ἔτυχε γὰρ ἐν τῇ πόλει αὐτὸν εἶναι) ἔφη "τίνος ἐστὶν ὁ ἵππος;" ὁ δὲ ἔφη "ἠγόρασα αὐτόν." τοῦ δὲ ἐγκαλοῦντος ἀνθισταμένου καὶ λέγοντος μετὰ βίας
B ἀφελέσθαι αὐτὸν καὶ χωρὶς τιμήματος, ὁ βασιλεὺς ἔφη "διὰ τί μὴ πρότερον τὴν τιμὴν ἀπέκοψας;" ὁ δὲ ἀποκριθείς "ρ' νομίσματα ἐδίδουν αὐτῷ· αὐτὸς δὲ ἐζήτει γενέσθαι σχολάριος, καὶ διὰ τὸ εἶναι αὐτὸν δειλὸν τούτου ἀποτυχὼν οὐδὲ τὰ ρ' νομίσματα ἠθέλησε λαβεῖν." ἐπὶ τούτοις βεβαιωθεὶς ὁ βασιλεὺς ὅτι βίᾳ, τὸν ἵππον ἀποδέδωκεν, ὁρίσας καὶ σχολάριον αὐτὸν ποιῆσαι. ὁ δὲ τὸν ἵππον μὴ βουληθεὶς λαβεῖν, ἔλαβεν χρυσίου λίτρας β' καὶ ἀπῆλθεν.

18. Τῶν δὲ Σαρακηνῶν ἐπὶ τὸ Ἀμόριον ἐλθόντων ὁ βασιλεὺς συντόμως μέχρι Καππαδοκίας ἐξήλασεν. ὁ δὲ ἀμερμουμνὴς
C ν' χιλιάδας λαὸν ἀφορίσας, δεδωκὼς αὐτοῖς καὶ τὸν Γουνδεῆ ἄρχοντα ὀνομαστότατον ὄντα ἐν τοῖς Ἀγαρηνοῖς, ἀπέστειλε κατὰ τοῦ βασιλέως. καὶ πολέμου γενομένου ἡττηθεὶς ὁ βασιλεὺς ἔφυγε, καὶ μετ' αἰσχύνης ὑπέστρεψε μόλις διασωθείς. οἱ δὲ Σαρακηνοὶ περιχαρακώσαντες τὸ Ἀμόριον καὶ πολλοὺς πολέμους ποιήσαντες, ἐπεὶ σταθερῶς τοὺς ἔνδον ἀγωνιζομένους ἑώρων, ἠβουλήθησαν ὑποχωρῆσαι. μαθητὴς δέ τις Λέοντος τοῦ φιλοσόφου ἐν τῷ κάστρῳ ὢν μηνύει τούτους ὅτι εἰ προσκαρτερήσετε δύο ἡμέρας, ἐκπορθεῖτε ἡμᾶς. ὃ καὶ γέγονεν· προεδόθη γὰρ ὑπὸ τοῦ λεγομένου Βουδίτζη
D καὶ τοῦ Μανικοφάνους. κατεσχέθησαν δὲ ἄνδρες ὀνομαστότατοι

comes tuae maiestati misit." postridie itaque eo adducto (contigit enim eum tunc in urbe versari) ait "cuiusnam est equus?" respondit se illum coëmisse. obnitente autem qui actor erat, vique ablatum dicente, nec ullum eius pretium solutum esse, ait imperator "quidni prius solvisti?" qui respondit "centum illi nummos numerabam, quaerebatque inter scholares alas adlegi; id vero, quod homo ignavus erat, minime consecutus nec centum nummos accipere voluit." imperator itaque certior factus equum vi ablatum esse, ipsum reddidit, iubens et illum inter scholares referri. non acquievit ille ut equum acciperet, aurique duabus libris donatus abscessit.

18. Saracenis infestis signis Amorium petentibus imperator celeriter in Cappadociam usque copias eduxit. Amermumnes vero selectis quinquaginta milibus, praefectoque illis Gundee viro inter Agarenos fama clarissimo, adversus imperatorem misit. conserto praelio imperator victus fususque est, vixque a clade cum probro ipse incolumis evasit. Saraceni vero undique cincto Amorio variisque praeliis tentato, quod oppidanos strenue urbem propugnantes viderent, obsidionem solvere meditabantur. verum Leonis philosophi discipulus quidam, tum in praesidio agens, in haec verba mandat, "dummodo duos solum dies stationem teneatis, urbem evertetis;" quod et contigit. prodita enim est a Buditze, quem vocant, et a Manicophane. comprehensi ex catholicis viri

τῶν εὐσεβῶν, Θεόφιλος πατρίκιος καὶ στρατηγοὶ ὅ τε Μελισσηνὸς καὶ ὁ Ἀέτιος, καὶ Θεόδωρος πρωτοσπαθάριος καὶ εὐνοῦχος ὁ Κρατερός, Κάλλιστος τουρμάρχης, Κωνσταντῖνος δρουγγάριος καὶ Βασόης ὁ δρομεὺς καί τινες ἄρχοντες τῶν ταγμάτων. οὓς ἐξωνήσασθαι βουλόμενος ὁ βασιλεὺς ἀποστέλλει πρέσβεις πρὸς τὸν ἀμερμουμνῆ μετὰ κεντηναρίων διακοσίων. ἀλλ' οὐκ ἔπεισεν εἰπόντα ὅτι χίλια κεντηνάρια ἐὰν παράσχῃς λόγῳ τοῦ συνειλεγμένου λαοῦ, οὐκ ἐλευθερώνω οὐδένα τούτων. (19) τῶν αἰχμαλώτων οὖν ἐν Συρίᾳ ἀπαχθέντων, πολλὰ παρὰ τοῦ πρωτοσυμβούλου P 424 ἀναγκασθέντες, ἀλλὰ μὴν καὶ τοῦ Βουδίτζη, τῇ τῶν ἑπτὰ χρόνων καθείρξει, καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστόν, ξίφει ἀπετμήθησαν, ἀντὶ τῆς προσκαίρου ζωῆς τὴν αἰώνιον ἀγαπήσαντες, καὶ μετὰ μίαν ἡμέραν ἐν τῷ ποταμῷ ἐρρίφησαν. τὸ δὲ παραδοξότατον, ὅτι ἑκάστη κεφαλὴ μετὰ τὴν ἐκτομὴν τῷ ἰδίῳ σώματι ἡνώθη καὶ συνεφύη· καὶ ὥσπερ αἱ ψυχαὶ ἐν ἑνὶ τόπῳ τοῦ παραδείσου, οὕτω καὶ τῶν ἁγίων τὰ σώματα μιᾶς ὁσίας παρὰ τῶν πιστῶν ἔλαχον. τούτων τελειωθέντων ἐκέλευσεν ὁ πρωτοσύμβουλος καὶ τὸν Βουδίτζην ἀποκεφαλισθῆναι εἰπὼν ὅτι καὶ οὗτος, εἰ B ἦν ὀρθὸς Χριστιανός, οὐκ εἶχε μαγαρίσαι. καὶ τούτου γενομένου καὶ τοῦ σώματος αὐτοῦ ῥιφέντος μετὰ τῶν ἁγίων, ἔξω τῆς στοιβῆς τούτων ηὑρίσκετο. καὶ ἡ κεφαλὴ δὲ αὐτοῦ πόρρω τοῦ σώματος ἦν, καὶ οὐχ ὡς τῶν ἁγίων συγκεκολλημένη. καὶ εἰς τὸν ποταμὸν ῥιφέντων, καὶ πάντων τῶν σωμάτων τῶν ἁγίων βλέποντος τοῦ

nominatissimi, Theophilus patricius duxque exercitus, Melissenus et Aetius, Theodorus quoque protospatharius et eunuchus Craterus, Callistus turmarcha, Constantinus drungarius et Basoes cursor; quidam etiam agminum praefecti. quos cum imperator vellet redimere, missis legatis ad Amermumnem cum ducentis centenariis, eius nequiit animum expugnare; qui diceret, nec si milies centenas libras eo nomine numeraret ut captivos reciperet, vel unum liberandum fore. (19) captivis itaque in Syriam adductis, multa eis vis a protosymbulo, quin et a Buditze adhibita longa annorum septem carceris maceratione; cumque nullis aerumnis ac cruciatibus adduci potuissent ut Christum negarent, gladio caesi sunt, prae temporanea scilicet aeternam vitam adamantes. postridie in flumen proiecta cadavera. quodque omnem vincit admirationem, uniuscuiusque abscissum caput cum suo trunco unitum est ac consertum; ac sicut animae in uno collocatae paradisi loco, sic et corpora sanctorum uno funere a fidelibus elata sunt. his peractis iussit protosymbulus ut et Buditzi caput auferretur, dicens eum quoque, si rectus fuisset Christianus, nunquam Mahumethi sacris imbuendum fore. illo itaque sublato, eius cadaver una cum sanctis proiectum, extra illorum struem repertum est: sed et caput procul a trunco semotum erat, nec velut capita sanctorum illi cohaeserat. proiectis quoque in flumen corporibus, cum sanctorum omnia corpora spectante plebe facile enatassent

ὄχλου εὐπλοησάντων καὶ εἰς τὸ πέραν ἐλθόντων, αὐτοῦ μόνον τὸ σῶμα οἱ κροκόδειλοι διασύραντες κατέκοψαν καὶ κατέφαγον.

20. Ὁ δὲ τοῦ φιλοσόφου Λέοντος μαθητής, ὁ καὶ μηνυ-
C τὴς τῆς προδοσίας, ἠρωτήθη παρὰ τοῦ ἀμερμουμνῆ περὶ τῆς ἐπιστήμης αὐτοῦ καὶ εἶπεν μαθητὴς εἶναι τοῦ φιλοσόφου Λέοντος. ἐκεῖνος δὲ μαθὼν ὁποῖός ἐστιν ὁ Λέων, ἐπεθύμει τοῦτον ἰδεῖν, καὶ δούς τινι τῶν αἰχμαλώτων γράμματα πρὸς Λέοντα τὸν φιλόσοφον ἀπέστειλεν ἐν Κωνσταντινουπόλει, ὑποσχόμενος δεύτερον αὐτὸν εἶναι ἐν τιμῇ. ὁ δὲ Λέων τὰ γράμματα ἀπολαβὼν ἀνήγαγε ταῦτα Θεοφίλῳ τῷ βασιλεῖ. ὁ δὲ γνοὺς τὰ τῆς ἑαυτοῦ ἐπιστήμης, καὶ ὅτι τοιοῦτον σοφὸν ἄνδρα ἐν τῇ πόλει αὐτοῦ ἔχει, προσλαβόμενος αὐτὸν εἰς τὸ παλάτιον ἐν τῇ Μαγναύρᾳ ἔθετο, παραδοὺς αὐτῷ καὶ μαθητὰς διδάσκειν τοὺς εὐφυεστάτους νέων, παρέχων αὐτῷ πᾶσαν ἀπάθειαν. οὗτος καὶ μητροπολίτης μετὰ ταῦτα Θεσσαλονίκης
D γέγονεν, ὑπὸ τοῦ ἁγιωτάτου πατριάρχου Μεθοδίου χειροτονηθείς.

21. Τῷ ιαʹ αὐτοῦ ἔτει κτίζει ὁ βασιλεὺς ἐν τῷ παλατίῳ τὸ Τρίκογχον καὶ τὸ λεγόμενον Σίγμα καὶ τὰς ἀναβάθρας τῶν δήμων, ἵστησι δὲ καὶ τὴν φιάλην ἐν ᾗ γίνεται τὸ σαξιμοδέξιμον λεγόμενον, τῶν ἵππων ἀμφοτέρων τῶν μερῶν διερχομένων μετὰ χρυσῶν σαγισμάτων. ὑπὸ δὲ τὸ Τρίκογχον κάτωθεν διὰ μηχανῆς ἐποίησε τὸ λεγόμενον Μυστήριον, ἐν ᾧ, ἐν τῇ μιᾷ γωνίᾳ ὃ ἐὰν

15 καθαιρεθείς margo P

amnemque transmeassent, eius unius corpus crocodili tractum discerptumque vorarunt.

20. Leonis autem philosophi discipulus, qui et proditionem denuntiarat, de sua scientia ab Amermumne interrogatus Leonis se philosophi discipulum professus est. ille porro, ubi quantus vir Leo esset audivit, eius videndi desiderio accensus uni alicui captivorum datis literis Leoni philosopho Cpolim scripsit, sancteque illi secundas ab se honoris partes obtulit. Leo literis acceptis ad Theophilum rettulit. Theophilus explorata viri scientia, ac ubi tantum hominem nactum se in civitate cognovit, assumptum illum in palatio in Magnaura constituens, omnique donans immunitate, ingenuosissimos adolescentes disciplinas docere iussit. hic postea Thessalonicae metropolita creatus, a sanctissimo patriarcha Methodio gradu motus est.

21. Anno eius undecimo exstruit imperator in palatio Triconchum cubiculum, et quod Sigma vocant, gradusque ac subsellia factionum. struit vero etiam Phialam, in qua fit quod Saximodeximum vocant, utrarumque partium equis transeuntibus, aureis instratis stragulis. sub Triconcho inferius structa machina fecit, quod vocant Mysterium; in

εἴπῃ τις ἐν μυστηρίῳ προσκεκυφώς, ἐξακούεται ἐν τῇ ἑτέρᾳ φανερῶς.

22. Ἐν τούτοις μαθὼν Θεόφιλος ὁ βασιλεὺς ὅτι Θεοφάνης ὁ τῶν ἐκκλησιαστικῶν κανόνων καὶ ὕμνων ποιητὴς καὶ Θεό- P 425
δωρος ὁ αὐτοῦ ἀδελφὸς καθ' ἑαυτοὺς ζῶντες τὴν ἀσέβειαν αὐτοῦ κωμῳδοῦσι καὶ διελέγχουσιν, ἤγαγεν αὐτοὺς πρὸς αὐτόν, καί φησι "πόθεν ἐστέ;" οἱ δὲ εἶπον "ἐκ Παλαιστίνης." καὶ ὁ Θεόφιλος "καὶ διὰ τί τὴν γῆν ὑμῶν ἀφέντες καὶ εἰς τὴν ἡμετέραν ἐλθόντες οὐ πειθαρχεῖτέ τῇ βασιλείᾳ μου;" τῶν δὲ μηδὲν ἀποκριναμένων, τύπτεσθαι αὐτῶν τὰς ὄψεις προστάττει σφοδρῶς. εἶτα καὶ βουνευρήσας μέχρις αὐτοῦ θανάτου, μετὰ θυμοῦ πρὸς τὸν ὕπαρχον ἔφη "ἆρον αὐτοὺς εἰς τὸ πραιτώριον, καὶ ποιήσας στίχους ἔγγραψον αὐτοὺς κολάψας εἰς τὰ πρόσωπα αὐτῶν· καὶ ἂν οὐκ εἰσὶ B
καλοί, μή σοι μελέτω." τοῦτο δὲ εἶπεν διὰ τὸ εἶναι τοὺς ὁσίους σοφωτάτους. οἱ δὲ ἅγιοι εἶπον "γράφε, γράφε, βασιλεῦ, τὸ δοκοῦν σοι, ὡς μέλλων τοῦ ἀναγνῶναι ταῦτα ἐνώπιον τοῦ δικαίου κριτοῦ." ὁ δὲ ὕπαρχος εἰς τὸ πραιτώριον τοὺς ἁγίους ἀγαγὼν γράφει οὐ μόνον ἐν τῷ προσώπῳ ἀλλὰ καὶ ἐν τοῖς στήθεσι τοὺς στίχους τούτους.

πάντων ποθούντων προστρέχειν ἐν τῇ πόλει
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες
ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ

quo, quicquid aliquis in uno angulo sese inclinans secreto locutus fuerit, in alio clare exauditur.

22. Inter haec comperto Theophilus imperator Theophanem ecclesiasticorum canonum ac canticorum auctorem, cum Theodoro fratre, secum ipsos agentes illius impietatem sugillare ac arguere, sibi illos sisti iubet, aitque "unde estis?" aiunt illi "ex Palaestina." tum Theophilus "quid causae est cur cum patria relicta in urbem veneritis, morem non geratis meae maiestati?" quibus nihil respondentibus, eorum dure facies percuti iubet. tum taureis ad mortem usque cum cecidisset, ira furoreque ad praefectum ait "tolle eos in praetorium, versusque quos feceris, eorum inscribe vultibus. nec ulla tibi cura sit, sintne elegantes necne." hoc autem dixit, quod viri sancti eruditissimi essent humanioribusque literis probe instituti. ad quem sancti "scribe, scribe, imperator, quod libuerit, ut qui haec lecturus sis in conspectu iusti iudicis." praefectus autem adductis in praetorium, eorum non solum vultibus sed et pectori sequentes versus inscripsit.

cunctis ad urbem accurrere affectantibus,
castissimos in qua deus verbum pedes
fixit, generi salutem ut humano daret,
apparuere et isti venerando in loco,

σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
C ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας
πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες
οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας·
ὅθεν γραφέντες ὡς κακοῦργοι τὰς ὄψεις
κατακρίνονται καὶ διώκονται πάλιν.

εἶτα γράψας ἐξορίζει. καὶ διερχομένων αὐτῶν μετὰ τῶν δημοσίων
ἵππων, ἔτυχεν αὐτοὺς μεῖναι εἰς Κάρτα λιμήν. καὶ ἐπεὶ ὁ μέγας
Μεθόδιος ὑπ' αὐτοῦ τοῦ θεοστυγοῦς Θεοφίλου ἐγκεκλεισμένος ἦν
D ἐν τῇ τοῦ Ἀντιγόνου νήσῳ ἐν μνήματι μετὰ δύο λῃστῶν, γράφου-
σιν αὐτῷ Θεόδωρος καὶ Θεοφάνης διά τινος πιστοτάτου ἁλιέως,
ὃς καὶ ὑπούργει τῷ ὁσίῳ Μεθοδίῳ ἐν εὐτελέσι χρείαις. καὶ γὰρ
κανδήλαν αὐτῷ διὰ τὸ σκοτεινὸν τοῦ τάφου ἀπενεγκὼν ἐκόμιζεν
αὐτῷ ἑκάστῳ σαββάτῳ ἔλαιον φόλλης μιᾶς, ὅπερ καὶ ἤρκει ταῖς
ἑπτὰ ἡμέραις φωτίζον τοὺς ἐγκεκλεισμένους. συνέβη δὲ ἐν μιᾷ
ἀσθενῆσαι τὸν ἁλιέα καὶ μὴ ἀπενεγκεῖν τὸ κατὰ τύπον τοῦ σαβ-
βάτου· τῇ δὲ προσευχῇ τοῦ ὁσίου τὴν λεῖψιν αὐτοῦ ὁ θεὸς παρε-
μυθήσατο, καὶ ἡ ἀπειλοῦσα σβεσθῆναι μέχρι τοῦ ἑτέρου σαββά-
P 426 του ἕως ἔλαιον διήρκεσε λάμπουσα. διὰ τούτου οὖν τοῦ ἁλιέως
γράφουσιν

21 ἔλαιον] ἀπενεχθῆναι addit margo P

superstitiosi erroris vasa pessima.
et inde, multa postquam perfidi deo
facinora perpetrassent turpia impie,
ut desertores vertere iussi sunt solum.
fugaque in urbem hanc delati, imperii caput,
non destitere ab impura vaecordia.
compuncti igitur facinorosi velut notis,
ex urbe damnati pelluntur hac quoque.

sic inscriptis vultibus atque compunctis, equis publicis in exsilium pulsi sunt; contigitque domicilium in portu Carta dicto habere. quod vero magnus Methodius ab eodem scelestissimo Theophilo in Antigoni insula in monumento cum duobus latronibus inclusus fuerat, scribunt ad eum Theodorus et Theophanes per fidelissimum quendam piscatorem, qui et sancto Methodio viliora ministeria devotus obibat. quod enim tenebrosum erat sepulcrum, ad lucernae usum singulis quibusque diebus sabbati olei follem afferebat; eisque inclusis ad lucem septem diebus praestandam satis erat. cumque aliquando piscatori aegra valetudine laboranti constitutum sabbato oleum afferre haud licuisset, eius deus defectum sancti precibus solatus est; cumque iam exstinguenda lucerna videretur, ad alterum usque sabbatum lucere non destitit, donec oleum ei allatum est. per hunc igitur piscatorem scribunt.

τῷ ζῶντι νεκρῷ καὶ νεκρῷ ζωηφόρῳ,
οἰκοῦντι τὴν γῆν καὶ πολοῦντι τὸν πόλον,
γραπτοὶ γράφουσι δέσμιοι τῷ δεσμίῳ.

πρὸς οὓς πάλιν διὰ τοῦ αὐτοῦ ἁλιέως ὁ ὅσιος ἀντέγραψεν

τοῖς ταῖς βίβλοισιν οὐρανῶν κλησιγράφοις
καὶ πρὸς μέτωπα σωφρόνως ἐστιγμένοις
προσεῖπεν ὁ ζώθαπτος ὡς συνδεσμίοις.

(23) καὶ ἐν μὲν τῇ ἐξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος, οὗ τὸ λείψανον ἐν τῇ Χαλκηδόνι μονῇ τοῦ Μιχαηλίτζη αὐτὸς ὁ κτίσας B Μιχαὴλ ὕστερον ἀπεκόμισεν. ὁ δὲ ἀοίδιμος Θεοφάνης μέχρι Μιχαὴλ καὶ Θεοδώρας διήρκεσε, καὶ ὑπὸ τοῦ ἐν ἁγίοις Μεθοδίου πατριάρχου γενομένου χειροτονεῖται μητροπολίτης Νικαίας· ὡς καί τινας ἀσχάλλοντας ἐπὶ τῇ τούτου χειροτονίᾳ, καὶ λέγοντας ὅτι Σύρος ἐστί, καὶ τίς οἶδεν εἰ ὀρθόδοξος ὑπάρχει, μηδενὸς αὐτοῦ μαρτυροῦντος; ἀπεκρίθη ὁ ἅγιος Μεθόδιος λέγων "ἐγὼ ὑπὲρ ταύτην τὴν μαρτυρίαν ἣν ἐπιφέρεται" δείξας τὴν ἐν τῷ προσώπῳ γραφὴν "κρείττονα οὐ θέλω."

24. Ἄξιον δὲ λοιπὸν καὶ τὴν ἀπὸ τοῦ τάφου ἀνάκλησιν C τοῦ ὁσίου Μεθοδίου διηγήσασθαι. ἐπὶ ἑπτὰ γὰρ χρόνοις ἐν τῷ δεινοτάτῳ καὶ στενωτάτῳ τάφῳ μετὰ δύο λῃστῶν κατάκλειστος γεγονώς, ὑπὸ Θεοφίλου τοῦτο μετὰ δαρμῶν ἀφορήτων καὶ τὴν τῶν σιαγόνων θλάσιν καὶ τὴν τῶν ὀδόντων ἐκρίζωσιν διὰ τὴν τῶν

2 κατοικοῦντι P 3 τῷ] οἱ P

vivo perempto vivificoque mortuo,
terram incolenti ac pariter calcanti polum,
scripsere vincto vincti et inscripti notis.

iis Methodius in hanc sententiam per eundem piscatorem rescripsit.

libris vicissim descriptos caelestibus,
faciesque non sine laude compunctos notis,
secum salutat vinctos vivus obrutus.

(23) ac quidem sanctus Theodorus in exsilio diem obit; cuius defuncti corpus in Chalcedonis monasterium, quod vocant Michaelitzis, ab ipso postea qui condidit Michaele translatum est. inclitus vero Theophanes, ad Michaelem usque ac Theodoram vitae superstes, a sancto Methodio patriarcha Nicaeae metropolita ordinatus est. ac cum non deessent qui eius moleste ferrent ordinationem, dicerentque Syrum hominem esse, nec liquere an esset orthodoxus, cui nemo testimonium perhiberet, respondit sanctus Methodius, aitque eo quod secum ille defert (ostendens inscriptam frontem ac compunctam) nullum se melius testimonium velle.

24. Iam vero operae pretium sit ut et modum enarremus, quo e sepulcro sanctus Methodius revocatus est. iam ille annos septem cum duobus latronibus dirissimo artissimoque sepulcro inclusus egerat; cui Theophilus post durissima verbera, maxillas effractas ac dentes excussos, ob cultum sacrarum imaginum reum addixerat. exiguum foramen

ἁγίων εἰκόνων προσκύνησιν καταδικασθείς, ὀπὴν μικρὰν μόνον
ἔχοντος τοῦ μνήματος, δι' ἧς τὴν εὐτελῆ τροφήν τε καὶ τὸ ὕδωρ
ἐλάμβανεν, συνέβη τῷ δευτέρῳ ἔτει τὸν ἕνα τῶν ληστῶν ἐκεῖσε
D ἀποθανεῖν. ἴστε δὲ πάντως οἷα δυσωδία καὶ σκωλήκων βρῶσις
τοῦ σώματος τοῦ τῆς ψυχῆς ἐξελθούσης τίκτεσθαι. ἐκαρτέρησαν
οὖν οἱ γενναῖοι, ὅ τε ὅσιος Μεθόδιος καὶ ὁ ἐναπολειφθεὶς ληστής,
τὴν τοιαύτην ἀνάγκην. ἑπταετίας οὖν πληρωθείσης ἐξέλκεται ὁ
ὅσιος τοῦ τάφου τρόπῳ τοιῷδε. ὁ βασιλεὺς Θεόφιλος σχολὴν ἐν
μελέταις ἔχων εὑρίσκει θεοῦ προνοίᾳ ἐν τῇ βιβλιοθήκῃ τοῦ παλα-
τίου γραφὴν ἣν νοῆσαι οὐκ ἠδύνατο. πέμπει οὖν ταύτην τῷ πα-
τριάρχῃ Ἰωάννῃ, ὁμοίως δὲ καὶ τῷ φιλοσόφῳ Λέοντι ἐν τῇ Μα-
γναύρᾳ τὴν φιλοσοφίαν, ὡς προείρηται, διδάσκοντι· καὶ ἀμφότε-
P 427 ροι ἐματαιώθησαν. λυπεῖται ὁ βασιλεὺς ἀγανακτῶν περὶ τούτου,
ἐπί τισιν ἡμέραις κατηφὴς καὶ ἄτροφος διάγων. θαρρεῖ τις τῶν
κουβικουλαρίων, καὶ φησὶ τῷ βασιλεῖ "ταύτην, δέσποτά μου, οὐ-
δεὶς ἄλλος διασαφῆσαι δύναται τὴν γραφὴν εἰ μὴ ὁ ἐν τῷ μνή-
ματι ἀποκεκλεισμένος Μεθόδιος. ἀλλ' εἰ κελεύει τὸ κράτος σου,
λαμβάνω ἐγὼ τὰ ζητούμενα, καὶ πορεύομαι πρὸς αὐτὸν διὰ τῆς
νυκτὸς ὡς παρὰ γνώμην τῆς βασιλείας σου· καὶ πάντως λαμβάνῃ
τὴν τούτων ἑρμηνείαν ἀναμφίβολον." ὁ δὲ κατένευσε. καὶ τοῦ
κουβικουλαρίου ἀπελθόντος πρὸς τὴν νῆσον, μακρόθεν ἔτι ὄντος
B αὐτοῦ, ἤκουεν τοῦ ὁσίου λέγοντος "καλῶς ἦλθες, ἀδελφὲ Ἰωάννη
κουβικουλάριε." οὕτως γὰρ ὠνόμαστο. "οἶδα δι' ὃ ἦλθες ἀπο-

erat in monumento, quo vilem ei escam et aquam inferebant. porro contigit vertente anno altero ut latronum alter eo in lustro atque angulo diem clauderet. haud vero prorsus latet quantus e cadavere foetor exhalet, quanta vermium vis ebulliat, ubi humano fato animam efflaverit. sustinuere tamen forti animo viri (tum nempe Methodius tum latro illi alteri superstes) istiusmodi necessitatem. septennio itaque expleto per hunc modum vir sanctus extrahitur. Theophilus imperator dum studiorum aliquid meditatur, dei providentia in palatii bibliotheca scriptum libellum incidit, cuius assequi sensum minime potuit. mittit ergo ad Ioannem patriarcham, similiter quoque ad Leonem philosophum, in Magnaura philosophiam docentem, ut a nobis dictum est superius. amborum tamen inanis conatus fuit. hinc imperator amaro animo ac indignabundus, dies aliquot morosus ciboque abstinens agit. interim cubiculo praefectorum non nemo, assumpta fiducia, in haec fere verba ipsum alloquitur. "hanc, domine mi, scripturam alius nemo explicare potest nisi qui in monumento inclusus tenetur Methodius. sed si iubet sacra maiestas, acceptis quae dubiae quaestionis sunt, noctu velut te inscio ad eum pergam; prorsusque nihil dubiam ac ancipitem expositionem referam." annuit imperator; profectoque in insulam cubiculario, ac cum longe adhuc positus esset, audit sanctum dicentem "bene veneris, frater Ioannes cubicularie" (sic enim ille vocabatur). "scio quamobrem missus es a

σταλεὶς παρὰ Θεοφίλου. ἀλλ' ἐπίδος μοι χάρτην καὶ μέλαν." καὶ λαβὼν ἐπὶ τρισὶν λύσεσι ταῦτα ἐξέθετο. ἅπερ ἀναγνοὺς ὁ Θεόφιλος ἐθαύμασεν, καὶ ἀποστείλας ἤνεγκεν αὐτὸν ἐν τῷ παλατίῳ, καὶ ἐσκήνωσεν εἰς τὸ λεγόμενον Σίγμα πλησίον αὐτοῦ, παραγγείλας μηδένα ἀπὸ τῶν ἔξω εἰς αὐτὸν εἰσέρχεσθαι πλὴν τοῦ ὑπουργοῦντος τῷ Θεοφίλῳ. αὐτὸς δὲ καθ' ἑκάστην πρὸς αὐτὸν εἰσήρχετο καὶ τῶν ζητουμένων ἐποιεῖτο τὴν ἔρευναν. ὁ δέ γε καταλειφθεὶς ἐκεῖσε λῃστής, καίπερ ἀφεθείς, οὐκ ἠθέλησεν ἐξελθεῖν, ἀλλὰ αὐτόθι ἐτελεύτησεν, σημείοις καὶ τέρασι μεγάλοις κατα- C
κοσμηθείς.

25. Τῷ αὐτῷ καιρῷ ἔπεσεν ἡ χρυσῆ τοῦ φανοῦ τοῦφα ἐν τῷ Αὐγουστείῳ Ἰουστινιανοῦ, καὶ ἐδόθη τῷ σκαλωτῇ παρὰ τοῦ βασιλέως νομίσματα ρ'. στέφει δὲ Θεόφιλος Μιχαὴλ τὸν υἱὸν αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, φιλοτιμησάμενος πάντας, ὡς ἔθος, ἐν τῷ στεψίμῳ.

26. Τῷ ιβ' αὐτοῦ ἔτει πεπλήρωται ὃν κατεσκεύασε ξενῶνα, τὸν νῦν Θεοφίλου λεγόμενον, οἶκον μὲν τὰ πρῶτα γεγονότα Ἰσιδώρου πατρικίου τοῦ ἀπὸ Ῥώμης μετὰ Ὀλυβρίου ἀνελθόντος ἐπὶ D
Κωνσταντίνου τοῦ μεγάλου, μετὰ δὲ χρόνους ἐκδοθέντα κουρατώρια εἰς τὸ κατοικεῖν ἐκεῖσε γυναῖκας τῶν εὐγενῶν μὴ εἰδυίας σωφρονεῖν. ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ξενοδοχεῖον ὑπ' αὐτοῦ ἐκ πορνείου ἐχρημάτισεν. εἶτα γέγονεν οἶκος Κωνσταντίνου τῆς Εἰρήνης υἱοῦ μετὰ τὴν ὑπὸ τῆς μητρὸς γεγονυῖαν εἰς αὐτὸν τύφλω-

Theophilo. verum trade chartam et atramentum." qua accepta, triplici solutione nodum explicavit. lectis vero quae ille scripserat, Theophilus admirari; mittensque in palatium tulit, ac prope se in cubiculo, quod Sigma vocant, habitare praecepit; exterorum quemlibet ad eum accedere, uno duntaxat excepto illius ministro, prohibuit. ipse vero quotidie ad eum ingrediens, si quae dubiae quaestionis erant, ex illo exquirebat. latro autem in sepulcro relictus, quamquam liber dimissus erat, exire noluit, sed magnis signis ac prodigiis fulgens eo ipso loco vitae finem fecit.

25. Eodem tempore cecidit aureus globus laternae in Augusteo Iustiniani; datique scandulario centum nummi, quorum illa pretio restituta. coronat vero Theophilus Michaelem filium in magna ecclesia, cunctosque magnifice donat, uti in eiusmodi inaugurationum solenniis moris est.

26. Anno imperii Theophili duodecimo absoluta est domus hospitalis, quam nunc Theophili vocant; fueruntque primum Isidori patricii aedes, eius qui Roma cum Olybrio venit Constantino magno imperatore; multisque deinceps annis imperatoris addictae fisco, nobilium scortis feminarum habitaculum praebuere. Leone autem Isauro imperatore, quae aedes lupanar erant, in hospitalem domum cesserunt. exin Constantino Irenes filio, posteaquam a matre excaecatus fuerat, domus exstitere.

σιν. τελευτήσαντος δὲ αὐτοῦ ἡ γυνὴ αὐτοῦ μονάσασα μοναστήριον αὐτὸν κατεσκεύασεν καὶ τὰ Μετανοίας ἐκάλεσεν. ξύλον οὖν μέγιστον τοῦ τρικλίνου ἀποκλασθὲν ἠπείλει πτῶσιν, αἱ δὲ P 428 μονάζουσαι τοῦ βασιλέως διερχομένου περὶ αὐτοῦ ἐδεήθησαν. ἐκνεύσας οὖν καὶ τὸν οἶκον θεασάμενος καὶ ἀρεσθεὶς μετοικίζει μὲν τὰς μοναζούσας ἐν ἑτέρᾳ μονῇ, αὐτὸν δὲ κόσμῳ παντοίῳ καλλωπίσας ξενῶνα πεποίηκεν, ἐπιδοὺς χρήματα καὶ προάστεια, καὶ τὰ Θεοφίλου ἐπονομάσας.

27. Δυσεντερικῷ δὲ νοσήματι περιπαρεὶς ὁ βασιλεὺς βουλὴν βουλεύεται μετὰ τῶν ὁμοφρόνων αὐτοῦ περὶ Θεοφόβου τοῦ Πέρσου. εἰδὼς γὰρ ὅτι πολλὴν πίστιν καὶ ἀγάπην ἔχουσιν εἰς αὐτὸν οἱ Πέρσαι καὶ ἐκ τῶν ἐν τέλει οὐκ ὀλίγοι, ἐφοβήθη μή πως αὐτοῦ B τελευτήσαντος αὐτὸν καταστήσωσι βασιλέα, τὸν υἱὸν αὐτοῦ Μιχαὴλ ἀπωσάμενοι· καὶ ἀποστείλας ἤγαγεν αὐτὸν ἐν τῷ παλατίῳ καὶ ἐν τηρήσει εἶχεν. εἶτα βαρηθεὶς ὑπὸ τῆς νόσου προστάσσει ἀποκεφαλισθῆναι αὐτόν. καὶ τὴν κεφαλὴν ἰδὼν ἔφη "ἄρτι, Θεόφοβε, καὶ σὺ ἀνεπαύης καὶ ἐγὼ ἀπεφρόντισα." καὶ εὐθὺς τὸ πνεῦμα αὐτοῦ κακῶς καὶ ὀδυνηρῶς ἀπέρρηξε. τὸ δὲ σῶμα αὐτοῦ εἰς τὸν ναὸν τῶν ἁγίων ἀποστόλων ἀπεκομίσθη, τὸ δὲ τοῦ Θεοφόβου ἐν τῷ οἴκῳ αὐτοῦ πλησίον τῶν Ναρσοῦ. ἐπὶ τούτοις τῶν Περσῶν ἐπιζητούντων τὸν Θεόφοβον, τί ἄρα γέγονε, οἱ τοῦ βασιλέως C ἔπεισαν αὐτοὺς ἐν τῷ παλατίῳ διαιτᾶσθαι. τούτῳ τῷ τρόπῳ διαβε-

quo defuncto illius uxor sanctimonialis institutum amplexa, monasterium construxit, ac Metanoeae (id est Paenitentiae) nuncupavit. triclinii igitur maxima confracta trabes ruinam minabatur. sanctimoniales vero illac iter habentem Theophilum opem ferre rogarunt. ille itaque caput protendens, domumque conspiciens ac ea delectatus, sanctimonialibus in aliud monasterium translatis, omnisque generis ornatu exculta domo, peregrinis excipiendis hospitalis ritu eam addixit, opibusque ac pomeriis locupletatam Theophili vocavit.

27. Dysenteriae autem morbo laborans imperator, eiusque gravius doloribus cruciatus, consilium cum suis gregalibus de Theophobo Persa init. cum enim non nesciret multa eum apud Persas, quin et apud procerum non paucos, pollere fide iisque carissimum esse, timuit ne forte ipso vivis exempto, spreto Michaele filio, imperii fasces Theophobo deferrent. mittens itaque in palatium adductum eum sub custodia habebat. exinde ingravescente morbo cervices illi abscindi iubet. vidensque exsectum caput "iam" inquit, "Theophobe, tum tu in vivis esse desiisti, tum ego curis solutus sum;" diroque mox cruciatu male spiritum abrupit. eius in SS. apostolorum elatum funus, Theophobi in eius domum prope Narsetis aedes. inter haec Persis exquirentibus Theophobum, quid utique illo factum esset, vivere eum in palatio aulici asseruerunt.

βόηται παρὰ Πέρσαις ἄχρι τῶν ὧδε χρόνων θανάτου μὴ γεύσασθαι τὸν Θεόφοβον.

Κόσμου ἔτος ‚ςτλε΄, τῆς θείας σαρκώσεως ἔτος ωλε΄, Ῥωμαίων βασιλεὺς Μιχαὴλ καὶ Θεοδώρα ἔτη ιδ΄, μόνος ἔτη ιβ΄, καὶ σὺν Βασιλείῳ ἔτος α΄ μῆνας δ΄, ὁμοῦ ἔτη κζ΄ μῆνας δ΄. ἡ Θεοδώρα D εὐσεβὴς οὖσα καὶ πιστὴ καὶ ὀρθόδοξος ἔτι τοῦ ἀνδρὸς αὐτῆς περιόντος λάθρα τὰς ἁγίας εἰκόνας ἐτίμα καὶ ἐσέβετο· ἥτις γνώμῃ μὲν αὐτῆς, ὑποθήκῃ δὲ καὶ παραινέσει Θεοκτίστου κανικλείου καὶ λογοθέτου, ἐξελαύνει τῆς ἐκκλησίας τὸν ἄθεον πατριάρχην Ἰωάννην, καίπερ σύντεκνον αὐτῆς ὄντα, περιορίσασα τοῦτον ἐν τῷ Στενῷ εἰς τὸ καλούμενον Κλείδιον ἔν τινι μοναστηρίῳ. κἀκεῖ αὐτὸν τὰς τοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν εἰκόνας καὶ τῆς θεομήτορος P 429 καὶ τῶν ἀρχιστρατήγων κατορύξαντα, τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύξαι ἠβουλήθη· κωλυθεῖσα δὲ πέμπει καὶ μαστίζει αὐτὸν διακοσίοις λώροις, εἰσάγει δὲ τὸν ἐν ἁγίοις Μεθόδιον. τοὺς δὲ ὑπὸ Θεοφίλου ἐξορισθέντας μοναχοὺς καὶ ἐπισκόπους ἑνώσασα, τὴν ὀρθόδοξον ἐβεβαίωσε πίστιν καὶ τὴν ἐκκλησίαν εἰρήνευσεν τῇ πρώτῃ κυριακῇ τῶν νηστειῶν. ἐξελαύνει τοίνυν Θεοδώρα τὸν ἀλιτήριον Ἰαννὴν τοῦ πατριαρχείου τρόπῳ τοιῷδε. δηλοῖ γὰρ αὐτῷ διὰ Κωνσταντίνου δρουγγαρίου τῆς βίγλης ὡς πολλοὶ πολλαχόθεν συνεληλυθότες εὐλαβεῖς τε ἄνδρες καὶ μοναχοὶ δέησιν ἐποιήσαντο B

percrebuit hactenus ea fama apud Persas, Theophobum haudquaquam mortem gustasse.

Mundi annus 6335, divinae incarnationis 835, Romanorum imperator Michael et Theodora annos 14, Michael solus annos 10, Basilio collega annum 1 menses 4, simul annos 27 menses 4. Theodora cum pia esset et fidelis et orthodoxa, marito adhuc in vivis agente sacras imagines colebat ac venerabatur. haec sua ipsa sententia, simulque illi auctore et hortante Theoctisto caniclei praefecto et logotheta, impium patriarcham Ioannem ecclesia eiicit, tametsi eius compater erat, atque in monasterium quoddam, quod Clidium vocant ad Stenum, exsilio relegat. illic agens, cum Christi dei nostri sanctaeque deiparae, nec non caelestis militiae principum imaginibus oculos effodisset, in eam sententiam Theodora ierat ut et illi lumina effoderet. verum non siverunt quorum res consilio gerebantur; quocirca mittens ducentis flagris caedit, sanctumque Methodium inducit; ac quos Theophilus monachos ac episcopos relegaverat, in unum cogens, orthodoxam fidem confirmavit, primaque dominica quadragesimae pacem ecclesiae reddidit. eiicit itaque Theodora patriarchae aedibus scelestissimum Iannem in hunc fere modum. mandat per Constantinum excubiarum drungarium, multos undique religiosos viros ac monachos in unum

πρὸς τὴν βασιλείαν μου τοῦ τὰς πανσέπτους κελεῦσαι ἀναστηλωθῆναι εἰκόνας. εἰ μὲν οὖν ὁμόλογος εἶ τούτοις καὶ σύμφωνος, καὶ δὴ τὸν παλαιὸν κόσμον ἡ τοῦ θεοῦ ἐκκλησία ἀπολαμβανέτω. εἰ δ' ἀμφίβολος καὶ τὴν γνώμην οὐκ ἔχων εὐθεῖαν, τοῦ μὲν θρόνου ἔξω γενόμενος καὶ τῆς πόλεως κατὰ δὲ προάστειόν σου διάβηθι, μέχρις ἂν ὁ σύλλογος τῶν ἁγίων πατέρων γένηται μετὰ σοῦ· οἵδε γὰρ ἕτοιμοι διαδικάζεσθαί τε καὶ διαλέγεσθαι καὶ πείθειν σε περὶ τούτων κακῶς λέγοντα." ὁ δὲ πατριάρχης ἢ μᾶλλον φατριάρ-
C χης κατὰ τὸν ἐν τῷ πατριαρχείῳ Θεσσαλὸν τρίκλινον τηνικαῦτα ἀνέκειτο ἐπὶ σκίμποδος, τὰς βασιλικὰς ἀγγελίας δεχόμενος· ὃς ἅμα τῇ ἀκοῇ τῶν λόγων βληθεὶς τὴν ψυχὴν βουλεύσασθαι ἔφη περὶ τούτου καλῶς καὶ τὸν ἀποκομιστὴν εὐθὺς ἀπέστειλεν, καὶ θᾶττον ἢ λόγῳ ἐγχειρίδιόν τι λαβὼν τὰς κατὰ γαστέρα φλέβας ἀπέτεμεν, ἃς ᾔδει δειλίαν μὲν καὶ οἶκτον ἐκ τῆς αἵματος δαψιλοῦς ἐκχύσεως ἀποτεκεῖν τοῖς πολλοῖς, θάνατον δὲ ἤ τινα κίνδυνον οὐδαμῶς. θροῦς οὖν καὶ βοὴ εὐθύς τις περιήχει τὴν ἐκκλησίαν, οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς βασιλικὰς ἀκοὰς προφθάνουσα τοῦ
D δρουγγαρίου, ὡς ἡ δέσποινα διὰ τοῦ δρουγγαρίου τὸν πατριάρχην κατέσφαξεν. τῶν οὖν λεγομένων ἐταστὴς ἀκριβὴς ὁ πατρίκιος Βάρδας ἀποσταλεὶς αὐτάς τε τὰς πληγὰς ἐκ προνοίας γενομένας ἠρέμα πως κατεφώρασεν, καὶ τὸ δρᾶμα τὸν ἔλεγχον οὐ διέφυγεν, αὐτῶν τῶν θεραπόντων κατειπόντων αὐτῷ καὶ τὰ τῆς τομῆς ὄργανα (φλεβοτόμα δὲ ἦν) εἰς μέσον καθυποβαλλόμενα. ἔκτοτε οὖν

collectos supplicationem porrexisse, ut omni veneratione colendas imagines erigi ac restitui pro imperio iuberet. "siquidem ergo" ait "in eandem et ipse confessionem consentis, suum dei ecclesia ornatum recipiat. sin autem haesitas nec recto mentis sensu incedis, relicta sede ac urbe ad suburbanum tuum discedito, donec sanctorum patrum coetus una tecum rem pertractaturus coëat. in promptu enim habent disceptare ac disputare, deque his male sentientem ad saniorem sensum reducere." verum patriarcha, seu (verius dicam) fatriarcha, in Thessalo triclinio in aedibus patriarchalibus in suppedaneo scabello id temporis iacens, auditis divalibus iussis, moxque eorum auditione animo saucius, probe se eius rei gratia deliberaturum respondit; ac statim nuntium remisit, dictoque citius arrepta lanceola ventris sibi venulas incidit; quas vulgo, cruore copia effluente, timorem ac miserationem excitaturas, non vero mortem aut periculi aliquid creaturas noverat. sublatus itaque statim rumor ac clamor totam late personat ecclesiam, quin et ante drungarium aulam occupat, Augustam illius opera patriarcham necasse. misso itaque Barda patricio, qui diligenter rem inquireret, sensim ex industria deprehensum facta vulnera; nec fabula ullo colore tegi potuit. ipsi famuli in eum rei testes; prolata in medium sectionis organa, lanceolae scilicet in eum usum sanguinemque aperta vena minuendum compositae. iam

οὐδενὸς λόγου ἀξιωθείς, ὡς ἐπὶ τοιαύτῃ αὐτοφώρῳ αἰτίᾳ ὑπειλημμένος, τῆς ἐκκλησίας ἀπελαύνεται ὁ ἀλιτήριος καὶ κατά τινα μονὴν ἐν τῷ Κλειδίῳ περιορίζεται. ἐν ᾗ ἁγίων εἰκόνας ἐξέσας, τοῦτον ἡ βασίλισσα μάστιξι διακοσίαις παιδεύει, καὶ κατὰ τὸ προάστειον αὐτοῦ, ὃ λέγεται Ψιχά, ἀποστέλλεται.

2. Οὗτος οὖν ὁ προρρηθεὶς Ἰωάννης πατριάρχης, ὁ δι' P 430 οἰκείαν ἀσέβειαν Ἰαννὴς παρὰ τῶν εὐσεβῶν ὀνομασθείς, οὐκ ἐπηλύς τις καὶ ξένος αὐτόχθων δὲ καὶ τῆς βασιλίδος τῶν πόλεων βλάστημα καὶ ἐκ λίαν εὐγενοῦς καταγόμενος σειρᾶς, τῆς οὕτω τῶν Μωροκαρδανίων λεγομένης, καὶ τῆς τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου τῆς ἐν τοῖς Ὁρμίσδου μονῆς ἡγούμενος ἄνωθεν ὢν καὶ τοῦ βασιλέως κληρικοῖς καταριθμούμενος, διαφερόντως παρὰ Μιχαὴλ ἠγαπᾶτο τῷ Τραυλῷ, εἴτε τῷ μόνῳ τούτῳ κοινωνὸς εἶναι τῆς τούτου αἱρέσεως, εἴτε καὶ τῷ διαφέρειν ἐπὶ λογιότητος δόξαν τινὰ ἐσχηκώς· πλὴν ἠγαπᾶτο, καὶ τοῦ Θεοφίλου διδάσκαλος ἐγκαθίσταται. καὶ οὗτος ἐπεὶ τὰς τῆς βασιλείας ἔσχεν B ἡνίας, σύγκελλον μὲν πρότερον τοῦτον τιμᾷ, εἶθ' ὕστερον καὶ πατριάρχην καθίστησι Κωνσταντινουπόλεως, προγνώσεις τινὰς διὰ λεκανομαντείας καὶ γοητείας αὐτῷ ἀπαγγέλλοντα. καὶ γοητεία τοιαύτη. ἔθνους ποτὲ τρισὶν ὑφ' ἡγεμόσι στρατηγουμένου, ἀπίστου τε καὶ σκληροῦ, τὴν τῶν Ῥωμαίων χώραν κατέτρεχε καὶ ἐλῄζετο. ὡς εἰκὸς οὖν ἀθυμοῦντος ἐπὶ τούτῳ τοῦ Θεοφίλου καὶ

2 εἰλημμένος? 5 ἀποστέλλονται P 10 Μωροχαρδανίων alter ms. c. margo P 12 τοῦ] τοῖς? 13 εἴτε μόνῳ τῷ? 19 καὶ ἡ γοητεία?

ergo quasi nullius frugis (quippe in tali manifesto deprehensus facinore) miser ecclesia pellitur et in monasterium quoddam Clidium nomine relegatur; ubi cum imagines abraderet, ducentis Augustae flagris vapulat, et ad sua suburbana mittitur, quae vocant Psica.

2. Hic igitur, quem dicebam, Ioannes patriarcha, pro sua impietate Iannes appellatus uno piorum filiumque suffragio, non advena quispiam ac extraneus fuit, sed indigena urbisque Augustae civis, ex ingenua ac praenobili Morocardianorum, ut vocant, ortus prosapia; monasteriique sanctorum Sergii et Bacchi, quod est ad Hormisdae aedes, olim praefectus, interque palatinos clericos cooptatus a Michaele Balbo tenere amabatur, sive uno hoc quod fovendae haeresis illi socius erat, sive etiam pro ea eruditionis laude qua aliqua pollere videbatur. quovis certe titulo amabatur, ac Theophili praeceptor praeficitur. Theophilus mox imperii habenas adeptus syncelli prius honore donat, tumque etiam patriarcham Cpolitanum constituit, cum is illi divinatione ex pelvi ac praestigiis quaedam futurorum vaticinia ederet. praestigiae in eo positae. gens quaedam infidelis truciorque tribus ducibus quandoque Romanam dicionem incursabat atque vastabat. ea res, ut par est, animi anxium tristemque Theophilum omnesque subditos habebat. maestitiam

τοῦ ὑπηκόου παντός, ἀποσκευάσασθαί που τὴν ἀθυμίαν οὗτος συμβουλεύει, θάρσους τε πληρωθῆναι καὶ χαρᾶς, εἴ γε μόνον
C τῇ τούτου ἐπακολουθοίη βουλῇ. ἡ δὲ ἦν τοιαύτη. ἐν τοῖς εἰς τὸν εὔριπον τοῦ ἱπποδρομίου χαλκοῖς ἀνδριᾶσιν ἐλέγετό τις εἶναι ἀνδριὰς τρισὶ διαμορφούμενος κεφαλαῖς, ἃς κατά τινα στοιχείωσιν πρὸς τοὺς τοῦ ἔθνους ἐκείνου ἀρχηγοὺς ἀνῆγεν. σφύρας οὖν μεγίστας σιδηρᾶς τρεῖς προσέταττεν γενέσθαι καὶ ἀνδράσιν ἐγχειρισθῆναι ἰσχυροτάτοις τρισίν. πόρρω δὲ τῶν νυκτῶν ἐπὶ τὸν ἀνδριάντα ἦσαν ἀμφότεροι, ὁ μὲν Ἰαννὴς διὰ λαϊκοῦ ἐνδύματος ἑαυτὸν περισκέπων, οἱ δὲ ἄνδρες μετεώρους τὰς σφύρας ἔχοντες. καὶ αὐτὸς τοὺς στοιχειωτικοὺς λόγους ἐπειπὼν παίειν ἕκαστον ὡς ἔχει δυνάμεως προσεῖπε νεανικῶς τε καὶ ἰσχυρῶς. καὶ οἱ μὲν δύο
D τὰς δύο τοῦ ἀνδριάντος κεφαλὰς ἀπέκοψαν, ὁ δὲ ἕτερος μικρὸν μὲν κατέκλινεν, οὐ μὴν καὶ ὅλην τοῦ σκηνώματος ἐναπέτεμεν. τούτοις οὖν καὶ τὰ κατὰ τοὺς ἡγεμόνας ἐξηκολούθει· ἔριδος γὰρ κραταιᾶς αὐτοῖς ἐπεισπεσούσης καὶ ἐμφυλίου μάχης, ὑπὸ τοῦ ἑνὸς οἱ δύο τῶν ἡγεμόνων πίπτουσι κατὰ τὴν τῶν κεφαλῶν ἐκτομήν, τοῦ τρίτου μόνου διασωθέντος, οὐχ ὑγιῶς δέ. οὕτως εἰς τὸ μηδὲν εἶναι τὸ ἔθνος χωρῆσαν πρὸς τὰ οἰκεῖα αὖθις μετὰ φυγῆς ἀφορμᾷ καὶ συμφορᾶς.

3. Τῆς δὲ θεοφιλοῦς, ὡς εἴρηται, Θεοδώρας τῇ ἐκκλησίᾳ τὸν ἑαυτῆς κόσμον δούσης (ἀπὸ γὰρ Λέοντος τοῦ Ἀμαληκίτου
P 431 ἕως τῆς ὀρθοδοξίας ἐπὶ τριάκοντα χρόνους κατεῖχον οἱ εἰκονοκαῦσται τὰς ἐκκλησίας) αἴτησιν ποιεῖται πρὸς τοὺς παρόντας ἁγίους

Ioannes ponere iubet, pectusque securum ac gaudii plenum gerere, si modo eius velit consiliis morem gerere. id vero illi consultum. inter aeneas Circi statuas ad Euripum unam quandam tricipitem stare: eius tria illa capita magice consecrata ad gentis illius referri duces. iubet ergo tres maximos malleos tribus viris robustissimis in manus tradi. profunda itaque nocte utrisque ventum ad statuae locum: Ioannes laici habitu sese occultabat, viri autem stabant sublatis malleis, cum ille magicis secum invocationibus peractis unumquemque fortiter omnique robore atque viribus ictum dare clamosus inceptor praecipit. ac unus quidem et alter duo capita decusserunt: tertius vero inflexit quidem ille paululum, non tamen etiam totum a trunco amputavit. sic igitur se fere ducum res habuere. gravis inter illos orta discordia in bellum civile prorupit. ex illo unus alterque ceciderunt; tertius unus ipse superstes fuit, etsi non sano prorsus robore. in eum modum ad nihilum redacta gens illa ad sua rursus se fuga, ingentique clade attrita, recipit.

3. Postquam igitur religiosissima, quam dicebam, Theodora suum ecclesiae ornatum reddiderat (a Leone enim Amalecita ad restitutionis imaginum solennia annos circiter triginta imaginum incensores igniariique sacrilegi ecclesiarum potiti erant), petitionem ad patres qui collecti

πατέρας, λέγουσα "οἶδα ὅτι δέδωκεν ὑμῖν ὁ θεὸς ἐξουσίαν ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας κατὰ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. ἐπείπερ οὖν ὁ βασιλεὺς Θεόφιλος, ὡς οἴδατε πάντες, δικαιοκρίτης μὲν εἰ καί τις ἄλλος ἦν, καὶ πάντα καλῶς διοικῶν, ὡς μαρτυρεῖτε, εἶχε δὲ μόνην ταύτην τὴν αἵρεσιν, ἣν καὶ τελευτῶν ἀπηρνήσατο, καὶ μετὰ δακρύων κατ' αὐτὴν τὴν ὥραν τῆς ἐξόδου, ἐμοῦ τούτῳ ταύτας δούσης, τὰς ἁγίας εἰκόνας κατεφίλησε, καὶ οὕτως ἐξέπνευσε, B δότε μοι καὶ αὐτοὶ χάριν ἐγγράφως ἀφεθῆναι αὐτῷ τὴν ἁμαρτίαν ταύτην μόνην· περὶ δὲ τῶν λοιπῶν οὐ φροντίζω." πρὸς ἣν οἱ πατέρες τὰ μὲν πρῶτα σιγήσαντες, εἶτα καὶ δακρύσαντες τοῖς αὐτῆς ἐπικαμπτόμενοι δάκρυσι, πρὸς δὲ καὶ τὴν τῶν ἁγίων εἰκόνων ζητοῦντες τιμήν, κοινῇ ψήφῳ καὶ γνώμῃ δι' ἐγγράφου ἀσφαλείας τὴν πίστιν τούτου τῇ δεσποίνῃ ἐδίδοσαν. ἐφ' οἷς τὴν ἐκκλησίαν βεβαίως καταλαβόντες, καὶ Μεθοδίῳ τῷ ἁγιωτάτῳ τὴν τῆς ἀρχιερωσύνης ἀποδεδωκότες τιμήν, τῇ πρώτῃ τῶν ἁγίων νηστειῶν κυριακῇ σὺν τῇ βασιλίσσῃ πάννυχον ὑμνῳδίαν ἐν τῷ τῶν C Βλαχερνῶν τῆς θεοτόκου ναῷ ἀφ' ἑσπέρας τετελεκότες, τῇ ἕωθεν μετὰ λιτῆς τῷ μεγάλῳ τοῦ θεοῦ λόγου τεμένει καταλαμβάνουσι, καὶ τὸν κόσμον αὐτῆς αὖθις ἡ ἐκκλησία λαμβάνει τῆς θείας μυσταγωγίας τελεσθείσης ἁγνῶς, πάντων τῶν αἱρεσιωτῶν ἐν πάσῃ τῇ ὑφ' ἡλίῳ καθαιρέσει ὑποβληθέντων μετὰ καὶ τοῦ ἀρχιερέως αὐτῶν, ὃς ἦν ὁ προειρημένος Ἰωάννης.

erant, in haec verba offert. "non me latet datam vobis a deo potestatem dimittendi peccata super terram, quemadmodum sacris Christi evangelii tabulis perscriptum est. quandoquidem igitur Theophilus, ut scitis omnes, iustitiae, si quis alius, tenax fuit, ac cuncta probe administrabat, ut et ipsi testamini, unaque hac duntaxat haeresi laborabat, quam et in extremis agens abnegavit, subque exitus horam oppletus lacrimis, me offerente, sacras imagines osculo veneratus in eum modum efflavit animam, vos quoque hanc mihi scripto facite gratiam, ut et hoc unum illi peccatum dimittatur: nam de reliquis secura sum." ad quam patres, cum primum quidem conticuissent, tumque eius provocati lacrimis in lacrimas ipsi perinde prorupissent, ac cum praeterea hoc molirentur ac satagerent, ut sanctarum imaginum cultum statuerent, uno calculo ac sententia eius rei securitatis fidem scriptam Augustae tradiderunt. quo pignore rata ecclesiam possessione adeuntes, summique sacerdotii dignitate sanctissimo Methodio reddita, dominica prima sanctorum ieiuniorum una cum Augusta, totam noctem sacris canticis in Blachernarum dei genitricis aede a vespera peragentes, solenni mane supplicatione ad magnum dei verbi templum adeunt, ac suum rursus ecclesia recipit ornatum, divinis sancte pureque concelebratis mysteriis, cunctisque in universo orbe haereticis, cum eorum quem dixi antistite (id est Ioanne) depositioni subiectis.

4. Οὗτος οὖν μετὰ τῆς αὐτοῦ, ὡς εἴρηται, συμμορίας τῇ καθαιρέσει ὑποβληθεὶς οὐχ εἵλετο ἡσυχῇ διάγειν τὸν ἑαυτοῦ D κατάπτυστον βίον, ἀλλ' ἔτι κατὰ τῶν ἁγίων εἰκόνων ἐνεανιεύετο. καὶ γὰρ ὑπερόριος πάλιν ἔν τινι μονῇ γεγονώς, εἰκόνος θείας κατὰ τὸν ὄροφον ἱσταμένης καὶ ἀτενῶς ἀτενιζούσης αὐτῷ, μὴ φέρων οὗτος ὁρᾶν τὴν ἐκείνης πρὸς αὐτὸν ἐπικατιοῦσαν θέαν, καθαιρεῖσθαι ταύτην διά τινος οἰκέτου προστάττει καὶ τοὺς ὀφθαλμοὺς κατορύττεσθαι, τοῦτο μόνον ἐπιλέγων ὡς τὴν αὐτῆς οὐ δύναμαι μορφὴν ἐνορᾶν. ἤκουστο γοῦν ταῦτα τῇ δεσποίνῃ, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκείνου τοῦ Ἰαννῆ ἐκτυφλοῖ. ἀλλ' οὐδ' οὕτως ἦν ἀγαπητὸν αὐτῷ τῆς ἡσυχίας ἐρᾶν, μῶμον δέ τινα ἐπειρᾶτο P 432 μετὰ τῶν ὁμοίων αὐτοῦ τῷ ἐν ἁγίοις Μεθοδίῳ προσάπτειν, καὶ γυναῖκά τινα φρεναπατήσαντες κρυψιγαμίας ἔγκλημα τούτῳ ἐπεισφέρουσιν. ὁ δὲ μακαριώτατος πατριάρχης μὴ θέλων πέτρα σκανδάλου λογίζεσθαι τὰ κρύφια αἴσχη ἀπογυμνοῖ, καὶ εὕρητο παρὰ τὸ εἰκὸς μεμαρασμένα. καὶ τὸ αἴτιον ἐρωτηθεὶς εἶπεν ὅτι διάγοντός μου ἐν Ῥώμῃ, ἐπεὶ τοῖς γαργαλισμοῖς ἐκινούμην, τῷ ἀποστόλῳ Πέτρῳ προσῆλθον δεόμενος· ὃς τῇ νυκτὶ ἐπιστὰς τῇ δεξιᾷ τὰ αἰδοῖα κατεπίασεν, ἐπιφθεγξάμενος μὴ τοῦ λοιποῦ πτοεῖσθαι B φιληδονίαν. ἐγὼ δὲ σφοδρῶς ἀλγήσας διυπνίσθην, καὶ ἔκτοτε ἀβλαβὴς διέμεινα. ἀλλὰ μὴν τὸ γύναιον ἀσφαλῶς κρατηθὲν πάντα ἀφηγήσατο, καὶ τὸ δοθὲν αὐτῷ χρυσίον τοῖς ἀποδέσμοις ἔτι περιειλημμένον καὶ τῇ αὐτῶν βούλλᾳ σεσημασμένον ὑπεδείκνυε. καὶ

4. Hic igitur cum sodalitio, sic ut dictum est, gradu motus inque ordinem redactus, haud tamen adduci poterat ut exsecrabilem vitam suam quiete transigeret: sed adhuc ferociebat adversus sanctas imagines. rursus enim in quodam exsul monasterio, cum divina quaedam imago in tecto consistens intentis in eum oculis quasi despiceret, non ferens ille desuper intuentem, deponi per quendam famulorum iubet eiusque oculos effodi, unum hoc satisfactionis addens, non posse se illius formam cernere. audivit Augusta, ipsiusque Iannis caecat lumina. at ne sic quidem quietis amorem in animum induxit, sed hoc studebat cum sodalibus, ut S. Methodii famae labis aliquid quovis modo adspergeret. seducta itaque muliercula quadam stupri expostulant. beatissimus autem patriarcha, qui petra scandali videri nollet, nudatis a se verendis partibus, iis emarcidis secus ac se res solito habeat exsuccisque inventus est. causam rogatus ait "cum Romae versarer ac carnis titillationibus sensuque libidinis pulsarer, supplex precibus ad apostolum Petrum accessi. adstitit ille noctu, easque partes tangens ait 'deinceps securus esto a libidine.' ego autem gravi concitus dolore somnum excussi, exque illo tempore a libidinis aestu illo immunis fui." quin et mulier tuto servata tentaque fabulam omnem enarravit; aurique vim datam adhuc colligatam, ipsorum denique sigillis munita signacula ostendit. exposcebant iudices

αὐτοὺς μὲν τιμωρεῖν ἐβούλοντο, τῇ δὲ τοῦ ἁγίου Μεθοδίου παρακλήσει τούτους εἴασαν.

5. Ὡς οὖν κατὰ τὴν ἑορτὴν ταύτην, ἤγουν τὴν τῆς ὀρθοδοξίας λεγομένην κυριακήν, ἐν τοῖς τοῦ Καριανοῦ παλατίοις, ἅπερ ἕνεκεν τῶν ἑαυτοῦ θυγατέρων ὁ Θεόφιλος ἀνῳκοδόμησεν, ὑπὸ C Μαυρικίου τοῦ βασιλέως ὡς τὸ πρῶτον κατασκευασθέντα, ἡ βασιλὶς Θεοδώρα ἅπαν τὸ τῆς ἐκκλησίας πλήρωμα εἱστία, καὶ οὐκ ἦν ὅστις μὴ παρῆν ἐκεῖ τῶν ἱερέων καὶ ὁμολογητῶν· μεθ᾽ ὧν καὶ ὁ Νικαίας Θεοφάνης ἦν. ἐπεὶ δὲ τὰ τῆς εὐωχίας παρήκμασε καὶ τὰ τραγήματα μετὰ τῶν πλακούντων παρέκειντο, συνεχῶς ἀτενιζούσης τῆς βασιλίδος καὶ τὰ ἐν τῷ μετώπῳ γράμματα τοῦ ὁσίου Θεοφάνους καθορώσης καὶ στεναζούσης συνέβη καὶ τοῦτον ὡς ἐξ ὁμολόγου ἀντοφθαλμῆσαι καὶ ταύτην ἐνιδεῖν ἀτενίζουσαν αὐτῷ. φήσαντος γοῦν "τίς ἄρα ἡ αἰτία τῆς πρὸς ἐμέ σου ἀτενοῦς ὁρά- D σεως;" ἡ δὲ ἔφη τὴν ἐκ τῶν γραμμάτων θαυμάζειν καρτερίαν σου καὶ τὴν τοῦ ταῦτα δράσαντος ἀπήνειαν. καὶ ὁ μακάριος Θεοφάνης μηδὲν εὐλαβηθεὶς ἢ τῶν προησφαλισμένων διανοηθεὶς "ὑπὲρ ταύτης τῆς γραφῆς" ἔφησεν εὖ μάλα τρανῶς "ἐν τῷ τοῦ θεοῦ ἀδεκάστῳ δικαστηρίῳ σφοδρότερον διαδικάσομαι τῷ ἀνδρί σου." τοῦτο ἀκούσασα ἡ βασίλισσα, καὶ περίλυπος γενομένη καὶ σύνδακρυς, ἔφη πρὸς τὸν ὅσιον "αὗται αἱ δι᾽ ἐγγράφων ὑποσχέσεις ὑμῶν καὶ ὁμολογίαι, ὡς μὴ μόνον οὐ συγκεχωρηκέναι ἀλλὰ καὶ

iustas ex eis poenas: verum S. Methodii deprecatione exorata clementia immunes dimisit.

5. Cum igitur per eius diei festam iucunditatem (dominicae scilicet ὀρθοδοξίας, quam vocant, id est restitutionis imaginum) ad Cariani regias aedes, quas Theophilus filiabus, in quibus habitarent, exstruxerat ac Mauricius imperator primum condiderat, universum ecclesiae coetum Theodora Augusta dapibus acciperet, nec a convivio ullus sacerdotum, ullus confessorum abesset: quibuscum affuit et Theophanes Nicaeae episcopus. ubi itaque convivii ardor deferbuerat, iamque tragemata ac placenta, quae scilicet secundarum mensarum sunt, apposita erant, Augusta intentis iugiter oculis inscriptum Theophanis vultum oblegente ac ingemiscente, contigit ut et ipse velut ex condicto vicissim adspiceret, eiusque in se obversos dominae oculos fixosque adverteret. quaerit itaque, quid causae sit cur sic intenta in illum adspiceret? respondit illius se tolerantiam admirari ex inscriptis ori literis, eiusque qui horum auctor exstitisset saevitiam. tum beatus Theophanes nulla reverentia ductus, nec quae iam sancte promissa erant animo reputans, "eius" inquit clara admodum voce "scripturae nomine adversus virum tuum in incorrupto dei iudicio acrius disceptabo atque contendam." his Augusta auditis, maestoque animo facta, ac lacrimis offusa, "hae" inquit ad sanctum "vestrae scripto firmatae promissiones ac munera, ut non solum viro non indulgeatis, sed et actionem ipsi intendatis atque in iudicium

P 433 *πρὸς ἀγῶνας ἄγειν αὐτόν;" "οὔ" φησιν ὁ πατριάρχης αὔθωρον ἀναστὰς καὶ οἱ λοιποὶ τῶν ἱερέων, "βασίλισσα, οὔ· ἀλλ' ἕξει βεβαίως τὰ ἡμέτερα, τῆς ὀλιγωρίας τούτου λογιζομένης εἰς οὐδέν." οὕτω μὲν οὖν ἐσιγάσθη ταῦτα, καὶ τὰ τῆς ἐκκλησίας ἔθη ἀκύμαντα διέμεινεν.*

6. *Ἀνεφάνη δέ τις καὶ ἑτέρα αἵρεσις ἡ οὕτω τῶν Ζηλίκων λεγομένη, σὺν τῷ ἑαυτῆς ἀρχηγῷ, Ζήλικι μὲν ὀνομαζομένῳ, φέροντι δὲ τὴν τῶν σηκρῆτις ἐν πρώτοις τιμήν. ἐθεραπεύθη δὲ καὶ πρὸς θεοσέβειαν μετηνέχθη ἐν προόδῳ βασιλικῇ, τῆς τοῦ μύρου* B *μόνου μετὰ καινῶν ἐμφωτίων τε καὶ ἐσθημάτων καταξιωθέντων χρίσεως τῶν ἀντιποιουμένων αὐτῆς, καὶ τελειωθέντων λαμπρῶς.*

7. *Τῷ β' αὐτῆς ἔτει ἀπέστειλε Θεοδώρα Θεόκτιστον τὸν λογοθέτην κατὰ τῆς Κρήτης, καὶ κακῶς τοῖς ὑπὸ χεῖρα χρησάμενος αὐτὸς μὲν τὴν φυγαδείαν ἠσπάσατο, ὁ δὲ στρατὸς μαχαίρας ἔργον τοῖς ἐν Κρήτῃ γέγονεν.*

8. *Τῷ γ' αὐτῆς ἔτει Ἄμερ κατὰ Ῥωμαίων στρατεύσαντος αὐτὸν πάλιν Θεοδώρα ἀπέστειλε μετὰ πολλῆς δυνάμεως· καὶ πολέμου ἐν τῷ Μαυροτόπῳ γενομένου πάλιν ἡττᾶται, καὶ πολλῶν ἀναιρεθέντων πλείους οἱ κρατηθέντες ἦσαν. Θεόκτιστος δὲ πρὸς* C *τὴν βασίλισσαν ἐλθὼν πάλιν τῆς αὐτῆς οἰκειότητος εἴχετο, καὶ τῷ τῆς Αὐγούστης Θεοδώρας ἀδελφῷ Βάρδᾳ εἴς τινας λόγους ἐλθὼν τὴν ἧτταν τούτῳ προσῆπτε καὶ ἀνετίθετο, ὡς τῇ παραινέσει τούτου καὶ τῇ συμβουλῇ τὸ Ῥωμαϊκὸν ἐτρώθη στρατόπεδον.*

trahatis?" "non" inquit surgens confestim patriarcha ac reliqui sacerdotes, "non plane, sed firma erunt nostra promissa, illa huius spretione nihili habita." sic quidem illa sedata sunt, manseruntque ecclesiae scita inconcussa.

6. Fuit et alia quaedam haeresis, quam Zelicum vocant, cum suo auctore, qui ipse Zelix nuncupatus a secretis cum primis dignitate fulgebat. emendatus vero est et ad sanam doctrinam traductus in regio processu, his qui illi adhaeserant sociisque unguenti duntaxat unctione cum novis luminibus atque vestibus delibutis, eorumque splendide apparatu perfectis.

7. Anno Theodorae imperii altero missus Theoctistus logotheta adversus Cretam; maleque subditis usus tum ipse fugam iniit, tum exercitus Cretensium ferro necatus est.

8. Illius imperii anno tertio, suscepta Amerae adversus Romaniam expeditione, Theodora eundem rursus Theoctistum cum ingentibus copiis in illum misit; commissoque praelio in Maurotopo iterum superatus est, multisque caesis, plures fuere captivi. Theoctistus ad Augustam reversus eadem rursus illius potitur necessitudine; habitoque cum Barda Augustae fratre colloquio cladem ei adscribit, velut eius hortatu ac consilio caesus sit ac profligatus Romanus exercitus.

9. Τῷ ζʹ ἔτει τοῦ βασιλέως Μιχαὴλ ἀνδρυνθέντος καὶ τοῖς κυνηγίοις καὶ ἀκαθαρσίαις σχολάζοντος, ἐπεὶ ἔγνω Θεοδώρα συμφιλιωθῆναι αὐτὸν Εὐδοκίαν τὴν τοῦ Ἴγγηρος, μισουμένην δι' ἀναίδειαν τῇ Αὐγούστῃ καὶ τῷ λογοθέτῃ, ζεύγνυσιν αὐτῷ Εὐδοκίαν τὴν τοῦ Δεκαπολίτου, καὶ στεφανοῦνται ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῷ εἰς τὴν Δάφνην. D

10. Τῷ ιʹ αὐτοῦ ἔτει ὁ τῶν βουκελλαρίων στρατηγὸς ἤγαγε τῷ βασιλεῖ ἵππον θαυμαστὸν καὶ γενναῖον, σκληρότατον δὲ πάνυ, ὡς μὴ δύνασθαί τινα ἰδεῖν κἂν ἀπὸ τῶν ὀδόντων τὸν χρόνον αὐτοῦ. ἀχθομένου οὖν ἐπὶ τούτου τοῦ βασιλέως, παρὼν Θεοφιλίτζης ἐκεῖνος ὁ τῶν νουμέρων τότε καὶ τοῦ τείχους κόμης ὢν εἶπεν τῷ βασιλεῖ "ἔχω νεώτερον ἐμπειρότατον καὶ ἀνδρεῖον εἰς τοὺς ἵππους, οἷον ἀγαπᾷ ἡ βασιλεία σου, τοὔνομα Βασίλειον." τοῦ δὲ βασιλέως κελεύσαντος παρευθὺ ἤχθη, καὶ τῇ μὲν μιᾷ χειρὶ τὸν χαλινὸν τοῦ ἵππου κρατήσας, τῇ δὲ ἑτέρᾳ τοῦ ὠτὸς δραξάμενος, P 434 εἰς ἡμερότητα προβάτου μετέβαλεν. ἐφ' ᾧ θεραπευθεὶς ὁ βασιλεὺς παραδέδωκεν αὐτὸν τῷ ἑταιρειάρχῃ Ἀνδρέᾳ τοῦ εἰς τὴν ἑταιρείαν εἶναι καὶ τοῖς ἵπποις τοῦ βασιλέως ἐκδουλεύειν.

11. Γέγονε δὲ οὗτος ὁ Βασίλειος ἐκ Μακεδονίας, ἐκ χωρίων τῆς Ἀδριανουπόλεως. καὶ προσεκολλήθη τῷ στρατηγῷ Μακεδονίας τῷ Τζάντζῃ ἐκδουλεύειν· ἦν δὲ ἐτῶν κεʹ. καὶ μηδὲν παρ' αὐτοῦ ὠφεληθεὶς ἦλθεν ἐν τῇ πόλει. καὶ εἰσελθὼν ἔνδον τῆς Χρυσῆς πόρτης, ἐπεὶ κεκοπωμένος ἦν ἀπὸ τῆς ὁδοιπορίας,

9. Anno imperii septimo, Michaele in virum augescente otiumque omne et operam venatui ac impudicitiis dante, comperto Theodora iungi eum amicitia Eudociae Ingeris filiae, cuius protervi mores illi pariter ac Theoctisto exosi essent, Eudociam Decapolitae filiam illi coniugem iungunt; inque S. Stephani templo, quod est in Daphne, nuptiales ambo corollas accipiunt.

10. Eius imperii anno decimo bucellariorum dux admirandum equum ac strenuum, ferocem tamen ac intractabilem, imperatori adduxit. nec qui vel aetatem explorare posset dentium indicio ullus erat ob eius indomitam indolem. anxius animi ea re imperator. ac cum audisset qui tum Numerorum ac muri comes esset, Theophilitzes, ad eum infit habere se adolescentem equorum expertissimum ac virum fortem, Basilium nomine, eiusmodi scilicet cuius se compotem fore imperator exposceret. mox itaque iubente imperatore adductus Basilius est; ac dextera quidem equi frenum tenens, alteraque illius apprehensa aure, ad ovis mox mansuetudinem adegit. placuit Michaeli, traditque Andreae hetaeriarchae, sodalibus adlegendum, et ut equis regiis curam navaret.

11. Fuit Basilius genere Macedo, Adrianopolitanus patria; adhaesitque Macedoniae praetori Tzantzae, eius addictus obsequio. annos viginti quinque natus erat; nihilque ex illo elucratus in urbem se contulit. ingressus vero Chrysem portam, quod fessus ex itinere diesque

B κυριακῆς ἡμέρας οὔσης, ἑσπέρας ἀνακλιθεὶς ἐν τῷ πεζουλίῳ τοῦ ἁγίου Διομήδους, ὃς τὸ πρὶν Ἡλιοῦ ναὸς ἐχρημάτισε. καθολικὴ γὰρ ἦν ἡ ἐκκλησία, καὶ ὑπὸ προσμοναρίου τοὔνομα Νικολάου· ᾧ καὶ ἐφάνη τῇ νυκτί τις φωνήσας "ἐγερθεὶς εἰσάγαγε τὸν βασιλέα ἔσω." ὁ δὲ ἐγερθεὶς οὐδένα εὗρεν εἰ μὴ τὸν Βασίλειον κείμενον ὡς πένητα, καὶ ἐπιστραφεὶς πάλιν ἀνεκλίθη εἰς τὴν κοίτην αὐτοῦ. ὁμοίως δὲ τοῦτο καὶ ἐκ δευτέρου ἐγένετο. εἰς δὲ τὸ τρίτον μετὰ ῥομφαίας ἔπληξε τὴν πλευρὰν αὐτοῦ, εἰπών "οὐ βλέπεις ἔξωθεν

C τοῦ πυλῶνος κείμενον; αὐτός ἐστιν ὁ βασιλεύς· εἰσάγαγε αὐτόν." ἐξελθὼν οὖν μετὰ σπουδῆς σύντρομος, καὶ εὑρὼν τὸν Βασίλειον μετὰ πήρας καὶ ῥάβδου, εἰσήγαγεν ἔσω. καὶ τῇ ἐπαύριον λούσας ἤλλαξεν αὐτόν, καὶ ἀδελφοποιητὸν ποιήσας συνευφραίνετο αὐτῷ. ἦν δὲ τῷ Νικολάῳ ἀδελφὸς ἰατρὸς δουλεύων τῷ εἰρημένῳ Θεοφιλίτζῃ, ὃς καὶ κατὰ τύχην ἐλθὼν πρὸς τὸν ἀδελφὸν αὐτοῦ Νικόλαον εἶδε τὸν Βασίλειον, καὶ θαυμάσας τό τε ἀνάστημα τῆς ἡλικίας αὐτοῦ καὶ τὸ εἶδος ἠρώτα τῷ ἀδελφῷ πόθεν ἐστίν. ὁ δὲ πάντα εἶπε πλὴν τῆς ὁράσεως. μετ' ὀλίγας οὖν ἡμέρας τοῦ Θεοφιλίτζη ζητοῦντος ἄνθρωπον ἀνδρεῖον εἰς τοὺς ἵππους αὐτοῦ,

D παρῆν ὁ ἰατρὸς καὶ τὰ περὶ τοῦ Βασιλείου διηγήσατο. ἤχθη οὖν ὁ Βασίλειος συντόμως, καὶ θεασάμενος αὐτὸν Θεοφιλίτζης ἠράσθη. ἐπεὶ δὲ ἐπιάγουρος ἦν καὶ μεγαλοκέφαλος, καλεῖ αὐτὸν Κεφαλάν, καὶ δέδωκεν αὐτῷ δουλεύειν τοὺς ἵππους αὐτοῦ. ἐντεῦ-

21 ἐπίσγυρος P: cf. p. 532 b

dominica erat, in S. Diomedis, quod Eliae templum prius vocabatur, exedra ad ianuam iacebat. erat enim haec viris mulieribusque communis ecclesia (velut quam paroeciam dicimus), cui mansionarius Nicolaus nomine praeerat. huic noctu quidam apparens vocato illi infit, "surge, domumque imperatorem inducito." surgens ille, nemineque invento praeter Basilium pauperis more iacentem, reversus iterum lecto recubuit. similiter vero etiam secundo se res ita habuit. tertia autem vice maiore vi ac expressione illius gladio percusso latere, "nonne vides" inquit "qui extra portam iacet? is ipse imperator est: ipsum domum inducito." propere itaque tremensque egressus inventum cum pera atque baculo Basilium intus collegit. mane balneo poculisque accipiens, ac vestes mutans, cum eo laetabatur. erat Nicolao frater medicus, qui ipse ei quem dicebam Theophilitzi merebat. is cum Nicolaum forte convenisset, viso Basilio, miratusque staturae praestantiam ac formae venustatem ex fratre sciscitabatur undenam is esset. cui ille cuncta aperuit, uno duntaxat excepto viso. post paucos itaque dies, cum Theophilitzes hominem strenuum equili suo praeficiendum quaereret, adfuit medicus, ac quae noverat rettulit de Basilio. cito igitur ille adductus est. cuius statim adspectu Theophilitzes ipsius amore affectus est. quod vero robustus iuvenis et constipatus magnoque capite erat, Cephalae nomen

θεν, ὡς εἴρηται, δίδοται τῷ βασιλεῖ Μιχαήλ. ὁ δὲ βασιλεὺς
Μιχαὴλ εἰσαγαγὼν τὸν Βασίλειον πρὸς τὴν μητέρα αὐτοῦ εἶπεν
"δεῦρο, ἴδε, μῆτερ, ἄνθρωπον ὃν ἐπελαβόμην νῦν." ἡ δὲ ἐξελ-
θοῦσα καὶ τοῦτον ἰδοῦσα ἀπεστράφη, εἰποῦσα "οὗτός ἐστι, τέκνον
μου, ὁ μέλλων τὴν γενεὰν ἡμῶν ἀφανίσαι." ὁ δὲ βασιλεὺς οὐδα-
μῶς ἐπείσθη ᾗ ἤκουσε τῆς μητρὸς αὐτοῦ.

12. Τῷ ιά ἔτει αὐτοῦ ἐτελεύτησεν ὁ ἐν ἁγίοις πατριάρχης
Μεθόδιος, καὶ ἀντ' αὐτοῦ χειροτονεῖται Ἰγνάτιος ὁ υἱὸς κουρο- P 435
παλάτου τοῦ βασιλεύσαντος. τῶν δὲ Βουλγάρων τὴν Θρᾴκην καὶ
Μακεδονίαν ληϊζομένων, ἡ Θεοδώρα ταξατίωνα πέμψασα τούτους
τῆς ῥύμης ἔστησεν.

13. Τῷ ιγ' ἔτει αὐτοῦ Βάρδας ὁ Καῖσαρ ἔξω τῆς πόλεως
ὢν συνεφιλιώθη Δαμιανῷ πατρικίῳ καὶ παρακοιμωμένῳ, ὃς τὸν
βασιλέα κρατήσας ἔπεισεν εἰσελθεῖν ἐν τῇ πόλει τὸν Βάρδαν καὶ
εἰς τὸ παλάτιον ἔρχεσθαι. οἰκειωσάμενος δὲ καὶ τὸν πρωτοσπα-
θάριον Θεοφάνην τὸν Φαλγάνην καὶ ἄλλους τινὰς ἀποκτείνει τὸν B
Θεόκτιστον ἐν τῷ παλατίῳ, μετὰ καὶ τῆς τοῦ βασιλέως συνειδή-
σεως. τοῦτο μαθοῦσα Θεοδώρα ἠγανάκτησε κατὰ τοῦ βασιλέως
καὶ τῶν ἄλλων οἳ τὸν φόνον κατειργάσαντο, καταβοωμένη αὐτῶν.
ἀλλὰ καὶ φωνῇ βριαρᾷ καταπτοηθεῖσα θρηνωδῶς θαλαμεύεται·
τῶν ἀποστρατήγων γάρ τις, ἐκ Μελισσηνῶν κατάγων τὸ γένος,
αὐτῇ ἀπεφθέγξατο παλινδρομεῖν οἴκαδε, τὴν τοιαύτην ἡμέραν
κρουόντων ἀποκαλῶν. τοῦ δὲ Μιχαὴλ παντὶ τρόπῳ μηχανωμένου

indidit, suoque equili addixit. exinde, ut dictum est, Michaeli tradidit. Michael itaque imperator, inducto ad matrem Basilio, "ades" inquit, "mater, ac vide quem hodie hominem nactus sim." egressa illa conspecto homine pedem rettulit, aitque "hic est, fili, qui genus nostrum ac familiam delebit." nullam tamen is matri fidem habuit aut quicquam morem gessit.

12. Anno eius undecimo, sancto patriarcha Methodio defuncto, eius loco ordinatur Ignatius, Michaelis Curopalatae quondam imperatoris filius. Bulgaris autem Thraciam ac Macedoniam infestantibus, expeditis Theodora cohortibus eorum inhibuit impetum ac repressit.

13. Anno imperii Michaelis tertio decimo Bardas Caesar extra urbem agens cum Damiano patricio ac accubitore amicitia iunctus est. is imperatoris compos effectus auctor illi est ut Bardam in urbem ac palatium inducat. sed et Theophane protospathario, cognomento Phalgana, aliisque quibusdam sibi devinctis, ipso quoque Michaele conscio, Theoctistum in palatio contrucidat. Theodora ut rescivit, rem molestissime tulit, magnis clamoribus adversus imperatorem ac reliquos caedis auctores improperans. sed et asperiori conterrita voce, lugubri habitu gestuque thalami secreta tenebat: quidam enim ex Melissena familia expraetor domum revertendum, quod ea dies percussorum erat, indixerat. cumque Michael modis omnibus matris animum delinire studeret, nullam

τὴν μητέρα ἐξιλεώσασθαι αὐτὴ ἀπαρηγόρητος ἔμεινεν· ὅθεν καὶ
C μεταβαλὼν ὁ βασιλεὺς ὥσπερ τὴν ψυχὴν καὶ τὴν γνώμην, οὕτω
δὴ καὶ τὸ σχῆμα καὶ τὴν ἐνέργειαν, τοσούτοις προσώποις αὐτὴν
λυπεῖν κατηπείγετο ὅσοις πρὸ τούτου θεραπεύειν ἐσχηματίζετο.
καὶ τὰς μὲν ἀδελφὰς αὐτοῦ Θέκλαν Ἀναστασίαν καὶ Ἄνναν εἰς τὰ
Καριανοῦ μεθιστᾷ, Πουλχερίαν δὲ ὡς ἠγαπημένην τῇ μητρὶ ἐν
τῇ μονῇ τῶν Γαστρίων. εἶτα μετ' ὀλίγον καὶ πάσας ἑνώσας ἐν τῇ
μονῇ τῶν Γαστρίων ἀπέκειρεν. τότε δὴ καὶ ὑπὸ τῆς συγκλήτου
πάσης ἀναγορεύεται καὶ αὐτοκρατορεῖ, καὶ τὸν Βάρδαν προβάλ-
λεται μάγιστρον καὶ δομέστικον τῶν σχολῶν. ἐφ' οἷς ἡ μήτηρ
D αὐτοῦ λυπουμένη ὡς διατασσομένη, ἀλλὰ μὴν καὶ διὰ τὴν ἄδικον
σφαγὴν Θεοκτίστου, ἔχθρα ἦν ἀναμέσον αὐτῶν ἄσπονδος. κατά-
γει τοίνυν καὶ αὐτὴν εἰς τὰ Γαστρία· ἥτις τῇ ἀθυμίᾳ καταβαπτι-
σθεῖσα τὸν νοῦν, καὶ ὑπ' ἐκπλήξεως ἀφαιρεθεῖσα καὶ τὸ φρονεῖν,
ἀναξίαν ἑαυτῇ συσκευάζει κατὰ Βάρδα βουλήν, ἑλομένη κοινωνὸν
σὺν ἄλλοις πολλοῖς καὶ τὸν τοῦ βασιλέως πρωτοστράτορα, ὅπως
ὑποστρέφοντος τοῦ Βάρδα ἀπὸ τοῦ προαστείου αὐτοῦ τοῦ Κοσμη-
δίου ἀναιρήσουσιν αὐτόν. τῆς δὲ μελέτης πρὸ τοῦ ἔργου φανερω-
θείσης, κατ' αὐτῶν ἐκείνων τῶν μελετησάντων τὸ κακὸν ἐξηνέ-
χθη· φωραθέντες γὰρ καὶ κατασχεθέντες ἐν τῇ σφενδόνῃ τὰς
P 436 κεφαλὰς ἀπετμήθησαν. καὶ προβάλλεται τὸν Βασίλειον ὁ Μιχαὴλ
ἀντὶ τοῦ τελευτήσαντος πρωτοστράτορος, ὁμοίως καὶ Βάρδαν τὸν
θεῖον αὐτοῦ κουροπαλάτην.

illa consolationem admittebat. quamobrem mutatis imperator, uti animo ac sententia, ita etiam persona gestuque et actu, tot eam quaesitis coloribus modisque molestia afficere nitebatur, quot ante blandimentis colere atque mulcere simulabat. ac quidem sorores Theclam Anastasiam et Annam ad Cariani aedes amandat, Pulcheriam vero, ut matri carissimam, ad Gastriorum monasterium relegat. tumque omnes brevi post cogens in Gastriorum monasterio sanctimonialium ritu ac cultu vitam agere iubet. quo tempore omni senatu imperatorem consalutante, solus ipse rerum potitur. porro Bardam magistrum praeficit et scholarum domesticum. matrem res moleste habebat ut in ordinem redactam: sed et ob iniustam Theoctisti necem implacabile inter illos odium erat. itaque eam quoque aula summotam amandat ad Gastria. ibi maeroris vi absorpto rationis iudicio, sanoque sensu prae stupore deiecta, rem machinatur adversus Bardam non satis ex dignitate aut sui ratione, adlecto cum aliis pluribus etiam qui protostratoris munus obibat, nempe necandum Bardam ex suburbano suo revertentem, quod Cosmedium vocant. detecta ante opus coniuratione, in ipsa coniurata capita malum versum est: deprehensi enim tentique ad Circi fundam capite plexi sunt. Basilius defuncti loco protostratoris dignitate augetur: similiter quoque Bardas a nepote curopalates praeficitur.

14. Τῷ β′ τούτου ἔτει ἔπεσε κόνις ἐκ τοῦ οὐρανοῦ πλήρης αἱματώδης, καὶ λίθους εὕρισκον πολλοὶ ἐρυθροὺς ὡς αἷμα. ἐπιδοὺς ἑαυτὸν εἰς πᾶσαν κακίαν ὁ Μιχαήλ, τὰ ἐν τῷ παλατίῳ χρήματα κακῶς ἀναλίσκων, ὑπὲρ τῶν χιλίων ἐνενήκοντα κεντηναρίων ὄντα χρυσίου, ἄργυρος δὲ πλῆθος ἀναρίθμητος, ἅπερ ἡ μήτηρ αὐτοῦ ἐφυλάξατο. καὶ τοὺς τῶν ἡνιόχων παῖδας ἀπὸ τοῦ ἁγίου βαπτίσματος υἱοθετησάμενος ἑκάστῳ ἐδίδου νομίσματα ρ′ ἢ τὸ B ἐλάχιστον ν′. καί τινί ποτε πατρικίῳ (Ἱμέριος οὗτος ἐκαλεῖτο ὁ Χοῖρος, διὰ τὴν τοῦ προσώπου ἀγριότητα οὕτως κατονομαζόμενος) ἄλλως αἰσχρολογοῦντι κατὰ τὴν τράπεζαν καὶ ψόφον ἐκ τῆς βεβήλου αὐτοῦ γαστρὸς κατὰ πρόσωπον τοῦ βασιλέως καὶ τῶν συνδειπνούντων ἀφιέντι, ὡς καὶ τὸ φατλίον τὸ τούτους φωταγωγοῦν ἐκ τοῦ τηλικούτου ψόφου ἀποσβέσαι τῷ παραδόξῳ θαύματι, χρυσίου νομίσματα δέδωκεν ρ′. (15) οὕτως ἐκεῖνος εἰς οὐδὲν δέον τὰ δημόσια κατανάλισκεν. καὶ μήπω καιροῦ παρελθόντος ἑνός, ἐπεὶ τῆς στρατιωτικῆς ῥόγας παρῆν ὁ καιρὸς καὶ χρημάτων C πόρος οὐκ ἦν, τήν τε χρυσῆν ἐκείνην καὶ πολυθρύλητον πλάτανον καὶ τοὺς δύο λέοντας καὶ τοὺς δύο γρῦπας, ὁλοχρύσους ὄντας καὶ σφυρηλάτους, καὶ τὸ ὁλόχρυσον ὄργανον, ἀλλὰ καὶ ἕτερα ἔργα ὁλκὴν ἔχοντα τῶν σ′ κεντηναρίων καὶ στολὰς ωξ′ ὁλοχρύσους καὶ χρυσοϋφάντους χωνεύσας ἐχάραξε, καὶ τὴν τῶν στρατιωτῶν ῥόγαν ἐποίησεν. ὅτε δὲ ὁ Βασίλειος ἦλθεν, οὐδὲν ἄλλο εὗρεν εἰ μὴ

20 ἐχόντων P

14. Imperii Michaelis anno secundo cruentus cinis e caelo copia decidit, multique sanguinis instar rubri coloris lapides inventi. porro Michael, dum ad omne scelus ac luxuriam laxat habenas, pecunias in palatio repositas male dilapidat, cum mille nonaginta auri centenaria excederent essetque argenti immensa vis, quae eius mater in aerario asservabat. aurigarum quippe liberos ex sacro baptismate in filios adoptans, singulis nummos centum aut minimum quinquaginta, dabat. quandoque etiam uni patriciorum Imerio nomine, ab agresti vultus specie Choero nuncupato (ac si porcum dicas), cum in mensa turpia quaedam obganniens ad os ipsum imperatoris ac convivarum ex impuro ventre tanta vi crepitum emisisset, ut eius flatu lucerna ad mensam lucens exstingueretur, rei motus miraculo centum nummos numeravit. (15) sic ille fisci bona in rebus nullius frugis insumebat. adeoque necdum anni solidi decurso spatio, cum militibus eroganda essent stipendia ac pecuniae deessent, longe celebratissimam illam platanum auream, duosque leones ac duos grypes ex auro solidos ac ductiles, organum quoque auro solidum, aliaque nihilo minus opera, ducentorum centenariorum pondo, vestes item aureas auroque contextas octingentas sexaginta conflans, pecuniam cudit ac militibus stipem erogavit. cum vero Basilius im-

κεντηνάρια ιγ' καὶ μιλιαρίσια σακία θ'· ἐφ' οἷς ἀπορῶν τὸ νῦν σενζάτον καλούμενον χαραχθῆναι ἐκέλευσε καὶ τοῦ δημοσίου ποιήσασθαι πρόνοιαν.

D 16. *Ἵνα δὲ μικρόν τι λέξας βεβαιώσω τὰ διηγούμενα καὶ σαφεστέρα γένηται ἡ τοῦ ἀνδρός, εἴ γε δὴ καὶ ἄνδρα αὐτὸν καλεῖν δεῖ, ἀναγωγία καὶ ἄνοια, ἐφ' ἅρματος ἱσταμένου καὶ τῆς βαλβῖδος μέλλοντος ἐκπηδῆσαι, ἐπαγγελίας φθασάσης ὅτι δεινῶς ὁ Ἄμερ καταληΐζεται τὸ Θρακήσιον καὶ τὸ Ὀψίκιον ὑπεισελθὼν τοῖς Μαλαγίνοις πλησιάζει καὶ προσδοκῶνται ὡς οὐδέπω δεινά, καὶ ἐπὶ τούτῳ στυγνάσαντος μὲν τοῦ πρωτονοταρίου, ἀπαγγείλαντος δὲ μετὰ κατηφείας τὴν ἐκ τοῦ δομεστίκου τῶν σχολῶν ἀπόκρισιν, καὶ ἅμα ἐπὶ χεῖρας τὰ γράμματα φέροντά τε καὶ δεικνύοντα,*
P 437 *ἐκεῖνος "τί" φησίν, "ὦ οὗτος, τόλμῃ χρησάμενος τοιαῦτα κατὰ τὸν ἀναγκαῖον τοῦτον ἀγῶνά μου διαλέγειν ἐπιχειρεῖς, τοῦτο μόνον σπουδάζοντι, μὴ τὸν μέσον εὐώνυμον ἰδεῖν περιτετραμμένον, ὑπὲρ οὗ μοι πᾶς ὁ ἀγών."*

17. *Ἀλλὰ καὶ τούτου ἕτερόν τι διηγήσομαι χαλεπώτερον, οὐ μόνον ἐκπῖπτον τοῦ πρέποντος, ἀλλὰ καὶ τῆς βασιλικῆς ἀξίας ὅτι μάλιστα ἀλλότριον. γυναίῳ τινὶ ἧς τὸν παῖδα υἱοθετησάμενος ἦν, ἐκ βαλανείου ἐρχομένην καὶ τὴν ἑαυτῆς κάλπην ἐπὶ χεῖρας ἐχούσῃ συναντήσας τοῦ ἵππου ἀπέβη, καὶ τοὺς μὲν ἄλλους κατὰ τὰ ἀνάκτορα ἀπέστειλεν, ἀκόλαστα δὲ καὶ μυστικὰ ἀνδράρια ἑται-*

22 τὰ om P   *μυστικὰ*] Scylitzes *πορνικά.*

perium capessivit, praeter centenaria tredecim ac miliarisiorum sacculos novem nihil invenit. quocirca ad inopiam redactus, quod nunc senzatum vocamus, cudi iussit, eoque fiscum procurari.

16. Ut autem paucis fidem verbis astruam, clariorque fiat viri, si tamen virum dicere deceat, dissolutio ac dementia: cum in curru staret iamque equi carceribus emittendi essent, venit rumor allatusque nuntius est Amerem dire Thracesium depopulari ingredique Opsicium, nec procul a Malaginis esse, actutumque mala exspectari. eius rei causa anxio tristique protonotario, demissoque vultu domestici scholarum responsum perferente, atque una literas prae manibus habente ac commonstrante, hic ille "qua" inquit, "heus tu, temeritate, talia mihi, necessario hoc agone occupato, obmutire instituis, cum hoc tantum studeam, ut eum qui medium tenet in laevam partem avertam, de quo mihi totum hoc certamen est ac contentio?"

17. Sed et aliud quid isto gravius narraturus sum; in quo non solum honesti pessundata ratio, sed et id actitatum quod maxime regiam maiestatem dedeceat et ab ea procul abhorreat. cum mulierculam, cuius filium e sacro fonte susceperat, e balneo venientem situlamque in manibus habentem obviam habuisset, equo desiliit, aliisque in palatium abire

ρισάμενος ἀπῄει μετὰ τῆς γυναικός, τὴν κάλπην τῶν ἐκείνης χει- B
ρῶν ἀναλαβών. καὶ "ἄγε δή, ὦ γύναι, θαρροῦσα" ἔλεξεν "ἐμὲ
κατὰ τὸ σὸν οἴκημα ὑπόδεξαι, ψωμοῦ πιτυρώδους καὶ ἀσβεστο-
τύρου ἐπιθυμοῦντα," τάχα που ἀπὸ τῶν ν' νομισμάτων, ἅπερ δέ-
δωκε τῷ ἀνδρὶ αὐτῆς, ὑπολαμβάνων τε κεκτῆσθαι ταύτην. ἐπὶ
δὲ τῷ ξένῳ τούτῳ θεάματι ἡ γυνὴ ἐκπλαγεῖσα, ἐπεὶ καὶ πάντων ἐν
ἀπορίᾳ ἦν, αὐτὸς ὁ Μιχαὴλ τὸ σαβάνον αὐτῆς ἔτι διάβροχον ὂν
ἀντὶ μεσσαλίου τῷ σκάμνῳ ἐπέθετο (οὐ γὰρ εἶχεν τράπεζαν), τήν C
τε κλεῖδα ἀφελὼν αὐτῆς ἦν τὰ πάντα ὁ βασιλεύς, τραπεζοποιὸς
μάγειρος δαιτυμών. ἐκβαλὼν δὲ ἅπερ εἶχεν τῆς πενιχρᾶς ἐκείνης
ἡ κιβωτός, συνειστιᾶτο ταύτῃ καὶ συνεδείπνει, κἀκεῖθεν βάδην
αὖθις ἀπῄει πρὸς τὰ ἀνάκτορα.

18. Καὶ τὸ δὴ χαλεπώτερον, ἡ τῶν ὧν εἶχε μεθ' ἑαυτοῦ
φατρία, σατύριοί τινες οὗτοι καὶ πρὸς πᾶσαν αἰσχρουργίαν ἀκό-
λαστοι, οὓς ἐκεῖνος διὰ τιμῆς ἄγων καὶ αἰδοῦς τῶν θείων κατωλι-
γώρει· ἱερατικὰς στολὰς χρυσοϋφάντους ἐπετίθει καὶ ὠμοφόρια, D
καὶ ἠνάγκαζεν ἀσχημόνως τε καὶ ἀνάγνως τελεῖν τὰ ἁγνά. καὶ
πατριάρχην τὸν ἔξαρχον τούτων ἐκάλει, Γρύλλον καλούμενον,
τοὺς δὲ λοιποὺς ιά μητροπολίτας τῶν ἐξαιρέτων θρόνων τε καὶ
λαμπρῶν. οἷς εἰ μὴ καὶ αὐτὸς ἐκοινώνει, οὐδὲ βασιλεύειν ἠξίου·
καὶ γὰρ πρωτόθρονος ὁ Κολωνείας ὤν, δωδέκατος δὲ αὐτὸς ὁ βα-

16 ἱερατικὰς γὰρ στ.? 21 ἦν δωδέκατος δή?

iussis ipse cum impura perditaque ganeonum sodalium turba mulierculam secutus, exque eius manibus ablata situla, "bono" inquit "animo sis, o mulier, ut me domo tua accipias, qui furfuraceo pane ac recenti caseo vesci appetam," forte ex quinquaginta aureis, quos ex illo vir eius acceperat, habere eam aliquid in penu existimans. novo hoc ac inaudito spectaculo attonita muliere, quippe cui per penuriam ad eius epulas nihil in paratu esset, ipse Michael mulierculae tersorium linteum adhuc e balneo madidum pro mappa scamno sternit (quippe cum et mensa deficeret), ereptaque ei clave unus omnia imperator erat; ipse mensae structor, ipse coquus, ipse conviva. depromptisque quae pauperculae illius penus erant, una cum illa epulans concenabat. indeque rursus lento pede in palatium se recipiens ibat.

18. Quod enimvero longe deterius, illud est. sodalitium quoddam convehebat. satyrici quidam ganeones erant et ad omnem turpitudinem ac libidinem effusi; quos ille colens ac habens venerationi divinorum perdite contemptor erat. sacerdotales auro contextas vestes stolasque ex pontificum usu eis adhibebat, sanctaque inhoneste atque profane obire cogebat. horum principem patriarcham vocabat, Gryllum nomine, reliquos undecim praecipuarum ac illustrium sedium metropolitas; quibus ni et ipse socius accederet, ne ipsam quidem imperii arcem rem sibi expetendam ducebat. primae namque sedis episcopus Coloniensis duo-

σιλεὺς Μιχαήλ. καὶ τὰς ᾠδὰς ἐξεπλήρουν διὰ κιθαρῶν· καὶ τὰ
μὲν μυστικὰ μιμούμενοι λιγυρῶς ἐπήχουν, τὰς δὲ ἐκφωνήσεις ἀνέ-
P 438 τῳ φορᾷ καὶ διαπρυσίῳ. σκεύη δὲ διάχρυσα καὶ μαργαριτῶν
συγκρίμενα εἶχον, ὄξους τε καὶ σινάπεως πληροῦντες οἷς ἐβούλοντο
μεταλαμβάνειν ἐδίδοσαν, τῶν ἀχράντων οὕτω καταπαίζοντες μυ-
στηρίων. οὗτος οὖν ὁ Γρύλλος καὶ ὄνῳ ἐπωχεῖτο λευκῇ, τὰς δη-
μοσίους προόδους τελῶν, καὶ τὸν τοιοῦτον θίασον συνεπόμενον
ἔχων ἠγάλλετο. καί ποτε συνέβη μετὰ τῆς ἐκκλησιαστικῆς λιτῆς
ἐρχομένῳ τῷ μακαρίτῃ Ἰγνατίῳ συντυχεῖν· καὶ τὸν φελόνην ἀνα-
στείλας μετὰ τῶν αὐτοῦ συμμυστῶν εὐτονώτερον τῶν κρουσμάτων
B ἦρχε, καὶ τὸν κλῆρον μυρίοις καὶ αἰσχίστοις περιέβαλλε ῥήμασιν.
ὑπὸ δὲ τοῦ ὁσίου ἐπιτιμηθεὶς αὐτὸς μὲν οὐδὲν τούτων ἐφύλαξεν,
πλὴν τέως τῆς ὁδοῦ ἐξέκλινε. τούτοις ἑαυτὸν γέλωτα ἄσεμνον καὶ
ἀνακαγχασμὸν ὁ ἀφρονέστατος προετίθει, οἷς ὑβρίζετο μὲν ἡ ἁγία
προσφορά, ὑβρίζετο δὲ τὰ ἅγια λόγια, τοῖς ἀρρήτοις αὐτῶν καὶ
ἀκαθάρτοις ἐπιτηδεύμασιν ἐπιλεγόμενα καὶ ἐπιφωνούμενα.

19. Μετ' οὐ πολὺ δὲ τοῦ ἁγιωτάτου Ἰγνατίου τοῦ θρόνου
C τῆς πατριαρχίας καταβιβασθέντος, ἐπίπροσθεν τῆς βασιλικῆς
τραπέζης κατενώπιον τελουμένων Φωτίου καὶ δι' αἰσχίστης μιμή-
σεως τῶν θείων παιζομένων ὑπὸ τῶν καταφρονητῶν καὶ καταπτύ-

4 num σύγκριμα? Combef.

decimus ipse Michael imperator erat; citharasque pulsando cantica explebant; ac quidem ea quae secreto dicuntur imitati, stridule sensim insonabant; exclamationes vero, quae scilicet altiori ac modulata voce inter rem sacram efferuntur, libero impetu ac sono clariori reddebant. vasa aurea gemmisque interstincta habebant, acetoque et sinapi replentes eos qui ut communicarent animum adhibebant illis impartiebant, atque in eum modum intemeratis mysteriis illudebant. hic itaque Gryllus mula alba invectus publicos processus peragebat, eoque stipatus choro exsultabundus ovansque incedebat. accidit autem aliquando ut in beatum Ignatium, ecclesiastico ritu supplicationem obeuntem, incideret; retractaque casula una cum symmystis contentius, et ut clariores sonos instrumenta ederent, pulsare coepit, innumerabilibusque procacissimis turpissimisque verbis clerum compluebat. corripuit sanctus hominis insolentiam: verum ille eorum quae monitus erat atque correptus nihil servavit. interim tamen a via deflexit. his dementissimus hominum turpem se risum ac cachinnationem ipse exhibebat, quibus sacra oblatio procaci longe iniuria probroque afficiebatur; afficiebantur et divina eloquia, nefandis impurisque illorum studiis ac ioculamentis subdita, interque illa pronuntiata.

19. Non diu post, sanctissimo Ignatio patriarcha cessare iusso atque amoto, cum ad imperatoris mensam coram Photio res sacra sic mimice perageretur, turpissimaque imitatione a contemptoribus exsecran-

στων ἀνδρῶν, τοσοῦτον ἐκεῖνος ἀπέσχεν τοῦ ἐπιτιμῆσαι καὶ διελέγξαι καὶ τὸ ἀτοπώτατον καταργῆσαι τοῦ ἐπιτηδεύματος, ὅτι καὶ ἐπεκύρου μᾶλλον ὁ ἀθέμιτος τὸ ἀθέμιτον, ἐπευξάμενος τὸν θεομισῆ Θεόφιλον ἐκεῖνον τὸν καὶ Γρύλλον, ὃν ὁ ἀπαιδευτότατος ἄναξ ἴδιον πατριάρχην ὠνόμαζεν, παίζειν εὔστοχος καὶ ἐν ἱερατικοῖς ἀμφίοις καὶ λογίοις, καὶ κρότους ἀποπέμπειν μεγίστους ἡμιόνων τρόπῳ, D καὶ πιεῖν ἐξ αὐτοῦ πάντας, τοῦτό γε μόνον ἄξιος αὐτοῖς ἐπιφωνεῖν, καὶ σαρκίνων μεταλαμβάνειν μετὰ νάπυος καὶ ὄξους· καὶ τῷ ὠμοφορίῳ αὐτοῦ ὁ ἀνίερος τῷ ἀνιέρῳ τὴν ἀνιεραρχίαν ἀνιέρως ἐπεσφραγίζετο, ἐν γέλωτι ὁ μετὰ ἀφρόνων ὁ ἄφρων τὴν φωνὴν αὐτοῦ ἀνυψῶν, ἐπιγελῶν τοῦ ἀοιδίμου Ἰγνατίου ὡς μὴ ὄντος τοῖς πράγμασι συγκαταβατικοῦ καὶ οἷον, ὡς αὐτὸς ἐνόμιζε, παντὶ ἀνέμῳ εὐριπίστως φερομένου. ἀλλὰ καὶ ἅμιλλαν μετὰ τοῦ ἀθλίου βασιλέως Μιχαὴλ ὑπὲρ τοῦ τίς ἂν πλέον πίῃ ἐνστησάμενος δέκα κώθωσιν αὐτὸν ὑπερέβαλλεν· τοῦ Μιχαὴλ γὰρ ἐν τοῖς ν' πεπληρωμένου, P 439 οὗτος ὁ Φώτιος τοὺς ξ' ἐκπεπωκὼς ἐνεκαυχᾶτο ὡς μὴ μεμεθυκώς.

20. *Καί ποτε τὴν ἑαυτοῦ μητέρα ὁ Μιχαὴλ ἐν τοῖς ἀνακτόροις διαιτουμένην, τοῦ Γρύλλου δὲ σὺν αὐτῷ τὰ ἄθεσμα πράττοντος, πλασάμενος τοῦτον εἶναι τὸν μακαρίτην Ἰγνάτιον μετακαλεῖται εὐλογηθησομένην παρ' αὐτοῦ. ὡς οὖν ἐκείνη ἐξῄει μετ' εὐλαβείας καὶ αἰδοῦς, ῥίπτει ἑαυτὴν εἰς τοὔδαφος ἐξαιτουμένη εὐχήν· καὶ γὰρ ἐλάνθανεν τέως τὴν γενειάδα κρύπτων. καὶ ἐκ*

disque viris divinis illuderetur, non solum ille non increpavit arguitque ac absurdissimum institutum abolevit, verum etiam nefandissimus homo rem nefandam magis confirmavit, deo exosum Theophilum illum (qui et Gryllus) precibus communiens, quem perditissimus ac bardissimus hominum imperator suum patriarcham vocitabat, homo scilicet in ipsis quoque sacerdotalibus vestibus divinisque eloquiis ludere industrius, maximosque mulorum instar edere crepitus, dignumque unum hoc illis acclamare, biberent ex eo omnes, ac carnes cum sinapi et aceto sumerent. suoque omophorio profanus homo profano profanum principatum profane obsignabat, vocem suam in risu cum stultis homo stultus exaltans, inclytoque Ignatio eo nomine insultans, quod molliore disciplina morem rebus non gereret, nec, ut ipse operae pretium putabat, omni vento facilis ferretur omnemque sequeretur auram. sed et cum misero Michaele imperatore conserta pugna, uter plures calices hauriret, decem ille superior fuit: Michaele enim quinquaginta oppleto, Photius magnifice gloriari atque iactare, ut qui sexaginta epotis vino deiectus non esset.

20. Quandoque etiam dum adhuc mater in aula versaretur, Gryllusque eo socio nefanda illa sua ageret, eam vocavit velut precibus ab eo communiendam, fingens beatum Ignatium esse. exiens itaque illa modestissimo habitu sensuque, humi se abiicit, fundi ab eo preces rogans (hactenus quippe latebat barbam occultans), cum ille confestim exsiliens,

προχείρου ψόφον ἀναθορὼν ἐπαφεὶς καὶ λόγους ἀπρεπεῖς προστε- B θεικῶς καὶ τὸ "ἡμεῖς ὅπερ ἔχομεν, κυρά, παρέχομέν σοι," τὰ πάντα δυσωδίας ἐπλήρου. ἡ δὲ τὸ μέλλον ἀποφοιβάσασα, τῆς τοῦ θεοῦ προνοίας καὶ χειρὸς ἔξω γενέσθαι ὁδοῦ.

21. Ἔτι τῆς Θεοδώρας τὴν βασιλείαν κατεχούσης, Βόγαρις ὁ ἄρχων Βουλγαρίας, γυναῖκα τῆς τῶν Ῥωμαίων βασιλείας ἀκούσας κρατεῖν, δηλοῖ αὐτῇ καταλύειν τὰς συνθήκας καὶ πρὸς Ῥωμαίους ἐκστρατεύειν. ἀντιδηλοῦται οὖν αὐτῷ ὅτι καὶ ἐμὲ κατὰ σοῦ εὑρήσεις ἀντιστρατεύουσαν, καὶ ἐλπίζομεν κυριεῦσαί σου. εἰ δὲ μή, καὶ οὕτως σοῦ περιέσομαι, τὴν νίκην ἀρίδηλον ἔχουσα· C γυναῖκα γάρ, ἀλλ' οὐκ ἄνδρα ἔχεις τὸν ἡττηθέντα σοι." διὰ τοῦτο μὲν οὖν καὶ ἐφ' ἡσυχίας ἔμεινε καὶ τὰς τῆς ἀγάπης ἀνενέωσεν σπονδάς. (22) ζήτησιν οὖν αὐτὴ ποιεῖται περὶ τοῦ μοναχοῦ Θεοδώρου τοῦ Κουφαρᾶ, πρὸ πολλοῦ αἰχμαλωτισθέντος. καὶ οὗτος δὲ ἀφορμὴν ἐκ τούτου λαβὼν περὶ τῆς οἰκείας ἀδελφῆς αἰχμαλωτισθείσης καὶ ἐν τῇ τοῦ βασιλέως αὐλῇ κατεχομένης δηλοῖ· ἥτις καὶ γράμματα μαθοῦσα καὶ τὴν τῶν Χριστιανῶν τάξιν καὶ τὴν περὶ τὸ θεῖον αἰδῶ καὶ δόξαν, ἐπεὶ τῆς ἐπανόδου τῆς πρὸς D τὸν ἀδελφὸν τετύχηκεν, οὐ διέλιπεν ἐκθειάζουσα καὶ παρακαλοῦσα μεταθέσθαι πρὸς τὴν ἀληθῆ πίστιν, εἰ καὶ αὐτὸς τῇ ἀπιστίᾳ κατισχημένος πρὸς τὴν ἀλήθειαν ἰδεῖν τέως οὐκ ἠθέλησεν. λιμοῦ

5 τῆς βασιλείας P

emisso ventris crepitu, verbaque inhonesta adiiciens, ait "nos, domina, quod habemus, hoc praebemus;" totumque foetore cubiculum implevit. at illa, quod futurum erat vaticinata, a divina providentia manuque extraneum fore pronuntiavit.

21. Adhuc Theodora rerum potiente, Bogaris Bulgarorum dux, mulierem audiens imperii Romani clavum tenere, nuntiis ad eam missis denuntiat pacis rupto foedere aciem se adversus Romanos educturum. cui illa "noveris" inquit "me quoque iustis copiis vicissim educturam, foreque speramus ut tui potiamur: sin minus, sic quoque tui potiar, clara mihi constante victoria, quod mulierem, non certe virum, abs te victum habiturus sis." eo responso mitior barbarus effectus pacem coluit, ac dilectionis foedera renovavit. (22) inquirente Theodora de monacho Theodoro Cuphara, diu ante in captivitatem abducto, Bogaris quoque arrepta occasione de sorore sua perinde captiva inque imperatoris aula detenta significat. didicerat haec literas ac Christianorum ordinem ergaque deum venerationem ac fidem. nacta igitur ut ad fratrem reverteretur, nullum ei laudandae rei Christianae finem faciebat, ac fratrem hortandi ut ad veram fidem animum transferret. quanquam is, qua laborabat incredulitate, ad veritatem hactenus oculos aperire noluit. ve-

δὲ τὴν χώραν ἐπινεμομένου ἠναγκάσθη τὰ Ῥωμαίων ὅρια ὑπερβαίνειν.

23. Τῷ γ' αὐτοῦ ἔτει προβάλλεται Μιχαὴλ ὁ βασιλεὺς Ἀντίγονον τὸν υἱὸν Βάρδα δομέστικον τῶν σχολῶν· τὸν δὲ ἕτερον υἱὸν αὐτοῦ, δοὺς γυναῖκα, εἰς ἣν καὶ ἐλοιδορεῖτο, προβάλλεται μονοστράτηγον τῶν δυτικῶν. συντόμως δὲ αὐτοῦ τελευτήσαντος, τῇ δ' τῶν διακαινισίμων, προβάλλεται Μιχαὴλ Βάρδαν τὸν αὐτοῦ [θεῖον] Καίσαρα.

24. Τούτῳ τῷ ἔτει ἐξῆλθεν Ἄμερ μέχρις Σινώπης, καὶ P 440
ληϊσάμενος πάντα τὰ Ῥωμαίων ὑπέστρεψεν ἀβλαβής.

25. Τῷ δ' αὐτοῦ ἔτει ἐκστρατεύει Μιχαὴλ ἅμα Καίσαρι διά τε γῆς καὶ θαλάσσης κατὰ Γόβορι ἄρχοντι Βουλγάρων. τοῦτο μαθόντες οἱ Βούλγαροι, ἅμα δὲ καὶ λιμῷ τηκόμενοι, ὡς ἤχῳ βροντῆς ὑπεκλίθησαν καὶ πρὸ τῶν ἀγώνων καὶ τῆς μάχης περὶ τὴν νίκην κατέγνωσαν, Χριστιανοί τε γενέσθαι καὶ ὑποτάσσεσθαι τῷ βασιλεῖ Ῥωμαίων ᾐτήσαντο. ὁ δὲ βασιλεὺς τούτους ἐν τῇ πόλει ἀγαγὼν ἐβάπτισεν πάντας καὶ τὸν ἄρχοντα αὐτῶν Μιχαὴλ ἐπωνό- B
μασεν. ὃς εἰς τὸ ἴδιον ὑποστρέψας διὰ ζωγράφου Μεθοδίου λεγομένου τὴν κρίσιν καὶ ἀνταπόδοσιν ἐν τῷ οἴκῳ αὐτοῦ γραφῆναι πεποίηκεν· διὸ καὶ μᾶλλον τὴν ἐκ παντὸς τοῦ γένους αὐτοῦ καθυφίσταται ἐπανάστασιν, οὓς μετά τινων ὀλίγων καταπολεμήσας, τὸν τοῦ θείου σταυροῦ τύπον ἐγκόλπιον περιάγων, πάντας ἀνα-

12 Βωγώρι?

rum fame regionem omnem late devastante, necesse habuit transgredi Romanorum fines.

23. Eius imperii anno tertio Michael imperator Antigonum Bardae filium scholarum domesticum praeficit; alterumque eius filium, locata ei uxore, qua cum illi turpis rei suspicio erat, supremum ducem Occidentalium turmarum constituit. quo illic brevi exstincto, hebdomadae paschae quarta feria, Michael Bardam avunculum Caesaris infulis ornavit.

24. Hoc anno exivit Amer usque Sinopem, omnique late vastata regione, nullo accepto damno, reversus est.

25. Eius imperii anno quarto Michael imperator cum Caesare terra marique adversus Goborem Bulgarorum principem copias educit. Bulgari apparatu audito, ac cum alias fame conficerentur, quasi tacti e caelo obrigescentes, omnique abiecta victoriae spe ante etiam agones ac praelia, nomen Christo dare deposcunt ac Romano subesse imperatori. Michael vero in urbem inductos salutari omnes lavacro donavit, eorumque principem ex suo nomine Michaelem appellavit. ille ad suos reversus Methodii pictoris manu ac penicillo iudicium futuramque retributionem in suis aedibus depingi curavit. quamobrem etiam omnes eius populares magis in eum accensi tumultuantur; in quos ille cum paucis conserta pugna, victor, divinaeque crucis collare signum (seu pectorale) circum-

φανδὸν ἐποίησε Χριστιανούς. δηλοῖ καὶ τῷ βασιλεῖ περὶ γῆς διὰ
C τὸ στενοῦσθαι ἐν τοῖς ἰδίοις τὸ πλῆθος τὸ ἑαυτοῦ, πρὸς τῷ καὶ ἐν τῇ πίστει ὁμονοεῖν ἀϊδίως καὶ τὴν ἀγάπην ἄλυτον εἰς αἰῶνας φυλάττειν. ὁ δὲ εὐμενῶς ἤκουσε, καὶ δέδωκεν ἐρήμην οὖσαν τηνικαῦτα τὴν ἀπὸ τῆς Σιδηρᾶς, ταύτης δὴ τότε ὅριον τυγχανούσης Ῥωμαίων τε καὶ αὐτῶν, ἄχρι τῆς Δεβελτόν, ἥτις οὕτω καλεῖται Ζαγόρια παρ' αὐτοῖς.

26. Τῷ ε' αὐτοῦ ἔτει τοῦ Ἄμερ πάλιν ἐπὶ Ῥωμανίαν ἐξελθόντος συναντῶσι Πετρωνᾶς καὶ Νάσαρ οἱ στρατηγοὶ εἰς τὸν Λαλακαῶνα. καὶ συμβολῆς γενομένης τρέπεται ὁ Ἄμερ, καὶ τὴν
D κεφαλὴν αὐτοῦ καὶ ἄλλων πολλῶν οἱ στρατηγοὶ εἰς τὴν πόλιν εἰσάγουσιν. ἐκ τούτου γίνεται γαλήνη μεγάλη ἐν τῇ ἀνατολῇ. καὶ ἄλλων μὲν οἱ πόνοι καὶ τὰ τῶν πολέμων ἀνδραγαθήματα· ἡ δὲ τοῦ βασιλέως ἀγάπη πρὸς τὸν Βασίλειον ἐξεκέχυτο, καὶ τοῦτον μόνον ἐνόμιζεν εἶναι τὸν θεραπεύοντα αὐτόν.

27. Τῷ ϛ' αὐτοῦ ἔτει κτίζει στάβλον τῶν ἵππων αὐτοῦ, κοσμήσας αὐτὸν μαρμάροις καὶ ὑδάτων ἐπιρροαῖς παντοιοτρόπως. τελεσθέντος δὲ ὑποδεικνύει τὴν ἄλογον κατασκευὴν τοῦ οἴκου, βουλόμενος ἐπαινεθῆναι, Πέτρῳ τινὶ λογίῳ καὶ σκωπτικῷ ἀνδρί, ὃν
P 441 καὶ Πτωχομάχην ἐκάλουν, καὶ φησὶν ὡς ἀεὶ μνημονεύεσθαι ὀφείλω διὰ τὴν τοῦ ἔργου τούτου κατασκευήν. καὶ ὁ Πέτρος τῷ βασιλεῖ

20 ὀφείλων P

ferens, omnes palam Christianos fecit. imperatori quoque de agro significat, nempe artari suis finibus subiectam tantae multitudinis plebem, praeterquam quod animis constitutum sit eiusdem fidei sensum in perpetuum tenere ac caritatis insoluta vincula in aeternum servare. annuit placide imperator, ac tunc temporis incultam regionem a Sidera (id est Ferrea), quae tunc Romanae ac Bulgarorum dicionis limes erat, ad Debeltum usque (vernacula lingua Zagoram illis nuncupatam) agrorum partem eis tribuit.

26. Michaelis imperii anno quinto, Amere copias rursus adversus Romanos educente, Petronas et Nazar duces in eius occursum ad Lalacaonem venere. collatis signis Amer in fugam versus est, eius exsectum caput aliorumque plurium victore exercitu ac ducum triumpho in urbem illatum. hinc magna per Orientem facta tranquillitas. ac quidem alii labores desudabant, adversumque hostes praeclara belli facinora designabant: imperatoris vero in Basilium effusus amor erat, huncque unum sui potissimum cultorem existimabat.

27. Eius imperii anno sexto aedificat Michael equile, marmoribus exornans, omnisque generis aquarum irriguo, iucundum illud atque usibus commodum praestans. absoluto equilis aedificio Petro cuidam ostendit, viro sagaci ac dicteriis assueto (hunc πτωχομάχην ac si dicas paupertatis vindicem seu pauperum defensorem, dicebant), ex eo laudem captans; aitque eius operis munere sempiternum sibi fore nomen ac cla-

φησὶν "Ἰουστινιανὸς ἔκτισε τὴν μεγάλην ἐκκλησίαν κοσμήσας χρυσῷ καὶ ἀργύρῳ καὶ μαργάροις πολυτίμοις, καὶ ἡ μνήμη αὐτοῦ νῦν οὐκ ἔστι· καὶ σύ, βασιλεῦ, κοπρῶνα ποιήσας καὶ ἀλόγων ἀνάπαυσιν λέγεις μνημονεύεσθαι διὰ τοῦτο;" ὁ δὲ ὀργισθεὶς ὡς τοῦ ἐπαίνου ἀποτυχὼν τυπτόμενον καὶ συρόμενον αὐτὸν ἐξήγαγεν.

28. Τῷ ζʹ αὐτοῦ ἔτει, φήμης διαθεούσης ὡς Βάρδας ὁ Καῖσαρ τῇ νύμφῃ αὐτοῦ Εὐδοκίᾳ συμφθείρεται, ὁ πατριάρχης B Ἰγνάτιος πολλάκις τούτῳ παραινεῖ ἀποσχέσθαι τοῦ κακοῦ. ὁ δὲ μὴ πειθόμενος μᾶλλον ἐνεῖχε τῷ πατριάρχῃ, σωφρονεῖν αὐτὸν κατεπείγοντος. καὶ δή ποτε μέλλοντος κοινωνεῖν τοῦ Βάρδα, ὁ πατριάρχης ὡς ἀνάξιον ἀπώσατο· ὃς ὀργῆς πληγεὶς τὴν ψυχὴν τὸν παραινέτην ὡς ἄνομον καὶ φθορέα τῆς ἐκκλησίας ἐξέωσε, καὶ παραιτήσασθαι ἀναγκάζων βασάνοις ἀπείροις ὑπέβαλεν. παραδίδωσι γὰρ αὐτὸν τῷ Θεοδοσίῳ τῷ Μωρῷ λεγομένῳ καὶ τῷ Γοργονίτῃ Ἰωάννῃ καὶ Νικολάῳ τῷ Σκουτελόπτῃ, οἳ καὶ περιέκλεισαν αὐτὸν ἐν τῇ τοῦ Κοπρωνύμου λάρνακι γυμνὸν χειμῶνος ὥρᾳ. ἔν- C θεν τῇ ἀνάγκῃ τοῦ κρύους ἐκ τῶν κρυφίων σαρκῶν ἀποβολὴν ἐποιεῖτο σαπρίας καὶ αἵματος. οὕτως ἐγκαρτερῶν τοῖς δεινοῖς ὁ καρτερικώτατος οὐκ ἐφθέγξατό τι πρὸς κύριον πονηρόν. τοιγαροῦν διανίστησιν αὐτῷ κύριος Κωνσταντῖνον τὸν Ἀρμένιον παραμυθούμενον αὐτῷ· καὶ γὰρ ἀγγείδιον οἴνου καὶ ἄρτον καὶ μῆλα, τοὺς κακοποιοὺς κατὰ χώρας λανθάνων, τῷ ὁσίῳ εἰσῆγε, καὶ τῆς

ritatem. ad quem Petrus "Iustinianus Augustus magnam ecclesiam aedificavit, auro et argento pretiosisque marmoribus magnifice exornans; nec eius nunc perstat memoria. tu vero, o imperator, clara te memoria apud posteros celebrandum ducis, quod locum stercorum et equile construxeris!" iratus ergo, ut qui spe laudis quaesitae frustratus esset, verberibus calcibusque domo extrusit.

28. Imperii Michaelis anno septimo, percrebrescente fama Bardam Caesarem nurui suae Eudociae foedis amoribus commisceri, admonebat crebrius Ignatius patriarcha ut a malo sese contineret. Bardas vero non solum non morem gerit, sed et in patriarcham emendare studentem invehitur atque insurgit. patriarcha itaque, dum sacra quandoque mysteria percepturus accedit, Bardam ceu his indignum reppulit. ea re Bardas animo saucius monitorem suum velut improbum et corruptorem ecclesia eiicit, et ut abdicare cogat, tormentis innumeris subiicit. tradit enim Theodosio Moro nuncupato, Ioanni Gorgonitae et Nicolao Scutelopti, qui et hiberna tempestate in Copronymi urna nudum inclusere. quo loco, frigoris vi ac gelu, ex interioribus ac intestinis pus mixtum sanguine mittebat. sic vero in malis patiens vir tolerantissimi pectoris, nihil mali adversus dominum locutus est. suscitat itaque illi dominus Constantinum Armenium, qui levamen aliquod ipsi adhibeat. vasculum enim vini parumque panis et pomorum per maleficorum hominum absen-

λάρνακος αὐτὸν καταβιβάζων ἐκούφιζε τὸ πολὺ τῆς συμφορᾶς μέ-
D χρι τῆς ἐκείνων ἐλεύσεως. τούτοις ὑποβαλὼν Βάρδας ὁ Καῖσαρ
τὸν ὅσιον, ἐπεὶ τὴν παραίτησιν αὐτοῦ λαβεῖν οὐκ ἠδυνήθη, Φώ-
τιον πρωτοασηκρῆτις ἀντ' αὐτοῦ χειροτονεῖ πατριάρχην. ἐξώρισεν
δὲ Ἰγνάτιον ἐν τῇ νήσῳ Τερεβίνθου, ἐν ᾗ καὶ ἐταλαιπωρεῖτο, μυ-
ρία καθ' ἑκάστην πρὸς τὸ παραιτήσασθαι ὑπομένων. εἶτα φέρου-
σιν αὐτὸν εἰς τὴν Ἱερείαν δέσμιον, καὶ κατακλείουσιν εἰς μάνδραν
Αἰγῶν. εἶτα εἰς τὰ Προμούντου ἀγαγόντες, Λέων ὁ Λαλάκων
τοῖς ῥαπίσμασι τὰς σιαγόνας αὐτοῦ συνέθλασεν ὡς δύο μύλους
αὐτοῦ ἐκπεσεῖν. εἶτα μοχλῷ σιδηρῷ ἀνδροφόνῳ τοὺς πόδας προση-
P 442 λώσαντες ἐν μικρᾷ εἱρκτῇ καὶ στενῇ κατέκλεισαν, καὶ μετ' ὀλίγας
ἡμέρας εἰς τὰ Νούμερα σιδηροδέσμιον καθεῖρξαν. ἐκεῖθεν εἰς
Μιτυλήνην τὴν νῆσον τοῦτον ἐξώρισαν, καὶ τοὺς μητροπολίτας
ἐν φυλακαῖς ἄλλον ἀλλαχοῦ διεσκόρπισαν.

29. Ἄξιον δὲ καὶ περὶ Φωτίου ὀλίγα διαλαβεῖν. οὗτος
ὁ Φώτιος υἱὸς Σεργίου σπαθαρίου ἦν, οὗ τινὸς ὁ πατὴρ Ζαχαρίας
ὠνόμαστο, ὃς πάλιν ἔσχεν υἱὸν Λέοντα βασι... ὁ γὰρ Σέργιος
ἐθνικοῦ αἵματος ὤν, εἰς μοναστήριον γυναικεῖον εἰσπεπηδηκὼς
καὶ μονάστριαν ἐκεῖθεν ἁρπάσας καὶ ταύτην ἀποσχηματίσας ἔλαβε
γυναῖκα. μετὰ χρόνον τινὰ συνέβη τὸν ἅγιον Μιχαὴλ τὸν Σινά-
B δου, φίλον Σεργίου ὄντα, εἰς τὴν οἰκίαν αὐτοῦ εἰσελθεῖν, καὶ τὴν
γυναῖκα αὐτοῦ ἐνθεωρήσας ἔγκυον οὖσαν ἀπέστειλεν τὴν αὐτοῦ

tiam inferebat, atque e loculo deponens, dum illi venirent, cruciatum tantisper leviorem reddebat. his Bardas Caesar sanctum excruciando, cum ab eo libellum et ut se ipse abdicaret impetrare minime potuisset, Photium protoasecretis patriarcham praeficit, Ignatio in Terebinthi insulam relegato, ubi et aerumnis conflictabatur, innumeris quotidie abdicandi muneris causa aerumnis malisque appetitus. deinde vinctum ad Hieriam transferunt, atque in Caprarum mandra includunt. tum ad Promunti aedes adducto, Leo Lalaco illius sic genas pugnis ac colaphis confregit ut eius duo molares dissilierint. deinde vecte ferreo homicidarum pedes adstringentes, in exiguo artoque carcere incluserunt; nec post multos dies in carcerem dictum Numera ferro vinctum compegerunt. inde eo in Mitylenem insulam relegato, metropolitas in ergastula alios alio disperserunt.

29. Operae pretium vero sit ut et de Photio pauca perstringamus. hic Photius filius fuit Sergii spatharii, cuius pater Zacharias; qui rursus Leonem habuit filium... Sergius enim cum gentili ortus stemmate esset, in feminarum monasterium irrumpens, indeque rapta sanctimoniali habituque exuta, sibi eam coniugem fecit. post tempus aliquod contigit Michaelem Sinadensem Sergii amicum in eius domum intrare; conspectaque uxore eius praegnante, indignantis specie ac velut percussurus in

ῥάβδον, πλῆξαι βουλόμενος αὐτήν, καὶ οὕτως εἶπεν "εἴθε ἦν τις ταύτην ἀποκτεῖναι δυνάμενος καὶ τὸ ἔμβρυον τὸ σὺν αὐτῇ. ὁρῶ γὰρ ἄλλην Εὔαν ὄφιν ἐγκυμονοῦσαν, καὶ τὸ ἔμβρυον ἄρσεν. καὶ τοῦτο κατὰ συγχώρησιν θεοῦ πατριάρχην ἐσόμενον βλέπω ἐπὶ ἀθετήσει τοῦ πανσέπτου καὶ τιμίου σταυροῦ. καὶ αὐτὸς εἰς ἀσέβειαν ἀποκλινεῖ, καὶ πολλοὺς εἰς σταυροπατίαν μεταστήσει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν πολλοὺς ταῖς πολυτρόποις αὐτοῦ στερήσει μηχαναῖς." πρὸς ὃν ὁ Σέργιος "καὶ εἰ τοιοῦτος ἔσεσθαι C *μέλλει, μετὰ τῆς μητρὸς αὐτὸν ἀνελῶ." πρὸς ὃν ὁ ἅγιος "οὐ δυνήσῃ τὴν συγχώρησιν τοῦ θεοῦ διακωλῦσαι. πρόσεχε οὖν σεαυτῷ."* (30) *εἶτα γεννηθέντος ἡ μήτηρ Ἰάκωβον τὸν Μαξιμίνης ἡγούμενον μεταπεμψαμένη ἔρριψεν αὐτὸν εἰς τοὺς πόδας αὐτοῦ κλαίουσα τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. ἔλεγε γὰρ ὅτι ἔγκυος οὖσα εἶδον ὄναρ ὅτι ἐσχίσθη ἡ κοιλία μου καὶ ἐξῆλθε δράκων. ἀλλὰ καὶ ὁ ὅσιος καὶ ὁμολογητὴς Ἱλαρίων ὁ τῆς Δαλμάτου εἴρηκέ μοι ὅτι σεσωματωμένον Σατανᾶν βαστάζεις. λαβὼν οὖν αὐτὸν ἐβά-* D *πτισεν, Φώτιον ὠνομακώς, "ἴσως" λέγων "παρέλθοι ἡ ὀργὴ τοῦ θεοῦ ἀπ' αὐτοῦ." Σέργιος δὲ ὁ πατὴρ αὐτοῦ ὁρῶν τινὰ σημεῖα ἐν αὐτῷ ἔλεγεν "μὴ ἄρα ἡ παρ' Ἑβραίοις ἐλπιζομένη μονάστρια, ἡ τὸν Ἀντίχριστον μέλλουσα τίκτειν, ἡ γυνή μου ἐστίν;" ἐπεὶ δὲ φιλομόναχοι ἦσαν, τοὺς μοναχοὺς προσδεχομένης, ἠξίου εὔχεσθαι ὑπὲρ αὐτῶν καὶ τοῦ Φωτίου. τοῦτόν ποτε τὸν Φώτιον μειράκιον*

14 ἡ om P

eam baculum misit, sic aiens "utinam esset qui illam, unaque prolem qua feta est, necare posset. video enim alteram Evam, serpentem utero gestantem ac prolem masculam. huncque deo permittente video patriarcham fore, omnique veneratione habendam ac pretiosam crucem spreturum esse; declinabitque ipse ad impietatem, et multos ad periurium crucis calcata religione traducet, multosque regno caelorum variis modis, suis artibus excludet." ad quem Sergius "atqui si talis futurus est, ipse una cum matre eum perimam." cui sanctus "non poteris quod ex divina est permissione impedire. tibi igitur attente cave." (30) deinde eo nato, vocato mater Iacobo Maximinae monasterii praefecto, ad eius se pedes lacrimis oppleta iactavit, ut sacra eum unda tingeret. dicebat enim "praegnans cum essem, vidi in somnis scisso utero draconem ex me exiisse. sed et sanctus confessor Hilarion monasterii Dalmatae dixit mihi corpore indutum me Satanam utero gestare." is ergo susceptum infantem baptizavit, Photium vocans, ac dicens "forte transibit ab illo ira dei." Sergius autem eius pater, quaedam in eo signa videns, "num mea uxor" aiebat "ea ipsa est sanctimonialis, quam apud Hebraeos Antichristum parituram exspectant?" quod vero parentes monachorum studiosi erant, uxor domo lubens excipiens pro ipsis ac Photio preces fundere rogabat. hunc quandoque Photium valde adhuc puerulum, cum

σκεπὴ τυγχάνοντα εἰς τὸν ἐν ἁγίοις Ἰωαννήκιον ἐν τῷ Ὀλύμπῳ
ἀνήγαγεν, καὶ ὑπὲρ αὐτοῦ εὔξασθαι τοῦτον παρεκάλει. ὁ δὲ ἑτοί-
μως ἀποκριθεὶς ἔφη "Φώτιος ἐν καρδίᾳ αὐτοῦ ὁδούς σου, κύριε,
P 443 εἰδέναι οὐ βούλεται." ὁ δὲ στενάξας εἶπεν "τί τοῦτο ἔφης, πά-
τερ;" αὖθις ὁ γέρων "ὅτι τὰ μέλλοντα πραχθῆναι ὑπ' αὐτοῦ δη-
λῶ σοι." τότε ὁ Σέργιος κόνιν σπασάμενος κατῆλθεν ἀπὸ τοῦ
ὄρους. (31) εἰς μαθήματα δὲ τοῦτον ἐκδούς, μᾶλλον ἐκεῖνος
πρὸς τὰ Ἑλληνικὰ φιλοτιμότερον διέκειτο ἢ τὰ ἐκκλησιαστικά.
διὸ καὶ Ἑβραίων τινὶ μάγῳ συντετυχώς, "τί μοι" ἔφη "δῷς,
νεανία, καὶ ποιήσω σε πᾶσαν γραφὴν Ἑλληνικὴν ἐπὶ στόματος
ἄγειν καὶ πάντας τοὺς ἐπὶ σοφίᾳ παρευδοκιμεῖν." ὁ δέ φησι "τὸ
ἥμισυ τῆς οὐσίας αὐτοῦ προθύμως ὁ ἐμὸς πατὴρ παρέξει σοι." ὁ
B δέ "οὐ χρῄζω χρήματα, ἀλλ' οὐδὲ τὸν πατέρα σου γνῶναι τὸ δρᾶ-
μα· ἀλλ' ἐλθὲ μετ' ἐμοῦ εἰς τόνδε τὸν τόπον, καὶ ἄρνησαι τὸν
τύπον ἐν ᾧ Ἰησοῦν προσηλώσαμεν, καὶ δώσω σοι παράδοξον φυ-
λακτόν, καὶ ἔσται ἡ ζωή σου πᾶσα ἐν εὐημερίᾳ καὶ πλούτῳ καὶ
πολλῇ σοφίᾳ καὶ χαρᾷ." τὸν δὲ προθύμως ἀκούσαντα, καὶ
πάντα πρὸς τὴν τοῦ γόητος ἀρέσκειαν τετελεκότα. καὶ ἔκτοτε ταῖς
ἀπηγορευμέναις αὐτῶν βίβλοις τῆς μαντικῆς καὶ ἀστρολογικῆς τε-
ρατείας οὐκ ἀποσχόμενος τὸν νοῦν, (32) ἐπεὶ ἀκούων ἦν παρὰ
τοῦ πατρός, ὡς ὑπὸ προορατικῶν ἀνδρῶν ἀκηκοότος, ὅτι πολυτρό-
C πως τὸν πατριαρχικὸν θρόνον ἐπιβήσεται, τοῦτο ἐν ἑαυτῷ στρέ-

1 ἔτι? 18 παντὸς et τετελεκότος P

pater ad S. Ioannicium in monte Olympo adduxisset, obsecrabat ut oraret pro illos cui ille actutum respondens, "Photius" inquit "vias tuas, domine, ut sciat, in animum non inducit." ad quem Sergius alta ducens suspiria "ut quid, pater, hoc dixisti?" respondit senex "quae ille perpetraturus est, tibi denuntio." tum Sergius caput cinerem aspersus e monte descendit. (31) traditus disciplinis maioribus animis atque opera, quae Graecorum erant ac gentilium, quam quae ecclesiastica, capessebat. unde etiam cum in Hebraeum quendam magum incidisset, ait illi "quid mihi, iuvenis, daturus es, faciamque ut Graecorum omnis eruditio in ore versetur omnesque sapientia vincas?" cui ille "dimidiam bonorum partem in eam rem pater libens collaturus est." ad quem Hebraeus "pecuniis non indigeo, ac nec patrem tuum rem scire volo; sed veni mecum huc, ac signum nega in quo Iesum affiximus, inauditoque a me tibi concesso amuleto vitam omnem prospere ages et divitiis affluens, magnaque sapientia in omnibus gaudens ac laetans praestabis." quo prone audito, exque impostoris voluntate omni peracto negotio, eo ex tempore nullum finem fecit libros eorum prohibitos divinationum ac astrologicae vanitatis legendi iisque animum addicendi. (32) quod autem ex patre audierat accepisse illum a viris spiritalibus ac futurorum intelligentia praeditis, fore ut vario astu ac machinamentis patriarchalem

φων Γρηγορίῳ τινὶ τῆς Συρακούσης ἐκκλησίας γενομένῳ ἐπισκόπῳ, ὃς καὶ Ἀσβεστὰς ἐκαλεῖτο, καθῄρητο δὲ ὑπὸ τοῦ μεγάλου Μεθοδίου διά τε πολλὰ ἄλλα καὶ διὰ τὸ παρ' ἐνορίαν χειροτονῆσαι Ζαχαρίαν τὸν τοῦ πατριάρχου Μεθοδίου πρὸς Ῥωμαῖον ἀποσταλέντα πρεσβύτερον, φιλιάζεται σὺν τούτῳ τε καὶ ἄλλοις τισὶν ἐπ' ἐγκλήμασι καθῃρημένοις, ὧν ὑπῆρχεν Εὐλάμπιος ὁ Ἀπαμείας καὶ Πέτρος ὁ Συλαίου καὶ ἄλλοι σὺν αὐτοῖς πλεῖστοι, οἳ εἰς τὸν οἶκον Φωτίου συνερχόμενοι καὶ μετὰ Γρηγορίου στρεφόμενοι κατὰ τοῦ D *μεγάλου Ἰγνατίου μελετῶντες ἦσαν· οὓς καὶ συναθροισθεῖσα ἐν τῷ πατριαρχείῳ μητροπολιτῶν καὶ ἐπισκόπων σύνοδος πάντας καθῄρησε καὶ ἀπεκήρυξε. τοῦτον τὸν Φώτιον Βάρδας ὁ Καῖσαρ, ὁ θεῖος Μιχαὴλ τοῦ βασιλέως, χειροτονεῖ πατριάρχην. ὃς μετ' ὀλίγας ἡμέρας ζητεῖ τὸ ἰδιόχειρον αὐτοῦ γράμμα, ὅπερ πρὸς τοὺς μητροπολίτας ἐποίησεν, ἡνίκα τοῦτον εἰς χειροτονίαν ἤγαγον, ὡς δῆθεν ἰδεῖν τι ἐν αὐτῷ βουλόμενος. εἰσάγεται οὖν ὁ χάρτης, καὶ ζητεῖται ἀσφάλειαν ἵνα μὴ διαρρηχθῆναι. οἱ δὲ τοῦ Φωτίου τὸν ἀντίχειρα τοῦ κρατοῦντος αὐτὸν κλάσαντες τὸν χάρτην ἀνέσπασαν,* P 444 *ὃν καὶ χειρωσάμενος Φώτιος εἰς λεπτὰ κατέκοψε, λέγων "οὔτε ὑμᾶς οὔτε τὸν Ἰγνάτιον ἐπίσκοπον ἔχω."*

33. *Τῷ β' ἔτει, Φωτίου τὸν τίμιον σταυρὸν εἰς τὴν ἑορτὴν ὑψοῦντος, μοναχός τις πλησίον τοῦ θυσιαστηρίου ἑστὼς διο-*

4 leg. *Ῥώμην*, Combef. 15 *ὁ* om P 16 *ἀσφάλεια ἵνα μὴ διαρρηχθῇ?*

demum thronum conscenderet, hoc animo versans, cum Gregorio Syracusanae quondam ecclesiae episcopo (qui et Asbetas vocabatur, et a magno Methodio cessare iussus erat tum ob alia plura, tum quod extra paroeciam Zachariam, eiusdem Methodii patriarchae ad Romanum antistitem presbyterum nuntium, ordinaverat) cum illo aliisque praeterea quibusdam, ob scelera perinde gradu motis, amicitia iungitur. in illis erant Eulampius Apamiensis et Petrus Sylaei aliique cum eis plurimi. hi itaque in Photii domum convenientes et cum Gregorio versantes consilia struebant adversus magnum Ignatium; quos ipsos, collecta in patriarchalibus aedibus metropolitarum episcoporumque synodus omnes exauctoravit atque proscripsit. hunc Photium Bardas Caesar, Michaelis imperatoris avunculus, patriarcham creat. is brevi post, quas manu propria scriptas metropolitis literas dederat tum cum ipsum ordinaturi convenerant, petit, tanquam scilicet aliquid in eis inspecturus. allatum ergo diploma est, fidemque exigunt ne illud diffringatur. at qui Photii partium erant, vi arreptum e manu tenentis chartam disciderunt; quam et Photius apprehendens minutim conscidit, dicens "neque vos episcopos habeo nec Ignatium."

33. Anno secundo, cum Photius venerandam crucem per diei eius solennia exaltaret, monachus quidam haud procul ab altari stans, vir

*ρατικὸς εἶδεν θέαμα ξένον, ὄφιν παμμεγέθη τὰς χεῖρας τοῦ Φω-
τίου κρατοῦντα, τὸν δὲ σταυρὸν τὸν τίμιον ἐφ' ἑαυτοῦ ἀνυψού-
μενον. σύντρομος δὲ γεγονὼς μεγάλα ἔκραζε καὶ σύντομον τὸ
κύριε ἐλέησον. καί τινες σὺν αὐτῷ εὐλαβεῖς ἱστάμενοι τὸ αἴτιον
B ἀνηρώτων, καὶ αὐτὸς τὴν ὀπτασίαν εἶπεν αὐτοῖς. οἱ δὲ ἦσαν τῶν
ἀπὸ τῆς ἐκκλησίας πρεσβυτέρων. οὗτοι δὲ πρὸς τὸν εὐλαβῆ καὶ
διορατικὸν τοῦτον μοναχὸν εἶπον ὅτι καὶ ἡμεῖς λειτουργοῦντες μετ'
αὐτοῦ οὐδέποτε ἠκούσαμεν αὐτοῦ εὐχὴν λαλοῦντος ἀλλὰ τῶν θύ-
ραθεν ποιητῶν ὑποψιθυρίζοντος ῥήματα· τὸ δὲ χαλεπώτερον, ὅτι
καὶ ὑποκάτω τῆς θείας καὶ ἁγίας τραπέζης ἐμεῖ δυσωδέστατον
ἐμετόν. (34) καὶ διηγήσατο ἡμῖν Ἰωάννης ὁ ἡσυχαστής, ἀνὴρ
θεοφόρος καὶ προορατικὸς ἀληθές, ὅτι ἐν τῷ σπηλαίῳ ποτὲ σφο-
δρῶς καθεζομένου μου δύο τινὲς ἡγούμενοι Εὐθύμιος καὶ Ἰωσὴφ
C ὑπὸ Φωτίου σφοδρῶς διωκόμενοι παρέβαλον πρός με· καὶ καθὼς
ἔδωκεν ὁ θεός, ἐστήριξα αὐτούς, καὶ τελευταῖον εἰπὼν "ὁ ὑπο-
μείνας εἰς τέλος, οὗτος σωθήσεται" ἀπέλυσα αὐτούς. τῇ δὲ
ἐπιούσῃ νυκτὶ πρὸ τοῦ ἀφυπνῶσαί με παρέστη μοι Αἰθίοψ μέγας
καὶ ἀπευκτὸς καὶ ἰδεῖν φρικτός, ὃς ἥπλωσε κρατῆσαι τοῦ λαιμοῦ
μου πρὸς τὸ ἀποπνῖξαί με. εὐθὺς δὲ ἐγὼ τὸν τύπον τοῦ σταυροῦ
ποιήσας καὶ θαρρήσας ἐκράτησα αὐτὸν ἀπὸ τῆς χειρός, καὶ "τίς
εἶ σὺ" λέγων, "καὶ τί τὸ ὄνομά σου, καὶ τίς ὁ ἀποστείλας σε ἐν-
ταῦθα, καὶ δι' ἣν αἰτίαν." αὐτὸν δὲ ἀποκριθέντα εἰπεῖν "ἐγώ
D εἰμι ὁ δυνατὸς μὲν τοῦ Βελίαρ, ὑπουργὸς δὲ Φωτίου· ὄνομα δέ*

futurorum intelligentia perspicax, inauditam rem vidit ac plane insolitam, ingentis molis serpentem Photii adstringentem manus, cum veneranda crux ipsa a se ipsa exaltaretur. rei ergo spectaculo territus magna contentaque voce clamare "domine, miserere." clamoris causam exquirentibus, qui cum illo stabant viri religiosi, visionem illis aperuit. erant hi ex ecclesiae presbyteris, qui et ipsi venerabili huic ac spiritali monacho dixerunt, "nos quoque cum illo rem sacram peragentes nunquam solennem precationem dicentem eum audivimus, sed profanorum vatum verba submurmurantem. quod vero his gravius est, etiam sub divina sacraque mensa foetoris pessimi vomitum egerit." (34) narravit nobis Ioannes Solitarius, vir divinus ac spiritu prophetico praeditus, verae istud narrationis. "cum quandoque ipse graviter habens in specu mea sederem, duo quidam monachorum praepositi Euthymius et Ioseph, quos Photius dire persequeretur, ad me venerunt; quibus quantum deus dedit a me confirmatis, atque ad extremum adiecto, qui perseveraverit usque in finem, hic salvus erit (Matth. 10 22), a me eos dimisi. sequenti autem nocte priusquam obdormiscerem, adstitit mihi Aethiops magnus et horribilis adspectuque terribilis, et ut tenens gutture suffocaret, manus explicavit. mox ego crucis me signo muniens, assumptaque fiducia, quisnam vero es tu, aio, quodve tibi nomen? ac quis te huc, ac quare, misit? qui respondit, ego sum potens Beliaris Photiique minister: no-

μοι Λεβούφας. συνεργὸς γοήτων καὶ φαρμακῶν, ὁδηγὸς μοιχῶν καὶ ληστῶν, φίλος δὲ Ἑλλήνων καὶ τοῦ ἐμοῦ ἐν κρυπτῷ θεράποντος Φωτίου. ἀπέστειλε δέ με ὁ ἐξουσιάζων με εἰς ἐκδίκησιν αὐτοῦ διὰ τὰς χθὲς κατ᾿ αὐτοῦ ἀτιμίας, τοῦ περιεργάσεσθαί σε, ὅπως μεταμεληθεὶς ἀποδέξῃ αὐτὸν καὶ ἀλλοτριωθῇς τοῦ θεοῦ, καθὼς καὶ ἄλλοις τοῦτο πεποίηκεν πολλοῖς. ἀλλὰ σύ με τῷ ὅπλῳ τοῦ σταυροῦ ἀνίσχυρον ἔδειξας." τότε ἐγὼ κατήργησα αὐτὸν τῷ τιμίῳ σταυρῷ, καὶ ἄφαντος ἐγένετο.

35. Ἐν μιᾷ νυκτὶ συνέβη γενέσθαι σεισμοὶ μεγάλοι· καὶ αὐτὸς ὁ Φώτιος ἀναβὰς ἐπὶ τοῦ ἄμβωνος δημηγορῆσαι εἶπεν ὅτι οἱ σεισμοὶ οὐκ ἐκ πλήθους ἁμαρτιῶν ἀλλ᾿ ἐκ πλησμονῆς ὕδατος γί- P 445 νονται, καὶ ἕκαστος ἄνθρωπος δύο ψυχὰς ἔχει, καὶ ἡ μὲν μία ἁμαρτάνει, ἡ δὲ ἑτέρα οὐχ ἁμαρτάνει. τούτων ἀκούσας ὁ πρωτοασηκρῆτις καὶ ἀπελθὼν εἶπεν τῷ βασιλεῖ ὅτι οἱ δοῦλοι ἡμῶν ἀναγκάζουσιν ἡμᾶς, λέγοντες ὡς ἡμεῖς ἠλπίζομεν μίαν ψυχὴν ἔχειν, καὶ ἐλαμβάνομεν ἑκάστῳ μηνὶ ἀνὰ μοδίους δύο· νῦν δέ, ὡς διδάσκει ἀναφανδὸν ὁ πατριάρχης, δύο ψυχὰς ἔχει ἕκαστος, καὶ δεῖ ἄλλους δύο μοδίους προσθεῖναι ἡμῖν. καὶ ὁ βασιλεὺς γελάσας εἶπεν "οὕτως δογματίζει ὁ Χαζαροπρόσωπος;" προσκαλεῖ- B ται οὖν εὐθὺς τὸν πατριάρχην, καὶ πυνθάνεται ὡς δῆθεν θυμούμενος "οὕτως δογματίζεις, ὦ μαρζοῦκα, δύο τὸν ἄνθρωπον ἔχειν ψυχάς;" ὁ δὲ ταῖς πιθανολογίαις δολερῶς τοῦτον ὑπεισελθὼν

men mihi Lebufas; praestigiatorum adiutor ac veneficorum, moechorum dux et latronum, Graecorum amicus ac Photii, qui meus in occulto servus est et cultor. misit me vero dominus meus ultum serio, quae in eum probra heri iactata sunt, curiosiusque observatum, quo nimirum poenitentia ductus ipsum recipias atque a deo alienus fias, quod et non paucis aliis fecit. tu enimvero crucis armatura invalidum cassumque reddidisti. tum ego venerandae crucis signaculo ipsum profligavi, evanuitque ex oculis."

35. Quadam nocte contigit terram magnis motibus quati; cumque Photius pro concione ad populum oraturus ambonem ascendisset, dixit terrae motus non ex peccatorum multitudine oriri, sed ex aquarum exuberantia. item singulos homines duplici anima praeditos esse: ex his unam peccare, alteram a peccato immunem esse. hoc cum audisset qui primus a secretis erat, ad imperatorem veniens in haec verba locutus est. "servi nostri vim faciunt, qui dicant, sperabamus nos una praeditos anima, eique procurandae duos singuli quot mensibus modios accipiebamus. nunc autem, ut palam docet patriarcha, quisque duas animas habet; iccirco necesse est ut duo alii modii nobis adiiciantur." tum imperator in risum solutus "sicne docet qui vultu Chazarus est?" mox itaque accersito patriarcha ex eo sciscitatur irati specie, "sicne doces, o Marzuca, hominem duplici anima praeditum esse?" at ille, probabilibus sermonibus ei dolo imponens, persuasit non se ita dixisse, sed de

ἔπεισεν ὡς περὶ ἄλλων ὑποθέσεων εἰπεῖν, οὐχὶ δὲ οὕτως. τούτῳ Γρηγόριος ὁ Συρακούσης ἠρώτησε "τί τὸ μαρζούκας σημαίνει;" ὁ δὲ εἶπεν "τὸ μάρ κύων, τὸ ζού σῦρε, τὸ κάς κάσσυμα· τουτέστι κύων ἕλκων δέρμα."

36. Ἐργαστηριακὸς δέ τις, ὡς οἱ ἰδόντες καὶ ἀκούσαντες C ἐβεβαίωσαν, εἰς τὰς Σοφίας τὴν οἴκησιν ἔχων, ἐπὶ πολλαῖς ταῖς ἡμέραις ψυχορραγῶν καὶ τὴν γλῶτταν καὶ τὰ χείλη καὶ τὰς χεῖρας ἐσθίων ἀποψῦξαι οὐκ ἠδύνατο. μικρὸν δὲ ἀνασφήλας εἶπεν "γινώσκετε, ἀδελφοί, ὅτι ὁ πατριάρχης Φώτιος ἐδίδαξέ με μὴ κοινωνεῖν νῆστις. διὸ καὶ ἃ βλέπετε πανθάνω, καὶ ἀποθανεῖν οὐ δύναμαι." καὶ ταῦτα εἰπὼν ἐξέψυξεν. καὶ ταῦτα μὲν περὶ Φωτίου.

37. Τῷ θ' αὐτοῦ ἔτει ἐκστρατεύει ὁ βασιλεὺς Μιχαὴλ κατὰ τῶν Ἀγαρηνῶν, τὸν Ὀρύφαν ὕπαρχον ἐν τῇ πόλει καταλι- D πών· ὃς καὶ τὸν βασιλέα ἤδη τὸ Μαυροπόταμον καταλαβόντα δηλοῖ τὴν τῶν Ῥῶς ἄφιξιν, πλοίων οὖσαν διακοσίων. ὁ δὲ βασιλεὺς εὐθὺς ὑποστρέφει, μηδὲν ὅλως ἐργασάμενος.

38. Τῷ ι' αὐτοῦ ἔτει οἱ Ῥῶς ἔνδοθεν τοῦ Ἱεροῦ φθάσαντες πολὺν εἰργάσαντο φόνον. περικυκλοῦσιν οὖν τὴν πόλιν· καὶ τοῦ βασιλέως μόλις διαπερᾶσαι ἰσχύσαντος, εὐθὺς σὺν τῷ πατριάρχῃ Φωτίῳ τὸν ἐν Βλαχέρναις τῆς θεοτόκου ναὸν καταλαμβάνουσι, καὶ μεθ' ὑμνῳδιῶν τὸ ἅγιον τῆς θεοτόκου ἐξαγαγόντες μαφόριον τῇ θαλάσσῃ ἄκρως προσέβαψαν· καὶ νηνεμίας οὔσης

aliis rebus sermonem habuisse. quaerebat ex illo Gregorius Syracusanus quid vox illa Marzucas sibi vellet. respondit ille m a r canem esse, z u trahe, c a s pellem: hoc est, canis trahens pellem.

36. Faber quidam (reique, qui audierant atque viderant, serio fidem faciebant), cuius ad Sophias aedes erant, per dies multos animam agens, linguamque et labia ac manus exedens, spiritum efflare non poterat. tantisper vero a stupore emergens saniorique mente effectus "scitote, fratres," aiebat, "Photium patriarcham me docuisse ne ieiunus communicarem. idque in causa est ut haec quae videtis patiar, et ut mori non valeam." haecque locutus animam efflavit. atque haec hactenus dicta de Photio.

37. Anno imperii Michaelis nono expeditione suscepta imperator adversus Agarenos proficiscitur, Orypha praefecto in urbe relicto. iamque ad Mauropotamum castra posuerat, cum ille Russos ducentarum navium classe adventare nuntiat. quo audito imperator, re prorsus infecta nullaque conserta pugna, confestim revertitur.

38. Anno imperii Michaelis decimo Russi, cum in Hierum penetrassent, multas caedes fecerunt. urbem itaque vallo cingunt, ac cum vix imperator traiicere potuisset, statim cum Photio patriarcha ad sanctae dei genitricis, quod est in Blachernis, veniunt; eductamque cum canticis eiusdem dei genitricis sacram vestem ac pallium mari leviter

εὐθὺς ἀνέμων ἐπιφοραὶ καὶ τῆς θαλάσσης ἠρεμούσης κυμάτων P. 446 ἐπαναστάσεις ἀλλεπάλληλοι ἐγεγόνεισαν, καὶ τὰ τῶν ἀθέων Ῥῶς πλοῖα κατεάγησαν, ὀλίγων ἐκπεφευγότων τὸν κίνδυνον.

39. Βάρδα δὲ τοῦ Καίσαρος ἐν τῇ προελεύσει διερχομένου, καθεζόμενος ὁ πατρίκιος Δαμιανὸς ἐν τῷ ὡρολογίῳ, ὁ καὶ παρακοιμώμενος, οὐκ ἐπηγέρθη τιμῆσαι αὐτόν. ὁ δὲ θυμωθεὶς τῷ βασιλεῖ κλαίων τοῦτο ἀπήγγειλεν, καὶ ὅτι εἰς ὄνειδος τῆς σῆς βασιλείας οὐκ ἐπηγέρθη μοι. ὁ δὲ βασιλεὺς αὐτῇ τῇ ὥρᾳ ἐξορίζει τὸν παρακοιμώμενον Δαμιανὸν ἐν τῷ ἁγίῳ Μάμαντι, καὶ προβάλλεται Βασίλειον τὸν πρωτοστράτορα αὐτοῦ παρακοιμώμενον. B τοῦτο ὁ Καῖσαρ ἰδὼν ἐλυπήθη λίαν, καὶ ἐζήτει ἀποκτεῖναι Βασίλειον.

40. Τῷ ιαʹ αὐτοῦ ἔτει ἐχώρισεν ὁ βασιλεὺς Μιχαὴλ τὸν Βασίλειον τῆς αὐτοῦ γυναικὸς Μαρίας, καὶ δέδωκεν αὐτῷ γυναῖκα Εὐδοκίαν τὴν Ἰγγηρίναν, διορισάμενος αὐτῷ κυρίως αὐτὴν ἔχειν· ἦν γὰρ αὐτὴ τοῦ βασιλέως παλλακή, καὶ πάνυ ἠγάπα αὐτὴν ὡς εὐπρεπῆ. τὴν δὲ προτέραν αὐτοῦ γυναῖκα Μαρίαν, δοὺς χρυσίον καὶ πλοῦτον πολύν, ἀπέστειλεν εἰς τὰ ἴδια. Θέκλαν δὲ τὴν ἰδίαν ἀδελφὴν προσήρμοσε Βασιλείῳ τοῦ ἔχειν αὐτὴν ἰδίως. C ὁ μέντοι Καῖσαρ καὶ ὁ Βασίλειος ὑπεβλέποντο ἀλλήλους, ζητοῦντες πῶς ἕτερος τὸν ἕτερον ἀνέλῃ. διὸ καὶ ἐλοιδόρει τὸν Καίσαρα Βασίλειος πρὸς τὸν βασιλέα ὡς κατ᾽ αὐτοῦ μελετῶντα. ὁ δὲ

11 ὁ om P

intinxerunt; cumque nulla perflaret aura, ventorum statim orti impetus, tranquilloque mari ac sedato continui fluctus excitati. impiorum Russorum fractae naves ac quassatae, cum paucae evasissent periculum.

39. Barda Caesare solenni processu ac pompa coram transeunte, Damianus patricius et accubitor in horologio sedens illi honoris causa minime assurrexit. ea re ille exasperatus lugens imperatori refert, idque animo cogitantem ait non assurexisse, ut regiam ipsam maiestatem iniuria probroque violaret. hoc audito imperator, Damiano ad S. Mamantis ablegato, Basilium protostratorem accubitorem praeficit. videns autem Caesar rem molestissime habuit, necemque Basilio machinabatur.

40. Anno eius imperii undecimo Michael Basilium cogit dato libello repudii Mariam coniugem dimittere, tradita ei uxore Eudocia Ingerina; iussumque illi ut rato eam coniugio haberet. erat enim illius concubina, quam summe diligebat eo quod forma venustissima esset. priorem vero uxorem Mariam auro aliisque divitiis donatam ad sua remisit. Theclam autem sororem suam Basilio despondit, ut privatim eam haberet. ceterum Caesar et Basilius sibi mutuo suspecti erant, atque alter alterum tollere quaerebant. eam ob rem Basilius apud imperatorem expostulat moliri in eum Caesarem. verum haec ille ut deliria audiebat. quamob-

ταῦτα ὡς λῆρον ἤκουεν. διὸ καὶ σπεύδων πληροφορῆσαι τὸν βασιλέα συμφιλιοῦται Συμβατίῳ πατρικίῳ καὶ λογοθέτῃ τοῦ δρόμου, γαμβρῷ τοῦ Καίσαρος· καὶ δι' ὅρκων βεβαιοῦσιν ἀλλήλους τὴν εἰς αὐτοὺς ὁμόνοιαν. ἐπληροφόρει δὲ Συμβάτιον Βασίλειος δι' ὅρκων φρικτῶν ὅτι τοῦ βασιλέως πολλά σε ἀγαπῶντος βούλεται Καίσαρα προβάλλεσθαι, ἀλλὰ διὰ τὸν πενθερόν σου τοῦτο ποιῆσαι ἀδυνατεῖ. ἐν τούτοις ἀπατηθεὶς ὁ Συμβάτιος γέγονε κατὰ D τοῦ Καίσαρος Βάρδα τοῦ ἰδίου πενθεροῦ, καὶ εἰσελθὼν εἰς τὸν βασιλέα ἐξωμόσατο πληροφορήσας αὐτὸν πῶς ὁ Καῖσαρ βούλεταί σε, φησίν, ἀνελεῖν, ἐξειπὼν καὶ τὰ τῆς βουλῆς. ὁ δὲ βασιλεὺς τοῖς ὅρκοις Συμβατίου πεισθεὶς καὶ τοῖς λόγοις Βασιλείου βεβαιωθεὶς ἐνδομύχει κατὰ τοῦ Καίσαρος. ὁ δὲ Βασίλειος πάντα σκευασάμενος κατὰ τοῦ Καίσαρος, ἐν δὲ τῇ πόλει μηδὲν ποιῆσαι δυνάμενος, πείθει τὸν βασιλέα κινῆσαι στόλον κατὰ τῆς Κρήτης. καὶ τούτου γινομένου Λέων ὁ φιλόσοφος Βάρδα Καίσαρα παρῄνει P 447 ὑποστέλλεσθαι καὶ συντηρεῖν ἑαυτὸν ἀπὸ Βασιλείου. ὁ δὲ Καῖσαρ τὸν βασιλέα ἐπεφωνεῖτο φείδεσθαι τοῦ Βασιλείου. ἐπεὶ δὲ προέλευσις τοῦ εὐαγγελισμοῦ ἐν τοῖς Χαλκοπρατείοις ἐτελεῖτο, εὐαγγελίου τελεσθέντος ἀνῆλθεν ὅ τε πατριάρχης Φώτιος καὶ ὁ βασιλεὺς σὺν τῷ Καίσαρι καὶ Βασιλείῳ παρακοιμωμένῳ ἐν τοῖς Κατηχουμένοις· καὶ τοῦ πατριάρχου ἐπὶ χεῖρας ἔχοντος τὸ τίμιον σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, βάψαντες ὅ τε

3 ἀλλήλοις? 15 Βάρδᾳ τῷ Καίσαρι?

rem etiam Basilius fidem imperatori facturus amicitias iungit cum Symbatio patricio ac dromi logotheta, Caesaris genero; iuratamque alter alteri concordiam firmant. aiebat Basilius horrendisque iuramentis adstruebat diligi eum plurimum ab imperatore, ac velle Caesarem provehere, nec tamen propter eius socerum id posse praestare. his deceptus Symbatius adversus Bardam Caesarem socerum suum coniurat; ingressusque ad imperatorem, iureiurando velle Bardam Caesarem eum interficere affirmat, ipsas quoque insidias narrans. imperator Symbatii iuramentis credulus, ac Basilii verbis persuasus, intus animo in Caesarem insidias condebat. Basilius autem quae erant perdendo Caesari, cuncta instruxerat; cumque rem in urbe praestare non posset, auctor est imperatori, ut classem adversus Cretenses educat. haec cum gererentur sicque res in procinctu esset, Leo philosophus Bardam Caesarem admonebat ut se subduceret sibique a Basilio caveret: Caesar vero imperatorem in Basilium proniorem esse respondebat. quod autem processus diei annuntiationis in Chalcoprataeis peragebatur, lecto evangelio ascendit Photius patriarcha, et imperator cum Caesare et Basilio accubitore ad Catechumena; tenenteque patriarcha in manibus pretiosum corpus et sanguinem domini nostri Iesu Christi, intingentes imperator pariter ac

βασιλεὺς καὶ ὁ Βασίλειος τοὺς τιμίους ὑπέγραψαν σταυρούς, ὅρκῳ βεβαιώσαντες τὸν Καίσαρα ἀφόβως συνελθεῖν αὐτοῖς ἐν τῷ ταξειδίῳ. ὁ δὲ φιλόσοφος Λέων φανερῶς παρηγγύα τῷ Βάρδᾳ μὴ B ἐξελθεῖν σὺν αὐτοῖς, ἐξερχομένῳ δὲ ἔλεγεν μὴ ὑποστρέφειν. (41) καὶ σημεῖα τῷ τούτου θανάτῳ παρηκολουθήκεσαν. σεισμοῦ γὰρ γεγονότος ἐπεπτώκει τὸ ἄγαλμα ὃ κατὰ τὴν ἁγίαν Ἄνναν τὸ δεύτερον ἐπὶ κίονος ἵστατο· ὅπερ διαγγελθὲν παρὰ Καίσαρος Λέοντι τῷ φιλοσόφῳ σαφῶς διηρμήνευτο, τὸν ἐκ πρώτου ἄνακτος δεύτερον ἐκπεσεῖσθαι διὰ θανάτου. ἀλλὰ καὶ ἐσθὴς αὐτῷ ἐξαποσταλεῖσα παρὰ Θεοδώρας τῆς αὐτοῦ ἀδελφῆς τοῦ προσήκοντος μήκους ἐλλείπουσα, ᾗ τινὶ πέρδιξ χρυσόπαστος καθιστόρητο· ἣν προσδεξάμενος ἐπυνθάνετο αὐτῇ τί κεκολόβωται; ὥς οἶμαι, C φησίν, ἀμφοτέροις τὴν λύσιν προεζωγράφησε, διὰ μὲν τῆς πέρδικος τὸ πρὸς αὐτὸν δολερόν, διὰ δὲ τοῦ ἐλλιποῦς τὸ ἐλλιπὲς τῶν ἑαυτοῦ ἡμερῶν αἰνιττόμενος. καὶ ὄναρ δὲ ἐθεάσατο τοιοῦτον. ἐδόκει ἑορτασίμου ἡμέρας ὁ Καῖσαρ μετὰ τοῦ βασιλέως τῇ ἁγίᾳ τοῦ θεοῦ σοφίᾳ προσπεφοιτηκέναι καὶ συνήθους λαμπρότητος. ὡς δὲ πρὸς τὸ ἅγιον θυσιαστήριον ἦσαν, λαμπροφόροι τούτοις ἀνεφάνησαν ἄγγελοι, καὶ πρὸς τοὺς ἔσω διώπτετό τις ὑπεράνω γηραιὸς θρονιζόμενος, καὶ οὗτος Πέτρος ὁ ἀπόστολος, ᾧ Ἰγνάτιος γονυπετῶν δάκρυσιν ὑπῆν ὑπομιμνήσκων ὑπὲρ ὧν λωβηθεὶς D ὑπομεμενήκει. ὁ δὲ διὰ τὸ πάθος συνδιατεθεὶς αὐτῷ ἔφη τὴν ἐκδίκησιν ἐκ χειρὸς κυρίου ἀποίσεσθαι. καὶ εὐθὺς ἑνὶ τῶν ἱστα-

6 Ἄννην P   22 δὲ om P

Basilius venerandas cruces subscripserunt, iureiurando Caesari fidem obstringentes, omnis ut metus securus eam cum illis expeditionem susciperet. Leo autem philosophus Bardam palam monebat ne cum illis egrederetur: sin minus, reversurum non esse. (41) signa quoque eius necis secuta sunt. facto enim terrae motu statua quae ad sanctam Annam in columna secundo ordine stabat, collapsa est. rettulit Bardas Leoni philosopho, isque sic palam exposuit, ei qui a primo imperatore secundus sit, imminere ruinam mortis. sed et quod soror Theodora paludamentum miserat, iusta minus longitudine inventum, cui perdix auro intextus erat. accepta ille veste percontabatur quorsum brevior facta esset; utque existimo, vitae finem ambobus praesignabat: nempe perdicis symbolo structas ei dolo insidias, brevitate breves illius dies innuebat. sed et eiusmodi conspexit somnium. videbatur sibi Caesar cum imperatore solenni die ad sanctae dei sapientiae solito splendore ac cultu advenisse, cumque ad sanctum altare prope accessissent, angelos in candido habitu illis apparuisse. intra cancellos senior quidam solio sublimis cernebatur. erat is Petrus apostolus; cui Ignatius in genua supplex lacrimisque oppletus, quae passus ab eo erat, mala exponebat. Petrus rei acerbitate motus, virumque miseratus, "ex domini" inquit "manu, ultionem

μένων αὐτῷ δύο χρυσενδύτων ὡσεὶ πραιποσίτοις μάχαιραν ἐπιδίδωσι, καί φησιν τάχει ἐκνεύσας τὸν μὲν βασιλέα τῷ δεξιῷ ἀφώρισεν, τὸν δὲ θεόργιστον Καίσαρα, οὕτως εἰπών, τοῖς ἀριστεροῖς, καὶ διὰ ταύτης μεληδὸν τιμωρήσασθαι. οὗ δῆθεν ἐξιεμένου, καὶ περὶ τοῦ Μιχαὴλ διειρήκει τὴν τομὴν ἀπεκδέχεσθαι, ἀποκαλῶν αὐτὸν ἀσεβότεκνον.

42. *Μετὰ γοῦν τὸ πάσχα ἀπάρας ὁ βασιλεὺς μετὰ πολλοῦ*
P 448 *στρατοῦ ἦλθεν ἐν τῷ θέματι τῶν Θρακησίων, καὶ Βασίλειος κατὰ τοῦ Καίσαρος ἐμελέτα. ἦσαν δὲ ἐν τῇ βουλῇ Μαριανὸς ὁ ἀδελφὸς αὐτοῦ καὶ Συμβάτιος ὁ γαμβρὸς τοῦ Καίσαρος καὶ Βάρδας ὁ ἀδελφὸς Συμβατίου καὶ Πέτρος ὁ Βούλγαρος καὶ Λέων ὁ Ἀσσύριος ἐξάδελφος αὐτοῦ, Ἰωάννης τε ὁ Χάλδος καὶ Κωνσταντῖνος ὁ Τοξαρᾶς. διέγνω δὲ ταῦτα Ἰωάννης ὁ Νεατοκόμιτος, καὶ δηλοῖ διὰ Προκοπίου τῷ Καίσαρι. ὁ δὲ ἀντιδηλοῖ αὐτῷ "νέος εἶ, καὶ ληρεῖς ἐγείρων ζιζάνια." ἄυπνος δὲ ὁ Καῖσαρ διατελέσας,*
B *ὄρθρου βαθέος τοὺς αὐτοῦ πάντας προσκαλεσάμενος διεσάφησε τὰ λαληθέντα αὐτῷ καὶ βουλὴν ἐζήτει. Φιλόθεος δὲ ὁ πρωτοσπαθάριος καὶ γενικὸς προσφιλὴς αὐτοῦ ὢν λέγει τῷ Καίσαρι "αὔριον, δέσποτα, περιβαλοῦ τὸν χρυσοπέρσικόν σου χιτῶνα καὶ ὄφθητι τοῖς ἐχθροῖς σου, καὶ ἀπὸ προσώπου σου φεύξονται." τοῦ δὲ ἡλίου ἀνατείλαντος ἵππῳ ἐπιβὰς παρεγένετο πρὸς τὴν κόρτην τοῦ βασιλέως μετὰ στολῆς λαμπρᾶς, πολλῶν περικυκλούντων αὐτόν.*

2 *σφισὶν* margo P   *ἀφορίσαι?*   10 *τοῦ* om P   12 *Χάλδης* P   16 *βαθείας* P

nancisceris." moxque uni duorum illi adstantium, aureis vestibus praepositorum more fulgentium, gladium tradit; statimque innuens, imperatorem quidem a dextris posuit, a sinistris vero dei irae devotum, sic dictum Caesarem, aitque frustatim gladio concidendum. quo exeunte, de Michaele adiecit, ipse quoque exspectaret se concidendum; appellans improbam prolem.

42. Post pascha itaque imperator ingentibus copiis stipatus ad Thracesiorum thema venit. porro Basilius Caesaris necem machinabatur. erant autem in consilio Marianus eius frater et Symbatius Caesaris gener, Bardas quoque frater Symbatii et Petrus Bulgarus et Leo Assyrius eius consobrinus, Ioannes quoque Chaldes et Constantinus Toxaras. innotuit res Ioanni Neatocomito, nuntiatque per Procopium Caesari. cui ille vicissim "iunior es, et deliras, zizania seminans." insomnem Caesar noctem egit, summoque diluculo suis omnibus in consilium vocatis declaravit quae sibi dicta erant, rogans quid illi facto opus putarent, eorum sententiam. cui Philotheus protospatharius et generalis, Caesaris propensius amicus, "mane" inquit, "domine, auream caesii coloris chlamydem tuam induere, teque coram inimicis palam exhibe, fugientque a facie tua." orto itaque sole, conscenso equo, fulgenti habitu, ingenti satellitio Caesar ad imperatorem venit. occurrit Basi-

ἐλθὼν δὲ Βασίλειος καὶ τῇ χειρὶ κρατήσας εἰσήγαγε πρὸς τὸν βασιλέα. ὁ δὲ τῷ βασιλεῖ ἔφη "τοῦ λαοῦ παντός, δέσποτα, συνειλεγμένου πρόσταττε διαπερᾶσαι ἐν τῇ Κρήτῃ." καὶ εὐθὺς ὁ C Βασίλειος ὄπισθεν ἑστὼς δίδωσιν αὐτῷ μετὰ ξίφους. οἱ δὲ λοιποὶ μεληδὸν αὐτὸν κατέκοψαν, τοῦ βασιλέως βλέποντος καὶ σιωπῶντος. ἦν δὲ ὡσεὶ ὥρα τρίτη. καὶ εὐθὺς ὑποστρέφουσι πρὸς τὴν πόλιν. ἐλθόντων δὲ αὐτῶν κατὰ τὸ ἐμπόριον τοῦ Ἀκρίτα, μοναχός τις ἐφ' ὑψηλῆς τῆς πέτρας ἐπεφώνει μεγάλως τῷ βασιλεῖ "καλὸν ταξείδιον ἐποίησας, ὦ βασιλεῦ, τὸν ἴδιόν σου καὶ συγγενῆ ἀνελών. οὐαί σοι, ὅτι ταῦτα ἐποίησας." θυμωθεὶς δὲ ὁ βασιλεὺς καὶ ὁ Βασίλειος πέμπουσιν ἀνελεῖν τὸν μοναχόν. οἱ δὲ παρατυχόντες ἔπεισαν τὸν ἀποσταλέντα ἄνουν καὶ δαιμονῶντα D εἶναι τὸν μοναχόν. διὸ καὶ μόλις παρῆλθεν ὁ μοναχὸς τῆς τιμωρίας.

43. Τῇ δὲ ἁγίᾳ πεντηκοστῇ ἔστεψεν ὁ βασιλεὺς Μιχαὴλ καὶ Φώτιος πατριάρχης ἐν τῇ ἁγίᾳ Σοφίᾳ Βασίλειον τὸν παρακοιμώμενον εἰς βασιλέα, τόμον ἀναγνοὺς διὰ Κάστορος ἀσηκρῆτις ἔχοντα οὕτως. "Βάρδας ὁ Καῖσαρ ἐβουλεύσατο ἀνελεῖν με, καὶ διὰ τοῦτο ὑπεξήγαγέ με τῆς πόλεως· καὶ εἰ μὴ διὰ Συμβατίου καὶ Βασιλείου ἐμηνύθη μοι, οὐκ ἐν τοῖς ζῶσιν ἤμην. ὅθεν καὶ ἐτελεύτησεν ὑπὸ τῆς ἰδίας ἁμαρτίας. θέλω δὲ Βασίλειον τὸν παρακοιμώμενον, ὡς πιστὸν ὄντα καὶ φυλάττοντα τὴν ἐμὴν βασιλείαν καὶ τοῦ ἐχθροῦ ἐλευθερώσαντά με καὶ πόθον πρός με πολὺν ἔχοντα,

lius, manuque apprehensum ad sacrum intus cubiculum adduxit, aitque imperatori "collecto, domine, omni exercitu, iube in Cretam transfretare." moxque Basilius a tergo stans Caesari ensem adigit. reliqui membratim conciderunt, spectante imperatore ac conticente. hora erat fere tertia; statimque in urbem revertuntur. cumque ad emporium Acrita venissent, monachus quidam ex alta rupe imperatori elata firmaque voce clamabat "egregia sane, imperator, tua haec expeditio, quod necessarium tuum ac cognatum occidisti. vae tibi, qui haec feceris." iratus imperator et Basilius mittunt qui monachum occisuri essent. verum qui aderant, ei qui missus spiculator erat monachum dementem esse actumque a daemone etiam atque etiam asseverant; quo factum est ut vix tandem ille poenam evaderet.

43. Per sancti autem diei pentecostes solennia Michael imperator Photiusque patriarcha in S. Sophiae Basilium accubitorem imperatorem crearunt, lecto tomo per Castorem a Secretis, in haec verba "Bardas Caesar mihi necem machinatus est, inque eam rem malo dolo eduxit ex urbe; ac nec inter vivos numerarer, nisi a Symbatio et Basilio mihi nuntiatum fuisset. quapropter etiam suo ille scelere mortuus est. Basilium autem accubitorem velut fidelem meaeque maiestatis servatorem, quique ab hoste me liberaverit atque ingenti amore prosequatur, custo-

P 449 εἶναι φύλακα τῆς ἐμῆς βασιλείας καὶ προνοητήν, καὶ ὑπὸ πάντων εὐφημεῖσθαι ὡς βασιλέα." καὶ εὐφήμησαν πάντες "Μιχαὴλ καὶ Βασιλείου πολλὰ τὰ ἔτη." ὁ δὲ τὸν τόμον ἀναγνοὺς Κάστωρ ὁ ἀσηκρῆτις ἐξελθὼν ἐν Νικομηδείᾳ καὶ ἐλθὼν εἰς μονὴν ἀνδρῴαν ἔμεινεν μέσον λιβαδίου. ἦν δὲ ἐκεῖσε φρέαρ, καὶ πεσὼν ἐν αὐτῷ ἀπεπνίγη.

44. Συμβάτιος δὲ ὁ γαμβρὸς τοῦ Καίσαρος, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ Βασιλείου, εἰς μῖσος αὐτοῦ κινεῖται· καὶ συμβουλευσάμενος μετὰ Γεωργίου τοῦ Πηγάνη αἰτεῖται στρατηγὸς B προβληθῆναι, καὶ γίνεται. ἀντ' αὐτοῦ δὲ προβάλλεται λογοθέτης τοῦ δρόμου ὁ Γοῦμερ. καὶ ἐξελθόντες ἅμα ὅ τε Συμβάτιος καὶ ὁ Πηγάνης καταστρέφουσι τὸν λαὸν καὶ πυρπολοῦσι τὰς χώρας (ἦν γὰρ καιρὸς τοῦ θέρους), εὐφημοῦντες Μιχαὴλ μόνον, τὸν δὲ Βασίλειον ἀποκηρύττοντες. τοῦτο μαθόντες οἱ βασιλεῖς γράφουσι τοὺς λοιποὺς στρατηγοὺς καταπολεμῆσαι αὐτούς. Νικηφόρος δὲ ὁ Μαλεΐνος ἔρριψεν ἔγγραφα μετὰ παντὸς τοῦ λαοῦ, ἵνα δόλῳ τούτους κρατήσωσι καὶ μὴ εἰς ἐμφύλιον ἐμπέσωσι πόλεμον. κρατεῖται οὖν ὁ Πηγάνης, καὶ εἰσαχθεὶς ἐν τῇ πόλει ἀπο- C τυφλοῦται, καὶ καθίζουσιν αὐτὸν ἐν τῷ Μιλίῳ προσαιτεῖν. κρατεῖται δὲ καὶ ὁ Συμβάτιος παρὰ τοῦ Μαλεΐνου εἰς Κελτζινήν· καὶ εἰσαχθέντος εἰς τὸν ἅγιον Μάμαντα, φέρουσιν τὸν Πηγάνην μετὰ θυμιάματος ὀστρακίνου καπνίζοντα θέαφον, καὶ ἀπαντᾷ καὶ θυμιᾷ τὸν Συμβάτιον. ἀποτυφλοῦται δὲ καὶ αὐτὸς τὸν ἕνα

dem esse volo ac curatorem mei imperii, quem tanquam imperatorem omnium iubeo praeconio laudari." faustis itaque omnes vocibus ac ominibus acceperunt; "Michaelis et Basilii multi anni." qui autem tomum legerat, Castor a secretis, egressus Nicomediam, ad virorum monasterium quoddam cum venisset, ac quo loco puteus erat in medio prati constitisset, in eum praeceps factus suffocatus est.

44. Symbatius autem Caesaris gener, illusum se a Basilio videns, odio in illum incitatur; initoque cum Georgio Pegane consilio armata se militia ducem praefici rogat, et vero obtinet. eius vero loco Gumer dromi logotheta provehitur. egressi itaque simul Symbatius ac Peganes, aversis militum animis, agros igni vastant (erat enim aestivum tempus), Michaeli solum fausta acclamantes, Basilium vero abdicantes. audierunt imperatores, ducesque reliquos arma in eos sumere datis literis iubent. Nicephorus vero Maleinus per omnes late ordines proiectis schedulis dolo capiendos rebelles monet, caveantque ne iis bellum civile confletur. capitur ergo Peganes, et in urbem inductus oculis orbatur, atque in Milio ad emendicandam stipem collocatur. capitur vero etiam Symbatius a Maleino ad Celtzinem; inductoque ad S. Mamantis Symbatio, adducunt Peganem caecum cum turibulo testaceo adolentem sulfur; factusque obviam Symbatio adolet. caecatur vero etiam Symbatius altero

ὀφθαλμόν, καὶ ἐκκόπτουσι τὴν δεξιὰν αὐτοῦ χεῖρα, καὶ καθίζουσι καὶ αὐτὸν εἰς τὰ Τζαύσου προσαιτεῖν, καὶ μεθ' ἡμέρας τρεῖς ἄγουσιν αὐτοὺς ἐν τῇ πόλει εἰς τοὺς ἰδίους οἴκους.

45. *Ἐκβάλλει οὖν ὁ βασιλεὺς Μιχαὴλ διὰ τοῦ μηχανικοῦ τοῦ λεγομένου Λάμαρι Κωνσταντῖνον τὸν Καβαλῖνον ἐκ τοῦ τάφου, καὶ Ἰωάννην τὸν ἀσεβῆ πατριάρχην μετὰ τοῦ ὠμοφορίου καὶ* D *αὐτὸν ἐκ τοῦ τάφου, καὶ κατακλείει διὰ τοῦ ὑπάρχου ἐν τῷ πραιτωρίῳ, καὶ ἐν ἡμέρᾳ ἱππικοῦ ἀγαγὼν καὶ ἀπογυμνώσας ἔτυψε μαγγλάβια, καὶ τὰ ὀστᾶ αὐτῶν ἔκαυσεν ἐν τοῖς Μαυριανοῦ. τὴν δὲ λάρνακα τοῦ Κοπρωνύμου πράσινον οὖσαν καὶ θαυμαστὴν διαπρίσας ἐποίησε στήθεα ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι ναῷ ἐν τῷ παλατίῳ τοῦ Φάρου.*

46. *Τῷ δὲ Σεπτεμβρίῳ μηνὶ τῆς ιε' ἐπινεμήσεως ἐγεννήθη Κωνσταντῖνος ὁ βασιλεὺς ἐκ Μιχαὴλ καὶ Εὐδοκίας τῆς Ἰγγηρίνης ἔτι περιόντος τοῦ Μιχαήλ· καὶ ἱππικοῦ γενομένου ἐν τῷ* P 450 *ἁγίῳ Μάμαντι ἵππευσεν ὁ βασιλεὺς βένετος, Κωνσταντῖνος δὲ ὁ ἐξ Ἀρμενίων ὁ πατὴρ Θωμᾶ πατρικίου καὶ Γενεσίου δρουγγαρίου τῆς βίγλας λευκός, πράσινος δὲ Ἀγαλλιανὸς καὶ ῥούσιος ὁ Κρασσός. νικᾷ δὲ ὁ βασιλεύς. καὶ τί συμβαίνει ἐντεῦθεν; καὶ τοῦτο γὰρ τῆς αὐτοῦ τοῦ βασιλέως τοῦ Μιχαὴλ κακίας ἐστίν, εἰς ὅσον τὴν τῶν Ῥωμαίων ἰσχὺν ἠλάττωσεν. ὁ φιλόσοφος Λέων ὁ Θεσσαλονίκης γενόμενος πρόεδρος, τῷ βασιλεῖ Θεοφίλῳ συμβουλεύσας, ὡς ὡρολόγια ἐποίησεν δύο ἐξ ἴσου κάμνοντα· καὶ τὸ μὲν ἐν*

oculo, ac dextra illi manus abscinditur; quem et ipsum ad Tzausae aedes ad stipem petendam statuunt; ac post tres dies in suas illos aedes in urbe adducunt.

45. Michael imperator Constantini Cabalini cadaver per machinatorem Lamari nomine ex sepulcro eiectum, impiumque patriarcham Ioannem cum humerali (pontificio amictu) e sepulcro eductum, per praefectum in praetorio inclusit; ac quo die Circenses agebantur, adductos nudatosque verberibus affecit, tumque illorum ossa ad Mauriani aedes combussit. Copronymi vero urnam ex marmore viridi miro opere fabricatam serra secans, inde columellas fecit in templo abs se aedificato in Phari palatio.

46. Mense Septembri, indictione quinta decima, natus est Constantinus ex Michaele imperatore et Eudocia Ingerina, cum adhuc Michael superstes esset. exhibitoque Circensium munere ad S. Mamantis, imperator venetus equitavit, Constantinus vero Armeniacus, Thomae patricii ac generalis excubiarum drungarii pater, albus, Agallianus prasinus, Crassus russius. eo certamine imperator victor exiit. inde vero quid accidit? nam et hoc Michaelis imperatoris vecordiae specimen, quod sic Romanorum robur imminuit. Leo philosophus, qui Thessalonicensis antistes fuit, Theophilo imperatori auctor fuerat ut duo horologia fabricaret, quorum esset eadem vis eodemque ferentia; atque unum quidem

B ἐπὶ τῷ φρουρίῳ τῷ κατὰ Κιλικίαν τῇ Ταρσῷ πλησιάζον ἀπέθετο, τὸ δὲ ἕτερον ἐν τῷ παλατίῳ ἐφυλάττετο, ἅπερ εἶχον γεγραμμένα εἰς ἑκάστην ὥραν τὰ ἐν Συρίᾳ γενόμενα, οἷον τὴν πρώτην ὥραν εἰ ἐκδρομὴ τῶν Σαρακηνῶν γέγονε, τὴν β' εἰ πόλεμος, τὴν γ' εἰ ἐμπρησμός, τὴν δ' εἰ ἄλλο τι, καὶ εἰς τὰς λοιπὰς ὁμοίως. ἐκ τῶν γεγραμμένων οὖν δώδεκα ὑποθέσεων εἴ τι κἂν συνέβη ἐν Συρίᾳ, ἐν τῇ ὥρᾳ ἐν ᾗ ἡ ὑπόθεσις γέγονεν, ἀνάπτων ἀπὸ τῶν ἐκεῖσε φανός, ἐπεὶ καὶ οἱ φυλάσσοντες καὶ ἀτενῶς καὶ ἀκριβῶς βλέπον-
C τες τὰ τετυπωμένα ἐν αὐτοῖς ἦσαν, μετεδίδοτο εὐθὺς ὁ φανὸς ἀπὸ τοῦ φρουρίου τοῦ λεγομένου Λούλου τοῖς κατὰ τὸν Ἀργαίαν βουνὸν καὶ αὖθις τοῖς κατὰ τὴν Σάμον καὶ τοῖς κατὰ τὸ Αἴγιλον, εἶτα τοῖς κατὰ τὸν Μάμαντα πάλιν βουνόν, ἀφ' οὗ ὁ Κύριζος, εἶτα ὁ Μώκιλος, ἀφ' οὗ ὁ τοῦ ἁγίου Αὐξεντίου βουνὸς τοῖς ἐν τῷ παλατίῳ κατὰ τὸν ἡλιακὸν τοῦ Φάρου διαιταρίοις ἀφωρισμένοις ἐν βραχεῖ ἐποίει φανερόν. ἱππευομένῳ οὖν τῷ βασιλεῖ Μιχαήλ, ὡς εἴρηται, ὁ φανὸς ἐσήμανεν ἐκδρομὴν τῶν Σαρακηνῶν. αὐτὸς
D πρὸς τὸ μὴ τοὺς θεατὰς τοῦ ἱπποδρόμου χαλαρωτέρους τῇ αὔριον γενέσθαι, προσέταξεν μηκέτι τοιούτους φανοὺς ἐνεργεῖν.

47. Ὡς οὖν εἴρηται, νικήσαντος τοῦ βασιλέως ἐπὶ δεῖπνον καθέσθη ἅμα Βασιλείῳ καὶ Εὐδοκίᾳ, Βασιλισκιανὸς ὁ πατρίκιος ἐπῄνει τὸν βασιλέα ὡς εὐφυῶς ἐλάσαντα εἰς τὸ ἅρμα. εὐθὺς οὖν κελεύει τοῦτον ὁ βασιλεὺς ἀναστῆναι, τὰ τζάγγια δὲ αὐτοῦ σῦραι

11 Ἴσαμον margo P

in praesidio versus Ciliciam haud longe a Tarso collocavit, alterum in palatio servabatur. scripta erant in singulas horas quae fiebant in Syria: puta ad primam, si fuisset Saracenorum excursio; ad secundam, si commissum praelium; ad tertiam, si excitatum incendium; ad quartam, si quid aliud; ac similiter in reliquis. ex scriptis igitur duodecim numeris et argumentis, si quid in Syria contigisset, qua hora consignatum erat, a loci praesidiariis e sublimi accensus ignis monstrabat. custodes enim erant, qui rem attente ac diligenter dispicerent. accensus ignis a praesidio quod Lulum vocant, Argaei collis incolis commonstrabat, rursusque iis qui in Isamo et his qui in Aegilo; secundum hos iis qui apud Mamantem collem; exinde Cyrizus, tum Mocilus, inde S. Auxentii collis his qui in palatio ad solare Phari horologium perpetui vigiles constituti erant, quam cito manifestum reddebat. sic itaque Michaele, uti dictum est, ex Circensium ratione equos agitante, sublatus ignis Saracenorum excursionis signum dedit. imperator, ne in posterum eiusmodi ignes molestius spectatores haberent, e vicinis urbi speculis deinceps accendi vetuit.

47. Cum igitur imperator equestri certamine victor una ipse cum Basilio et Eudocia ad cenam sederet, Basiliscianus patricius imperatorem laudabat ut qui scite ac solerter currum rexisset. mox igitur iubet imperator eum surgere; detractisque eius rubeis calceis sibi eos induere.

καὶ ἑαυτῷ ὑποδῆσαι. τοῦ δὲ ἀνανεύοντος καὶ πρὸς Βασίλειον βλέποντος, ἐπεὶ ὁ βασιλεὺς μετὰ θυμοῦ προσέταξεν καὶ ὁ Βασίλειος ἐπένευσεν, ὑπέδησεν τὰ αὐτά. καὶ λέγει ὁ βασιλεὺς μεθ᾽ ὅρκου πρὸς Βασίλειον "κάλλιον αὐτῷ πρέπουσιν. καὶ γὰρ οὐκ ἔχω ἐξουσίαν, ὡς σὲ βασιλέα ἐποίησα, καὶ ἄλλον ποιῆσαι." καὶ ὠργίζετο κατὰ Βασιλείου θυμούμενος. δακρύουσα δὲ ἡ Εὐδοκία ἔφη P 451 *τῷ βασιλεῖ "τὸ τῆς βασιλείας σου ἀξίωμα, δέσποτά μου, μέγα ἐστίν, ᾧ ἀναξίως καὶ ἡμεῖς ἐτιμήθημεν· καὶ οὐ δίκαιόν ἐστι καταφρονεῖσθαι αὐτό." καὶ τῷ Βασιλείῳ ἔφη "μὴ λυποῦ ἐπὶ τούτῳ· καὶ τὸν Βασιλισκιανὸν βασιλέα θέλω ποιεῖν." καὶ πρὸς τοὺς παρόντας εἶπεν "ἆρα οὐ πρέπει αὐτὸν εἶναι βασιλέα;*

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος,
τὸ δεύτερον δὲ συμφυὲς πέλει στέφος.
ἅπαντα δ᾽ ἁρμόζουσι πρὸς τὴν ἀξίαν.

καὶ ὅτι πόσον οὖν κάλλιον τοῦτόν με ποιῆσαι βασιλέα!" Βασίλειος δὲ ἐν θυμῷ καὶ λύπῃ μεγάλῃ γέγονεν.

48. *Ἐξελθόντος δὲ τοῦ βασιλέως εἰς κυνήγιον, μοναχός* B *τις δέδωκεν αὐτῷ χαρτίον ἔχον τὴν κατ᾽ αὐτοῦ μελετωμένην ὑπὸ βασιλέως ἐπιβουλήν, ὥς τινι τῶν ὑπασπιστῶν προσέταξεν ὁ βασιλεὺς τὴν λόγχην κατὰ τοῦ Βασιλείου ῥῖψαι. κατὰ δὲ τὸν καιρὸν τοῦ δείπνου, οὐ μόνον τοῦ νῦν ἀλλὰ καὶ τῶν ἄλλων, ἀφ᾽ οὗ τῷ οἴνῳ ἐμεθύσθη, πέρα δεινῶν ἐνεκελεύετο, ἀφαιρέσεις ὤτων καὶ*

1 ὑποδήσασθαι Georg. 3 ὑπεδήσατο Idem

renuebat ille coniectis in Basilium oculis. quod tamen imperator ira percitus iusserat, annuitque Basilius, imperatorias ocreas sibi imposuit. aitque imperator Basilio, deum obtestans, "magis illi conveniunt. an enim non licet, sicut te imperatorem creavi, etiam alium creare?" fremebatque ira commotus in Basilium. Eudocia vero in lacrimas effusa "imperii tui dignitas magna est" aiebat imperatori, "eaque nos supra meritum ornati sumus, nec par est ut despicatui habeatur." tumque is Basilio ait "ne moleste rem habeas, etiam Basiliscianum imperatorem facere volo." conversusque ad adstantium coronam "num, rogo," ait, "non decet hunc fore imperatorem?

primum corona, forma digna regia,
deinde cognatum diadema est huic viro,
suntque omnia dignitati convenientia.

et quam praestabat ut hunc imperatorem facerem?" porro Basilium rei indignitate ingens ira animique dolor incessit.

48. Egresso imperatore ad venandum, monachus quidam data charta Basilium monet structas ei ab imperatore insidias, nempe satellitum uni praecepisse ut contorta hasta Basilium traiiceret. per cenae autem tempus (nec tunc modo, sed et alias, ubi se vino ingurgitaverat) modum omnem numerumque excedentia mala imperabat, ita ut alii au-

ῥινῶν καὶ κεφαλῶν ποιούμενος· καὶ εἰ μή τινες οἴκτῳ κρατούμενοι
C τούτων παρημέλουν καὶ πρὸς τὴν αὔριον ἔπεμπον, ἀνάκλησίν τινα
καὶ μεταμέλειαν ἐκδεχόμενοι, ὅπερ ἦν, ἀπώλετο ἂν σύμπας ὁ
παραμένων τῷ Μιχαήλ. ἀλλὰ καὶ Βασίλειος οὐκ ὀλιγάκις παροι-
νίας παίγνιον γεγονὼς ἐκαρτέρει καὶ ἔμενεν μετάμελόν τινα γενέ-
σθαι κατὰ τὸν ἄνδρα. ὀψὲ γοῦν τοῖς πράγμασιν ὑποβλεπόμενος
προλαμβάνειν ἐσπούδασεν μᾶλλον ἢ ὑπ᾽ αὐτοῦ ἀναιρεθῆναι. τῆς
δὲ μητρὸς τοῦ Μιχαὴλ Θεοδώρας καλεσάσης τὸν βασιλέα εἰς τὰ
Ἀνθεμίου, ὁ Βασίλειος συνεσκεύαζε τὸ κατὰ Μιχαήλ. εἶτα ἐπὶ
δεῖπνον τοῦ βασιλέως καθεσθέντος, προσεκαλέσατο Εὐδοκίαν καὶ
D Βασίλειον τοῦ συνδειπνῆσαι αὐτῷ. τοῦ δὲ βασιλέως οἴνῳ πολλῷ
χρησαμένου, ἀναστὰς Βασίλειος ὡς διά τινα χρείαν, ἀπελθὼν ἐν
τῷ κοιτῶνι τοῦ βασιλέως διαστρέφει τὰ κλεῖθρα τῶν θυρῶν δυνα-
τὸς ὤν, ὡς μὴ κλείεσθαι τὰς θύρας· καὶ ἀπελθὼν πάλιν συνε-
δείπνει τῷ βασιλεῖ. εἶτα ἀναστὰς ὁ βασιλεὺς Μιχαήλ, τῇ πολλῇ
μέθῃ μὴ δυνάμενος περιπατεῖν, χειροκρατούμενος ὑπὸ τοῦ Βασι-
λείου ἀπῆλθεν ἐν τῷ κοιτῶνι αὐτοῦ. οὗ τὴν χεῖρα φιλήσας ἐξῆλθε
Βασίλειος. ἔνδοθεν δὲ τοῦ κοιτῶνος ἦν Βασιλισκιανὸς τῇ κελεύσει
τοῦ βασιλέως ὑπνώσας ἐν τῇ κλίνῃ Ῥεντακίου τοῦ παρακοιμωμένου
P 452 πρὸς παραφυλακὴν αὐτοῦ. ὁ δὲ κοιτωνίτης Ἰγνάτιος ἀπελθὼν
κλεῖσαι αὐτοῦ τὴν θύραν τοῦ κοιτῶνος εὗρεν αὐτὴν διεστραμμένην,
καὶ ἀπογνοὺς ἐκαθέσθη ἐπὶ τῆς κλίνης τίλλων τὰς τρίχας αὐτοῦ.

res, alii nares, alii caput auferret. ac nisi quidam procliviore misericordia haec negligentius tractassent inque crastinum remisissent, revocanda severiora mandata eorumque paenitudine ductum iri saniore mente imperatorem exspectantes (quae nec exspectatio plerumque fallebat), merentium in aula nemo immunis exstitisset. quin et Basilius non raro eius ex vino furoris ludicrum factus, sustinebat ipse et exspectabat mutatum aliquid iri. in eam tamen ductus suspicionem, fore tandem ut paenitendum aliquid rebus suis accideret, occupare satius duxit quam ut se ab eo interfici sineret. invitato itaque Michaele a matre Theodora ad Anthemii aedes, Basilius coniurationem subornabat. exinde illo ad cenam sedente, Basilium invitavit et Eudociam, ut cum eo cenarent. multo autem iam vino ingurgitato imperatore, surgens Basilius velut necessarii cuiusdam muneris explendi gratia, in sacrum irrumpens cubiculum ianuarum seras turbavit, cum robustus esset, ut claudi fores non possent; iterumque reversus ad mensam imperatori cenae socius resedit. deinde surgens Michael, cum prae multo vino incedere non posset, manum tenente Basilio ac fulciente in secretius cubiculum se recepit. Basilius eius deosculatus manum abiit. in eius cubiculo ipso illius iussu Basiliscianus in Rentacii accubitoris lecto, sic pro custodis munere, dormiebat. Ignatius autem cubicularius ad cubiculi ianuas observandas progressus obturbatas offendit. quare in desperationem actus, vellens ca-

τοῦ δὲ βασιλέως ἐξ οἴνου ὕπνον θανάτῳ παραπλήσιον κοιμωμένου, ἀθρόον ἐλθὼν Βασίλειος μετὰ καὶ ἑταίρων τὰς θύρας ἀνέῳξε. καὶ ἔμφοβος ἐξῆλθεν Ἰγνάτιος ἀνθιστάμενος τῷ Βασιλείῳ μὴ εἰσελθεῖν. ἐν τούτῳ ἔξυπνος γίνεται ὁ βασιλεύς, καὶ παρευθὺ Ἰωάννης ὁ Χάλδος κόπτει τὰς χεῖρας αὐτοῦ. ὁ δὲ ἀπελάτης Ἰακωβίτζης τὸν Βασιλισκιανὸν ξίφει τρώσας ἔρριψεν ἀνωκάτω. τῶν B δὲ λοιπῶν ἱσταμένων ἔξω πρὸς παραφυλακήν, ἐπεὶ ἀμφότεροι ἡνώθησαν, Ἀσυλαίων ἔφη πρὸς Βασίλειον "εἰ καὶ τὰς χεῖρας αὐτοῦ ἐκόψαμεν, ὅμως ζῶντα αὐτὸν εἰάσαμεν. καὶ ἐὰν ζῇ, τί ἀπολογησόμεθα;" καὶ ὑποστρέψας πήσσει τὸ ξίφος κατὰ τῆς καρδίας τοῦ βασιλέως καὶ διαχέει τὰ ἔγκατα αὐτοῦ. κλύδωνος δὲ ὄντος ἐν τῇ θαλάσσῃ συναθροισθέντες ἦλθον μέχρι τοῦ περάματος, καὶ ἀνελθόντες διὰ τοῦ τείχους ἦλθον ἕως τοῦ παλατίου. πλὰξ δὲ ἦν φράσσουσα τὸ τεῖχος· καὶ κρατήσας Βασίλειος δύο τῶν μετ' αὐτοῦ καὶ λακτίσας κατέαξε τὴν πλάκα, καὶ εἰσῆλθεν μέχρι τῆς πύλης τοῦ παλατίου. Εὐλόγιος δὲ ὁ Πέρσης συνὼν C τῷ Βασιλείῳ ἐλάλησε τῇ αὐτοῦ γλώττῃ Ἀρδαβάσδῳ ἑταιρειάρχῃ, ὡς ὁ Μιχαὴλ ξίφει ἐτελεύτησεν, καὶ ἄνοιξον τὸν Βασίλειον. ὁ δὲ Ἀρδάβασδος δραμὼν πρὸς τὸν παπίαν, καὶ ἄρας ἀπ' αὐτοῦ τὰς κλεῖς βιαίως, ἤνοιξεν. καὶ γενόμενος ἔνδον Βασίλειος ἦρε τὰς κλεῖς τοῦ παλατίου ἐπὶ χεῖρας. ταῦτα δὲ γέγονε κατὰ τὴν τρίτην ἡμέραν ἐν τῷ ‚ςτξβʹ ἔτει, καὶ νυκτὸς τρίτης ὥρας, ἐπινεμήσεως αʹ, καθ' ἣν ἐπιφώσκουσαν εἶχεν ἡμέραν Θέκλας τῆς πρωτομάρτυρος.

pillos in lectulo sedebat. Michaele autem ex vini crapula somnum vicinum morti dormiente, Basilius coniuratis stipatus repente irrumpens fores aperuit. Ignatius metu conterritus, ut Basilium ingressu arceret, in occursum venit. in his expergiscitur imperator, confestimque Ioannes Chaldus manibus obtruncat. Apelates autem Iacobitzes Basiliscianum ense vulneratum e lecto in pavimentum excussit. reliquis autem foris stantibus ad excubias, cum utrique coivissent, ait Asylaeo ad Basilium "quanquam illi manus praescidimus, vivum tamen eum reliquimus; ac si vixerit, quid excusabimus?" reversus itaque, adacto in imperatoris pectus stricto gladio, illius viscera effundit. cum vero mare fluctibus iactaretur, uno agmine usque ad fretum venerunt; conscensoque muro ad palatium usque evaserunt. erat autem asser obducens murum, quem Basilius duorum sodalium nixus manibus impacta calce confregit, et ad fores usque palatii evasit. Eulogius Persa, ipse Basilio comes, Ardabasdum foederatorum comitem lingua propria allocutus, Michaelem gladio occisum significavit ac Basilio aperire iussit. Ardabasdus vero ad papiam currens, eique clavibus vi ablatis, aperuit. intro autem receptus Basilius ipse claves in manibus tulit. gesta haec feria tertia, anno 6362, noctis hora tertia, indictione prima, qua dies festus sanctae protomar-

καὶ τῇ ἕωθεν Γρηγόριον τὸν Φιλήμονος ἐποίησε παπίαν· καὶ D παρευθὺ ἀποστέλλει ἐν τῷ ἁγίῳ Μάμαντι, καὶ εἰσάγει Εὐδοκίαν τοῦ Ἴγγηρος μετὰ δόξης πολλῆς ἐν τῷ παλατίῳ. ἀπέστειλε δὲ καὶ Ἰωάννην πραιπόσιτον τοῦ ἀπαγάγαι τὴν Δεκαπολίτισσαν πρὸς τοὺς ἰδίους γονεῖς, καὶ Παῦλον ἐπὶ τοῦ κοιτῶνος τοῦ ἐνταφιάσαι τὸν Μιχαήλ· ὃς ἀπελθὼν εὗρεν αὐτὸν ἐντετυλισμένον ἐν τῷ σαγίσματι τοῦ δεξιοῦ αὐτοῦ ἵππου, οὗ ἤλαυνε, καὶ τὴν μητέρα καὶ τὴν ἀδελφὴν αὐτοῦ θρηνούσας καὶ ἐλεεινολογουμένας αὐτόν. καὶ εἰσαγαγὼν εἰς πλοιάριον διεπέρασεν ἐν τῇ μονῇ τῆς Χρυσοπόλεως, καὶ ἔθαψεν αὐτόν.

P 453 *Κόσμου ἔτος ͵στξβʹ, τῆς θείας σαρκώσεως ἔτει ͵ωξβʹ, Ῥωμαίων βασιλεὺς Βασίλειος ὀρθόδοξος ἔτη ιθʹ. ἦν δὲ οὗτος τὴν μὲν μορφὴν τοῦ σώματος ἀνθηρότατος, εὐεκτικός, σύνοφρυς, εὐόμματος, σκυθρωπός, μελανόχρους, τὴν ἡλικίαν μέσος τοῦ εὐμήκους, B τὰ στέρνα πλατύς, κατηφής, καὶ ὡς ἄν τις εἰκάσῃ, τῶν ἑαυτοῦ συλλογιζόμενος. ὥρμητο δὲ ἀπὸ Ἀδριανουπόλεως τῆς Μακεδονίας, ἥτις πρότερον μὲν Ὀρεστιὰς ἐκαλεῖτο ἐξ Ὀρέστου υἱοῦ Ἀγαμέμνονος, ὃς ζήλῳ δικαίῳ διὰ τὴν πρὸς τὸν πατέρα Κλυταιμνήστρας δολοφονίαν ταύτην σὺν Αἰγίσθῳ ἀπεκτονηκὼς λίαν ἐκμέμηνεν, καὶ ἐν τῇ συνελεύσει Ἕβρου Ἄρξου τε καὶ Ἀρτάβου τῶν τριῶν ποταμῶν λουσάμενος τῆς νόσου ἀπήλλακτο· ἔνθα ταύτην οἰκοδο-*

1 τοῦ P 5 καὶ om P

tyris Theclae illucescebat. mane autem Gregorium Philemonis dictum instituit papiam; statimque mittens ad S. Mamantis, ingenti pompa in palatium induxit Eudociam Ingerinam. misit vero etiam Ioannem praepositum, qui Decapolitae filiam Eudociam ad parentes suos reduceret. Paulum item cubicularium misit ad curandum Michaelis funus. is ubi venit, illius cadaver dextri sui equi, quem agebat, stragulo involutum invenit, matrem quoque ac sororem lugentes naeniaque super illo plangentes; inducensque in naviculam ad Chrysopolis monasterium traiecit ac ibi sepelivit.

Mundi annus 6362, divinae incarnationis anno 862, Romanorum imperator Basilius orthodoxus, annos 19. erat autem Basilius florentissima corporis forma, corpulentus, superciliosus, magnis oculis, lato pectore, submorosior, et ut quis coniecerit, suarum rerum cura animo cogitabundus ac frontosior, Adrianopoli Macedoniae oriundus. haec prius Orestias ab Oreste Agamemnonis filio dicebatur; qui nimirum iusta aemulatione, iccirco quod Clytaemnestra patrem dolo occiderat, eadem cum Aegistho necata in furorem ingentemque rabiem actus est, atque in Ebri Arxique atque Artabi (trium scilicet fluminum) confluente lavans

μήσας ἐπὶ τῷ ἰδίῳ ὀνόματι κέκληκεν. Ἀδριανὸς δὲ Καῖσαρ εὐκτί-
στοις ἐρύμασιν αὐτὴν μεγαλύνας πόλιν Ἀδριανοῦ μετακέκληκεν.
αὕτη τρίτης ἡμέρας παρὰ ἀνδρὸς εὐπετοῦς ἐν διόδῳ Φιλιππουπό- C
λεως σταδιάζεται, ἠγκαλισμένη ὄρει τῷ Αἵμῳ, παρ' ᾧ οἱ τρεῖς
ποταμοὶ ἐς μισγάγκειαν οἷον συμβάλλετον ὄμβριμον ὕδωρ.

2. Οὗτος ὁ βασιλεὺς προστάσσει Μαριανῷ ἐπάρχῳ τῷ
υἱῷ Πετρωνᾶ, καὶ ἀναγορεύει αὐτὸν μόνον βασιλέα. Ὠορύφας
δὲ τοῦ πλωΐμου στρατηγὸς χρηματίζων καὶ καθηγεμών, συνεὶς τὸ
πραχθὲν παρὰ Βασιλείου καὶ φιλοδέσποτος ὤν, πρὸς ἐκδίκησιν
Μιχαὴλ βασιλέως κεκίνηται. τοῦτον μετακαλεῖται ὁ αὐτοκράτωρ,
καὶ τὰ μὲν πρῶτα λόγοις αὐτῷ ἐφυβρίστοις ἐπαπειλεῖ, ἔπειτα ἀπο-
δοχῆς ἀξιοῖ ἀνθ' ὧν ὑπὲρ δεσπότου τοιαῦτα τετολμηκέναι προῄ- D
ρηται. ἀλλὰ δὴ καὶ χρόνου προβεβηκότος ἐπ' αὐτῷ τοσοῦτον
πεπληροφόρηται ὥστε καταλιμπάνειν αὐτῷ τὴν πόλιν ἐξιὼν κατ'
ἐχθρῶν.

3. Ἀναγκαῖον δέ ἐστι καὶ παρὰ θεοῦ γενομένην ἐκδίκησιν
εἰς τοὺς τὸν Μιχαὴλ διαχειρισαμένους γράψαι. ὁ μὲν οὖν Ἰακω-
βίτζης κυνηγῶν μετὰ τοῦ βασιλέως, καὶ τοῦ ξίφους αὐτοῦ ἐκπε-
σόντος, καὶ αὐτοῦ μέλλοντος κατελθεῖν εἰς τὸ ἆραι αὐτόν, ὁ ποῦς
αὐτοῦ ἐν τῇ σκάλῃ ἐκρατήθη, καὶ θροηθεὶς ὁ ἵππος ἔσυρεν αὐτὸν
κατὰ φαράγγων καὶ κρημνῶν καὶ μεληδὸν κατέκοψεν. Ἰωάννης
δὲ ὁ Χάλδος στρατηγὸς Χαλδίας γενόμενος, ἐπεὶ κατὰ τοῦ βασι- P 454

2 Ἀδριανὸς P

morbo solutus est. Adrianus vero Caesar firmis propugnaculis munitam, dilatatisque eius pomeriis, ex suo nomine Adrianopolim vocavit. abest trium dierum spatio a Philippopoli, in montis Aemi sinu, ad quem tres fluvii, velut fere aquae pluviales, uno alveo miscentur.

2. Iubet Basilius Mariano praefecto Petronae filio; isque eum solum imperatorem acclamat. Ooryphas autem navalis exercitus praetor atque dux, ubi intellexisset quae a Basilio gesta in Michaelem essent, ipse domini amans servusque ingenuus ad Michaelis imperatoris ultionem sese accingit. accersitum imperator primum quidem contumeliosis ac minacibus verbis accipit; tumque benigne habet laudatque, quod ut talia in domini gratiam auderet in animum induxerit. quin lapsu temporis sic aucta in eum imperatoris fiducia est, ut in hostes proficiscens eius fidei urbem commiserit.

3. Operae pretium vero sit ut et divinam in eos qui Michaelis parricidae fuerunt ultionem describamus. Iacobitzes itaque imperatori inter venandum comes, dum ensem delapsum levaturus equo desilit, haerente pede e pensili scandula, territoque equo per cava voraginum praecipitiaque trahente, membratim discerptus est. Ioannes Chaldus, qui exercitus ductor in Chaldia fuerat, deprehensus machinari adversus impera-

λέως μελετᾶν ἐφωράθη, ἀνασκολοπίζεται παρὰ Ἀνδρέου στρατηλάτου. ὁ δὲ ἀδελφὸς τοῦ βασιλέως Ἀσυλαίων, ἐξωσθεὶς παρὰ τοῦ βασιλέως ἐν τῷ προαστείῳ αὐτοῦ, ἀπηνὴς ὢν καὶ ὠμὸς πρὸς τοὺς αὐτοῦ δούλους μαχαίραις ὑπ' αὐτῶν ἀνῃρέθη· οὓς κρατήσας ὁ βασιλεὺς καὶ μεληδὸν κατακόψας ἐν τοῖς Ἀμαστριανοῦ ἔκαυσεν. ὁ δὲ ἀπελάτης ὁ τοῦ Πέρσου σκωληκόβρωτος γενόμενος τὴν ψυχὴν ἀπέρρηξεν. Κωνσταντῖνος δὲ ὁ Τοξαρᾶς εἰς Κιβυρραιώτας σπαθοκοπηθεὶς τελευτᾷ, καὶ Μαριανὸς ὁ ἀδελφὸς τοῦ βασιλέως τὸν πόδα συντριβεὶς καὶ ὑπὸ σκωλήκων καταβρωθεὶς τελευτᾷ.

B 4. Ἐν τῇ ἑορτῇ τῶν Χριστοῦ γέννων προελεύσεως γενομένης βαπτίζει ὁ βασιλεὺς διὰ Φωτίου Στέφανον τὸν υἱὸν αὐτοῦ ἐν μεγάλῃ ἐκκλησίᾳ.

5. Τῷ γ' αὐτοῦ ἔτει, τῇ ἑορτῇ τοῦ ἁγίου Πολυεύκτου, γέγονε σεισμὸς ἐπὶ μ' ἡμέρας καὶ μ' νύκτας, καὶ ἐπτωήθησαν πολλαὶ ἐκκλησίαι, μεθ' ὧν καὶ ἡ ὑπεραγία θεοτόκος ἡ λεγομένη τὸ Σίγμα, ὥστε πάντας τοὺς ψάλλοντας ἐκεῖσε τελευτῆσαι. Λέων δὲ ὁ φιλόσοφος τυχὼν ἐκεῖ παρῄνει πάντας ἐξελθεῖν· οἱ δὲ μὴ πεισθέντες συνετελέσθησαν ἅπαντες. αὐτὸς δὲ ὁ φιλόσοφος εἰς κίονα ὑπὸ συσταματίου σταθεὶς μετὰ καὶ ἑτέρων δύο ἐσώθη, καὶ C ἕτεροι θ' μόνοι ὑποκάτω τοῦ ἄμβωνος.

6. Φώτιος δὲ ὁ πατριάρχης, ἐλθόντος τοῦ βασιλέως ἐν τῇ ἐκκλησίᾳ καὶ μέλλοντος αὐτοῦ κοινωνεῖν, λῃστὴν καὶ φονέα

6 Leo grammaticus Πέρσης. Combef. 15 ἐπτώθησαν? 21 Georgius πέντε

torem ab Andrea magistro militiae palo affixus est. imperatoris frater Asylaeo, ab eo in suburbanum suum relegatus, quod in servos ac domesticos immitis ac crudelis esset, gladio ab eis necatus est. hos imperator captos membratimque concisos ad Amastriani combussit. Apelates Persae a vermibus corrosus vitam finivit. Constantinus Toxoras apud Cybyrrhaeotas gladiis concisus periit. Marianus denique imperatoris frater confracto pede ac vermibus putrescente exstinctus est.

4. Christi natalis solenni die, pompa habita, baptizat imperator per Photium filium suum Stephanum, in magna ecclesia.

5. Basilii imperatoris anno tertio, in die festo S. Polyeucti, ad dies quadraginta totidemque noctes terrae motus factus est, cecideruntque multae ecclesiae, inter quas etiam sancta deipara, quam Sigma vocant, adeo sane ut omnes in ea divinas decantantes laudes communis ruina oppresserit. porro Leo philosophus, cum esset ibi, hortabatur omnes egredi; cui illi haud morem gerentes pari omnes interitu perierunt. ipse tamen ad columnam sub arcu stans cum duobus aliis servatus est, nec non alii novem duntaxat sub ambone positi.

6. Photius patriarcha imperatore ad ecclesiam veniente, ac cum sacra mysteria percepturus esset, latronem eum et parricidam ac divina

ἔλεγεν καὶ ἀνάξιον τῆς θείας κοινωνίας. ὁ δὲ θυμωθεὶς ἀπέστειλεν ἐν Ῥώμῃ, καὶ ἤγαγε τόμον μετὰ Ῥωμαίων ἐπισκόπων, καὶ τοῦτον τοῦ θρόνου ἐξέωσεν· καὶ ἀναβιβάζει πάλιν Ἰγνάτιον τὸν ἐν ἁγίοις πατριάρχην τὸ δεύτερον.

7. Μετὰ τὸ ἐξωσθῆναι τῆς ἐκκλησίας Φώτιον καὶ ἐν τῇ μονῇ τῆς Σκέπης ἐξορισθηνῆναι ἐτροπεύσατο πλάσμα τοιόνδε. γενεθλιαλογήσας τὸν βασιλέα Βασίλειον, ὡς ἀπὸ Τηριδάτου τῆς D
μεγάλης Ἀρμενίας ἄρχοντος τὴν γενεὰν κατάγοντος, καὶ τὸ βιβλίον βασιλικῇ βιβλιοθήκῃ ἐνθεῖναι διὰ Θεοφάνους τοῦ λεγομένου Σφηνοδαίμονος, βασιλικοῦ κληρικοῦ τότε τυγχάνοντος καὶ τῷ Βασιλείῳ προσκειμένου διὰ σοφίαν καὶ πολυμαθίαν. ἐκλαβόμενος δὲ τὰ πρῶτα στοιχεῖα τῶν ὀνομάτων οὕτως, Βασιλείου Εὐδοκίας Κωνσταντίνου Λέοντος Ἀλεξάνδρου καὶ Στεφάνου, ἃ καὶ ἀναγινωσκόμενα Βεκλὰς ὀνομάζεται. τούτου τὴν ἀπ᾽ ἀρχῆς γενεαλογίαν κατά τε χώραν καὶ πράγματα ἀναμαθών, καὶ καταγραψάμενος τὸ βιβλίον, καὶ τούτου ἐπιτηδεύμασι παλαιότατον ποιή- P 455
σας, τῇ βασιλικῇ βιβλιοθήκῃ, ὡς εἴρηται, κατατίθεται διὰ Σφηνοδαίμονος Θεοφάνους. καί ποτε αὐτοῦ τοῦ Σφηνοδαίμονος προστάξει βασιλικῇ βιβλίον τι ζητοῦντος, ὡς εὗρεν αὐτὸ καὶ πολυπραγμονῶν ἠπόρει, τῷ βασιλεῖ ὑποδείκνυσι καὶ φησὶ "τοῦτον ἄλλος νοῆσαι οὐ δύναται τὰ γεγραμμένα εἰ μὴ Φώτιος." καὶ εὐθὺς ὁ αὐτὸς ἀποστέλλεται· καὶ ἡ πρόφασις εὐχερής, ὡς εἰ μὴ ἴδω τὸν βασιλέα, οὐ λέγω τί ἐστι τὸ βιβλίον ἢ ἡ τούτου ἐπιγραφή. καὶ

16 τοῦτο?

indignum communione dicere. qua ille re ira accensus Romam misit, tomoque impetrato cum episcopis Latinis Photium sede eiicit, iterumque ac secundo sacerdotio sanctum Ignatium praeficit.

7. Eiectus ex ecclesia Photius, et in monasterio quod Scepae vocant exulans, eiuscemodi figmentum commentus est. Basilii imperatoris genealogiam pertexens, quasi a Teridate magnae Armeniae principe is originem traheret, librum in regia bibliotheca reponi curat, Theophanis cognomento Sphenodaemonis opera, tunc palatini clerici, viri sapientiae ac eruditionis nomine Basilio cari. excerptis namque initialibus nominum literis in hunc modum, Basilii Eudociae Constantini Leonis Alexandri Stephani, ex quibus legendo vox Beclas conficitur; Basiliique a principio genealogiam doctus, sive regionem sive res illi gestas spectes, eaque in commentarios redacta, sicque subtili arte libello composito ut probe antiquum codicem referret, in regia, uti dictum est, bibliotheca reponit, eius quem dicebam Theophanis Sphenodaemonis opera. dumque is aliquando imperatoris iussu in eadem bibliotheca librum quaerit, istoque invento curiosius inquirens animi anxium agit, imperatori ostendit, aitque excepto duntaxat Photio neminem esse qui in illo scripta intelligere posset. statimque is ipse ad Photium mittitur. facilisque praetextus: "nisi" inquit "imperatorem videro, non dicam quis sit liber

εἰσελθὼν τοῦτο ἀναγινώσκει, καὶ ὡς δι' ἀγγέλου τοῦτο μεμά- B *θηκεν. τοῦτο πάλιν ἡ πρὸς τὸν βασιλέα Φωτίου οἰκείωσις γίνεται.*

8. *Τῷ ε' αὐτοῦ ἔτει τῆς κγ' τοῦ Νοεμβρίου μηνὸς ἐγεννήθη Ἀλέξανδρος βασιλεὺς ἀπὸ τῆς Ἴγγηρος Εὐδοκίας, γνήσιος παῖς τοῦ Βασιλείου. ἐκστρατεύει δὲ ὁ βασιλεὺς κατὰ τῶν Ἀγαρηνῶν τῶν εἰς Ἀφρικήν, καὶ πολέμους συνάψας πολλοὺς εἰς πάντας ἡττήθη καὶ πολλοὺς τῶν Ῥωμαίων ἀπεβάλετο. μέλλοντα δὲ κρατηθῆναι καὶ αὐτὸν τὸν βασιλέα Θεοφύλακτος ὁ Ἀβάστακτος διέσωσεν, ὁ πατὴρ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος. ὑποστρέψαντος δὲ τοῦ βασιλέως ἐν τῇ πόλει, ἀπέστειλε Χριστο-* C *φόρον γαμβρὸν αὐτοῦ ἐν τῇ Ἀφρικῇ, καὶ νίκην ποιήσας ἐκπόρθησε ταύτην καταστρέψας ἕως ἐδάφους.*

9. *Τῷ ς' ἔτει αὐτοῦ Ἰγνάτιος ὁ πατριάρχης τὴν τοῦ Σατύρου ἐκκλησίαν εἰς ὄνομα τοῦ ἀρχιστρατήγου τοῦ Ἀνατέλλοντος ἐποίησεν· εἶτα καὶ μονὴν αὐτὴν ἀνδρῴαν εἰργάσατο, ἔνθα καὶ ἐτάφη. καὶ Σάτυρος μὲν ὀνομάζεται, ὅτι ἐν μικρῷ διαστήματι τῆς τοιαύτης μονῆς ὁ παλαιὸς ὀνομάζεται Σάτυρος, ἐν ᾗ ἦν ἱερὸν παρ' Ἑλλήνων οἰκοδομηθὲν τῷ αὐτῷ Σατύρῳ, οὗ καθ' ὁμωνυμίαν διὰ τὸ πλησίον εἶναι τὴν εἰρημένην μονὴν τῷ τοιούτῳ καλεῖται ὀνόματι· ἐξ οὗ καὶ τὸ παλάτιον τοῦ Βρύαντος κτίσας Θεό-* D *φιλος ὁ βασιλεὺς τὴν ὕλην ἀφελόμενος ταύτην ἐδείματο. Ἀνα-*

7 immo *Τεφρικήν*, cum margine P. et mox *Τεφρικῇ*

eiusve inscriptio." ingressus itaque librum legit, ac quasi ab angelo didicisset, percurrit. hinc rursus Photii cum Basilio necessitudo coaluit.

8. Eius imperii anno quinto, mensis Novembris die vigesima tertia, natus est Alexander imperator ex Eudocia Ingerina, Basilii legitima proles. imperator expeditione suscepta adversus Agarenos Tephricenses, multisque consertis praeliis, in omnibus victus est multosque Romanorum amisit. ac cum ipse iam imperator capiendus videretur, Theophylactus Abastactus eum servavit, Romani pater eius qui postea imperium tenuit. reversusque in urbem imperator Christophorum generum suum in Tephricam misit, partaque victoria locum vastavit ac solo tenus evertit.

9. Imperii Basilii anno sexto Ignatius patriarcha Satyrum ecclesiam sub nomine caelestis militiae principis Orientis aedificavit, posteaque virorum monasterium fecit, ubi et sepultus fuit. et quidem Satyri nomen est, quod non procul ab eo monasterio antiquus Satyrus diceba- tur, ubi templum erat Graecorum superstitione eidem Satyro exstructum; ex cuius vicinia contigit per homonymiam ut et monasterium eodem vocabulo censeretur. Theophilus vero imperator accepta inde materia Bryantis regias aedes construxit. quod autem Oriens appelletur, ea

τέλλων δὲ καλεῖται δι' αἰτίαν τοιαύτην. κυνηγοῦντί ποτε Νικηφόρῳ τῷ βασιλεῖ ἐν οἷς ἀρτίως ἐστὶν ἡ μονὴ μέρεσιν, ἐν αὐτῷ τῷ τόπῳ χειρωθείσης ἐλάφου ἐν ᾧ νῦν τὸ τῆς μονῆς θυσιαστήριον ἵδρυται, εὑρέθη τράπεζα παλαιὰ ὑπὸ κίονος βασταζομένη γράφουσα οὕτως "τοῦτό ἐστιν τὸ ἅγιον θυσιαστήριον τοῦ ἀρχιστρατήγου Μιχαὴλ τοῦ Ἀνατέλλοντος, ὅπερ ἐνεθρόνισεν ὁ ἅγιος ἀπόστολος Ἀνδρέας."

10. Τῷ ζ' καὶ τῷ η' αὐτοῦ ἔτει βαπτίζει ὁ Βασίλειος πάντας τοὺς ὑπὸ χεῖρα αὐτοῦ Ἑβραίους, διδοὺς αὐτοῖς ἀξίας καὶ δῶρα πολλά. τότε δὲ καὶ τὸν προειρημένον Νικόλαον τὸν προσμονάριον P 456
τοῦ ἁγίου Διομήδους ἐποίησεν οἰκονόμον καὶ σύγκελλον, τὸν δὲ ἀδελφὸν αὐτοῦ Ἰωάννην δρουγγάριον τῆς βίγλας, τὸν δὲ ἕτερον ἀδελφὸν Παῦλον ἐπὶ τῆς βασιλικῆς σακέλλης, τὸν δὲ ἕτερον ἀδελφὸν Κωνσταντῖνον γενικὸν λογοθέτην.

11. Τῷ θ' αὐτοῦ ἔτει ἤρξατο κτίζειν ὁ βασιλεὺς τὴν Νέαν ἐκκλησίαν, καὶ ἡ Συράκουσα παρεδόθη τοῖς Σαρακηνοῖς.

12. Τῷ ι' αὐτοῦ ἔτει Νικήτας ὁ Ξυληνίτης καὶ ἐπὶ τῆς τραπέζης κατηγορήθη ὡς φιλούμενος παρὰ τῆς Αὐγούστης· ὃς καὶ ἀποκείρεται καὶ μοναχὸς γίνεται. πολλὰ δὲ χαλκουργήματα B
κατέαξεν ὁ βασιλεὺς λόγῳ τῆς Νέας ἐκκλησίας· ἀλλὰ καὶ μάρμαρα καὶ ψηφῖδας καὶ κίονας ἐκ πολλῶν ἐκκλησιῶν καὶ οἴκων λόγῳ ταύτης ἀνελάβετο. ἐν οἷς στήλη ἵσταται χαλκῆ ἐν τῷ Σενάτῳ σχῆμα ἐπισκόπου φέρουσα· ἐκράτει δὲ ἐν τῇ χειρὶ ῥάβδον ὄφιν

ratio est. cum aliquando Nicephorus imperator iis in locis venationem ageret in quibus modo situm monasterium est, in eo ipso loco ubi nunc Basilicae situm altare est, capto cervo vetus mensa sustentante columna inventa est, hac inscriptione "sanctum Michaelis caelestis militiae principis Orientis altare, quod sanctus Andreas apostolus posuit."

10. Imperii annis septimo et octavo baptizat Basilius Hebraeos omnes sub dicione positos, dignitatibus augens ac plura illis dona tribuens. tunc vero etiam, cuius supra meminimus, Nicolaum sancti Diomedis mansionarium, oeconomi ac syncelli dignitate decoravit; eius fratrem Ioannem excubiarum drungarium praefecit; fratrem alterum Paulum regio sacello praefecit; tertium denique Constantinum aerarii publici logothetam creavit.

11. Basilii imperii anno nono coepit imperator aedificare Novam ecclesiam; urbsque Syracusa prodita est Saracenis.

12. Basilii imperii anno undecimo Nicetas Xylenites ac mensae praepositus, Augustae amorum accusatus, posita coma in monasterium trusus est. multa vasa aenea confregit imperator, in usum vertenda Novae ecclesiae. marmora quoque et musiva et columnae ex multis ecclesiis aedibusque sublata eius exstruendae causa. inter haec ornamenta statua aenea in senatu erat episcopi habitu, virgamque manu tenens,

ἐντετυλισμένον ἔχουσαν. ταύτην ἤγαγον ἐν τῷ βεστιαρίῳ· καὶ ἐλθὼν ὁ βασιλεὺς ἔβαλε τὸν δάκτυλον αὐτοῦ εἰς τὸ στόμα τοῦ ὄφεως· καὶ ἦν ἔσωθεν ἄλλος ὄφις ζῶν, ὃς καὶ ἔδακε τὸν δάκτυλον C τοῦ βασιλέως· καὶ μόλις δι' ἀντιφαρμάκων ἰάθη. καὶ τὴν στήλην δὲ Σολομῶντος ἐν τῇ βασιλικῇ οὖσαν εἰς ὄνομα αὐτοῦ ἐκτυπώσας, τοῖς θεμελίοις τῆς Νέας ἐκκλησίας ὡς θυσίαν ἑαυτὸν τῷ θεῷ προσῆξεν.

13. Τῷ ια' αὐτοῦ ἔτει ἐκστρατεύει πάλιν κατὰ Μελιτηνῶν, καὶ πολλοὺς πολέμους κατορθώσας καὶ αἰχμαλωσίαν πολλὴν λαβὼν ὑπέστρεψεν.

14. Τῷ ιβ' αὐτοῦ ἔτει τελευτᾷ ὁ πατριάρχης Ἰγνάτιος, καὶ πάλιν Φώτιος ἀναβιβάζεται.

D 15. Τῷ ιγ' αὐτοῦ ἔτει ἐκστρατεύει ὁ βασιλεὺς κατὰ Γερμανικίαν, καὶ ταύτην αἰχμαλωτεύσας ὑπέστρεψεν. τελευτᾷ δὲ Κωνσταντῖνος υἱὸς Μιχαὴλ ὁ ἐξ Εὐδοκίας, ὡς δὲ λόγος, υἱὸς Βασιλείου· ὃν πολλὰ θρηνήσας ἀπέθετο ἐν τοῖς τάφοις τῶν βασιλέων.

16. Τῷ ιδ' αὐτοῦ ἔτει, μηνὶ Μαΐῳ α', ἐγκαινίζεται καὶ ἐνθρονίζεται ἡ Νέα ἐκκλησία παρὰ Φωτίου πατριάρχου.

17. Τῷ ιε' αὐτοῦ ἔτει Λέων ὁ Σαλιβαρᾶς συνοψίζει Φωτίῳ πατριάρχῃ Θεόδωρον μοναχὸν τὸν Σανταβαρηνόν, ὃς ὑπὸ P 457 Φωτίου μετὰ τοῦτο γέγονεν ἀρχιεπίσκοπος Εὐχαΐτων, ὡς εὐλαβῆ

cui serpens gyris convolutus erat. statua in vestiarium illata, veniens imperator in serpentis os immisso digito, vivo alio serpente intus residente morsum infigente, sic laesus est ut vix ullis remediis curari potuerit. sed et Salomonis statuam in basilica constitutam, ex suo efformatam nomine, se ipsum deo velut hostiam offerens, in Novae ecclesiae fundamenta iecit.

13. Anno Basilii imperii undecimo suscepta rursus imperator adversus Melitenenses expeditione, multisque praeliis victor ingentique onustus praeda, ac captivis adductis, reversus est.

14. Anno Basilii imperii duodecimo Ignatio patriarcha vivis exempto Photius regiae urbis sacerdos iterum provectus est.

15. Anno Basilii imperii tertio decimo eductis imperator adversus Germaniciam copiis, eaque direpta atque vastata, reversus est. moritur vero Constantinus Michaelis filius ex Eudocia, hominum autem vulgique opinione Basilii filius. eum ille ingenti luctu prosecutus ipsius in imperatorem sepulcris funus deposuit.

16. Anno Basilii imperii quarto decimo, calendis Maii, dedicatur divinisque officiis publice celebrandis aperitur a Photio patriarcha Nova ecclesia.

17. Anno Basilii imperii quinto decimo Leo Salibaras Theodorum monachum Santabarenum Photio patriarchae in colloquium adducit (is postea a Photio creatus Euchaitarum archiepiscopus) tanquam virum

καὶ ποιοῦντα τεράστια καὶ προορατικόν. Φώτιος δὲ τοῦτον Βασιλείῳ βασιλεῖ μεσιτεύει· εἰς ὃν ὁ βασιλεὺς ἀρεσθεὶς (πρὸς γὰρ τὰς ἐπιθυμίας αὐτοῦ διέκειτο) εἶχεν ἐν τιμῇ πολλῇ. ὃς ἀθυμοῦντα τὸν βασιλέα περὶ τοῦ τελευτήσαντος υἱοῦ αὐτοῦ Κωνσταντίνου, διὰ τὸ φίλτρον ὅπερ εἰς αὐτὸν εἶχεν, ἐπλάνα, καὶ ἐπηγγέλλετο δεῖξαι ζῶντα. ὃ καὶ ἐποίησεν· ἐν γὰρ λόχμῃ τινὶ διερχομένῳ τῷ βασιλεῖ φάντασμα συνηντήθη ἔφιππον, χρυσοῦφαντον ἐνδεδυμένον, ἐν τῷ εἴδει τοῦ Κωνσταντίνου· ὃ καὶ ὀφθαλμοῖς B ἰδὼν καὶ περιπλακεὶς κατεφίλησεν. καὶ γεγονότος ἀφανοῦς, αὐτὸν ἰδεῖν ὑπελάμβανε, καὶ ὡς οὐ πεπλάνητο. διὸ καὶ μονὴν ἐκεῖσε κτίσας ἐπωνόμασεν αὐτὴν τοῦ ἁγίου Κωνσταντίνου.

18. Τούτοις καὶ ἑτέροις πλείστοις ἐκ τῶν Ἀπολλωνίου ἀκριβῶς μεμνημένος ὁ Σανταβαρηνὸς ἐποίησε τὸν βασιλέα πίστιν κεκτῆσθαι εἰς ἑαυτὸν πολλήν. οὗτος ὁ περιώνυμος Σανταβαρηνός, ὃς ὑπ' αὐτοῦ τοῦ Φωτίου κατὰ δευτέραν αὐτοῦ τυραννίδα ἐπίσκοπος Εὐχαΐτων ἐγένετο, Μανιχαίου υἱὸς καὶ Μανιχαῖος ὤν, C καὶ ὡς νεώτερος διὰ Βάρδα τοῦ Καίσαρος τὴν κεφαλικὴν τιμωρίαν διαφυγὼν τῇ τῶν Στουδίου μονῇ ἐπὶ διορθώσει ἀπεδόθη· ὁ δὲ καὶ μοναχῶν σχῆμα περιβαλόμενος οὐδ' ὅλως τῆς κακίας ἀνένευσεν. κατὰ μέντοι τὴν πρώτην τυραννίδα Φωτίου καὶ ἡγούμενος ἐν αὐτῇ τῇ μονῇ γίνεται· ὑφ' οὗ καὶ πάντες οἱ εὐλαβεῖς τῆς μονῆς ἔφυγον, τὴν κοινωνίαν Φωτίου μὴ καταδεχόμενοι. τοῦ

21 ἐφ' οὗ margo P

religiosum prodigiorumque patratorem mirificum ac futura praenoscendi arte praeditum. Photius Basilio imperatori virum insinuat; quo delectatus imperator (quippe eius assentante desideriis) eum magno in pretio habuit. is imperatorem ob Constantini filii mortem, qua amoris vi in eum ferebatur, sese dolore conficientem videns, vivum se illi ostensurum impostor pollicitus est; et vero rem praestitit. ad quendam enim saltum obambulanti imperatori spectrum quoddam Constantini specie equo insidens, vestibus auro intextis, occurrit; cernensque ille oculis, et in amplexus ruens, affatim basia dedit. cumque disparuisset, vidisse eum se existimabat nec quicquam delusum esse. quocirca exstructo ibi monasterio S. Constantini nomen indidit.

18. His aliisque plurimis ex Apollonii disciplina probe institutus Santabarenus magnam sibi fidem apud imperatorem conciliavit. celebris hic nominis Santabarenus, quem Photius secunda sua tyrannide episcopum Euchaitarum promovit, Manichaei filius et Manichaeus erat; ac velut iunior annisque minor vix capitali exemptus sententia per Bardam Caesarem, meliori fruge componendus, Studii monasterio traditus est. ubi tamen, quanquam monachi assumpto habitu, a priore nihil pravitate emersit. ceterum Photii prima tyrannide in eo monasterio praefecti munus gessit; quo et antistite religiosi omnes monachi fugam iniere, cum non sustinerent Photii se communione commaculari. Photio nihilominus

μέντοι Φωτίου τῆς πατριαρχίας διωχθέντος καὶ ὁ Σατανώνυμος
D ἐκεῖνος τῆς μονῆς ἀπηλάθη. εἶτα εἰσοικίζεται Φωτίῳ, καὶ φησὶ "χρῆσαί τινι τῶν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, καὶ λαβὼν ταῦτα τὰ ὕδατα ἃ ἐσκεύασα ῥανάτω ἐπὶ τοῦ κοιτῶνος· καὶ ὄψει αὐτίκα τὸν βασιλέα καταδεδουλωμένον τῇ ἀγάπῃ σου. καὶ μετὰ ταῦτα ἀγώνισαι ὅπως ἴδω αὐτὸν ἅπαξ, καὶ ποιήσω σε ἐπανελθεῖν εἰς τὴν προτέραν σου τιμήν." τούτου οὖν γενομένου, πρωῒ πρωῒ τοὺς υἱοὺς αὐτοῦ εὐχῆς χάριν καὶ χρυσίον ἀπέστειλεν Φωτίῳ, καὶ εἰς τὴν Μαγναύραν κατῴκισε, καὶ συνεχῶς ὡμίλει, καὶ παρρησίας τοσαύτης μετέδωκεν ὡς καὶ τοὺς οἰκείους αὐτῷ πάντας ἐν τῷ παλατίῳ ἐπιστῆναι ὀφφικίοις. ἐντεῦθεν καὶ τὸν ἀρχιμάγον Σαν-
P 458 ταβαρηνὸν ὡς ἅγιον καὶ εὐλαβῆ καὶ διορατικώτατον συνοψίζει καὶ προσοικειοῖ.

19. Τῷ ιϛʹ αὐτοῦ ἔτει ἠγάγετο ὁ βασιλεὺς γυναῖκα Λέοντι τῷ βασιλεῖ Θεοφανὼ τὴν θυγατέρα Μαρτινακίου, καὶ στέψας τοὺς γάμους ἐποίησε ἐν τῇ Μαγναύρᾳ.

20. Τῷ ιζʹ αὐτοῦ ἔτει αἱ τῶν Σαρακηνῶν ναυστολίαι καὶ Ἰταλίας καὶ Σικελίας καὶ τῶν λοιπῶν χωρῶν ἐπῆλθον· ὑφ' ὧν συνέβη τι τοιοῦτον. Σαλδανὸς ὁ τῶν Ἀγαρηνῶν ἀρχηγὸς τὴν Βάρην κρατήσας, ἥτις ἐστὶ πόλις μεγάλη τῶν Ῥαουσαίων, καὶ ἐν αὐτῇ κατοικήσας πολλὰς ἑτέρας πόλεις καὶ χώρας κατελυμήνατο.
B γράφει οὖν ὁ βασιλεὺς τῷ ῥηγὶ Φραγγίας ἐπικουρῆσαι τῷ ὑπ' αὐ-

17 στολίαι P, αὐστολίαι alter Combefisii codex

patriarchali sede eiecto hic quoque Satanici vir nominis expulsus est. tum inter Photii familiares ascitus "cuiuspiam" ait "cubiculariorum opera utere, acceptasque quas paravi aquas sacro aspergat cubiculo; moxque amori tuo deditum imperatorem videbis. his peractis da operam ut vel semel ipsum videam, et ut ad priorem honorem ipse redeas efficiam." his ita gestis, statim mane imperator liberos precibus communiendos aurique vim mittit Photio, iussitque in Magnaura pro hospitio morari. ibi continui congressus ac colloquia, tantaque Photius donatus fiducia est ut et omnes necessarios ac familiares palatinis muniis adhiberet. hincque adeo magorum principem Santabarenum velut sanctum ac religiosum futuraque praenoscendi sagacissimum, illius praesentat obtutibus redditque carissimum.

19. Anno Basilii imperii sexto decimo imperator uxorem iunxit Leoni imperatori Theophanonem Martinacii filiam, coronaque impartiens nuptiarum solennia in Magnaura peregit.

20. Anno Basilii imperii decimo septimo Saracenicis classibus Italiam Siciliam ac reliquas regiones incursantibus, tale quid accidit. Soldanus Agarenorum princeps capto Bario, quae Rhagusiorum urbs magna est, in eoque positis sedibus, multas alias urbes locaque diripiebat. scribit itaque imperator Francorum regi ut missae abs se classi adver-

τοῦ ἀποσταλέντι στόλῳ κατὰ τῶν Ἀγαρηνῶν. καὶ δὴ πολέμου κροτηθέντος ἁλίσκεται μὲν τὸ κάστρον καὶ ἡ χώρα, ἀλλὰ μὴν καὶ αὐτὸς ὁ Σαλδανὸς καὶ ὁ ὑπ᾽ αὐτὸν λαός. τοῦτον τὸν Σαλδανὸν ὁ ῥὴξ ἐν Καπύῃ ἀπάγει, καὶ ἐπὶ διετίαν τῷ ῥηγὶ συνὼν παρρησίας καὶ συνδιαιτήσεως ἐπέλαχε. ὁ δὲ πανοῦργος ὢν ἐκ τῆς ἑτέρων διαβολῆς ἔγνω σωτηρίαν ἑαυτῷ πραγματεύσασθαι. τοῖς γὰρ ἄρχουσι Καπύης καὶ Βενεβενδοῦ λέγει ἐν μυστηρίῳ "βούλομαι ὑμῖν εἰπεῖν ἀπόρρητον βούλευμα τοῦ ῥηγός, δέδοικα δὲ τὸν ἐκ μηνύσεως κίνδυνον." τῶν δὲ διομοσαμένων ἀνέκφορον ποιήσασθαι C
τὸ λαλούμενον, φησὶ "πάντας ὑμᾶς πρὸς τὴν ἑαυτοῦ χώραν Φραγγίας ὁ ῥὴξ σιδηροδεσμίους συντόμως ἀποστέλλει." τῶν δὲ μὴ πιστευσάντων ἀλλὰ ζητούντων ἔτι σαφεστέραν κατάληψιν, αὖθις ὁ Σαλδανὸς πρὸς τὸν ῥῆγά φησιν ὡς οὐκ ἔστι σοι ἀσφαλὴς ἡ τῶν κάστρων τούτων κατάσχεσις, ἕως οἱ τούτων ἄρχοντες ἐνταῦθα ἐπιχωριάζουσιν· ἀλλ᾽ εἰ βούλει βεβαίως δεσπόζειν αὐτῶν, πρὸς Φραγγίαν τούτους δεσμίους ἀπόστειλον. πεισθεὶς οὖν ὁ ῥὴξ ἁλύσεις διωρίσατο συντόμως χαλκευθῆναι ὡς ἐπὶ χρείᾳ κατεπειγούσῃ τινί. ἰδὼν οὖν ὁ Σαλδανός φησι πρὸς τοὺς ἄρχοντας "οὐδὲ ἔτι μοι πιστεύετε;" γνόντες οὖν οἱ ἄρχοντες ἀληθεύειν τὸν βάρβαρον, D
ἐζήτουν ὅπως τὸν ῥῆγα ἀμύνωνται. καὶ δὴ πρὸς κυνηγέσιον ἐξελθόντος κλείουσι κατ᾽ αὐτοῦ τὰς πύλας· ὁ δὲ πρὸς τὴν ἰδίαν χώραν ἀπαίρει λυπούμενος. καὶ ὁ Σαλδανὸς τὴν χάριν τῆς μηνύσεως ἀπαιτεῖ· ἡ δὲ ἦν τὸ πρὸς τὴν οἰκείαν πατρίδα συγχωρηθῆναι αὐ-

sus Agarenos opem ferat. denique conflato bello capitur oppidum domaturque regio; quin et ipse captus Soldanus eique militantes copiae. Soldanum rex Capuam adducit; ubi ille annos duos commoratus, colloquiique ac convictus licentiam nactus, vafer cum esset, aliis per calumniam detrahendo expediendam sibi salutem putavit. Capuae enim et Beneventi proceribus ita secreto infit. "regis vobis arcanum volo aperire: vereor autem ne, si detexero, inde mihi periculum creetur." illis iureiurando affirmantibus nemini se detecturos quae is ad eos loqueretur, "vos" inquit "omnes ferro onustos in suam Franciae regionem rex brevi missurus est." non credentibus illis maioraque rei indicia quaerentibus, rursus Soldanus ad regem ait "nunquam fiat ut haec tuto oppida possideas, quamdiu illorum proceres hic morabuntur. sed si vis firmo eorum potiri dominio, illos vinctos in Franciam mittito." his rex persuasus catenas velut urgente quodam negotio, cito fabricari iussit. videns itaque Soldanus ait ad proceres "ne nunc quidem mihi adhibetis fidem?" intelligentes igitur proceres barbarum vera loqui, cogitabant qua ratione regem ulciscerentur. illo itaque venandi causa egresso fores contra eum claudunt. rex indigne ferens reique indignitate motus in patriam redit. Soldanus quoque detecti arcani mercedem petit. ea erat ut ei liberum esset in patriam reverti. recepto igitur principatu

τὸν ἀπελθεῖν. τὴν οἰκείαν οὖν ἀρχὴν ἀπολαβὼν καὶ τοῦ κακὸς εἶναι μὴ ἐκστὰς ἐκστρατεύει κατὰ Καπύης καὶ Βενεβενδοῦ. οἱ δὲ πρὸς τὸν ῥῆγα διαπρεσβεύονται. ἀλλὰ μεθ' ὕβρεως ἀποπέμπονται. στέλλουσιν οὖν πρὸς τὸν βασιλέα. ὁ δὲ θᾶττον ἐκπέμπει P 459 τὸν πρεσβευτήν, δηλῶν προσδέχεσθαι συντόμως τὴν ἐκεῖθεν βοήθειαν. γίνεται τοῖς πολεμίοις ἐγκρατὴς ὁ τῆς ἀγγελίας διάκονος. λέγει οὖν πρὸς αὐτὸν ὁ Σαλδανὸς "εἰ ὑπηρετήσῃς μου τῷ βουλήματι, καὶ σωτηρίας ἀξιωθήσῃ καὶ δωρεῶν ἀπολαύσῃ πολλῶν." τοῦ δὲ συνθεμένου "βούλομαι" ἔφη "στῆναί σε τοῦ κάστρου ἐκτός, καὶ τοῖς ἔνδον εἰπεῖν ὡς ἐγὼ μὲν τὴν διακονίαν μου ἐξεπλήρωσα, ἀλλ' ἐκ τοῦ βασιλέως βοήθειαν μὴ προσδέχεσθε· οὐ γὰρ ἤκουσεν τῆς δεήσεως ὑμῶν." ὁ δὲ πλησίον τοῦ τείχους μετὰ τῶν ὑπηρετῶν τοῦ Σαλδανοῦ γενόμενος καὶ τοὺς πρώτους παραγενέσθαι τῆς B πόλεως αἰτησάμενος ἔφη "εἰ καὶ πρόδηλός μοι τυγχάνει ὁ θάνατος καὶ ἐν χερσὶν ἡ σφαγή, ἀλλ' ὅμως οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. πλὴν αἰτῶ καὶ ὁρκίζω ὑμᾶς ἀποδοῦναί μοι τὴν χάριν εἰς τὰ ἐμὰ ἔκγονα καὶ τὴν σύνευνον. ἐγὼ γάρ, ὦ κύριοί μου, εἰ καὶ νῦν ταῖς τῶν πολεμίων περιεσχέθην χερσίν, ἀλλ' ὅμως τὴν διακονίαν μου ἐξεπλήρωσα καὶ τὴν παρ' ὑμῶν πρεσβείαν τῷ βασιλεῖ Ῥωμαίων προσήγαγον, καὶ συντόμως προσδέχεσθε τὴν ἐκεῖθεν βοήθειαν. διὸ στῆτε γενναίως καὶ μὴ δειλανδρήσητε· ἔρχεται γὰρ ὁ ὑμᾶς ῥυσόμενος, εἰ καὶ μὴ ἐμέ." ταῦτα οἱ τοῦ Σαλδανοῦ ἀκού- C σαντες καὶ πρὸς τὴν ἀπάτην ἐμμανέντες εὐθὺς αὐτὸν τοῖς ξίφεσι κατακόπτουσι. φοβηθεὶς οὖν ὁ Σαλδανὸς τὴν ἐκ τοῦ βασιλέως

nec mentis posita pravitate, adversus Capuam et Beneventum cum exercitu venit. missa ad regem Franciae legatio: oratores contumeliose accepti ac remissi. mittunt itaque ad imperatorem. ille statim dimisso legato abs se brevi mittenda iusta auxilia exspectare iubet. capitur ab hostibus nuntii minister. ait itaque ad eum Soldanus "si meae voluntati obsecutus fueris, tum salutem ipse consequeris, tum muneribus copiose donaberis." illo assensum simulante ait Soldanus "volo ut pro oppidi moeniis stans, eos qui intra sunt in haec verba alloquaris, 'ego sane ministerium meum implevi; ne tamen ab imperatore auxilia exspectaveritis: non enim petitioni vestrae obaudivit." muris itaque cum Soldani ministris admotus, vocatisque civitatis primoribus, sic ait "quanquam mihi mors palam est atque in promptu est iugulatio, non tamen vos veritatem celabo. ceterum rogo atque adiuro ut in caris pignoribus atque uxore gratiam mihi referatis. ego enim, domini mei, etsi iam hostium manibus teneor, ministerium tamen meum explevi vestraque ad imperatorem functus sum legatione, brevique hinc vobis ventura auxilia exspectate. quare state fortiter, et ne animis concideritis: venit enim qui vos sit liberaturus, etsi is nullius mihi frugis futurus sit." quibus auditis Soldani satellites, ac quod decepti erant, furoris oestro perciti,

προσδοκωμένην δύναμιν ἔλυσε τὴν πολιορκίαν καὶ πρὸς τὴν οἰκείαν χώραν ὑπέστρεψεν.

21. Τῷ ιη' αὐτοῦ ἔτει Λέων ὁ βασιλεὺς κατηγορεῖτο παρὰ τοῦ Σανταβαρηνοῦ πρὸς τὸν ἴδιον πατέρα τρόπῳ τοιῷδε. νουνεχὴς ὢν καὶ εὐσεβῶς τὸν βίον διαπερῶν τὰ γινόμενα παρὰ τοῦ Σανταβαρηνοῦ κατεγίνωσκε, καὶ ἐμέμφετο αὐτὸν καὶ ἀπεστρέφετο. ἐπεὶ ἐκεῖνος δὲ τὸ μῖσος τούτου ὑπενεγκεῖν οὐχ ὑπέφερεν, ὑφορώμενος διαβολὴν αὐτοῦ πρὸς τὸν βασιλέα γενήσεσθαι, τί τεχνάζεται; μάχαιραν μεγάλην, τὸ δὴ λεγόμενον παραμήριον, ποιήσας καὶ ποικίλως ἐπισκευάσας δίδωσι τῷ Λέοντι, εἰπὼν "οἶδα D ὅτι πολλάκις εἰς κυνήγιον ἐμπίπτει σοι ζῷον μόνῳ, καὶ μὴ ἔχων μάχαιραν σφάξαι αὐτὸ ἀπόλλυται. βάσταζε οὖν αὐτό. ἴσως καὶ ὁ βασιλεὺς ὁ πατήρ σου ἐπαινέσει σοι." πεισθεὶς οὖν τῷ ἀλάστορι ὁ Λέων λαμβάνει τὴν μάχαιραν. ἀπέρχεται οὖν ὁ δόλιος Σανταβαρηνός, καὶ διαβάλλει τοῦτον πρὸς τὸν πατέρα αὐτοῦ, ὡς ὁ Λέων ὁ υἱός σου παραμήριον βαστάζει, καὶ ἡνίκα μοναζευθῇ μετὰ σοῦ, ὁρμᾶν ἔχει τοῦ σφάξαι σε." τοῦτο ἀκούσας ὁ βασιλεὺς καὶ ἐρευνήσας καὶ εὑρὼν ἀπέκλεισεν αὐτὸν ἐν τῷ Μαργαρίτῃ, βουλόμενος ἐκτυφλῶσαι, εἰ μὴ Φώτιος ὁ πατριάρχης μετ' ἄλλων πολλῶν τῆς συγκλήτου τοῦτο διεσκέδασαν. τοὺς δὲ ἀνθρώπους P 460 αὐτοῦ πάντας πολλὰ τιμωρήσας, ὡς οὐδὲν εὑρέθη τῆς κατηγορίας ἀληθές, ἐξώρισεν. ἐποίησε δὲ ἀπὸ ὄψεως μῆνας τρεῖς, θρηνῶν

ipsum gladiis confestim conciderunt. veritus ergo Soldanus exspectatas imperatoris copias, soluta obsidione in suam se regionem recepit.

21. Anno Basilii imperii decimo octavo Leo imperator a Santabareno per talem modum apud patrem criminis delatus est. Leo cum solertis ingenii esset pieque vitam institueret, Santabareni dicta factaque reprehendebat, ipsumque vituperabat, ac averso ad illum animo erat. quod ille eius odium ferre non poterat, veritus ne ad imperatorem haec eius crimina pervenirent. quid machinatur? ingentem sicam (Graecorum vulgus *παραμήριον* vocant) vario cultu elegantem fabricatus Leoni tradit, dicens "scis haud raro inter venandum in bestiam te solum incidere, cumque desit gladius ad iugulandum, tibi eam perire. hunc ergo gestato: forte etiam imperator pater tuus consilium laudabit." credulus ergo scelestissimi capitis verbis Leo gladium sumit. abit ergo dolis consutus Santabarenus, eique apud patrem crimen intentans "Leo" inquit "filius tuus sicam gestat, ac cum solus tecum versabitur, facto in te impetu contrucidabit ac iugulabit." audiens imperator, habitaque rei diligenti inquisitione, ac cum se ita rem habere invenisset, in Margarita oculorum lumen adempturus inclusit, ni Photius patriarcha aliique plures senatorii ordinis, consilium istiusmodi dissipassent. Leonis domesticos omnes diu multumque excruciatos, cum nihil in eis intentati criminis deprehendisset, relegavit. Leo ipse menses tres paterno ex-

καὶ ὀδυρόμενος καὶ δι᾽ ἐπιστολῶν πολλῶν δυσωπῶν τὸν βασιλέα.
καὶ τῆς ἑορτῆς τοῦ ἁγίου Ἠλιοῦ φθασάσης, ἐπεὶ πίστιν μεγάλην
ἔσχεν ὁ βασιλεὺς εἰς τὸν ἅγιον, ἀποσυνοψίζει Λέων τῷ τρόπῳ
τούτῳ. ἦν τι ζῷον πτηνὸν ἐν ταλάρῳ πλεκτῷ κατὰ τὰ βασίλεια
αἰωρούμενον, μιμηλὸν καὶ πολύφωνον, ὃ ψιττακὸς ὀνομάζεται,
ὅπερ εἴτε πρός τινων διδαχθὲν εἴτ᾽ ἄλλως πως πολλάκις "αἲ αἲ
B κύριε Λέων" ἐφθέγγετο. πανδαισίας δέ ποτε τελουμένης τῷ
βασιλεῖ, καὶ τῶν πρώτων τῆς βουλῆς συνεστιωμένων αὐτῷ, καὶ
τοῦ ὄρνιθος πολλάκις φθεγγομένου τὸ προρρηθέν, ἐπιστυγνάσαν-
τες οἱ δαιτυμόνες καὶ τῆς εὐωχίας παυσάμενοι ἐπὶ συννοίας ἐκά-
θηντο. οἷς προσέχων ὁ βασιλεὺς τὴν αἰτίαν ἐπυνθάνετο. οἱ δὲ
δακρύων ὑποπλησθέντες "τίνα βρῶσιν" εἶπον "φαγούμεθα, οὕ-
τως ὑπὸ τῇ φωνῇ τοῦ ἀλόγου τούτου ὀνειδιζόμενοι οἱ δοκοῦντες
ἡμεῖς λογικοὶ καὶ φιλοδέσποτοι, ὅτι αὐτὸ μὲν τὸν οἰκεῖον ἀνακα-
λεῖται δεσπότην, ἡμεῖς δὲ τρυφῶντες λήθην τοῦ μὴ ἀδικήσαντος
C δεσπότου ἐλάβομεν. εἰ μὲν γὰρ ἐλέγχεται ἀδικῶν καὶ κατὰ τῆς
πατρικῆς κεφαλῆς εὐτρεπίσας τὴν δεξιάν, αὐτόχειρες αὐτοῦ ἡμεῖς
πάντες γενώμεθα, καὶ τοῦ αἵματος αὐτοῦ μὴ λαβώμεθα κόρον.
μέχρι τίνος ἡ συκοφάντις γλῶσσα κατ᾽ αὐτοῦ δυναμωθήσεται;"
μαλαχθεὶς οὖν τοῖς τοιούτοις λόγοις ὁ βασιλεὺς τότε μὲν καθε-
σθῆναι τούτους προσέταξεν καὶ σκοπῆσαι περὶ τοῦ πράγματος
ἐπηγγείλατο. μετ᾽ οὐ πολὺ δὲ πρὸς τὴν φύσιν ἐπανελθὼν ἐξάγει

19 μέχρι] εἰ δὲ μή, μέχρι interpres

clusus conspectu, lugens deploransque ac crebris epistolis imperatoris clementiam pulsans, exegit. solenni autem S. Eliae die, quod imperator magna in eum fide impensiorique religione ipsum coleret, per hunc modum Leo paterno conspectui redditus est. erat avis quaedam quasillo vimineo regio in triclinio e pariete pendula, animal sane aemulum, multiplicique voce reddenda idoneum: psittacum vocant. haec, sive a quibusdam praedocta sive aliter inducta fuerat, crebro illud "heu, heu, domine Leo" inclamitabat. quandoque igitur instructo imperatori convivio, senatusque proceribus ad epulas mensamque considentibus, cum avis quam dicebam naeniam crebrius loqueretur, in tristitiam versi convivae cibisque abstinentes morosi sedebant. animadvertit imperator, causamque sciscitatur. ad quem illi lacrimis oppleti "quas" aiunt "dapes sumemus, quibus sic muta animans exprobret, qui ratione praediti ac domini amantes videamur? cum sic illa dominum revocet, nos vero in deliciis agentes eius insontis videatur oblivio cepisse. si enim iniuriae reus deprehenditur aut in paternum caput dexteram instruxisse comperitur, eum nos ipsi omnes contrucidemus, eiusque cruorem insatiabili aviditate fundamus. sin minus, quamdiu in eum calumniae tincta veneno lingua praevalebit?" istiusmodi verbis mitiore mutatus imperator, tunc quidem sedere eos iussit ac se rem discussurum promisit. nec diu post ad genium indolemque reversus e carcere eductum Leonem sui conspe-

τε τῆς φρουρᾶς καὶ εἰς ὄψιν ἄγει αὐτόν, καὶ τὴν πένθιμον ἀμείβει στολήν, καὶ τὸ περιττὸν τῆς ἐν τῇ λύπῃ τραφείσης κόμης D περιαιρεθῆναι κελεύει, καὶ τὴν προτέραν τῆς βασιλείας τάξιν καὶ τιμὴν ἀποδίδωσι. καὶ τῆς προελεύσεως τοῦ ἁγίου Ἠλιοὺ γενομένης ἰδόντες αὐτὸν οἱ λαοὶ ἐπεφωνοῦντο "δόξα σοι ὁ θεός." καὶ ὁ βασιλεὺς εἶπεν "δοξάζετε τὸν θεὸν ὑπὲρ τοῦ υἱοῦ μου. πολλὰς θλίψεις ὑπ' αὐτοῦ ἔχετε ὑπομεῖναι καὶ ἐπωδύνους ἡμέρας διελθεῖν."

22. Τῷ ιθ' ἔτει αὐτοῦ μελετᾶται ἀνταρσία παρὰ Ἰωάννου τοῦ Κουρκούα δομεστίκου ὄντος τῶν ἱκανάτων, χρηματισθέντα παρὰ τοῦ ἐν Βλαχέρναις ἐγκλείστου. ἦσαν δὲ μετ' αὐτοῦ ἄρχοντες μέχρι τῶν ξς', μεθ' ὧν ὁ Μιχαὴλ ὁ ἑταιρειάρχης καὶ ὁ Κατούδης καὶ ὁ Μυξιάρης καὶ ὁ Βαβούτζικος. τούτους κρατήσας P 461 πάντας ἐν τῷ ἱπποδρομίῳ ἔτυψε καὶ ἐκούρευσε καὶ τὰς ὑπολειφθείσας τρίχας ἔκαυσε καὶ πομπεύσας ἐξώρισε.

23. Τοῦ δὲ βασιλέως ἐν κυνηγίῳ ἐξελθόντος, ἔλαφος παμμεγέθης ἀναφανεὶς ἦρε τὸν βασιλέα ἐκ τῆς ζώνης ἀπὸ τοῦ ἵππου μετὰ τοῦ κέρατος. φθάσας δέ τις καὶ τὴν ζώνην μετὰ τῆς σπάθης κόψας τοῦτον ἐρρύσατο. ὃν καὶ μετὰ τὴν ὑποστροφὴν ἀπεκεφάλισεν, εἰπὼν "μὴ γύμνου κατὰ βασιλέως ξίφος." ἐκ δὲ τοῦ σπαραγμοῦ τοῦ ἐλάφου νοσηλευθεὶς ὁ βασιλεὺς Βασίλειος τελευτᾷ, φάμενος τῷ υἱῷ αὐτοῦ καὶ διαδόχῳ Λέοντι καὶ Στυλιανῷ B

7 ἐπωδύνας vulgo

ctu donat, mutatque vestem lugubrem, ac superfluum ex maerore capillorum onus levare iubens ad pristinum regiae dignitatis gradum cultumque revocat. inter solennem vero S. Eliae pompam videntes eum populi ac factiones gratulabundi clamabant, "gloria tibi, deus." ad quos imperator "deum glorificatis, gratulantes pro filio meo? multa ab eo mala sustinebitis, diesque aerumna plenos transigetis."

22. Anno Basilii imperii decimo nono Ioannes Curcuas icanatorum domesticus tyrannidem molitur, cum is qui in Blachernis inclusus agebat, imperium ei esset vaticinatus. erant cum eo coniurati proceres ad sexaginta sex, inter quos Michael foederatorum comes et Catudes et Myxiares et Babutzicus. quos omnes comprehensos in Circo virgis caesos totondit, adustisque reliquis crinibus, ac pompa per civitatem traducens, exsilio multavit.

23. Egresso autem venandi causa imperatore, ingentis molis cervus emergens ipsum e zona ab equo cornu sustulit. venit quidam, zonaque ense scissa ipsum liberavit; cui et reversus caput amputavit, dicens "cave adversus imperatorem ensem nudaveris." ex cervi autem illa succussione morbo correptus Basilius imperator diem obit, eiuscemodi verba Leoni filio ac successori locutus, nec non Styliano ipsius

τῷ ἐπιτρόπῳ τῶν βασιλέως υἱῶν, ὅτι Φώτιος ὁ ἀνίερος καὶ ὁ συμμύστης αὐτοῦ Σανταβαρηνὸς τοῦ θεοῦ με μακρύναντες, καὶ ἀλλότριον τῆς δικαίας γνώσεως ποιήσαντες, εἰς τὴν ἴσην μετ' αὐτῶν κόλασιν ἐπεσπάσαντο. καὶ ταῦτα εἰπὼν ἐξέψυξεν, καταλιπὼν Λέοντα καὶ Στέφανον καὶ Ἀλέξανδρον.

C *Κόσμου ἔτος ,ϛτπη', τῆς θείας σαρκώσεως ἔτη ωπη', Ῥωμαίων βασιλεὺς Λέων ἔτη κέ μῆνας θ'. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφὸς κληρικὸς ὢν καὶ σύγκελλος ἦν μετὰ Φωτίου πατριάρχου, ἀνατρεφόμενος παρ' αὐτοῦ καὶ παιδευόμενος. ὁ δὲ Λέων μετὰ τὸ αὐτοκρατορῆσαι ἀπέστειλεν Ἀνδρέαν τὸν στρατηλάτην μετὰ κηρῶν πολλῶν κληρικῶν τε καὶ συγκλητικῶν ἐν Χρυσοπόλει, καὶ ἤγαγεν μετὰ*
D *σπουδῆς πολλῆς καὶ τιμῆς καὶ ὕμνων τὸ λείψανον Μιχαὴλ τοῦ βασιλέως, καὶ ἀπέθετο ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν λάρνακι. Φώτιον δὲ τὸν πατριάρχην ἐπίβουλον φωραθέντα τῆς ἐκκλησίας ἐκβάλλει, καὶ ἐν τῇ μονῇ τῶν Ἀρμενιακῶν τῇ λεγομένῃ τοῦ Γόρδονος περιορίζει· ἔνθα καὶ τελευτᾷ. χειροτονεῖ δὲ Στέφανον σύγκελλον, τὸν ἴδιον αὐτοῦ ἀδελφόν, διά τε Θεοφάνους τοῦ πρωτοθρόνου καὶ λοιπῶν ἀρχιερέων· ὃς καὶ ἔζησεν ἔτη ϛ' καὶ μῆνας ε', καὶ θάπτεται ἐν τῇ μονῇ τῶν Σικεῶν. γέγονε δὲ ἐμπρησμὸς πλησίον τῶν Σοφιῶν καὶ τῆς Σιδηρᾶς, ἐμπρησθέντος καὶ τοῦ ναοῦ τοῦ ἁγίου Θωμᾶ, ὃν αὐτὸς ὁ Λέων λαμπρῶς ἀνε-*
P 462 *καίνισεν. ἄγει δὲ Θεόδωρον τὸν Σανταβαρηνὸν ἀπὸ Εὐχαΐτων ἐν*

liberorum curatori. "profanus Photius eiusque symmysta Santabarenus a deo me procul elongantes, atque a iusta alienum scientia reddentes, in paris me secum supplicii barathrum traxere." haec ubi dixerat, efflavit animam, Leone Stephano et Alexandro liberis relictis.

Mundi annus 6388, divinae incarnationis 888, Romanorum imperator Leo annos 25, menses 9. Stephanus Leonis frater, cum esset clericus ac syncellus, cum Photio versabatur subque eius disciplina erudiebatur. Leo autem rerum summa potitus, misso Andrea militiae magistro cum multis cereis et clericis virisque senatorii ordinis Chrysopolim, ad Michaelis imperatoris reliquias magno studio et cultu ac canticis in urbem inferendas, in sanctorum eas apostolorum in urna deposuit; Photium vero patriarcham ecclesia eiectum in Armeniacorum monasterium relegat, quod Gordonis vocant; ubi et moritur. Stephanum porro fratrem per Theophanem primae sedis episcopum (*πρωτόθρονον* vocant) ac episcopos alios curat ordinari; vixitque annos sex menses quinque, sepeliturque in Siceorum monasterio. conflato ad Sophias et Ferream ingenti incendio absumptum S. Thomae templum ab ipso magnifice Leone reparatum est. Theodoro Santabareno ab Euchaitis in urbem adducto, An-

τῇ πόλει. Ἀνδρέας δὲ ὁ δομέστικος καὶ Στέφανος ὁ μάγιστρος κινοῦσι κατ᾽ αὐτοῦ καὶ τοῦ Φωτίου, ὡς λοιδορηθέντος τοῦ βασιλέως Λέοντος ὑπ᾽ αὐτῶν εἰς Βασίλειον τὸν βασιλέα τὸν πατέρα αὐτοῦ. καὶ τῆς συγκλήτου καταψηφισαμένης αὐτῶν, τὸν μὲν Φώτιον εἴασαν εἰς τοῦ Γόρδονος, τὸν δὲ Σανταβαρηνὸν τύψαντες ἐξώρισαν ἐν Ἀθήναις. εἶτα ἀποστείλας ἐξόπισθεν ὁ βασιλεὺς ἐτύφλωσεν αὐτὸν καὶ ἐν τῇ ἀνατολῇ ἐξώρισεν. μετὰ πολλοὺς δὲ χρόνους παρακληθεὶς τοῦτον εἰσήγαγεν ἐν τῇ πόλει, καὶ προσέταξεν λαμβάνειν ἀννώνας ἐκ τῆς Νέας ἐκκλησίας.

2. Τῷ β′ αὐτοῦ ἔτει τῆς Λαγουβαρδίας διαστασιασάσης B ἀπεστάλη Κωνσταντῖνος ὁ τῆς τραπέζης σὺν πᾶσι τοῖς θέμασι· καὶ συμβολῆς γενομένης μόνος αὐτὸς ὁ Κωνσταντῖνος μόλις ἠδυνήθη διαφυγεῖν, τῶν ἄλλων σφαγέντων καὶ κρατηθέντων. γέγονε δὲ καὶ ἔκλειψις ἡλιακή, ὡς καὶ νύκτα γενέσθαι ἐπὶ ὥρας γ′ καὶ τοὺς ἀστέρας φαίνεσθαι. γεγόνασι δὲ καὶ ἄνεμοι σφοδροὶ καὶ ἀστραπαὶ καὶ βρονταί, ἐξ ὧν ἐκάησαν ἐν τῷ φόρῳ ἄνθρωποι ἑπτά.

3. Τῷ γ′ αὐτοῦ ἔτει ἐπολιορκήθη ἡ Σάμος τὸ κάστρον ὑπὸ τῶν Ἀγαρηνῶν, καὶ αἰχμαλωτίσθη ὁ στρατηγὸς αὐτοῦ ὁ C Πασπαλᾶς. συμφιλιωθεὶς δὲ ὁ βασιλεὺς Ζωῇ τῇ θυγατρὶ τοῦ Ζαούτζα προχειρίζεται αὐτὸν βασιλεοπάτορα, αὐτὸς καινουργήσας τὸ ὄνομα. Συμεὼν ὁ ἄρχων Βουλγαρίας ἐκστρατεύει κατὰ Ῥωμαίων, καὶ πολεμηθεὶς παρὰ τῶν Τούρκων ἡττήθη, καὶ πᾶσα ἡ αἰχμαλωσία ἠγοράσθη παρὰ τοῦ βασιλέως. εἶτα πάλιν τρέπει

dreas domesticus et Stephanus magister in eum Photiumque expostulant, quod Leonem apud Basilium imperatorem eius patrem per calumniam detulerint. senatus sententia Photio concessum ut in Gordonis monasterio ageret; Santabarenus verberibus affectus, Athenas relegatus est. tum post eum mittens imperator oculis orbatum in Asia exsulare iussit. multis vero post annis placatus imperator in urbem reductum ex Nova ecclesia annonas accipere praecepit.

2. Imperii Leonis anno secundo in seditionem mota Longobardia, missus est Constantinus mensae praepositus cum omnibus legionibus; consertaque pugna vix unus ille evadere potuit, reliquis qua necatis qua captis. contigit vero etiam solis deliquium, ut et nox per horam tertiam esset et stellae apparerent. orti etiam venti validi et fulgura et tonitrua, quibus septena capita perierunt in Foro combusta.

3. Imperii Leonis anno tertio expugnata ab Agarenis Samus civitas munita, eiusque praetor Paspalas captivus abductus est. imperator Zoem Zautzae filiam in amoribus habens, Zautzam imperatoris patrem constituit, novum hoc honoris titulo commentus. Symeon Bulgarorum princeps Romanae dicionis loca infestis signis invadens Turcorum adversa acie superatus est. eius captivi omnes ab imperatore redempti

τοὺς Τούρκους, καὶ μετὰ αἰτήσεως ἀναλαμβάνεται τοὺς αἰχμαλώτους, καὶ ποιεῖ εἰρήνην. καὶ μετ' ὀλίγον ἀνατραπείσης πάλιν τῆς εἰρήνης γίνεται πόλεμος εἰς τὸ Βουλγαρόφυγον, καὶ τροπῆς δημοσίας γενομένης πάντες ἀπώλοντο, καὶ ὁ πρωτοβεστιάριος D Θεόδωρος. Στεφάνου τελευτήσαντος πατριάρχου χειροτονεῖται ἀντ' αὐτοῦ πατριάρχης Ἀντώνιος ὁ λεγόμενος Καυλέας.

4. Τῷ ζ' αὐτοῦ ἔτει ἔσφαξαν οἱ Χερσωνῖται τὸν στρατηγὸν αὐτῶν. παρελήφθη καὶ τὸ κάστρον τὸ Κόρον ἐν Καππαδοκίᾳ ὑπὸ τῶν Ἀγαρηνῶν. ὁ βασιλεὺς Λέων πρόκενσον ποιήσας εἰς τὰ Δαμιανοῦ, συνόντος καὶ τοῦ παραδυναστεύοντος Ζαούτζα καὶ τῆς θυγατρὸς αὐτοῦ Ζωῆς ἅμα τῷ βασιλεῖ (ἡ γὰρ πρώτη αὐτοῦ γαμετὴ Θεοφανὼ ἐν τῇ ἁγίᾳ σορῷ τῶν Βλαχερνῶν προσεκαρτέρει εὐχομένη), συμβούλιον ἐποίησαν οἱ τοῦ Ζαούτζα συγγενεῖς, ὅ τε Τζάντζης καὶ οἱ λοιποί, φονεῦσαι τὸν βασιλέα. ἡ Ζωὴ δὲ μετὰ P 463 τοῦ βασιλέως καθεύδουσα, ὡς ᾔσθετο τὸ δεινόν, ἐξύπνισεν αὐτόν· καὶ παρευθὺ εἰς πλοῖον διεπέρασαν εἰς Πηγάς, καὶ τὸ πρωῒ τάχιον εἰσῆλθεν εἰς τὸ παλάτιον.

5. Τούτῳ τῷ ἔτει τελευτᾷ Θεοφανὼ Αὐγοῦστα, βασιλεύσασα ἔτη ιβ'· ἣν μετ' οὐ πολλὰς ἡμέρας ἀνέδειξεν ὁ θεὸς θαυματουργὸν διὰ τὸ ἀζηλότυπον αὐτῆς καὶ ἀμνησίκακον καὶ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς ἀδιαλείπτως προσκαρτερεῖν τῷ θεῷ. ἔστεψεν δὲ Λέων ὁ βασιλεὺς τὴν δευτέραν αὐτοῦ γυναῖκα Ζωὴν

6 ὁ om P

sunt. tum rursus ille Turcos acie fundit, oblataque petitione recipit captivos, et pacem facit. nec multo post everso rursus pacis foedere commissum praelium ad Bulgarophygum, locum sic dictum, fusoque universo exercitu una omnes clade prostrati sunt atque enecti, et in eis Theodorus protovestiarius. Stephano patriarcha vita functo, eius loco Antonius Cauleas ordinatur.

4. Imperii Leonis anno septimo Chersonitae praetorem suum contrucidarunt. Corum oppidum in Cappadocia ab Agarenis captum. facto processu cum Leo imperator ad S. Damiani venisset, unaque etiam imperii adiuva Zautzas adesset, nec non Zoe Zautzae filia (prima enim eius uxor Theophano in sancta Soro Blachernarum precibus assidua erat), consilium inierunt Zautzae cognati, tum Tzantzes tum reliqui, ut imperatorem necarent. Zoe autem in imperatoris sinu dormiens, ut malum sensit deprehenditque insidias, ipsum excitavit; confestimque navigio in Pegas transfretarunt, ac mane celerius ad palatium sese receperunt.

5. Hoc anno Theophano Augusta diem obit, cum imperasset annos duodecim. hanc deus post non multos dies miraculorum effectricem reddidit, iccirco quod zelotypiae vitio nihil laborans, nec iniuriarum quicquam memor, eleemosynis et orationibus deo assidue vacaret. porro Leo imperator alteram coniugem suam Zoem Zautzae filiam corona do-

τὴν θυγατέρα τοῦ Ζαούτζα, καὶ εὐλογεῖται μετ' αὐτῆς παρά τινος κληρικοῦ τοῦ ἐπίκλην Συνεύπης. καὶ ὁ μὲν εὐλογήσας καθῃρέθη, B ἡ δὲ ἐβασίλευσεν ἔτος α' μῆνας η', καὶ ἐτελεύτησεν. ἔφερον δὲ λάρνακα εἰς τὸ ἀποτεθῆναι τὸ σῶμα αὐτῆς, ἔχουσαν ἔσωθεν γράμματα κεκολαμμένα γράφοντα οὕτως "θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος." πλησίον δέ, τοῦ Μαΐου μηνός, οἰκοδομήσας ναόν, τὴν ἁγίαν Ζωήν, κατατίθησιν αὐτήν. καὶ πλησίον τῶν ἁγίων ἀποστόλων ἐξωνησάμενος οἰκήματα Λέων ὁ βασιλεὺς κτίζει ἐκκλησίαν περικαλλῆ εἰς ὄνομα Θεοφανῶ τῆς πρώτης αὐτοῦ γυναικός, καὶ κατατίθησι καὶ ταύτην ἐκεῖ.

6. Τῷ θ' αὐτοῦ ἔτει ἐπιβουλῆς γενομένης Λέοντι τῷ βα- C σιλεῖ παρὰ τῶν συγγενῶν τοῦ Ζαούτζα, καὶ διαγνωσθείσης, πάντας κρατήσας ἐξώρισεν, καὶ ἐξωλόθρευσεν τὴν συγγένειαν τοῦ Ζαούτζα ἅπασαν.

7. Τῷ ι' αὐτοῦ ἔτει τελευτᾷ Ἀντώνιος πατριάρχης, καὶ χειροτονεῖται Νικόλαος πατριάρχης μυστικὸς τοῦ βασιλέως. τότε καὶ ἡ Δημητριὰς παραλαμβάνεται ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ. στέφει δὲ ὁ βασιλεὺς Ἄνναν θυγατέρα Ζωῆς τῆς τοῦ Ζαούτζα, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου κλητόρια μὴ οὔσης Αὐγούστης.

8. Τῷ ια' ἔτει αὐτοῦ ἠγάγετο ὁ βασιλεὺς τρίτην ἑαυτοῦ D γυναῖκα τὴν ἀπὸ τοῦ Ὀψικίου Εὐδοκίαν, στέψας αὐτὴν καὶ ἀνα-

2 Σινάπης margo P

navit, ac cum ea, comprecante clerico quodam Syneupes nomine, benedictionem subit. qui benedictione impartierat minister, officio motus est: Zoe vero, annum unum menses octo imperio potita, defuncta est. inventa autem est urna, ad eius condendum cadaver, literis eiusmodi intus insculpta "filia Babylonis misera." haud procul autem, mense Maio, exstructo templo titulo Sancta Zoe, eam sepelivit. prope etiam templum sanctorum apostolorum, coemptis Leo imperator aedibus perpulchram ecclesiam aedificat, prioris suae coniugis Theophanus nomine; cuius et funus in ea deponit.

6. Imperii Leonis anno nono coniuratione in Leonem imperatorem a Zautzae consanguineis facta atque prodita, captos omnes exsilio multavit eiusque omnem cognationem disperdidit.

7. Imperii Leonis anno decimo, mortuo Antonio patriarcha, ordinatur patriarcha Nicolaus imperatoris mysticus. tunc quoque Demetrias a Damiano Agareno capitur. corona vero imperator Annam donat, Zoes Zautzae filiae filiam, quod cum nulla esset Augusta, constituta ex more convivia celebrare non posset.

8. Imperii Leonis anno undecimo duxit imperator tertiam suam uxorem ex Opsicio Eudociam, ipsam corona donans ac Augustam ap-

γορεύσας· ἥτις ἐξ αὐτοῦ ἄρρενα γεννήσασα παῖδα ἐτελεύτησεν. ἀπέθανε δὲ καὶ τὸ γεννηθὲν παιδίον.

9. Τῷ ιγ′ αὐτοῦ ἔτει κτίζει ὁ βασιλεὺς εἰς τοὺς λεγομένους Τόπους ναὸν ἅγιον Λάζαρον, καὶ κατασκευάζει μονὴν ἀνδρῴαν εὐνούχων· ἐν ᾧ καὶ τὸ τοῦ ἁγίου Λαζάρου σῶμα καὶ Μαρίας τῆς Μαγδαληνῆς ἀπέθετο. τούτῳ τῷ καιρῷ παραδίδοται Ταυρομένιον τοῖς Ἀγαρηνοῖς.

10. Τῷ ιε′ ἔτει παρελήφθη ἡ νῆσος Λῆμνος ὑπὸ τῶν Ἀγαρηνῶν.

P 464 11. Τῷ ις′ ἔτει ἐν τῇ προελεύσει τῆς πεντηκοστῆς τοῦ βασιλέως εἰσοδεύοντος εἰς τὸν ἅγιον Μώκιον, ὃν πρώην φασὶν Ἡρακλέους εἶναι ναόν, ἐπεὶ πλησίον τῆς σωλέας ἦλθεν, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος ἔδωκεν αὐτῷ κατὰ κεφαλῆς μετὰ ῥάβδου ἰσχυρᾶς καὶ παχείας· καὶ εἰ μὴ εἰς πολυκάνδηλον ἡ ῥάβδος ἐνεποδίσθη, παρευθὺ ἂν τοῦ ζῆν αὐτὸν ἀπήλλαξεν. τοῦ δὲ αἵματος σφοδρῶς καταρρέοντος ταραχὴ καὶ φυγὴ τῶν ἀρχόντων γέγονε. διὸ καὶ τοῦ ἀδελφοῦ Ἀλεξάνδρου νόσον προφασισαμένου καὶ ἐν τῇ εἰσόδῳ μὴ κατελθόντος, ὑπόληψις γέγονε τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸν
B κατεργάσασθαι. κρατηθέντος τοῦ δόντος τῷ βασιλεῖ, καὶ πολλὰς βασάνους καὶ τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα καθωμολόγησεν, ἐκκόπτεται χεῖρας καὶ πόδας καὶ ἐν τῷ σφενδόνι τοῦ ἱππικοῦ καίεται. ἔκτοτε οὖν ἐξεκόπη ἡ τοιαύτη

10 Georgius et alii *μεσοπεντηκοστῆς*, qui longe dies alius est, paschae medius et pentecostes. Combef. 22 *τῇ σφενδόνῃ?*

pellans. haec suscepta ex illo prole mascula mortua est; mortua et ipsa suscepta proles.

9. Imperii Leonis anno tertio decimo aedificat imperator, ad Topos quos vocant, templum S. Lazari nomine, virorumque spadonum monasterium construit. ibi etiam S. Lazari corpus et Mariae Magdalenae condidit. per id tempus Tauromenium traditum Saracenis.

10. Anno quinto decimo, capta ab Agarenis Lemnus insula.

11. Anno sexto decimo, in sanctae pentecostes processu, introeunte imperatore ad S. Mocii, quod olim Herculis fanum fuisse dicunt, cum prope soleam venisset, egressus quidam ex ambone robustum fustem et crassum in eius caput impegit; ac nisi ictus candelabri pensilis multifidi interiectu retardatus fuisset, extemplo sustulisset. large itaque defluentibus ex capite cruoris rivis, territi proceres fugam arripuere. hinc quoque suspicio fuit Alexandrum eius fratrem, quod morbum causatus pompae ingressus non adfuerat, insidiarum auctorem exstitisse. apprehensus autem qui ictum dederat, diesque multos tormentis examinatus, quod nullum coniurationis auctorem sociumve detexerat, manibus pedibusque excisis ad Circi metam combustus est. ex tunc ergo istiusmodi

προέλευσις. καὶ μετά τινα καιρὸν ἀνῆλθεν Μάρκος ὁ σοφώτατος οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας, ὃς ἦν ἀναπληρώσας τὸ τετράῳδον τοῦ κυροῦ Κοσμᾶ τῆς μεγάλης ἑβδομάδος ἤτοι τοῦ μεγάλου σαββάτου, πρὸς τὸν βασιλέα, καὶ συνεστιώμενος αὐτῷ ἐξελιπάρει μὴ ἐκκοπῆναι τὴν ἑορτήν. καὶ τοῦ βασιλέως ἀπαναινομένου ἔφη ὁ Μάρκος ὅτι προείρηται τοῦτο παρὰ τοῦ Δαβίδ· φησὶ γὰρ "ὅσα C ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐπὶ τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου." καὶ δεῖ σε, ὦ δέσποτα, ἀπὸ τοῦ νῦν κρατῆσαι τῆς βασιλείας ἔτη δέκα. ὃ δὴ καὶ γέγονε· τῇ γὰρ αὐτῇ ἡμέρᾳ ᾗ ἔλαβεν, τῇ αὐτῇ καὶ τελευτᾷ.

12. Τῷ ιζ' ἔτει ἠγάγετο ὁ βασιλεὺς καὶ τετάρτην γυναῖκα, Ζωὴν ὀνομαζομένην τὴν Καρβουνοψίναν.

13. Τῷ ιη' ἔτει ἀνέρχεται κατὰ τῆς πόλεως ὁ στόλος τῶν Ἀγαρηνῶν ἅμα τῷ Τριπολίτῃ. Τριπολῖται δὲ ἐκλήθησαν διὰ τὸ τριῶν ἐκ γενεῶν συναχθῆναι, ἐξ Ἀράβων καὶ Τυρίων καὶ Σιδο- D νίων ἀποίκων. ὡσαύτως δὲ καὶ τὸ Αἰγαῖον πέλαγος τὴν κλῆσιν ἀπείληφεν ἀπὸ τῆς τῶν ὑδάτων φορᾶς, ἀϊσσούσης κατὰ τρόπον αἰγός. ὁμοίως δὲ καὶ Στρόβηλος ὠνομάσθη ἀπὸ τῆς τοπικῆς θέσεως, καὶ Λάμψακος ἀπὸ φωτὸς λάμψεως, ὅπερ ἐν νυκτὶ Φωκέων θεμελιούντων ταύτην καὶ εὐξαμένων θεόθεν ἐπέλαμψεν, καὶ ἡ τῶν θεμελίων βάσις καλῶς κεκραταίωται. καὶ Ἴμβρος ἀπὸ Ἴμβρου κέκληται υἱοῦ Ἀνθέος,

processus abrogatus est. aliquanto autem post tempore ascendit sapientissimus eius ecclesiae oeconomus Marcus, is qui magnae hebdomadae (id est magni sabbati) tetraodium (canonem scilicet quattuor stropharum) domni Cosmae absolvit, ad imperatorem; exceptusque convivio rogabat ne eam festivitatem pompamque abrogatum iret. abnuente autem imperatore, ait Marcus "sic nempe a Davide praedictum erat. ait enim, quanta malignatus est inimicus in sancto tuo? et gloriati sunt qui oderunt te, in medio solennitatis tuae (Ps. 73 3)? estque necesse, domine, ut ab hinc annos decem imperium teneas." quod et contigit: eadem enim ipsa die qua ictum acceperat, evoluto annorum circulo mortuus est.

12. Anno decimo septimo duxit imperator etiam quartam uxorem, Zoem, quam vocant, Carbunopsinam.

13. Anno decimo octavo ascendit navalis Agarenorum exercitus cum Tripolita adversus Byzantium. dicti vero sunt Tripolitae, quod ex tribus nationibus collecti sint, ex Arabibus et Tyriis et Sidoniis convenis. similiter vero etiam Aegaeum mare ab aquarum impetu, ac quod velut caprae in morem (Graeci *αἶγα* vocant) subsultet, nomen accepit. Stobelus a loci situ. Lampsacus a lucis fulgore, Phocensibus fundamenta locantibus ac orantibus, e caelo noctu delapso, quo, favente numine, firma murorum stetit compago. Imbrus ab Imbro vocata, Anthei

οὗ γενέτης Στάφυλος, Διονύσου φίλτατος υἱός.

P 465 καὶ Ἑλλήσποντος ἀπὸ Ἕλλης τῆς Φρίξου ἀδελφῆς, τῷ ἐκεῖσε πελάγει ῥιφείσης. Κιβύρρα δὲ ὑπὸ Κιβύρρου ἀδελφοῦ. ἡ δὲ Θάσος Χρυσῆ πρώην ἐλέγετο. Σαμοθράκη δὲ ἡ ἐν τῇ Θράκῃ χερρόνησος, ἥτις πρώην Θηριοῦσα διὰ τὸ θηρίων πεπληρῶσθαι, καὶ ἱερὰν νυμφῶν οὖσαν, ὠνομάζετο, μετέπειτα δὲ τοῦ ῥοῦ συρραγέντος εἰς νῆσον συνέστη, καὶ ὑπὸ Σαμίων κατοίκων ἐν κατασχέσει γενομένη Σαμοθράκη μετωνομάσθη. Λαοδίκεια κατωνομάσθη ἀπὸ τῆς γυναικὸς Σελεύκου τοῦ Ἀντιόχου, ὃς ἐπὶ τῷ ὀνόματι ταύτης ἔκτισε τὴν Λαοδίκειαν. Τένεδος δὲ ἀπὸ τοῦ Τέννου τοῦ υἱοῦ Κύκνου τοῦ Ποσειδῶνος, καὶ τοῦ ἐν αὐτῇ ἱεροῦ ἕδους τῆς B Ἀθήνης. Μεσημβρία δὲ ἡ πρὶν Μεμνεβρία, ἀπὸ τοῦ Μέμνου Θρᾳκὸς τοῦ ταύτην οἰκίσαντος καὶ βρία τὸ παρά τισι Θρᾳκῶν πόλισμα λεγόμενον· πρὸς δὲ τὸ εὐφραδέστερον Μεσημβρία νῦν ὀνομάζεται. Αἷμος ἀπό τινος ἀναιρεθέντος ἐκεῖσε δι' Ἡρακλέους καὶ τὸν τόπον αἱμάξαντος· ἀκρωτήριον δέ ἐστι Θρᾴκης. Μήδεια ἀπὸ Μήδης τῆς Αἰήτου θυγατρὸς κατωνόμασται. Σηλυβρία ἀπὸ Σήλυος τοῦ Θρᾳκῶν βασιλέως, ὅστις αὐτὴν ᾤκισεν. Μακεδονία ἡ πρὶν Ἀμαθία λεγομένη ἀπὸ ἀρχαίου τινὸς ἡγεμόνος. ἦν δὲ καὶ πόλις Ἀμαθία λεγομένη πρὸς τῇ θαλάσσῃ τῷ ἔθνει ἐπώνυμος. C Νικόπολις κατὰ τὸ ἐπώνυμος τῆς νίκης, ἣν Αὔγουστος Σεβαστὸς κατὰ Ἀντωνίου καὶ Κλεοπάτρας εἰργάσατο, καὶ τὴν Αἰγυπτίων ἀρχὴν τοῖς Ῥωμαίοις ὑπέκλινεν. Ἱερὸν Εὐξείνου, ὃ παρὰ τῶν

11 Περσιδῶνος P et αἰδοῦς 12 μὲν Νεβρία P Μεμνουδρακὸς P

filio, cuius pater Staphylus, Dionysii carissima proles. Hellespontus ab Hella Phrixis sorore, in illud proiecta mare. Cibyrrha vero a Cibyrrho fratre. Thasus Chryse olim vocata. Samosathracia, quae in Thracia est peninsula, olim Theriusa dicta, quod bestiis plena esset et quod Nymphis sacra: postea vero cum fluxus collisione a continenti divisa insula facta esset et Samiis colonis possessa, mutato nomine Samothracia ab illis appellata est. Laodicea nominata est ab uxore Antiochi Seleuci, qui eius nomine Laodiceam condidit. Tenedus vero a Tenno Cycni filio Neptuni nepote, ac delubro quod in ea est, Minervae sacro. Mesembria, quae prius Memnebria, a Memno Thrace eius conditore, et Bria, quod apud Thraces nonnullos civitatem vocant: lenius autem efferendi gratia Mesembria modo nuncupatur. Haemus a quodam ibi ab Hercule interempto, cuius cruore locus tinctus sit: est vero Thraciae promontorium. Media a Meda Aeetae filia nomen adepta est. Silybria a Silyo Thracum rege, qui eo coloniam duxit. Macedonia, quae pridem Amathia, ad mare sita, commune habet cum gente nomen. Nicopolis ab Augusti victoria de Antonio et Cleopatra, ac quae Romanis fascibus Aegyptiorum sceptra inclinavit. Hierum Euxini (quasi dicas

τῆς Ἀργοῦς πλωτήρων διερχομένων ἐκεῖσε ἀνίδρυται. Φάρος δὲ ἀφιδρυμάτιον ᾧ πυρσὸς ἐπιτίθεται εἰς ὁδηγίαν ἀπρόσκοπτον τοῖς ἐν νυκτὶ παροδίταις. Ῥῶς δέ, οἱ καὶ Δρομῖται, φερώνυμοι ἀπὸ Ῥῶς τινὸς σφοδροῦ διαδραμόντες ἀπηχήματα τῶν χρησαμένων ἐξ ὑποθήκης ἢ θεοκλυτίας τινὸς καὶ ὑπερσχόντων αὐτούς, ἐπικέκληνται. Δρομῖται δὲ ἀπὸ τοῦ ὀξέως τρέχειν αὐτοῖς προσεγένετο. ἐκ γένους δὲ τῶν Φράγγων καθίστανται. ὁ δὲ Τρικέφαλος βουνὸς κατὰ τὸ Ὀψίκιον ἀπὸ τοῦ τριχῇ κεφαλοῦσθαι τῷ σχήματι εἴρηται, D ὥσπερ καὶ Ῥαδηνὸς ἀπὸ Ῥάδης κώμης τοῦ τῶν ἀνατολικῶν θέματος.

14. Ἀποστέλλει οὖν ὁ βασιλεὺς Εὐστάθιον δρουγγάριον τῶν πλωΐμων μετὰ παρόντος τοῦ στόλου καὶ τῶν στρατιωτῶν κατ' αὐτοῦ· οἳ καὶ μὴ δυνηθέντες ἀντιπαρατάξασθαι ἀπεστράφησαν κενοί. ἐλθόντων δὲ τῶν Ἀγαρηνῶν ἐν Ἀβύδῳ, ἠρώτησαν τοὺς ἀπάγοντας αὐτοὺς ὅτι πάλιν ταύτην τὴν ὁδὸν θέλομεν ὑποστρέψαι, ἢ ἔχομεν ἄλλην δι' ἧς ἀπέλθωμεν εἰς τὰ οἰκεῖα. τῶν δὲ εἰπόντων ὅτι διὰ ταύτην βουλόμεθα ἀποστραφῆναι, φοβηθέντες τὸ στενὸν τῆς ὁδοῦ, οἷα τὰ κρίματα τοῦ θεοῦ, εὐθὺς ὑποστρέφουσι, καὶ P 466 τὴν Θεσσαλονίκην καταλαβόντες πορθοῦσιν αὐτήν, καὶ πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν ποιοῦσι. βουλομένων δὲ αὐτῶν καὶ τὴν πόλιν καταστρέψαι, Συμεὼν ὁ πρωτοασηκρῆτις εὑρεθείς, λαβὼν πρὸς Ῥοδοφυλλίου τοῦ ἀποσταλέντος πρὸς τοὺς Φράγγους μετὰ

2 ἀφίδρυμά τι? cf. p. 490 b

templum) ab Argonautis illac iter habentibus fundatum est. Pharus eiusmodi substructa moles cui facula imponitur, ut inter offusas noctis tenebras inoffensi viatores dirigantur. Russi, qui et congruo rei nomine Dromitae nuncupantur, a Ros quodam viro forti, cum sive monitu ac consilio sive divino quodam afflatu ac oraculo, pro potestate illis utentium eisque superiorum, iniurias noxamque evasissent, dicti sunt. Dromitae vero ut appellarentur, cursus celeritas causam dedit: genus autem ex Francis ducunt. Tricephalus collis, qui Opsicii est, a figura, qua triplici tumulo assurgit, nomen accepit. Rhadenus a Rhada oppido Anatolicorum thematis.

14. Missus itaque ab imperatore in eius occursum Eustathius navalium copiarum drungarius cum classe et militia armata, quanta in promptu fuit; cumque iungendi aciem facultas negata esset, re infecta reversi sunt. Agareni Abydum appulsi ex ductoribus sciscitantur num hac rursus via reversuri essent, vel alia tenenda, qua ad patriam redirent. auditoque hac revertendum esse, viae angustias veriti (quae dei iudicia sunt!) confestim versa puppi revertuntur. capta direptaque Thessalonica; multaque civium strage data plures etiam captivos abducunt. cumque animus esset ut et ipsam urbem everterent, occurrit Symeon eorum primus qui sunt a secretis. is acceptis a Rhodophyllio

κανισκίου χρυσίου λίτρας ρ'. ὃς καὶ δέδωκεν τό τε χρυσίον καὶ τὸ κανίσκιον τοῖς Σαρακηνοῖς· καὶ εἴασαν τὴν πόλιν καὶ τὰ τείχη.

15. Τῷ ιθ' ἔτει αὐτοῦ τοῦ Σαμωνᾶ φυγῇ πρὸς Συρίαν χρησαμένου, ἐπεὶ κατεδίωκον αὐτὸν ὄπισθεν, ἦλθε δὲ καὶ εἰς τὸν B Ἅλυν, συναντᾷ αὐτῷ Νικηφόρος δρουγγάριος ὁ Καμύτζης, μὴ ἐῶν αὐτὸν διαπερᾶσαι. προσφεύγει οὖν τῷ τιμίῳ σταυρῷ τοῦ Σηριχᾶ, προφασισάμενος εὐχῆς χάριν ἐκεῖσε ἐληλυθέναι. ἀναλαβόμενος οὖν τοῦτον ὁ τοῦ Δουκὸς Κωνσταντῖνος ὑπέστρεψεν ἐν τῇ πόλει. προστάσσει οὖν ὁ βασιλεὺς φυλάττεσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ Βάρδα τοῦ Καίσαρος. ἐπεὶ δὲ ἤθελεν ὁ βασιλεὺς ἀποσυνοψισθῆναι τὸν Σαμωνᾶν, παρήγγειλεν τῷ Δουκὶ μὴ εἰπεῖν ἐνώπιον τῆς συγκλήτου ὅτι ἐπὶ Συρίαν ἔφυγεν ὁ Σαμωνᾶς, ἀλλ' ὅτι δι' εὐχὴν ἀπῆλθεν ἐν τῷ Σηριχᾷ. ἠρώτησεν οὖν ὁ βασιλεὺς τὸν C Κωνσταντῖνον ἐνώπιον τῆς συγκλήτου οὕτως, ὡς ἔχει, τὸν θεὸν καὶ τὴν κεφαλήν μου, ἔφευγεν ὁ Σαμωνᾶς ἢ οὐχί; ὁ δέ, ὡς εἰπόντος τῷ βασιλεῖ ὅτι ἔφευγεν, μετ' ὀργῆς τοῦτον ἀπεπέμψατο. ὁ δὲ Σαμωνᾶς ἐποίησεν ἐν τῷ οἴκῳ τοῦ Βάρδα μῆνας δ'.

16. Ἐφάνη δὲ τότε καὶ κομήτης ἀστήρ, τὰς ἀκτῖνας πέμπων κατ' ἀνατολάς, καὶ φαινόμενος ἐν ἡμέραις καὶ νυξὶ τεσσαράκοντα.

17. Τῷ κ' τούτου ἔτει ἀποσυνώψισε Σαμωνᾶς ἐν τῇ γέννᾳ τοῦ υἱοῦ τοῦ βασιλέως Κωνσταντίνου, τοῦ ἀπὸ Ζωῆς τέταρτον

15 οὕτως ἔχεις p. 558 d

auri centum libris, quas in cistella ad Francos deferebat, iisque cum ipsa cistella Agarenis datis, urbem ac moenia ab illorum furore exitioque redemit.

15. Imperii Leonis anno decimo nono, Samona in Syriam fugiente, missi sunt qui a tergo insequerentur: eumque assecutus, dum Halym transire parat, Nicephorus drungarius, sic dictus Camytzes, iter inhibet. profugit ergo ad venerabilem crucem Serichanam, simulans eo se voti causa venisse. assumptum vero Constantinus Ducis filius secum in urbem reduxit; imperator reductum in Bardae Caesaris domo iubet custodiri; volensque indulgentius cum eo agi, mandat Duci ne coram senatu dicat Samonam in Syriam fugisse, sed voti causa in Sericha venisse. interrogante itaque imperatore Constantinum in praesentia senatus, in haec verba "sic deum meamque salutem ames: fugiebat Samonas in Syriam, necne?" respondit ille "fugiebat." quo responso iratus imperator ac infrendens eum reppulit. Samonas vero in Bardae aedibus menses quattuor egit.

16. Tunc vero etiam cometa apparuit, proiiciens versus Orientem radios, lucensque per dies quadraginta ac totidem noctes.

17. Imperii Leonis anno vigesimo in gratiam receptus est Samonas, inque aulam admissus in natali Constantini Leonis filii ex Zoe,

αὐτοῦ γαμετῆς οὔσης, καὶ ἐβαπτίσθη τὰ ἅγια Θεοφάνεια ὑπὸ D Νικολάου πατριάρχου, καὶ γέγονε καὶ πατρίκιος.

18. Τῷ κα' ἔτει αὐτοῦ εὐλογήθη Λέων καὶ Ζωὴ μετὰ τὴν ἑορτὴν παρὰ Θωμᾶ πρεσβυτέρου τοῦ καὶ καθαιρεθέντος, καὶ ἀνηγόρευσε τὴν ἑαυτοῦ γαμετὴν Ζωὴν Αὐγούσταν. ὅθεν ὁ πατριάρχης ἐκώλυσε τὸν βασιλέα εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι. διὸ καὶ ἤρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι τοῦ μιτατωρικίου, μηδ' ὅλως εἰς τὰ κατὰ συνήθειαν διερχόμενος.

19. Τῷ κβ' τούτου ἔτει προβάλλεται τὸν Σαμωνᾶν ὁ βασιλεὺς παρακοιμώμενον διὰ τὸ εἶναι συνεργὸν αὐτοῦ πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν, καὶ κατὰ τῆς ἐκκλησίας ἄρχονται μελε- P 467 τᾶν. προσκαλοῦνται γὰρ Νικόλαον τὸν πατριάρχην, καὶ πολλὰ λιπαροῦσι δεχθῆναι τὴν τετραγαμίαν. ἐπεὶ δὲ οὐκ ἔπεισε, διὰ τοῦ Βουκολέοντος εἰς μικρὸν πλοιάριον ἐμβιβάσαντες εἰς τὴν Ἱερείαν περῶσιν, ἀφ' ἧς πεζῇ μέχρι Γαλακρηνῶν μόλις ἀπῄει, χιόνος ἐπικειμένης πολλῆς. χειροτονεῖται δὲ ἀντ' αὐτοῦ Εὐθύμιος σύγκελλος εἰς πατριαρχίαν, ἀνὴρ ἱεροπρεπής, ἐγκρατής τε καὶ εὐλαβὴς πάνυ· ὅν φασι καταδέξασθαι τὴν τετραγαμίαν ἐξ ἀποκαλύψεως θείας, ὡς τοῦ βασιλέως βουλομένου αἵρεσιν ποιῆσαι καὶ νόμον ἐνθεῖναι τοῦ ἔχειν ἄνδρα τρεῖς γυναῖκας ἢ τέσσαρας, πολ- B λῶν τοῦτο λογικωτάτων ἀνδρῶν συνεργούντων αὐτῷ.

20. Τῷ Ἰουνίῳ μηνὶ γέγονεν ἄνεμος λὶψ Τριτωναῖος σφο-

illius quarta uxore; qui et baptizatus a Nicolao patriarcha in sancto Theophaniorum die, quando et patricius Samonas creatus est.

18. Imperii Leonis anno vigesimo primo benedictionem nuptiali ritu consecuti sunt Leo et Zoe, post festae lucis peracta solennia, Thoma presbytero administro, qui et gradu motus est: uxorem quoque Zoem Leo Augustam proclamavit. hinc ecclesiae ingressu Leoni interdictum a patriarcha; unde et ingrediebatur a dextro latere mitatoricii, nec via consueta ullo modo transibat.

19. Imperii Leonis anno vigesimo secundo imperator Samonam accubitorem praeficit, quo videlicet adiutore ac socio ad omne scelus ac nequitiam uteretur; amboque adversus ecclesiam moliri incipiunt. accersentes enim Nicolaum patriarcham etiam atque etiam rogant ut quartarum nuptiarum lex recipiatur. quod vero is in eam se sententiam adduci minime passus esset, per Bucoleonem lintri impositum in Hieriam traiecerunt; indeque pedes ad Galacrenas, solo copiosa nive constrato, aegre pervenit. eius vero loco ordinatur patriarcha Euthymius syncellus, vir religiosa modestia continensque ac valde pius, quem ex divina revelatione aiunt quartas illas nuptias suscepisse; quippe cum imperator haeresim inducere vellet ac legem edere, licere viro tres quattuorve uxores habere, cum multi viri eruditissimi in hoc illi suffragarentur.

20. Mense Iunio ortus ventus Africus Tritonaeus validissimus,

δρύς, ὥς συσσεῖσαι οἰκήματα καὶ ἐκκλησίας, καὶ πάντας φεύγειν ἐν ὑπαίθροις καὶ λέγειν κοσμικὴν συντέλειαν εἶναι. ἀλλὰ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ δι' ὄμβρων ἐπαύθη.

21. Τῷ κγ' ἔτει στόλος Σαρακηνῶν κατὰ Ῥωμαίων ἐξῆλθεν. προεβάλετο δὲ ὁ βασιλεὺς Ἱμέριον τὸν λογοθέτην κεφαλὴν
C πάντων τῶν πλωΐμων. γράφει δὲ καὶ Ἀνδρονίκῳ τῷ Δουκὶ συνελθεῖν τῷ Ἱμερίῳ. ὁ δὲ Σαμωνᾶς ἀδιάλλακτος ὢν τῷ Ἀνδρονίκῳ καὶ παντὶ τρόπῳ κακῶσαι αὐτὸν σπουδάζων, πείθει τινὰ γράψαι αὐτῷ κρύφα "μὴ εἰσέλθῃς εἰς τὰ καράβια καὶ κρατηθῇς παρὰ Ἱμερίου." πολλὰ δὲ τὸν Ἀνδρόνικον ἀναγκάσαντος εἰσελθεῖν σὺν αὐτῷ τῶν Ἀγαρηνῶν ἐπικειμένων οὐκ ἐπείσθη. Ἱμέριος δὲ μόνος ἐν τῇ ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰργάσατο. τοῦτο μαθὼν Ἀνδρόνικος καὶ ἀπογνοὺς σὺν τοῖς συγγενέσιν αὐτοῦ καὶ ἀνθρώποις ἀποστασίαν
D ἐποίησε, καὶ ἀπελθὼν ἐκράτησεν τὴν Κάβαλαν πόλιν, ὥς εἰπεῖν Σαμωνᾶν πρὸς τὸν βασιλέα "οὐκ ἔλεγον, ὦ δέσποτα, ἀντάρτην εἶναι τὸν Δοῦκα;"

22. Τῷ κδ' ἔτει ἀπέστειλεν ὁ βασιλεὺς Γρηγορᾶν τὸν δομέστικον τῶν σχολῶν τὸν Ἰβηρίτζην, συμπένθερον ὄντα Ἀνδρονίκου, εἰς τὸ καταπολεμῆσαι αὐτόν. μαθὼν δὲ τοῦτο Ἀνδρόνικος, ἀκούσας τε ὅτι καὶ ὁ πατριάρχης τῆς ἐκκλησίας ἐξεώσθη, προσέφυγε τοῖς Ἀγαρηνοῖς ἅμα συγγενέσι καὶ φίλοις. ἐλυπήθη δὲ Λέων

5 Ἡμέριον p. 229 b 16 Σαμωνὰ P

adeo ut aedes sacras profanasque concuteret, cunctique ad subdivalia loca fugerent, ac mundi consummationem esse dicerent. dei tamen clementia ac bonitate imbrium vi sedatus est.

21. Anno vigesimo tertio Saracenorum classis Romanam dicionem invasit. imperator vero Himerium logothetam navalium omnium copiarum ducem ac caput praefecit; scribitque Andronico duci ut se adiungat Himerio. porro Samonas implacabili in Andronicum odio, omnique modo labem ei inferre studens, auctor est cuidam ut occulte ad eum scribat "cave sis naves ingrediaris et ab Himerio capiaris." multis itaque rogans urgensque Andronicum, ingruentibus Agarenis, ut secum ingrederetur, id vero impetrare non potuit. solus ergo Himerius in S. Thomae solenni die cum Agarenis congressus magnam victoriam reportavit. qua re cognita, Andronicus in desperationem adductus cum affinibus ac comitatu in defectionem adactus est; abiensque Cabalam oppidum occupavit, adeo ut Samonas imperatori obiectaret "nonne dicebam, domine, Ducem rebellem fore?"

22. Anno vigesimo quarto misit imperator Gregoram scholarum domesticum, quem Iberitzem vocant, Andronici ex uxore affinem, ad eum expugnandum. quod cum didicisset Andronicus, ac Nicolaum patriarcham ecclesia eiectum audivisset, ad Agarenos una cum cognatis et familia amicisque confugit. ea res Leonem moleste habuit. ac vero

εἰς τοῦτο, καὶ δὴ Σαρακηνὸν ἀπὸ τοῦ πραιτωρίου φιλοφρονησάμενος ἀπέστειλε πρὸς τὸν Ἀνδρόνικον μετὰ χρυσοβούλλιον διὰ κι- P 468
ναβάρεος, βαλὼν αὐτὸ ἔνδοθεν φατλίου τράκτου βραχέος. ἐξελθόντος δὲ τοῦ Σαρακηνοῦ ἀπὸ προσώπου τοῦ βασιλέως, προσκαλεῖται αὐτὸν ὁ Σαμωνᾶς, καί φησιν "οἶδας τί κρατεῖς;" τοῦτο εἰπὼν διὰ τὸν κηρόν· "τὴν ἀπώλειαν τῆς Συρίας." καὶ δοὺς αὐτῷ χρήματα παρήγγειλεν εἰς τὴν χεῖρα τοῦ Οὐζὴρ βαλεῖν αὐτό. ὁ δὲ τοῦτο πεποίηκεν. κρατεῖται οὖν καὶ δεσμεῖται Ἀνδρόνικος καὶ οἱ σὺν αὐτῷ· καὶ μαθὼν ὡς τοῦτο γέγονεν αὐτῷ διὰ δόλου τοῦ Σαμωνᾶ, ἀναγκασθεὶς ἐμαγάρισεν. ὁ δὲ Κωνσταντῖνος καὶ οἱ λοιποὶ εἰδότες ὡς ἀδύνατόν ἐστι τὸν Ἀνδρόνικον ἐξελθεῖν, μετ' B
οὐ πολὺ τῇ βουλῇ αὐτοῦ μόνοι φυγῇ χρησάμενοι, ὅπερ θαύματος ἄξιον, ἐκ μέσης Συρίας εἰς Ῥωμανίαν ἐξῆλθον, κατὰ χώραν πολεμούμενοι.

23. Τότε ἀπὸ Ταρσοῦ ἐλθὼν ἐν τῇ πόλει περὶ τοῦ διαλλαγῆναι ὅ τε Ἀβαλβάκης ὁ γέρων καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ· οὓς καὶ δεξάμενος ὁ βασιλεὺς ὑπέδειξεν τὸν τῆς ἐκκλησίας κόσμον, ὅπερ ἀνάξιόν ἐστιν Χριστιανικῆς καταστάσεως, τοῦ θεάσασθαι παρὰ τῶν ἀθέων τὰ ἱερὰ σκεύη τοῦ θεοῦ. ὁ δὲ τοῦ Σαμωνᾶ πα- C
τὴρ ἤθελε συνεῖναι τῷ υἱῷ αὐτοῦ καὶ μὴ εἶναι εἰς Συρίαν. ὁ δὲ Σαμωνᾶς παρῄνεσεν αὐτῷ, λέγων "κράτει τὴν πίστιν σου. κἀγὼ εἰ δυνηθῶ, ἐλεύσομαι μᾶλλον πρός σε."

24. Τῷ κε' ἔτει αὐτοῦ, τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς, στέ-

Saracenorum unum e praetorio blande habens muneribusque concilians, ad Andronicum cum bulla aurea rubrisque literis more regio, exiguo cereo baculo inclusa, misit. egressum Saracenum e conspectu imperatoris accersit Samonas, aitque "scis quid teneas?" (propter cereum nimirum quem manu gestabat) "Syriae nempe exitium?" datisque pecuniis Uzeri in manus tradi iussit. comprehensus itaque Andronicus cum suis in vincula coniicitur. sciensque hanc illi Samonae dolo fraudem factam esse, necessitate adactus, eiurata Christiana fide, Mahumeti se sacris polluit. Constantinus autem aliique probe intelligentes fieri non posse ut Andronicus evaderet, brevi post illius consilio soli fugae praesidio usi (res sane admiratione digna!) ex media Syria, per infestos subinde hostium cuneos iisque fatigati, in Romanae dicionis loca evasere.

23. Ad ea tempora venit in urbem a Tarso commutationis causa senex Abalbaces et Samonae pater. acceptis imperator omni humanitate ecclesiae ornatum omnem ostendit, haud certe Christiano ritu, per quem a fide extraneis sacra dei vasa videre haud convenit. Samonae patri animus fuit morandi cum filio nec in Syriam revertendi. enimvero dehortatus est Samonas, aitque "tene fidem tuam: ego potius, si per facultatem licuerit, ad te pergam."

24. Imperii Leonis anno vigesimo quinto, die sancto pentecostes,

φει Λέων ὁ βασιλεὺς Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ τὸν πορφυρογέννητον διὰ Εὐθυμίου πατριάρχου. δέδωκεν δὲ Σαμωνᾶς Κωνσταντῖνον ἄνθρωπον αὐτοῦ, τὸν δουλεύσαντα πρότερον Βασιλείῳ μαγίστρῳ καὶ ἐπὶ τοῦ κανικλείου, τοῦ δουλεύειν Ζωῇ Αὐγούστῃ. ὃς καὶ ἠγαπήθη πολλὰ παρά τε τοῦ Λέοντος τοῦ βασιλέως καὶ
D τῆς Αὐγούστης. ὅθεν καὶ πολλὰ ἐφθόνει Σαμωνᾶς αὐτόν, καὶ ἐλοιδόρει ὡς συνόντι τῇ Αὐγούστῃ. ὅπερ ὁ βασιλεὺς ὑπονοήσας ἀληθὲς εἶναι, ἀπέκειρεν αὐτὸν διὰ Σαμωνᾶν ἐν τῇ μονῇ τοῦ ἁγίου Ταρασίου. μετ' ὀλίγον δὲ ὥρισεν τὸν Σαμωνᾶν ἀναλαβέσθαι αὐτὸν ἐν τῇ μονῇ τὰ Σπεῖρα, βουλόμενος πάλιν ἀναλαβέσθαι αὐτόν. ἀπελθὼν οὖν ὁ βασιλεὺς εἰς πρόκενσον ἐν τῷ Δαματρύ, καὶ ἐν τῇ μονῇ τοῦ Σαμωνᾶ ἀριστήσας, εἶδε τὸν Κωνσταντῖνον. καὶ παρευθὺ ὥρισεν τὸν Σαμωνᾶν, καὶ ἐνέδυσεν αὐτὸν κοσμικά, καὶ
P 469 ἐκέρασε τῷ βασιλεῖ εἰς τὸ κλητόριον, καὶ ὑπέστρεψε μετὰ ταῦτα ἐν τῷ παλατίῳ. καὶ πάλιν φθονεῖται Κωνσταντῖνος ὑπὸ τοῦ Σαμωνᾶ διὰ τὴν πρὸς αὐτὸν ἀγάπην τοῦ βασιλέως, καὶ βουλεύεται μετὰ τοῦ Τζιρίθωνος καὶ ἄλλων τινῶν, καὶ ποιοῦσι χάρτην πολυλοίδορον κατὰ τοῦ βασιλέως, γράψαντος καὶ συντάξαντος αὐτὸν τοῦ Ῥοδίου, νοταρίου ὄντος τοῦ Σαμωνᾶ. ἐλθόντος δὲ τοῦ βασιλέως ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἔρριψεν αὐτὸν ἐν τῷ μιτατωρίῳ. εὑρὼν οὖν αὐτὸν ὁ βασιλεὺς καὶ ἀναγνοὺς ἐν μεγάλῃ θλίψει ἦν, ζητῶν τὸν τοῦτο ποιήσαντα. γέγονε δὲ τότε ἔκλειψις σελήνης,
B καὶ διωρίσατο ὁ βασιλεὺς τοῖς τότε ἀστρονόμοις εἰπεῖν ἀποτέλεσμα.

coronat Leo imperator Constantinum filium suum in Porphyra natum per Euthymium patriarcham. dedit vero Samonas Constantinum hominem suum, qui prius Basilio magistro ac caniclei praefecto in ministerio fuerat, in Zoes Augustae obsequium. hic longe carissimus Leoni imperatori ac Augustae factus est. quamobrem ingenti in eum invidia incensus Samonas rei eum cum Augusta secretioris accusat. veramque accusationem suspicatus Leo, gratiam Samonae facturus, Constantinum in S. Tarasii comam ponere iubet. brevi autem post Samonae praecepit ut in monasterio suo, quod Spira vocant, eum recipiat, volens ipsum in officium reducere. egressus itaque imperator, habitoque processu ad Damatryum, atque in Samonae monasterio pransus, Constantinum vidit; statimque Samonae praecipiens saeculares eum vestes induit; miscuitque imperatori inter epulas, ac postea in palatium reversus est. rursusque inardescit Samonae invidia, qua Constantinum imperator prosequebatur benevolentia. consilioque eum Tzirithone ac quibusdam aliis inito, longe famosam plenamque conviciis adversus imperatorem chartam exarant, conscribente ac componente Rhodio Samonae notario; quam imperatore ad maiorem ecclesiam veniente in Metatoricio proiecit. offenso imperator lectoque libello, etiam atque etiam animi anxius dolensque eius auctorem inquirebat. contigit vero tunc lunam deficere; statuitque imperator astronomos, qui tum in urbe erant, quid tandem deliquium illud

εἰσερχόμενος δὲ ὁ Πανταλέων μητροπολίτης πρὸς τὸν βασιλέα, ἠρώτησεν αὐτὸν Σαμωνᾶς "εἰς τίνα ἐστὶν ἡ κάκωσις;" ὁ δὲ ἔφη "εἰς σέ· καὶ ἐὰν διέλθῃ Ἰουνίου ιγ', ἔκτοτε οὐδὲν πείσῃ κακόν." τῷ δὲ βασιλεῖ εἶπεν εἰς τὸν δεύτερον ἔχειν τὴν κάκωσιν τῆς σελήνης. ὁ δὲ βασιλεὺς ὑπέλαβε τοῦτο εἰς Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν. μετὰ τοῦτο δὲ ἰδίως ὁ Τζιρίθων τῷ βασιλεῖ εἶπεν ὅτι ὁ Σαμωνᾶς ἐποίησε τὸ πιττάκιον. καὶ εὐθὺς καταβιβάζει τὸν Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ καὶ ποιεῖ μοναχόν, εἶτα ἀπάγει εἰς τὴν C μονὴν Εὐθυμίου τοῦ πατριάρχου. καὶ πάλιν λοιδορηθέντα ἀπάγουσιν εἰς τὴν τοῦ Μαρτινακίου μονήν. καταβιβάζει οὖν τὸν Σαμωνᾶν, ποιῶν Κωνσταντῖνον παρακοιμώμενον· καὶ κτίζει αὐτῷ μονὴν ἐν Νοσιαῖς, καὶ ἀπελθὼν μετὰ Εὐθυμίου πατριάρχου ἐγκαινίζει αὐτήν. ἄξιον δὲ ὀλίγα εἰπεῖν, ποίῳ τρόπῳ ἡ μονὴ τῶν Νοσιῶν ἔκτισται.

25. Οὗτος ὁ Κωνσταντῖνος εἶχε πατέρα γέροντα εὐλαβῆ καὶ φοβούμενον τὸν θεόν, ὃς καὶ ἐν αὐτῷ τῷ τόπῳ τῶν Νοσιῶν προαστίτζην ἐκέκτητο πρὸς τῇ θαλάσσῃ πάνυ μικρόν, ἐν ᾧ καὶ ὕδωρ ἐπὶ δεξαμενὴν ἐκβαλὼν τοῖς ὁδίταις ἐποίει παραψυχήν. ἐν τούτῳ τῷ ὕδατι συνέβη στρατιώτην διέρχεσθαι, καὶ ἀναψύξαντα D ἐκβαλεῖν ἅπερ ἐκ δικαίου πόρου εἶχεν νομισμάτων, καὶ ἀριθμῆσαι αὐτά· καὶ ἦσαν εἰς λίτρας τρεῖς ἀριθμούμενα. εἶτα ἀναστάς, οἷα συμβαίνει, τῷ ἵππῳ ἐπιβὰς ᾤχετο τὴν ὁδὸν αὐτοῦ, τὸ χρυ-

protenderet, dicere. ingresso autem Pantaleone metropolita ad imperatorem, quaerebat ex eo Samonas in quem malefica vis intenderet. cui ille "in te nimirum. ac siquidem tertia decima Iunii mensis transierit, nihil deinceps gravius patieris." Leoni autem imperatori dixit lunae maleficium eum respicere qui secundus in re publica existat; quod imperator de fratre suo Alexandro accepit. postea Tziritho Leoni seorsum dixit Samonam libelli auctorem esse. statimque gradu deiectum in ipsius aedes ablegat ac facit monachum. exinde ad Euthymii patriarchae monasterium abducit; ac rursus convicia iactantem ad Martinacii monasterium trahunt. Samona ergo ab officio amoto Constantinus accubitor praeficitur; cui Leo in Nosiis monasterium exstruit; profectusque cum Euthymio patriarcha illius encaenia peragit. haud vero alienum pauca dicere, ut explicemus qua demum ratione Nosiarum monasterium conditum sit.

25. Habuit Constantinus patrem senem virum religiosum ac timentem deum. huic in eodem ipso Nosiarum loco exiguum ad mare suburbanum erat ac tenue plane praediolum; in quo et aqua sese in concham effundens viatores latice recreabat. contigit vero militem ad eam aquam transire, sitique sedata, quos iusto labore nummos quaesierat, effundere ac secum computare: erant autem ad auri tres libras. tunc surgens, ut fere fit, conscensoque equo abiit coepto itinere, pecunia illic loci re-

σίον κατὰ τὸν τόπον ἀφείς. ὡς οὖν ἔθος εἶχεν ὁ γέρων, ἐξῆλθεν πρὸς τὴν δεξαμενήν, καὶ εὑρὼν τὸ χρυσίον ἐλυπήθη τὴν τοῦ ἀπολέσαντος ἀθυμίαν· ὅμως ἐν ἑαυτῷ φυλάττων, οὐ διέλιπεν ἀπὸ νυκτὸς εἰς νύκτα εὐχόμενος τῷ θεῷ τοῦτον ἐλθεῖν καὶ ἀπολαβεῖν P 470 τὸ ἴδιον. ὁ μέντοι στρατιώτης τὰς πύλας περάσας καὶ ἐπιμνησθείς, ὅμως τι ποιῆσαι μὴ δυνάμενος, τὴν ὁδὸν αὐτοῦ ἀπῄει λυπούμενος. καὶ μετὰ τρίτον ἐνιαυτὸν ἔρχεται πρὸς τὸν τόπον τῶν Νοσιῶν, καὶ τοῦ ἵππου ἀποβὰς αὐτὸν μὲν ἐπότισεν, ἀλλὰ καὶ αὐτὸς πιὼν ἐκάθητο σύννους, καὶ στενάξας εἶπεν ὅτι ἐν τούτῳ τῷ τόπῳ ἀπώλεσά μου τὴν ζωήν. τοῦτο ἀκούσας ὁ τίμιος γέρων ἐπηρώτησεν αὐτῷ "τί ἄρα τὸ συμβάν, κύριέ μου;" ὁ δὲ εἶπεν ὅτι ἐνταῦθα ἀπώλεσα νομίσματα. καὶ παρευθὺ καὶ τὸν τόπον ὑπεδείκνυεν, καὶ τὰ σημεῖα τοῦ βαλαντίου καὶ τὸ πόσον ἔλεγεν. καὶ B ὁ ἄνθρωπος τοῦ θεοῦ εὐθὺς ἐξέλκει τοῦτο τοῦ κόλπου αὐτοῦ, καὶ φησὶ "γνωρίζεις τοῦτο;" ὁ δὲ ἀφασίᾳ ἐπὶ πολὺ κατασχεθεὶς ὅμως "ναὶ" εἶπεν· "ὅπερ ἀπώλεσα, αὐτό ἐστιν." καὶ φησὶν "ἀπόλαβε αὐτό, πληροφορούμενος ὡς οὐκ ἤνοιξα αὐτό, οὐδὲ εἶδον τί ἐστιν ἔσωθεν." τοῦτο λαβὼν ὁ ἄνθρωπος, παρακαλῶν λαβεῖν ἐξ αὐτοῦ ὅσα καὶ βούλεται. ὁ δὲ οὐκ ἠθέλησεν τὸ σύνολον. ὅθεν ὁ στρατιώτης ἀπέρχεται τὴν ὁδὸν αὐτοῦ, χαίρων καὶ εὐχαριστῶν τῷ θεῷ. τῆς οὖν νυκτὸς ἐκείνης ὁρᾷ κατ᾽ ὄναρ τὸν Χριστὸν ἐλθόντα καὶ εἰπόντα αὐτῷ "ἀνθ᾽ ὧν οὕτως ἐποίησας εἰς τὸν στρα-

14 τοῦτον P   18 παρεκάλει margo P

licta. senex itaque, uti moris erat, sese ad concham confert, auroque invento eius qui amiserat maerore ipse afficitur. verum apud se servans, non cessabat quot noctibus a deo efflagitans ut qui iacturam fecerat, sua tandem recepturus rediret. ceterum miles ubi iam Pylas transmiserat, cum illi in mentem pecuniarum venisset, nec quid praesto opus illi succurreret, iter tristis agebat. tertio autem post anno ad Nosiarum locum venit, equoque exscendens, illo potato ipse quoque bibit, seditque cogitabundus, ac alto ducto suspirio "hic nempe loci" aiebat "vitae omnem commeatum amisi." inaudiit venerabilis senex, ac quid hoc esset quod acciderat interrogavit. cui ille "hic quos habebam nummos omneque peculium amisi;" statimque etiam locum ostendit, marsupiique signacula ac auri quantitatem edixit. mox homo dei summam sinu extrahit, aitque "num hoc cognoscis?" ille vero, diu gaudio suppressa voce, vix tandem "sane" inquit "istud est id quod amisi." aitque "tibi accipe, certus me non aperuisse, nec quid intus repositum sit vidisse." accepto sacculo rogabat ille senem ut inde sumeret quantum vellet. at ille renuit quicquam attingere. quamobrem miles laetus viam suam abit, ac deo gratias agens. ergo nocte illa senex in somnis Christum ad se venientem cernit, atque dicentem, "quod in eum te modum

τιώτην, ἰδοὺ αὔριον ἀκούσεις γενόμενον παρακοιμώμενον τὸν υἱόν σου, καὶ τὸ προάστειόν σου τοῦτο εἰς μονὴν μεγάλην γενησόμενον C *πρὸς δοξολογίαν ἐμήν. καὶ σὺ δὲ αὐτὸς τὸν ὑπὲρ τούτων μισθὸν κομιεῖς." πρωΐας δὲ γενομένης τὸ μήνυμα ἦλθεν, καὶ μετ' ὀλίγας ἡμέρας τῇ θελήσει τοῦ βασιλέως καὶ τῇ ἐξόδῳ, ὡς εἴρηται, τὸ μοναστήριον ᾠκοδομήθη καὶ ἐνεθρονίσθη.*

26. *Τῷ αὐτῷ ἔτει, ἐπὶ ὀκτὼ μῆνας τοῦ ναυμαχικοῦ πολέμου τῶν Σαρακηνῶν γενομένου μετὰ Ἱμερίου τοῦ λογοθέτου, στρατηγοῦ ὄντος ἐν Σάμῳ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος, ἡττήθη Ἱμέριος καὶ μόλις διεσώθη, πάντων ἐκεῖ σχεδὸν κιν-* D *δυνευσάντων. μετὰ τοῦτο Λέων ὁ βασιλεὺς νοσεῖ κοιλιακῷ νοσήματι. γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ κηρουλαρία τῆς μεγάλης ἐκκλησίας, καὶ ἐκάησαν τὰ χαρτοθέσια πάντα καὶ ἡ σακέλλη. τῇ δὲ ια' τοῦ Μαΐου μηνὸς τελευτᾷ Λέων ὁ βασιλεύς, προχειρισάμενος Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφὸν βασιλέα· ὃν ἰδών, ὥς φασίν, εἰσερχόμενον πρὸς αὐτὸν ἔφη "ἴδε καὶ ὁ κακὸς καιρὸς μετὰ ιγ' μηνῶν," πολλὰ δεηθεὶς αὐτοῦ φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον.*

Κόσμου ἔτος ,ϛυζ', τῆς θείας σαρκώσεως ϡζ', Ῥωμαίων βασι- P 471 *λεὺς Ἀλέξανδρος σὺν Κωνσταντίνῳ πορφυρογεννήτῳ υἱῷ Λέοντος, ἐνιαυτὸν α' ἡμέρας κθ'. ὁ οὖν Ἀλέξανδρος ἀποστείλας εὐθὺς* B *ἤγαγε Νικόλαον ἐκ Γαλακρηνῶν καὶ ἐνεθρόνισεν αὐτόν, καταγα-*

erga militem habueris, ecce" ait, "mane filium tuum accubitoris honore sublimatum tuumque hoc suburbanum in vastum monasterium in mei gloriam convertendum auditurus es. quin tu ipse horum nomine mercedem recipies." postridie vero eius rei nuntius allatus est; nec plures dies effluxerant, cum propensa Leonis voluntate atque expensis, uti dictum est, exstructo monasterio, solenni dedicatione divinis laudibus locus frequentatus est.

26. Eodem anno, producto ad octo menses Saracenos inter ac Himerium logothetam navali bello, Romano, qui postea rerum potitus est, Sami praetore, victus Himerius est, cunctisque fere in vitae periculum adductis vix ipse incolumis evasit. exinde Leo coeliaco morbo laborare coepit. contigit vero incendium in magnae ecclesiae Cerulariis, quo combusta chartarum armaria omnia et sacellum. Maii autem die undecima moritur Leo imperator, Alexandro fratre designato imperatore; quo viso ad se veniente dixisse fertur "en et tempus malum post tredecim menses," multum rogans ut filium suum Constantinum servaret.

Mundi annus 6407, divinae incarnationis 907, imperator Alexander cum Constantino Porphyrogenneta Leonis filio, annum 1 dies 29. mox itaque mittens Alexander Nicolaum ex Galacrenis tulit ac in sede collo-

γὼν Εὐθύμιον, ὃν καὶ εἰς τοῦ Ἀγαθοῦ ἐξορίσας μετ' ὀλίγας ἡμέρας εἰς Μαγναύραν ἤνεγκεν, καὶ σελέντιον καὶ σύνοδον ἐκεῖ ποιήσας, τὴν καθαίρεσιν αὐτοῦ ποιοῦσιν, ἀτίμως τίλλοντες τοῦ ἱεροπρεποῦς καὶ ἀξιαγάστου ἐκείνου ἀνδρὸς τὴν γενειάδα, καὶ ἄλλας τινὰς ὕβρεις καὶ ποινὰς αὐτῷ ἐπιφέροντες, ἃς ἡσύχως καὶ πράως ὁ ἱερὸς ποιμὴν οὗτος ὑπέμεινε. καὶ πάλιν ἐπέμφθη εἰς τὸν Ἀγα-
C θοῦ, ἔνθα καὶ τελευτήσας κατατίθεται ἐν τῇ αὐτοῦ μονῇ ἐν πόλει, εἰς τὰ Ψαμαθίου. τῷ δὲ κληρικῷ τῷ τίλαντι τὰς τρίχας τοῦ πατριάρχου συνέβη εὐθὺς ἐν τῷ ἐξορίζεσθαι τὸν ἅγιον, αὐτῇ τῇ ὥρᾳ, πυρίκαυστον γενέσθαι τὴν οἰκίαν αὐτοῦ ἐξ ἀοράτου πυρός. ἡ δὲ θυγάτηρ αὐτοῦ παντελεῖ ἐπιληψίᾳ ἐκρατήθη, μὴ δυναμένη χεῖρα ἢ στόμα ἢ ἄλλο τὸ οἱονοῦν μέρος κινεῖν ἢ φωνὴν ἀφιέναι· ἥτις καὶ κλινήρης οὖσα καὶ προσαιτὶς διήρκεσεν μέχρι Νικηφόρου βασιλέως τοῦ νικητοῦ. ὁ δὲ βασιλεὺς Ἀλέξανδρος μηδὲν
D βασιλικὸν ἔργον δυνάμενος ποιῆσαι, τοῖς κυνηγεσίοις καὶ τοῖς πονηροῖς ἔργοις ἀεὶ ἐσχόλαζε. τὸν δὲ τοῦ Λέοντος παῖδα πολλάκις εὐνουχίσαι βουληθεὶς διεσκεδάσθη παρὰ τῶν ὑπὸ τοῦ Λέοντος εὐεργετηθέντων, ποτὲ μὲν ὡς νήπιον ποτὲ δὲ ὡς ἀσθενοῦντα ὑποβαλλόντων. ἐπὶ τούτου ἐφάνη ἀστὴρ κομήτης ἐκ δύσεως ἐπὶ ἡμέρας μ', ὃν ἔλεγον ξιφίαν εἶναι καὶ αἱματοχυσίαν σημαίνειν ἐν τῇ πόλει ἐργάσεσθαι. οὗτος ὁ Ἀλέξανδρος πλάνοις καὶ γόησιν ἑαυ-

12 τι?

cavit, deturbato ea Euthymio, quem ad Agathi exsulare iussum non post multos dies ad Magnauram duxit; quo loco habito conventu atque synodo, exque illa eo exauctorato, turpiter venerandi sacrique viri ac prorsus colendi vulsa barba, aliaque opprobria et iniuriae ac cruciamenta illata, quae ipse sacer pastor silentio sustinebat ac mansuete. rursus ad Agathi aedes missus atque ibi vita functus, in monasterio suo in urbe ad Psamathii aedes conditus est. clerico qui patriarchae pilos vulserat, simul ac sanctus iussus est exsulare, ea ipsa hora, invisibili igne domus omnis combusta est. eius filia sic tota epileptico morbo oppressa est, ut nec manum neque os nec ullam partem corporis movere posset aut vocem mittere; quae et lecto affixa ac stipem emendicans ad Nicephorum usque Phocam imperatorem duravit. porro Alexander imperator, nihil pro imperatoris munere exque purpurae dignitate moliri valens autve exsequi, se totum venationibus ac pravis actibus dabat, omneque eis tempus impendebat. Constantinum Leonis filium cum saepius castrare statuisset, illius ab eis dissipatum consilium est quos sibi Leo beneficiis ac muneribus devinxerat, cum modo tenellam aetatem modo aegram valetudinem eius causarentur. eius tempore apparuit cometes ab Occidente per dies quadraginta: xiphiam vocari dicebant (quasi ab ensis seu gladii figura), ac futuram in urbe portendere humani cruoris fusionem. hic Alexander seductoribus ac praestigiatoribus

τὸν ἐκδούς, τοῦ σνάγρου τῷ στοιχείῳ, καθὼς αὐτὸν ἐκεῖνοι ἐδίδαξαν, τοῦ ἐν τῷ ἱππικῷ τὴν ζωὴν αὐτοῦ προσανακεῖσθαι ἔφασαν, P 472 τὸν χοιρώδη βίον ἐκείνου καὶ ἀνόητον ὑπεμφαίνοντες. τούτοις πεισθεὶς αἰδοῖον καὶ ὀδόντας τῷ χοίρῳ περιέθετο ὡς λιπομένους αὐτῷ· καὶ τῇ τούτων πλάνῃ πεποιθὼς ἱππικὸν ἐστόλισεν καὶ τῷ ζῳδίῳ φωταυγίαν ἐποίησεν. ὅθεν καὶ ἤρθη ἀπ' αὐτοῦ ἡ Χριστοῦ χεὶρ ὡς τὴν τοῦ θεοῦ τιμὴν τοῖς εἰδώλοις προσάψαντος.

2. Τοῦ μέντοι Ἱμερίου ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντος, περιώρισεν αὐτὸν Ἀλέξανδρος ἐν τῇ μονῇ τοῦ παλατίου τῇ λεγομένῃ Καλυπᾷ, ἀπειλήσας, ὡς ἐχθρὸν αὐτοῦ ὄντα ἐπὶ τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος. ὁ δὲ ἐκ θλίψεως πολλῆς ἀρρωστήσας ἐτελεύτησε. B

3. Δηλοῖ Συμεὼν ὁ ἄρχων τῆς Βουλγαρίας τὰ περὶ εἰρήνης τῷ Ἀλεξάνδρῳ καὶ τοῦ φιλοφρονεῖσθαι αὐτὸν καὶ τιμᾶσθαι καθάπερ καὶ ἐπὶ Λέοντος τοῦ βασιλέως. ὁ δὲ ἀνοίᾳ καὶ ἀφροσύνῃ συγκρατούμενος ἀτίμως τοὺς πρέσβεις ἐξέπεμψεν, ἀπειλαῖς τὸν Συμεὼν καταπλήσσων. διὸ καὶ κατὰ Χριστιανῶν ὁ Συμεὼν κινεῖται.

4. Ἀλέξανδρος ἀριστήσας ἐν τοῖς ὑπὸ κύνα καύμασι καὶ οἰνωθεὶς κατῆλθε σφαιρίσαι· καὶ ῥομφαίᾳ θεηλάτῳ πληγείς, C αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων αὐτῷ φερομένου, μετὰ δύο ἡμέρας ἐτελεύτησε, καταλιπὼν Νικόλαον πατριάρχην, Στέφανον μάγιστρον καὶ Ἰωάννην ῥαίκτορα τὸν Ἑλλαδᾶ ἐπιτρό-

sese dementandum praebens, ab eis persuasus salutem suam ac vitam ad Apri statuam in Circo positam referri existimavit, cum illi eo commento eius porcariam vitam atque dementem insinuarent. illis ut morem gereret, verenda dentesque porco apposuit, quibus scilicet ille deficeretur. eoque tandem seductorum provexit consilio, ut sacris vestibus atque aulaeis Circenses honestaret cereosque accensos statuae adhiberet. unde et sublata ab eo Christi manus, velut qui honorem deo debitum idolis adhibuisset.

2. Himerium accepta ab Agarenis clade reversum in palatii monasterium detrusit, quod Calypam vocant, minacibus verbis exagitans, ut qui Leone fratre imperatore illi adversatus fuisset. isque adeo ex ingenti aerumna animique angustia morbo correptus fatis concessit.

3. Missis Symeon Bulgariae princeps nuntiis Alexandro de pace significat, et ut se benigne haberet atque coleret, haud secus ac Leone imperatore sese res habuisset. at ille dementia ac stultitia tentus legatos turpiter remisit, Symeonem minis territans; quae illi movendi bellum adversus Christianos causa fuit.

4. Alexander cum sub canis ardoribus pransus vinoque madidus pila lusurus descendisset, dei ira invecto gladio percussus, sanguine copia e naribus atque veretro erumpente, post duos dies exstinctus est, Nicolao patriarcha, Stephano magistro ac Ioanne rectore Hellade pro-

πους, τὴν δὲ βασιλείαν Κωνσταντίνῳ τῷ υἱῷ Λέοντος. τελευτήσας δὲ τίθεται μετὰ Βασιλείου τοῦ πατρὸς αὐτοῦ.

D Κόσμου ἔτος ͵ςυη΄, τῆς θείας σαρκώσεως ϡη΄, Ῥωμαίων βασιλεὺς Κωνσταντῖνος ὁ πορφυρογέννητος ἔτη μη΄. τελευτήσαντος γὰρ τοῦ πατρὸς αὐτοῦ Λέοντος ἑπταετὴς ὢν καταλιμπάνεται ὑπὸ Ἀλεξάνδρου θείου αὐτοῦ ὑπὸ ἐπιτρόπους τελῶν. ἐβασίλευσεν οὖν ἐπὶ τῶν αὐτῶν ἐπιτρόπων σὺν τῇ μητρὶ ἔτη ζ΄, καὶ ἅμα Ῥωμανῷ πενθερῷ αὐτοῦ ἐν ὑποταγῇ ὢν ἔτη κς΄, μονοκρατορεῖ δὲ ἔτη ιε΄, ὡς εἶναι πάντα τὸν χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη μη΄. λαβόμενος οὖν τῆς τοῦ παλατίου ἐξουσίας ὁ πατριάρχης Νικόλαος, ἅτε
P 473 καὶ αὐτὸς ἐπίτροπος ὢν σὺν τοῖς μαγίστροις Στεφάνῳ καὶ Ἰωάννῃ τῷ Ἑλλαδᾷ, τὴν τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα πᾶσαν εἶχε τῶν τῆς βασιλείας ἀνηκόντων πραγμάτων ὁσημέραι.

2. Ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης, δηλοῦται Κωνσταντίνῳ Δουκὶ δομεστίκῳ τυγχάνοντι τῶν σχολῶν παρά τινων τῶν ἐν τῇ πόλει μεγιστάνων, φιλούντων αὐτὸν ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν βασιλείαν κυβερνᾶν, εἰσελθεῖν καὶ ταύτης ἐγκρατὴς γενέσθαι ἀπονητί. ὁ δὲ ἅτε καὶ πρότερον
B αὐτῆς ἐφιέμενος, ὡς εἶχε τάχους ἅμα τῶν ἐκκρίτων τοῦ ὑπ' αὐτὸν στρατεύματος καταλαμβάνων τὴν βασιλεύουσαν, ἱκανῶν ὄν-

9 Georgius νε΄ 13 τῇ βασιλείᾳ? 18 ἐγκρατῆ?

curatoribus relictis, imperioque Constantino Leonis filio permisso. mortuus autem cum Basilio patre sepelitur.

Mundi annus 6408, divinae incarnationis 908, Romanorum imperator Constantinus in Purpura natus annos 48. mortuo enim Leone patre annum septimum natus ab Alexandro patruo sub tutoribus relinquitur. imperavit ergo illis tutoribus cum matre annos 7, et cum Romano socero, illi subiectus, annos 26. solus denique rerum potitur annos 15. adeoque eius imperii tempus omne annorum 48 est. nactus itaque aulae potestatem Nicolaus patriarcha, quippe qui et ipse unus procuratorum erat cum magistro Stephano et Ioanne Hellada, rei publicae prospiciebat, rerumque ad imperium attinentium in se curam omnem quotidie recipiebat.

2. In hunc itaque modum imperii rebus constitutis, Constantino Duci scholarum domestico per quosdam in civitate proceres nuntiatur, qui eo nomine illi studebant quod vir fortis et prudens esset ac par regendo praeclare imperio, ut urbem accedat, nullo negotio aut opera rerum summam in se translaturus. is itaque, ut cuius etiam prius ea cupiditas animum incessisset, quanta licuit festinatione, cum delectis subiectarum legionum viris strenuis nec parva illorum manu Byzantium

των, καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαὴλ, οὔσης πλησίον ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ αὐτοῦ Γρηγορᾶ ἄϋπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσεν. Νικήτας δὲ ἀσηκρῆτις, ὁ μετὰ ταῦτα πρωτονοτάριος γεγονώς, τὴν Κωνσταντίνου ἄφιξιν τῷ πατρικίῳ Κωνσταντίνῳ καὶ μοναχῷ τῷ Ἑλαδικῷ κατεμήνυσεν. καὶ ἄμφω τῇ αὐτῇ νυκτὶ πρὸς τὸν Δοῦκαν Κωνσταντῖνον παρεγένοντο· καὶ ἅμα πρωΐ, οὔπω τῆς ἡμέρας C
καταλαβούσης ἀλλ' ἔτι σκοτίας οὔσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὅπλων τὴν τοῦ ἱπποδρόμου πύλην καταλαβόντες, Κωνσταντῖνον εὐφήμουν βασιλέα ἐν τῷ ἱππικῷ. ἔνθα δὴ ὁ τούτου ἱπποκόμος λογχευθεὶς παρὰ τῶν ἔσωθεν τῶν τοῦ ἱπποδρόμου πυλῶν ἀνῃρέθη. μὴ δεχθεὶς οὖν ἐκεῖσε ὁ Κωνσταντῖνος ἀλλ' ἀποσοβηθείς, ὥσπερ ἐκβακχευθεὶς ὑπό τινος δαίμονος καὶ μὴ ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι, ἐν τῷ ἱπποδρόμῳ ἀνεχώρησε στυγνός τε καὶ κατηφής, κακὸν οἰωνὸν τὴν τοῦ ἱπποκόμου κρίνας σφαγήν. ἐκεῖθεν ἧκε μέχρι Χαλκῆς· καὶ διὰ τῆς D
Σιδηρᾶς πόρτης τῆς Χαλκῆς εἰσεληλυθὼς μέχρι τῶν σκουταρίων παρεγένετο. ὁ οὖν μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς ἐκλογὴν τῶν τῆς ἑταιρείας καὶ τῶν ἄλλων ποιούμενος, μεθ' ὅπλων τούτους ἀπέστειλεν κατὰ τοῦ Δουκός. ἐλθόντων οὖν μέχρι τῆς Χαλκῆς, πολλοὶ ἐξ ἀμφοτέρων τῶν μερῶν ἔπεσον, καὶ τοσοῦτοι ὡς τὸν τόπον ἐνλιμνασθῆναι τῷ αἵματι. ἀνῃρέθη δὲ καὶ Γρηγορᾶς ὁ υἱὸς

17 Georgius ἐξκουβίτων 19 Georgius ἐλατῶν

contendit; ingressusque noctu per obscuram ac minorem Michaelis protovestiarii haud procul ab arce portam, in Gregorae soceri sui domo cum sociis ac coniuratis noctem insomnem egit. Nicetas autem a secretis, is qui postea protonotarius fuit, advenisse Constantinum Constantino patricio et monacho Helladico nuntiavit. amboque eadem nocte ad Constantinum Ducem venerunt; unaque collata opera mane, cum nondum dies advenisset sed adhuc tenebrae essent, cum facibus multoque satellitio ac armis ad Circi portam venientes Constantinum imperatorem faustis vocibus acclamabant; ubi sane eius equiso lancea confixus, ab illis sublatus est qui Circi portas interiores tenebant. haud itaque illic receptus Constantinus, sed repulsus atque submotus, velut furiis agitante daemone, nec satis mentis compos, imperitandi caeca libidine se a Circo tristis maestusque subduxit, malum sibi omen equisonem nece sublatum ducens. inde ad Chalcem (id est Aeream) venit; perque Ferream eiusdem Chalces (seu Aereae) ingressus ad Scutariorum usque (excubitorum scilicet) atrium penetravit. ex adverso autem magister Ioannes Helladas, foederatorum aliorumque ordinum delecto agmine, armis instructos adversum Ducem misit. cumque venissent ad Chalcem, congressisque utrinque partibus, ex eis multi ceciderunt; tantaque caesorum multitudo fuit ut locus cruoribus stagnaret. sublatus vero etiam

τοῦ Δουκὸς καὶ Μιχαὴλ ἐξάδελφος αὐτοῦ καὶ Κουρτίκης ἐκεῖνος ὁ ἐξ Ἀρμενίων. ταῦτα ὁ Δοὺξ Κωνσταντῖνος μαθών, ταραχῆς P 474 ὅτι πλείστης γενομένης, τὸν ἵππον ἐξήλαυνεν· ὁ δὲ ταῖς ἐκεῖσε ὑπεστρωμέναις ἐνολισθήσας πλάξιν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν, καί τις αὐτοῦ ξίφει τὴν κεφαλὴν ἀπέτεμεν· ἥτις τῷ βασιλεῖ προσενήνεκτο καταφανὴς ἅπασιν τῆς ἀπάτης εἰς ἀποτροπήν.

3. Τὸ δὲ τοιοῦτον αὐτοῦ ἐγχείρημα κατά τινα καὶ ἄλλον τρόπον ἐδεδήλωτο. Νικόλαος γάρ τις τὰ ἐν Χαλδίᾳ τῶν δημοσίων εἰσπράξεων πεπιστευμένος εἰς Συρίαν ἀφίκετο, τῆς καθ' ἡμᾶς εὐσεβείας ἔξαρνος γεγονώς, καὶ ἀστρολογίας ἢ ἀστρονομίας τινὸς μᾶλλον μεταπεποίητο. οὗτος ἐν μελανεμβαφεῖ γράψας B ὑφάσματι ἀπεστάλκει τοῦτο πρὸς τὸν λογοθέτην Θωμᾶν· οὗ δὴ ῥυφθέντος παρὰ Μανουὴλ τοῦ τῶν Ἀγαρηνῶν ἑρμηνέως ἐν ὕδατι τὰ ἐν αὐτῷ πεφανέρωται γράμματα, οὕτω διαγορεύοντα "μὴ φοβήθητι ἀπὸ τοῦ πυρροῦ πετεινοῦ τοῦ Δουκός· νεωτερισθήσεται γὰρ ἀφρόνως, καὶ εὐθὺς ὀλοθρευθήσεται."

4. Τούτων οὕτω τελεσθέντων, Γρηγορᾶς τούτου πενθερὸς μετὰ Λέοντος, ὃν Χοιροσφάκτην ὠνόμαζον, τῇ ἁγίᾳ τοῦ θεοῦ σοφίᾳ ἐκκλησίᾳ προσέφυγον, οὓς καὶ βίᾳ ἐκεῖθεν ἀποσπάσαντες ἀπέκειραν ἐν τῇ τῶν Στουδίου. Κωνσταντῖνον δὲ τὸν Ἑλ- C λαδικὸν βουνεύροις τύψαντες μετὰ ῥάσου καὶ ὄνου ἐθριάμβευσαν καὶ ἐν τῇ τῶν Δαλμάτων καταδίκῃ ἔγκλειστον πεποιήκασι. καὶ

Gregoras Ducis filius et Michael eius consobrinus, necnon Curtices ille Armeniorum genere ortus. haec ubi cognovit Constantinus, quam maximo excitato tumultu equum in turbam calcibus impulit. is vero strati soli lubrico lapsus sessorem in terram deiecit; quem ubi quis solo deiectum offendit (reliqui enim omnes dissipati erant), eius caput gladio abstulit, ablatumque in omnium oculis, dispellendi causa erroris sedandique tumultus ac coitionis, imperatori detulit.

3. Istiusmodi Constantini aggressio per alium quoque modum innotuit. Nicolaus enim quidam, publicorum vectigalium in Chaldia redemptor, eiurata Christiana pietate ac fide cum in Syriam sese recepisset, astrologiae, sed magis astronomiae cuidam operam impendebat. hic itaque in nigri coloris linteo scribens ad Thomam logothetam misit. quo misso in aquam a Manuele Agarenorum interprete, scriptae in eo literae apparuerunt, in haec verba concepta sententia, "ne timueris a Duce ruffa volucre: stulte enim rebus novis studebit, ac statim peribit."

4. His ita gestis, Gregoras Constantini socer cum Leone Choerosphacte ad sanctae dei sapientiae confugerunt; quos inde non sine vi extractos in Studii monasterio monachorum ritu detonderunt; Constantinum vero Helladicum nervis bubulis caesum rasoque indutum atque asino impositum per mediam urbem ignominiae causa traducentes, in Dalmatae

ἄλλους μὲν τυφλώσαντες ἐξώρισαν, καὶ ἑτέρους ἀπεκεφάλισαν· τοὺς δὲ τοῦ φοσσάτου, ἀνδρείους καὶ καλοὺς ὄντας καὶ πολλούς, ἀπὸ τοῦ Δαμαλίου μέχρι τοῦ Λευκατίου πάντας ἀνεσκολόπισαν. πολλοὺς δὲ καὶ ἄλλους οἱ λεγόμενοι ἐπίτροποι ἀπώλεσαν ἄν, εἰ μή τινες τῶν δικαστῶν τούτους τῆς ἀδίκου ὁρμῆς ἀνεχαίτισαν, εἰπόντες ὅτι παιδὸς ὄντος τοῦ βασιλέως πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τολμᾶτε τοιαῦτα διαπράττεσθαι; τὴν οὖν γυναῖκα τοῦ Δουκὸς ἀποκείραντες καὶ τὸν υἱὸν αὐτοῦ εὐνουχίσαντες ἐν Παφλαγο- D *νίᾳ αὐτοὺς εἰς τὸν οἶκον αὐτῶν ἀπέστειλαν.*

5. *Τῷ δὲ Αὐγούστῳ μηνὶ Συμεὼν ὁ Βούλγαρος σὺν ὄχλῳ βαρεῖ κατέλαβε τὴν Κωνσταντινούπολιν, καὶ χάρακα περιέβαλεν ἀπὸ θαλάσσης εἰς θάλασσαν, ἐλπίσι μετέωρος ὤν· ἀπειρότητι δὲ τῇ ἐκ τοῦ πλήθους καὶ τῶν ὅπλων καὶ τῶν περιβόλων ἀσφαλείᾳ τῶν ἐλπίδων ἀποσφαλεὶς ἐν τῷ Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς αἰτησάμενος. τῶν δὲ ἐπιτρόπων τὴν εἰρήνην ἀσμενέστατα ἀποδεξαμένων, δώροις τε ἀμέτροις καὶ μεγίστοις φιλοφρονηθέντες Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν.* P 475

6. *Τοῦ οὖν βασιλέως Κωνσταντίνου παιδὸς ὄντος καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος (ἤδη γὰρ ταύτην κατήγαγε τοῦ παλατίου Ἀλέξανδρος) ἀναβιβάζουσι πάλιν αὐτήν. καὶ περικρατὴς γενομένη τῆς βασιλείας ἀναβιβάζει εἰς παλάτιον Κωνσταντῖνον τὸν παρακοιμώμενον καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς Γογγυλίους· καὶ τῇ βουλῇ Ἰωάννου τοῦ Ἑλλαδᾶ καταβιβάζει τοὺς οἰ-*

carcere inclusi disciplina damnarunt. atque alios quidem oculis orbatos exsilio relegarunt, alios obtruncarunt. militares vero viros fortes ac probos, ingentique adeo numero a Damali (id est vitula) ad Leucatum usque, omnes palis affixerunt. aliosque plurimos sic nuncupati procuratores ac tutores perdituri erant, nisi iudicum quidam ab iniquo eos impetu istiusmodi verbis retardassent, "cum imperator puer sit, quomodo illius iniussu eiuscemodi perpetrare audetis?" Ducis itaque uxorem detonsis crinibus filiumque exsectis virilibus in Paphlagoniam ad aedes proprias remiserunt.

5. Augusto mense Symeon Bulgarus cum numeroso fortique exercitu Byzantium petit, ductoque vallo a mari ad mare, fore ut urbis potiretur plurimum confidebat. innumera autem civium multitudine armorumque vi ac munitionum praesidio spe deiectus, pacis foedera rogans, ad Hebdomum reversus est. tutoribusque in rem pacis lubentissime annuentibus, Symeon liberique donis innumeris maximisque liberaliter accepti in regionem suam redierunt.

6. Constantinus igitur imperator cum puer esset matremque requireret (iam enim Alexander eam aula submoverat), ad eam rursus revocata est. eiusque illa ac imperii compos effecta, Constantinum accubitorem et Constantinum Anastasiumque Gongulios in aulam assumit; Ioannisque Helladae consilio Alexandri imperatoris homines illa eiicit,

κείους Ἀλεξάνδρου τοῦ βασιλέως ἤγουν Ἰωάννην τὸν ῥαίκτορα καὶ τὸν Γαβριηλόπουλον καὶ τοὺς λοιπούς. προχειρίζεται δὲ Ζωὴ ἡ
B Αὔγουστα Θεοφύλακτον τὸν Δομηνίκου ἑταιρειάρχην. Ἰωάννης δὲ μάγιστρος ὁ Ἑλλαδᾶς νοσήσας τελευτᾷ. συμβουλῇ δὲ Θεοφυλάκτου ἑταιρειάρχου Ζωὴ καταβιβάζει μετ' ὀργῆς ἀπὸ τοῦ παλατίου Νικόλαον πατριάρχην, τῆς ἰδίας ἐκκλησίας περιποιεῖσθαι καὶ φροντίζειν εἰποῦσα. μετ' οὐ πολὺ δὲ Κωνσταντῖνος παρακοιμώμενος διαβάλλει πρὸς Ζωὴν τὸν ἑταιρειάρχην ὡς τὴν βασιλείαν σφετεριζόμενον εἰς τὸν ἀδελφὸν αὐτοῦ. προφασιστικῶς οὖν πατρίκιον αὐτὸν ποιήσαντες, ἐπεὶ κατῆλθεν ἐν τῇ ἐκκλησίᾳ ὡς ἔθος ἐστὶ λαβεῖν εὐχήν, οἴκοι τοῦτον μένειν παρεκελεύσατο. προεβά-
C λετο δὲ Ζωὴ ἑταιρειάρχην Ἰωάννην τὸν Γαριδᾶν καὶ δρουγγάριον τῆς βίγλης Δαμιανὸν εὐνοῦχον.

7. Τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην ληϊζομένου, ᾐτήσατο Ἰωάννης ὁ Βογᾶς πατρίκιος γενέσθαι καὶ κατ' αὐτοῦ τοὺς Πατζινάκους ἀγαγεῖν· δῶρά τε λαβὼν ἀπῆλθε, καὶ ὁμήρους ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων περᾶσαι καὶ τὸν Συμεὼν καταπολεμῆσαι.

8. Παρεγένετο δὲ ἐν τῇ πόλει καὶ Ἀσώτιος, ἀνὴρ ἐπὶ ῥώμῃ ὀνομαστότατος, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων· ὅν φασι σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέρων κρατοῦντα ταῖς χερσὶ τῇ ὑπερβαλλούσῃ ἀλκῇ διακάμπτειν καὶ πρὸς τὸ κυκλικὸν
D σχῆμα μεταγαγεῖν, τῆς ἀντιτύπου τοῦ σιδήρου φύσεως τῇ βίᾳ

23 τοῦ om P

nempe Ioannem rectorem et Gabrielopulum ac reliquos. praeficit vero Zoe Augusta Theophylactum Domenici filium hetaeriarcham: magister autem Ioannes Helladas morbo correptus diem obit. Theophylacto porro hetaeriarcha auctore Zoe Nicolaum patriarcham cum stomacho aula deiicit, dicens ecclesiae suae curam ageret. brevi autem post Constantinus accubitor hetaeriarcham maiestatis defert apud Zoem, quasi rerum summam in fratrem suum transferre moliatur. simulare igitur patricium creatum, cum in ecclesiam precibus communiendus ex more descendisset, domi eum manere iussit. praefecitque Zoe hetaeriarcham Ioannem Garidam, excubiarum vero drungarium Damianum eunuchum.

7. Symeone autem Bulgaro Thraciam populante, rogavit Ioannes Bogas ut patricii auctus dignitate Patzinacas in illum auxilio cogeret. ad quos cum muneribus profectus duxit in urbem obsides, pollicitis nimirum Patzinacibus se traiecturos factaque impressione Symeonem debellaturos.

8. Venit porro in urbem et Asotius, vir robore spectatissimus, principis principum natus; quem virgam ferream hinc inde extremis partibus, manibus prehensam, ob earum invictum robur inflectere atque in circularem figuram reducere aiebant, obsequente manuum vi ferri

τῶν χειρῶν ὑπεικούσης. ὃν παραγενόμενον μετὰ πολλῆς τιμῆς ὑπεδέξαντο καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψαν.

9. Τῷ δὲ Σεπτεμβρίῳ μηνί, ἰνδικτιῶνος γ΄, Παγκρατούκας ὁ Ἀρμένιος τὴν Ἀδριανούπολιν τῷ Συμεὼν προδέδωκεν. μετ' οὐ πολὺ δὲ ἀπεστάλη Βασίλειος ὁ πατρίκιος μετὰ δώρων πολλῶν, καὶ ἔλαβεν αὐτήν. ἦλθε δὲ καὶ Δαμιανὸς ὁ ἀμηρᾶς μετὰ στόλου εἰς Στρόβηλον, καὶ ταύτην παρέλαβεν ἄν, εἰ μὴ νοσήσας ἐτελεύτησεν, καὶ ἀπεστράφησαν οἱ Σαρακηνοὶ διακενῆς. οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασὲ υἱοῦ τοῦ Ἰούβη, τὴν αὐτοῦ ἀσωτίαν καὶ ἀπληστίαν P 476 μὴ ἐνεγκόντες, ἔνδον τοῦ ἐν Ἀθήναις ναοῦ λίθοις βαλόντες ἀνεῖλον.

10. Τὴν κατὰ Χριστιανῶν ἔπαρσιν τοῦ Συμεὼν βλέπουσα Ζωὴ βουλεύεται μετὰ τῶν ἐν τέλει ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι, διαπερᾶσαι δὲ πάντα τὸν τῆς ἀνατολῆς στρατὸν πρὸς τὸ καταπολεμῆσαι τὸν Συμεών. ἀπεστάλη οὖν ἐν τῇ Συρίᾳ πρὸς τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης πατρίκιος ὁ Ῥαδηνὸς καὶ Μιχαὴλ ὁ Τοξαρᾶς. τὰ θέματα δὲ πάντα φιλοτιμησαμένη πρὸς τὴν Θρᾴκην διεπέρασεν, Λέοντος μαγίστρου τοῦ Φωκᾶ δομεστίκου τυγχάνοντος, ᾧ ἀνδρία μᾶλλον ἢ ἐπιστατικὴ φρόνησις προσανέκειτο. οἱ οὖν στρατηγοὶ καὶ ἄρχοντες πάντες τὴν εἰς B ἀλλήλους ὁμόνοιαν ἐπισφίγγοντες ἐν τοῖς τιμίοις ξύλοις ὤμοσαν

duritie ac renitentia. hunc, cum venisset, magno cultu honoreque susceptum in patriam rursus remisere.

9. Mense vero Septembri, indictione tertia, Pancrutaces Armenius Adrianopolim Symeoni prodidit. haud diu post missus Basilius patricius cum multis muneribus eam ipsam recepit. venit quoque Damianus Ameras cum classe in Strobelum; ac nisi morbo correptum mors sustulisset, plane eius potitus esset. reversique sunt re infecta Saraceni. Atticae vero Athenarumque incolae cum iuges iniurias damnaque a Chase Iubae filio acciperent, nec viri luxuriam ac insatiabilem cupiditatem ferre amplius possent, Athenis in ecclesia lapidibus obrutum peremere.

10. Symeonis adversus Christianos altos animos ac superbiam cernens Zoe Augusta, habitoque cum optimatibus consilio, ineundam pacem foedusque percutiendum cum Saracenis statuit; omnesque per Asiam militares alas debellandi causa Symeonis evocandas inque Europam traiiciendas. missus itaque in Syriam qui eam pacem indutiasque componeret, Ioannes patricius Rhadenus, nec non Michael Toxaras. cunctasque Zoe legiones liberaliter donatas in Thraciam traiecit, magistro Leone Phoca scholarum domestico, viro magis robore spectabili quam militari ducisque prudentia. cuncti itaque duces et tribuni, mutua inter se firmata concordia, eiusque se artius vinculis adstringentes, adhibitis venerabilibus lignis sacramentum fecerunt; quo peracto omni apparatu in

καὶ τοῦ ὅρκου γενομένου πανστρατεὶ ἐξώρμησαν. ἦρχον δὲ τοῦ μὲν τάγματος τῶν ἐξκουβίτων Ἰωάννης ὁ Γράψων, τοῦ δὲ ἱκανάτου ὁ τοῦ Μαρούλη υἱός· Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ καὶ Βάρδας ὁ Φωκᾶς, οἷς συνῆν καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων. συνῆν δὲ καὶ Κωνσταντῖνος πατρίκιος ὁ Λὶψ Λεόντιος σύμβουλος αὐτῷ ἐν πᾶσι τοῖς ἀνήκουσιν ὧν. C *μηνὶ δὲ Αὐγούστῳ κʹ ἐπινεμήσεως εʹ ὁ πόλεμος μεταξὺ Βουλγάρων τε καὶ Ῥωμαίων πρὸς τῷ Ἀχελώῳ ποταμῷ συγκεκρότηται· καὶ οἷα τὰ τοῦ θεοῦ κρίματα, γίνεται σφαγὴ οἵα ἐξ αἰῶνος οὐ γέγονεν· Λέων δὲ ὁ Δοὺξ ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἐσφάγη δὲ πρὸς τοῖς ἄλλοις ἐν τῇ τοῦ πολέμου συμβολῇ Κωνσταντῖνος ὁ Λὶψ καὶ Ἰωάννης ὁ Γράψων καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί. ἀπεστάλη δὲ Ῥωμανὸς πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηθήσων Λέοντι τῷ Φωκᾷ·* D *ἀλλὰ καὶ Ἰωάννης ὁ Βογᾶς καταγαγεῖν Πατζινάκους, ὡς εἴρηται, κελευσθέντος τοῦ δρουγγαρίου Ῥωμανοῦ διαπερᾶσαι. εἰς μάχας δὲ ἐλθόντων, ὁρῶντες αὐτοὺς οἱ Πατζινάκοι στασιάζοντας ὑπεχώρησαν εἰς τὰ ἴδια. τοῦ δὲ πολέμου ἤδη τέλος λαβόντος, καὶ ὑποστρέψαντος ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βογᾶ, κατ' αὐτῶν ἐκίνησεν ἡ πόλις, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν ὥστε τὴν τῶν ὀφθαλμῶν στέρησιν καταδικασθῆναι, ὡς ἀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπερᾶσαι τοὺς Πατζινάκους μηδὲ τοὺς φεύγοντας Ῥωμαίους ἐν τοῖς πλοίοις ὑπο-*

6 al. *Λέοντι Δομεστίκῳ*   10 al. *ὁ Δομεστικός*

hostem aciem eduxere. praeerant autem excubitorum turmae Ioannes Grapson, Hicanati Marulis filius. ductores exercitus erant Romanus Argyrus eiusque frater Leo et Bardas Phocas. aderat et Melias cum Armeniis. sed et Constantinus Afer cum Leone Duce, in omnibus quae attinebant consilio affuturus erat. mensis itaque Augusti die vigesima, indictione quinta, conserta pugna Bulgaros inter Romanosque, datoque impetu ad Acheloum fluvium (quae dei iudicia!) strages edita est, qualis a saeculo nulla fuit. Leo dux fuga in Mesembriam salutem expedivit. in ipsa acie inter alios perempti Constantinus Afer et Ioannes Grapson aliique multi proceres ac tribuni. Romanus porro patricius navaliumque drungarius cum omni classe ad Danubium missus fuerat, Leoni Phocae iturus suppetias: sed et Ioannes Bogas, qui Patzinacas, uti dictum a nobis est, adducturus esset; quorum traiiciendorum Romano drungario munus incumberet. orto vero inter eos dissidio, videntes Patzinaces ipsos digladiantes ad sua discessere. iam autem bello absoluto, cum Romanus Bogasque in urbem reversi essent, in eos tumultuata civitas est; eoque discriminis Romanum drungarium adduxere ut amissionis oculorum damnatus sit, velut qui negligentia, ni potius maligno pravoque consilio, Patzinacas non traiecisset, nec fugientes Romanos in naves suscepisset.

δέξασθαι. καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ παρὰ Κωνσταντίνου P 477 πατρικίου τοῦ Γογγύλη καὶ Στεφάνου μαγίστρου πολλὰ δυναμένων παρὰ τῇ Αὐγούστῃ τὰ τῆς καταδίκης ἀνετράπη.

11. Τῶν δὲ Βουλγάρων μέχρι τῆς πόλεως ἐκστρατευσάντων ἐξῆλθε Λέων ὁ δοὺξ τῶν σχολῶν καὶ Νικόλαος ὁ υἱὸς αὐτοῦ καὶ Ἰωάννης ἑταιρειάρχης εἰς Κατασύρτας ἅμα πλείστῳ λαῷ· καὶ τῇ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων πάντες ἄρδην ἀπώλοντο.

12. Θεόδωρος οὖν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγός, ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκε τῷ βασιλεῖ Κων- B σταντίνῳ προσλαβέσθαι Ῥωμανὸν τὸν δρουγγάριον ὡς πατρικὸν αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτόν, ὡς ἂν ᾖ σὺν αὐτῷ καὶ διαφυλάττῃ αὐτόν, καὶ σύμμαχον ἔχῃ καὶ βοηθὸν ἐν οἷς ἂν δέῃ. πολλάκις γὰρ περὶ τούτου λαληθεὶς Ῥωμανὸς ἀπείπατο. αὐτοχείρως οὖν ὁ βασιλεὺς Κωνσταντῖνος γραμματεῖον ποιήσας τῷ Ῥωμανῷ ἔπεμψε κατὰ τοῦ παρακοιμωμένου. τῆς φήμης οὖν ταύτης διαθεούσης, καὶ τοῦ παρακοιμωμένου καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ τοῦ στόλου, αὐτὸς προεφασίζετο ἀδυνά- C τως ἔχειν τοῦ ἀποπλεῖν, μὴ τοῦ στόλου τὴν νενομισμένην ῥόγαν λαβόντος. ὁ παρακοιμώμενος Κωνσταντῖνος καταναγκάζων αὐτὸν ἐν τῇ ἐξαρτύσει ἔξεισιν. ὁ δὲ τοῦτον δουλικῷ τῷ σχήματι προϋπήντησεν, καὶ πλησίον αὐτοῦ γενόμενος ἀνήρπασεν αὐτόν, καὶ

nec eam certe multam evasurus erat, nisi Constantinus patricii Gonguli et magistri Stephani, quorum apud Augustam magna auctoritas erat, intercessio obstitisset.

11. Bulgaris ad urbem usque excurrentibus, exiit Leo scholarum dux eiusque filius Nicolaus et Ioannes hetaeriarcha ad Catasyrtas cum numeroso exercitu; Bulgarisque noctu ex improviso impressionem in eos facientibus, omnes penitus interierunt.

12. Theodorus igitur Constantini imperatoris paedagogus, cum Constantinum videret sacri cubiculi praefectum intimum (accubitorem vocant) rerum summam in Leonem sororis maritum transferre molientem, auctor est eidem Constantino imperatori ut Romanum drungarium, velut antiquum paterna necessitudine amicum inque res ipsius bene animatum, assumat cum eo in aula moraturum et custodem futurum, ac quicquid ingruat, defensorem opemque allaturum. crebro namque eius rei gratia interpellatus Romanus assensum abnuerat. ipse itaque manu propria Constantinus schedula exarata, Romanum adversus accubitorem actutum sese accingere scripsit. qua pervagante fama, et accubitore Romanum urgente ut cum classe proficiscerentur, cum is excusaret seque cum classe proficisci posse negaret quae militari stipendio donata non esset, Constantinus accubitor ad solvendum omnino adacturus ad navium stationem accedit. occurrit servili more ac obsequio sedulus Romanus;

"ἄρατε αὐτόν" ἐφώνησεν· καὶ οἱ σὺν αὐτῷ τοῦτον εἰς τὴν τοῦ δρουγγαρίου Ῥωμανοῦ τριήρη εἰσήγαγον καὶ ἐν ἀσφαλείᾳ εἶχον. Κωνσταντῖνος δὲ ὁ βασιλεὺς τὴν ἐξουσίαν ἀπὸ τῆς μητρὸς εἰς ἑαυτὸν ἐπισπώμενος, τῇ ἐπαύριον ἀπέστειλεν Ἰωάννην τὸν Τουβάκην
D *τὴν Αὐγούσταν Ζωὴν ἀπὸ τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησεν· καὶ "ἐάσατε" εἶπεν "εἶναι μετ' ἐμοῦ τὴν μητέρα." οἱ δὲ ἅμα τῷ λόγῳ ταύτην ἀφῆκαν. προβάλλεται δὲ ὁ βασιλεὺς μετὰ τῆς συμβουλῆς τοῦ πατριάρχου Ἰωάννην τὸν Γαριδᾶν δομέστικον τῶν σχολῶν· ἐδεδίει γὰρ μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. ὁ δὲ οὐ κατένευσε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον τὸν γυναικάδελφον αὐτοῦ τὸν Ζουφινέζερον καὶ Συμεὼν τὸν υἱὸν αὐτοῦ προεβάλοντο ἑταιρειάρχας. εὐ-*
P 478 *θὺς οὖν ἐξῆλθεν πρὸς Ῥωμανόν, καὶ ὅρκους δοὺς καὶ λαβὼν σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο.* (13) *τῇ οὖν κδʹ τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς εἰς τὸ παλάτιον ἀπολογησόμενος, ὅτι τὴν τοῦ Φωκᾶ ἐπίθεσιν φοβούμενος, μή τι νεωτερισθείη εἰς τὸν βασιλέα, τοῦτο πεποίηκα πρὸς τὸ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασιλέως. μηνύεται οὖν μετὰ τοῦ στόλου παντὸς ἐλθεῖν μέχρι τοῦ Βουκολέοντος, καὶ τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ (πέμπτη δὲ ἦν) ἦλθεν ἔνοπλος ἅμα τῷ στόλῳ παντὶ ἐν τῷ Βουκολέοντι· καὶ παρ-*
B *ευθὺ Στέφανος μὲν πατρίκιος ἐξῆλθεν τοῦ παλατίου, Νικήτας δὲ ὁ συμπένθερος Ῥωμανοῦ ἀνελθὼν ἐν τῷ παλατίῳ ἐξήγαγεν ἐκεῖ-*

cumque iam prope esset, vi corripiens "tollite eum" altum clamat; moxque qui aderant classiarii, in praetoriam Romani triremem inductum tuta custodia servabant. imperator autem rerum summa a matre in sese revocata, postridie Ioannem Tubacem misit, qui Zoem Augustam aula deiiceret. illa autem eiulatu luctuque filium complexa eius animum ad maternam miserationem commovit; aitque "sinite matrem mecum versari." vixque sermonem expleverat, cum illam dimiserunt. porro imperator patriarchae consilio Ioannem Garidam scholarum domesticum praefecit: timebat enim ne Leo Phocas ad rebellionem procederet. renuit ille munus inire, nisi Theodorum Zuphinexerum uxoris fratrem eiusque filium Symeonem pariter hetaeriarchas crearent. mox itaque egressus ad Romanum est; datoque ac accepto iureiurando concors animi illique consentiens effectus est. (13) mensis igitur Martii quarto supra vigesimum mittit Romanus in palatium, qui eius nomine satisfactionem offerrent, nempe se hoc fecisse ut imperatori caveret, dum Phocae insidias veretur, et ne quid ille novarum rerum in eum moliatur. mandatur itaque illi ut cum omni classe ad Bucoleonem usque veniat. festo itaque annuntiationis die, qui in feriam tunc quintam inciderat, cum omni classe ad Bucoleonem armatus venit; moxque patricius Stephanus aula excessit. Nicetas vero Romani socer in palatium ascendens Nicolaum pa-

θεν τὸν πατριάρχην Νικόλαον. καὶ ὅρκῳ βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ ἀπέστειλαν πρὸς αὐτὸν τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν. καὶ προσκυνήσας, καὶ ὅρκῳ βεβαιώσας αὐτούς, ἀνῆλθεν μετ' αὐτῶν καὶ ὀλίγων τινῶν ἐν τῷ παλατίῳ. προσκυνήσας οὖν τὸν βασιλέα καὶ εἰσελθὼν μετ' αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ, καὶ πίστεις αὐτῷ δούς, παρευθὺ προχειρίζεται μάγιστρος καὶ μέγας ἑταιρειάρχης. αὐτίκα οὖν γέγονε κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν, παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ οἴκῳ ἀναπαύσασθαι. ὡσ- C
αύτως καὶ γραφὴν ἐκελεύσθη γράψαι Κωνσταντῖνος παρακοιμώμενος, τὰ ὅμοια αὐτῷ παραγγέλλοντα, καὶ ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου· ἅπερ δεξάμενος παρὰ Ἀνδρέου πριμικηρίου τοῦ βασιλικοῦ πρωτοβεστιαρίου, ἐν Καππαδοκίᾳ ἐν τῷ ἰδίῳ οἴκῳ ἡσύχασεν, ὡς ἐντεῦθεν πεπληρῶσθαι τὸ κατὰ ποίησιν λόγιον,

δὴ τότε τὸν μὲν ἀηδὸν ἄγων ἐς νῆσον ἔρημον
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
τὸν δ' ἀετὸν ἐθέλοντα ἀνήγαγεν ὅνδε δόμονδε.

14. Τῷ Ἀπριλλίῳ μηνὶ δίδοται ἀρραβὼν γαμικοῦ συναλ- D
λάγματος παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τῆς Γαλιλαίας στεφανοῦνται παρὰ Νικολάου πατριάρχου. βασιλεοπάτορα γὰρ Ῥωμανὸν προβαλόμενος, ἀντ' αὐτοῦ δὲ ἑταιρειάρχην Χριστοφόρον τὸν υἱὸν αὐτοῦ κατέστησεν.

triarcham inde eiecit. qui palatium tenebant, Romani iureiurando firmati, venerandam ei ac vivificam misere crucem. cui ille devote cultu adhibito, ac iureiurando firmatis qui missi erant, una cum illis ac paucis quibusdam in palatium ascendit. prone itaque venerantis specie salutato imperatore, ac cum eo in templum ingressus quod in Pharo est, data securitatis fide confestim magister ac magnus hetaeriarcha praeficitur. statim itaque data iussio ad Leonem Phocam, ne per seditionem aliquid moliatur, sed tantisper domi conquiescat. pari quoque tenore iussus scribere Constantinus accubitor, eademque praecipere ac Constantino imperatori subiectum manere. acceptis ille divalibus literis ab Andrea primicerio imperatorio protovestiario domi in Cappadocia privatus egit; inde impleto, quod ita habet, poetae celebratum eloquio, "tunc sane lusciniam trahens in deserta insula avibus discerpendam vorandamque reliquit. aquilam vero sponte cedentem suam in domum reduxit."

14. Mense Aprili nuptialis contractus arrhabo a Constantino imperatore Helenae Romani filiae traditur; tertioque Galilaeae (hebdomadae scilicet paschae) nuptiales corollas a Nicolao patriarcha recipit. Romano namque imperatoris patre creato, eius loco Christophorum ipsius filium hetaeriarcham praefecit. haud longum tempus abscesserat, cum

μετ' οὐ πολὺ δὲ Λέων ὁ Φωκᾶς ἀπατηθεὶς παρά τινων ἀρχόντων πρὸς ἀνταρσίαν κινεῖται. καὶ ἀποστείλας ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε παρακοιμώμενον Κωνσταντῖνον καὶ Κωνσταντῖνον ἀσηκρῆτις τοῦ Μαλελίας, πληροφορῶν πάντας καὶ βεβαιῶν ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιεῖται συγκίνη-
P 479 σιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσόβουλλον ποιήσας ἐνυπόγραφον ὡς ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου τῆς τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχον, ὅσοι τὸν Φωκᾶν καταλιμπάνοντες τῷ βασιλεοπάτορι δὲ προσφεύγοντες, ὑπὲρ τοῦ βασιλέως εἰσί, δοὺς Ἄννῃ τινὶ γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ, ἣν δὴ καὶ Βασιὰν προσηγόρευον, καὶ κληρικῷ τινὶ Μιχαήλ, ἐν τῷ στρατοπέδῳ ἐξέπεμψεν. οἱ δὲ ταῦτα διέσπειραν παντὶ τῷ στρατῷ. καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς ἀνηλεῶς ἐτύφθη τήν τε ῥῖνα καὶ τὰ ὦτα ὑπετμήθη, ἀλλὰ μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης
B ἔτυχεν ἀμοιβῆς· ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνὴ Ἄννα. πρῶτος οὖν ὁ υἱὸς τοῦ Βαρυ-Μιχαὴλ Κωνσταντῖνος, τοῦ τάγματος ἄρχων τῶν ἱκανάτων, καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς αὐτῷ καταλύσεως· σὺν αὐτῷ δὲ καὶ ὁ Βαλάντιος καὶ ὁ λεγόμενος Ἄτζμωρος, τουρμάρχων ὄντων ἀμφοτέρων. Λέων οὖν ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου τὴν Χρυσόπολιν καταλαβών, ἥτις ἀπὸ τοῦ Ἀλέξανδρον περιτυχόντα τῇ πόλει τοῦ Βύζαντος κατά τινά τε ταύτης χῶρον τὸν αὐτοῦ λαὸν στρατη-

4 τόν? 11 βασιλικὴν reliqui. Combef.

Leo Phocas optimatum quorundam seductionibus inductus in rebellionem defecit. ascitisque qui secum essent Constantino accubitore et Constantino a secretis, Maleliae filio, sancte affirmat cunctisque suadere nititur in Constantini imperatoris gratiam istiusmodi se motum facere. Romanus autem imperatoris pater aurea bulla imperatoris subscriptione munita eiusque nomine edita, quicquid eorum hic Leonis insidiarum erat, dispulit. literarum hic tenor erat, omnes qui relicto Phoca imperatoris patri sese adiunxerint, hos vero ab imperatoris stare partibus. concreditae literae procaci cuidam audacique mulieri, Annae nomine (cui et Basilicae, ac si imperatoriam regalemque dicas, cognomen indidere), itemque clerico cuidam Michaeli, quos in Phocae castra emisit, ac per eos in omnem exercitum literas disseminavit. porro Michael deprehensus saevis verberibus affectus est nasoque et auribus truncatus; qui tamen a Romano postea, quam decebat, praestitae operae mercedem vicemque recepit. similiter quoque illi socia Anna mulier. primus igitur Constantinus Bary-Michaelis filius Icanatorum cohortis praefectus relicto Phoca ad Romanum transfugit; quae rerum Phocae evertendarum origo fuit. eum secuti et Balantius, et quem sic vocant Atzmorus, ipsi quoque ambo tribuni. Leo igitur Phocas cum ingentibus copiis Chrysopolim veniens (hoc urbi nomen ex eo scilicet quod Alexander Byzantium veniens, quodam eius loco castra metatus, vallo eum munierit ac

γῆσαι, ἐφ' ὅτῳ τεθεικότα περίβολον προσονομάσαι Στρατήγιον, C
καὶ ἐκεῖθεν μεταναστεύσαντα καὶ τοῖς ἀντίπεραν προσελθόντα χρυσίον ἱκανὸν ἐπιδοῦναι τῷ οἰκείῳ λαῷ, Χρυσόπολις προσηγόρευται. οἱ δὲ ἀπὸ τοῦ χρυσὸν ἐκ μετάλλων αὐτῆς γίνεσθαι ταύτην φασὶν ὠνομάσθαι, ὥσπερ καὶ ἡ Χαλκηδὼν ἀπὸ τοῦ ἔχειν χαλκόν, ἢ ἀπὸ Χαλκίδος θυγατρὸς Νικομήδους τῆς ταύτην κτισάσης. ἐν τοιαύτῃ γοῦν τῇ Χρυσοπόλει καὶ ἡ τοῦ Ἀθηναίων στρατηγοῦ Χάρητος παράκοιτις ἐτελεύτησε, Δάμαλις ὀνομαζομένη, αὐτοῦ τοῦ Χάρητος Ἀθήνηθεν πεμφθέντος ἐπαμῦναι τοῖς Βυζαντίοις· ἧς ὑπὲρ τοῦ μνημείου δάμαλις βοῦς καθ' ὁμωνυμίαν D
ἐν κίονι ἀνεστήλωται, συμβεβλημένον καὶ ἐπίγραμμα ἔχον ὧδε,

Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ' ἀπ' ἐμεῖο
κλῄζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης,
ἐντάφιον τόδ' ἐγὼ Κεκρόπος εἰμὶ νέκυς.
εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτε ἔπλεν ἐκεῖνος
τῇδε Φιλιππείων ἀντίπαλος σκαφέων.
βοΐδιον δὲ καλεῦμ' ἂν ἐγὼ τότε, νῦν δὲ Χάρητος P 480
εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.

15. Καταλαβὼν οὖν τὴν Χρυσόπολιν, ὡς εἴρηται, διέστησε παρατάξεις ἀπὸ τῆς Δαμάλεως μέχρι Χαλκηδόνος, τοὺς ἐν τῇ πόλει φοβῶν. ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμα-

7 τοῦ] τῶν P 15 ἐς Φάρον· ἤδε δ' ἐγὼ Κεκροπὶς Antholog. Palat. 1 p. 354. 16 ὅτ' ἔπλωεν ib. 18 βοΐδιον δὲ καλεῦμ' ἐγὼ ὡς τότε ib.

strategium ex rei usu vocaverit; indeque in alteram ripam traiiciens auri vim, quantam par erat, in milites erogaverit; ex quo dicta Chrysopolis. alii sic vocatam aiunt, quod ex eius metallis conflatum aurum; uti etiam dicta est Chalcedo ex eo quod aes (Graece χαλκόν) habeat, vel a Chalcide Nicomedis filia, quae eam condidit). in hac itaque Chrysopoli Atheniensium quoque imperatoris Charetis uxor, Damalis nomine, fatis concessit, cum is Athenis Byzantio suppetias missus esset; cuius tumulo ob nominis similitudinem in columna vitulae statua erecta est, conserto etiam epigrammate, cuius vis ac tenor est "non ego Inachiae bovis figura sum, nec meo ex nomine, Bosporii pelagi faucibus indita appellatio est. illam enim pridem fugavit gravis ira Iunonis, quae autem sepulcro condor, Cecropis mortua sum. Charetis uxor fui; cui huc comes navigationis, adversus Philippi classem dimicaturo, veni. tunc ego dicta Bucula, nunc quae Charetis uxor audiam, utraque laetor continente."

15. Chrysopolim ergo, ut dictum est, cum venisset, a Damali Chalcedonem usque, oppidanos territurus, late acies explicavit. mittitur ita-

νοῦ Συμεὼν ὁ ἐπὶ τοῦ κανικλείου, λόγον ἐνυπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος, "ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας γρηγορώτατον καὶ εὐνούστατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκὼς τούτῳ τὴν ἐμὴν φυλακὴν μετά γε B *θεὸν κατεπίστευσα, καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα, σπλάγχνα πατρικὰ καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον. Λέοντα δὲ τοῦτον τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ ὑποπτεύων ἐπιβουλεύειν νῦν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς κατεξανιστάμενον· διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι, οὔτε δὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν, ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον." τούτων οὖν τῷ λαῷ ὑπαναγνωσθέντων ἤρξαντο πάντες ὑποχωρεῖν καὶ τῷ βασιλεο-* C *πάτορι προσρύεσθαι Ῥωμανῷ. τοῦ δὲ Φωκᾶ εἰς ἀμηχανίαν περιστάντος, φυγῇ τε εἰς Ἀετοὺς χρησαμένου καὶ μὴ δεχθέντος ἀλλ' ἐν χωρίῳ τινὶ ὀνομαζομένῳ Γοηλέοντι καταντήσαντος καὶ συλληφθέντος, ἀπέστειλε Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκην καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ ἀγαγεῖν αὐτόν. οἱ δὲ ἐτύφλωσαν αὐτὸν παρὰ γνώμην Ῥωμανοῦ.*

16. *Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη ἐπιβουλὴ διὰ Κωνσταντίνου Κτηματεροῦ μελετωμένη καὶ Δαβὶδ Καμουλιανοῦ καὶ Μιχαὴλ κουροπαλατῶν μαγγάνων· οἳ καὶ τυφθέντες δημευθέντες*

que a Romano cum celoce Symeon caniclio praefectus, qui Constantini imperatoris manu subscriptas istiusmodi literas ferret. "equidem imperii mei custodem vigilantissimum, impense benevolum ac fidelissimum, subditorum neminem inveni praeter Romanum. huic itaque secundum deum mei custodiendi partes delegavi, eumque patris loco habendum statui, qui paterna viscera, ac qualis parentes addeceat, in me affectum prodiderit. hunc autem Leonem Phocam, cuius mihi semper suspectae insidiae, nunc rebus ipsis insidiatorem inveni, ac qui adversus maiestatem meam per tyrannidem rebellarit. quamobrem nec domesticum amplius esse placet, nec meo consilio hanc eum telam ordisse dico; sed sua voluntate tumultum excitasse ac irruptionem fecisse, hoc solum animo ut rerum in se summam transferret." his in militarium ordinum lectis auribus, cuncti recedere atque ad imperatoris patrem Romanum transire. Phocas consilii inops ad Aetus urbem munitam fuga se proripit; ubi tamen minime receptus est. ad Goelonem vero (locum sic dictum) insequentibus obviam factus et comprehensus, a Ioanne Tubace et Leone eius consanguineo, a Romano missis ut eum adducerent, illo inscio oculis orbatus est.

16. Mense Augusto coniurationis delati Constantinus Ctematerus et David Camulianus et Michael Manganorum curatores; quare etiam verberibus affecti, bonisque publicatis ignominiae causa per urbem tradu-

τε καὶ πομπευθέντες ἐξωρίσθησαν. ἐφωράθη δὲ καὶ Ζωὴ ἡ Αὐ- D γοῦστα ἐπιβουλεύουσα Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων· καὶ ταύτην τοῦ παλατίου καταβιβάσαντες ἐν τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀπέκειραν. προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου πατρικίου καὶ κόμητος τοῦ στάβλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός, καὶ ἐσθιόντων αὐτῶν εἰσῆλθεν Ἰωάννης δρουγγάριος τῆς βίγλας ὁ Κουρκούας μετὰ πλείστου λαοῦ, καὶ τούτους ἀναρπάσας ὡς κατὰ Ῥωμανοῦ μελετῶντας εἰς Ὀψίκιον ἐξώρισεν.

17. Τῇ κδ' τοῦ Σεπτεμβρίου μηνὸς τιμᾶται Ῥωμανὸς τῇ τοῦ Καίσαρος ἀξίᾳ, καὶ τῇ ιζ' τοῦ Δεκεμβρίου μηνὸς στέφεται P 481 παρὰ Κωνσταντίνου βασιλέως καὶ Νικολάου πατριάρχου ἐν ἔτει τῷ ,ϛυνη', ἰνδικτιῶνος η'. καὶ τῶν ἁγίων θεοφανίων στέφεται Θεοδώρα ἡ γυνὴ αὐτοῦ. καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ αὐτοῦ μηνὸς τῆς ε' ἰνδικτιῶνος Χριστοφόρος ὁ υἱὸς Ῥωμανοῦ διαγορεύεται βασιλεύς· στέφεται δὲ τῇ πεντηκοστῇ παρὰ τοῦ βασιλέως Κωνσταντίνου, καὶ προέρχονται οὗτοι οἱ δύο μόνοι ἐν τῇ προελεύσει.

18. Τῷ δὲ Ἰουλίῳ μηνὶ τῆς αὐτῆς ἰνδικτιῶνος γίνεται B ἕνωσις τῶν ἀποσχιστῶν.

19. Τῷ δὲ Ὀκτωβρίῳ μηνὶ τῆς θ' ἐπινεμήσεως ὑποπτευθεὶς Στέφανος ὁ μάγιστρος ὡς τῆς βασιλείας ἐφιέμενος ἀποκείρε-

15 η' margo P

cti in exsilium missi sunt. Zoe quoque Augusta deprehensa est per cibos medicatos Romani vitae insidiari: propterea aula deturbatam in sanctae Euphemiae detonderunt. invitatis vero ad convivium Theodoro Constantini imperatoris paedagogo eiusque fratre Symeone a Theophylacto patricio ac stabuli comite, illisque comedentibus, ingressus Ioannes Curcuas excubiarum drungarius cum apparitorum copiosa manu correptos illos, quasi qui adversus Romanum machinarentur, ad Opsicium relegavit.

17. Mensis Septembris die quarto supra vigesimum Romanus Caesaris dignitate ornatur; mensisque Decembris die decimo septimo, indictione octava, anno 6458, a Constantino et Nicolao patriarcha Augustali corona donatur; sacrorum item Theophaniorum die, Theodora eius uxor Augusta coronatur. eodemque die eiusdem mensis, indictione octava, Christophorus Romani imperatoris filius imperator declaratus, ipse quoque die sancto pentecostes ab imperatore Constantino Augustus appellatur; amboque solenni per urbem pompa soli processerunt.

18. Mense Iulio eiusdem indictionis eorum commissa unitio est qui scissi partibus erant.

19. Mense Octobri, indictione nona, in suspicionem vocatus Stephanus magister quasi imperium ambiret, in Antigoni insula, una cum

ται ἐν τῇ τοῦ Ἀντιγόνου νήσῳ ἅμα Θεοφάνει Τειχειώτῃ καὶ Παύλῳ Ὀρφανοτρόφῳ τοῖς ἀνθρώποις αὐτοῦ. πάλιν μηνύεται ἐπιβουλὴ μελετᾶσθαι παρὰ Ἀρσενίου καὶ Παύλου τῶν μαγγλαβιτῶν· οἳ καὶ τυφθέντες καὶ δημευθέντες ἐξωρίσθησαν.

20. *Ῥεντάκης ὁ Ἑλλαδικὸς πατρολοίας γενόμενος, ἐπεὶ πάντα τὰ τοῦ πατρὸς ἐλῄσατο καὶ τῇ πόλει προσέφυγεν, ἐκεῖθεν*
C *ψευδεῖς γραφὰς συσκευάσας πρὸς Βουλγαρίαν ἀποφυγεῖν ἔμελλεν. κρατηθεὶς οὖν τοὺς ὀφθαλμοὺς ἐξορύσσεται.*

21. *Καὶ πάλιν οἱ Βούλγαροι μέχρι Κατασυρτῶν ἐξελαύνουσι μετὰ τὴν τοῦ Δουκὸς Ἀδραλέστου τελευτήν. προβάλλεται Πόθος δομέστικος τῶν σχολῶν ὁ τοῦ Ἀργυροῦ, καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐλθὼν ἀπέστειλε Μιχαὴλ τὸν τοῦ Μωρολὲ υἱὸν τοὺς Βουλγάρους κατασκοπήσοντα. ὁ δὲ ἀπροόπτως τῷ λόχῳ αὐτῶν ἐμπεσὼν πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλεν, καὶ αὐτὸς δὲ πληγεὶς ἐν τῇ πόλει εἰσελθὼν ἐτελεύτησεν.*

D 22. *Πάλιν δὲ μηνύεται ἐπιβουλὴ κατὰ Ῥωμανοῦ ὑπὸ Ἀναστασίου γενησομένη σακελλαρίου καὶ Θεοδωρήτου κοιτωνίτου καὶ Δημητρίου πρωτονοταρίου τοῦ εἰδικοῦ καὶ ἄλλων τινῶν, ὡς δῆθεν ὑπὲρ Κωνσταντίνου βασιλέως ἀγωνιζόμενοι. ἐλεγχθέντες ἐτύφθησαν, καὶ τὴν μέσην διελθόντες ἐξωρίσθησαν. (23) τῆς τοιαύτης δὲ προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει καὶ δεύτερον ἑαυτοῦ καθίστησι. πάλιν οὖν ἐκστρα-*

13 *Μωρολέοντος?*

suis hominibus Theophane Tichiote et Paulo Orphanotropho, monachorum ritu capillis multatus est. denuntiata rursus coniuratio auctoribus Arsenio et Paulo manglabitis; qui et verberibus affecti bonisque publicatis in exsilium missi sunt.

20. Rentaces Helladicus parricida effectus, quod patris bona omnia diripuerat, in urbem profugus, falsis ibi compositis tabulis, in Bulgariam fugam parabat. captus itaque oculis orbatus est.

21. Rursus vero Bulgaris ad Catasyrtas usque excurrentibus, quod Adrelastes dux vivis excesserat, Pothus Argyri filius scholarum domesticus praeficitur; ductoque ad Thermopolim usque exercitu, Michael Marolis filius ad Bulgarorum castra exploranda missus, ex improviso in illorum lapsus cuneum, multis eorum caesis, vulneratus ipse et in urbem delatus fatis concessit.

22. Rursus coniurationis in Romanam delati Anastasius sacellarius et Theodoretus cubicularius, necnon Demetrius aerarii privati protonotarius, aliique nonnulli, velut qui Constantino imperatori suppetias irent eiusque causa decertarent. convicti vero, verberibus affecti urbeque media traducti, exsilio relegati sunt. (23) hac Romanus arrepta occasione, ac periculum praetexens, Constantinum imperatorem deiectum se-

τεύουσι Βούλγαροι μέχρι τῶν Μαγγλαβᾶ. ὅπερ μαθὼν ὁ βασιλεὺς Ῥωμανὸς Ἰωάννην ῥαίκτορα ἀποστέλλει ἅμα Λέοντι καὶ Πόθῳ τοῖς Ἀργυροῖς, ἔχοντας μεθ' ἑαυτῶν πλῆθος ἱκανὸν ἔκ τε τῶν ταγμάτων καὶ τῶν τῆς ἑταιρείας· οἷς συνῆν καὶ Ἀλέξιος πα- P 482 τρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μουσελὲ μετὰ τοῦ λαοῦ αὐτοῦ. διατάξαντες οὖν οὗτοι τὸν λαὸν αὐτῶν ἐν τοῖς πεδινοῖς καὶ χθαμαλωτέροις τόποις τῶν Πηγῶν, τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ, καὶ σφοδροτάτως ἐπελασάντων κατ' αὐτῶν εὐθὺς φεύγει ὁ ῥαίκτωρ, σφάττεται δὲ ὑπὲρ τούτου ἀγωνιζόμενος Φωτεινὸς ὁ τοῦ Πλατύποδος, καὶ οἱ λοιποὶ οἱ μὲν ἐσφάγησαν, οἱ δὲ ἐν τῇ θαλάσσῃ ἀπώλοντο· ἄλλοι αἰχμάλωτοι γεγόνασιν. οἱ Ἀργυροὶ δὲ B ἐν τῷ καστελλίῳ φυγόντες διεσώθησαν. οἱ δὲ Βούλγαροι μηδένα τὸν κωλύοντα ἔχοντες τά τε παλάτια τῶν Πηγῶν ἐπυρπόλησαν καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν.

24. Τῷ δὲ Φεβρουαρίῳ μηνί, τῆς ι' ἰνδικτιῶνος, τῇ κ' τοῦ μηνός, Θεοδώρα ἡ σύμβιος Ῥωμανοῦ τελευτᾷ, καὶ κατατίθεται εἰς τὸν οἶκον τοῦ βασιλέως Ῥωμανοῦ τὸν ὑπ' αὐτοῦ εἰς μοναστήριον γενόμενον· καὶ στέφεται Σοφία ἡ τοῦ βασιλέως Χριστοφόρου γυνή. τότε καὶ Ἴβηρ κουροπαλάτης ἐν τῇ πόλει παρεγένετο, καὶ πρόοδος αὐτῷ λαμπρὰ γέγονε, καὶ μετὰ τιμῆς ὑπεδέχθη, καὶ ἡ ἁγία Σοφία τούτῳ κεκοσμημένη ὑπεδείχθη· εἰς C ὃν ναὸν εἰσελθὼν καὶ θαυμάσας πάλιν εἰς τὰ ἴδια ὑπέστρεψεν.

cundo a se loco facit. rursus itaque Bulgarorum ad Manglaba usque excursio. Romanus re comperta Ioannem rectorem cum Leone et Potho Argyris, iustis copiis instructos ex agminibus et foederatis, impetum excepturos mittit. una aderat et Alexius Musele patricius navaliumque drungarius cum classiariis suis. castris itaque in planis humilioribusque Pegarum locis dispositis, Bulgaris e superioribus armata phalange emergentibus lateque aërem incondito tremendoque clamore implentibus ac validissimo impetu irruentibus, statim rector fugam capessit; cuius tuendi partes sustinens Photinus Platipodis filius necatus. alii partim gladio interempti partim mari submersi perierunt: reliqui captivi abducti sunt. Argyri ad Castellulum fuga evaserunt. Bulgari, nullo impetum retardante aut eis obstante, Pegarum palatia ac omne Stenum subiecta flamma incenderunt.

24. Februario mense, indictione decima, mensis die vigesima, exstincta Theodora Romani imperatoris uxor, in eiusdem Romani aedibus, quas in monasterium verterat, condita est. Sophiaque Christophori imperatoris uxor Augustali insignitur corona. quo etiam tempore Iber curopalates in urbem venit, solennique pompa atque processu honore susceptus est; cui et sancta Sophia magnifico cultu ornata ostensa. in quam ingressus, reique miraculo in stuporem actus, domum reversus est.

25. *Καὶ πάλιν οἱ Βούλγαροι ἐν τῷ Ἰουνίῳ μηνὶ μέχρι τῶν τῆς ἁγίας Θεοδώρας παλατίων ἦλθον, καὶ ταῦτα πυρὶ δόντες τὰ ἑξῆς ἐληΐζοντο. καὶ πάλιν πολέμου γενομένου τρέπονται Ῥωμαῖοι. ὁ δὲ λεγόμενος Σακτήκης πολλὰ ἀνδραγαθήσας πολλούς τε ἀνελών, καὶ πρὸς τὸ πλῆθος ἀντιστῆναι μὴ δυνάμενος, καιρίαν πληγεὶς φεύγει, καὶ ἐν τῷ ναῷ τῶν Βλαχερνῶν τεθεὶς εὐθὺς ἀποθνήσκει.*

D 26. *Ἀνταρσίας δὲ γενομένης ἐν Χαλδίᾳ ὑπὸ Ἀδριανοῦ Χαλδέος καὶ Τατζάτου Ἀρμενίου τῇ ὑποθήκῃ Βάρδα τοῦ Βοΐλα στρατηγοῦντος ἐν Χαλδίᾳ, καὶ τὸ Παΐπερ ὀχύρωμα ἐκρατήθη. ὁ τῶν σχολῶν δομέστικος Ἰωάννης ὁ Κουρκούας καταπολεμήσας καὶ κατασχὼν τοὺς μὲν περιφανεστέρους ἀποτυφλοῖ καὶ τὰς οὐσίας δημεύει, τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους ἀθῴους κελεύσας ὅποι βούλοιντο ἀπιέναι. ὁ δὲ Τατζάτης ἐν ἑτέρῳ ὀχυρώματι διαφυγὼν καὶ λόγον αἰτήσας ἐν τῇ πόλει εἰσεληλύθει, καὶ μάγιστρος γενόμενος ἐν τοῖς Μαγγάνοις τηρούμενος διῃτᾶτο· δρᾶσαι δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀμμάτων στερίσκεται. Βάρδαν δὲ τὸν*
P 483 *Βοΐλαν ἀπέκειραν, τοῦ βασιλέως αὐτὸν κατοικτείραντος.*

27. *Συμεὼν δὲ σὺν παντὶ τῷ λαῷ αὐτοῦ τὴν Ἀδριανούπολιν παρακαθίσαντος καὶ ἰσχυρῶς πολιορκοῦντος, ἐπεὶ καὶ λιμὸς αὐτοὺς ἐπίεζε κραταιὸς καὶ οὐδαμόθεν εἶχον ἐπισιτίσασθαι, προ-*

10 ὅπερ ὁ?

25. Rursus vero Bulgari, mense Iunio, ad sanctae usque Theodorae palatia venientes, illisque concrematis, reliqua populabantur; ac rursus conserta pugna Romani in fugam vertuntur. Sacteces autem (quem vocant) multis praeclare fortique virtute gestis, ac multa hostium data strage, cum unus ipse multitudini impar esset, letali accepto vulnere fugam init, atque in Blachernarum templo positus statim diem obit.

26. Excitato in Chaldia tumultu ab Adriano Chaldo et Tatzate Armenio, Bardae Boilae in Chaldia praetoris consilio (a quibus etiam captum Paiper praesidium munitum), Ioannes Curcuas scholarum domesticus, pugna in eos conserta ipsorum potitus, clariores quidem oculis orbat, eorum publicata substantia, pauperes vero et obscuros quo velint citra noxam abire iubet. Tatzates vero, in aliud fuga receptus munitum praesidium, petita securitatis fide urbem ingressus est; magisterque provectus in Manganis sub custodia morabatur. dum vero fugam molitur, captus oculis orbatur. Bardas Boila imperatoris clementia monachi ritu caesarie multatur.

27. Symeone vero cum omnibus copiis Adrianopolim obsidente ac fortiter urbem oppugnante, quod fames valida obsessos premeret nec

δεδώκασιν ἑαυτούς τε καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις. οὗτος δὲ ἦν ὁ τοῦ Μωρολέοντος υἱὸς ἢ μᾶλλον Θυμολέοντος, εἰπεῖν οἰκειοτέρως, ἀνὴρ τὰ ἄλλα κράτιστος καὶ τὰ πολεμικὰ περιβόητος, ὃς πλείστας ἀνδραγαθίας κατὰ Βουλγάρων ἐπεδείξατο· ὃν καὶ χειρωσάμενος ὁ Συμεών, μυρίαις τε αἰκίαις τοῦτον τιμωρησάμενος, τελευταῖον ἀπέκτεινεν. καὶ Βουλγάροις τὴν τῆς πόλεως B φυλακὴν παραδοὺς ὑπεχώρησεν· οἱ τὴν κατ' αὐτῶν τῶν Ῥωμαίων ἔφοδον ἀκηκοότες, τὴν πόλιν καταλιπόντες ἀπῆλθον, καὶ πάλιν ὑπὸ Ῥωμαίους ἐγένετο.

28. Τοῦ δὲ Τριπολίτου Λέοντος μετὰ δυνάμεως πολλῆς τῇ νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης ὁ πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Ῥαδινὸς αἰφνίδιον ἐπιπεσὼν αὐτοῖς πάντας ἀπώλεσε, μόνου αὐτοῦ τοῦ Τριπολίτου διαφυγόντος.

29. Τῷ δὲ Σεπτεμβρίῳ μηνί, τῆς β' ἰνδικτιῶνος, πάλιν Συμεὼν ὁ Βούλγαρος πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκ- C στρατεύει, καὶ ληΐζεται μὲν Θρᾴκην καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα καὶ καταστρέφει καὶ δενδροτομεῖ, μέχρι τῶν Βλαχερνῶν παραγενόμενος, καὶ δὴ ἐπιζητῶν ἀποσταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων, ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν. ἔλαβον οὖν ὁμήρους ἀμφότεροι, καὶ ἐξῆλθον, ὅ τε πατριάρχης καὶ Μιχαὴλ πατρίκιος ὁ Στυπιώτης καὶ Ἰωάννης μυστικὸς ὁ παραδυναστεύων· ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβλη-

ulla frumentandi facultas eis relicta esset, ipsi se praetoremque suum Bulgaris prodiderunt. erat is Moroleonis seu (verius dicas) Thymoleonis filius, vir cum aliis optimus tum rebus bello praeclare gestis clarissimus plurimisque adversus Bulgaros tropaeis cum primis conspicuus. eius itaque Symeon potitus, post innumera irrogata supplicia ac dehonestamenta, ad extremum peremit. tum relicta Bulgaris custodiendae urbis provincia recessit. relicti vero praesidiarii, audita Romanorum in eos aggressione, relicta urbe domum abierunt; rursusque illa Romanae dicioni cessit.

28. Cum autem Leo Tripolita cum ingenti fortique exercitu in Lemnum insulam venisset, Ioannes Radinus patricius et classis drungarius subita impressione in hostes irruens omnes internecione, solo Tripolita fuga elapso, delevit.

29. Mense autem Septembri, indictione secunda, rursus Symeon Bulgarus cum omnibus copiis adversus Byzantium aciem educit; Thraciamque et Macedoniam populatus omnia incendit atque evertit, arboresque ad Blachernas usque veniens succidit. tum Nicolaum patriarcham ac aliquos procerum, quibuscum de pace sic collocuturus, ad se mitti petit. dati itaque utrinque obsides, exiitque Nicolaus patriarcha et Michael Stypiotes patricius, nec non Ioannes mysticus et publicae administrationis imperatori socius. iam quippe Ioannes rector, coniurationis

θεὶς τῷ βασιλεῖ ἀπεκάρη. οἱ μὲν οὖν τῷ Συμεὼν περὶ εἰρήνης διελέγοντο, αὐτὸς δὲ τὸν βασιλέα Ῥωμανὸν θεάσασθαι ἤθελεν.
D ὅπερ ἀκούσας ὁ βασιλεὺς σφόδρα ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην καὶ τὸ στῆναι τὴν τῶν αἱμάτων χύσιν. ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ ὀχυρωτάτην κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρην διεκπλέουσαν ἐν αὐτῷ προσορμίζεσθαι· καὶ περιφράξας αὐτὴν πάντοθεν προσέταξε διατείχισμα μέσον γενέσθαι, ἔνθα ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ἐπὶ τούτοις ἀποστείλας Συμεὼν τὸν ἐν τῇ Πηγῇ τῆς ὑπεραγίας θεοτόκου ναόν, ὃν Ἰουστινιανὸς ὁ βασιλεὺς ἐδομήσατο, ἐνέπρησεν, καὶ τὰ περὶ αὐτὸν πάντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην ἐθέ-
P 484 λων, ἀλλ' ἐπ' ἐλπίσι μετεώροις τὸν βασιλέα ἐξαπατῶν. καὶ παραγενόμενος ὁ βασιλεὺς ἅμα τῷ πατριάρχῃ ἐν Βλαχέρναις εἰς τὴν ἁγίαν εἰσῆλθε σορόν, καὶ τὰς χεῖρας ἐκτείνας εἰς εὐχήν, εἶτα καὶ πρηνὴς πεσών, δάκρυσι τὸ ἅγιον κατέβρεχεν ἔδαφος, τὴν πανάχραντον θεοτόκον ἀντιβολῶν τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ ὑπερηφάνου Συμεὼν καρδίαν μαλάξαι καὶ πεῖσαι τὰ πρὸς εἰρήνην συνθέσθαι. τὸ ἅγιον οὖν μαφόριον τῆς παναγίας θεοτόκου ἐκ τῆς κιβωτοῦ ἀνελόμενος ἐξῄει τοῦ ναοῦ, καὶ καταλαμβάνει τὸν ὡρισμένον τόπον. ἐνάτη δὲ ἦν τοῦ Σεπτεμβρίου μηνός, πέμπτη δὲ
B τῆς ἑβδομάδος ἡμέρα· καὶ τῇ τετάρτῃ ὥρᾳ παραγίνεται Συμεών, πλῆθος ἄπειρον ἐπαγόμενος, εἰς πολλὰς διῃρημένον τὰς παρατάξεις, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυρα-

5 τοῦ] τῶν P

delatus, monachi ritu detonsus fuerat. atque hi quidem cum Symeone de pace tractabant: verum Symeon ipsum Romanum imperatorem videre expetiit. eo nuntio accepto, imperator valde gavisus est: pacis enim desiderio actus, immanes caedes atque cruores sisti aliquando summe expetebat. mittens igitur ad Cosmidii littus munitissimum exscensum construxit, ad quem praetoria triremis emenso itinere remis impelleretur, ac ubi inter se sermonem essent collaturi. inter haec Symeon missa suorum manu sanctissimae dei genitricis templum Pegis a Iustiniano imperatore exstructum ac vicina quaeque succendit; quibus nolle se pacem, sed vana spe imperatorem deludere, ostendit. veniens autem imperator ad Blachernas cum patriarcha, atque ad sanctum loculum ingressus, extensis in preces manibus inque faciem cernuus ac provolutus, ubertim lacrimis solum irrigans, intemeratissimam dei genitricem durum immitemque superbi Symeonis animum emollire rogabat eumque ad pacem componendam inflectere. sancto igitur sanctissimae dei genitricis maphorio (palliolo nimirum ac veste) e scriniolo sublato, templo egressus ad locum constitutum venit. nona erat mensis Septembris, quinta feria, cum Symeon ingenti suorum stipatus satellitio, in multas distincto acies atque ordines, accedit. militum alii aureis clipeis ac pilis, alii argen-

σπίδων καὶ ἀργυροδοράτων, τῶν δὲ πάσῃ ὅπλων χροιᾷ κεκοσμημένων, πάντων καταπεφραγμένων σιδήρῳ· οἳ μέσον αὐτῶν διειληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφήμουν τῇ τῶν Ῥωμαίων φωνῇ. πάντες δὲ οἱ τῆς συγκλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστηκότες κατεθεῶντο τὰ δρώμενα. ἦν οὖν ἰδεῖν τότε ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα, καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατάπληκτον C καὶ τὸ τῆς ἀνδρίας παράστημα, ὅτι τοσαύτην πολεμίων βλέπων ἐπιφορὰν οὐ κατεπλάγη καὶ συνεστάλη καὶ ὑπεχώρησεν, ἀλλ' ὥσπερ εἰς πλῆθος φίλων χωρῶν οὕτως ἀτρέμας ἀπῄει, μόνον οὐχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυτρον. πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀποβάθρᾳ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ἐπεὶ δὲ ὅμηροι ἐξ ἀμφοτέρων ἐλήφθησαν τῶν μερῶν καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διηρευνήσαντο ἀκριβῶς, μή πού τις δόλος ἢ ἐνέδρα τυγχάνει, κατῆλθε Συμεὼν τοῦ ἵππου καὶ πρὸς D τὸν βασιλέα εἰσῆλθεν. ἀσπασάμενοι οὖν ἀλλήλους εἰρήνης λόγους ἐκίνησαν. εἰπεῖν δὲ λέγεται τὸν βασιλέα πρὸς Συμεὼν "ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον καὶ Χριστιανὸν ὑπάρχειν ἀληθινόν, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνθρώπου καὶ Χριστιανοῦ τὸ τὴν εἰρήνην καὶ τὴν ἀγάπην ἀσπάζεσθαι, εἴπερ ὁ θεὸς ἀγάπη ἐστὶ καὶ λέγεται, ἀσεβοῦς δὲ καὶ ἀπίστου τοῦ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένοις. εἰ μὲν οὖν ἀληθὴς Χριστιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων

teis auroque et argento vermiculatis instructi; omnesque ferro circumcincti, sui medium susceptum Symeonem, faustis vocibus tanquam imperatorem ac regem Romana lingua dilaudabant. senatus omnis muris assidens, quae gerebantur longe prospectabant. erat igitur tunc videre regium vere animum ac magnificum, mentisque interritae admirari constantiam fortisque pectoris robur ac nihil collabentem audaciam, quod tanto hostium appulsu non est consternatus, non expavit, non pedem rettulit, sed quasi in amicorum se coetum inferret, sic quiete processit, velut tantum non subditorum salutis pretium, animam hostibus offerret. prior ergo ad eum quem dixi exscensum cum venisset, Symeonem praestolabatur. hinc ergo inde datis obsidibus, omnique diligentia Bulgaris lustrata machina, num quis in ea dolus aut insidiae laterent, Symeon equo desiliens ad imperatorem intravit. mutuo igitur alter alterum complexi, ac post datas iam acceptasque salutes, sermones de pace miscebant, quando ferunt imperatorem in haec verba Symeonem allocutum esse. "audivi te hominem dei cultorem ac verum Christianum esse: at facta video haud satis illi de te famae verbisque consentanea. eius enim qui dei cultor sit ac Christianus, istud proprium ut pacem ac caritatem colat, siquidem deus est atque dicitur caritas (1 Ioan. 4 8), impii autem et infidelis, ut caedibus iniusteque fuso cruore gaudeat. si igitur verus Christianus es, uti certo existimamus, tandem aliquando iniquis

ἐκχύσεις, καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν Χριστιανῶν τὴν εἰρήνην,
P 485 Χριστιανὸς ὢν καὶ αὐτὸς καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύ-
νεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄν-
θρωπος εἶ καὶ αὐτὸς θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ κρίσιν
καὶ ἀνταπόδοσιν, καὶ σήμερον μὲν ὑπάρχων, αὔριον δὲ εἰς κόνιν
διαλυόμενος. εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα. τίνα
οὖν λόγον δώσεις τῷ θεῷ ἐκεῖθεν ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφα-
γῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσῃς κριτῇ; εἰ
πλούτου ἐρᾷς, ἐγώ σε κατακόρως τούτου ἐμπλήσω. μόνον ἐπί-
B σχες τὴν δεξιάν, ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοιαν,
ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀναίμακτον καὶ ἀπράγμονα,
καὶ οἱ Χριστιανοὶ παύσωνταί ποτε τῶν συμφορῶν καὶ στήσωνται
τὸ Χριστιανοὺς ἀναιρεῖν· οὐ γὰρ θέμις αὐτοῖς αἴρειν ὅπλα καθ'
ὁμοπίστων." (30) τοσαῦτα ὁ βασιλεὺς εἰπὼν ἐσίγησεν. ὁ δὲ
Συμεὼν αἰδεσθεὶς τὴν τοσαύτην ταπείνωσιν καὶ τοὺς λόγους,
κατένευσε τὴν εἰρήνην ποιήσασθαι. ἀσπασάμενοι οὖν ἀλλήλους
καὶ διαχωρισθέντες, δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιω-
C σαμένου τὸν Συμεών. ὃ δὲ τότε συμβέβηκεν, διηγήσομαι, τερά-
στιόν τέ ὂν καὶ τοῖς ταῦτα συγκρίνειν εἰδόσι παράδοξον. δύο φασὶν
ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι
κλάγξαι τε καὶ πρὸς ἀλλήλους συμμῖξαι καὶ παραυτίκα διαζευ-

20 ὑπερπτῆσαι P at mox διαπτῆναι

finem caedibus impone; ac qui sis Christianus atque dicaris, nobiscum Christianis pacis percusso foedere innoxium sanguinem fundere desine, nec velis Christianorum dexteras eiusdem fidei Christianorum cruoribus foedari. nam tu quoque homo es, qui mortem et resurrectionem et iudicium atque retributionem exspectes. hodie cum sis, cras in pulverem dissolveris. febris una superbientis animi iactantiam omnem exstinguet. quam igitur deo rationem pro iniustis caedibus, cum ab humanis migraveris, redditurus es? quo vultu in tremendum iustumque iudicem oculos intendes? si te divitiarum cupido exagitat, iis ad satietatem implebo. tantum dexteram contine, pacem amplectere, cole concordiam, ut et ipse vitam pacatam agas et a caedibus liberam atque tranquillam curisque solutam, ac demum Christianorum aerumnae necesque finem habeant. nefas enim est ut ii adversus eiusdem fidei cultores arma tollant." (30) tanta haec locutus imperator conticuit. Symeon vero propensam adeo humilitatem plenaque modestiae verba reveritus componendae pacis assensum praebuit. alter igitur alteri vale dicentes, mutuisque exsatiati complexibus, hinc inde discessere, postquam imperator Symeonum muneribus magnifice accepisset. quod vero tunc accidit, narraturus sum, quippe prodigium remque novam et inauditam, eorum sensu ac iudicio qui haec coniectari norunt. mutuo enim colloquentibus regibus duas desuper aquilas devolasse ferunt clangoremque edentes coivisse, ac

χθῆναι ἀλλήλων, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην διαπτῆναι. τοῦτο ἀκριβῶς οἱ τὰ τοιαῦτα σκοποῦντες οὐ καλὸν ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ ἐπὶ τῇ εἰρήνῃ ἀμφοτέρους διαλυθήσεσθαι ἔφησαν. Συμεὼν δὲ τὸ αὐτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσι τὴν τοῦ βασιλέως ἀπήγγειλε σύνεσιν D καὶ ταπείνωσιν, ἐξεθείαζέ τε αὐτοῦ τό τε εἶδος καὶ τὴν ῥώμην καὶ τὸ ἀκατάπληκτον τοῦ φρονήματος.

31. Μηνὶ Δεκεμβρίῳ κε´ ἔστεψεν Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, Στέφανον καὶ Κωνσταντῖνον. τὸν δὲ Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ, εὐνοῦχον ὄντα, ἐποίησεν κληρικὸν ὁ Νικόλαος καὶ σύγκελλον προχειρισάμενος, χειροτονεῖ δὲ ὑποδιάκονον.

32. Τῇ δὲ ιε´ τοῦ Μαΐου μηνός, ἰνδικτιῶνος γ´, τελευτᾷ ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀναβάσει τοῦ πατριαρχείου ἔτη ιγ´, καὶ θάπτεται ἐν τῇ μονῇ αὐτοῦ τῶν P 486 Γαλακρηνῶν. τῷ δὲ Αὐγούστῳ μηνὶ Στέφανος ὁ Ἀμασείας εὐνοῦχος ὢν γίνεται πατριάρχης. Ἰωάννης δὲ ὁ μυστικὸς καὶ παραδυναστεύων, ἐπεὶ κατὰ τοῦ βασιλέως φρονεῖν ἠλέγχθη, φυγῇ χρησάμενος ἐν τῇ τῆς Μονοκαστάνου ἀποκείρεται μονῇ. Κωνσταντῖνος δὲ ὁ τοῦ Βοΐλα ἐν τῷ Ὀλύμπῳ ἀποκείρεται. προβάλλεται δὲ ὁ βασιλεὺς Ῥωμανὸς Θεοφάνην πρωτοβεστιάριον παραδυνα-

13 γ´] ιγ´ margo P 15 πατριάρχου P

mox facto divortio alteram quidem urbem petiisse, alteram in Thraciam pennarum remigio sese subduxisse. nec haec fausti ominis iudicata iis quibus istiusmodi curiosius rimandis addicta opera; nempe discordes fore infectaque recessuros pace principes divinavere. Symeon in castra reversus imperatoris sapientiam et modestiam in procerum suorum concilio sermone prosecutus, formamque et robur et imperculsum animum liberaliter laudavit.

31. Mensis Decembris quinto supra vigesimum Romanus imperator filios suos Stephanum et Constantinum in magna ecclesia Augustali corona donavit; Theophylactum autem eius item filium, qui spado esset, Nicolaus fecit clericum, syncellumque praeficiens hypodiaconum ordinavit.

32. Mensis Maii die quinto decimo, indictione tertia, moritur Nicolaus patriarcha, patriarchatu potitus annos quattuordecim, ex quo secundo sedem conscendit; sepeliturque in monasterio suo Galacrenorum. mense autem Augusto Stephanus Amaseae metropolita, ipse eunuchus, patriarcha creatur. porro Ioannes mysticus et subadiuva, quod res novas moliri ac imperatori insidiari convictus fugam inierat, in Monocastani monasterio monachi ritu tondetur. Constantinus item Boelas in Olympo capillorum cultu multatur. praeficit vero Romanus imperator subadiuvam Theophanem protovestiarium. quo tempore formidabilis ter-

στεύοντα. γίνεται δὲ τότε σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρακησίων
θέματι, καὶ χάσμα γῆς μέγα καὶ καταπληκτικόν, ὡς πολλὰ χωρία
B καὶ ἐκκλησίας αὐτάνδρους καταπτωθῆναι.

33. Μηνὶ Μαΐῳ κζ', ἰνδικτιῶνος ιε', Ἰωάννης ὁ ἀστρο-
νόμος εἶπεν Ῥωμανῷ τῷ βασιλεῖ ὅτι ἡ ἱσταμένη στήλη ἐπάνω τῆς
καμάρας τοῦ Ξηρολόφου καὶ ἐπὶ δυσμὰς βλέπουσα τοῦ Συμεών
ἐστι· καὶ εἰ ταύτης τὴν κεφαλὴν ἐκκόψεις, τῇ αὐτῇ ὥρᾳ ὁ Συ-
μεὼν τελευτᾷ. ἀποστείλας οὖν ὁ βασιλεὺς τῇ νυκτὶ τὴν κεφαλὴν
τῆς στήλης ἐξέκοψε· καὶ τῇ αὐτῇ ὥρᾳ ὁ Συμεὼν εἰς Βουλγαρίαν
ἐτελεύτησε, Πέτρον τὸν υἱὸν αὐτοῦ προβαλόμενος ἄρχοντα, ὃν ἐκ
τῆς δευτέρας αὐτοῦ γυναικὸς εἶχεν· Μιχαὴλ δὲ τὸν ἐκ τῆς προτέ-
C ρας αὐτῷ γενόμενον γυναικὸς ἀπέκειρε μοναχόν. Ἰωάννης δὲ καὶ
Βενιαμὴν οἱ τοῦ Πέτρου ἀδελφοὶ ἐπιστολὴν ἐκομίσαντο Βουλγαρι-
κήν. (34) τὰ κύκλῳ οὖν ἔθνη τὴν τοῦ Συμεὼν μαθόντες τελευ-
τήν, οἵ τε Χροβάτοι καὶ οἱ λοιποί, κατὰ Βουλγάρων κινεῖν ἐβού-
λοντο· λιμοῦ δὲ μεγίστου μετὰ καὶ ἀκρίδων τὴν Βουλγαρίαν ἐκ-
πιέζοντος, ἐδεδίεσαν καὶ μᾶλλον τὴν τῶν Ῥωμαίων ἐπέλευσιν.
ὅθεν καὶ κατὰ Ῥωμανίαν ἐκστρατεύουσι καὶ τῇ Μακεδονίᾳ κατα-
λυμαίνονται. οἱ δὲ Βούλγαροι τὴν πρὸς αὐτοὺς ἐξέλευσιν τοῦ
D βασιλέως ἀκούσαντες περὶ εἰρήνης φροντίζουσι, καὶ ἀποστέλλουσι
μοναχόν τινα Καλοκύριν ὀνομαζόμενον, Ἀρμενιακὸν τῷ γένει· ὃς
παρὰ τοῦ βασιλέως ἀσμενέστατα δεχθεὶς τὴν εἰρήνην ἐβεβαίωσε,
καὶ συνάλλαγμα μετὰ τοῦ βασιλέως ποιῆσαι αἰτεῖται. σύμφωνά

3 καταποθῆναι p. 582 c 23 καὶ γαμικὸν συνάλλαγμα?

rae motus in Thracesiorum themate accidit, ingensque terrae hiatus ac terrificus, ut multa praedia et loca ac ecclesiae virique in eis absorbente vasta voragine pariter perierint.

33. Mensis Maii die septimo supra vigesimum, indictione quinta decima, ait Ioannes astronomus imperatori "quae super Xerolophi fornicem erecta statua est, versa facie ad Occidentem, Symeonis figura est. eius caput si excideris, ipsa hora Symeon diem obibit." misso itaque noctu imperator ministro statuae caput abstulit; eademque hora Symeon in Bulgaria occidit, Petro filio, quem ex secundo toro susceperat, principe designato ac successore, Michaele vero ex priore uxore nato in monachum attonso. Ioannes porro et Beniamin epistolam Bulgarice scriptam attulerunt. (34) audita itaque Symeonis morte circumvicinae nationes, Chrobati pariter ac reliqui, adversum Bulgaros bellum movere cogitabant. cumque fames maxima ac locustarum vis Bulgariam dire premeret et affligeret, Romanorum in se impetum ac grassationem magis formidabant. iccirco illi quoque Macedoniam populari. audita autem imperatoris in eos expeditione de pace soliciti, monachum quendam patria Armenium, Calosyrim nomine, mittunt. susceptus ab imperatore placidissime legatus, pace confirmata, nuptiarum foedera cum imperatore

τε ποιήσαντες εἰς τὸ δοῦναι αὐτῷ Πέτρῳ τὴν θυγατέρα Χριστοφόρου τοῦ βασιλέως Μαρίαν, γράφουσι τῷ Πέτρῳ ἐλθεῖν. ἀποστέλλεται οὖν Νικήτας μάγιστρος ὁ συμπένθερος Ῥωμανοῦ τοῦ βασιλέως ὑπαντῆσαι αὐτῷ καὶ ἀγαγεῖν μέχρι τῆς πόλεως. καὶ ἐλθόντες ἐν Βλαχέρναις, ὁ βασιλεὺς ἀπελθὼν κατησπάσατο αὐτόν· καὶ τὰ εἰκότα συνομιλήσαντες ὑπέγραψαν τά τε σύμφωνα τῆς εἰρήνης καὶ τὰ γαμικὰ συναλλάγματα, μεσολαβοῦντος ἐν τούτοις τοῦ πρωτοβεστιαρίου Θεοφάνους. τῇ δὲ ηʹ τοῦ Ὀκτωβρίου μηνὸς P 487 στέφεται Πέτρος καὶ Μαρία ἐν τῷ ναῷ τῆς ὑπεραγίας θεοτόκου τῶν Πηγῶν παρὰ Στεφάνου πατριάρχου. πάντων δὲ τῶν εἰθισμένων φαιδρῶς τελεσθέντων, οἱ Βούλγαροι ἔνστασιν οὐ μικρὰν ἐποιήσαντο τοῦ πρότερον εὐφημεῖσθαι Χριστοφόρον, εἶτα Κωνσταντῖνον· ὃ καὶ ἐπένευσεν ὁ βασιλεύς. καὶ μετ' ὀλίγας ἡμέρας λαμβάνει τὴν ἰδίαν γυναῖκα Μαρίαν ὁ Πέτρος, καὶ ἐπὶ Βουλγαρίαν πορεύεται.

35. Ἔρχονται πρέσβεις ἀπὸ Μελιτηνῆς, καὶ μετ' αὐτῶν B καὶ ὁ στρατηγὸς αὐτῶν Ἀπαλάσαθ. καὶ ὑποδεχθέντες παρὰ Ῥωμανοῦ μετὰ τῆς προσηκούσης τιμῆς, σύμφωνά τε εἰρήνης ποιήσαντες, ὑπέστρεψαν εἰς τὰ ἴδια, καὶ ἔκτοτε συνεστρατεύοντο Ῥωμαίοις κατὰ τῶν ὁμοφύλων Σαρακηνῶν, καὶ ἐν τοῖς ἐπινικίοις συνήρχοντο τοῖς Ῥωμαίοις ἐν τῇ πόλει, αἰχμαλώτους ἄγοντες Ἀγαρηνούς· ὅπερ ἦν θαυμαστὸν καὶ παράδοξον καὶ δεῖγμα τῆς

17 ἀποδεχθέντες P

inire deposcit. pacti itaque Mariam Christophori imperatoris filiam nuptum daturos, Petrum per literas accersunt. mittitur ergo Nicetas magister Romani imperatoris socer, qui venienti Petro occurrens in urbem usque deducat. venerant ad Blachernas, cum imperator salutatum egressus, qui hospites adessent officiosissime amplexus est; habitoque secretiori tractatu pacis foedera ac nuptiales contractus subscripsere, Theophane protovestiario horum illis sequestro et instructore. mensis vero Octobris die octavo Petrus et Maria corollas nuptiales in sanctissimae dei genitricis Pegarum aede subeunt, benedictionem impartiente patriarcha Stephano. cunctisque nuptiarum ritu legitimis festis gaudiis peractis, non minima Bulgarorum contentio fuit ut Christophorus faustis ipse vocibus ac ominibus prior acciperetur, deinde Constantinus; quod ipsum ut fieret imperator consensit. nec post multos dies, accepta Petrus Maria coniuge, in Bulgariam discessit.

35. Veniunt a Melitene legati, eisque comes eorum Dux Apolasath: congruis vero honoribus a Romano suscepti, pacis foedere constituto, ad sua reversi sunt. quo ex tempore Romanis succenturiati adversus suae gentis homines Saracenos bella gerebant, triumphique pompa una cum Romanis captivos ducentes Agarenos in urbem intrabant: res sane

τῶν ἀθέων Ἀγαρηνῶν δυστυχίας. τελευτήσαντος δὲ Ἀπολάσαθ ἀνδρὸς φρονίμου καὶ συνετοῦ διέλυσαν τὴν εἰρήνην οἱ τὴν Μελι- C *τηνὴν κατοικοῦντες. ἐκστρατεύσαντες οὖν κατ᾽ αὐτῶν ὅ τε Δοὺξ τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας μετὰ τῶν θεμάτων καὶ ταγμάτων καὶ Μελίας μετὰ τῶν Ἀρμενίων· οἳ καὶ εἰς τοσαύτην στένωσιν τὴν Μελιτηνὴν κατέστησαν καὶ τὰ περὶ αὐτήν, ὡς καὶ κουρατωρείαν ποιῆσαι ταύτην τὸν βασιλέα, καὶ πολλὰς χιλιάδας χρυσίου καὶ ἀργυρίου ἐκεῖθεν λαμβάνειν ἐτησίως.*

36. *Κατηγορήθη δὲ Νικήτας μάγιστρος ὁ πενθερὸς Χριστοφόρου βασιλέως ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς καὶ τῆς βασιλείας αὐτὸν ἐξεῶσαι. τοῦτον ἐξώρισαν τῆς πόλεως καὶ μοναχὸν ἐποίησαν.*

D 37. *Τῇ ιη′ τοῦ Ἰουνίου μηνός, τῆς ϛ′ ἰνδικτιῶνος, τελευτᾷ Στέφανος πατριάρχης, κρατήσας ἔτη β′ μῆνας ια′. τῇ δὲ ιδ′ τοῦ Δεκεμβρίου μηνὸς ἄγουσι Τρύφωνα ἀπὸ τοῦ Ὀψικίου, ἐπ᾽ εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι πατριάρχην ἐπὶ ῥητῷ χρόνῳ. ὅθεν αὐτοῦ μὴ ἀνεχομένου ἐπὶ ῥητῷ χρόνῳ γενέσθαι ἀλλὰ μέχρι τέλους τῆς ζωῆς αὐτοῦ, δόλῳ τοῦτον πείθουσι τῷ τρόπῳ τούτῳ. λέγουσι γὰρ μὴ βουλομένῳ συγκαταθέσθαι "οὗτος οὐκ οἶδε γράμματα, οὐδὲ γράψαι δύναται, καὶ ἐπὶ τούτῳ ἀνθίσταται." ὁ δὲ βεβαιῶσαι βουλόμενος αὐτοῖς ὅτι καὶ* P 488 *γράφει καὶ ἀναγινώσκει, αἰτεῖ χάρτην καὶ μέλαν. παρέχουσιν*

mira et inaudita, impiorumque Agarenorum infelicitatis certa probatio. Apolasath autem, viro prudente ac sagaci, vivis exempto mox pacis foedera dissolvere. expeditione ergo in eos suscepta Ioannes Curcuas scholarum domesticus cum legionibus ac agminibus, Meliasque cum Armeniis, in eas angustias Melitenem ac circumvicina loca coniecerunt, ut in curatoriam (nos provinciam dicamus) eam imperator redegerit, multaque auri et argenti milia annuo tributo inde accipienda imperarit.

36. In crimen porro vocatus Nicetas magister, Christophori imperatoris socer, eo nomine quod auctor genero esset ut adversus patrem assumpta tyrannide imperio eum pelleret. quare hunc urbe eiectum monachum effecere.

37. Die decima octava Iunii mensis, indictione sexta, moritur Stephanus patriarcha, cum sedem tenuisset annos duos menses undecim. quarta decima vero mensis Decembris Tryphonem, virum religiosum ac notae sanctitatis, ex Opsicio adducunt atque ad certum tempus patriarcham constituunt. unde illo ad tempus fungi munere non sustinente, sed ad finem usque vitae sedem retinere volente, dolo in sententiam inducunt, hoc modo. nolente enim assensum praebere, aiunt nescire eum literas nec posse scribere, eaque ratione obniti ac resistere. probaturus itaque sibi scribendi atque legendi peritiam non deesse, chartam sibi et

οὖν αὐτῷ τόμον καινόν, καὶ κάτω που πρὸς τὰ τέλη ποιοῦσιν γράψαι "Τρύφων ἐλέει θεοῦ μοναχὸς καὶ πατριάρχης ἀρεσθεὶς καὶ στοιχῶν τοῖς προγεγραμμένοις ἰδίᾳ χειρὶ ὑπέγραψα." τοῦτο λαβόντες χειροτονοῦσιν αὐτὸν πατριάρχην. γράφουσιν οὖν ἄνωθεν τῆς ὑπογραφῆς τοῦ πατριάρχου Τρύφωνος ὅπερ αὐτοὶ ἐβούλοντο· μεθ' ὃ καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ῥητοῦ χρόνου καταβιβάζουσιν αὐτόν, τοῦ πατριάρχου μὴ θέλοντος, ὅμως τῇ ἰδίᾳ ὑπογραφῇ πεισθέντα καὶ τὴν πλάνην μὴ φέροντα. τοῦτο δὲ γέγονεν B *διὰ τὸ εἰς μέτρον φθάζειν ἡλικίας ἤδη Θεοφύλακτον τὸν τοῦ βασιλέως Ῥωμανοῦ υἱόν.*

38. *Τῇ δὲ κε' τοῦ αὐτοῦ μηνὸς χειμὼν ἀφόρητος γέγονεν, ὡς κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ρκ'. ὅθεν καὶ γέγονε μέγας λιμός, καὶ θάνατος ἐκ τούτου πολύς, ὡς μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. ὅθεν βασιλεὺς Ῥωμανὸς τὴν ἀφόρητον ἐκείνην βίαν τοῦ ψύχους κατανοήσας, καὶ τὴν τοῦ λιμοῦ παραμυθησόμενος ἔνδειαν, ἀνέφραξέ τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοάς, ὡς μὴ τὴν χιόνα καὶ τὸ* C *ψῦχος ἐκεῖθεν ἐπεισιέναι τοῖς πένησι, καὶ ἄρκλας ἐν πᾶσι τοῖς ἐμβόλοις κατεσκεύασεν. ἀργύριά τε κατὰ μῆνα τοῖς ἐν ταύταις κατακειμένοις πένησι δίδοσθαι διετάξατο, καὶ τὰ μηνιαῖα τριμήσια τοῖς ἐν ταῖς ἐκκλησίαις πένησι διανέμεσθαι, ὡς εἶναι τὰ διδόμενα καθ' ἕκαστον μῆνα ἀργυρίου ἐγκεχαραγμένου χιλιάδας ιβ'. τρεῖς δὲ αὐτῷ πένητες καθ' ἑκάστην συνήσθιον, λαμβάνοντες ἀνὰ νομίσμα-*

atramentum afferri iubet. novo igitur allato tomo, ad oram infra scribere faciunt "Tryphon dei misericordia monachus et patriarcha, quae praescripta sunt grata habens, eisque assensum praebens, manu propria subscripsi." libello accepto patriarcham inaugurant. tum quicquid videbatur, in charta vacua ante Tryphonis subscriptionem exarant. postea, ac ubi praestitutum illi tempus effluxerat, invitum patriarcham sede deturbant, propriae tamen cedentem subscriptioni, et cum ille factam sibi fraudem moleste ferret. inde vero tota instructa fraus, quod Theophylactus Romani imperatoris filius aetatis iam modum, et ut sacerdotio maturus videretur, attingeret.

38. Eiusdem mensis die vigesima quinta adeo aspera hiems fuit, ut terra dies centum viginti gelu non solverit. ex quo fames ingens magnaque mortalitas fuit, sic nimirum ut nec efferendis mortuis vivi sufficerent. Romanus itaque intolerandam hanc frigoris vim considerans, famisque levaturus inopiam, porticuum spatia tabulatis distinxit et fenestras apposuit, ne inde nix frigusque pauperibus incommodarent. arculas quoque seu proiecturas in cunctis porticibus exstruxit, pauperibusque in eis iacentibus quot mensibus argenteos numerandos constituit; similiter quoque pauperibus in ecclesiis constitutis trimetia erogari iussit, adeo ut signati argenti duodecim milia quot mensibus tribuerentur. tres quotidie pauperes in eius mensa comedebant, ac singuli nummum

τος ἑνός. τῇ δὲ τετράδι καὶ τῇ παρασκευῇ μοναχοὶ ὁμοίως, D λαμβάνοντες ἀνὰ νομίσματος ἑνός. ἦν δὲ καί τις τῶν παίδων ἀναγινώσκων ἐν τῇ τραπέζῃ αὐτοῦ. φιλομόναχος δὲ εἰ καί τις ἄλλος ὤν, πᾶσι τοῖς ἀρετῆς ἀντεχομένοις μοναχοῖς τὰς ἑαυτοῦ πράξεις μετὰ δακρύων ἔλεγεν, τάς τε ἐκκλησίας παντοίως ἐκόσμει, καὶ τοῖς ἐν πᾶσιν ὄρεσι μοναχοῖς ῥόγας ἐξαπέστειλε, τά τε μοναστήρια περιέθαλπε, καὶ τοῖς ἐν αὐτοῖς διὰ θεὸν ἀποκαρεῖσιν ἢ καὶ ἐγκλείστοις οὖσι ῥόγας τυπώσας οὐ διέλιπε διδόναι. (39) ταῦτα ὡς ἐκ πολλῶν ὀλίγα τῶν ἀπείρων αὐτοῦ κατορθωμάτων καὶ ἐλεημοσυνῶν διεξήλθομεν.

P 489 Ἐπέθεντο Πέτρῳ τῷ Βουλγάρῳ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ μετὰ καὶ ἑτέρων μεγιστάνων τοῦ Συμεών. καὶ φωραθέντες, ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται ἐν τῇ φυλακῇ, οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. τοῦτο μαθὼν ὁ βασιλεὺς ἀποστέλλει καὶ ἀναλαμβάνει τὸν Ἰωάννην.

40. Τῇ β' ἡμέρᾳ τοῦ Μαρτίου μηνός, κοσμίτης ἔπεσεν ἐν τῷ φόρῳ ἐκ τῶν ἐν τοῖς στοιχηδὸν ἱσταμένοις ἐκεῖσε κίοσι, καὶ ἀπέκτεινεν ἄνδρας ἕξ. γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὸν τῆς ὑπεραγίας θεοτόκου τοῦ φόρου ἔμβολον, καὶ ἐκάησαν τὰ κηρόπωλα καὶ τὰ γουνάρια μέχρι τῶν Ψιχῶν.

B 41. Τῷ δὲ Αὐγούστῳ μηνί, τῆς δ' ἰνδικτιῶνος, τελευτᾷ Χριστοφόρος ὁ βασιλεύς, καὶ ἐτάφη ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. κατήγαγον δὲ καὶ τὸν πατριάρχην Τρύφωνα τὸν ῥητὸν χρό-

accipiebant. simili etiam ratione feriis quarta et sexta monachos adhibebat, qui ipsi singulos nummos acciperent. erat et puerorum unus, qui in eius mensa lectoris munus obiret. cumque erga monachos, si quis alius, affectu duceretur, cunctis eius instituti viris, qui virtutis propensius cultores essent, in lacrimas effusus actus suos referebat. ecclesiis omnis generis ornatum adhibebat; monachis ubique in montibus exercentibus munera ac stipendia mittebat. monasteria fovebat, ac iis qui in illis propter deum comam posuerant, sive etiam inclusi agebant, constituta stipendia praebere non cessabat. (39) pauca haec ex multis ac innumerabilibus eius virtutum eleemosynarumque nobis perscripta opera.

Petro Bulgaro insidiatus eius frater Ioannes cum aliis Symeonis proceribus: deprehensi, Ioannes quidem verberibus affectus ac carceri mancipatus, reliqui vero non vulgaribus examinati suppliciis sunt. imperator ubi cognovit, qui ad se Ioannem adducant mittit.

40. Mensis Martii die altera Cosmites in foro cecidit ex iis qui columnis per ordinem ibi erectis impositi sunt, et sex viros oppressit. contigit vero etiam incendium ad sanctissimae dei genitricis Fori porticum, inceditque cerarariorum pellitiariorumque officinas, usque ad Psichas.

41. Mense Augusto, indictione quarta, mortuus est Christophorus imperator atque in domo patris sepultus. Trypho quoque patriarcha,

νον τελέσαντα, καὶ ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ. χηρεύει δὲ ἡ ἐκκλησία χρόνον α' μῆνας ε' διὰ τὸ ἀτελὲς Θεοφυλάκτου τοῦ υἱοῦ Ῥωμανοῦ.

42. Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον Δοῦκα ἑαυτὸν εἶναι ἐπιφημίσας πολλοὺς μεθ' ἑαυτοῦ συνεπήγετο. οὗτος συσχεθεὶς τῆς μιᾶς χειρὸς ἀλλοτριοῦται. εἶτα καιροῦ λαβό- C μενος καταλαμβάνει πάλιν τὸ Ὀψίκιον, καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος καὶ σπάθην ὑπερμεγέθη κατασκευασάμενος διήρχετο πλανῶν πολλοὺς ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ Δοῦκας· καὶ φρούριον κατασχὼν ὃ Πλατεῖα πέτρα κατονομάζεται, καὶ τροφὴν πολλὴν ἀποθέμενος, μεγάλην κατὰ Ῥωμανίαν ἀνταρσίαν κινεῖ, προνομεύων καὶ ληλατῶν τοὺς παρατυγχάνοντας. τοῦτον κρατήσαντες ἀνήγαγον ἐν τῇ πόλει, καὶ ἐν τοῖς Ἀμαστριανοῦ ἔκαυσαν.

43. Τῷ δὲ Φεβρουαρίῳ μηνί, τῆς ς' ἰνδικτιῶνος, τῇ ἑορτῇ τῆς ὑπαπαντῆς, χειροτονεῖται πατριάρχης ὁ ῥηθεὶς τοῦ D βασιλέως υἱὸς Θεοφύλακτος, τοποτηρητῶν ἐκ Ῥώμης ἀνελθόντων καὶ τόμον συνοδικὸν ἐπιφερομένων περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ τῷ πατριαρχικῷ θρόνῳ τοῦτον ἐνίδρυσαν. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο τὴν τοῦ Γαμαλᾶ θυγατέρα Ἄνναν, ἥτις ἅμα τῷ νυμφικῷ στεφάνῳ καὶ τὸν τῆς βασιλείας ἐπέθετο.

qui praestitutum iam tempus munere functus esset, abdicatus in suo monasterio vivendi finem facit. porro ecclesia annum unum et menses quinque ob immaturam Theophylacti Romani filii aetatem pastore vidua agit.

42. Impostor quidam Basilius Macedo, Constantinum Ducam sese iactitans, plures secum abducebat. hic captus cum esset, altera manuum multatur. tumque occasionem nactus rursus ad Opsicium venit; aeneaque manu eius loco quae putata erat sibi aptata, ac praegrandi fabricato ense, pertransibat multos seducens, ac si ipse Constantinus Ducas esset. captaque arce cui Lata Petra nomen, multaque congesta annonarum copia, magnam adversus rem Romanam excitat rebellionem, eos qui in eum incidissent depraedans, populansque provinciam. ceterum cum denuo captus esset, in urbem adductum ad Amastriani forum combusserunt.

43. Februario mense, sexta indictione, die festo occursus, quem dixi Theophylactum Romani filium patriarcha ordinatur, cum vicarii Roma venissent, allato tomo synodico, de illius praescribente ordinatione; a quibus etiam in patriarchali sede collocatus est. porro Romanus imperator filio suo Stephano uxorem locavit, Annam filiam Gamalae; quae et post nuptiales corollas Augustali corona donata est.

44. Μηνὶ Ἀπριλλίῳ, ἰνδικτιῶνος ζ', γέγονε πρώτη ἐκστρατεία τῶν Τούρκων κατὰ Ῥωμανίας· καὶ κατατρέχουσι μέχρι τῆς πόλεως, καὶ ληηλατοῦσι πᾶσαν Θρᾳκῴαν ψυχήν. ἀποστέλ-
P 490 λεται οὖν ὁ πατρίκιος Θεοφάνης καὶ πρωτοβεστιάριος, καὶ ποιεῖ καταλλαγὴν μετ' αὐτῶν.

45. Τῇ δὲ ιδ' τοῦ Ἰανουαρίου μηνὸς ἠγάγετο Ῥωμανὸς γυναῖκα τῷ τελευταίῳ υἱῷ αὐτοῦ Κωνσταντίνῳ, ἐκ τοῦ γένους τῶν Ἀρμενιακῶν, τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα· ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνὶ δευτέρᾳ ἑτέραν τούτῳ συνέζευξεν γυναῖκα, ἐκ τοῦ γένους τοῦ Μάμω ἐκείνου, Θεοφανὼ λεγομένην.

46. Τῷ ἐνιαυτῷ ἐκείνῳ κατέπλευσαν οἱ Ῥῶς οἱ καὶ Δρομῖται λεγόμενοι, οἱ ἐκ γένους τῶν Φράγγων ὄντες, κατὰ τῆς Κων-
B σταντινουπόλεως, μετὰ πλοίων χιλιάδες δέκα. πέμπεται οὖν πρὸς αὐτοὺς ὁ πρωτοβεστιάριος Θεοφάνης μετὰ πλοίων. καὶ τὸν στόλον εὐτρεπίσας αὐτοὺς ἐξεδέχετο. ἐπεὶ δὲ πλησίον τοῦ ἐν τῷ Εὐξείνῳ Πόντῳ φάρου ἐγένοντο (φάρος δὲ καλεῖται ἀφίδρυμά τι ᾧ πυρσὸς ἐπιτίθεται πρὸς ὁδηγίαν τοῖς ἐν νυκτὶ παροδίταις, Εὔξεινος δὲ Πόντος κατὰ ἀντίφρασιν καλεῖται· κακόξεινος γὰρ ἐλέγετο διὰ τὰς συνεχεῖς τῶν ἐκεῖσε ληστῶν πρὸς τοὺς ἐπιξενουμένους καταδρομάς, οὓς φασιν ἀνελὼν Ἡρακλῆς, ἀδείας τυχόντες οἱ παροδῖται τοῦτον Εὔξεινον ἐπωνόμασαν) ἐν τῷ Ἱερῷ λεγομένῳ, ὃ
C τὴν ἐπωνυμίαν εἴληφε διὰ τῶν τῆς Ἀργοῦς πλωτήρων ἐκεῖσε διερ-

44. Mense Aprili, indictione septima, prima Turcorum adversus Romanam dicionem exstitit irruptio; grassatique ad ipsam usque urbem Thraciam omnem populati sunt, ac captivos duxerunt. mittitur ergo Theophanes patricius protovestiarius, resque cum illis composuit.

45. Quarta decima Ianuarii mensis locavit Romanus uxorem iuniori filio suo Constantino gentis Armeniacae, patricii Adriani filiam; qua et defuncta secunda Februarii alteram ei copulavit, ex Mamonis illius genere, Theophano nomine.

46. Eodem anno Russi, quos Dromitas vocant (ac si vagos dicas ac cursu expeditos), ex Francis genus ducentes, conferta decem milium navium classe infestis signis Byzantium venerunt. in eos itaque Theophanes protovestiarius cum navalibus copiis missus, instructa classe, illorum sustinebat impetum. quod vero ad Ponti Euxini Pharum iam venerant (dicitur autem Pharus moles quaedam seu turris, ex qua accensa flamma viatores noctu in itinere diriguntur. Euxinus vero Pontus per antiphrasim dicitur, quasi bene hospitalis: male enim hospitalis audiebat ob grassantium in eo latronum erga hospites iuges iniurias; quibus ab Hercule sublatis, securitatem nacti viatores Euxinum eum nuncupaverunt) in loco quem Hieron vocant, ac si dicas templum (cui inde appellatio accessit, quod Argonautae illac transeuntes eo loco templum con-

γομένων αὐτόθι ἀνιδρύσαι μὲν ἱερόν, αὐτὸς ἀθρόον τούτοις ἐπέθετο, καὶ τὰ μὲν πλεῖστα πλοῖα κατέφλεξεν, τὰ δὲ λοιπὰ εἰς φυγὴν ἐτράπησαν. ὅθεν καὶ τελείας τροπῆς γενομένης τὰ μὲν τῶν πλοίων αὐτῶν αὔτανδρα κατέδυσαν, πλείστους δὲ ζῶντας συνέλαβον. οἱ δὲ περιλειφθέντες εἰς τὸ τῆς ἀνατολῆς μέρος, εἰς τὰς Ῥογὰς λεγομένας, κατέπλευσαν. καὶ ἐπεὶ σύνταγμα πρὸς τὰ τῆς Βιθυνίας μέρη ἀπέστειλαν χρειῶν ἕνεκα, ἐντυγχάνει τούτοις Βάρδας ὁ Φωκᾶς· καὶ γὰρ ἀποσταλεὶς ἦν ἐπὶ τούτῳ μετὰ ἱππέων ἐκκρίτων, παρατρέχων αὐτούς, καὶ κατέσφαξεν ἅπαντας. ἀλλὰ καὶ ὁ Κουρκούας D μετὰ παντὸς τοῦ τῆς ἀνατολῆς στρατεύματος κατελθὼν τοὺς ὑπολειφθέντας εὑρίσκων ἀπέκτεινεν. πολλοὺς δὲ τόπους καὶ ναοὺς ἐνέπρησαν, καὶ τοὺς συλλαμβανομένους Ῥωμαίους τοὺς μὲν ἀνεσταύρουν τοὺς δὲ τῇ γῇ προσεπήγνυον, τοὺς δὲ τοῦ κλήρου, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες, ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν ἐπήγνυσαν. χειμῶνος δὲ ἤδη καταλαμβάνοντος, καὶ εἰς τὰ οἰκεῖα βουλόμενοι ἀπελθεῖν, τὸν στόλον λαθεῖν ἐσπούδαζον. νυκτὸς οὖν ἐκπλεύσαντας ὁ πατρίκιος Θεοφάνης τούτους ὑπήντησε. καὶ εὐθὺς δευτέρα ναυμαχία συνάπτεται καὶ πλεῖστα P 491 πλοῖα βυθίζονται. ὀλίγων δὲ μετὰ πλοίων περισωθέντων καὶ ἐν τῇ τῆς Κοίλης περιπεσόντων ἀκτῇ, νυκτὸς ἐπελθούσης διέφυγον. Θεοφάνης δὲ μετὰ νίκης μεγάλης ὑποστρέψας ἐντίμως καὶ μεγαλοπρεπῶς παρὰ τοῦ βασιλέως ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη.

1 ἀνιδρυσαμένων?

diderunt), ipse repente in illos irruens navigia alia igne combussit alia in fugam egit. quocirca fusis omnino fugatisque hostibus, partim eorum naves cum vectoribus pelago merserunt, partim plurimos ingentique turba vivos ceperunt. qui residui fuerant, ad Orientalem plagam, ad locum quem Rhogas vocant, navigaverunt. quodque manipulum necessarii pabuli et annonarum causa in Bithyniam miserant, Bardas Phocas in eam rem cum lectorum equitum manu missus, antevertens illorum iter illisque obviam factus, cunctos internecione delevit. sed et Curcuas cum Asiaticis cunctis copiis descendens, fusique exercitus reliquias offendens, illorum stragem dedit. ii porro multa loca ac templa incenderant, quosque ex Romanis comprehenderant, alios in crucem agebant, alios terrae configebant; clericos sacrique ordinis viros, manibus post terga revinctis, medio cerebro infixis clavis dire perimebant. iam vero appetente hieme cum domum redire pararent, Romanam classem latere studebant. cum itaque noctu solvissent, facto eis obviam Theophane patricio altera statim navalis commissa pugna, multaque profundo mersa navigia: pauci cum navigiis ad Coeles asperum littus evecti incolumes per noctis opportunitatem evaserunt. Theophanes autem ingenti parta victoria reversus, honorifice ac magnifice ab imperatore susceptus, accubitoris dignitate provectus est.

47. Τῷ δὲ Ἀπριλλίῳ μηνί, τῆς α' ἰνδικτιῶνος, πάλιν ἦλθον οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως· ὁ δὲ παρακοιμώμενος ἐξελθὼν σπονδὰς εἰρηνικὰς μετ' αὐτῶν ἐποιήσατο, ὅθεν καὶ ἐπὶ χρόνους ε' ἡ εἰρήνη διεφυλάχθη.

B 48. Τῇ δὲ β' ἰνδικτιῶνι, Πασχάλιος πρωτοσπαθάριος καὶ στρατηγὸς Λαγουβαρδίας ἀποστέλλεται πρὸς ῥῆγα τῶν Φράγγων, ἀγαγεῖν τὴν αὐτοῦ θυγατέρα Ῥωμανῷ τῷ Κωνσταντίνου τοῦ γαμβροῦ αὐτοῦ υἱῷ εἰς νύμφην. ἣν καὶ μετὰ πλούτου πολλοῦ ὁ Πασχάλιος ἀνήγαγεν· καὶ γέγονεν ὁ γάμος Σεπτεμβρίῳ μηνί, ἰνδικτιῶνος γ'. ἥτις καὶ ἔζησε μετὰ τοῦ ἀνδρὸς αὐτοῦ ἔτη ε', καὶ ἐτελεύτησεν ἐν ταῖς ἡμέραις τῆς αὐτοκρατορίας Κωνσταντίνου τοῦ αὐτῆς πενθεροῦ.

49. Τῷ Δεκεμβρίῳ μηνί, τῆς δ' ἰνδικτιῶνος, ἀνέμου βιαίου καὶ σφοδροῦ πνεύσαντος οἱ λεγόμενοι ἐν τῷ ἱππικῷ ἐξ ἐναν-
C τίας τοῦ βασιλικοῦ θρόνου Δῆμοι κατέπεσον, καὶ συνέτριψαν τὰ ὑποκάτω αὐτῶν βάθρα καὶ στήθεα. χρόνου δὲ διελθόντος τῷ αὐτῷ μηνὶ τὸν βασιλέα Ῥωμανὸν οἱ υἱοὶ αὐτοῦ τοῦ παλατίου κατήγαγον.

50. Τῆς δὲ πόλεως Ἐδέσης, ἐν ᾗ τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον ἀπέκειτο, παρὰ τοῦ Ῥωμαϊκοῦ πολιορκουμένης στρατεύματος, οἱ οἰκήτορες ταύτης πρὸς τὸν βασιλέα διαπρεσβεύουσι Ῥωμανὸν τοῦτο παρέχειν, εἰ τὴν πολιορκίαν λύσειεν. ὅπερ καὶ γέγονε· καὶ χρυσόβουλλον ἐδόθη μηδ' ἔτι ὑπὸ Ῥωμαίων τὴν χώ-

17 τοῦ om P

47. Mense Aprili, indictione prima, rursus Turci ingentibus copiis irruptionem fecere. ad quos egressus accubitor pacis cum eis foedus percussit; unde etiam ad annos quinque pax rata fuit.

48. Altera statim indictione, Paschalis protospatharius ac Longobardiae praetor a Romano ad Francorum regem, qui eius filiam adducat Romano Constantini eius generi filio copulandam, mittitur. quam et multis donatam opibus adduxit. celebratae nuptiae mense Septembri, indictione tertia. vixitque cum viro suo annos quinque, et mortua est, eius socero Constantino iterum iam rerum summam adepto.

49. Mense Decembri, indictione quarta, validissimo ac vehementi perflante vento, quos in Circo demos vocant, ex adverso imperatoris solii ceciderunt, subiectosque gradus ac intercolumnia contriverunt. transacto autem anno, eodem mense, Romanum imperatorem filii aula detruserunt.

50. Edesena autem civitate, in qua sacra Christi effigies linteo expressa, Romanorum copiis obsidione cincta armisque pressa, missa ad Romanum legatione illius cives illam se praebituros polliciti sunt, ea duntaxat condicione ut obsidio solveretur. quod et ita contigit. data enim bulla aurea cautum est ne illorum deinceps ager ac provincia a

ραν αὐτῶν ληΐζεσθαι. τοῦ δὲ ἁγίου ἐκμαγείου ἀποσταλέντος, ἀπήντησεν αὐτῷ Θεοφάνης ὁ παρακοιμώμενος μετὰ λαμπρᾶς φωταγωγίας D καὶ τῆς δεούσης τιμῆς καὶ ὑμνῳδίας κατὰ τὸν Σάγγαριν ποταμόν. τῇ δὲ ιθ' τοῦ αὐτοῦ μηνὸς σὺν αὐτῷ ἐν τῇ πόλει εἰσῆλθε. τοῦ δὲ βασιλέως ὄντος ἐν Βλαχέρναις κἀκεῖθεν αὐτὸ προσκυνήσαντος, τῇ ἐπαύριον ἐξῆλθον ἐν τῇ Χρυσῇ πόρτῃ οἵ τε βασιλέως δύο υἱοί, Στέφανος καὶ Κωνσταντῖνος, καὶ ὁ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος σὺν τῷ πατριάρχῃ Θεοφυλάκτῳ καὶ τῇ συγκλήτῳ πάσῃ, καὶ τοῦ λαοῦ προπορευομένου μετὰ φωταγωγίας μέχρι τοῦ ναοῦ τῆς τοῦ θεοῦ ἁγίας σοφίας πεζοὶ τοῦτο διεκόμισαν, καὶ προσκυνηθὲν ἐκεῖσε ἐν τῷ παλατίῳ τοῦτο ἀνήγαγον. P 492

51. Ἐν ταύταις ταῖς ἡμέραις Ἀρμένιόν τι τέρας τῇ πόλει ἐπεφοιτήκει, παῖδες συμφυεῖς ἄρρενες, ἐκ μιᾶς προελθόντες γαστρός, ἄρτιοι μὲν πάντα τὰ μέλη τοῦ σώματος· ἀπὸ δὲ τοῦ στόματος τῆς γαστρὸς καὶ μέχρι τῶν ὑπὸ γαστέρα συμπεφυκότες ἀλλήλοις ὑπῆρχον, ἀντιπρόσωποι. οἳ ἐπὶ πλεῖστον ἐν τῇ πόλει ἐνδιατρίψαντες ὑπὸ πάντων ὡς ἐξαίσιόν τι τέρας ἐθαυμάζοντο· ὅθεν καὶ ὡς πονηρός τις οἰωνὸς τῆς πόλεως ἐξηλάθη. πάλιν δὲ ἐπὶ τῆς μονοκρατορίας τῆς βασιλείας Κωνσταντίνου εἰσῆλθε. καὶ ἐπειδὴ B ὁ ἕτερος αὐτῶν ἐτεθνήκει, ἰατροί τινες ἔμπειροι τὸ συγκεκολλημένον μέρος διέτεμον εὐφυῶς ἐλπίδι τοῦ τὸν ἕτερον ζήσεσθαι. ἀλλὰ καὶ οὗτος τρεῖς ἡμέρας ἐπιβιοὺς ἐτελεύτησεν.

19 τοῦ βασιλέως?

Romanis diriperetur. missa itaque sacra effigie, obviam factus accubitor Theophanes cum magnifico cereorum luminumque apparatu et decenti cultu ac hymnodia ad Sangarin fluvium eam excepit, mensisque eiusdem die decimo nono ipsam deducens in urbem intravit. imperator, qui in Blachernis esset, ibi eam pie veneratus est. postridie vero ad Auream portam egressi tum imperatoris ambo filii, Stephanus et Constantinus, tum eius gener Constantinus cum Theophylacto patriarcha omnique senatu, populo quoque praeeunte cum lampadibus ac facibus, ad usque sanctae dei sapientiae delubrum pedibus eam deduxere; pieque ibi sacrum illud pignus venerati in palatium detulerunt.

51. Hisce diebus portentum quoddam ex Armenia in urbem venerat, pueri duo ex uno progressi utero, membris omnibus corporis integri; ab umbilico autem ad pubem alter alteri cohaerentes erant, obversis inter se vultibus. hi diu multumque in urbe morati, velut ingens quoddam ac singulare portentum, cunctorum admirationem ciebant. quamobrem etiam velut res mali ominis, monstrum urbe expulsum; in eam tamen rursus subiit, cum solus Constantinus rerum summam adeptus esset. horum autem gemellorum altero mortuo, partem cohaerescentem periti quidam medici subtili arte putavere, cum alterum vivum conservatum iri sperarent. qui tamen ipse cum tres dies supervixisset, exstinctus est.

52. Ἐν πᾶσι μὲν οὖν, ὡς ἀνωτέρω εἴρηται, τοῖς μοναχοῖς ὁ βασιλεὺς πίστιν ἐκέκτητο ἄμετρον, διαφερόντως δὲ ἐτίμα καὶ ὑπερέσεβε Σέργιον τὸν ἐν μοναχοῖς διαλάμποντα, ὃς ἀδελφὸς μὲν τοῦ μαγίστρου ἐπεφύκει Θωμᾶ, ἀνεψιὸς δὲ τοῦ πατριάρχου
C Φωτίου· ὃν πλέον τῆς σαρκικῆς εὐγενείας ἡ κατὰ ψυχὴν ἐτίμα εὐγένεια τό τε τῆς διακρίσεως εὐθὺ καὶ τὸ τοῦ προσώπου χάριεν τὸ μέτριόν τε τοῦ φρονήματος καὶ τοῦ ἤθους· τὸν μὲν γὰρ λόγον εἶχε γλυκύτερον μέλιτος ἀποστάζοντα, τὸ ἦθος πάγιον καὶ σταθηρόν, τὸ δὲ φρόνημα πολὺ φυσικὸν καὶ ταπεινόν. τοῦτον δὴ τὸν ἀοίδιμον ἀδιαλείπτως μεθ᾽ ἑαυτοῦ εἶχεν ὁ βασιλεύς, κανόνα, ὡς ἄν τις εἴποι, τὸν αὐτοῦ βίον ἀεὶ ῥυθμίζοντα. οὗτος πολλὰ παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ μὴ ἀπαιδεύτους ἐᾶν εἰς πονηρίαν ἐκκλίνοντας, μή ποτε καὶ αὐτὸς πάθοι τὸ τοῦ Ἠλί, τι-
D μωρίαν ἐκτίσας ὑπὲρ τῆς τῶν παίδων παρανομίας. ὃ καὶ γέγονε. καὶ γὰρ πρὸ ὀλίγων ἡμερῶν τούτων, πάντων καθιστορούντων τὸν ἄχραντον χαρακτῆρα ἐν τῷ ἁγίῳ ἐκμαγείῳ τοῦ υἱοῦ τοῦ θεοῦ, ἔλεγον οἱ υἱοὶ τοῦ βασιλέως μὴ βλέπειν τι ἢ πρόσωπον μόνον, ὁ δὲ γαμβρὸς Κωνσταντῖνος ἔλεγεν βλέπειν ὀφθαλμοὺς καὶ ὦτα. πρὸς οὓς καὶ εἶπεν ὁ ἀοίδιμος Σέργιος "καλῶς ἀμφότεροι εἴδετε." οἱ δὲ ἀντέφησαν "καὶ τί σημαίνει ἑκάστου τούτου ἡ διαφορά;" ἀπεκρίθη "οὐκ ἐγὼ ἀλλὰ Δαβὶδ ὁ προφήτης λέγει, ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ κυρίου
P 493 ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐ-

52. Immensam imperator, uti a me superius dictum est, erga omnes monachos, eximie tamen erga Sergium inter monachos vitae sanctimonia praecipuum, habebat fidem, eumque colebat ac supra modum venerabatur. erat is frater magistri Thomae, Photii patriarchae nepos, quem animi ingenuitas quam corporis nobilitas illustriorem reddebat; discretionis rectitudo, vultus gratia, modestia animi morumque compositio mire commendabat. sermo illi melle dulcior fluebat; firma mens ac robusta, animi sensus longe humanus atque modestus. hunc imperator virum inclitum velut regulam ac amussim, ut sic loquar, omnis ubique componendae vitae suae iugiter apud se habebat. isque adeo imperatorem etiam atque etiam filiorum curam agere, nec indisciplinatos nullaque castigatione ad nequitiam declinare sinere, admonebat, ne et illi idem atque Heli contingeret (1 Reg. 3 12), ac pro filiorum scelere ipse quoque poenas daret; quod et evenit. ante enim paucos hos dies, cum omnes intemeratam filii dei in linteo expressam effigiem lustrarent, dixerunt Romani filii se praeter vultum nihil videre, eius autem gener Constantinus videre se oculos et aures affirmavit. ad quos vir inclitus Sergius, "bene" inquit "utrique vidistis." tum illi "quidnam vero sibi vult utriusque discrimen?" respondit "non ego, sed David propheta (Ps. 33 16) ait, oculi domini super iustos, et aures eius in preces eorum; vultus autem domini super facientes mala, ut perdat de terra memoriam

τῶν." τότε ἀκούσαντες ἐκεῖνοι θυμοῦ ἐπλήσθησαν καὶ κατ' αὐτοῦ ἐβουλεύοντο. ὅθεν δὴ καὶ τοῦ παλατίου κατάγουσι τὸν πατέρα αὐτῶν καὶ ἐν τῇ νήσῳ ἐξορίζουσιν. ἀλλὰ δὴ καὶ πάλιν αὐτὸν εἶχεν ἐκεῖ Ῥωμανὸς ὁ βασιλεὺς τῶν συμφορῶν παραμύθιον καὶ τῶν θλίψεων ἀκεσώδυνον φάρμακον. συνῆν τούτῳ καὶ Πολύευκτος ὁ εὐλαβέστατος μοναχός, τὰ εἰκότα παραμυθούμενος, ὃς τοῦ πατριάρχου Θεοφυλάκτου τελευτήσαντος αὐτὸς πατριάρχης Κωνσταντινουπόλεως ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως προχειρίζεται. B
εἰσοικίζεται δὲ καὶ οὗτος παρὰ Σεργίου τοῦ εἰρημένου εὐλαβεστάτου μοναχοῦ Ῥωμανῷ τῷ βασιλεῖ τρόπῳ τοιῷδε. τοῦ πατριάρχου Θεοφυλάκτου τοῦ υἱοῦ αὐτοῦ συχνοτέρως νοσοῦντος, παρεκάλει Ῥωμανὸς τὸν Σέργιον γενέσθαι πατριάρχην. ὁ δὲ ἀπὸ ψυχῆς τοῦτο ἀπαρνούμενος ἐπὶ πολλὰς ἡμέρας ἠναγκάζετο. καί ποτέ φησιν "ἔχω, δέσποτα, εἰ θέλεις, πατριάρχην, ἄνδρα εὐλαβῆ καὶ χρησιμεύοντα, ἀλλὰ μὴν καὶ σοφὸν εἰς τὴν τοιαύτην ἀξίαν." ὁ δὲ "ἂς ἴδω αὐτόν." ἔρχεται μετὰ τοῦ Σεργίου καὶ ὁ Πολύευκτος· καὶ ὡς εἰσῆλθον ἀμφότεροι εἰς τὸν βασιλέα, αὐτὸς μὲν ὁ βασιλεὺς C
καθέζεται ἐπὶ τῆς κλίνης, συγκαθέζεται δὲ αὐτῷ καὶ ὁ Σέργιος· τὸν δὲ Πολύευκτον εἰς σκάμνον ἐκάθισαν. ἐρωτᾷ ὁ βασιλεὺς χρήσιμόν τι γραφικὸν τῷ Πολυεύκτῳ, σκοπῶν ἐπὶ τὸ ἀκοῦσαι ποσῶς τὴν λαλιὰν αὐτοῦ, ὡς ἔθος τοῖς ἀνθρώποις. ὁ δὲ ὀξύθυμος ὢν αὐστηρῶς πως καὶ ἀποφαντικῶς ἀπεκρίθη τραχείᾳ τῇ φωνῇ "ὁ καθεζόμενος μετὰ τῆς βασιλείας σου ἐν τῇ κλίνῃ σου ἑρμηνευσάτω

eorum." quo audito ira impleti sunt, inibantque adversus eum consilium. quamobrem etiam patrem aula deiecerunt inque insulam eum relegarunt; quo ipso loco Romanus imperator eo rursus tristium rerum aerumnarumque solatio utebatur ac leniente remedio. una quoque versabatur religiosissimus monachus Polyeuctus, ipse pariter convenienti opera solans. hic nimirum, Theophylacto patriarcha vivis exempto, patriarcha Cpolitanus a Constantino imperatore praeficitur. quin hic quoque a Sergio, quem dicebam, religiosissimo monacho, per hunc modum Romano imperatori insinuatur. Theophylacto Romani filio crebrius laborante aegraque nimis valetudine, rogabat ille Sergium ut patriarchae munus iniret. illo tamen strenue exque animo recusante, ad multos dies eius tentata constantia est. aitque tandem "si placet, imperator, patriarcham habeo, virum religiosum commodumque, sed et sapientia pollentem, quanta ex sedis huius rationibus est." cui Romanus "quaeso te, hominem videam." venit itaque cum Sergio et Polyeuctus; cumque ambo ad imperatorem ingressi essent, ipse quidem imperator in lectulo sedit, Sergiusque una cum illo consedit. Polyeuctus in scabello seorsum sedere iussus. tum rogat imperator commodum aliquid ex scriptura, eo spectans ut quanta eius dicendi facultas vel parum auditu experiretur, uti fere hominum moribus comparatum est. tum ille ira velox austere quodammodo ac resolute voce aspera "qui tecum in lectulo sedet, imperator, is interpre-

αὐτός." καὶ ὁ μὲν βασιλεὺς εὐθὺς τὸν λόγον ὡς φθόνου βέλος ἐν τῇ καρδίᾳ δεξάμενος· ὁ δὲ μακαρίτης Σέργιος τῷ φυσικῷ φρονή-
D *ματι τὸν λόγον ὑπαμβλῦναι θέλων ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας Πολυεύκτου, καὶ "εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ ἅγιε" λέγει, "ὅτι τοσαύτας ἡμέρας ἀτακτῶν οὐκ ᾐσθανόμην." τοῦ δὲ βασιλέως πυθομένου "διὰ τί οὕτως ἐποίησας;" ἔφη "ὅτι οὕτως ὀφείλει ποιεῖν ὁ προϊστάμενος, καὶ μάλιστα ἐκκλησίας, καὶ μὴ κατὰ προσωποληψίαν τι ποιεῖν." ἔκτοτε οὖν οὐκ ἐπείσθη ἐν τῇ κλίνῃ τοῦ βασιλέως τὸ σύνολον καθεσθῆναι.*

53. *Στέφανος τοίνυν ὁ υἱὸς Ῥωμανοῦ ἐπαναστὰς τῷ πατρί, συμβούλοις τε χρησάμενος τῷ τε ἀπὸ μοναχῶν Μαριανῷ καὶ Βα-*
P 494 *σιλείῳ τῷ λεγομένῳ Πετεινῷ καὶ Μανουὴλ τῷ Κουρτίκῃ, συνειδότων αὐτῷ καὶ τῶν λοιπῶν βασιλέων, ἐπεὶ μακρῷ γήρει καὶ νόσῳ τρυχόμενον εἶδεν, καὶ τὰ τῆς βασιλείας κατὰ διαθήκας ἀπακριβωσάμενον (καὶ ἄνακτα πρῶτον τὸν πορφυρογέννητον Κωνσταντῖνον προσδιωρίσατο καὶ καθεξῆς ἐν δευτέρῳ καὶ τρίτῳ τοὺς τούτου υἱοὺς) καὶ πρὸς αὐτοὺς ῥητῶς ἐξασφαλισάμενον ὡς εἴπερ τῷ πρώτῳ βασιλεῖ κατά τι πταίσειαν, καθαιρεῖσθαι παραυτίκα τῆς βασιλείας, τοῦτον τοῦ παλατίου κακῶς κατήγαγεν καὶ ἐν τῇ Πρώτῃ*
B *νήσῳ ἐξορίσας ἀπέκειρεν μοναχόν.*

tetur." ac quidem imperator ceu invidiae iaculum, quod sic ille locutus erat, in corde accepit. beatae vero memoriae Sergius, naturali solertia humanitatisque sensu mollire satagens quod ita exciderat, ad Polyeucti se pedes abiicit, aitque "ora pro me, pater sancte, quod tamdiu incompositis moribus me ipse non cognovi." percontatur imperator cur ita se gesserit. ad quem ille "quod is qui praeest, se ita gerere debet, ac praesertim qui ecclesiae praepositus est; non acceptione personarum aliquid agere." exque eo tempore nunquam Sergius adduci potuit ut in imperatoris lectulo sederet."

53. Stephanus igitur Romani filius in patrem insurgens, adhibitisque in consilium Mariano exmonacho et Basilio cognomento Petino, necnon Manuele Curtice, consciis etiam reliquis Augustis, quod gravi morbo ac senio detritum eum videret, ac qui testamenti tabulis res imperii ordinasset, primumque imperatorem Constantinum Porphyrogennetum statuisset, tumque deinceps filios suos secundo ac tertio ordine imperatores fore decrevisset, expressisque ad eos verbis sanxisset atque firmasset, si quid adversus primum imperatorem offenderint ac maiestatem violaverint, confestim imperio abdicandos esse, male aula detrusum inque Proten insulam relegatum monachi ritu caesarie multavit.

Ὑπελείφθη οὖν αὐτοκράτωρ Κωνσταντῖνος ὁ τούτου γαμβρός,
μηνὶ Δεκεμβρίῳ κ', ἰνδικτιῶνος γ', ἐν ἔτει ,ςυνδ'. ὃς παραυτίκα
Βάρδαν τὸν Φωκᾶν μάγιστρον καὶ δομέστικον τῶν σχολῶν προ-
χειρίζεται, καὶ Κωνσταντῖνον ναυμαχίας ἡγήτορα, καὶ στρατιάρ- C
χας τινὰς τῶν εὐχρήστων. τὸν δὲ Πετεινὸν πατρίκιον καὶ κόμητα
τοῦ στάβλου πεποίηκε, τὸν δὲ Κουρτίκην πατρίκιον καὶ δρουγγά-
ριον τῆς βίγλας, οὕστινας ὁ θεὸς συντόμως ἐπεξῆλθεν ὡς εἰς χρι-
στὸν κυρίου παροινήσαντας· ἐπὶ καθοσιώσει γὰρ καταληφθέντες,
ὡς ἑκάτερος αὐτῶν οἰκτίστῳ θανάτῳ τὸν βίον ἀπέρρηξαν.

2. Μετὰ δὲ μ' ἡμέρας Κωνσταντῖνος ὁ πορφυρογέννητος
ὑποπτεύσας Στέφανον καὶ Κωνσταντῖνον τοὺς αὐταδέλφους, μή
ποτε καὶ κατ' αὐτοῦ τὰ ὅμοια διαπράξωνται, ὅπερ ἦν εἰκός, ὅτι D
εἰ τοῦ ἰδίου πατρὸς οὐκ ἐφείσαντο, πῶς αὐτοῦ φείσονται; λέγεται
γὰρ ὅτι φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. τῶν ὁμαιμόνων
τί γίνεται; ἑστιάσας αὐτοὺς καὶ φιλοφρονήσας, ἔτι τῆς βρώσεως
οὔσης ἐν τῷ στόματι αὐτῶν ἀνήρπασαν τούτους οἱ πρὸς τοῦτο εὐ-
τρεπισμένοι, καὶ ἐν ταῖς πλησιαζούσαις νήσοις αὐτοὺς περιώρισαν
κληρικοὺς ποιήσαντες. μετ' ὀλίγον δὲ τὸν ἴδιον πατέρα αὐτῶν
αἰτησάμενοι ἰδεῖν μοναχὸν ὄντα, πένθει ἀφορήτῳ κατεχόμενοι.
ὁ δὲ ὁμοίως ὀδυρόμενος πρὸς αὐτοὺς ἐφθέγξατο "υἱοὺς ἐγέννησα
καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν." εἶθ' οὕτως ἐξορίζονται, ὁ
μὲν Στέφανος εἰς Προικόνησον, εἶτα εἰς Ῥόδον, ἔπειτα εἰς Μιτυ- P 495

Imperator igitur eius gener Constantinus relictus est, mensis Decembris vigesimo, indictione tertia, anno 6454. is statim Bardam Phocam magistrum et scholarum domesticum creat, Constantinum vero navalium copiarum ducem, nec non tribunos viros quosdam strenuos ac industrios. Petinum patricium ac comitem stabuli fecit, Curticem patricium et excubiarum drungarium; quos brevi divina insecuta ultio est, ut qui se in Christum domini scelerate gessissent. maiestatis namque rei deprehensi misera morte vitam ambo abruperunt.

2. Quadraginta vero dierum exacto spatio, Constantinus Porphyrogennetus suspectos habens Stephanum et Constantinum fratres, ne in se quoque, uti par est, talia molirentur, ut qui patri non pepercissent, nec sibi essent parcituri. aiunt enim (1 Cor. 15 33, ex Menandro), "corrumpunt bonos mores colloquia prava." quid igitur germanis fit? convivio acceptos lauteque epulantes, cum adhuc cibos non deglutissent, qui in hoc parati erant, abreptos et clericali militiae adscriptos in insulas haud longe positas deportaverunt. brevique post patrem suum, qui monachus esset, visere petierunt, intolerabili luctu ex adspectu affecti. similiter etiam pater eiulans ad eos ait "filios genui et exaltavi; ipsi autem spreverunt me (Isai. 1 2)." exinde relegati sunt, Stephanus quidem in Proeconesum, deinde Rhodum, postea in Mitylenem, Constanti-

λήνην, ὁ δὲ Κωνσταντῖνος εἰς Τένεδον, ἐκεῖθεν εἰς Σαμοθρᾴκην· ἐν ᾗ καὶ ἀνταρσίαν μελετήσας παρὰ τῶν φυλασσόντων αὐτὸν σφάζεται. Μιχαὴλ δὲ τὸν τοῦ βασιλέως Χριστοφόρου υἱόν, τὰ βασιλικὰ πέδιλα ἀφελόμενος, κληρικὸν ἐποίησεν Θεοφύλακτος ὁ πατριάρχης. ὁμοίως καὶ Θεοφάνην πατρίκιον καὶ παρακοιμώμενον ἐξώρισε, καὶ Γεώργιον πρωτοσπαθάριον καὶ πιγκέρναν καὶ Θωμᾶν πριμικήριον, οὓς δείρας καὶ κουρεύσας καὶ θριαμβεύσας ἐξώρισεν διὰ τὸ φωραθῆναι αὐτοὺς καιροσκοπεῖν τοῦ εἰσαγαγεῖν
B πάλιν τὸν Ῥωμανὸν ἐν τῷ παλατίῳ.

3. Τῷ Δεκεμβρίῳ μηνί, τῆς ϛʹ ἰνδικτιῶνος, ἐπιβουλῆς γενομένης εἰς τὸ τὸν Στέφανον ἐκ τῆς νήσου ἀγαγεῖν ἐν τῷ παλατίῳ, ἐπεὶ παρὰ Μιχαὴλ τοῦ Διαβολίνου ἐμηνύθη, πάντων κρατηθέντων τῶν μὲν τὰς ῥῖνας καὶ τὰ ὦτα ἀπέτεμε, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλεν καὶ ὄνοις ἐπικαθίσας καὶ θριαμβεύσας ἐξώρισεν.

4. Τῇ δὲ ιεʹ τοῦ Ἰουλίου μηνός, τῆς ϛʹ ἰνδικτιῶνος, Ῥωμανὸς ὁ βασιλεὺς ἐν τῇ νήσῳ τελευτᾷ, καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ
C πόλει διακομισθὲν ἐν τῇ αὐτοῦ ἀπετέθη μονῇ. (5) μετὰ γοῦν τὸ μόνον καταλειφθῆναι τὸν αὐτοκράτορα Κωνσταντῖνον, προεχειρίσατο Βασίλειον τὸν πρωτοβεστιάριον αὐτοῦ, τὸν ἀπὸ παλλακῆς φυσικὸν υἱὸν Ῥωμανοῦ τοῦ πρὸ αὐτοῦ βασιλέως, πατρίκιον καὶ παρακοιμώμενον καὶ παραδυναστεύοντα τῆς συγκλήτου. οὗτος δὲ ἦν ἐχέφρων καὶ λόγιος, καὶ τῷ βασιλεῖ ἐν πᾶσιν ὑπηρετῶν

nus vero in Tenedum, inde in Samothraciam, ubi etiam tyrannidem moliens a custodibus necatur. Michael Christophori imperatoris filius ablatis imperialibus calceis a Theophylacto patriarcha clericus efficitur. similiter quoque Theophanem patricium et accubitorem in exsilium misit, Georgium item protospatharium et pincernam, nec non Thomam primicerium; quos ambos verberibus subactos atque detonsos, infamique triumpho per mediam urbem traductos, in exsilium amandavit. sicque in eos animadversum, quod deprehensi occasionem captare ut Romanum denuo in aulam reducerent.

3. Mense Decembri, indictione sexta, structae insidiae, ut Stephanus ex insula revocatus in aulam induceretur. delati auctores a Michaele Diabolino, captique omnes, alii naribus auribusque mutilati, alii intolerandis subacti verberibus, asinisque impositi ignominiae causa per urbem traducti, exsilio relegati sunt.

4. Quinto decimo Iulii mensis, indictione sexta, Romanus imperator in insula moritur; eius cadaver in urbem delatum, in ipsius monasterio depositum est. (5) solus igitur imperator relictus Constantinus Basilium protovestiarium suum, Romani, qui ante ipsum imperium gesserat, ex pellice naturalem filium, patricium creat et accubitorem ac senatus principem. erat vero vir prudens atque eloquens, quique in omni-

αἰσίως καὶ πρεπόντως. τότε καὶ ὁ πατριάρχης Θεοφύλακτος ἀρρωστήσας καὶ ὑπ' αὐτῆς κυριευθεὶς ἐτελεύτησεν, κρατήσας τῆς ἐκκλησίας ἔτη κδ'. χειροτονεῖται δὲ ἀντ' αὐτοῦ ὁ ἀνωτέρω εἰρημένος Πολύευκτος μοναχός, τίμιος ἀνὴρ καὶ ἁγιώτατος. D

6. Τότε καὶ ἀποστολικῶν ἐσθήτων ἀποκεκρυμμένων ἔν τινι γωνίᾳ τῆς πόλεως δηλωθεισῶν τῷ βασιλεῖ, μετὰ πάσης τιμῆς καὶ δοξολογίας ἀνελόμενος αὐτάς, τῷ μεγάλῳ τῶν ἁγίων ἀποστόλων ἀπεθησαύρισε ναῷ. καὶ τὰ λείψανα τοῦ θεολόγου Γρηγορίου, ἃ καὶ μερισθέντα τὰ μὲν ἐν τῷ σηκῷ τῶν ἁγίων ἀποστόλων ἐτέθησαν, τὰ δὲ ἐν τῷ ναῷ τῆς ἁγίας μάρτυρος Ἀναστασίας.

7. Ὁ τοίνυν βασιλεὺς διὰ τὸ τὸν μάγιστρον καὶ δομέστικον τῶν σχολῶν, Βάρδαν τὸν Φωκᾶν λεγόμενον, εἰς γῆρας ἐλάσαι καὶ ἀδυνάτως πρὸς τοὺς κόπους ἔχειν. τοῦ δομεστικάτου ἀποκινεῖ, P 496
καὶ ἀντ' αὐτοῦ προβάλλεται δομέστικον Νικηφόρον πατρίκιον καὶ στρατηγὸν τῶν ἀνατολικῶν, τὸν υἱὸν αὐτοῦ. ὡσαύτως καὶ πατρίκιον Λέοντα, τὸν τούτου αὐτάδελφον, στρατηγὸν τῶν δυτικῶν προχειρίζεται. γέγονε δὲ ἐμπρησμὸς μέγας πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Θωμᾶ, ὡς καῆναι τὸν ἔμβολον τὸν πρὸς τὴν Σιδηρᾶν πόρταν.

8. Ἰστέον δὲ ὅτι τῷ ιδ' ἔτει τῆς βασιλείας Κωνσταντίνου τοῦ πορφυρογεννήτου (δεκαπέντε γὰρ ἐκράτησεν) ἐγεννήθη ὁ βασιλεὺς Βασίλειος ὁ ἔκγονος αὐτοῦ, υἱὸς δὲ Ῥωμανοῦ τοῦ υἱοῦ αὐτοῦ. τῶν δὲ Τούρκων καταδραμόντων μέχρι τῆς πόλεως ἐν τῇ ἑορτῇ B

bus solerter ac decore imperatori obsequeretur. tunc quoque patriarcha Theophylactus in morbum lapsus eoque praevalente mortuus est, cum illi sedi annis quattuor supra viginti praefuisset. eius loco ordinatur, cuius nobis in superioribus facta mentio est, Polyeuctus monachus, vir venerabilis et sanctissimus.

6. Per id tempus, quae in quodam urbis angulo delituerant apostolicae vestes et palliola, imperatori innotuere. omni itaque pompa divinorumque canticorum celebritate sublata in magno sanctorum apostolorum templo recondidit; uti etiam sacras exuvias theologi, quarum pars in sanctorum apostolorum delubro, pars in sanctae Anastasiae martyris positae sunt.

7. Quod autem Bardas Phocas magister et scholarum domesticus annis gravis erat, nec prae aetate eius muneris laboribus satis par erat, imperator illo amoto, ipsius loco Nicephorum patricium et Orientalium ducem, eius filium, domesticum praeficit. similiter quoque Leonem patricium illius fratrem Occidentalium ducem instituit. ingens vero haud longe a templo S. Thomae contigit incendium, adeo ut porticus, quae ad portam Ferream ducit, combureretur.

8. Observandum vero anno quarto decimo imperii Constantini Porphyrogenneti (quindecim enim annis rerum potitus est) natum esse eius nepotem Basilium imperatorem, Romani eius filii filium. Turcis vero

τοῦ πάσχα, καὶ ληϊσαμένων πᾶσαν τὴν Θρᾴκην, καὶ πραῖδαν πολλὴν λαβόντες, ὁ βασιλεὺς εὐθὺς τὸν πατρίκιον καὶ δομέστικον τῶν ἐξκουβίτων Πόθον τὸν Ἀργυρὸν μετὰ τοῦ τάγματος αὐτοῦ καὶ τοῦ στρατηγοῦ τῶν βουκελλαρίων καὶ τοῦ Ὀψικίου καὶ Θρακησίου κατὰ πόδας αὐτῶν ἐξαπέστειλεν· οἳ καὶ νυκτὸς ἐπιπεσόντες κατέσφαξαν αὐτούς, λαβόντες καὶ τὴν πραῖδαν καὶ τὴν αἰχμαλωσίαν πᾶσαν.

9. *Φασὶ δὲ ὅτι εἰς τὴν γέννησιν τοῦ πορφυρογεννήτου*
C *λαμπρὸς ἀστὴρ ἐφάνη ἐπὶ ἡμέρας μ΄, καὶ πάλιν ἐπὶ τῇ κοιμήσει καὶ ἐξόδῳ αὐτοῦ ἀστέρα φανῆναι ἀμαυρὸν ἔχοντα φῶς. τελευτᾷ οὖν νοσήσας, πεποιηκὼς βασιλέα τὸν υἱὸν αὐτοῦ Ῥωμανόν, καὶ θάπτεται ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων μετὰ Λέοντος βασιλέως τοῦ πατρὸς αὐτοῦ. ἦν δὲ τῇ ἰδέᾳ εὐμήκης τὴν ἡλικίαν, λευκὸς τὴν χροιάν, εὐόφθαλμος, χαροποὺς ἔχων τοὺς ὀφθαλμούς, γρυπὸς ἤτοι ἐπίριν, μακροπρόσωπος, μακροτράχηλος, εὐρὺς τοὺς ὤμους, φιλοτράπεζος, φίλοινος, ἡδὺς τοῖς λόγοις. ἔζησε δὲ χρόνους νε΄, καὶ ἐτελεύτησε μηνὶ Νοεμβρίῳ ιε΄, ἰνδικτιῶνος ϛ΄, ἔτους ,ϛυνϛ΄, καταλείψας αὐτοκράτορα Ῥωμανὸν τὸν υἱὸν αὐτοῦ*
D *μεθ᾽ Ἑλένης τῆς μητρὸς αὐτοῦ.*

Κόσμου ἔτος ,ϛυνϛ΄, θείας σαρκώσεως ἔτει ϡνϛ΄, Ῥωμαίων βασιλεὺς Ῥωμανὸς ἔτη γ΄ μῆνας γ΄ ἡμέρας ε΄. ἦν δὲ τὴν ἡλικίαν

ad ipsam usque urbem per paschae solennia excurrentibus Thraciamque omnem populantibus, ac cum multam egissent praedam, misit statim imperator Pothum Argyrum patricium ac excubitorum domesticum cum subiecta illi legione, bucellariorumque et Opsicii et Thracesii duces, qui e vestigio eos insequerentur; noctuque irruentes eorum stragem fecerunt et contrucidarunt, praedamque, ac quotquot captivos habebant, receperunt.

9. Aiunt, quo tempore natus est Porphyrogennetus, splendido iubare stellam conspectam esse; ac rursus quo obdormivit ac vivis excessit, stellam apparuisse obscuris radiis tristique micatu. extremum ergo laborans, ac Romano filio imperatore creato, efflavit animam; inque sanctorum apostolorum templo cum Leone patre suo sepelitur. erat statura procerus, candore niveus, plenis oculis gratisque luminibus, naso aquilino, oblongo vultu ac collo, latis humeris, mensarum amans ac vini, eloquio dulcis. vixit annos quinque supra quinquaginta. mortuus est mensis Novembris quinta decima, indictione sexta, anni 6456, relicto imperatore Romano filio suo cum Helena eius matre.

Mundi annus 6456, divinae incarnationis anno 956, Romanorum imperator Romanus annos 3 menses 3 dies 5. erat aetate iuvenis, vegeto

νέος, σφριγῶν τῷ σώματι, σιτόχροος, εὐόφθαλμος, ἐπίριν, χα- P 497 ροπός, γλυκὺς τοῖς ῥήμασιν, ὄρθιος ὡς κυπάρισσος, εὐρὺς τοὺς ὤμους, ἥσυχος καὶ προσηνής. καταλειφθεὶς δὲ αὐτοκράτωρ παρὰ τοῦ πατρὸς αὐτοῦ Κωνσταντίνου τοῦ πορφυρογεννήτου ἐτῶν ὢν κα', σὺν Βασιλείῳ τῷ υἱῷ αὐτοῦ ἐνιαυσιαίῳ ὄντι καὶ τῇ μητρὶ αὐτοῦ Ἑλένῃ καὶ τῇ συνεύνῳ αὐτοῦ Θεοφανῷ. καὶ παρευθὺ τοὺς ἀνθρώπους τοῦ πατρὸς αὐτοῦ ἐν ἀξιώμασι μεγίστοις ὑπερανεβίβασε καὶ δώροις καταπλουτίσας τοῦ παλατίου κατήγαγεν, ἐξελέξατο δὲ καὶ προέκρινε παραδυναστεύοντας καὶ πρώτους τῆς συγκλήτου Ἰωσὴφ πατρίκιον καὶ δρουγγάριον τῶν πλωΐμων, ὅντινα καὶ μετὰ βραχὺ παρακοιμώμενον ἐποίησεν· τὸν δὲ πρωτοσπαθάριον Ἰωάννην τὸν Χοινὸν πατρίκιον καὶ μέγαν ἑταιρειάρχην προε- B βάλετο, τὸν δὲ πρωτοσπαθάριον Σισίνιον τὸν ἀπὸ σακελλίου ἔπαρχον πόλεως ἐχειροτόνησεν καὶ μετὰ βραχὺ πατρίκιον καὶ γενικὸν λογοθέτην. τὰς δὲ ἀδελφὰς αὐτοῦ, Ζωὴν καὶ Θεοδώραν [Ἀγάθην] καὶ Θεοφανῶ καὶ Ἄνναν, ἀπὸ τῶν βασιλικῶν κατήγαγε δόμων, καὶ εἰς τὸν βασιλικὸν οἶκον τὸν λεγόμενον Κανικλείου, ἐν ᾧ καὶ Σοφία Αὐγοῦστα ἡ τοῦ Χριστοφόρου βασιλέως γαμετὴ ἦν ἀποκεκαρμένη, ἐπήγαγεν, καὶ μετὰ διίππευσιν ἡμερῶν εἰς τὸ Ἀντιόχου ἐκλήρωσεν. τὴν δὲ Ἀγάθην εἰς τὸ ἱδρυνθὲν φροντιστήριον παρὰ Ῥωμανοῦ τοῦ βασιλέως καὶ πάππου αὐτοῦ ἀπέστειλεν, καὶ C διωρίσατο χορηγεῖσθαι αὐταῖς ἃ καὶ ἐν τῷ παλατίῳ ἐδίδοντο. τὸν δὲ δομέστικον τῶν σχολῶν καὶ πατρίκιον Νικηφόρον τὸν Φωκᾶν μάγιστρον ἐτίμησεν καὶ ἐν τῇ ἀνατολῇ ἐξέπεμψεν. ὡσαύτως καὶ

corpore, triticei coloris, venustis oculis, naso adunco, grato adspectu, dulci sermone, recta statura cypressi in morem, latis humeris, quietus ac lenis. relictus a patre Constantino Porphyrogenneto imperator annum agens vigesimum primum, cum Basilio filio eiusque matre Helena et uxore Theophanone, mox patris sui domesticos atque aulicos, maioribus auctos honoribus ac dignitatibus provectos donisque large ditatos, aula eiecit; elegitque ac cooptavit administrandae publicae rei socios ac senatus principes Iosephum patricium et rei navalis drungarium, quem et brevi post accubitorem fecit (sacri scilicet cubiculi totiusque rei domesticae praefectum); Ioannem protospatharium, quem Choenum vocant, patricium praefecit ac magnum hetaeriarcham; Sisinium vero protospatharium exsacellarium urbis praefectum creavit, brevique post patricium ac generalem logothetam. sorores, Zoen Theodoram Agatham Theophanonem et Annam, aula detrusas ad aedes regias, quas caniclii vocant, ubi etiam Sophia Christophori imperatoris uxor posita coma degebat, transtulit; ac post dies aliquot Antiochi aedibus eas assignavit, Agatham ad monasterium a Romano ipsius avo conditum misit, ac quos in regia sumptus accipiebant, eosdem illis praestandos constituit. scholarum domesticum ac patricium Nicephorum Phocam magistri honore auxit et in

τὸν ἀδελφὸν αὐτοῦ πατρίκιον Λέοντα μάγιστρον καὶ δομέστικον τῆς δύσεως ἐποίησεν. καὶ αὐτὸς ἦν εὐφραινόμενος ἐν κυνηγίοις καὶ θήραις δι' ὅλου ἁβροδίαιτος τυγχάνων. ἐγέννησε καὶ ἕτερον υἱὸν μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ, καὶ Κωνσταντῖνον αὐτὸν ὠνόμασεν· ὃς καὶ μετ' οὐ πολὺ ἐστέφθη παρὰ Πολυεύκτου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς ἁγίας Σοφίας. ἡ δὲ Αὐγοῦστα Ἑλένη
D ἐν τῷ παλατίῳ συνῆν τῷ βασιλεῖ, ἕως ἀρρωστήσασα κατὰ τὴν ιθ' τοῦ Σεπτεμβρίου μηνὸς τέθνηκεν· καὶ κατετέθη ἐν τῇ μονῇ τοῦ πατρὸς αὐτῆς, Ῥωμανοῦ τοῦ βασιλέως, ἐν λάρνακι πλησίον τοῦ πατρὸς αὐτῆς.

2. Τὸν δὲ μάγιστρον καὶ δομέστικον Νικηφόρον τὸν Φωκᾶν ὁ βασιλεὺς μετὰ στρατείας πολλῆς καὶ ἐξοπλίσεως πλοίων πολεμικῶν καὶ ὑγροῦ πυρὸς εἰς τὴν Κρήτην ἀπέστειλεν, ἥτις ὑπὸ Ῥωμαίους μὲν ἦν τὸ πρότερον, ἐπὶ δὲ τῆς βασιλείας Μιχαὴλ τοῦ Τραυλοῦ τοῦ πατρὸς Θεοφίλου ἐκρατήθη ὑπὸ τῶν ἀπὸ Ἱσπανίας ἀνελθόντων Σαρακηνῶν διὰ τὸ τηνικαῦτα ἀσχολεῖσθαι τὰ Ῥωμαϊκὰ στρατεύματα εἰς τὴν τυραννίδα καὶ στάσιν τοῦ ἀντάρτου Μωρο-
P 498 θωμᾶ τοῦ συντρόφου Μιχαήλ, ὡς γενέσθαι τὴν ταύτης νήσου κράτησιν, ἕως τῆς ἡμέρας ἧς πάλιν ἐπορθήθη παρὰ Νικηφόρου μαγίστρου καὶ δομεστίκου Φωκᾶ, ἔτη ρνη'. ὑπῆρχον δὲ χελάνδια μετὰ τοῦ ὑγροῦ πυρὸς ,β', δρόμωνες ,α', καράβια καματηρὰ σιτάριν ἔχοντα καὶ ὅπλα πολεμικὰ τξ'. ἀπάρας οὖν τῆς βασιλίδος Νικηφόρος ὁ δομέστικος, καὶ τὰ Φύγελα καταλαβών, ἐφρόντιζεν

20 δομεστίκου τοῦ Φωκᾶ?

Asiam misit. similiter etiam eius fratrem Leonem patricium magistrum et Occidentis domesticum fecit. ipse venationibus totus indulgebat, ciborum helluo ac vini potor. alium quoque patre defuncto suscepit filium, quem et Constantinum nominavit, ac brevi post per Polyeuctum patriarcham in sanctae Sophiae ambone Augustali corona donavit. Helena Augusta in aula versata cum imperatore, donec morbo correpta mensis Septembris decima nona diem obiit. sepulta est in patris sui Romani imperatoris monasterio, atque in urna prope illum condita.

2. Misit autem imperator Nicephorum Phocam magistrum ac domesticum cum ingentibus copiis ac navalium gravi apparatu igneque Graeco adversus Cretam. fuerat Creta Romanae dicionis, donec imperante Michaele Balbo Theophili patre a Saracenis Hispanis capta est, Romana interim classe occupata ac copiis comprimenda stulti Thomae tyrannide ac rebellione, qui eiusdem sodalis ac commilito ante exstiterat. fluxerant anni ex quo eius illi potiti erant, usque dum iterum a Nicephoro magistro ac domestico expugnata est, centum quinquaginta octo. erant chelandia (sic dicta Graecis navigia) Graeco igne instructa duo milia, celoces mille, onerariae annonam convehentes et arma bellica trecentae sexaginta. solvens itaque Byzantio Nicephorus domesticus et Phygela veniens hoc maxime studuit omnique cura enixus est, ut omnis

ὅπως ὁ σύμπας στόλος αὐτῷ ἐπὶ τὸ αὐτὸ εἴη καὶ προσορμίζοιτο. σπουδῇ οὖν τὴν νῆσον καταλαμβάνουσιν· καὶ ἀποβάντων τῶν νηῶν χάρακα καὶ τάφρον βαθεῖαν κατεσκεύασαν. τούτων οὕτως παρακαθεζομένων τῇ νήσῳ, καὶ ἀπείρου χειμῶνος καὶ ὑετοῦ καὶ κρύους γενομένου, καὶ τῶν σιτίων δαπανηθέντων, καταναρκήσαντες οἱ τοῦ B στρατοῦ οἴκαδε ἠβουλήθησαν ἀναστρέψαι. ὁ δὲ συνετώτατος Νικηφόρος καὶ δοὺξ τῇ τῶν λόγων ἡδύτητι τούτους κατέσχεν. μαθὼν οὖν ὁ βασιλεὺς τὴν ἔνδειαν τοῦ στρατοῦ ἐπισιτισμὸν παντοίων τροφῶν αὐτοῖς ἀπέστειλεν. κατὰ δὲ τὸν Μάρτιον μῆνα πολεμοῦ κροτηθέντος σφοδροῦ καὶ καρτερᾶς μάχης γενομένης παρέλαβον οἱ Ῥωμαῖοι τὸ κάστρον.

3. Ἐν δὲ τῷ Ὀκτωβρίῳ μηνὶ τοῦ β' ἔτους τῆς βασιλείας Ῥωμανοῦ ἐγένετο σπάνη σίτου καὶ κριθῆς ἐν τῇ πόλει· ἐπράθη γὰρ ὁ σῖτος τῷ νομίσματι μόδιοι δ', ἡ δὲ κριθὴ μόδιοι ς'. οὐ πολὺς οὖν χρόνος παρῆλθε, καὶ εὐθὺς γέγονεν ὁ σῖτος μόδιοι η', ἡ C δὲ κριθὴ μόδιοι ιβ'.

4. Τῷ δὲ Μαρτίῳ μηνὶ κατηγορήθη Βασίλειος ὁ Πετεινὸς ὑπό τινων ὡς τῆς βασιλείας ἐφιέμενος· ὅστις ἐν ἐξορίᾳ παρεπέμφθη, ἐν ᾗ καὶ τελευτᾷ. ὁ δὲ βασιλεὺς μαθὼν τὴν τῆς Κρήτης ἅλωσιν ἐδόξασε τὸν θεόν. μετ' οὐ πολὺ δὲ καὶ ὁ δομέστικος τῶν σχολῶν Νικηφόρος κελεύσει τοῦ βασιλέως πρὸς τὴν πόλιν εἰσῆλθεν, καὶ μετὰ τῶν λαφύρων καὶ τῆς αἰχμαλωσίας ἦλθε πεζῇ ἀπὸ τοῦ οἴκου αὐτοῦ εἰς τὸ ἱπποδρόμιον, ἅμα τῷ ἀμηρᾷ Κρήτης τοῦ λεγομένου Κουροπαλάτου καὶ πάντων τῶν συγγενῶν αὐτοῦ, στολὰς

ei classis uno agmine conserta esset ac appelleret. festinato itaque impetu invadunt insulam, navibusque effusi vallum statuunt altumque aggerem. cumque sic insulae assiderent, immensaque hiemis vis atque pluviae geluque ingrueret, ac cibi absumpti essent, obtorpentes milites domum redire cogitabant. enimvero solertissimus vir Nicephorus atque dux verborum lenocinio in castris detinuit. porro imperator, cognita qua laboraret exercitus penuria, omnis generis copiosam annonam cibosque eis destinavit. mense autem Martio, acri conserta pugna bellique instantia, capta a Romanis munitio est.

3. Mense Octobri insequentis anni secundi imperii Romani penuria tritici atque hordei in civitate fuit, adeo ut veniret triticum numismate modii quattuor, hordeum vero modii sex. haud vero longum intercessit tempus, cum statim minuto pretio triticum modii octo, hordeum duodecim veniit.

4. Mense Martio delatus est Basilius Petinus ut qui imperium ambiret; missusque in exsilium ibi fato functus est. imperator ubi captam esse Cretam cognovit, deo laudes gratiasque persolvit. tum brevi etiam Nicephorus scholarum domesticus, imperatoris iussu urbem ingressus, cum multis spoliis atque captivis a suis aedibus ad Circum pedes venit, una cum Cretae Amera Curope nomine eiusque propinquis omnibus, cum

D λευκὰς περιβεβλημένων πάντων τῶν Σαρακηνῶν. καὶ ὁ μὲν μάγιστρος τιμῶν καὶ γερῶν μεγάλων ἠξιώθη παρὰ τοῦ αὐτοκράτορος, ὁ ἀμηρᾶς δὲ πλεῖστα δῶρα καὶ χρυσὸν καὶ ἄργυρον παρὰ τοῦ βασιλέως λαβὼν σὺν τοῖς τέκνοις αὐτοῦ εἰς χωρία οἰκεῖν συνεχωρήθη. εἰς δὲ τὴν σύγκλητον οὐκ ἀνεβιβάσθη διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς βαπτισθῆναι. ὁ δὲ βασιλεὺς Ῥωμανὸς Νικηφόρον τὸν μάγιστρον αὖθις κατὰ τὴν ἑῴαν ἐξαπέστειλεν κατὰ τοῦ ἀλαζόνος Χαμβδᾶ. ὁ δὲ ἀπελθὼν πρῶτον μὲν τὸν Χέλεπε κάστρον παρέλαβε, ἐξ οὗ καὶ λαφύρων πολλὴ γίνεται συναγωγή.

Saraceni omnes albis vestibus induti essent. ac quidem magister honores magnaque praemia imperatoris liberalitate consecutus est. Ameras vero donis plurimis auroque atque argento ab imperatore donatus praedia ruri colere ac habitare permissus est: quod tamen baptismo initiari noluit, in senatum minime cooptatus est. porro Romanus imperator magistrum Nicephorum iterum in Orientem misit, ut Chambdae arrogantiam frangeret. susceptaque expeditione primum Alepum urbem munitam cepit, unde etiam spoliorum vim magnam collegit.

GEORGII MONACHI

VITAE

IMPERATORUM RECENTIORUM.

ΓΕΩΡΓΙΟΥ ΜΟΝΑΧΟΥ

ΒΙΟΙ ΤΩΝ ΝΕΩΝ ΒΑΣΙΛΕΩΝ.

ΒΑΣΙΛΕΙΑ
ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΡΜΕΝΙΟΥ.

Τῷ ‚ςτι´ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ωι´, ἐβασίλευσε Λέων Ἀρμένιος ὁ πατρίκιος, καὶ παραβάτης ὕστερον ἀναφανείς, ἔτη ζ´ καὶ μῆνας ε´, στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου. μετὰ γὰρ δύο χρόνους ἀποστατήσας πρὸς τὴν ἀσέβειαν, καὶ τὸ ἔγγραφον ὅπερ ἐποίησε περὶ τῆς ὀρθοδοξίας ἀθετήσας, ὥσπερ Σαοὺλ ἐξώκειλεν· καὶ γὰρ κἀκεῖνος δύο ἔτη βασιλεύσας ἐννόμως, P 499

1 Τῷ — ὁ πατρίκιος] μετὰ δὲ Μιχαὴλ ἐβασίλευσε Λέων ὁ Ἀρμένης C i. e. codex Coislinianus 134 a f. 300. 3 καὶ om C στεφθεὶς — πατριάρχου om C 5 καὶ τὸ — ἀθετήσας om C ὥσπερ καὶ Σαοὺλ C

GEORGII MONACHI

VITAE RECENTIORUM IMPERATORUM.

IMPERIUM
LEONIS ARMENI.

Anno mundi 6310, divinae autem incarnationis 810, imperavit Leo Armenus patricius, ac qui postea praevaricator exstitit, annos 7 menses 5, imperii infulis ornatus a Nicephoro patriarcha. post alterum namque annum ad impietatem deficiens, ac quam rectae fidei professionem scripto ediderat, irritam faciens, haud secus ac Saul delapsus est. nam et ille

εἶτα παρατραπεὶς καὶ τῆς θείας χάριτος γυμνωθεὶς καὶ πονηρῷ πνεύματι παραδοθεὶς κατὰ τοῦ εὐεργέτου Δαβὶδ ἐξωπλίσθη καὶ P 500 τὰς τῶν ἱερέων εἰργάσατο μιαιφονίας. ὡσαύτως καὶ ὁ δύστηνος οὗτος καὶ ἀντίθεος μετὰ δύο ἔτη κατὰ τῆς εὐσεβείας μανεὶς καὶ λυττήσας τὸν στέψαντα αὐτὸν θεῖον Νικηφόρον ἐξώρισεν.

2. Θεόδοτον δῆθεν πατριάρχην ἀντιχειροτονεῖ, ἄλογον ἄνδρα, μᾶλλον δὲ ἀνδράποδον καὶ ἰχθύων ἀφωνέστερον καὶ μηδὲν πλέον τῆς ἀσεβείας ἐπιστάμενον· καὶ ἔκτοτε διωγμὸν ἄσπονδον κατὰ τῆς ἐκκλησίας ἀνερρίπισεν. εἰ οὖν χρὴ θαυμάζειν φαῦλον ἐπὶ φαύλῳ μετάθεσιν, τοῦτον δεῖ μᾶλλον καὶ τοὺς ἀμφ' αὐτὸν ἢ Γαλάτας θαυμάσαι, τοὺς οὕτω μετατιθεμένους ἀπὸ τοῦ καλέ- B σαντος αὐτοὺς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον· ὃ οὐκ ἔστιν ἄλλο εἰ μὴ τὸ παροργίσαι τὸν θεὸν καὶ τὴν θείαν ὀργὴν ἐπισπάσασθαι. (3) ὁ γὰρ νέος Σεναχηρεὶμ Κροῦμος, ἐπαρθεὶς τῇ πρῴην δίκῃ, καταλιπὼν τὸν ἴδιον ἀδελφὸν πολιορκεῖν τὴν Ἀδριανούπολιν, μετὰ ἓξ ἡμέρας τῆς αὐτοκρατορίας Λέοντος ἐπελθὼν τῇ πόλει περιήει τὰ τείχη ἀπὸ Βλαχερνῶν ἕως τῆς Χρυσῆς πόρτης, ἐπιδεικνύων τὴν περὶ αὐτὸν δύναμιν. ἐπιτελέσας καὶ μιαρὰς θυσίας ἐν τῷ λιβαδίῳ τῆς Χρυσῆς πόρτης ᾐτήσατο καὶ

5 λυσσήσας καὶ τὸν C   ἐξορίσας C   6 ἀντιχειροτονήσας C   7 δὲ C, καὶ P   ἀφωνότερον τῶν ἰχθύων C   8 καὶ ἔκτοτε om C   9 χρὴ παῦλον ἐπὶ φαῦλον θαυμάζειν μ. C. an φαύλου ἐπ.?   10 δεῖ] δὴ P, τις nescio an C   11 θαυμάσεται λίαν οὕτω ταχέως μετ. C   13 μὴ πρὸς τὸ C   14 ἐπισπάσασθαι C, σπάσασθαι P   ὁ γὰρ — c. 4 extr. τῇ πόλει om C   18 καὶ] δὲ?

cum duos annos legitime regnum administrasset, a recto deinde aversus tramite divinaque denudatus gratia ac nequissimo spiritui traditus adversus Davidem, cuius cumulatus beneficiis erat, armis instructus est ac sacerdotum patravit caedes. haud aliter etiam infelicissimus hic deoque infensus post annum alterum, furore accensus actusque rabie adversus pietatem, divinum Nicephorum, a quo corona donatus erat, exsilio multavit.

2. Nempe eius loco Theodotum patriarcham creat, virum nulla rationis luce aut eruditione clarum, magisque etiam mancipium, ac piscibus elinguiorem; qui denique praeter impietatem aliud nihil sciret. quo ex tempore implacabile adversus ecclesiam bellum suscitavit. si igitur mala in malum mutatio digna admiratione est, hunc sane magis ac sequaces quam Galatas mirari convenit, qui sic translati sint ab eo, qui ipsos vocaverat in gratia Christi, in aliud evangelium (Gal. 1 6); quod non est aliud praeterquam deum ad iracundiam provocare divinamque ultionem attrahere. (3) novus enim Sennacherib Crumus, relicta fratri obsidione Adrianopolis, sextum iam diem Leone imperium tenente urbem invadens, a Blachernis ad Auream usque portam muros circuibat, copias, quibus fretus esset, ostentans; peractisque in Aureae portae amoeno loco et irriguo impuris sacrificiis, etiam pacem ab imperatore expetiit,

τὸν βασιλέα εἰρήνην ποιῆσαι, εἰ τὸ δόρυ αὐτοῦ πήξει ἐν τῇ Χρυσῇ
πόρτῃ. τοῦ δὲ βασιλέως μὴ καταδεξαμένου ὑπέστρεψεν εἰς τὴν C
ἰδίαν σκηνήν, ὑπερθαυμάσας τὰ τῆς πόλεως τείχη καὶ τὴν εὔτα-
κτον τοῦ βασιλέως παράταξιν. ἐπὶ σύμβασιν οὖν εἰρήνης τρέπε-
ται, πειραστικοὺς λόγους ποιούμενος. (4) ὁ δέ γε βασιλεὺς ἀφορ-
μῆς δραξάμενος ἐπειράθη τοῦτον λογχῆσαι· ἀλλ' εἰς πέρας ἀγα-
γεῖν τοῦτο ἐκωλύθη τῇ τῶν ὑπουργησάντων ἀφυΐᾳ, πληξάντων
μὲν τοῦτον, καιρίαν δὲ μὴ ἐπαγαγόντων πληγήν. ἐπὶ τούτῳ μανεὶς
ὁ ἀλάστωρ, ἀποστείλας ἱππεῖς ἐν τῷ ἁγίῳ Μάμαντι, ἐκεῖσε ὂν
παλάτιον ἐνέπρησεν, καὶ τὸν χαλκοῦν λέοντα τοῦ ἱππικοῦ σὺν τῇ
ἄρκτῳ καὶ τῷ δράκοντι τοῦ ὑδρίου καὶ μαρμάρων καλλίστων ἐν ἁμά- D
ξαις φορτώσας ὑπέστρεψεν, παρακαθίσας τὴν Ἀδριανούπολιν καὶ
ταύτην ἑλών· καὶ μετὰ λαοῦ πλείστου διαπεράσας τῶν τε εὐγενῶν
Μακεδόνων, κατεσκήνωσεν ἐν τῷ Δανουβίῳ ποταμῷ. ὁ δὲ Λέων
τὰ τῆς ἀσεβείας ἔργα διεπράττετο ἐν τῇ πόλει.

5. Ἐφ' οὗ ἐφάνη ἀστὴρ κομήτης ἐν σχήματι δύο λαμπρῶν
σεληνῶν ἑνουμένων καὶ πάλιν διαιρουμένων εἰς διάφορα σχήματα,
ὡς καὶ εἰς ἀκεφάλου διάπλασιν ἀνδρὸς τυπωθῆναι· ὅπερ τὴν ἀκέ-
φαλον κεφαλὴν τῶν μετὰ ταῦτα στασιασάντων κατὰ τῶν Χριστια- P 501
νῶν καὶ τὸν μάταιον Θωμᾶν κεφαλὴν καὶ ἀρχηγὸν τῆς ἐκ τῶν
ἄλλων Χριστιανῶν διαιρέσεως ἐσχηκότων προεμήνυσεν. καὶ μέν-

6 λοχῆσαι? 16 καὶ γοῦν ὤφθη τηνικαῦτα κομήτης C 17 ἑνωθέντων C διαιρεθέντων C 18 κεφάλου ἀνδρὸς διάπλασιν P: corr C 19 τῶν post κατά add C 21 προεμήνυε C

modo per ipsum in Auream portam iaculum ei infigere liceret. quo abnuente in tentorium suum reversus est, maiorem in modum admiratus urbis muros compositamque imperatoris aciem atque ordines. ad pacis itaque foedera vertitur, tentandae rei causae sermones conferens. (4) porro imperator arrepta occasione lancea eum transfigere conatus est; ne rem tamen opere compleret, obstitit eorum ignavia quos in ipsam ministros delegerat; qui percusserunt quidem, at letale vulnus minime intulerunt. qua re in furorem actus pestilentissimus homo, missis equitibus ad S. Mamantem, quod illic palatium est succendit; Circique aeneum leonem cum ursa et aqualis dracone, nec non pulcherrima marmora, in currus congesta asportavit; obsessamque Adrianopolim et ipsam cepit; traiecto denique cum ingenti multitudine ac Macedonum ingenua pube flumine in Danubio consedit, cum interim impietatis in urbe opera Leo pronus exsequeretur.

5. Eo tempore cometa conspectus est, splendentis lunae duplicis figura, quae una coirent ac in diversas rursum figuras divisae abirent, ut et in viri speciem capite mutili efformarentur; quod utique indicio fuit acephali eorum capitis qui postea adversus Christianos tumultuati sunt, ac quibus vanus homo ac demens Thomas caput ac ductor, ut a reliquis Christianis sese abiungerent, exstitit. quin tremendi quoque

τοι καὶ σεισμοὶ φοβεροί τε καὶ ἐπάλληλοι καὶ λιμοὶ καὶ αὐχμοὶ καὶ ἀέρος φλογώσεις γεγόνασι καὶ στάσεις ἐμφύλιοι κατὰ πᾶσαν πόλιν καὶ χώραν, ἐκ τῶν ἡμερῶν ἀρξαμέναι τοῦ θεοστυγοῦς καὶ ἀλάστορος· καὶ μέχρι πολλοῦ τὸ δεινὸν τῆς ἐμφυλίας συμφορᾶς ἐπικρατῆσαι συμβέβηκεν.

6. Ἐκμιμούμενος τοίνυν τὸν τῆς μυσαρᾶς ταύτης αἱρέσεως ἀρχηγὸν ὁμώνυμον αὐτοῦ καὶ ὁμότροπον ἤρξατο τῆς αἱρέσεως.
B εἶτα συμμάχους καὶ συμμύστας ἐκζητήσας εὗρεν Ἰωάννην τὸν λεγόμενον γραμματικόν, μᾶλλον δὲ Ἰαννὴν ἄλλον ἢ Σίμωνα, ἐπί τε λεκανομαντείαις καὶ φαρμακείαις καὶ αἰσχρουργίαις βεβοημένον, καὶ ἑτέρους τινὰς ὁμόφρονας αὐτοῦ Ἰαννίτας καὶ Ἰαμβρίτας καὶ Σιμωνίτας· οὓς δὴ καὶ παρ' ἑαυτῷ κατέχων ἐν τῷ παλατίῳ προσκαλεῖται Νικηφόρον τὸν ἀοίδιμον πατριάρχην καὶ τοὺς σὺν αὐτῷ προύχοντας ἐπισκόπους τε καὶ ἱερεῖς ἐνώπιον τῆς συγκλήτου, καὶ φη-
C σίν "ἴστε σαφῶς ὡς ἀνέστησάν τινες λέγοντες μὴ δεῖν προσκυνεῖσθαι τὰς εἰκόνας, οὓς εἰ βούλεσθε παραστῆναι καὶ διαλεχθῆναι περὶ τούτου, καὶ ἐκδηλότερον τὸ ἀληθὲς φανήσεται." (7) πρὸς ὃν ὁ θεῖος Νικηφόρος οὐδὲν ἀπεκρίνατο, ἔφη δὲ πρὸς τοὺς παρισταμένους μεγιστάνους "εἴπατέ μοι, τὸ μὴ ὂν δύναται πεσεῖν;" τῶν δὲ τῇ ἀσφαλείᾳ τῆς πίστεως ἀποκριθέντων εἴρετο πάλιν ὁ πατριάρχης "ἔπεσον ἐπὶ Λέοντος καὶ Κωνσταντίνου τῶν Ἰσαύρων αἱ ἅγιαι εἰκόνες;" τῶν δὲ κατανευσάντων καὶ τὸ ναί προσειπόντων, "οὐκ-

2 στάσις ἐμφύλιος C 3 ἀρξάμενοι C, ἀρξαμένου P 4 καὶ om C τὸ δεινὸν — p. 768 9 εὐσεβείας om C folio abscisso

crebrique fuere terrae motus, famesque et siccitates atque aëris inflammationes; seditiones quoque ac civiles tumultus per omnes urbes atque oppida, quo ex tempore vir deo exosus furiaque imperium iniit; ac diu multumque publicae calamitatis malum labesque invaluit.

6. Impurae itaque illius haeresis auctorem imitatus, quocum illi nomine atque moribus conveniret, haeresim occeptavit. exinde operis socios et adiutores symmystasque quaeritans, Ioannem invenit, quem grammaticum vocant, magis vero Iannem alterum aut Simonem, hominem divinationibus ex pelvi et praestigiis turpibusque actibus longe celebratissimum, aliosque nonnullos eodem ac ille sensu, Iannitas et Zambritas ac Simonitas; quorum utique stipatus caterva, eosque in palatio secum detinens, Nicephorum inclitum patriarcham sodalesque praecipuos episcopos ac sacerdotes coram senatu vocat, aitque "scitis palam surrexisse quosdam, qui non adorandas esse imagines dicant: quos si vultis adesse, deque ea re disputare, veritas clarius elucescet." (7) ad quem vir divinus Nicephorus nihil respondit. ait vero ad procerum adstantem coronam "dicite, quaeso, quod non est, ut cadat fieri potest?" quibus fidei securitate respondentibus, subiecit rursum patriarcha "numquid non Leone et Constantino Isauris imperatoribus imagines cecidere?" illis annuentibus ac sic rem sese habere adiungentibus, "ergo" ait

οὖν ἵσταντο πάντως καὶ ἦσαν ἀρχαϊκὸν αὐτῶν ἔχουσαι τὸ ἀνάστη-
μα. τὸ γὰρ μὴ ὂν μηδ' ἱστάμενον πῶς δύναται πεσεῖν;" (8) εἶτα D
τῶν ἄλλων ἐπισκόπων τοιαῦτα προτεινάντων εἰς ἀνατροπὴν τῆς
αἱρέσεως, ὁ ἱερὸς ἐπίσκοπος Σάρδης Εὐθύμιος παρρησιασάμενος
λέγει "πρόσεχε, ὦ βασιλεῦ, τοῖς ἐν ἐπιτομῇ ῥηθησομένοις. ἀφ'
οὗ ἦλθε Χριστὸς ἐπὶ τῆς γῆς μέχρι νῦν ὀκτακόσια ἔτη παρῆλθον,
καὶ πανταχοῦ στηλογραφεῖται Χριστὸς καὶ ἐν εἰκόνι προσκυνεῖται.
ποῖος οὖν αὐθάδης τολμήσειεν τὴν τοσούτου χρόνου ἀποστολικήν
τε καὶ πατρικὴν παράδοσιν ἀθετῆσαι ἢ μετασαλεῦσαι; μάλιστα
τοῦ ἀποστόλου λέγοντος, ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε
τὰς παραδόσεις ἃς παρελάβετε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς. P 502
κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε,
ἀνάθεμα ἔστω." (9) μεθ' ὃν ἀπεκρίθη καὶ Θεόδωρος ὁ ζηλω-
τὴς καὶ θερμὸς τῆς ὀρθοδοξίας πρόμαχος, ὁ τῶν Στουδίου ἡγού-
μενος, λέγων "μὴ παρασάλευε, βασιλεῦ, κατάστασιν ἐκκλησια-
στικήν. εἴρηκεν γὰρ ὁ ἀπόστολος, καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν
ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποι-
μένας καὶ διδασκάλους. οὐκ εἶπεν βασιλεῖς. σοὶ μὲν γὰρ ἡ πο-
λιτικὴ κατάστασις ἐπιστεύθη καὶ τὸ στρατόπεδον. τούτων φρόν- B
τιζε, καὶ τὴν ἐκκλησίαν ἔασον ποιμέσι καὶ διδασκάλοις κατὰ τὸν
θεῖον λόγον. εἰ δὲ μὴ βούλει προσέχειν τούτοις καὶ εἶναι μετὰ
τῆς πίστεως ἡμῶν, κἂν ἄγγελος ἐξ οὐρανῶν κατελθὼν βουλη-

"omnino stabant, ac sic olim priscisque temporibus erectae erant. quod enim non est, neque stat atque cousistit, quomodo deiici ac cadere potest?" (8) tum reliquis episcopis istiusmodi ad haeresis eversionem obiectantibus, sacratissimus vir Euthymius Sardium episcopus libera voce sumptaque fiducia ait "quo ex tempore Christus in terras venit, ad hanc nostram aetatem, cum octingentorum annorum tempora decurrerint, ubique gentium Christi erectae effigies, isque in imagine adoratur. quis itaque sic praefractae audaciae, qui tanti temporis apostolicam patrumque traditionem abrogare praesumat ac convellere, praesertim cum apostolus dicat (Thess. 2 14). itaque, fratres, state, et tenete traditiones, quas accepistis, sive per sermonem sive per epistolam. vel si angelus de caelo evangelizaverit vobis praeter quod accepistis, anathema sit." (9) post hunc respondit et Theodorus, aemulator ille fervensque rectae fidei defensor, Studii praefectus, ita loquens. "noli, imperator, ecclesiae statum ac tranquillitatem convellere. dixit enim apostolus (Eph. 4 1): et alios quidem posuit deus in ecclesia, primum apostolos, deinde prophetas, tertio pastores atque doctores. non dixit imperatores aut reges. nam tibi quidem civilis tranquillitas concredita est ac exercitus. horum curam habe, ac ecclesiam pastoribus ac doctoribus, ut divino sancitum eloquio est, sine: sin minus placet ut his animum accommodes ac nostram teneas fidem, vel si angelus de caelo descendens evertere nos

θείη παρατρέψαι ἡμᾶς, οὐκ ἀκουσόμεθα αὐτοῦ, μήτι γε βασιλέως."

10. *Ὁ οὖν τύραννος ταῦτα ἀκούσας καὶ ὑπερζέσας τῷ θυμῷ, καὶ λεόντειον ὁ πιθηκὸς βρύξας, καὶ πάντας μεθ' ὕβρεως ἀπελάσας, καὶ τὸν Νικηφόρον τὸν μέγαν τῆς πόλεως ἀπελάσας, ὡσαύτως καὶ Θεόδωρον τῶν Στουδίου ἐξορίσας, ἀντιχειροτονεῖ τὸν ἀπὸ σπαθαρίων Θεόδοτον τὸν Κασσιτηρᾶν καὶ τῆς θυμέλης τὴν προσ-*
C *ηγορίαν ἐπειλημμένον. καὶ οὕτως ὁ ἀλιτήριος καὶ θηριότροπος μᾶλλον ἢ θηριώνυμος, ἐπαρθεὶς κατὰ τῆς εὐσεβείας, μειζόνως ἐδίωκε τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ ἐπόρθει σφόδρα, μέχρι τοῦτον ἐνδίκως ἡ θεία δίκη μετῆλθεν. οὗ τὴν κακίστην γένεσιν καὶ μοχθηρίαν καὶ θεοστυγῆ προαίρεσιν καὶ δυσσέβειαν, καὶ μέντοι καὶ χαλεπὴν τοῦ βίου καταστροφήν, ὁ θεσπέσιος Νικηφόρος διαρρήδην στηλιτεύων φάσκει "παρορᾷ θεός, καὶ ἦρξεν καθ' ἡμῶν ἄνθρωπος — οὐκ οἶδα εἰ ἄνθρωπον λέγειν χρή, ἀλλὰ μὴ θηρίον,*
D *καὶ θηρίων ἀγριώτερόν τε καὶ πικρότερον.* (11) *τί γὰρ τῆς συμφορᾶς ταύτης ἐλεεινότερον καὶ τῆς δυστυχίας ἀθλιώτερον; ἡλίκον κακὸν εἰς τὴν βασιλείαν εἰσεκώμασεν! διφυὴς μὲν τὸ γένος καὶ μιξοβάρβαρος, πολυειδὴς δὲ τὸν τρόπον καὶ ἀνελεύθερος καὶ τὴν γνώμην ἀστάθερος."*

6 τῶν P 10 μέχρις οὗ τοῦτον C 12 μέν γε τὴν χ. C 15 εἰ add C 16 καὶ τῶν θ. C 18 βασίλειον ἀρχὴν εἰσεκ. C 20 ἀστάτερος P

voluerit, nihil ei nos dicto audientes scias, tantum abest ut imperatori."

10. His itaque tyrannus auditis, iraque supra modum exaestuans, leonisque in morem rugiens, qui simia esset, eiectis omnibus procacibus verbis, magnoque Nicephoro urbe expulso ac similiter Theodoro Studita in exsilium pulso, Theodotum Cassiteram exspatharium, virum a thymele scenaque nomen adeptum, ecclesiae praeficit; inque eum modum scelestissimus ille, moribus potius quam nomine bestiam praeferens, adversus pietatem elatus ecclesiam dei maioribus animis persequebatur, eamque vehementius expugnabat, donec iuste eum divina ulta iustitia est. cuius ortum pessimum et pravitatem deoque exosum animum ac impietatem, sed et vitae exitum funestissimum, diserte divinus Nicephorus sugillans ac traducens ait "despicit deus, imperatque adversum nos homo, quem nescio hominemne dicere deceat et non bestiam, interque bestias maiori praestantem feritate cunctisque acerbiorem." (11) quid enim hac calamitate miserabilius infortunioque infaustius? quantum malum in imperium invasit? duplici satus homo prosapia ac mixobarbarus, indole animoque varius ac illiberalis, sensuque mentis instabilis, quod ad proximum quidem illi attinet genus vulgoque exploratum.

Τὸ μὲν οὖν προσεχῶς αὐτῷ ὑπηργμένον καὶ πολυγνώριμον, ἐκ γὰρ τῆς Ἀρμενίων ὡρμᾶτο γῆς, ὅθεν εἰπεῖν τὸ δύστροπον καὶ κακόηθες. τὸ δὲ πορρωτάτω καὶ παλαιὸν τυγχάνον, καθὰ τῶν πρεσβυτέρων ἐξιστοροῦσί τινες, οἳ τὰ ἐκείνου καὶ τῶν ἐκείνου πατέρων ἐκ πολλοῦ παραδοθέντα ἴσασιν, οὐδ' ἐντεῦθεν καθαρῶς ποθεν ἐκπεφυκέναι, εἴπερ ἐκ τῆς Ἀσσυρίων φυλῆς κακίστην παραφυάδα ἐκδῦναι, ἐξ ὧν τὸ πατρῷον ἐπεφήμιζεν αἷμα. κατήχθη γὰρ ἐκ τῶν Σεναχηρεὶμ παίδων, ὃς δὴ τῶν Ἀσσυρίων ἦρξέ ποτε P 503
καὶ ὑπὸ τῶν φύντων καιρίαν τὴν πληγὴν ἐδέδεκτο· καὶ γὰρ οἵ γε φονίας δεξιὰς τῷ γεννήτορι ἐπανετείναντο, τῷ πατραλῴῳ λύθρῳ ἐμμολυνόμενοι, αὐτόχειρές τε τῆς σφαγῆς τοῦ τεκόντος γενόμενοι αὐτίκα πρὸς τοῖς χωρίοις τῶν Ἀρμενίων φυγάδες οἰχόμενοι ἀνασώζονται. τούτου δὲ τοῦ πατροφόνου σπόρου κατὰ τὴν ἡμετέραν γενεὰν πικρῶς τηρηθεὶς καὶ παραβλαστήσας ἀνδροφόνος καρπός, οὐκ οἶδ' ὅθεν Ῥωμαίων τοῦτο κατακριθὲν τὸ δεινὸν ἐκεκλήρωτο. ὃς εἰς τόδε τὸ φῶς οἷς οἶδεν ὁ ἀνασχόμενος κρίμασι προαχθεὶς πονηροῖς καὶ ὀλεθρίοις ἐντρέφεται καὶ συναύξεται ἤθεσί τε καὶ B
πράξεσιν.

12. Ἐκ τῆς Ἀσσυρίων γοῦν λεαίνης καὶ τῆς Ἀρμενίας παρδάλεως ἑτεροθαλὲς σύνθετόν τε καὶ ἀλλόκοτον τίγριδος εἶδος

1 ὑπηργμένος καὶ πολλοῖς γνώριμος C 2 γῆς—τὸ δὲ om C 5 παραδοθέντων P καθαρός ποθεν ἐκπέφυκεν P, et mox κακίστης παραφυάδος ἐκφῆναι. 8 παίδων add C 9 εἴγε P 10 ἐπανατείνοντι P πατρώῳ C 11 τῆς σφαγῆς add C 12 ᾠχούμενοι P, ᾠχόμενοι C 13 τοῦ add C 14 τηρηθέντος P παραβλαπτήσας C 15 κατακριθεὶς P 17 συναυλίζεται C 18 πράγμασιν P 20 ἑτεροθαλλής P

Ex Armenia namque oriundus erat, unde illa ei morum pravitas ac malignitas. longe vero remotius illud ac antiquum, quemadmodum seniores quidam referunt, qui olim tradita de illo eiusque maioribus sciunt, nec in hos pure suos natales refert, siquidem ex Assyriorum gentis nequissimo stolone natus est, ex quibus paterna eum stirpe genus trahere fama est. ex Sennacherib enim sobole ducit originem, qui cum imperio olim Assyriis praefuit, et ab iis quos sustulerat letale vulnus accepit. quique adeo cruentas dexteras patri intentassent, parricidialique cruore polluti essent, suisque ipsi manibus parentem occidissent, confestim ad Armeniorum se loca fugitivi recepere. ex hoc porro parricidiali ad nostram usque aetatem, malo fato, servato semine, qua noxa nescio, istud Romano imperio constitutum malum ac consecutum. is nimirum in hanc lucem susceptus, quibus is ipse qui sustinet novit iudiciis, pessimis noxiisque moribus educatur atque actibus.

12. Ex Assyriorum itaque leaena Armeniaque pardali, diverso germine, compositumque ac monstrosum tigridis genus, ex notha adulteri-

ἐκ νόθου καὶ κιβδήλου ἐξέφυ γονῆς, Ἀρμένιον ἢ Ἀσσύριον εἰδεχθεστέρας, καὶ Λέων μὲν τὴν προσηγορίαν, λέοντος δὲ τὸ μὲν ἁρπακτικὸν εἰς τὸ ἀσφαλὲς κεκτημένος, τὸ δὲ ἐλευθέριον οὐδαμῶς προσιέμενος, χαμαιλέων δέ, ὥσπερ οὖν τὸ εἶδος, οὕτως καὶ τῆς ψυχῆς τὸ πολύμορφον, διὰ τὸ τοῦ γένους ὕπουλόν τε καὶ ὕφαλον, ἐξ ὧν ἐμεγαλαύχει τῆς δυστροπίας καὶ τοῦ δόλου τὸ κεκρυμμένον καὶ ἀνέξαγόρευτον. καὶ γὰρ ἐμηχανᾶτο λανθάνειν τὸ ἐνδομυχοῦν C *τῆς γνώμης σκοτεινὸν καὶ παλίμβολον καὶ πρὸς τὸ βλάπτειν ἐπιρρεπές. καί πως ἦν ἐκπεπονημένον αὐτῷ καὶ ἐπιτετηδευμένον μή ποτε συμφωνήσειν καρδίαν τοῖς χείλεσιν, ὡς ἕτερα μὲν μελετᾶν κατὰ νοῦν, ἄλλα δὲ προφέρειν ἐν τῷ στόματι. ἀλλ' ἐπὶ τοσοῦτον γὰρ ἀφιλοθεΐας καὶ πονηρίας ἐξώκειλεν ὁ βίος αὐτοῦ ὥστε καὶ δυσφωρότατον καὶ δυσκατάληπτον αὐτοῦ τὴν δαιμονιώδη γνώμην καὶ πονηρίαν τοῖς πᾶσι γενέσθαι κατάδηλον. ἐπεὶ οὖν τῆς βασιλείου ἀρχῆς, μᾶλλον δὲ τυραννίδος θεοῦ συγχωρήσει λαβόμενος κατὰ τῆς ἀμωμήτου πίστεως ὅλον ἐκχέει τὸν θυμὸν καὶ τὸν δόλον, καὶ ἁμιλλᾶται κατὰ πάντα τὸν πρὸ αὐτοῦ δυσσεβῆ Κοπρώνυμον,* D *καὶ ὡσαύτως μιαροῖς τισὶ καὶ παμπονήροις ἀνθρώποις τὸ πᾶν τῆς ζωῆς καταπιστεύει, ἀσελγέσι τε καὶ ἐπὶ βίου αἰσχρότητι βεβοημένοις καὶ κατεφθαρμένοις τὴν ψυχὴν καὶ τὸ σῶμα, γόησι καὶ φαρ-*

1 *καὶ ἀκιβδήλης ἐξέφυεν υἱὸς Ἀρμένιος ἢ Ἀσσύριος εἰδεχθέστερος* P an *Ἀρμενίων ἢ Ἀσσυρίων?* 2 *τὸ μὲν* add C 6 *ἐξ—κεκρυμμένον καὶ* om P 7 *μηχανᾶται* P 8 *παλίμβουλον* P *ἐπιτρεπές* P 10 *συμφωνήσει καρδία* P 11 *προσφέρειν* CP *τῷ* et *ἀλλ'* om C 12 *καὶ* post *ὥστε* add C 13 *δυσφώρατον οὖσαν?* 14 *τοῖς*] *αὐτοῖς* C *κατάδηλον* om C *ἐπεὶ—ἀρχῆς* add C 20 *καὶ* post *βεβοημένοις* add C

naque sinceraque enatus filius, Armenius an Assyrius, foeda magis specie oreque; ac leonis quidem nomen sortitus, leonis vim illam rapacem adeptus est, nihil quicquam admisso quod eius liberale est, chamaeleon vero, uti specie vultuque, sed et multiplici forma animi, ob gentis occultam fraudem pressumque dolum ac animum se nihil explicantem. etenim molitur ut quod illi tenebrosum ac versipelle intus animi est, nocendique arte industrium solersque, id vero lateat. ecqua ratione in hoc studium operamque contulerat, ut nunquam cordi atque labiis conveniret? ut nimirum alia mente agitaret, alia ore proferret. enimvero ad tantam eius vita impietatem devecta est ac nequitiam, ac daemoniaca mens eius ac nequitia aegre ipsa deprehensibilis ac animadversa cunctis manifesta fieret. quinimmo dei indulgentia tyrannidem semel adeptus, furorem omnem dolumque effundit adversus immaculatam fidem, certatque per omnia imitari impium Copronymum illo superiorem; parique illi facinore, impuris quibusdam scelestissimisque hominibus vitae omnes rationes concredit, lascivis ac turpi vita celebratis, animo corporeque corruptis, praestigiatoribus, veneficis, seductoribus, nulloque non vitii

μακοῖς καὶ λαοπλάνοις, καὶ πᾶν εἶδος κακίας ἀσκήσασι καὶ ἅπαξ-απλῶς τὴν Χριστιανῶν ἠρνημένοις θεοσέβειαν. (13) καὶ δὴ τούτους ἀσπασίως εἰσοικίζεται καὶ περιπτύσσεται, καὶ ὑποκύπτει ταῖς ματαίοις αὐτῶν καὶ ψυχοφθόροις διδαχαῖς καὶ μυήσεσιν, καὶ οἷα τῆς ἁμαρτίας ἀνδράποδον ἐξανδραποδίζεται, καὶ τῷ ἀγκίστρῳ τῆς ἀπάτης καὶ παρανομίας δελεασθεὶς ὁ παράπεστος δεινῶς περιπείρεται. τρία γὰρ αὐτῷ προύθηκαν τὰ ὑπεσχημένα, τῆς ἀκρι- P 504 βοῦς πίστεως ἡμῶν καὶ ὀρθοδόξου τὴν ἄρνησιν, τῶν θείων εἰκόνων τὴν καθαίρεσιν, τῶν εὐσεβούντων τὴν δίωξιν· "καὶ οὕτως εἰς ἄκρον εὐημερίας ἐλάσεις" φησίν, "ὡς καὶ ἐπὶ πλεῖστον καὶ μήκιστον χρόνον τὴν παροῦσαν ζωήν, εἰ καί τις ἄλλος, διανύσαι."

14. Ταύταις οὖν καὶ ταῖς τοιαύταις ὀλεθρίοις φενακισθεὶς ἀπάταις ὁ ματαιόφρων καὶ κτηνώδης, καὶ καθάπερ ἦν εἰδεχθὴς καὶ δυσέντευκτος καὶ τῇ ἰδέᾳ αἰσχρότερος (εἰ γὰρ καὶ λεόντειον τοὔνομα, πιθήκειον τὸ βλεπόμενον), γίνεται φαυλότερος τὸν τρόπον, σοβαρώτερος τὸ ἦθος, θηριωδέστερος τὴν γνώμην, ἀτίθασ- B σος τὴν ὁρμήν, ἀκάθεκτος καὶ ἀνυπόστατος καὶ ἀλογιστότερός τε καὶ ἐμβριθέστερος καὶ τυραννικώτερος. (15) ἀναπτερωθεὶς γὰρ ὁ δείλαιος καὶ ταλαίπωρος τῇ ψευδομαντείᾳ καὶ ἐπιβουλῇ τῶν ἀλιτηρίων ἐκείνων, οὕτως ἐπανατείνεται ταχὺ τὸν πόλεμον. καὶ πρῶ-

5 ματαίοις αὐτῶν καὶ add C 5 οἷον P 6 παράπτυστος vel παράπταιστος margo P 7 τοῦ ὑπεσχημένου P 10 μήκιστον C, μείζονα P 11 διανύσῃς, εἴ καί τις ἄλλος P 13 ἀπάταις φενακισθεὶς P 14 τῇ ἰδέᾳ] τὴν θέαν C 15 γίνεται καὶ φ. P 17 ἀκάθαρτος P τε add C

genere ac malitia excultis, atque ut semel dicam, qui Christianam pietatem fidemque negaverint. (13) ac sane eos lubens necessarios asciscit ac amplexatur, eorumque exitiosis doctrinis ac initiationibus animum submittit; et velut peccati servus, iis mancipatur, uncoque seductionis ac improbitatis captus vir exsecrabilis dire transigitur. tria enim proposita, quibus promissionis compos efficeretur, ut nempe exactam fidem nostram ac orthodoxam negaret, divinas aboleret imagines, piis persecutionem moveret; quae si ei praestita essent, ad felicitatis summum apicem evaderet, ac si quis alius, in longiores annos huiusce temporis vitam produceret.

14. Hisce itaque eiusque generis exitiosis seductionibus deceptus dementis vir animi ac pecuinus, atque ut foedo adspectu erat, adeuntibus difficilis, orisque specie turpior. etsi enim ei leonis nomen, simia erat quod obiectum oculis erat: maiori pravitate mores, insolentior animus, mente plurimum ferina, intractabili impetu, immundus, importabilis, inconsultior, severitate asperior, tyranni moribus truculentior. (15) elatus itaque miser ac calamitosus falsis scelestissimorum illorum vaticiniis ac insidiis, sic bellum cito aggreditur. ac primum quidem linguam deo

τον μὲν κινεῖ κατὰ τῶν ἱερῶν δογμάτων ἡμῶν τὴν θεομάχον αὐτοῦ γλῶσσαν, ἔπειτα δὲ ζηλοῖ κἀνταῦθα τὸν δυσσεβέστατον Κοπρώνυμον Κόνωνα· καὶ συναθροίσας ὁμοίως ἐκείνῳ πονηρόν τε καὶ ἀγυρτῶδες συνακτήριον, μᾶλλον δὲ Ἰουδαϊκὸν συνέδριον, ᾧ
C καὶ σύνεδρος καὶ πρόεδρος ὁ ἐξάγιστος γενόμενος, ὁρᾶται πάλιν ἐν ναῷ κυρίου τὸ βδέλυγμα τῆς ἐρημώσεως, καὶ ἀνοίγεται στόμα λαλοῦν μεγάλα κατὰ τῆς δόξης κυρίου καὶ κατὰ τῆς θείας οἰκονομίας μεγαλορρημονοῦν καὶ ἀλαζονευόμενον. καὶ οὕτως ὁ δεύτερος Καϊάφας μετὰ τῆς χριστομάχου σπείρας ἐκείνης πολλὰ καὶ μάταια κατὰ τῆς ἀληθείας κενολογήσας καθαιρεῖ πᾶσαν ἱερὰν τῆς ἐκκλησίας ἀναστήλωσιν μίσει τῷ εἰς Χριστὸν καὶ τοὺς αὐτοῦ θεράποντας, ἐπειδὴ βαρὺς ἦν αὐτῷ Χριστὸς καὶ ἐν εἰκόνι βλεπόμενος καὶ
D ἐπὶ μνήμης φερόμενος, καὶ οἱ τούτου φίλοι τε καὶ δοῦλοι. (16) διὸ δὴ καὶ ἀνοηταίνων κατεφλυάρει πᾶσαν εἰκονικὴν ἀναστήλωσιν ἀπόβλητον εἶναι τῇ θείᾳ γραφῇ καὶ λίαν ἀγνώριστον. τί οὖν πρὸς ταῦτα φήσειέν τις; ὅτι σοφίας θεοῦ ἀδιεξέταστοι λόγοι, καὶ ὁ μωρὸς μωρὰ λαλήσει. ἀμαθὴς γὰρ σφόδρα καὶ ληρώδης ὑπάρχων οὐκ ᾔδει πάντως τὰ χρυσότευκτα ἐκεῖνα Χερουβίμ, ἅπερ ὁ ἱεροφάντης Μωϋσῆς θεοῦ προστεταχότος ἐτεκτήνατο καὶ ἡ παλαιὰ καὶ ἔννομος σκηνὴ καθύπερθεν τῆς κιβωτοῦ ἔφερεν, ἃ δὴ οὐ παρὰ Ἰουδαίοις μόνον δεδόξαστο, ἀλλὰ καὶ τῆς χάριτος ὁ κῆρυξ Χε-

21 θείων P αὐτοῦ om C 3 Κοπρώνυμον Κόνωνα] Κωνσταντῖνον C ὁμοίως ἀθροίσας C 4 ἐργαστήριον C ᾧ Hasius, ὃ C, ὃς P 7 θείας add C 11 μισεῖ τε Χριστὸν P 12 καὶ ante ἐν add C 13 ἐπιφερόμενος P 16 φησί C ὁ om C 18 χρυσότικτα C 21 δεδόξασται P

pugnantem adversus divina nostra dogmata movet; ac tum hic quoque impiissimum Copronymum Cononem aemulatur, similique illi ratione circumforaneum cogit conventum seu potius Iudaicum concilium; cui etiam funestissimus homo consessor praesessorque ac praeses effectus abominatio desolationis in templo domini denuo conspicitur, aperiturque os magna loquens adversus domini gloriam, grandiaque promens ac superbiens adversus dispensationem. sicque alter Caiphas, cum Christo infensa cohorte illa, multa ac vana adversus veritatem obganniens, sacras omnes in ecclesia erectas imagines abolet, odiaque in Christum eiusque servos exagitat; quippe cui gravis ad videndum in imagine Christus ac memoria ferendum, quique eius amici ac servi essent. (16) quamobrem etiam dementi animo nugatur imaginum omnem erectionem sacris literis improbatam esse iisque valde ignotam. ad haec igitur quid quis dicat ac responderit? nempe inscrutabiles esse divinae sapientiae sermones et stultum stulta locuturum. cum enim valde rudis esset et imperitus ac delira mente, nihil prorsus aureos illos Cherubim noverat, quos divinorum interpres Moses dei praecepto fabricatus est; vetusque illud ac legale tabernaculum subtus arcam ferebat, quae non solum apud Iudaeos gloriam habebant ac claritatem, sed quae etiam gratiae praeco

ρουβὶμ δόξης ἀποκαλεῖ σαφῶς ἤτοι τὰ δεδοξασμένα. ἔτι γε μὴν P 505 καὶ ὅσα ἡ Σολομῶντος κατεσκεύασε σοφία καὶ τῷ θεσπεσίῳ Ἰεζεκιὴλ ὦπται, καὶ εἴ τι τοιοῦτον κατὰ τὰς ἱερὰς βίβλους ἱστόρηται καὶ τετίμηται, ἅπερ οὐ πέφρικεν ὁ ἄθλιος καὶ βέβηλος ἐν εἰδώλων μοίρᾳ θεῖναι, ὡς ἀθετεῖν μᾶλλον ἢ προσίεσθαι τὰς θεοπνεύστους γραφὰς προελόμενος· ἐξ ὧν λοιπὸν καὶ Ἰουδαίων ἀπιστότερος καὶ ἀγνωμονέστερος εἰκότως νομισθείη σὺν τοῖς ὁμόφροσιν αὐτοῦ. ἄξια γὰρ ὡς ἀληθῶς τῆς ἑαυτῶν βδελυρίας ἀπιστίας τε καὶ ἀλογίας φρονήσαντες καὶ ἐκφωνήσαντες. (17) καὶ γὰρ τῷ Χριστῷ κἀνταῦθα προφανῶς ἀπομάχονται, ὃς λαβὼν ὀθόνην λαμπρὰν B καὶ τὸ ὑπέρλαμπρον καὶ ὑπέρκαλον ἐναπομαξάμενος θεῖον εἶδος ἐκπέμπει πιστῶς αἰτήσαντι τῷ τῶν Ἐδεσηνῶν ἡγεμόνι Αὐγάρῳ. ἐξ ἐκείνου δὲ μέχρι καὶ τήμερον ἀποστολικῇ παραδόσει καὶ εἰσηγήσει, γνώσεώς τε καὶ μνήμης ἕνεκεν ὧν ὑπὲρ ἡμῶν ἔδρασέ τε καὶ πέπονθε Χριστός, καθὰ δὴ καὶ ἐν ταῖς ἱεραῖς τῶν εὐαγγελίων δέλτοις ἀνιστόρηται, σεβασμίως ἐκτυποῦμεν καὶ προσκυνοῦμεν, κἂν οἱ χριστομάχοι διαρρήγνυνται. (18) καὶ μέντοι πρὸς τούτοις παράδοσις καὶ λόγος ἐχόμενος πειθοῦς καὶ μέχρις ἡμῶν κάτεισι, C τὸν θεῖον εὐαγγελιστὴν Λουκᾶν ἐν εἰκόνι διαγράψαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πρὸς δὲ καὶ τὴν πανάχραντον αὐτοῦ μη-

1 τῷ δεδοξασμένῳ P 4 οὐκ ἔφριξεν P 5 ἀθετῶν P προϊέσθαι CP θείας P 8 ὡς ἀληθῶς add C 11 καὶ add C 12 ἐκπέμπει τῷ πιστῶς P 13 καὶ μέχρι C 14 ἕνεκα ὧν περ ἔδρασέ P 15 ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἀνιστορεῖται P 18 καταντήσας P 20 Ἰησοῦν Χριστὸν om C ἄχραντον P

Cherubim gloriae (id est glorificata) aperte nuncupat. praeterea etiam quaecumque fabricata est Salomonis sapientia divinoque Ezechieli conspecta sunt, ac si quid huiusmodi in sacris libris narratur honorique habetur; quae miser ille profanusque idolorum sorti deputare non horruit, ut cui divinas potius spernere scripturas ac abrogare seu prodere constitutum esset. unde cum ipsis quoque Iudaeis maiori infidelitate maiorique vincens improbitate merito censendus sit, cum sodalibus suis, dum scilicet sua digna perdita impudentia ac infidelitate, rationisque carentia sensere fidemque eam edidere. (17) etenim hic quoque aperte Christo pugnant. is namque accepto praenitido linteo, omnem vincente nitorem decoremque, divina sua expressa forma, Augaro Edessenorum regulo fidei devotione petenti munus destinavit; quo ex tempore hactenusque apostolica traditione atque doctrina, ad ea cognoscenda ac memoria tenenda quae Christus tum egit tum passus est, uti etiam in sacris conscripta evangeliis exstant, venerabiliter effingimus ac adoramus, Christi licet hostes rumpantur. (18) ad haec enimvero traditio est nec fide carens narratio, quae ad nos usque devenit, pinxisse nimirum in imagine divinum Lucam evangelistam dominum nostrum Iesum Christum

τέρα, καὶ τὰς ἱεροτυπίας ταύτας διαφυλάσσειν τὴν Ῥωμαίων πόλιν. τί δὲ δεῖ λέγειν περὶ τῶν λοιπῶν ὧν ἐν Ἱεροσολύμοις, ὡς ἱστόρησάν τινες οἱ αὐτόθι γενόμενοι, ὡς πλεῖστα μέχρι τῆς δεῦρο πιστῶς καὶ εὐλαβῶς ἱερογραφίας ἐκ παλαιοῦ δι' ἀκριβείας ἀνεστηλωμένας σεμνῶς περιέποντες προσκυνοῦσιν; ὡσαύτως δὲ πάλιν
D ἀναγέγραπται ὅτι Πέτρος καὶ Παῦλος οἱ κορυφαῖοι τῶν ἀποστόλων τὰ μεγαλεῖα τοῦ θεοῦ κηρύττοντες ἐν τῇ Ῥώμῃ, καὶ ἃ πεποίηκεν ὁ Χριστὸς θαύματα, πρῶτον τὴν θείαν μεταμόρφωσιν ἐξεικονίσαντες Ῥωμαίοις παραδεδώκασι, καθὼς καὶ ὤφθη Μωσῇ καὶ Ἠλίᾳ ἐν μέσῳ τοῖς ἁγίοις προφήταις· ἃ δὴ καὶ μέχρι τοῦ νῦν σώζεται.

19. Πῶς οὖν ἀντιβλέψουσιν οἱ ἀπειθεῖς καὶ ἀγνώμονες πρὸς τὸ μέχρι τοῦ παρόντος ᾀδόμενον καὶ ὁρώμενον ἐν τῷ ναῷ τῆς θεομήτορος θαῦμα, τὸ ἐν τῇ πόλει τῇ καλουμένῃ Λύδδῃ; ὅνπερ ναὸν ἔτι περιούσης κατὰ τὸν τῇδε βίον οἱ ἀπόστολοι ἐδομήσαντο.
P 506 πολλοὶ γὰρ τεθέανται προσκυνούμενον εὐλαβῶς καὶ τιμώμενον τὸ ἀχειρότευκτον ἐκεῖνο καὶ σεβάσμιον ἀπεικόνισμα, πλαξὶ τετυπωμένον λαμπραῖς καὶ διαυγέσι, καὶ διὰ βάθους κεχωρηκὸς ὅλον· ὃ δὴ καί τινες τῶν δυσμενῶν Ἑλλήνων τε καὶ Ἰουδαίων ἀποξέσαι

1 φυλάσσειν P 3 πλείστας margo P 4 πιστῶς add C δι' ἀξίας P 8 ὁ θεὸς C πρῶτα τῆς ῥώμης μεταμορφώσεως C 9 καθὰ ὤφθη P 10 δὴ add C 14 τῇ πόλει add C 15 τόνδε τὸν P 16 εὐλαβῶς add C 18 ὅλων C 19 καί om C ἀπαχρειοῦν πειρασθέντες διέξεσαν μανικῶς, ἀλλὰ διήμαρτον μάλα τῆς ἀνοσίου ἐγχειρήσεως C, omissis ὅσῳ — ἐξέλαμπον.

ac praeterea intemeratam ipsius matrem, hasque sacras imagines ac effigies urbem Romam servare. quid vero necesse dicere de reliquis, quae sunt Hierosolymis, quemadmodum eas quidam illo profecti lustravere; quas plurimas hactenus omnique veneratione sacras picturas ab antiquo, digno cultu erectas, religiose venerantes adorant. similiter vero rursum scriptum est apostolorum principes Petrum et Paulum, cum dei magnalia Romae praedicarent editaque a Christo miracula, divinam primum transformationem pictam expressam imagine Romanis tradidisse; qua ratione Mosi Eliaeque, sanctis prophetis, in ipsorum medio conspicua elegit; quae et etiamnum servatur.

19. Quanam igitur ratione increduli improbique homines ac ingrati oculos obvertent, conspicientque quo in hanc usque diem in templo sanctae dei genitricis miraculum canitur atque cernitur, in urbe quam Lyddam vocant. aedem hanc sacram excitarunt apostoli, cum beata virgo adhuc vita hac superstes esset. multi enim viderunt, quod venerationi habetur ac colitur, non manu factum illud ac venerabile simulacrum, praenitidis tabulis ac pellucidis expressum, inque omnem altitudinem ac profundum pervadens. illud nimirum cum Graecorum quidam Iudaeorum

σπουδάσαντες ἐματαιώθησαν ἀποτυχόντες τῆς ἀτόπου αὐτῶν ἐγχειρήσεως. ὅσῳ γὰρ αὐτοὶ τὸ ἐκτύπωμα ἔξεον, πλειοτέρως ἐξέλαμπον. οὐδὲν γὰρ ἧττον ἐπὶ σχήματος ἕστηκεν ἡ μορφή, εἶδός τε καὶ στολὴν καὶ τἆλλα τῆς θέας ἀνεξάλειπτα καὶ ἀλώβητα διασώζουσα. ἱστορεῖται γὰρ ὅτι οἱ ἅγιοι ἀπόστολοι ὑποσχέσει τῆς B πανάγνου θεοτόκου ναὸν ἐπ' ὀνόματι αὐτῆς ἀνήγειραν· καὶ αὐτῆς εἰς θέαν τοῦ ναοῦ τῇ αἰτήσει αὐτῶν εἰσελθούσης καὶ εἰς ἕνα τῶν κιόνων σταθείσης εὑρεθῆναι ἐν τῷ κίονι τὸ ἐκτύπωμα αὐτῆς· ὃ καὶ πολλὰ βιασάμενοι, ὡς εἴρηται, Ἕλληνες καὶ Ἰουδαῖοι οὐκ ἴσχυσαν ἀποξέσαι.

20. Ὅτι δὲ ἀρχαιοτάτη τούτων ἡ ποίησις καὶ παράδοσις, μάρτυς μὲν καὶ πρὸς τοῖς ἄλλοις ὁ θεῖος ἀνδριὰς ὃν ἔστησεν ἡ αἱμόρροους γυνὴ τῷ θεραπευτῇ Χριστῷ παρὰ τῷ ἑαυτῆς οἴκῳ, στήλην ἐναργεστάτην καὶ ἀπαράγραπτον κήρυκα τοῦ εἰς αὐτὴν C γεγονότος θαύματος, ταῖς μετέπειτα γενεαῖς τὸ κατ' αὐτὴν θαυματουργηθὲν παράδοξον δημοσιεύουσα· περὶ οὗ καὶ ὁ μέγας παρὰ τοῖς εἰκονοτύποις διδάσκαλος Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ μνημονεύσας τὰ τελούμενα θαύματα παρὰ τῆς ἐκεῖθεν φυομένης ἱερᾶς καὶ θεοβλάστου πόας, καὶ ὡς ἦν ἅπασιν ἀλεξίκακον ἐπικούρημα, ἐπάγει φάσκων ὅτι καὶ τῶν ἀποστόλων τὰς εἰκόνας

5 ἱστορεῖται — 10 ἀποξέσαι] ἱστόρηται γὰρ ὑποσχέσει τῆς πανάγνου παρθένου τῇ πρὸς τοὺς ἀποστόλους αὐτόματον ἀναδωθῆναι τὸ σεβάσμιον τουτὶ χρῆμα C 7 ἓν P 11 Ὅτι — παράδοσις add C 13 αὐτῆς P 14 εἰς αὐτὴν γεγονότος om C 17 εἰκονομάχοις C τῇ add C 20 ἐπήγαγε C

infensi Christo eradere conati essent, frustrato absurdo conatu evanuere. quanto enim effigiem radebant, tanto illa maiori luce radioque clariori splendebat. mansit enim nihilominus in eadem forma atque habitu. oris species ac vestitus, quaeque reliqua in oculos incurrunt, nihil oblita nullaque labe integra illi constiterunt. narrant enim quod cum sancti apostoli, sanctissimae dei genitricis pollicitatione freti, sub eius nominis invocatione templum excitassent, ipsaque eorum rogatu lustrandi causa templum ingressa in una columnarum stetisset, expressam ipsius effigiem in columna inventam esse; quam Graeci Iudaeique nulla quantavis, uti dictum est, illis adhibita vi eradere potuere.

20. Testis quidem etiam praeter alia divina statua, quam mulier sanguine fluens, a quo curata fuerat, Christo iuxta aedes suas gratitudinis monumento statuit, apertissimum sane titulum sincerissimaeque veritatis praeconem exhibiti in ipsa miraculi, inauditum in ipsa patratum divinum signum ac prodigium in futuras longe generationes evulgans; cuius et magnus apud imaginum effictores magister Eusebius, in ecclesiastica historia mentione facta, memoratisque miraculis quae ad sacram divinoque germine illic enascentem herbam fierent, esseque illam cunctis auxilium praesens atque malorum depultricem, subiungit dicens

Πέτρου καὶ Παύλου καὶ αὐτοῦ δὲ Χριστοῦ διὰ χρωμάτων ἐν γρα-
D φαῖς σωζομένας ἱστορήσαμεν. (21) μάρτυς δὲ καὶ ἡ ὄψις, διδάσκαλος ἀψευδής. τό τε μῆκος τοῦ χρόνου σαφῶς δείκνυσι καὶ τῶν σεπτῶν ναῶν ἡ κτίσις. ἔτι δὲ καὶ τῶν ἀνέκαθεν ἱερῶν σκευῶν παρὰ τῶν εὐσεβούντων ἡ ποίησις καὶ ἀφιέρωσις ἄπειρος τῷ πλήθει τυγχάνουσα. οὐ μὴν δὲ ἀλλὰ καὶ αὐταὶ αἱ πτυχαὶ τῶν ἁγίων εὐαγγελίων τοὺς ἱεροὺς τύπους ἔξωθεν φέρουσαι ὑπὸ πάντων πιστῶν σεπτῶς προσκυνουμένους, οἵ τε θεῖοι κίονες καὶ αἱ σωλαῖαι καλούμεναι, αἳ τὸ σεβάσμιον τοῦ ἱεροῦ διατειχίζουσι θυσιαστηρίου. καὶ γὰρ οὐδενὶ ἑτέρῳ λόγῳ ἢ τοῦ προσκυνεῖσθαι πάντως
P 507 εἵνεκα ἅμα τῷ συμπαρακειμένῳ τοῦ σταυροῦ τύπῳ εὐσεβῶς ἀρχῆθεν ἐνταῦθα καθιστόρηνται.

22. Ἀλλ' ὅ γε θηριώνυμος καὶ λεοντότροπος ταῦτα παραγραψάμενος πάντα ἔσπευδεν ὅτι μάλιστα πᾶσαν θείαν εἰκόνα ἀποστρέφειν καὶ λήθῃ βαθείᾳ παραπέμπειν. ταύτῃ τοι θεομαχῶν ἐπὶ δήμου τοιαῦτα κατατολμήσας ὁ ἐμβρόντητος παρρησιάζεται, λέγων "ὥσπερ ἐκ τῶν ὄψεων ὑμῶν, ἀδελφοί, τὰς εἰκόνας ἐξωλοθρεύσαμεν, οὕτω δὴ καὶ ἐκ τῶν ψυχῶν ὑμῶν περιαιρήσειν ὑμεῖς ὡς θεοῦ καὶ τοῦ βασιλέως δοῦλοι καὶ φίλοι σπουδάσατε." καὶ γὰρ ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοή-

1 καὶ δι' αὐτοῦ δὴ C 3 μίκιστον C 4 δὲ om C 5 ἡ add C 6 οὐ μὴν δὲ C, μὴν P τῶν ἁγίων εὐαγγελίων om C 7 φέρουσι παρὰ χριστιανοῖς τῷ εὐαγγελίῳ προσκυν. C 9 ἃ C 10 τούτῳ προσκυνεῖσθαι πάντων P 11 ἀλλὰ C, om P 12 καθιστῶνται P 13 καὶ om C 14 εἰκόνα om P, qui post παραπέμπειν add γραφήν 17 ὥσπερ οὖν ἐκ C ἀδελφοί — 19 βασιλέως add C

(lib. 7 c. 18) apostolorum Petri et Pauli imagines, atque ipsius Christi, penicillo ac coloribus pictas, quae etiamnum exstarent vidisse. (21) testis vero etiam visus, fidus ipse magister ac verax; longique temporis clare indicio est ipsa quoque venerabilium sacrarum aedium structura. praeterea vero etiam sacri ministerii vasorum, antiquis temporibus, pia fidelium sedulitate effectio ac consecratio; quorum infinita prope multitudo ac copia. sacrorum etiam evangeliorum tabulae, quae sacras exterius formas ac figuras, cunctorum fidelium venerationi expositas iisque cultas, ferant. divinae item columnae, et quas soleas vocant, quibus sacri altaris venerabilis locus quasi septo quodam interstinguitur. etenim nulla alia ratione quam ut eis omnium causa pia veneratio adhibeatur, una cum adiacente crucis figura, a principio ibi constitutae sunt.

22. Enimvero hic nomine bestia leonisque moribus, cuncta haec nullius sibi auctoritatis ducens, quam maxime divinam omnem picturam amovere, oblivionisque profundo tradere, satagebat. quamobrem deo pugnans, publica concione, talia palam perdita audacia, homo vecors proloquitur, quasi nobis coram, velut servi et amici, sic rei incumbite. etenim stultus stulta loquetur (Isai. 32 6), et cor eius inania cogitabit

σει τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς κύριον πλάνησιν. κἀντεῦθεν τοίνυν τοὺς εὑρισκομένους ἔχοντας εἰκόνα Χριστοῦ ἤ τινος B ἁγίου καὶ προσκυνοῦντας δειναῖς τιμωρίαις καὶ κολάσεσι κατεδίκασεν ὁ ἀλάστωρ καὶ αἱμοβόρος. καὶ οὕτω κρεωκοπούμενοι καθ᾿ ἑκάστην ἡμέραν καὶ καταθυόμενοι διεφθείροντο πανταχοῦ οἱ θεοσεβεῖς· καὶ πολλοὺς ἐνδόξους καὶ περιβλέπτους πεφόνευκε.

23. *Καὶ ταῦτα μὲν κατὰ τῶν ὀρθοδοξούντων ἀφειδῶς καὶ ἀπαύστως διεπράττετο· κατὰ δὲ τῶν ἐν τέλει καὶ τῶν εὐπορωτέρων ἄλλην πονηρὰν ἐπίνοιαν ὁ πονηρὸς καὶ παμμήχανος εὑρίσκει. βουλόμενος γὰρ αὐτοὺς ἐλεεινοὺς καὶ πένητας ἀπεργάσασθαι τί ποιεῖ; αἰτίαις αὐτοὺς ἀφύκτοις καὶ ἐγκλήμασι περιβάλλει, προ- C φασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, ἵνα τῷ δέει τῶν ἐγκλημάτων πᾶσαν αὐτῶν τὴν οὐσίαν ἀναλογήσωσιν ὑπὲρ τῆς ἐκεῖθεν σωτηρίας. ἔστιν ὅτε δὲ καὶ συνεβίαζεν καθ᾿ ὧν τινῶν ἀνδρικωτέρων ἢ εὐφυεστέρων, βασκαίνων τῆς εὐανδρίας ἢ εὐφυΐας αὐτοῖς, ὡς νεωτερίσειν ὑποπτεύων. τινῶν μὲν τοὺς ὀφθαλμοὺς ἐξώρυττεν, ἄλλων δὲ τὰ μέλη ἠκρωτηρίαζεν· ἑτέρους δεσμοῖς κατέχων μεθ᾿ ἡμέρας τινὰς τῷ θανάτῳ παρέπεμψεν. ἐξ ὧν ὑπῆρχε Μιχαὴλ ὁ*

2 εἰκόνας P 3 καὶ προσκυνοῦντας add C 4 κρεονομούμενοι C 5 καὶ om C 6 καὶ πολλ. — πεφόνευκε] ἄνθρωποι C 8 ἀπαύστως] ἀπανθρώπως C τῶν post καὶ add C 9 ἄλλην ἐπίνοιάν τινα πονηρὰν ὁ C ἐμηχανήσατο C 10 γὰρ post τί C 11 αἰτίοις P προβάλλει P 13 ἀλογήσωσιν C ἐκεῖθεν] οἰκείας C 14 ἔσθ᾿ C δὲ add C συνεσκίαζε C ἀνδρικώτερον ἢ εὐφυΐας αὐτῶν. τινῶν P 17 καὶ ἑτέρους C 18 τινὰς δεινῶς ἀνῄρει, ἐξ C

ut perficiat improba, et loquatur adversus dominum seductionem. hinc itaque qui inventi essent habere Christi, aut cuiusquam sanctorum imagines, diris suppliciis ac tormentis, saeva Furia, cruentus homo addicebat. atque in eum modum concisi membris quotidie atque mactati pii viri ac religiosi, omni loco interibant: nec paucos viros claros ac spectabiles nece sustulit.

23. Atque haec quidem adversus orthodoxos nulla venia ac requie acerbus continue tyrannus exsequebatur: adversus autem viros equestris ac senatorii ordinis, nec non opulentiores, aliud nequam ipse nequissimus ac machinandi arte solertissimus commentum adinvenit. cum enim constitutum haberet ut eos miserabiles ac pauperes redderet, quidnam facit? inevitabilibus eos noxis ac criminibus innectit, praetexens praetextus in peccatis, ut quorum rei agerentur, metu omnem suam substantiam, ut eo periculo liberi exirent, rata vice praestarent. erat quando vim simul inferret, maioribus adversus aliquos animis quam pro eorum ingenuitate. aliis quidem lumina effodiebat, aliorum membra putabat, alios in vinculis tenebat, quos post dies aliquot neci traditurus esset. e quorum numero erat Michael, excubitorum ordinis tum praefectum

D τὴν τοῦ ἐξκουβίτου τάγματος ἀρχὴν διέπων· διεβλήθη γὰρ τῷ βασιλεῖ ὡς κατ᾽ αὐτοῦ βουλευόμενος· ὃν εἱρκτῇ καὶ πέδαις εἶχε τηρούμενον. (24) τῆς δὲ γενεθλίου τοῦ σωτῆρος ἡμῶν ἡμέρας ἐνστάσης τοῦτον ἠβουλήθη νυκτὶ ἀνελεῖν· κωλυθεὶς δὲ παρὰ τῆς ἰδίας γυναικὸς διὰ τὴν ἑορτὴν εἴασεν αὐτόν. ὁ δὲ Μιχαὴλ ἐν τῇ εἱρκτῇ ὤν, τοῦτο μαθών, πᾶσι τοῖς συμβούλοις τοῖς μετ᾽ αὐτοῦ ἐμήνυσεν ὡς εἰ μὴ σπουδάσητε ἐξελεῖν με τῆς φρουρᾶς, πάντας ὑμᾶς καταμηνύω τῷ βασιλεῖ. ἦν δὲ μετ᾽ αὐτῶν καὶ ὁ τοῦ παλατίου παπίας, συγγενὴς ὢν τοῦ Μιχαήλ. οὗτοι τῇ νυκτὶ ὁπλι-
P 508 σθέντες, ἔνδοθεν τὰ ξίφη φοροῦντες, τοῦ παπίου ἀνοίξαντος ὡς ἱερεῖς μετὰ φελονίων εἰσῆλθον. τοῦ δὲ βασιλέως εἰς τὴν ἐκκλησίαν εἰσελθόντος εἰσπηδήσαντες τὴν ἀνοσίαν αὐτοῦ ψυχὴν ... ἐν τῷ παλατίῳ, ἐν ᾧ οὐδεὶς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων ἀνῄρητο. (25) αὐτῇ δὲ τῇ ὥρᾳ ἐν τῇ εἱρκτῇ ἀπελθόντες ἐξάγουσι τὸν Μιχαὴλ καὶ εἰσάγουσιν ἐν τῇ ἑορτῇ, ἀντὶ δεσμοφόρου στεφηφόρον, ὡς πληρωθῆναι ἐπ᾽ αὐτὸν τὸ τοῦ ψαλμῳδοῦ λόγιον, τὸ
B ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.

1 διεβλήθη — 13 παλατίῳ] εἱρκτῇ καὶ πέδαις τοῦτον εἶχε τηρούμενον, καὶ τὴν γενέθλιον ἐνστᾶσαν ἡμέραν τοῦ σωτῆρος ἐκδεχόμενος διελθεῖν καὶ οὕτως αὐτὸν διαχειρίσασθαι. ἀλλά γε θείᾳ ψήφῳ καὶ δορυφόρων ξίφει κρεουργηθεὶς αὐτὸς ἐνδίκως, μέσον τοῦ θείου ναοῦ τὴν πολλοὺς ἁγίους ναοὺς καὶ ψυχὰς καὶ σώματα λίαν ἀτιμάσασαν ψυχὴν ἀπορρήξας, εὐθὺς ἐπικοσμεῖται τῷ τῆς βασιλείας ὁ δεσμώτης διαδήματι, ὃς ἐν ἐλπίσιν ὢν τὴν στέρησιν (τοῦ βίου addit Hasius) ὑπομεῖναι στεφηφόρος ἀντὶ δεσμοφόρου καθίσταται. οὕτως οὖν καταστρέφει τὸν βέβηλον αὐτοῦ καὶ βαρβαρώδη βίον, καὶ τὴν ἀνόσιον καὶ παμπόνηρον ψυχὴν ἀπορρήγνυσιν ἐν τῷ παλατίῳ. C 13 ἀνῄρητο — 17 ἀγαλλίασις] ἀνῄρηται, γενόμενος πολυστόμου μαχαίρας ἔργον πικρὸν καὶ ὀλέθριον τῆς αἰσχίστης καὶ βδελυρᾶς ζωῆς δέχεται τὴν περαίωσιν,

agens. datum enim illi crimini erat apud imperatorem, quasi is in ipsum machinaretur; quem in carcere et nervo vinctum servabat. (24) salvatoris itaque nostri natali instante die eius pervigilii nocte eum neci traditurus erat. obstante vero ob diei solennia coniuge interim ipsum dimisit. Michael in carcere constitutus, ubi rescivit, suis omnibus coniuratis indixit, "nisi ut me carcere eximatis oppido operam dederitis, vos omnes deferam imperatori." porro erat cum eis et palatii papias, ipse Michaelis cognatus. hi nimirum noctu armis instructi, obtectos vestium involucro ferentes gladios, cum casulis sacerdotum more, papia aperiente, in aedem subiere. ingressoque in ecclesiam imperatore, insilientes, scelestissimam atque impiam eius animam, in palatio, ubi nullus superiorum imperatorum peremptus fuerat, abstulerunt. (25) eadem porro ipsa hora in carcerem profecti Michaelem educunt, ac pro vincto imperialibus redimitum infulis (caput scilicet diademate cinctum) in solemnitatem inducunt; ut in eo adimpletum sit illud psalmistae (29 6) oraculum, "vespere demorabitur fletus, et ad matutinum exsultatio."

μετὰ δὲ ταῦτα ῥακίοις εὐτελέσι περιβαλόντες τὰ τοῦ ἀλιτηρίου μέλη, καὶ εἰς ἀκάτιον ἐμβαλόντες τὸ παμμίαρον αὐτοῦ σῶμα, κατὰ τὴν καλουμένην Πρώτην νῆσον ἐκφέρουσι καὶ κατορύττουσιν, ἔνθα καὶ τοὺς παῖδας αὐτοῦ ἀποκείραντες μονάσαι πεποιήκασιν, οὐκ οἶδα ἀνθ᾽ ὅτου ταύτην κατακριθεῖσαν τὴν συμφορὰν τοσούτων κακῶν ὑποδέξασθαι.

26. Προσεκτέον δὲ ὡς εἴ γε ἰσχύν τινα εἶχεν ὁ λόγος τῶν δυσσεβῶν τούτων καὶ δυσωνύμων καὶ ἀληθείας ἔμφασιν τὰ παρ᾽ αὐτῶν κτιζόμενα, κἂν ταῖς ἄλλαις ἱεραρχίαις ὑπῆρξέ που πάντως C
πεφυλαγμένα καὶ γινωσκόμενα· νῦν δὲ οὐδαμόθεν ἐπιγνῶναι τοῦτο πάρεστιν. ὁμοῦ τε γὰρ ἑῴα καὶ ἑσπερία λῆξις τὸ εὐαγγελικὸν δὴ τοῦτο καὶ ἀποστολικὸν περιέποντες διατελοῦσι κήρυγμα· καὶ οὔ ποτε ἐν ἄλλῃ ἐξουσίᾳ, ἔνθα Χριστιανοί, τὸ ἔκθεσμον ἐκεῖνο καὶ παράνομον καὶ τῆς Χριστιανῶν θεοσεβείας ἀλλότριον παραφυὲν καταλαμβάνεται θεοστυγὲς δόγμα, οὐδὲ ὅσον εἰς μνήμην ἀφῖχθαι τῶν πονηρῶν καὶ μυσαρῶν συνταγμάτων, ἀλλ᾽ ἢ μόνον κατὰ τὴν δούλην ταύτην καὶ ἠνδραποδισμένην καὶ τὰ θεῖα κατ᾽ ἐξουσίαν

καὶ δίκην τῶν τετολμημένων εἰσπράττεται παράδοξον καὶ ἐξαίσιον ἐν τόποις οὓς καὶ ζῶν ὁ ἐξάγιστος καὶ τρισάθλιος κακῶς ἐβεβήλωσε, καὶ σφραγιζόμενος αἰσχρῶς τῷ λύθρῳ τῶν ἐναγῶν αἱμάτων ὁ πολλῶν αἱμάτων Χριστιανῶν ἐμφορηθεὶς ἔχρανεν. 1 εὐτελέσι — 4 πεποιήκασιν] εὐτελέσι καὶ τραχέσι περιβληθὲν καὶ ἀκατίῳ μικρῷ, εἰς τοῦτο εὐτρεπισθέντι, ἐμβάλλεται τὸ μιαρὸν καὶ ἀκάθαρτον αὐτοῦ σῶμα, καὶ κατὰ τὴν καλουμένην Πρώτην ἐκφέρεται νῆσον καὶ κατορύττεται. 5 κριθεῖσαν P συμφορὰν ἀντὶ τοσ. κ. εἰσδέξασθαι P 7 τινὰ ἰσχὺν P 8 ἔμφασιν — 9 κτιζόμενα] ἔναυσμά τι ἐν τοῖς παρ᾽ αὐτοῦ δογματιζομένοις ἀμυδρῶς πως ἐφέρετο C 12 περιέπονται καὶ δ. P οὔ ποτε] ὅπου τε P 13 ἄθεσμον P 14 ἀλλότριον add C 17 δουλείαν P

postea vero vilibus pannis obtegentes viri scelestissimi membra, iniectoque in lintrem eius impurissimo cadavere, in insulam funus efferunt quam Proten vocant, ibique humant. quo ipso loco detonsos liberos, monachi ritu institutis vitae rationibus addixere. haud vero scio cuius rei gratia indictum loco, tantorum malorum vice istiusmodi noxam ut sinu exciperet.

26. Observandum porro, si quid virium impiorum horum hominum ac inominatorum doctrinae, atque iis quae illi struunt, veritatis ulla species inesset, in aliis quoque plane provinciis servata ac in notitia essent. nunc autem nusquam gentium videre est, quod sic illi sentiunt. simul enim Oriens atque Occidens evangelicam hanc ac apostolicam colunt usque receperunt praedicationem; ac ubicunque tandem gentium quavis Christiani nominis dicione scelestum illud et improbum Christianaeque pietatis adulterinum germen, deo exosum dogma, obauditur, ne vel meminisse nequissimorum execrabiliumque librorum in animum inducunt, praeterquam solum in serva hac ac mancipata divinaque suo ipsa

D παίζουσαν, ἐν ᾗ τὸ ἐμπαθὲς καὶ πρόσυλον τῶν περὶ γῆν στρεφομένων καὶ ἰλυσπωμένων γήϊνον καὶ ἀλαζονικὸν καὶ ὑπερήφανον πρυτανεύει φρόνημα. ἔνθα τὸ φίλαυτον, τὸ φίλαρχον, τὸ φιλήδονον, τὸ φιλόδοξον, ἡ πάντων καταθυμίων ἀπόλαυσις, τὸ πάντων ἐθέλειν ἄρχειν καὶ μηδὲ πρὸς αὐτοῦ θεοῦ ἄρχεσθαι, καὶ ἡ τῆς ἀνθρωπίνης δόξης ἢ μᾶλλον εἰπεῖν αἰσχύνης κτῆσις καὶ περιποίησις. ἔνθεν ἡ κατὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων ὕβρις καὶ τῆς ἐκκλησίας ὁ διωγμός. ἐντεῦθεν κατακυριευόμενον ἢ τυραννούμενον τὸ ὑπήκοον τοῖς ἐκείνων δόγμασι καὶ θελήμασιν ὑποκύπτειν ἐκβιά-
P 509 ζεται· ὧν ἕνεκεν τὸ ἔμψυχον κεχάλκευται καὶ ἐσχεδίασται ὅπλον, σχήματι μὲν τοῦ σωματοφυλακεῖν ἠθροισμένον, ταῖς δὲ ἀληθείαις τοῦ ἐκπορθεῖν τὴν ἐκκλησίαν Χριστοῦ καὶ ληΐζειν ἐπινενοημένον, προφάσει τοῦ συμπεριγράφεσθαι τὴν Χριστοῦ θεότητα ἐν τῇ εἰκόνι, παραληροῦντες· ὡς εἴ τις καὶ τὸ ἡλιακὸν δὴ τοῦτο καὶ δισκοειδὲς σῶμα γεγραμμένον ἔν τινι τόπῳ, καθὼς ἔν τισιν ὁρᾶται γιγνόμενον, ὑποδείξειεν, ἐδογμάτισαν ἂν καὶ τὴν τοῦ φωτὸς οὐσίαν καὶ αὐγὴν συγγράφεσθαι καὶ περιγράφεσθαι ἢ πάντως ἐκ τοῦ ἡλίου τὸ φῶς ἀποτέμνεσθαι, ἢ πάλιν ἀκτῖνα ἡλίου εἴ που δένδρῳ
B προσβάλλουσαν ἴδοι, ἐντμηθείη δὲ τὸ δένδρον, συνεγκοπήσεσθαι καὶ τὴν ἀκτῖνα παραφρόνως ἐνομίσθη. καὶ μέντοι καὶ ἐπὶ πυρὸς

1 τὸ περὶ τὴν γῆν στρεφόμενον καὶ ἰλυσπώμενον P 4 καταθύμιος P 6 αἰσχύνης μᾶλλον εἰπεῖν C 7 ἐντεῦθεν C 9 ἐκεῖθεν C 11 σχηματοφυλακὴν ἠθροισμένα P 12 Χριστοῦ add C 14 παραπληροῦντες C καὶ post τοῦτο om C 16 ἐδογμάτισεν P 18 ἡλίου πρὸς δένδρον P 19 ᾔδει, εἰ ἐκτμηθείη τὸ P συνεκκοπήσεσθαι P

arbitratu ludo habente gente; in qua nimirum libido et terrenorum amor, in terra versari ac volutari, terrenus sensus, fastu tumens animus atque superbus vigent. ubi caecus ille ac carnalis sui amor; imperii, voluptatum, gloriae perdita cupiditas, cunctis ex animo frui, velle cunctis praeesse, nec ipsi deo subiici velle; humanae gloriae, vel ut verius dicam, confusionis solicitus animus ac ambitio. hinc quae adversus deum sanctosque contumelia iactatur, ac ecclesiae persecutio. hinc dominatu seu tyrannide oppressi subditi illorum doctrinis ac voluntatibus animum submittere coguntur; cuius rei gratia telum cuditur ac expeditur, eo quidem colore atque praetextu, ut congregata ac parta serventur, re vera autem ad expugnandam ecclesiam eamque populandam adinventum, quasi, ut illi delirant, Christi deitas in imagine circumscribatur; ac, si quis solare hoc corpus ac orbiculari figura in aliquo depictum loco ostendens, una quoque depingi ac circumscribi lucis substantiam ac fulgorem seu omnino abscindi a sole lumen putaverit; vel rursus qui solis radium arbori insidentem videns caesa arbore radium quoque exscindi dementi sensu existimaverit. eadem et in igne aliisque

καὶ ἄλλων τινῶν διανοηθήσονται, ἵνα ἐνδίκως παρὰ παίδων παι-
ζόντων παιχθήσωνται φρονοῦντες ἀσυνετώτερα. εἰ γὰρ ἐπὶ τῶν
εἰρημένων οὔτε γίνεσθαι οὔτε ὁρᾶσθαι πέφυκεν οὔτε μὴν λέγεσθαι
χώραν ἕξει, πόσῳ μᾶλλον ἐπὶ τῆς ἀπορρήτου καὶ θείας φύσεως ἢ
ἐπὶ τῆς ἀφράστου καὶ ἀνερμηνεύτου Χριστοῦ οἰκονομίας ταῦτα
λέγειν ἢ ἐννοεῖν ἀδύνατα καὶ ἀνεπιχείρητα! οὐδὲ γὰρ σαρκούμενος
ἢ πάσχων ὑπὲρ ἡμῶν τῷ σώματι τοῦτο πέπονθεν, ἐπεὶ οὕτω γε
καὶ εἰ ἄνθρωπος τῶν καθ' ἡμᾶς εἰκονίζοιτο σώματι, ἀνάγκη καὶ C
τὴν ψυχὴν συνεικονίζεσθαι, ἢ πάντως τεθνήξεσθαι χωριζομένων·
τί γὰρ ἕτερον θάνατος ἢ χωρισμὸς ψυχῆς καὶ σώματος; ὅθεν ἐν
τούτοις φαίνονται προδήλως οὐδὲν ἧττον ἀσεβοῦντες ἢ ἀμαθαί-
νοντες· οὐ γὰρ ἴσασιν ὅσον γραπτοῦ καὶ περιγραπτοῦ τοῦ τε γρά-
φειν καὶ περιγράφειν τὸ ἰδιάζον καὶ διηλλαγμένον, καὶ διὰ τοῦτο
φενακιζόμενοι ματαιολογοῦσι. ποῦ δὲ ὅλως σῶμα ἄγραφον ἢ
ἀπερίγραφον ἐκ τοῦ παντὸς αἰῶνος ἤκουσται; ἢ πῶς ὁ τοῦ σώμα-
τος ὅρος καὶ λόγος σωθήσεται, εἰ μὴ ταῦτα ἔχοι; ὁ τοίνυν μὴ
δοξάζων γράφεσθαι ἢ περιγράφεσθαι τὸν Χριστὸν σώματι, ἢ ὅ τι D
ἐστι σῶμα οὐκ ἔγνω, ἐξ οὗ μηδὲ δόξαν ὀρθὴν κέκτηται, ἢ γνοὺς
σῶμα καὶ ψυχὴν σώζεσθαι παραιτεῖται. ὁ γοῦν ὁμολογῶν σῶμα
τὸν Χριστὸν ἀνειληφέναι ὁποῖον τὸ ἡμέτερον, τοῦτο δὲ γραπτὸν

4 ἕξειν P   6 γὰρ add C   7 τούτων τι C   8 τῶν] τὸ P   ἀνάγκη om C   10 καὶ] ἀπὸ C   19 παρήτηται C, παραπαίει margo P

nonnullis ratio considerabitur, ut a pueris illusoribus iis merito illudatur, qui maiore cunctis stultitia dementiaque insaniant. si enim nec in iis quae dicta sunt vel fieri vel videri comparatum est, at neque dici locum habet, quanto magis in arcana divinaque natura, sive in Christi nullis verbis explicabili interpretabilique dispensatione, impossibilia haec dictu aut cogitatu ac inconcessa? nam neque carnem sumenti aut nostri gratia corpore morienti id ei evenit. alioqui ea ratione, cum et ipsi corpore pingimur, una quoque animam pingi necesse esset, aut eorum prorsus divortio mori. quid namque aliud mors quam animae corporisque divortium ac seiunctio? quamobrem manifestum est in istis non magis eos impietati litare quam deliros ac insulsos esse. non enim norunt quantum intersit inter pictum et circumscriptum, quamque diversa haec suis quaeque rationibus existant. quamobrem hacce hallucinatione vana loquuntur. ubi vero prorsus corpus ab omni aevo, quod non pingatur aut circumscribatur, auditum est? aut quomodo corporis definitio constabit atque ratio, nisi haec habuerit? qui ergo non existimat pingi Christum corpore aut circumscribi, aut nescit corpus esse, ex quo ipsum nec recte sentire liquet; vel qui corpus animamque incolumem sciat, recusat dicere. qui itaque Christum dicit assumpsisse corpus quale nostrum est ac humanum, cum humanum corpus pingi queat

καὶ περιγραπτόν, ἐξ ἀνάγκης καὶ τὸ τοῦ Χριστοῦ σῶμα γραπτὸν καὶ περιγραπτὸν εἶναι συνομολογήσειεν. εἰ δὲ τὸ δεύτερον οὐ δώσει, οὐδὲ τὸ πρῶτον ἄρα, ὃ πάντῃ ἄλογον καὶ καταγέλαστον. (27) οὐ περιγράφομεν οὖν ἡμεῖς, ἀλλὰ γράφομεν. κενολογοῦσι δὲ οἱ ἄθλιοι καὶ ἄλλο ἀτοπώτερον· ὃν γὰρ φασὶν ἀπερίγραπτον,
P 510 οὐκ οἶδ' ὅπως ὑπ' εὐηθείας συμπεριγράφεσθαι τῇ εἰκόνι τερατεύονται. εἰ δὲ δὴ μὴ χρῆναι τὸν Χριστὸν εἰκονίζεσθαι πάλιν κενολογήσουσιν, ἡ τῶν διδασκάλων αὐτῶν Χάρυβδις αὐτοὺς μεγάλως περικέχηνε, Μάνεντος Οὐαλεντίνου τε καὶ Μαρκίωνος. δοκήσει γὰρ καὶ φαντασίᾳ τὸν θεῖον λόγον σεσαρκῶσθαι δοξάζοντες οὐδὲν ἧττον τῇ προτέρᾳ τοῦ ψεύδους βλασφημίᾳ περιπαρήσονται, οἵ γε πρὸς πᾶσαν τὴν οἰκονομίαν παραταττόμενοι δυσσεβῶς οὐ κατερυθριῶσιν. καὶ ταῦτα τίνες; οἱ κατήγοροι τῶν ἐπαινου-
B μένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, τὰ ἀχάριστα κτίσματα κατὰ τὴν θεολόγον φωνήν.

ΒΑΣΙΛΕΙΑ
ΜΙΧΑΗΛ ΤΟΥ ΤΡΑΥΛΟΥ.

Τῷ ‚ςτις' ἀπὸ τοῦ κόσμου, ἀπὸ δὲ τῆς ἐνσάρκου οἰκονομίας ωις', ἐβασίλευσε Μιχαὴλ ὁ τραυλὸς ὁ Ἀμοραῖος, ἔτη η' μῆνας θ', καὶ

1 ἐξ ἀνάγκης add C   καὶ τὸ τοῦ Χριστοῦ σῶμα] κἀκεῖνο C   3 δίδωσιν P   4 κενολ. δὲ] καὶ κενολ. C   8 καινολογήσωσιν C   αὐτοῖς μεγάλα C   10 σεσωματῶσθαι C   13 οὐ add C   15 θεολόγου P   γλῶσσαν C   18 Τῷ — ωις'] μετὰ δὲ Λέοντα C   19 ὁ τραυλὸς om C

ac circumscribi, etiam corpus Christi istiusmodi pariter fateatur necesse sit. quodsi alterum non admittit, ergo nec primum; quod a ratione prorsus abhorret, estque ridiculum. (27) non ergo nos circumscribimus sed pingimus. sed et aliud miseri absurdius inaniter iactant ac effutiunt. quem enim incircumscriptum dicunt, qua fatuitate nescio, una cum imagine circumscribi comminiscuntur. quodsi Christum pictis coloribus repraesentare non convenit inania rursus loquentibus, maiorem in modum magistrorum suorum Charybdis os diduxit, Manetis Valentini ac Marcionis. qui enim nuda aestimatione spectroque verbum divinum incarnatum esse sentiant, prima nihilo minus mendacii blasphemia transigentur, dum adversus omnem dispensationem, instructa iis acie, impie stare non verentur. hi vero quinam? qui scilicet iis quae laudem habent calumniam inferunt, in luce tenebrosi sunt, circa sapientiam imperiti, ingratae creaturae, iuxta quod eos theologus vocat.

MICHAELIS BALBI
IMPERIUM.

Anno mundi 6316, a Christi vero in carne dispensatione 816, imperavit Michael Balbus, Amorio ortus, annos octo, menses novem; mor-

ἀπέθανεν ἐκ δυσουρίας καὶ τῆς τῶν νέφρων σφοδροτάτης ἀλγηδό- B
νος· ὃς μικρόν τι τῆς προκατασχούσης κακίας ὑπενδούς, ὅσον
τοὺς ἐν εἱρκταῖς καὶ πόνοις καὶ ἐξορίαις ἐλευθερίαν τε καὶ ἄνεσιν
ὀνειρώδη φαντάζεσθαι, τὸ τοῦ προηγησαμένου δυσωνύμου καὶ
δυσσεβοῦς ὑπέθαλπε θεοστυγὲς φρόνημα, καὶ ὁμοίως τῷ αὐτῷ
περιεπάρη τῆς δεινῆς αἱρέσεως ἀγκίστρῳ ἐξ ἀκροτάτης ἀλογίας καὶ
ἀπαιδευσίας. ὅθεν ἐπὶ σελεντίου ἔφη "οἱ μὲν πρὸ ἡμῶν ἐρευνη-
σάμενοι τῶν δογμάτων τὴν ἀκρίβειαν τὸν περὶ αὐτῶν εἰσπραχθή-
σονται λόγον, εἰ καλῶς ἢ κακῶς ἐθέσπισαν· ἡμεῖς δὲ ἐν ᾧ εὕρο- C
μεν τὴν ἐκκλησίαν βαδίζουσαν, ἐν τούτῳ καὶ διαμένειν προκρί-
νομεν."

2. Ἦν δὲ αὐτῷ παῖς ἐξ Εὐφροσύνης ὀνόματι Θεόφιλος, ὃν καὶ ἔστεψεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. ἐθέσπισε δὲ ὡς μὴ ἔχειν τινὰ ἐπ' ἀδείας κινεῖν λόγον περὶ εἰκόνων, ἀλλ' ἐκποδὼν γενέσθω καὶ οἰχέσθω καὶ ἡ Κωνσταντίνου σύνοδος καὶ ἡ Ταρασίου καὶ ἡ νῦν ἐπὶ Λέοντος γενομένη περὶ τῶν τοιούτων ζητημάτων, καὶ σιγὴ βαθεῖα τῆς τῶν εἰκόνων μνήμης γενέσθω.

1 ἀλγηδόνος τε καὶ ἀρρωστίας C 2 προκατεχούσης C 4 προηγησαμένου] πρῴην C 5 αὐτῷ — 7 ἀπαιδευσίας] αὐτῷ ἀμφιβλήστρῳ περιπαρεὶς τῆς δεινῆς αἱρέσεως ἰχθύος δίκην τοῖς τῶν δογμάτων σαθροῖς καὶ ἀσεβέσιν ἐναπέθανεν ἐξ ἀκροτάτης ἀβελτηρίας τε καὶ ἀλογίας. ἀμύητος γὰρ σφόδρα καὶ ἀπαίδευτος ἐτύγχανεν· ἀμάθειαν γὰρ ἐκ πατρῴας ἀλογίας καὶ ἀπειροκαλίας ὡσπερεὶ ἀνὴρ οὐσίαν κληρωσάμενος C 7 ἐπὶ λαοῦ δημηγορήσας φησὶν C 8 τῶν ἐκκλησιαστικῶν δογμάτων, αὐτοὶ καὶ τὸν C 10 τὴν ἐκκλησίαν εὕρομεν C διαφυλάττειν C 12 ἦν δὲ — 15 οἴχεσθαι] τοῦτο δὲ ἐπακριβοῦντες διαβεβαιοῦμεν ὡς μὴ θαρρεῖν τινὰ κατ' εἰκόνων ἢ ὑπὲρ εἰκόνων παρρησίαν κινεῖν τὴν γλῶτταν, ἀλλ' ἐκποδὼν ἔστω καὶ οἰχέσθω C 16 κροτηθεῖσα C

tusque est urinae difficultate laborans renumque vehementissimo dolore excruciatus. is cum parum aliquid superioris malitiam temporis leniisset, hactenus solum ut qui carcere detenti essent, qui laboribus subacti, qui exsilio relegati, libertatem mitiorisque aliquid tractationis velut in somnis animo cogitarent, cum decessoris, ominosi hominis atque impii, exosam deo sententiam subocculte foveret, parique ac ille ratione dirae haereseos unco ex summa rationis absentia ac imperitia transfixus esset. quamobrem habito conventu ait "sane ii qui nos praecessere, accuratam scrutati dogmatum sententiam, de illis quoque rationem reddituri sunt, num bene an male statuerint. nos autem, in quo ecclesiam incedentem accepimus, in eo et manere satius ducimus."

2. Erat Balbo filius Theophilus nomine, ex Euphrosyna susceptus, quem et imperiali corona in magna donavit ecclesia. sanxit autem nulli liberum esse de imaginibus sermonem movere, sed ut facesserent ac de medio fierent tum Constantini synodus tum Tarasii, ac quam nudiustertius de istiusmodi quaestionibus Leo habuisset; altoque silentio imaginum memoriam damnavit.

P 511 3. Ἐφ' οὗ Θωμᾶς ὁ ἀντάρτης ἐκ τῶν ἀνατολικῶν μερῶν ἀπάρας ἤδη, καὶ λαὸν ἀγυρτώδη καὶ ἐπίμικτον προσυλλεξάμενος καὶ ἐπισυρόμενος, ἐπὶ τὸ Βυζάντιον ἐκίνησεν, τῆς βασιλείας παρ' ἀξίαν ἐφιέμενος· ἐκ γὰρ τῆς Ῥωμαίων γῆς ὁρμώμενος, δυσγενής τε καὶ ἀφανὴς ὤν, πρὸς τὰ μέρη τῆς Συρίας ἀφίκετο, Κωνσταντῖνον ἑαυτὸν μετονομάσας καὶ υἱὸν Εἰρήνης τῆς βασιλίσσης. κἀντεῦθέν γέ τοι πολλοὺς τῶν βαρβάρων καὶ Χριστιανῶν ἀπατήσας, καὶ λαὸν ἄπειρον ἐκ διαφόρων ἐθνῶν συναθροίσας ἐπὶ τὴν B Κωνσταντινούπολιν ἐπῄει ἐν ὄχλῳ βαρεῖ καὶ στόλῳ μεγάλῳ, καθάπερ τι θηρίον ἀλλόκοτον καὶ πολύμορφον ποικίλον τε καὶ πολυκέφαλον τὰ πολυειδῆ γένη τῶν ἐθνῶν ἀθροίσας καὶ οἷά τις ἄλλος Σεναχηρεὶμ κατὰ τῆς νέας Ἱερουσαλὴμ καθοπλισάμενος, ἐμεγαλαύχει τῶν ἑπομένων τῷ πλήθει καὶ κατηλαζονεύετο, μὴ πάμπαν, ὡς ἔοικε, νοήσας ὅτι οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, καὶ ψευδὴς ἵππος εἰς σωτηρίαν καὶ κύριος διασκεδάζει βουλὰς ἐθνῶν, καὶ τὰ ἑξῆς. εἰ γὰρ καὶ τὰ μάλιστα ἡ πόλις οὐκ εἶχεν Ἐζεκίαν, εὐσεβῆ φημὶ C καὶ ἐνάρετον βασιλέα, ἀλλ' οὐ παρεῖδεν ὁ τοῦ παντὸς πρύτανις

1 ἐκ add C 2 συλλεξάμενος P 3 παρ'] πανούργως καὶ παρ' C 5 ὢν om C 7 γέ τοι add C 8 ἐπῄει τῇ Κωνσταντινουπόλει C 11 συναθροίσας καὶ ἀνειλημμένος καὶ C 14 νοήσας κατὰ πολλὴν ἀβελτηρίαν ὡς οὐ C 15 καὶ om C 16 καὶ κύριος] ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. κύριος C καὶ τὰ ἑξῆς] ἀθετεῖ δὲ λογισμοὺς λαῶν καὶ ἀθετεῖ βουλὰς ἀρχόντων· ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει C 17 ἔσχεν C φημὶ om C 18 ἀλλ' οὐ παρεῖδεν] ἀλλ' οὔ τί που διὰ τὴν τοῦ κρατοῦντος ἐκ πολλῆς ἀγνωσίας καὶ ἀπροσεξίας πεφενακισμένην καὶ διεφθαρμένην γνώμην τε καὶ πίστιν περιεῖδεν C

3. Eo imperatore Thomas in tyrannidem versus, ab Orientalibus iam ac Asiaticis profectus partibus, circumforaneaeque ac commixtae plebis confecto exercitu, turbamque trahens, imperii cupiditate actus, ad quod nulla eius suppeterent merita, Byzantium petit. Romano quippe propagatus sanguine, vir alioqui degener ac obscurus, ad Syriae partes adiens, Constantini sibi nomen adsciscit ac Irenes Augustae filii; qua arte ac fraude plurimis barbarorum ac Christianorum seductis, conflatoque ex diversis gentibus infinitae multitudinis exercitu, Cpolim invadit in turba gravi classeque numerosa, haud secus ac immanis quaedam multiformis varia ac multiceps bestia, diversi generis confertis nationibus, ac velut alius quidam Sennacherim adversus novam Ierusalem armis instructus, magnifice gloriabatur turba illi comite ac superbiebat, homo fastu plenus; nec illi prorsus, ut videtur, in mentem venit quod ita dictum per prophetam est (Ps. 32 16), "non salvatur rex per multam virtutem, nec gigas salvabitur in multitudine fortitudinis suae." et "fallax equus ad salutem." et "dominus dissipat consilia gentium," et quae sequuntur. quanquam enim etiam maxime urbs Ezechiam minime habebat, pium scilicet regem ac virtute praeditum, non tamen despexit

καὶ φιλάνθρωπος κύριος πολιορκουμένην τὴν πόλιν αὐτοῦ καὶ τὸν λαὸν αὐτοῦ, ἀλλ' ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων ἔφη καὶ τότε "νῦν ἀναστήσομαι καὶ ὑπερασπιῶ τῆς πόλεώς μου καὶ τοῦ λαοῦ," οὐ δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου, ὥσπερ τότε καὶ νῦν φησίν, ἀλλὰ δι' ἐμὲ καὶ διὰ τὸν ἐκ σπέρματος Δαβὶδ φύντα υἱόν μου καὶ διὰ τὴν νέαν Ἱερουσαλήμ, ἣν ἐξελεξάμην. (4) καὶ γὰρ ἐπὶ τοῦ δυσσεβοῦς Ἀχαάβ, τοῦ Σύρου πολλὰς μυριάδας κατ' αὐτοῦ συνειληχότος καὶ βρενθυομένου καὶ λέγοντος "εἰ ἐκποιήσει Σαμαρία παντὶ τῷ D λαῷ τοῖς πεζοῖς μου," διέλυσε ῥαδίως εὐθὺς τοῦ τρισαθλίου βασιλέως ὁ φιλοικτίρμων θεὸς τὸ ὄνειδος, "ἰδοὺ" λέγων, "ἐγὼ δίδωμι αὐτὸν εἰς τὰς χεῖράς σου, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος." ὅπερ καὶ γέγονεν, καὶ δὴ παραυτίκα δέδειχε καὶ τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις τὴν ἰδίαν ἰσχὺν καὶ τὸν Δαβὶδ ἀληθεύοντα "κύριος κραταιὸς καὶ δυνατός, κύριος δυνατὸς ἐν πολέμῳ·" τῆς γὰρ συμπλοκῆς γενομένης δυοκαίδεκα τῶν ἀντιπάλων μυριάδας ὁ Ἰσραὴλ κατηκόντισεν. ἵνα δὲ κἀκεῖνοι καὶ οὗτοι μάθωσιν ὡς θεήλατος P 512 ἡ πληγή, τῶν διαπεφευγότων εἴς τινα πόλιν καταπεσὸν τὸ τεῖχος κατέχωσε χιλιάδας εἰκοσιεπτά.

1 πολιορκούμενον C, omissis τὴν πόλιν αὐτοῦ καὶ   3 τότε που πάντως νῦν C   4 ὑπὲρ τῆς πόλεως ταύτης οὐ C   5 ὥσπερ — φησίν] καθὼς εἴρηκε τηνικαῦτα πρὸ τῆς ἐνσάρκου οἰκονομίας C   6 διὰ ante τὸν om P   8 συνειλοχότος?   9 παντὶ] ταῖς δραξὶ παντὶ C   11 τὸ δέος, φάσκων ἰδοὺ ἐγὼ C   12 γνώσεις P   13 δέδοιχε τοὺς οἰκείους καὶ τοὺς ἀλλοτρίους P   14 τὸν ἱεροψάλτην C   16 γεγενημένης C

huiusce rerum universitatis moderator clementissimusque dominus urbem suam ac plebem obsidione cinctam; sed propter miseriam inopum et gemitum pauperum (Ps. 11 6), tunc quoque dixit (4 Reg. 20 6) "nunc exsurgam, et protegam civitatem meam et populum meum," non propter me et servum meum David, quemadmodum tunc, nunc quoque ait; sed propter me, et qui natus est ex semine David, filium meum, et propter Ierusalem novam, quam elegi. (4) etenim impio Achaab rerum potiente, cum Syrus multas adversus eum conflasset myriadas, ac superbiens diceret "si sufficiet Samaria omni populo peditibus meis (3 Reg. 21 10)," confestim misericors deus ter quaterque miserabilis regis probrum facile dissolvit, dicens "ecce ego trado eum in manus tuas, et scies quia ego dominus (3 Reg. 21 13);" quod et factum est. statim namque formidabiles habuit necessarios pariter et alienos, suum ipsius robur ac vires; veracemque davidem ostendit, cum ait (Ps. 23 8) "dominus fortis et potens, dominus potens in praelio." conserto enim praelio centum viginti milia Israel profligavit. atque ut noverint utrique pariter deo ultore illatam plagam, eorum qui fugerant quadam in urbe corruens murus viginti septem milia ruinis oppressit.

5. *Ταύτην τοίνυν τὴν ἀλαζονείαν τοῦ Σύρου καὶ τοῦ Ἀσσυρίου χρησάμενος καὶ ὁ ματαιόφρων Θωμᾶς τὴν Κωνσταντινούπολιν, μᾶλλον δὲ Θεούπολιν, ἐφ' ἕνα χρόνον ἐπόρθει, τῶν πολιτῶν ἀνδρείως παραταττομένων καὶ τειχομαχούντων καὶ ναυμαχούντων· τὰς γὰρ πλείστας αὐτῶν ναῦς ἐπυρπόλησαν, καὶ τοὺς λογάδας τῶν πολεμίων αὐτῶν ἐτροπώσαντο. ὁ δὲ ἀμηχανίᾳ ληφθείς, τὴν πόλιν ἀφεὶς ἐπὶ τὴν Θρᾴκην ἐχώρει, ταύτην ληϊζόμενος. λαφυραγωγήσας οὖν αὐτὴν μετρίως, ἀλλ' οὐχ ὡς ἤλπιζεν, ἀλλ'*
B *ὡς ἡ θεία πρόνοια παρεχώρει διὰ τὰς ἁμαρτίας ἡμῶν, οὐδὲν πλέον ἤνυσεν ὧν προσεδόκησεν. καὶ γοῦν οὐ μόνον εἰς ἐναντίωσιν αὐτῷ παρέστη καὶ περιετράπη καὶ ἀπέβη τὸ σπούδασμα, ἀλλά γε καὶ ὅπερ ἔχειν ἐδόκει καὶ κατεφαντάζετο κλέος τε καὶ σθένος, ἀπεγυμνώθη μικροῦ δεῖν καὶ διόλωλεν·* (6) *οἱ γὰρ πολῖται, ὡς εἴρηται, γενναίως τε καὶ σφοδρῶς ἀντιπαραταξάμενοι τῇ ῥοπῇ καὶ συμμαχίᾳ τοῦ κρείττονος, καὶ μετὰ τοιαύτης ἐλπίδος τειχο-*
C *μαχοῦντες καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες ἀνδρικῶς καὶ καρτερῶς, ἅπαν σχεδὸν τὸ σαθρὸν αὐτοῦ φρύαγμα κατέλυσαν. τὰ γὰρ ὀχυρώματα ἐφ' ὧν πεποιθὼς ἀνοήτως ἄγαν ἐναβρύνετο καὶ κατεθρασύνετο, τὰς ναῦς αὐτοῦ λέγω, πυρπολήσαντες, καὶ τοὺς*

1 *Ταύτην* — 9 *παρεχώρει*] *τὴν τοίνυν βαρβαρικὴν ὀφρὺν καὶ ἀλαζονείαν τοῦ τε Ἀσσυρίου καὶ τοῦ Σύρου χρησάμενος καὶ Θωμᾶς ὁ ματαιόφρων, καὶ τὴν Κωνστ.* — *χρόνον ἐκπορθήσας, καὶ τὴν Θρᾴκην δῃώσας καὶ λαφυραγωγήσας μετρίως καὶ οὐχ ὡς ὀνειροπολῶν ἀπεκαραδόκει, ἀλλ'* — *συνεχώρει* C 11 *τε καὶ ἀπέβη τὸ σπουδαζόμενον* C 12 *ὃ* C *τε* add C 13 *ὡς εἴρηται* om C 14 *ἀντιπαραταττόμενοι* C 16 *καὶ πεζομαχοῦντες* om C *καρτερικῶς* P 18 *ἃ* C 19 *λέγω δὴ τὰς πλείστους ναῦς πυρπ.* C

5. Hoc itaque arrogantis animi fastu Syri illius et Assyrii demens quoque Thomas abusus, Cpolim (veriusque Theopolim ac dei urbem) annum unum expugnabat, cum cives strenue aciem opponerent, eque muris atque navibus pugnarent, hostiumque plerasque naves incenderent. quamobrem consilii inops Thomas, dimissa urbe, in Thraciam, eius praedas acturus, concessit. eam itaque ad certum modum populatus, non quantum ipse speraverat sed quantum providentia divina ob scelera nostra sinebat, nihil amplius effecit eorum quae animo destinata fore exspectabat. ac sane non solum in contrarium illi cessit versumque est atque evasit studium, sed et ea quam habere videbatur sibique ipse blandiebatur, claritate roboreque denudatus est: prope enim est ut perdidisse dicam. (6) cives namque, uti dictum est, fortiter valideque opposita acie, divino numine ac auxilio eiusceque generis spe, e muris, terra ac mari collatis signis, forti robore laborisque constantia, omnem fere eius putridam iactantiam ac superbiam elicere. munitionibus enim, quibus confisus stulte admodum superbiebat ac praeferociebat, eius inquam navibus ac classe igne succensis, hostiumque ac tribunorum lectis-

λογάδας τῶν πολεμίων καὶ στρατοπεδάρχας τροπωσάμενοι, σκοτοδινία πολλὴ καὶ ἀμηχανία περιέσχε τὸν εὐρίπιστον καὶ κουφότατον Θωμᾶν. ναὶ μὴν καὶ τὰς πολυμηχάνους αὐτοῦ καὶ πολυτρόπους ἑλεπόλεις πάσας, ἀκαταμαχήτους οὔσας, ὡς ᾤετο, καὶ δυσαλώτους, διέφθειραν καὶ κατέλυσαν εὐπετῶς ἄρδην. καὶ οὕτως ὁ μὲν οἶκος Δαβὶδ ἤγουν ἡ τοῦ Χριστοῦ πόλις ἐπορεύετο καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶκος Σαοὺλ, τῶν πολεμίων τὸ στῖφος, ἐπορεύετο καὶ ἠσθένει τῷ ὄντι, καὶ θεὸς ἐδοξάζετο. καὶ ἦν ἰδεῖν D ἐναργῶς ὄντως ἐπ' αὐτῷ πληρούμενον τὸ θάτερον λόγιον ἱερόν, "καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν" καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. ἔνθεν τοι καὶ οἱ τῆς πόλεως ἔψαλλον "οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις" καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ. (7) ὁ δὲ θεῖος λόγος παρεγγυώμενος καὶ προευαγγελιζόμενος αὐτοῖς εὖ μάλα τὴν ἀθρόαν καὶ ταχίστην κατάπτωσιν τοῦ ἐχθροῦ αὐτῶν ἀπεκρίνατο μόνον οὐχὶ λέγων "θαρσεῖτε, τέκνα, καὶ βοήσατε πρὸς τὸν θεόν· ἔσται γὰρ ὑμῖν ὑπὸ τοῦ ἐπαγαγόντος μνεία. ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ ἐπάξει ὑμῖν τὴν αἰώνιον P 513 εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν."

1 στρατοπεδάρχων P 3 Θωμᾶν om C ναὶ μὴν] καὶ μὴν καὶ ἀλλὰ P πολυμ. καὶ πολυτρόπως ἐξευρημένας ἑλεπόλεις αὐτοῦ C 6 ἤγουν ἡ τοῦ] ἤτοι C 7 ἐκραταιοῦτο — ἠσθένει] τὰ ηὐσθένει P 9 τὸ ἱερὸν λόγιον P 11 καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ] διήρπαζον πάντες et reliqua psalmi 88 42—44, nisi quod v. 43 τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν. C τοι καὶ] οὖν C 12 καὶ τὰ — ψαλμοῦ] ἡμεῖς δὲ ἐν — ἀνωρθώθημεν, e ps. 19 8 et 9, C 13 λόγος αὖθις παρεγγ. C 15 λέγων θαρσεῖτε] λέγων· τέκνα, μακροθυμήσατε τὴν παρὰ τοῦ θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν. κατεδίωξε γάρ σε ὁ ἐχθρός σου, καὶ ὄψῃ αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβήσῃ. θαρσεῖτε C 16 ἐπάγοντος P

simis fusis fugatisque, ingenti vertigine consiliique inopia ac anxietate instabilis ac Euripo similis levissimusque Thomae animus tenebatur. quin et subtilissimae artis multiplicesque eius omnes machinas, ipsas inexpugnabiles, ut quidem existimabat, expugnatuque difficiles, facile admodum ac expedite inutiles reddiderunt ac everterunt. atque in eum modum domus quidem David (dei scilicet civitas) ibat ac revera convalescebat, domus autem Saul, hostium caterva, ibat et infirma erat, deusque glorificabatur. ac plane videre erat clare in eo implere divinum oraculum, "destruxisti omnes sepes eius, posuisti firmamentum eius formidinem," ac quae Psalmus reliqua habet. unde et oppidani psallebant "hi in curribus et hi in equis" et quae reliqua sunt. (7) divinus autem sermo ipse sponsor, ac quam repentinam citissimamque ipsorum hostis ruinam eis praenuntians, respondit, tantum non dicens "confidite, filii, et clamate ad deum. erit enim nobis ab eo memoria qui ultor existat. qui enim nobis invexit mala, is ipse cum salute sempiternam vobis adducit laetitiam."

8. Ἐπεὶ οὖν ἀποκαμὼν ὁ τάλας καὶ πεπλανημένος ἀνοήτως πολεμῶν καὶ ματαιοπονῶν, καὶ μάλα δὴ ἀπογνοὺς ὡς τοῦ σκοποῦ διαμαρτήσας ἐκ διαμέτρου, καὶ τῶν πραγμάτων αὐτῷ κατόπιν προδήλως φερομένων ἡμέρᾳ καὶ ἡμέρᾳ· καὶ πρὸς τούτοις μαθὼν ὡς ὁ βασιλεὺς Μιχαὴλ τοὺς Βουλγάρους εἰς συμμαχίαν κατ' αὐτοῦ προσεκαλέσατο, παραχρῆμα τὴν πόλιν ἐάσας κατ' αὐτῶν θᾶττον ᾤχετο. οὓς δὴ καὶ μαχεσάμενος καὶ πολλοὺς αὐτῶν διαφθείρας εἰς Ἀρκαδιούπολιν ἑαυτὸν ἀσφαλίζεται δῆθεν, κατὰ B τὴν πρόβασιν αὐτοῦ ἀσθένειαν καὶ ἐλάττωσιν ὑφορώμενος. ὅθεν οἱ περὶ αὐτὸν αἰσθόμενοι σαφέστερον τήν τε δεινὴν οἰκείαν ἀπάτην καὶ τῆς κενῆς ἐλπίδος ἀποτυχίαν καὶ τὴν ἐκείνου πλησιάζουσαν πανωλεθρίαν, ἤρξαντο κατὰ μικρὸν ὑποχωρεῖν καὶ ὑπορρέειν καὶ καταλιμπάνειν αὐτὸν ὡς μάταιον καὶ λαοπλάνον. (9) ὁ δέ γε Μιχαὴλ ταῦτα μεμαθηκὼς ὑπὸ τῶν ἰδίων φίλων καὶ συγγενῶν προδοθέντα, αὐτίκα τῆς πόλεως ὑπεξελθὼν μετὰ πλείστης δυνάμεως πρὸς αὐτὸν ἐξώρμησε. καὶ δὴ περικαθίσας βραχύν τινα καιρὸν καὶ τοῦτον ἀμογητὶ χειρωσάμενος, καὶ τὸν τράχηλον αὐτοῦ C κατὰ τὴν ἀρχαίαν συνήθειαν πεπατηκώς, καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας καὶ οὕτως ἀνασκολοπίσας, κατέπαυσε τὸν ἐν τρισὶν ἔτεσι δι' αὐτὸν κατάρξαντα καὶ διαρκέσαντα χαλεπὸν καὶ δύστηνον ἐμφύλιον πόλεμον.

1 ἀνόητα C 3 αὐτῷ] αὐτῶν αὐτῷ P 8 τὴν κατὰ πρόσβασιν ἀσθένειαν αὐτοῦ C 14 ὑπὸ — προδοθέντα om C 20 αὐτοῦ C 21 δύσοιστον C

8. Quandoquidem igitur fatiscens scelestus homo atque miser, seductusque mentis suae rationibus, insulse pugnans inanique conatu laborans ac spe defectus, quippe ex diametro frustratus proposito, ipsisque manifeste rebus illi retro quotidie provenientibus; ac praeterea ubi cognovit Michaelem imperatorem adversa sibi corrogasse Bulgarorum auxilia, confestim relicta urbe in eos impetum vertit, quos et pugna aggressus, multaque eorum data strage, Arcadiopolim tuto se praesidio recipit, nimirum suas processu vires diminutum iri imbecillioresque fore timens. quare etiam partiarii clarius cognoscentes tum immanem suam exsecrationem tum inanem frustratam spem, nec procul esse supremum viri exitium ac profligationem, coeperunt paulatim recedere seque subducere ac defluere, illumque ut hominem vanum et blateronem populi seductorem relinquere. (9) his porro Michael cognitis, nempe proditum Thomam ab amicis ac propinquis, statim urbe egressus cum ingentibus copiis in eum impetum dedit; atque ad breve obsidens tempus, nulloque labore eius potitus, ac collo antiquo more dediticiis calcato manibusque ac pedibus truncatis, inque eum modum palo affigens, trium annorum molestum miserumque civile bellum, arrepti ab eo imperii causa conflatum productumque, sopivit.

Ἀσχολουμένου δὲ Μιχαὴλ πρὸς τὸν ἀντάρτην Θωμᾶν, καὶ τῇ πρὸς τοῦτον φροντίδι παντὸς ἄλλου καταφρονοῦντος, Κρήτη καὶ Σικελία καὶ δὴ καλούμεναι Κυκλάδες νῆσοι τῆς τῶν Ῥωμαίων ἀρχῆς περιῃρέθησαν ἐξ Ἄφρων τε καὶ Ἀράβων, λαβόντων ἀρχὴν ἄρτι πρῶτον διὰ τὰς τοῦ λαοῦ ἁμαρτίας καὶ τὴν τῶν κρατούντων δυσσέβειαν καὶ ταπεινοῦν καὶ ὑπὸ χεῖρα σφῶν ἄγειν τὰ τῶν Χριστιανῶν πράγματα.

10. *Ἐν τούτοις οὖν ὄντων καὶ οὕτω τῶν πραγμάτων δια-* D
κειμένων Μιχαὴλ μὲν ἐκ δυσουρίας καὶ τῆς τῶν νεφρῶν ἀλγηδόνος κακῶς ἀπηλλάγη τοῦ ζῆν, διεδέξατο δὲ τὴν ἀρχὴν ἀντ' αὐτοῦ Θεόφιλος ὁ υἱὸς αὐτοῦ μετὰ τῆς μητρὸς αὐτοῦ Εὐφροσύνης.

ΒΑΣΙΛΕΙΑ ΘΕΟΦΙΛΟΥ.

Τῷ ἐνιαυτῷ ἀπὸ τοῦ κόσμου ἑξάκις χιλιοστῷ τριακοσιοστῷ εἰκοστῷ ἕκτῳ, τῆς δὲ θείας σαρκώσεως ωκϛ', ἐβασίλευσεν Θεόφιλος P 514
ἔτη ιβ', ὁ νέος Βαλτάσαρ καὶ παραβάτης καὶ θεομισὴς καὶ τῶν ἁγίων εἰκόνων ὑβριστὴς καὶ καθαιρέτης καὶ βέβηλος. ἡ δὲ μήτηρ

1 *Ἀσχολουμένου* — 11 *Εὐφροσύνης* om C 3 *δὴ*] *δὴ αἱ?* 15 *Τῷ* — 17 *ὁ νέος*] *μετὰ δὲ Μιχαὴλ ἐβασίλευσε Θεόφιλος υἱὸς αὐτοῦ ὁ νέος* C 17 *καὶ παραβάτης* om C 18 *εἰκόνων* om C *βέβηλος ἔτη ιβ' μῆνας γ', καὶ ἀπέθανε δυσεντερικῶς* C, omissis *ἡ δὲ* — p. 791 19 *αἰκιζόμενος.*

Interim vero dum Thomae tyranno Michael incumbit eique curam negotio addicit, aliis omnibus in neglecto habitis, Creta et Sicilia, ac quas vocant Cyclades insulas, ab Afris ac Arabibus Romanae subductae sunt dicioni, cum iam primum ob peccata populi ac imperatorum impietatem Christianorum res deprimere suaeque eas facere dicionis occepissent.

10. Sic igitur eoque statu se rebus habentibus, Michael urinae difficultate renumque dolore male exstinguitur: succedit vero imperio, eius loco, Theophilus filius cum matre Euphrosyna.

IMPERIUM THEOPHILI.

Anno mundi 6326, divinae incarnationis 826, imperator Theophilus annos duodecim, novus ille Baltasar et praevaricator ac deo exosus, sanctarumque imaginum contumeliosus destructor ac profligator, homo profanus. eius mater Euphrosyna in subiecta omnia mittens themata ac

αὐτοῦ Εὐφροσύνη ἀποστείλασα ἐν πᾶσι τοῖς θέμασιν ἤγαγε κόρας εὐπροσώπους πρὸς τὸ νυμφοστολῆσαι Θεόφιλον τὸν υἱὸν αὐτῆς. ἀγαγοῦσα δὲ πάσας ταύτας ἐν τῷ παλατίῳ εἰς τὸ λεγόμενον Μαργαρίτου τρικλίνιον δέδωκε τῷ Θεοφίλῳ χρυσοῦν μῆλον, εἰποῦσα "εἰς ἣν ἀρεσθῇς, ἐπίδος τοῦτο αὐτῇ." ἦν δέ τις ἐξ εὐγενῶν ἐν
B αὐταῖς κόρη, ὀνόματι Εἰκασία, ὡραιοτάτη πάνυ· ἣν ἰδὼν Θεόφιλος καὶ ὑπεραγασθεὶς αὐτὴν τοῦ κάλλους ἔφη ὡς ἄρα διὰ γυναικὸς ἐρρύη τὰ φαῦλα. ἡ δὲ μετ' αἰδοῦς πως ἀντέφησεν "ἀλλὰ καὶ διὰ γυναικὸς πηγάζει τὰ κρείττονα." ὁ δὲ τῷ λόγῳ τὴν καρδίαν πληγεὶς ταύτην μὲν εἴασεν, Θεοδώρᾳ δὲ τὸ μῆλον ἐπέδωκεν, οὔσῃ ἐκ Παφλαγόνων. στέφει Θεοδώραν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου, στεφθεὶς καὶ αὐτὸς ἅμα αὐτῇ ὑπὸ Ἀντωνίου πατριάρχου καὶ τῷ τοῦ γάμου καὶ τῷ τῆς βασιλείας στέφει, τῇ ἁγίᾳ πεντηκοστῇ. κἀκεῖθεν προῆλθεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, φιλοτιμησάμενος πολλοῖς τὸν πατριάρχην ἅμα τῷ κλήρῳ καὶ τῆς
C συγκλήτου. ἡ δὲ Εἰκασία τῆς βασιλείας ἀποτυχοῦσα μονὴν κατεσκεύασεν, εἰς ἣν καὶ ἀποκειραμένη, ἀσκοῦσα καὶ φιλοσοφοῦσα, τῷ θεῷ μόνῳ ζῶσα διετέλεσε μέχρι τέλους ζωῆς αὐτῆς. ἣ καὶ συγγράμματα αὐτῆς πλεῖστα καταλέλοιπεν, τὸ "κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις" καὶ τοῦ μεγάλου σαββάτου τὸ τετρῴδιον "ἄφρων γηραλέε" καὶ ἄλλα τινά. ἡ δὲ τοῦ βασιλέως μήτηρ Εὐφροσύνη ἑκουσίως κατελθοῦσα τοῦ παλατίου ἐν τῇ μονῇ αὐτῆς, ᾗ ἐπώνυμον τὰ Γάστρια, ἡσύχασεν.

15 τῇ συγκλήτῳ? an τοῖς τῆς συγκλήτου? 23 ᾗ om P

dicionis loca puellas oris decore formosas adduxit, ut ex iis Theophilo filio nuptiarum foedere sponsa adiungeretur. congregatis illis omnibus in palatio, quod Margaritae triclinium vocant, dedit illa filio malum aureum, dicens "illi trades cuius forma placuerit." erat vero inter eas ex nobilibus sata puella nomine Icasia, longe formosissima. qua visa Theophilus, eiusque nimium quantum gratiam stupens ac speciem, "a muliere" inquit "emanarunt mala." reponit illa subverecunde et cum pudore "sed et res meliores a muliere exuberant." is animo offensus sermonis licentia, ea relicta, malum Theodorae dedit, ex Paphlagonum gente. coronat Theophilus Theodoram in oratorio S. Stephani, ipse una cum ipsa nuptialibus corollis donatus ab Antonio patriarcha, donatque Augustali corona in sancta pentecoste. tumque in magnam ecclesiam processu habito multis magnifice patriarcham et clerum senatumque accipit. Icasia vero imperii spe frustrata monasterium exstruxit, in quo etiam coma posita, religiosaque palaestra merens ac philosophans, deo soli vivens in finem usque vitae perseveravit. quae et ingenii sui plurima reliquit monumenta, in quibus illud est "domine, in multis peccatis;" magni item sabbati tetraodium illud "insipiens vetule," aliaque nonnulla. imperatoris vero mater Euphrosyna, sponte relicta aula, in suo monasterio, cui Gastriae nomen, sanctiori ritu privatam vitam egit.

2. Ἐποίησε δὲ ἱππικὸν Θεόφιλος, καὶ προσέταξε τῷ Χαμαιδράκοντι [D] Λέοντι τῷ πρωτοβεστιαρίῳ αὐτοῦ ἀγαγεῖν τὸ πολυκάνδηλον τὸ ἐν τῇ σφαγῇ τοῦ Ἀρμενίου Λέοντος ξίφει διακοπέν. τοῦ ἱππικοῦ δὲ τελεσθέντος προσεκαλέσατο πᾶσαν τὴν σύγκλητον ἐν τῷ λεγομένῳ Καθίσματι, καὶ τὸ πολυκάνδηλον ἐξαγαγὼν καὶ ὑποδείξας αὐτοῖς ἔφη "ὁ εἰς ναὸν κυρίου εἰσερχόμενος καὶ χριστὸν κυρίου φονεύων τίνος ἐστὶν ἄξιος;" ἡ δὲ σύγκλητος ἀποκριθεῖσα ἔφη "ἄξιος θανάτου ἐστίν, ὦ δέσποτα." καὶ εὐθὺς ἐκέλευσε τοὺς σὺν τῷ πατρὶ αὐτοῦ Μιχαὴλ τὸν Λέοντα ἀνελόντας τὸν ὕπαρχον κατασχεῖν καὶ τὰς κεφαλὰς αὐτῶν ἐν τῇ σφενδόνῃ ἀποτεμεῖν, πολλὰ προβαλλομένους καὶ λέγοντας ἄδικον εἶναι τὴν κρίσιν· [P 515] καὶ γὰρ εἰ μὴ τῷ πατρί σου συνηγωνισάμεθα, ὦ βασιλεῦ, οὐκ ἂν αὐτὸς ἦρξας. καὶ δὴ οὕτως ἐπ' ὄψεσι πάντων τὰς κεφαλὰς ἀπετμήθησαν, προσχήματι μὲν ὡς εἰς ναὸν κυρίου τετολμηκότων ποιήσασθαι τὴν ἀναίρεσιν, τῇ ἀληθείᾳ δὲ ὡς τὸν συναιρεσιώτην αὐτοῦ καὶ ὁμόφρονα εἰς ἀσέβειαν ἀποκτείναντες. εἴχετο γὰρ ὁ ἀλιτήριος τῆς ἐκείνου θεοστυγοῦς αἱρέσεως, καὶ τῆς εὐσεβείας ἀπείχετο, τῶν δὲ εἰκόνων τὰς μὲν κατασπῶν τὰς δὲ ἀνορύττων, καὶ τοὺς ἐπ' εὐλαβείᾳ μοναχοὺς ἐξορίζων καὶ αἰκιζόμενος.

3. Ἐφ' οὗ καὶ πρὸς τὴν πατρίδα καὶ πόλιν αὐτοῦ τοῦ [B] ἀλιτηρίου καὶ τυράννου μετὰ πολλῆς δυνάμεως οἱ Σαρακηνοὶ πα-

18 δὲ εἰκ.] τε εἰκ.? 21 αὐτοῦ om C 22 οἱ add C

2. Indictis Circensibus Theophilus iubet Leoni Chamaedraconi protovestiario suo, multifidum ut candelabrum afferat, quod in Leonis Armenii caede fuerat gladio conscissum. actis Circensibus senatum omnem ad se convocat in locum quem Sessum vocant. productoque candelabro ac illis ostenso, quaerit "qui in templum domini ingressus Christum domini peremit, qua dignus poena est?" respondit senatus "domine, reus mortis est." moxque praefecto iubet ut eos, qui cum Michaele patre suo Leonem sustulerant, tentos in Circi funda capite plectat, multa licet obiectantes, dicentes iniustam esse sententiam. "non enim" aiebant, "imperator, nisi patri tuo essemus auxiliati, tu in throno sedisses." inque eum modum sub omnium oculis capite plexi sunt, eo quidem praetextu quod in templo domini ausi essent caedem patrare, re vera autem iccirco quia haeretica pravitate sodalem, parique ad impietatem sensu, nece sustulissent. adhaerebat enim scelestus homo deo exsecrabili illius haeresi et a pietate abhorrebat; qui nimirum imaginum alias evelleret alias effoderet, monachosque pietate claros exsilio multaret ac verberibus aliisque cruciatibus dehonestaret.

3. Illo imperatore, in scelestissimi eius tyrannique patriam urbem irruptione facta, Saraceni cum ingentibus copiis, inventa illa fortiter

ραγενόμενοι, καρτερῶς ὠχυρωμένην εὑρόντες καὶ κατησφαλισμένην πάνυ καὶ ὑπὸ στρατηγῶν πεντήκοντα φρουρουμένην μετὰ τῶν λογάδων καὶ τῶν στρατευμάτων αὐτῶν, καὶ ταύτην δι' ἡμερῶν ιε' Αὐγούστῳ μηνὶ ἐκπορθήσαντες καὶ δορυάλωτον εἰληφότες ᾐχμαλώτευσαν καὶ ἀπέκτειναν λαὸν ἄπειρον. ἀλλὰ μὴν καὶ πλήθη πλοίων αὐτῶν ἐξελθόντα τὰς Κυκλάδας νήσους ἠρήμωσαν καὶ τὴν
C *Κρήτην καὶ τὴν Σικελίαν παρέλαβον. καὶ ψῦχος πολὺ γέγονε, καὶ χειμὼν ἀγριώτατος καὶ δριμύτατος, καὶ λιμὸς ἰσχυρός, καὶ ἀέρος αὐχμοὶ καὶ δυσκρασίαι καὶ ἀνωμαλίαι, καὶ σεισμοὶ φοβεροὶ καὶ ἐπάλληλοι, τὴν ἄμετρον ἀπελέγχουσαι τοῦ κρατοῦντος μοχθηρίαν καὶ κακουργίαν. εἰς τοσαύτην γὰρ ἀφιλοθεΐαν καὶ ἀπόνοιαν ἐξώκειλεν ὁ ἄθεος, ὡς καὶ τὴν τοῦ κοπρωνύμου καὶ τῶν θηριωνύμων χαλεπὴν καὶ μυσαρωτάτην αἵρεσιν διαδεξάμενος καὶ ἀνακαινίσας, ὡς μηδὲν ἧττον ὀφθῆναι τῆς ἐκείνων δυσσεβείας καὶ παροινίας τυραννίδος τε καὶ ἐμβροντησίας ὁ πεφενακισμένος καὶ*
D *ματαιόφρων. ἐπεὶ οὖν τῇ αὐτῇ συσχεθεὶς τῶν ἀσεβῶν ἐκείνων καὶ παλαμναίων ἀπάτῃ καὶ παραπληξίᾳ τε καὶ οἰστρηλασίᾳ, τῶν ἐκ Μανιχαϊκῆς μανίας καὶ Ἀρειανικῆς λύσσης ὡρμημένων, πάλιν διωγμὸν καὶ αὐτὸς κατὰ τῆς ἐκκλησίας ὡσαύτως ἐπανετείνετο.*

1 *καρτερικῶς* P 2 *πεντήκοντα*] *η'* C 4 *τοῦ αὐγούστου μηνὸς* C *ᾐχμαλωτίσθη καὶ ἀνῃρέθη Χριστιανῶν πλῆθος ἄπειρον, καὶ ἡ πόλις ἐκαύθη καὶ κατηρειπώθη* C 5 *ἀλλὰ* — 6 *Κυκλάδας*] *ἑαυτῶν ἐξελθόντες τὰς Κυκλάδων* P 8 *ἀγριώτατον καὶ δριμύτατον* C, omissis *καὶ χειμὼν* 12 *ὁ ἄθεος ὡς* om C *καὶ θηριωνύμου* P 13 *καὶ ἀναδεξάμενός τε* C 14 *ἥττων* margo P *ἐκείνου* P 18 *ὁρμωμένων πάλαι* C

munita ac valde propugnaculis tuta, bellique ducum ac tribunorum quinquaginta praesidio fulta, cum lectae militiae viris horumque ordinibus, dies quindecim obsessa mense Augusto ac expugnata vique subacta ac captivata infinitae multitudinis militares viros plebemque occidere. navibus egressi Cyclades insulas devastavere, Cretamque ac Siciliam suae dicionis fecere. fuit et ingens frigus, hiemsque saevissima ac asperrima, famesque valida; aeris quoque lenitates et aestus ac intemperies et inaequalitates, tremendi item terrae motus ac pene continui; quae omnia in immensum provectam imperatoris pravitatem et nequitiam redarguendo essent. eo enim vir impius impietatis proiectaeque dementiae delapsus est, ut et Copronymi et Leonis (sic quasi ex bestia ducto nomine) gravem impurissimamque exceperit haeresim ac instauraverit; ut nihil illius impietati ac bacchationi tyrannidique ac stupori seductus homo dementisque animi cedere visus sit. quandoquidem enim eodem ipso impiorum illorum scelestissimorumque errore et stupore oestroque tenebatur, ex Manichaico ortum furore Arianicaque rabie, persecutionem ipse quoque pari ratione in ecclesiam intendit.

4. *Τούτῳ τῷ μισοθέῳ μᾶλλον εἰπεῖν ἢ Θεοφίλῳ προσέφυγε Θεόφοβος ὁ Πέρσης ἅμα τῷ πατρὶ αὐτοῦ, μετὰ Περσῶν χιλιάδες δεκατέσσαρες, οὓς διένειμεν ἐν τοῖς θέμασι κατασκηνώσας καὶ εἰς τούρμας ἀποκαταστήσας, αἳ μέχρι τοῦ νῦν λέγονται τοῦρμαι Περσῶν· αὐτὸν δὲ τὸν Θεόφοβον εἰς ἀδελφὴν Θεοδώρας* P 516 *Αὐγούστης γαμβρὸν ἐποιήσατο.*

5. *Φιλόκοσμος δὲ ὢν ὁ αὐτὸς Θεόφιλος κατεσκεύασε διὰ τοῦ ἄρχοντος τοῦ Χρυσοχόου λογιωτάτου πάνυ ὄντος καὶ συγγενοῦς Ἀντωνίου πατριάρχου τό τε Πενταπύργιον καὶ τὰ δύο μέγιστα ὄργανα ὁλόχρυσα, διαφόροις λίθοις καὶ ἑλίοις καλλύνας αὐτά, δένδρον δὲ χρυσοῦν, ἐν ᾧ στρουθοὶ ἐφεζόμενοι διὰ μηχανῆς τινὸς μουσικῶς ἐκελάδουν. ἐκαινούργησε δὲ καὶ τὰς βασιλικὰς στολὰς ὁ βασιλεύς, ἀνανεώσας καὶ χρυσοϋφάντους κατασκευάσας τοὺς* B *λεγομένους λώρους καὶ τὰ λοιπὰ πάντα.*

6. *Δικαιοσύνην τε κοσμικὴν προσποιούμενος ὁ τὴν πίστιν καὶ τὴν εὐσέβειαν πλέον ὑπὲρ τοὺς πρώην βασιλεύσαντας ἀδικήσας, προσελθούσης αὐτῷ γυναικὸς χήρας ἐν Βλαχέρναις (ἔθος γὰρ ἦν αὐτῷ ἐκεῖσε ἀπέρχεσθαι) καὶ βοησάσης ὡς ἀδικοῖτο παρὰ τοῦ τῆς Αὐγούστης ἀδελφοῦ Πετρωνᾶ δρουγγαρίου τῆς βίγλης ὄντος· "ὑψοῖ γὰρ τὰ ἑαυτοῦ οἰκήματα τοῖς κτίσμασιν οἷς καινουργεῖ, καὶ τὰ ἐμὰ σκοτίζει καὶ εἰς τὸ μηδὲν εἶναι ποιεῖ, ἅτε χήρας οὔσης*

1 *Τούτῳ* — p. 799 17 *ἐπιφοιτήσεις* om C

4. Huic (Misotheum potius dicam, dei osorem, quam quod contrarium sonat, Theophilum) Theophobus Persa una cum patre profugus accessit, cum quattuordecim Persarum milibus. susceptos ille distribuit, sedesque per themata provincialibus adlegens assignavit ac ordinibus contribuit; hactenusque nomen retinent, ac Persarum turmae audiunt. ipsum vero Theophobum, data uxoris sorore in coniugem, sibi affinem fecit.

5. Cum ornatus elegantiaeque amans esset idem Theophilus, per aurificinae principem, virum summe eruditum atque solertem Antoniique patriarchae propinquum, Pentapyrgium quod vocant fabricatus est, duoque maxima organa auro solida, diversis capillis tortisque ornata. auream item arborem, in qua insidentes aviculae ex quadam machina musice cantillabant. sed et imperiales vestes et paludamenta instauravit imperator, renovans auroque texta fabricans quae vocant Lora ac reliqua omnia.

6. Iustitiam, quae saeculi usu est, praetexens, vir scilicet qui fidem ac pietatem supra eos qui pridem imperium tenuerant maiori iniuria laeserit, accedente ad eum muliere vidua in Blachernis, (moris enim illi erat eo proficisci) ac clamante iniuria se affici a Petrona Augustae fratre, excubiarum drungario: "exaltat enim aedes suas novis aedificiis, quae molitur, meisque tenebras obducit, ut iam mihi inutiles

καταπεφρονημένης." καὶ παρευθὺ ἀπέστειλεν Εὐστάθιον κυαίστορα ἐπίκλην Μοναχόν, ἐν τῇ Ὀζείᾳ οἰκοῦντα, σὺν Λέοντι τῷ
C Συμβατίῳ καὶ Δημητρίῳ τῷ Καμουλιανῷ, ἰδεῖν εἰ τὴν γυναῖκα ἀδικεῖ τὸ καινουργηθὲν οἴκημα· οἳ καὶ ἀπελθόντες, καὶ θεασάμενοι τὴν τοιαύτην ἀδικίαν, καὶ βεβαιωθέντες ὡς ἀληθῆ εἰσὶ τὰ παρὰ τῆς γυναικὸς ῥηθέντα, ὑποστρέψαντες ἀνήγγειλαν τῷ βασιλεῖ. καὶ ἐπ' ὄψεσι τοῦ βασιλέως ἐλεγχθεὶς παρ' αὐτῶν ὁ αὐτὸς Πετρωνᾶς, ἐκδυθεὶς ἐν τῷ μέσῳ τῆς ὁδοῦ τύπτεται τὰ νῶτα σφοδρῶς. ὡρίσθη δὲ ὅ τε κυαίστωρ καὶ οἱ ἀντιγραφεῖς ἀπελθεῖν καὶ ἐκ θεμελίων ἐκδαφίσαι τὰ τοιαῦτα οἰκοδομήματα καὶ τῇ γυναικὶ παραδοῦναι.

D 7. Οὗτος Ἀλέξιον τὸν Ἀρμένιον, ᾧ ἐπίκλην Μωσηλέ, ἀνδρεῖον ὄντα καὶ ῥωμαλέον εἰσεποιήσατο γαμβρὸν εἰς Μαρίαν τὴν ἠγαπημένην αὐτῷ θυγατέρα, ποιήσας αὐτὸν πατρίκιον, μετ' ὀλίγον δὲ καὶ μάγιστρον. εἶτα ὑπολήψεις τινὰς ἐπ' αὐτῷ σχὼν ὡς ὀρεγομένῳ τῆς βασιλείας, στρατηλάτην καὶ δοῦκαν τῆς Σικελίας ἐξέπεμψεν. οἷα δὲ φθόνου ὠδίνοντος, Σικελοί τινες ἀνελθόντες διέβαλλον τοῦτον βασιλεῖ ὡς τὰ μὲν τῶν Χριστιανῶν Σαρακηνοῖς προδίδωσι, κατὰ δὲ τῆς βασιλείας σου μελετᾷ. ἐν δὲ τῷ μεταξὺ τεθνηκυίας Μαρίας τῆς πεποθημένης τῷ βασιλεῖ θυγατρός, τὴν
P 517 μὲν λάρνακα ταύτης ἐξ ἀργύρου ἐκόσμησε, καὶ τόμον ἐλευθερίας τοῖς προσφεύγουσιν ἐπ' ἐγκλήματί τινι τέθεικεν· ὅνπερ ἄργυρον μετὰ ταῦτα Λέων ὁ βασιλεὺς ἀνείλετο ἐκ τοῦ τάφου. (8) ὁ δὲ

faciat, quippe quae contempta vidua sim." actutumque Eustathium quaestorem cognomento Monachum, in Osia degentem, cum Leone Symbatio et Demetrio Camuliano mittit inspecturos num nova aedificia viduae aedibus praeter ius fasque officerent. abeuntes itaque, visaque istiusmodi iniuria, compertoque vera esse quae a muliere dicta erant atque obiecta, cum reversi essent, imperatori renuntiarunt; convictusque ab eis Petronas in oculis imperatoris, detractis vestibus, acriter dorso caeditur. statutum vero est ut quaestor receptoresque particulares seu custodes, abeuntes, solo tenus eiuscemodi aedes eruerent et mulieri traderent.

7. Alexium Armenium cognomento Musele, virum forti robore ac strenuum, locata ei Maria praedilecta filia in generum ascitum, patricium creavit ac brevi post etiam magistrum. postmodum vero, quod in suspicionem venerat affectati imperii, et quasi in ipsum aliquid moliretur, magistrum militiae ducemque Siciliae praefectum a se amandavit. qualia vero parit invidia? Siculi quidam ascendentes apud imperatorem calumniam instruunt, quasi res Christianorum Saracenis prodat et adversus imperatorem res novas moliatur. inter haec vivis exempta Maria desideratissima Theophili filia, eius urnam argento exornavit, tomumque libertatis posuit ac immunitatis, qui ad eam quovis crimine confugerent. argentum postea Leo imperator e sepulcro abstulit. (8) porro Theo-

Θεόφιλος Θεόδωρον τὸν ἐπίσκοπον τὸν λεγόμενον Κρίθινον ἐν τῷ καιρῷ τῆς διαβολῆς Ἀλεξίου ἐν τῇ πόλει τυχόντα προσκαλεσάμενος, καὶ δοὺς τὸ ἴδιον φυλακτόν, ἀπέστειλεν εἰς Σικελίαν δοῦναι λόγον ἀπαθείας τῷ Ἀλεξίῳ καὶ ἀγαγεῖν ἐν τῇ πόλει πρὸς αὐτόν. ὁ δὲ ἀπελθὼν καὶ τῇ προσούσῃ αὐτῷ συνέσει πείσας Ἀλέξιον ἤγαγε πρὸς τὸν βασιλέα. ὃν ὁ βασιλεὺς ὡς ἀντάρτην τύψας ἔθετο ἐν τῷ δεσμω- B *τηρίῳ, δημεύσας πᾶσαν τὴν περιουσίαν .... ἀνέθηκεν Ἀλεξίῳ εἰπὼν ὅτι δι' ἐμοῦ πάντα πέπονθας τὰ δεινά. καὶ τοῦ βασιλέως κατὰ τὸ ἔθος εἰς Βλαχέρνας ἀπελθόντος προλαβὼν ἔστη ἔνδοθεν τοῦ θυσιαστηρίου ὁ ἀρχιεπίσκοπος, ἱερατικὴν στολὴν ἠμφιεσμένος· καὶ τοῦ βασιλέως τῇ σωλέᾳ πλησιάσαντος ἅμα τῇ συγκλήτῳ φωνῇ μεγάλῃ ἐφώνησεν ὁ ἀρχιεπίσκοπος "ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν τίνος, ὦ βασιλεῦ;" αἰδεσθεὶς οὖν ὁ βασιλεὺς τῇ συγκλήτῳ ἔφη "ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης."* C *ὁ δὲ "καὶ ποία δικαιοσύνη ἐν σοί, ὅτι δοὺς ὑπόγραφον λόγον Ἀλεξίῳ δι' ἐμοῦ οὐκ ἐφύλαξας τοῦτο;" ὁ δὲ βασιλεὺς ὡς ἐλεγχθεὶς τοῦτον τοῦ θυσιαστηρίου βιαίως ἐξήγαγεν, καὶ πληγὰς αὐτῷ οὐ μετρίας ἐπιθεὶς ἐξώρισεν, οὐ διὰ τὸ ἐλεγχθῆναι ὑπ' αὐτοῦ μόνον, ἀλλὰ καὶ διὰ τὸ μαθεῖν αὐτὸν τὰς ἁγίας εἰκόνας τιμᾶν καὶ σέβεσθαι καὶ τὴν αὐτοῦ δυσσέβειαν διαβάλλειν. μετ' οὐ πολὺ δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ παραγινομένου, καὶ τοῦ πατριάρχου αὐτὸν ὀνειδίσαντος, αὐτὸν τὸν ἀρχιεπίσκοπον ἤγαγε μετὰ παρακλήσεως. τοῦ* D

philus Theodorum episcopum, Crithinum dictum, tum in urbe versantem cum Alexius calumnia appetitus est, accersens, traditaque cruce pectorali, in Siciliam misit, qui iuratam immunitatis fidem Alexio praeberet et ad imperatorem in urbem reduceret. profectus ille, ac qua praeditus erat prudentia ingeniique sagacitate persuaso Alexio, dictoque ei audiente, ipsum ad imperatorem adduxit. imperator mox reversum, quasi molitum tyrannidem ac rebellem, verberibus affectum vinctumque, omni eius publicata substantia, in carcerem compegit. tum Theodorus Alexio "in causa sum quod dira haec omnia patiaris." profectoque ex more ad Blachernas imperatore, iter ipse occupans, intra sacri tribunalis locum stola sacerdotali indutus stetit, iamque prope imperatore ad soleam stipante senatu accedente exclamavit magna voce archiepiscopus (Ps. 44 5) "intende, prospere procede et regna; quorsum, imperator?" ille senatum reveritus "propter veritatem" inquit "et mansuetudinem et iustitiam." cui Theodorus "ecquaenam vero tua iustitia, qui cum Alexio iuratam fidem per me dederis, nihil tamen servaveris?" imperator reprehensionem non ferens, eaque ira accensus, ipsum violenter e sacro altaris loco expulit, nec mediocribus plagis impositis exsilio relegavit; nec ea duntaxat ratione quod ab eo reprehensus esset, sed quod etiam colere eum ac venerari sacras imagines eiusque impietatem traducere inaudierat. haud multo post vero, cum imperator in magnam ecclesiam venisset ac patriarcha rem ei probro obiecisset, archiepiscopum facti

δὲ ἀνάξιον ἑαυτὸν τῆς ἱερωσύνης κρίναντος δι᾽ ἃ πέπονθεν, ὁ βασιλεὺς οἰκονόμον τῆς μεγάλης ἐκκλησίας πεποίηκεν. καὶ Ἀλέξιον τοῦ δεσμωτηρίου ἐξέβαλεν, ἀποδοὺς αὐτῷ καὶ πᾶσαν τὴν περιουσίαν αὐτοῦ, ἔχων αὐτὸν ἐν τιμῇ.

9. Ἦν δὲ καὶ Μανουὴλ ὀνομαστότατος στρατηλάτης πάντων τῶν ἐν τῇ ἀνατολῇ, τιμώμενος παρὰ τοῦ βασιλέως. οὗτος Μύρωνι συμβαλὼν λόγους τινάς, λογοθέτῃ τε ὄντι τοῦ δρόμου καὶ πενθερῷ τοῦ Πετρωνᾶ, διεβλήθη τῷ βασιλεῖ ὑπὸ Βασιλείου
P 518 ὑποβολῇ Μύρωνος ὡς τῆς βασιλείας ὀρέγεται, καὶ ἐμελετᾶτο δεινὰ κατ᾽ αὐτοῦ. Λέων δὲ ὁ πρωτοβεστιάριος ὑπὲρ τοῦ Μανουὴλ προϊστάμενος καὶ φροντίζων διεβεβαιοῦτο τῷ βασιλεῖ ὡς ψευδῆ εἰσὶ τὰ κατ᾽ αὐτοῦ λεγόμενα. ἃ μαθὼν Μανουήλ, καὶ τὴν ὀργὴν τοῦ βασιλέως καὶ διαβολὰς ἐκκλίνων, λάθρα τῆς πόλεως ἐξελθὼν μέχρι Πυλῶν καὶ τοῖς δημοσίοις ὀχήμασιν ἐπιβὰς ἀπῆλθε φυγὰς μέχρι τῶν κλεισούρων Συρίας, τὰς τῶν ἵππων ἰγνύας ἐκκόπτων. ἐδήλωσέ τε τοῖς Ἀγαρηνοῖς ταῦτα, ὡς βασιλέως ὀργὴν ἐκφεύγω,
B καὶ εἴ γε μὴ καταναγκάσητέ με τὴν ἐμαυτοῦ πίστιν καταλιπεῖν, προσφεύγω ὑμῖν. εἰ οὕτω καὶ ἐπὶ τούτοις προσδέχεσθέ με, λόγον ἀπαθείας μοι ἀποστείλατε. οἱ δὲ τοῦτο μεγάλῃ χαρᾷ δεξάμενοι, λόγον ἀπαθείας ἀποστείλαντες, προσεδέξαντο ὡς βασιλέα Ῥωμαίων. (10) τοῦτο μαθὼν ὁ βασιλεὺς ἐν πολλῇ θλίψει καὶ ἀθυμίᾳ γέγονεν, καὶ βουλὴν ἐποιεῖτο μετὰ Ἰωάννου συγκέλλου περὶ τούτου. ὁ δὲ εἶπεν "εἰ προθύμως βούλει τὸν Μανουὴλ προσελ-

veniam petens reduxit. cumque is indignum se sacerdotio iudicaret ob ea quae passus erat, imperator oeconomum fecit magnae ecclesiae, Alexium quoque e carcere eiecit. restituta ei omni ablata substantia, virum in pretio habens.

9. Erat vero etiam Manuel fama clarissimus inter omnes Asiaticos tribunos ac belli duces, quem carum imperator haberet. is consertis nonnullis sermonibus cum Myrone cursus publici logotheta et Petronae socero, imperatori a Basilio delatus eiusdem Myronis suggestione, velut qui imperium affectaret atque in eum mala moliretur. Leo vero protovestiarius, Manuelis defensione suscepta deque eo sollicitus, imperatori affirmabat falsa esse quae de illo dicerentur. quibus Manuel cognitis, iramque imperatoris ac calumnias declinans, clam urbe egressus usque ad Pylas, publicisque curribus invectus, ad Syriae usque clusuras excisis equorum poplitibus profugit. significavitque haec Agarenis, fugere se imperatoris iram, ac si suam fidem non cogant deserere, ad ipsos profugere. itaque si ita hisque me condicionibus suscipitis, fidem mihi immunitatis mittite. illi vero rem laeti suscipientes, missa securitatis fide, haud aliter ac imperatorem Romanum ipsum reciperent. (10) quo cognito imperator ingenti maerore mentisque angustia concidit, habitoque cum Ioanne syncello ea de re consilio ait ille "si vere ex animo

θεῖν, ὦ βασιλεῦ, αὐτὸς ἐγὼ ἕτοιμος τοῦτο ποιῆσαι, χρήματα λαβὼν καὶ πρὸς τὸν ἀμερουμνῆν σταλεὶς ὡς δῆθεν τοὺς ἐν εἱρκτῇ καὶ δεσμοῖς ἐπισκεψόμενος, ἔχων καὶ ἐνυπόγραφον λόγον παρὰ τῆς σῆς βασιλείας, ᾧ πείσω τὸν Μανουὴλ εἰς ὄψιν ἐλθεῖν. δοκῶ δὲ τοῦτο πρᾶξαι τῷ ἐνυπογράφῳ λόγῳ τῆς βασιλείας σου καὶ τῇ C
ἐμῇ πειθοῖ καὶ τῇ ἐκείνου εὐσεβείᾳ καὶ τῷ εἰκὸς εἶναι τῆς πατρίδος ἐρᾶν." ὁ δὲ βασιλεὺς πάμπολλα χρήματα καὶ δῶρα πρὸς τὸν ἀμερουμνῆν δοὺς αὐτῷ ἀπέστειλεν. (11) ὁ δὲ εἰσελθὼν μετὰ πολλῶν χρημάτων καὶ κόσμου παντοίου, ὥστε καὶ τοὺς Ἀγαρηνοὺς ἐπὶ τῷ πλούτῳ αὐτοῦ ἐκπλαγῆναι, [ὃς] τὰ δεσμωτήρια ῥογεύσας καὶ τὸν πρωτοσύμβουλον θεασάμενος ἠδυνήθη καὶ λάθρα συνομιλῆσαι τῷ Μανουὴλ καὶ δοῦναι αὐτῷ τὸν ἐνυπόγραφον D
λόγον καὶ τὸ φυλακτὸν τοῦ βασιλέως. καὶ ὁ μὲν τοῦτο πράξας ὑπέστρεψεν, ἀναγγείλας τῷ βασιλεῖ ὅσα διεπράξατο· ὁ δὲ Μανουὴλ ἐξαιτήσας τὸν ἀμερουμνῆν τοῦ ἐξελθεῖν κατὰ ἔθνους τινὸς πολεμίου αὐτοῖς ἔτυχε τῆς αἰτήσεως, καὶ λαβὼν τὸν τοῦ ἀμερουμνῆ υἱὸν καὶ λαὸν πλεῖστον ἀπῆλθε καὶ νίκην μεγάλην εἰργάσατο. καὶ τούτῳ ἐν μείζονι τιμῇ ὑπὲρ τὸ πρῶτον καθίσταται, καὶ πάντα ἦν αὐτὸς παρὰ τῷ ἀμερουμνῇ δυνάμενος. (12) ὅθεν ἔχων φροντίδα πολλὴν τοῦ ἐξελθεῖν ἐν Ῥωμανίᾳ, μετὰ καιρόν τινα εἶπε πρὸς τοὺς δυνάστας τοῦ ἀμερουμνῆ ὅτι ἐάν μοι τὸν υἱὸν τοῦ P 519
ἀμερουμνῆ καὶ λαὸν παρέξετε, ἐξελθὼν ὑποτάξω τὴν Ῥωμανίαν.

Manuelem redire cupis, o imperator, mihi in parato est ut tibi id ipse praestem. ita nimirum si acceptis pecuniis a te ad amerumnem mittar, quasi invisurus eos qui in carcere ac in vinculis agunt, subscriptum tuae maiestatis diploma securitatis habens, quo Manueli suum ad te accessum suasurus sum. arbitror autem id me praestiturum, tum tuae maiestatis subscripta securitatis fide, tum mea ipsius suasione, ipsaque illius pietate, et quod par sit illum patriam amare." imperator itaque quamplurimis ad amerumnem datis pecuniis ac muneribus emisit. (11) ingressus ille cum multis pecuniis, omnisque generis ornata supellectili ac cultu, adeo ut Agareni quas conferebat opes stupore admirarentur. elargitus itaque in eos qui in carcere essent munera, ac protosymbulo coram salutato, clam etiam cum Manuele sermonem miscere potuit, eique subscriptam imperatoris securitatis fidem crucemque ipsius pectoralem contradere. quibus ille peractis reversus est, nuntians imperatori quaecunque ipsi gesta essent. porro Manuel oblata amerumne petitione, ut liceret ei adversus gentem quandam iis infensam exire, voti compos effectus est. assumptoque amerumnae filio longeque copioso exercitu, profectus, ingenti potitus victoria est; quo facinore in maiori quam prius habetur pretio; nec quicquam erat quod apud amerumnem eius gratia non posset. (12) cum itaque gravi cura teneretur ut ad Romanam dicionem se reciperet, post elapsum aliquod tempus ait ad amerumnae proceres "si mihi amerumnae filium ac copias praebueritis, expeditione suscepta Romanam vobis subiiciam dicionem." quo illi cum

οἱ δὲ τῷ ἀμερουμνῇ εἰπόντες αὐτὸν ἀπέστειλαν. ὁ δὲ ἐλθὼν πλησίον τοῦ θέματος τῆς Ἀνατολῆς, προσκαλεσάμενος τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὸν υἱὸν τοῦ ἀμερουμνῆ ὡς δῆθεν διακινήσων καὶ κυνηγήσων, πόρρωθεν τῶν πολεμίων γενόμενος, περιπλακεὶς τῷ υἱῷ τοῦ ἀμερουμνῆ καὶ καταφιλήσας αὐτὸν εἶπεν ὅτι ἐγὼ μὲν ἀπέρχομαι πρὸς τὸν βασιλέα μου καὶ τὰ ἴδια, μηδὲν τῶν ἐν τῷ βίῳ προτιμήσας πατρίδος καὶ συμφυλετῶν· σὺ δὲ μετὰ τῶν σῶν, B ὡς μηδὲν δεινὸν πείσεσθε ὑποπτεύοντες παρ' ἡμῶν, ἄπιθι πρὸς τοὺς σούς." καὶ οὗτος μὲν οὕτω μετὰ δακρύων καὶ αἰσχύνης ὑπέστρεψεν· ὁ δὲ Μανουὴλ ἐχώρει πρὸς τὸν βασιλέα, προαποστείλας αὐτῷ τὸν μηνύσοντα. (13) ὁ δὲ βασιλεὺς καὶ τὸν μηνυτὴν ὡς μεγάλων ἀγαθῶν ἄγγελον ἀποδεξάμενος χρήμασί τε καὶ ἀξιώμασιν ἐφιλοτιμήσατο, καὶ τὸν Μανουήλ, ὡς ἄξιον ἦν, ὑπεδέξατο, μάγιστρον εὐθὺς καὶ δομέστικον τῶν σχολῶν ποιησάμενος, καὶ τοὺς αὐτοῦ παῖδας ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεξάμενος.

14. Τούτοις ἐπαρθεὶς ὁ βασιλεὺς ἐξῆλθε μετὰ Μανουὴλ C καὶ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ παντὸς κατὰ τῶν Ἀγαρηνῶν, καὶ εὐπετῶς τήν τε Ζάπετρον καὶ τὸ Σαμόσατον, πλούτῳ κομῶν καὶ δυνάμει τότε διὰ τὸ τὸν ἀμερουμνῆν ἐκεῖθεν εἶναι, παραλαβὼν ἐπάνεισι τῇ νίκῃ καὶ τοῖς λαφύροις γαυρούμενος, καὶ ἐλθὼν μέχρι τοῦ Βρύαντος προσέταξεν οἰκοδομῆσαι παλάτιον καὶ παραδείσους φυτεῦσαι καὶ ὕδατα ἀγαγεῖν· ἃ καὶ γέγονεν. ἐκεῖθεν δὲ ἀφικόμενος εἰς τὴν πόλιν τὰ λάφυρα ἐθριάμβευσεν, ἱππικὸν ποιή-

amerumne communicato consilio ipsum dimiserunt. Manuel vero prope accedens ad Anatolicum thema, convocatis subditis suis ac amerumnae filio, quasi nimirum castra moturus et venaturus, cum ab hostibus iam procul factus esset, circumfusus amerumnae filio ac eum exosculatus ait "ego quidem ad meum imperatorem et ad propria abeo, quippe cui nihil in vita carius sit patria meaeque gentis hominibus. tu vero cum tuis, omnis mali a nobis securus, ad tuos abscede." ac quidem ille eum in modum cum lacrimis ac pudore reversus est: Manuel vero ad imperatorem venit, praemisso qui eius adventum annuntiaret. (13) imperator eum qui fuerat destinatus, ut qui magnorum illi bonorum nuntius esset, susceptum pecuniis ac dignitatibus liberaliter accepit. Manuelem item, uti dignum erat, suscipiens, magistrum statim ac scholarum domesticum praefecit, atque eius liberos ex sacro baptismate suscepit.

14. Eo successu elatus imperator, cum Manuele et senatu omnique exercitu adversus Saracenos profectus est; facilique negotio captis Zapetro et Samosato, quod oppidum tum divitiis ac potentia florebat, quippe amerumnae patria, victoria ac manubiis se magnifice iactans ac superbiens, reversus est. veniensque Bryantem usque, aedificari Palatium, hortosque plantari, atque aquas deduci, praecepit: quod et factum est. inde urbem petens, ac spolia triumpho traducens, exhibitisque

σας καὶ τὸ πρῶτον βάϊον παίξας, ἅρματι λευκῷ μὲν ἐποχησάμενος, χρώματι δὲ τῷ βενέτῳ ἀμφιασάμενος, καὶ νικήσας ἐστεφανώθη, D *τῶν δήμων ἐπιβοώντων "καλῶς ἦλθες, ἀσύγκριτε φακτονάρη."*

15. *Τοῦ δὲ πατριάρχου Ἀντωνίου τελευτήσαντος ἀντ' αὐτοῦ χειροτονεῖται Ἰωάννης ὁ σύγκελλος, ἵν' εἴπω ὁ νέος Ἰάννης καὶ Ζαμβρής, βεβοημένος ἐπί τε μαγείαις καὶ λεκανομαντείαις καὶ πάσῃ ἀσεβείᾳ· ὃς ὄργανον ἐπιτήδειον εὑρεθὲν τῆς τοῦ βασιλέως ἀσεβείας τε καὶ ῥοπῆς αὐτῷ πάντα πρὸς ἀπώλειαν εἰργάζετο. καὶ ὃν ὤδινε μὲν κατεῖχε δὲ βασιλίσκον τῆς ἀσεβείας ὁ βασιλεὺς ἐξέρρηξε καὶ ἀπέτεκε, τὰς ἁγίας εἰκόνας ἀναχρίεσθαι προστάξας* P 520 *ἢ ἀπαλείφεσθαι.*

16. *Οὗτος ὁ Ἰαννὴς πρὸ τοῦ ἄστεος οἴκημα ἐκ λίθων λαξευτῶν κατασκευάσας, ὃ Τροῦλος μέχρι νῦν ὀνομάζεται, διά τινων θυσιῶν ὡμίλει τοῖς δαίμοσι καὶ τῷ βασιλεῖ τὰ μέλλοντα διεσήμαινεν. ὃ δὴ καὶ ἀνοίκητον ἔμεινεν διὰ τὰς ἐν αὐτῷ γενομένας τότε τῶν δαιμόνων ἐπιφοιτήσεις.*

17. *Διὰ τοῦτο σύμμαχον τοῦτον καὶ συνίστορα ἔχων Θεόφιλος τῆς αὐτοῦ αἱρέσεως, ὁ δεύτερος Νεκτεναβῶ τὸν ῥηθέντα Ἰωάννην, μᾶλλον δὲ Ἰαννήν, τὸν πατριάρχην ἢ μανδριάρχην, τὸν νέον ὄντως Ἀπολλώνιον ἢ Βαλαάμ, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις*

18 *Διὰ* — 20 *μανδριάρχην*] *Συμμύστην καὶ σύμμαχόν τε καὶ συνίστορα ἔχων τῆς αἱρέσεως ὁ δεύτερος Νεκτεναβῶ τὸν προρηθέντα Ἰαννὴν φατριάρχην, μᾶλλον δὲ ματριάρχην καὶ δαιμονάρχην, τὸν νέον* C

Circensibus, ac ipse primo munere ludens, albis invectus equis, atque Veneto indutus colore, cum victor exisset, coronatus est, acclamantibus factionibus, bene fausteque venisti, omni maior comparatione, factionarie.

15. Antonio autem patriarcha vivis exempto, eius loco ordinatur Ioannes syncellus, ut dicam novus Iannes et Zambres, celebri homo fama, magicis artibus et divinationibus ex pelvi omnique impietate. is nimirum organum idoneum eius, quo imperator laborabat, impietatis, inque rem impetus, omnia illi ad certum interitum efficiebat. ac quem parturiebat quidem, continebat tamen impietatis regulum, imperator edidit peperitque, iubens sacras imagines oblini, seu aboleri.

16. Hic Iannes exstructa in urbis vicinia ex quadrato lapide aedicula (Trullus hodieque vocatur), sacrificiis cum daemonibus consuescens imperatori quae futura essent denuntiabat. manserunt aedes illae inhospitae ob daemonum per haec tempora in illis frequentiam.

17. Propterea adiutorem illum et conscium suae haereseos habens Theophilus, alter ille Nectanebo, eum quem dicebant Ioannem, quin immo Iannem, patriarcham illum et mandriarcham, novum vere Apollonium sive Balaam, nostris temporibus malo fato ortum, ex pelvi divi-

B κακῶς ἀναφανέντα λεκανόμαντιν καὶ πάσης θεοστυγοῦς πράξεως καὶ τερατείας δεινὸν ὑποφήτην· ὑφ' οὗ καὶ τὰ γράμματα παιδευθεὶς ὁ εὐρίπιστος καὶ δόλιος ὑπηρέτης δόκιμος ἀχθίστων πραγμάτων καὶ τοῦ διαβόλου ἐπιτήδειον ὄργανον γέγονεν. οὓς ἂν ἐνδίκως ὁ θεῖος λόγος ἐπαράσσεται σχετλιαστικῶς, φάσκων "οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ χάριν ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. οὗτοί εἰσι γογγυσταὶ καὶ μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι ἐν ταῖς ἀπάταις αὐτῶν." ἐφαρμόσειεν δ' ἂν αὐτῷ μάλα εἰκότως καὶ τὰ τοῦ ὁμοτρόπου Ἰουλιανοῦ παρὰ
C τῇ θεολόγῳ στηλιτευόμενα γλώσσῃ· σφόδρα γὰρ ἐμφερὴς ἐναπέφηνε καὶ εἰς μηδὲν ἀπεοικὼς τῆς ἐκείνου κακουργίας καὶ δυστροπίας. ἔφη γοῦν "πῶς μὴ δακρύσω τὸν ἄθλιον; πῶς μὴ πλέον τῶν δεδιωγμένων τοὺς προσδραμόντας, πλέον δὲ τῶν αὐτομολησάντων εἰς τὴν κακίαν θρηνήσω τὸν συναρπάσαντα; μᾶλλον δὲ τοῖς μὲν οὐδὲν δεινὸν τὸ ὑπὲρ Χριστοῦ παθεῖν, ἀλλὰ καὶ πάντων μακαριστότατον, οὐκ ἐκεῖθεν μόνον ἀλλὰ καὶ διὰ τὴν ἐντεῦθεν εὐδοξίαν καὶ παρρησίαν, ἣν διὰ τῶν κινδύνων ἑαυτοῖς ἐχαρίσαντο.
D τοῖς δὲ προοίμιον τῶν ἀπειλουμένων ἅπερ ἤδη πεπόνθασι· καὶ βέλτιον ἦν αὐτοῖς, εἰ ἐνταῦθα μακρότερον ἐκολάσθησαν, ἢ τοῖς

3 ὁ] καὶ ὑπονοθωθεὶς ὁ C δείλαιος C ἀχθίστων πραγμάτων add C 7 χάριν om C 8 καὶ om C 10 δ' ἂν add C 13 μὴ πλέον δ. C 16 μηδὲν P

num, omnisque deo exosae actionis praestigiarumque solertem interpretem; a quo etiam doctus literas instabilis homo ac dolosus, probatus minister idoneumque diaboli organum exstitit. quod merito divinus sermo miserabiliter deplorando fecit, dicens (Iud. 11 et 16) "vae eis, quia in via Caïn ingressi ambulabunt, et errore Balaam mercedis causa effusi sunt, et contradictione Core perierunt. isti sunt murmuratores, queruli, iuxta concupiscentias suas ambulantes in seductionibus suis." congruant illis iure optimo et quae sunt Iuliani, iisdem moribus viri, quibus eum theologica lingua liberaliter sugillat ac carpit. valde enim ei similis eluxit, nec quicquam diversum atque abhorrens ab eius malitia miraque pravitate habens. ait itaque (Orat. 3, quae 1 in Iulian. p. 67 et 74) "quomodo non infelicem lacrimis prosequar? nec eos magis qui manus dederunt seseque abduci passi sunt, quam qui persecutionem sustinuerunt? magis vero eos lugebo qui ipsi sponte ad malitiam transfugerunt, quam qui vi quadam abrepti sunt. quin immo illis quidem nihil grave ac dirum, quod Christi causa passi sunt, sed quod est omnium beatissimum. non ea solum ratione, sed et propter illam, quae inde est, claritatem ac gratiam, cuius per pericula sibi illi auctores exstiterunt. contrariis vero ea quae iam passi sunt, initia sunt eorum quae illis eventura mala intentantur; meliusque illis erat, si in hac vita diutius puniti essent, quam quod futuri aevi iustis iudiciis sunt reser-

ἐκεῖ δικαιοκριτηρίοις ἐταμιεύθησαν. καὶ γὰρ ὥσπερ τὸν χαμαιλέοντα λόγος παντοῖον γίνεσθαι ῥᾳδίως καὶ πάσας μεταβάλλειν χροιὰς πλὴν μιᾶς τῆς λευκότητος, οὕτως κἀκεῖνος πάντα ἦν καὶ ἐγίνετο Χριστιανοῖς πλὴν ἡμερότητος· καὶ ἦν λίαν ἀπάνθρωπον αὐτῷ τὸ φιλάνθρωπον, καὶ τὸ πιθανὸν βίαιον, καὶ ἀπολογία τῆς ἀγριότητος ἡ χρηστότης. ὅθεν λεκτέον πρὸς αὐτόν, εὐηθέστατε καὶ ἀπαιδευτότατε τὰ μεγάλα, σὺ κατὰ τοσούτου κλήρου καὶ τῆς οἰκουμένης ἀνέστης, σὺ κατὰ τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ θυσίας P 521
τοῖς σοῖς μιάσμασι, σὺ κατὰ τοῦ τὸν κόσμον καθαίροντος αἵματος τοῖς σοῖς μιαροῖς αἵμασιν; σὺ μετὰ Ἡρώδην διώκτης, καὶ μετὰ Ἰούδαν προδότης, πλὴν ὅσον οὐκ ἀγχόνῃ τὴν μετάνοιαν ἔδειξας ὥσπερ κἀκεῖνος, καὶ χριστοκτόνος μετὰ Πιλᾶτον, καὶ μετὰ Ἰουδαίους μισόθεος, ὁ τῶν ἁγίων ὑβριστής. Ἰεροβοάμ σε εἰπεῖν οἰκειότερον, ἢ Ἀχαὰβ τὸν Ἰσραηλίτην, τοὺς παρανομωτάτους, ἢ Φαραὼ τὸν Αἰγύπτιον, ἢ Ναβουχοδονόσορ τὸν Ἀσσύριον; ἢ πάντα ταῦτα συνελόντες ἕνα καὶ τὸν αὐτὸν ὀνομάσωμεν, ἐπεὶ καὶ τὰς πάντων κακίας φαίνεσαι εἰς σεαυτὸν συλλεξάμενος, Ἱεροβοὰμ τὴν ἀποστασίαν, Ἀχαὰβ τὴν μιαιφονίαν, Φαραὼ τὴν σκληρό- B
τητα, Ναβουχοδονόσορ τὴν ἱεροσυλίαν, πάντων ὁμοῦ τὴν ἀσέβειαν. (18) ποῦ εἰσὶν αἱ θυσίαι καὶ τελευταὶ καὶ τὰ μυστήρια; ποῦ σφάγια φανερά τε καὶ ἀφανῆ; ποῦ τεράστια προγνώσεως καὶ σημεῖα ἐγγαστριμύθων; ποῦ αἱ κατὰ Χριστιανῶν μαντεῖαι καὶ

8 ἀντέστης C   ἐκκλησίας καὶ om C   9 σοῖς add C   καθήραντος C   12 Πιλάτου P   17 εἰς ἑαυτὸν φαίνεται C   19 ἅμα P

vati. etenim quemadmodum ferunt chamaeleonem quidvis facile imitari nullosque non colores suscipere, uno duntaxat excepto candore, sic et ille omnia erat atque fiebat Christianis, excepta duntaxat mansuetudine ac clementia. unde his verbis a nobis compellandus est. hominum stultissime valdeque inscientissime, tu adversus tantam hereditatem ac terrarum orbem insurrexisti? tu adversus Christi ecclesiam et hostiam piaculis? tu adversus mundi piacularem sanguinem impuris tuis cruoribus? tu post Herodem persecutor et post Iudam proditor (unum abest quod non laqueo poenitentiam fecisti, sicut et ille) ac cum Pilato Christi occisor, cumque Iudaeis dei osor, iniurius sanctorum violator. Ieroboamne dicere convenientius an Achab Israelitem, scelestissimos hominum? Pharaonem Aegyptium an Nabuchodonosorem Assyrium? aut uno verbo cuncta haec unum eundemque appellaverimus, quando etiam omnium vitia ac noxas in templo collegisse videris, Ieroboami apostasiam, Achabi cruentam caedem, Pharaonis obdurationem, Nabuchodonosoris sacrilegium; omnium simul impietatem. (18) ubi sunt sacrificia et consecrationes et mysteria? ubi victimae, tum manifestae tum quae in tenebris atque obscurae? ubi praescientiae portenta et gastrimytharum signa? ubi adversus Christianos vaticinia et comminationes? abie-

ἀπειλαί; οἴχεται πάντα, διέψευσται, διεῤῥύη. ὄναρ ἐφάνη τῶν
ἀσεβῶν τὰ κομπάσματα. ἔπεσε Βάλ, συνετρίβη Δαγών. οὐκέτι
οὐ μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν. καὶ νῦν ταῦτα μικρὰ τοῖς ἀθλίοις
C ἴσως. ἔσται δὲ καιρὸς ἡνίκα ὄψομαι τοὺς ἐμοὺς ὑβριστὰς καὶ τὸν
μέγαν τούτων καθηγητὴν ἀποκλαιομένους τὴν ἑαυτῶν κακίαν,
ὅτε πᾶσα κρίνεται καὶ βασανίζεται κακία καὶ πονηρία."

19. Τούτων δὲ οὕτως πραττομένων παρά τε τοῦ βασι-
λέως καὶ τοῦ συμμύστου αὐτοῦ φατριάρχου, Ἄραβες μετὰ δυνά-
μεως πολλῆς κατὰ Ῥωμανίας ἐξῄεσαν, ὁ δὲ βασιλεὺς ἅμα τοῖς
πρόσφυξι Πέρσαις καὶ τοῖς τάγμασι καὶ Μανουὴλ δομεστίκῳ κατ'
αὐτῶν ἐχώρει. καὶ συμβολῆς γενομένης ἡττήθη ὁ βασιλεύς, καὶ
μέσον εἰσῆλθε τῶν Περσῶν, ὑπ' αὐτῶν περισωθῆναι ὑπολαβών.
D Μανουὴλ δὲ ὡς ἔγνω περισκοπῶν μέσον τῶν Περσῶν τὸν βασιλέα
ὄντα, αὐτοὺς δὲ βουλομένους τοῖς Ἄραψι τοῦτον προδοῦναι καὶ
δι' αὐτὸν καταλλαγῆναι αὐτοῖς, διασχίσας μέσον αὐτῶν καὶ τοῦ
χαλινοῦ τοῦ ἵππου τοῦ βασιλέως λαβόμενος ἐξήλασεν ἄκοντα τοῦ-
τον ἐξάγων, αἰσχύνην ἡγούμενος οὐ καθεκτὴν Ῥωμαίοις, εἰ τὸν
βασιλέα Ῥωμαίων Ἄραβες αἰχμάλωτον λάβωσιν. ὁ δὲ βασιλεὺς
τῷ δέει τοῦ καθεστηκότος ἐκστὰς προσρυῆναι πάλιν τοῖς Πέρσαις
ἠβούλετο. ὁ δὲ Μανουὴλ τὸ ξίφος ἀνέτεινεν ὡς πατάξων αὐτόν.
ὁ δὲ φοβηθεὶς καὶ ἄκων συνείπετο, μόλις διασωθείς. κἀκεῖθεν

1 διεῤῥύηκεν C 2 ἐπὶ βεσελεὴλ C 3 οὐ om C 5 κακίαν — πονηρία] κακίαν καὶ πονηρίαν P 6 ὅτε — κακία add C 7 Τούτων — p. 810 16 κατέθηκαν om C

runt omnia, falsa deprehensa sunt, defluxerunt. insomnium visae sunt impiorum gloriationes et iactantiae. cecidit Bel, contritus est Dagon. non iam amplius stulto dicturi sunt ut praesit imperio. et nunc parva haec miseris forte: erit autem tempus, cum mihi contumeliosos ac iniurios horumque magnum antistitem ac ducem visurus sum deplorantem suam ipsius pravitatem et malitiam."

19. Interim dum haec ita ab imperatore eiusque symmysta patriarcha geruntur, Arabibus cum ingentibus copiis in Romanam effusis dicionem, imperator una cum Persis perfugis et ordinibus ac Manuele domestico adversus eos procedit. conserta pugna victus est imperator; mediosque Persas subit, per eos praestandam sibi salutem existimans. Manuel dum circumquaque lustrans in medio Persarum imperatorem constitutum cognovit, velleque eos ipsum Arabibus prodere, eaque ratione eos sibi conciliare, perruptis iis mediis, apprehensoque equi imperatoris freno, ex eorum cuneo invitum expulit, nempe nihil ferendum Romanis dedecus existimans, si Romanorum imperator ab Arabibus captus sub iugo mitteretur. verum imperator prae timore sanis animi rationibus deiectus ad Persas rursus elabi nitebatur. in quem Manuel arrecto gladio quasi percussurus minabatur. imperator terrore actus invitusque

ὑποστρέφει ἐν τῷ Δορυλαίῳ μετ' αἰσχύνης καὶ ἥττης πολλῆς. ὁ δὲ Μανουὴλ ἐν τῷ πολέμῳ τρωθεὶς καὶ νοσήσας ἐτελεύτησε, πολλὰς ἀνδραγαθίας κατὰ τῶν Ἀγαρηνῶν ἐνστησάμενος. τὸ δὲ σῶμα αὐτοῦ ἀποκομισθὲν ἐτέθη ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τοῦ Μανουήλ, σύνεγγυς τῆς κινστέρνης Ἄσπαρος. P 522

20. Καὶ εὐθὺς διαβολαὶ κατὰ Περσῶν πρὸς τὸν βασιλέα, καὶ ἀπειλαὶ κατὰ Θεοφόβου ὡς ἀντάρτου καὶ προδότου καὶ δυσμενοῦς. ἃ μαθὼν Θεόφοβος τοὺς Πέρσας ἀναλαβὼν κατῆλθεν ἕως Σινώπης, καὶ ταύτην παραλαβὼν κατεῖχε τυραννικῶς. ὅπερ γνοὺς ὁ βασιλεὺς καὶ ἐν μεγάλῃ λύπῃ γενόμενος (ἐδεδίει γὰρ μή πως παραρρυῶσι τοῖς Ἄραψι) καὶ μέχρι Παφλαγονίας αὐτὸς ἀπήει· καὶ λόγον αὐτοῖς ὡς οὐδὲν δεινὸν πείσονται δεδωκώς, καὶ τὸν Θεόφοβον ἀναλαβόμενος, ὑπέστρεψε μεθ' ἑαυτοῦ ἐν τῇ πόλει, τῶν ἄλλων Περσῶν παραγενομένων οὗπερ κατεσκηνώθησαν ἐξ ἀρχῆς. ἠγαπᾶτο δὲ Θεόφοβος παρὰ τῶν πολιτῶν οὐχ ἧττον ἢ τῶν Περσῶν ὡς ὀρθόδοξος. B

21. Τότε δὴ γινομένῳ τῷ βασιλεῖ πρὸς Βλαχέρναις, καθὰ εἴθιστο, ὑπάντησεν αὐτῷ τις προσελθὼν καὶ λέγων ὅτι ὁ ἵππος ᾧ ἐποχεῖται ἡ βασιλεία σου ἐμός ἐστιν. τοῦ δὲ ἵππου σκιρτῶντος διὰ τὸ αἰφνιδίως προσιέναι, καὶ τοῦ βασιλέως τοῦτον κατασχόντος, τὸν κόμητα τοῦ στάβλου ἐπηρώτησεν ὁ βασιλεὺς "τίνος ἐστὶν ὁ ἵππος;" ὁ δὲ ἔφη "ὁ κόμης τοῦ Ὀψικίου ἀπέστειλεν αὐτὸν τῇ C

17 γίνεται P

secutus vix incolumi vita evasit. inde probro ingentique affectus clade Dorylaeum revertitur. Manuel ex acceptis in praelio plagis aegrotans fatis functus est, cum egregia multa belli facinora adversus Agarenos designasset. eius relatum corpus in monasterio ab ipso Manuele condito depositum est, iuxta cisternam Asparis.

20. Confestim Persis obiecta crimina apud imperatorem, minaeque intentatae adversus Theophobum tanquam rebellem ac perduellem. quibus Theophobus cognitis, assumptis Persis, Sinopem usque descendit, captamque tyranni potestate tenuit. imperator ubi rescivit, ingenti inde affectus maerore, veritus scilicet ne ii ad Arabes confluerent, in Paphlagoniam usque ipse venit; dataque eis securitatis fide assumptoque Theophobo una cum illo in urbem reversus est, Persis reliquis eo divertentibus, ubi a principio sedes illis assignatae erant. diligebatur autem Theophobus non minus a civibus quam a Persis, quippe qui esset orthodoxus.

21. Accidit per id tempus ut imperatorem ad Blachernas processum habentem quispiam obviam factus accederet, atque diceret "equus cui insidet maiestas tua, meus est." exsiliente equo, sic repentino occursu, volensque imperator ipsum detinere, quaerit ex comite stabuli cuiusnam equus esset. respondit ille "Opsicii comes misit maiestati

βασιλείᾳ σου." τούτου δὲ ἐν τῇ πόλει εὑρεθέντος, τῇ ἐπαύριον ἀγαγὼν αὐτὸν ὁ βασιλεὺς καὶ τὸν προσελθόντα αὐτῷ ἔφη "εἰπὲ τὸ ἀληθές, τίνος ἐστὶν ὁ ἵππος;" ὁ δ' ἀποκριθεὶς εἶπεν ὅτι "ἐμὸς ἦν, καὶ ἀποστείλας ὁ στρατηγὸς ἀνελάβετο αὐτὸν βιαίως ἀπ' ἐμοῦ, μήτε τίμημά μοι δοὺς μήτε ἀξίωμα." εἶπε δὲ πρὸς τὸν κόμητα ὁ βασιλεὺς "εἰπὲ εἰ οὕτως ἔχει, καὶ διὰ τί μὴ ἀποκόψας περὶ τοῦ ἵππου ἀπέστειλάς μοι αὐτόν." ὁ δὲ ἔφη ὅτι ἐπεζήτει γενέσθαι σχολάριος· ἐγὼ δὲ μὴ εἰδὼς ὅτι ἀνδρεῖός ἐστιν, παρεῖχον αὐτὸν D *νομίσματα ἑκατόν· ὁ δὲ οὐκ ἔλαβεν αὐτά." ὁ δὲ βασιλεὺς ἔφη "καὶ διὰ τί μὴ ἀποκοπὴν τελείαν μετ' αὐτοῦ ποιησάμενος ἀπέστειλάς μοι τὸν ἵππον;" καὶ ἐρευνήσαντος τοῦ βασιλέως, καὶ πληροφορηθέντος ὡς βιαίως αὐτὸν ἀφείλατο, τὸν μὲν στρατηλάτην τοῖς προσήκουσι μαγγλαβίοις ἐσωφρόνισε, τῷ δὲ προσελθόντι αὐτῷ ἀπέστρεψε τὸν ἵππον. ὁ δὲ τοῦτον οὐκ ἠβουλήθη λαβεῖν, ἔλαβε δὲ ὑπὲρ αὐτοῦ λίτρας δύο, ὁρισθέντος καὶ τοῦ στρατηγοῦ δοκιμάσαι αὐτόν, καὶ εἰ ἀνδρεῖός ἐστι, ποιῆσαι αὐτὸν σχολάριον.* P 523 *τοῦ δὲ εἰς πόλεμον ἀπελθόντος, ἐν τῇ συμβολῇ ὡς δειλὸς ἐν τοῖς φεύγουσιν εὑρεθεὶς κατεσφάγη ὑπὸ τῶν πολεμίων.*

22. *Γεγονότος δὲ τοῦ βασιλέως εἰς πρόκενσον ἐν τῷ Βρύαντι, ἦλθεν αὐτῷ μήνυμα παρὰ τοῦ στρατηγοῦ τῶν ἀνατολικῶν ὡς ὅτι ὁ πρωτοσύμβουλος ἐξελθὼν μετὰ πλήθους ἐκπορθήσων ἀπέρχεται τὸ Ἀμόριον. ὁ δὲ τὰ νενομισμένα τῷ στρατῷ καὶ*

6 *ἀπέκοψας* P

tuae." inventus ille in urbe in crastinum ad imperatorem adducitur, cum eo qui ipsum convenerat, atque imperator "verum loquere: cuiusnam equus est?" respondit ille "meus est; mittensque praetor per vim a me abstulit, neque persoluto pretio neque dignitate concessa." tum ad comitem imperator "dicito, num se ita res habeat, ac quid causae sit cur non persoluto equi pretio eum ad me miseris." respondit ille "quaerebat ut scholaris fieret; ego vero, cum mihi non liqueret an vir fortis esset, centum nummos ei tradebam, noluitque accipere." ait imperator "quidni vero re cum eo plene composita, ac soluto quod conventum esset pretio, equum ad me misisti?" habita igitur inquisitione, ac comperto equum per vim ablatum esse, militiae magister, quibus decebat verberibus atque fustibus castigatus est, equus ei qui accesserat ab imperatore redditus. noluit tamen is accipere, sed eius pretio duas libras accepit. item iussus ductor exercitus hominem probare, ut siquidem vir fortis esset, eum scholarem faceret. ille ad bellum profectus, in praelii congressione tanquam ignavus inter fugientes repertus, ab hostibus interfectus est.

22. Imperatore autem ad Bryantem processum habente venit nuntius ab Asiaticorum duce, protosymbulum cum copiis egressum et adversus Amorium impetum dirigere. imperator ad stipendia constituta militi

τοῖς ἄρχουσι ποιῆσαι συντόμως μέχρι Καππαδοκίας ἐξῆλθεν. ὁ δὲ ἀμερουμνῆς ἀποχωρίσας πεντήκοντα χιλιάδας λαοῦ, καὶ τὸν Σουδαῆ, ὀνομαστότατον ἐν τοῖς Ἀγαρηνοῖς ὄντα ἐπί τε ἀνδρίᾳ καὶ φρονήσει, δοὺς αὐτοῖς κεφαλήν, ἀπέστειλε κατὰ τοῦ βασιλέως. συμβαλόντες δὲ πόλεμον, ἡττηθεὶς ὁ βασιλεὺς ἔφυγεν καὶ μετ' αἰσχύνης B ὑπέστρεψεν μόλις διασωθείς. ὁ δὲ ἀμερουμνῆς ἀπελθὼν μετὰ δυνάμεως πολλῆς περιεχαράκωσε τὸ Ἀμόριον, καὶ πολέμους πολλοὺς ποιήσας οὐκ ἴσχυσεν αὐτὸ ἐκπορθῆσαι, γενναίως καὶ σταθερῶς ἀγωνιζομένων τῶν ἔνδοθεν. μαθητὴς δέ τις Λέοντος τοῦ φιλοσόφου ἦν ἐν τῷ κάστρῳ, καὶ βουληθέντος οὗ προσχωρῆσαι τῷ ἀμερουμνῇ, διά τινος ἐμήνυσεν αὐτῷ ὁ ἀστρονόμος ὅτι εἰ προσκαρτερήσῃς δύο ἡμέρας τῷ κάστρῳ, ἐκπορθεῖς ἡμᾶς. ὃ καὶ γέγονεν· προεδόθη γὰρ ὑπό τε τοῦ λεγομένου Βοϊδίτζη καὶ τοῦ Μανικοφάγου. κατεσχέθησαν τῶν ὀνομαστῶν ἄνδρες οὐκ ἀγενεῖς C ἀπελθόντες ἐν Συρίᾳ αἰχμάλωτοι, Θεόφιλος ὁ πατρίκιος καὶ στρατηγός, ὅ τε Μελισσηνὸς καὶ Ἀέτιος, καὶ Θεόδωρος πρωτοσπαθάριος εὐνοῦχος ὁ Κρατερός, καὶ Κάλλιστος τουρμάρχης καὶ Κωνσταντῖνος δρουγγάριος καὶ Βασόης ὁ δρομεὺς καὶ ἄλλοι πολλοὶ καὶ ἄρχοντες τῶν ταγμάτων· οἳ παρὰ τοῦ πρωτοσυμβούλου ἀναγκασθέντες ἀρνήσασθαι τὴν αὐτῶν πίστιν, καὶ τοῦτο μὴ πεισθέντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν, ἀντὶ τῆς παρούσης ζωῆς τὴν αἰώνιον ἀνταλλαξάμενοι.

1 ποιήσας?

atque tribunis facienda confestim in Cappadociam usque descendit. amerumnes quinquaginta suorum milibus a reliquo exercitu avulsis, eisque in ducem ac caput constituto Sudaë, viro inter Agarenos fortitudinis laude ac prudentiae nominatissimo, adversus imperatorem misit. commisso praelio victus imperator fugit, atque probro ac dedecore rediit incolumis. profectus vero amerumnes cum ingentibus copiis Amorium vallo cingit. nec tamen multis commissis praeliis urbem expugnare valuit, oppidanis ac praesidiariis forti robore ac constantia decertantibus. erat autem in praesidio Leonis philosophi quidam discipulus, qui cum ad amerumnem vellet desciscere, significavit astronomus oppidi compotem fore ac expugnaturum, dummodo in obsidione duos dies faceret; quod et factum est. proditum namque est a Boiditze, quem vocant, et a Manicophago. tenti vero sunt ac capti viri nominati nec ignobiles, et in Syriam captivi abiecti, Theophilus patricius, ducesque tum Melissenus tum Aetius, et Theodorus protospatharius, Craterus eunuchus, Callistus quoque tribunus et Constantinus drungarius et Basoes cursor, aliique multi, atque ordinum praefecti. hi cum cogerentur a protosymbulo ut fidem suam negarent, nec in eius sententiam adduci potuissent, gladio sunt animadversi, ac pro huius saeculi vita adepti aeternam.

23. Ὁ δὲ τὴν αἰσχρὰν σωτηρίαν τῆς καλλίστης ἀνταλλα- D ξάμενος, ὁ τοῦ φιλοσόφου Λέοντος μαθητὴς προσρυεὶς τῷ ἀμεϱουμνῇ ἠρωτήθη παρ᾽ αὐτοῦ περὶ τῆς ἐπιστήμης αὐτοῦ. ὁ δὲ εἶπε μαθητὴς εἶναι τοῦ φιλοσόφου Λέοντος. οὗτός τε, ὅστις ὁ Λέων ἐστὶ καὶ οἷος μαθών, αὐτὸν ἐπεθύμει ἐκεῖνον ἰδεῖν. καὶ δή τινι τῶν αἰχμαλώτων δοὺς γράμματα πρὸς Λέοντα τὸν φιλόσοφον ἀπέστειλεν ἐν Κωνσταντινουπόλει, ὑποσχόμενος αὐτῷ, εἰ ἐξέλθῃ ὁ αὐτὸς Λέων, ἀπ᾽ ἐκείνου αὐτὸν εἶναι ἐν τιμῇ. ὁ Λέων δὲ τὰ γράμματα ἀπολαβών, καὶ φοβηθεὶς μήπω διαγνωσθῇ, ἀνήγαγε ταῦτα Θεοφίλῳ τῷ βασιλεῖ. ὁ δὲ γνοὺς τὰ τῆς ἐπιστήμης P 524 αὐτοῦ, καὶ ὅτι τοιοῦτον σοφὸν ἄνδρα ἐν τῇ πολιτείᾳ αὐτοῦ ἔχει, προσλαβόμενος αὐτὸν εἶχεν ἐν τῷ παλατίῳ τῷ Μαγναύρας, παραδοὺς αὐτῷ διδάσκειν καὶ μαθητάς, παρέχων αὐτῷ τὰ πρὸς ὑπηρεσίαν ἅπαντα· ὃς καὶ μητροπολίτης ἐν Θεσσαλονίκῃ γέγονεν.

24. Ὁ δ᾽ αὐτὸς κτίζει τὸ Τρίκογχον ἐν τῷ παλατίῳ καὶ τὸ λεγόμενον Σίγμα, καὶ τὰς ἀναβάθρας ἔνθα οἱ δῆμοι ἵστανται, στήσας καὶ φιάλην ἐν ᾗ γίνεται τὸ σαξιμοδέξιμον λεγόμενον, τῶν ἵππων ἀμφοτέρων τῶν μερῶν διερχομένων μετὰ χρυσῶν σαγισμάτων. ὑπὸ δὲ τὸ Τρίκογχον κάτωθεν διὰ μηχανῆς ἐποίησε τὸ B Μυστήριον, ἐν ᾧ τῇ μιᾷ γωνίᾳ ἐὰν εἴποι τις, ἐξακούεται ἐν τῇ ἑτέρᾳ.

25. Μαθὼν δὲ αὐτὸς ὁ Θεόφιλος ὅτι Θεοφάνης τε καὶ Θεόδωρος ὁ αὐτάδελφος αὐτοῦ, καθ᾽ ἑαυτοὺς ζῶντες, τὴν ἀσέ-

23. Qui autem turpi salute pulcherrimam commutavit, Leonis philosophi discipulus, et ad amerumnem defecit, interrogatus ab eo de sua scientia discipulum se dixit Leonis philosophi. cognito vero quis et qualis esset Leo, eum ipsum videre cupivit; datisque cuidam captivorum literis Leoni philosopho Cpolim scribit, pollicitus in honore apud se habiturum, si modo ad eum proficisci Leo in animum induxerit. Leo autem acceptis literis, veritusque ne forte in imperatoris notitiam veniret, ad imperatorem Theophilum rettulit. is eius scientiae praestantia cognita, tantaeque sapientiae virum se in civitate habere, assumptum eum in Magnaurae palatio habebat, traditis et discipulis, quos doceret, quae ad usum essent ac obsequium, omnia tribuens. hic et Thessalonicae metropolita fuit.

24. Idem imperator Triconchum aedificat in palatio, et quod Sigma vocant; gradus quoque, ubi erecti sunt qui demi appellantur, statuens et phialam, in qua fit quod vocant Saximodeximum, transeuntibus factionum equis instratis aureis stragulis. sub Triconcho vero subter machina gradum fecit mysterium, in cuius uno anguli quicquid aliquis dixerit, clare in altero auditur.

25. Porro cum didicisset idem Theophilus Theophanem eiusque germanum Theodorum, ipsos secum agentes, illius impietatem traducere

βειαν αὐτοῦ κωμῳδοῦσι καὶ διελέγχουσιν, ἀποστείλας μετ' ὀργῆς ἤγαγεν αὐτοὺς πρὸς ἑαυτόν, εἰπὼν τάδε "πόθεν ἔστε;" οἱ δὲ εἶπον "ἐκ Παλαιστίνης." ὁ δὲ ἀλιτήριος "καὶ διὰ τί τὴν γῆν ὑμῶν ἀφέντες καὶ εἰς τὴν ἡμετέραν ἐλθόντες οὐ πειθαρχεῖτε τῇ βασιλείᾳ ἡμῶν;" τῶν δὲ μηδὲν ἀποκριναμένων ἐπέτρεψε παίεσθαι τὰς ὄψεις αὐτῶν σφοδρῶς. εἶτα μετὰ τοῦτο βουνευρήσας αὐτοὺς μέχρι θανάτου, μετὰ θυμοῦ καὶ τραχείας φωνῆς πρὸς τὸν ὕπαρχον ἔφη "ἆρον αὐτοὺς εἰς τὸ πραιτώριον, καὶ γράψον τὰ πρόσωπα C αὐτῶν, ἐγκολάψας τούσδε τοὺς στίχους·

πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν
ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες
ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης,
ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
σκεύη πονηρὰ [τῆς] δεισιδαίμονος πλάνης.
ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀτοπίας
πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως,
ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.
πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες
οὐκ ἐξαφῆκαν τὰς ἀθεμίτους μωρίας.
ὅθεν γραφέντες ὡς κακουργοὶ τὴν θέαν
κατακρίνονται καὶ διώκονται πάλιν."

προσθεὶς ὅτι "κἂν μὴ ὦσι καλοί, μή σοι μελέτω." τοῦτο δὲ D εἶπεν εἰδὼς αὐτοὺς ὡς σοφωτάτους καὶ ἄριστα ἠσκημένους τῶν

ac coarguere, mittens cum ira ad se eos adduxit, dicens "undenam estis?" dixerunt illi "ex Palaestina." quibus scelestissimus ille "quid vero causae est cur relicta patria, ad nostram hanc delati dicionem, non morem geritis meae maiestatis?" quibus nihil respondentibus, iussit durius eorum facies caedi; taureisque ad mortem usque conscissis, cum furore asperaque voce ad praefectum ait "tolle eos in praetorium, et scribe eorum vultus, hosce illis insculpens versus:

cunctis eam urbem visere exoptantibus
purissimi quam Christi presserunt pedes,
totius orbis unde manavit salus,
sacro loco isti vasa conspecti improba,
superstitionis errore ex incredulo,
multisque factis inquinati turpibus,
apostatae velut relicto inde procul,
se contulere, mox in urbem fugiunt:
tamen nefanda non relicta amentia,
notis perusta fronte, more sontium,
condemnatique rursus vertunt solum."

addens "nihil tibi curae sit, tametsi non sint elegantes." hoc vero dixit, quia sciret viros sapientissimos esse, et qui versuum atque carmi-

ποιητικῶν σχημάτων τὴν ἀκρίβειαν, εἰπόντος τινός "οὐδὲ ἄξιοί εἰσιν οὗτοι, ἵνα καλοὶ ὦσιν οἱ ἴαμβοι." οἱ δὲ εἶπον "γράφε, γράφε, βασιλεῦ, τὸ δοκοῦν σοι, ὡς μέλλον τοῦτο ἀναγνωσθῆναι ἐνώπιον τοῦ δικαίου καὶ φοβεροῦ κριτοῦ." ὁ δὲ ὕπαρχος τούτους ἀγαγὼν εἰς τὸ πραιτώριον, μετὰ δύο ἡμέρας ἁπλώσας ἐν σκάμνοις καὶ δήσας αὐτῶν χεῖρας καὶ πόδας, κατακεντήσας τε καὶ ἐγκολά- P 525 *ψας τοὺς στίχους εἰς τὰς ὄψεις αὐτῶν ἐξώρισεν. καὶ ἐν μὲν τῇ ἐξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος, ὁ δὲ ἀοίδιμος Θεοφάνης ὁ ποιητὴς διήρκεσε μέχρι Μιχαὴλ καὶ Θεοδώρας, ἀγωνισάμενος πλεῖστα ἐν τῇ γενομένῃ ὀρθοδοξίᾳ· ὃς καὶ μητροπολίτης εἰς Νίκαιαν γέγονε, τῶν πραγμάτων ἤδη πρὸς τὸ εὐσεβέστερον ...*

26. *Ἐπὶ τῆς βασιλείας Θεοφίλου ἦν καὶ Ἰωσὴφ ὁ ὑμνογράφος, ὃς ἐξωρίσθη ὑπὸ Θεοδώρας τῆς βασιλίσσης. παρέτεινε δὲ ἡ ζωὴ αὐτοῦ ἕως τῆς βασιλείας Λέοντος τοῦ σοφοῦ.*

27. *Ἐπ' αὐτοῦ ἔπεσεν ἡ χρυσῆ τοῦφα Ἰουστινιανοῦ τοῦ λεγομένου Αὐγουστέως. ἀμηχανούντων δὲ πάντων, καὶ πῶς* B *ἀνέλθοιεν διαλογιζομένων, εὑρέθη τις σκαλωτὴς τεχνίτης, καὶ ἀνελθὼν ἐν τοῖς κεραμίοις τῆς μεγάλης ἐκκλησίας βέλος ἀφῆκε μετὰ σχοινίου εἰς τὸν ἱππότην Ἰουστινιανοῦ τὸν ἐκ χαλκοῦ συνιστάμενον, καὶ τοῦ βέλους παγέντος ἐκεῖσε αὐτὸς διὰ τοῦ σχοινίου διαδραμὼν θάμβος μὲν τοῖς ὁρῶσι παρέσχετο καὶ τὴν τοῦφαν προσήρμοσε καὶ τὴν τοῦ βασιλέως ἐπεσπάσατο εὔνοιαν καὶ τῇ*

num exactissimam rationem optime callerent; cum quidam dixisset "ne ii quidem digni sunt ut iambi sint elegantes." at illi dixere "scribe, scribe, imperator, quod visum fuerit, cum haec legenda sint in conspectu iusti ac tremendi iudicis." praefectus itaque in praetorium adductos exacto biduo in scamno extendens, ligatisque manibus ac pedibus, atramento compungens, ipsorum vultibus versus exaravit atque insculpsit. ac quidem S. Theodorus in exsilio diem obit: inclytus vero Theophanes cantor ad Michaelem usque et Theodoram perseveravit, plurima collata opera in eam quae facta est imaginum restitutionem; rebusque iam ad pietatem revocatis Nicaeae metropolita fuit.

26. Sub imperatore Theophilo erat Ioseph hymnographus, qui Theodora imperium tenente in exsilium missus est: protracta vero illi vita est, usquedum Leo sapiens rerum potitus est.

27. Eodem imperatore cecidit Iustiniani tupha aurea, eius quem Augustaeum vocant. porro omnibus animis anxiis, ac quonam modo tentari ascensus posset cogitantibus, inventus est artifex quidam scandularius, conscensisque magnae ecclesiae tegulis, iaculum cum fune in equestrem aeneam Iustiniani statuam misit, eoque illic impacto ipse per funem excurrens, globum aptavit; quare videntes in stuporem egit, ac sibi imperatoris animum conciliavit, magnumque nomen et artis

τέχνῃ καὶ τῇ φύσει μέγα προσέθηκεν ὄνομα, φιλοτιμηθεὶς παρὰ τοῦ βασιλέως νομίσματα ἑκατόν.

28. Στέφει δὲ Θεόφιλος Μιχαὴλ τὸν υἱὸν αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, φιλοτιμησάμενος ὧν πάντας ἐν τοῖς στεψίμοις. κατεσκεύασε δὲ καὶ ξενῶνα, τὸν νῦν μὲν τὰ Θεοφίλου λεγόμενον, C οἶκον μὲν γεγονότα Ἰσιδώρου πατρικίου ἀνελθόντος ἀπὸ Ῥώμης μετὰ Ὀλυβρίου ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, μετὰ δὲ χρόνον ἐκδοθέντος κουράτορα, ὥστε κατοικεῖν ἐκεῖσε γυναῖκας τῶν εὐγενῶν μὴ εἰδυίας σωφρονεῖν. ἐπὶ δὲ Λέοντος Ἰσαύρου ἐκ πορνείου ξενοδοχεῖον ἐχρημάτισεν ἐπὶ αὐτοῦ. ὕστερον δὲ γέγονεν οἶκος Κωνσταντίνου τοῦ τῆς Εἰρήνης μετὰ τὴν ὑπὸ τῆς μητρὸς γεγονυῖαν ἐκτύφλωσιν εἰς αὐτόν. τελευτήσαντος δὲ αὐτοῦ ἡ γυνὴ αὐτοῦ τὸ μοναδικὸν σχῆμα περιβαλομένη μοναστήριον κατεσκεύασε καὶ ἐκάλεσε τὰ Μετανοίας. τοῦ δὲ αὐτοῦ οἴκου μεγίστου τε ὄντος D καὶ θαυμαστοῦ, ξύλου ἐν τῷ τρικλίνῳ ἀποκλασθέντος ἠπείλει πτῶσιν. αἱ δὲ μονάζουσαι ἀπερχομένου τοῦ βασιλέως ἐν Βλαχέρναις ἐδεήθησαν περὶ τούτου. ὁ δὲ ἐκνεύσας καὶ θεασάμενος τὸν οἶκον, ἀρεσθεὶς εἰς αὐτὸν μετοικίζει τὰς αὐτὰς μοναζούσας ἐν ἑτέρᾳ μονῇ, αὐτὸν δὲ τὸν οἶκον κόσμῳ παντοίῳ καλλωπίσας ξενῶνα πεποίηκεν, ἐπιδοὺς αὐτῷ χρήματα πάμπολλα καὶ ἀργύριον καὶ προάστεια, ἐπονομάσας αὐτὸν τὰ Θεοφίλου.

29. Πρὸ δὲ τῆς αὐτοῦ τελευτῆς ὁ θεομισὴς οὗτος βασι- P 526

8 ἐκδοθέντα κουρατώρια p. 645 19

genio adiecit, centum nummorum donativo ab imperatore liberaliter acceptus.

28. Porro coronat Theophilus Michaelem filium in magna ecclesia, cunctos magnifice donans per ea inaugurationis solemnia. construxit vero etiam domum hospitalem, quam nunc Theophili dicunt. ac quidem aedes fuere Isidori patricii eius qui cum Olybrio Roma Cpolim ascendit Constantino Magno imperatore, cessitque postea in curatoriam imperatoris, ut illic habitarent nobiles feminae, quae caste vivere nescirent. Leone vero Isauro imperatore ex lupanari facta est hospitalis domus. secutis temporibus domus fuit Constantini Irenes filii, cum eum mater luminibus orbasset. quo exstincto eius uxor monastico assumpto habitu monasterium construxit, ac paenitentiae nomen indidit. haec porro domus cum maxima esset ac mirabilis, confracta in triclinio trabe ruinam minabatur. moniales imperatorem ad Blachernas euntem eius rei nomine interpellant. prospectans ille, conspecta domo, eaque delectatus, easdem moniales ad aliud transfert monasterium, domum vero omnis generis ornatu magnifice excultam domum hospitalem fecit, quam plurimis abunde pecuniis reditibus ac suburbanis ei assignatis ex suo nomine aedes Theophili vocavit.

29. Ante vero mortem suam deo exsecrabilis imperator, habito cum

λεὺς βουλὴν μυστικὴν ποιησάμενος μετὰ τῶν ὁμοφρόνων αὐτοῦ περὶ Θεοφόβου τοῦ Πέρσου, ὡς ὅτι πολλὴν ἀγάπην καὶ πίστιν ἔχουσιν εἰς αὐτὸν οἵ τε ὑπ' αὐτὸν Πέρσαι καὶ τῶν ἐν τέλει οὐκ ὀλίγοι, καὶ μή πως ἐμοῦ τελευτήσαντος μελετήσωσι τυραννίδα κατά τε τοῦ ἐμοῦ παιδὸς νηπίου ὄντος καὶ τῆς γυναικός, ἀνήγαγε Θεόφοβον εἰς τὸ παλάτιον καὶ εἶχε μετ' αὐτοῦ. βαρηθεὶς δὲ ἐκ τῆς νόσου καθεῖρξε Θεόφοβον ἐν ταῖς καμάραις τοῦ Βουκολέοντος. τῶν δὲ Περσῶν ἐπιζητούντων αὐτὸν τί ἄρα γέγονεν, ἀποστείλας
B *τῇ νυκτὶ ὁ βασιλεὺς Πετρωνᾶν τὸν τῆς Αὐγούστης ἀδελφὸν σὺν τῷ λογοθέτῃ ἀπέτεμε τὴν κεφαλὴν τοῦ Θεοφόβου. ἔπεισαν δὲ οὗτοι τοὺς Πέρσας ὡς μετὰ τοῦ βασιλέως ἐστὶν ἐν τῷ παλατίῳ. τοῦ δὲ βασιλέως δυσεντερίας νόσῳ τὴν ψυχὴν κακῶς ἀπορρήξαντος ἀπεκομίσθη τὸ δύστηνον αὐτοῦ σῶμα εἰς τοὺς ἁγίους ἀποστόλους. τὸ δὲ σῶμα τοῦ Θεοφόβου διὰ τοῦ Βουκολέοντος ἐξαγαγόντες λαθραίως διέσωσαν πλησίον τὰ Ναρσοῦ, ἐν τῇ νῦν λεγομένῃ τῆς Θεοφοβίας, καὶ τοῦτο ἐκεῖσε κατέθηκαν.*

ΒΑΣΙΛΕΙΑ
ΜΙΧΑΗΛ ΜΕΤΑ ΘΕΟΔΩΡΑΣ
ΤΗΣ ΜΗΤΡΟΣ ΑΥΤΟΥ.

C *Τῷ ,ϛτλθ' ἔτει τοῦ κόσμου, ἀπὸ δὲ τῆς θείας σαρκώσεως ωλθ', ἐβασίλευσε Μιχαὴλ ὁ υἱὸς Θεοφίλου σὺν τῇ μητρὶ αὐτοῦ Θεο-*

20 Τῷ — p. 811 1 ἔν] *μετὰ δὲ Θεόφιλον ἐβασίλευσε Μιχαὴλ υἱὸς αὐτοῦ. σὺν τῇ αὐτοῦ μητρὶ Θεοδώρᾳ κατέσχεν ἔτη ιδ', καὶ μόνος ηὐκρατόρησεν ἔτη ιβ' μῆνας γ'.* C

suis partiariis secreto consilio de Theophobo Persa, cum is nimirum plurimum diligatur, atque in eum tum subditi Persae tum non pauci procerum fidem habeant, ne me mortuo tyrannidem moliantur adversus filium puerum et adversus coniugem, Theophobum in palatium intulit, habebatque secum morantem, morbo autem ingravescente carceri inclusit in Bucoleonis cameris. Persisque illum requirentibus quid demum eo factum esset, misso noctu imperator Petrona Augustae fratre cum logotheta Theophobi caput abstulit, sparso rumore in Persas, ipsum in palatio cum imperatore versari. imperatori autem dysenteriae morbo male abrupta anima, miserum eius funus in sanctorum apostolorum elatum est. corpus vero Theophobi clam per Bucoleonem eductum prope Narsetis aedes receperunt, in eo quod nunc Theophobi vocant, ibique deposuerunt.

IMPERIUM
MICHAELIS CUM MATRE THEODORA.

Anno mundi 6339, divinae autem incarnationis 839, imperavit Michael Theophili filius cum Theodora matre sua, annos quindecim, solus vero

δώρᾳ, ἔτη δεκαπέντε, μόνος δὲ ἔτη δέκα καὶ σὺν Βασιλείῳ ἔτος ἕν. ὅστις τὴν πατρῴαν βασιλείαν διαδεξάμενος, τὴν δὲ θεοστυγῆ παρεισφρήσασαν τῇ ἐκκλησίᾳ καὶ δεινῶς ἐπικωμάσασαν νέαν θρησκείαν εὖ μάλα γνησίως ἀποσεισάμενος, τὴν ἔκπαλαι Θεοφιλῆ καὶ θεοβράβευτον ἱεράν τε καὶ ὀρθοτάτην πίστιν ἀνεκήρυξεν. ἡ δὲ D
Θεοδώρα οὕτως ἦν πιστὴ καὶ ὀρθόδοξος ὡς καὶ τοῦ ἀνδρὸς αὐτῆς ἔτι περιόντος λάθρα τὰς ἁγίας εἰκόνας τιμᾶν καὶ προσκυνεῖν. ἥτις γνώμῃ μὲν ἑαυτῆς, ὑποθήκῃ δὲ καὶ παραινέσει Θεοκτίστου κανικλείου καὶ λογοθέτου, ἐξελαύνει τε τῆς ἐκκλησίας καὶ τῆς πόλεως τὸν πατριάρχην Ἰωάννην σὺν τοῖς περὶ αὐτὸν ὄντας, περιορίσασα τοῦτον ἐν τῷ Στενῷ εἰς τὸ Κλειδίον οὕτως καλούμενον. λέγεται δὲ καὶ σύντεκνον αὐτῆς εἶναι. εἰσάγει δὲ τὸν ἐν ἁγίοις Μεθόδιον μοναχὸν ὄντα, καὶ πατριάρχην ἀποκαθιστᾷ. καὶ πάντας τοὺς ὑπὸ Θεοφίλου ἐξορίστους μοναχοὺς καὶ ἐπισκόπους ἑνώσασα τὴν P 527
ὀρθόδοξον ἐβεβαίωσε πίστιν καὶ τὴν ἐκκλησίαν εἰρήνευσεν τῇ πρώτῃ κυριακῇ τῶν ἁγίων νηστειῶν. εἰ γὰρ καὶ νήπιος ἐτύγχανεν ὁ βασιλεύς, ἀλλ᾽ ὁ ἐκ στόματος νηπίων καὶ θηλαζόντων καταρτησάμενος αἶνον αὐτὸς καὶ τοῦτον παρεσκεύασε τὴν ἀλήθειαν τοῦ θείου δόγματος ἀνυμνῆσαι καὶ φανερῶσαι πρὸς δόξαν τοῦ δι᾽ ἄκραν εὐσπλαγχνίαν σαρκωθέντος θεοῦ λόγου καὶ τοῖς ἀνθρώποις ἐπὶ γῆς ὀφθέντος καὶ συναναστραφέντος κατὰ τὴν ἱερὰν χρησμο-

2 ὅς γε C   δὲ add C   4 θεοφιλῆ καὶ add C   5 ἡ δὲ — 16 νηστειῶν om C, qui post ἀνεκήρυξεν subiungit quae p. 814 6—13 leguntur, Ἐν — ἐξ αὐτῶν.   10 καὶ τοὺς?   18 καταρτήσας C   20 εὐσπλ. καὶ φιλανθρωπίαν σαρκ. θείου P

annos decem, cum Basilio annum unum. is paterni imperii successionem adeptus, deo exosa ecclesiae invecta direque in eam debacchata nova religione ac superstitione sincere admodum excussa, sacram pridem a deo constitutam rectissimamque fidem praedicavit. Theodora vero sic fidelis erat et orthodoxa, ut et viro suo adhuc superstite sacras imagines coleret et adoraret. haec tum sua ipsa voluntate, tum Theoctisti caniclio praefecti et logothetae suggestione ac admonitione, Ioannem patriarcham cum suis asseclis ecclesia urbeque expellit, relegato ipso in Stenum ad Clidium sic nuncupatum. ferunt autem eius compatrem fuisse, et qui e sacro fonte ipsius filium levasset. inducit vero S. Methodium, merentem monachum, redditaque ecclesia patriarcham constituit; omnes episcopos atque monachos a Theophilo in exsilium relegatos in unum cogens, orthodoxam confirmavit fidem, primaque ieiuniorum dominica ecclesiam pace composuit. quanquam enim imperator infans ac puer erat, qui tamen ex ore infantium et lactentium perfecit laudem (Ps. 8 3), hunc quoque ipse divini dogmatis veritatem cantico celebrare ac manifestare, ad dei verbi ob summam misericordiam incarnati et cum hominibus conspecti atque versati, iuxta quod perhibi-

B λογίαν. (2) σύνοδον γὰρ ἁγίων καὶ θεηγόρων πατέρων ἐν Κωνσταντινουπόλει συναθροίσας, ὑφ᾽ ὧν ἡ τῶν κακῶν καὶ δυσωνύμων εἰκονομάχων κάκιστος αἵρεσις ἀκριβῶς ἐλεγχθεῖσα καὶ τὰ βδελυρὰ ταύτης ληρήματα διαρρήδην ἀνατραπέντα, φαιδρῶς ὁ τῆς ὀρθοδοξίας λόγος ἀνέτειλεν ὥσπερ ἔκ τινων μυχαιτάτων καὶ δυσδιεξοδεύτων λαβυρίνθων καὶ σκοτεινῶν βαράθρων [καὶ] τῆς ἐξαγίστου καὶ πεφαυλισμένης αἱρέσεως. καὶ οὕτως ὁ μὲν ταύτης ἔξαρχός τε καὶ διδάσκαλος σὺν τοῖς ὁμόφροσιν αὐτοῦ διώκταις καὶ ὑβρισταῖς, C ὡς τῆς ἀληθείας ἀντίθετοι καὶ ψεύδους προστάται, ὡς λυσσώδεις λύκοι καὶ τῆς μυσαρᾶς καὶ δαιμονιώδους τῶν Μανιχαίων θρησκείας, ἀφ᾽ ὧν καὶ τὴν ἀφορμὴν καὶ τὴν ἀρχὴν εἰλήφασιν, ἐκδιώκεται, ἀντεισάγεται δὲ κοινῇ ψήφῳ καὶ θείᾳ προβολῇ τε καὶ χάριτι Μεθόδιος ὁ ἀοίδιμος καὶ τῆς ὀρθοτομίας καὶ ὀρθοδοξίας πρόμαχος, ὅς γε πάσας ὡς ἔπος εἰπεῖν τὰς διαβολὰς καὶ τὴν ὀλέθριον κατὰ τῶν ἱερῶν εἰκόνων μεθοδείαν καὶ τὴν βέβηλον κενοφωνίαν τῶν αἱρεσιαρχῶν καὶ φοιτητῶν τῆς ἐκείνων κακονοίας καὶ φρενοβλαβείας ἄριστα καὶ σαφέστατα διελέγξας καὶ ἀνατρέψας,

1 σύνοδος P ὁσίων πατέρων καὶ θεηγόρων C 2 δυσωνύμων κάκιστος αἵρεσις τῶν εἰκονομάχων C 5 ἐξανέτειλεν C μυχάτων C 7 πεφενακισμένης ταύτης προλεχθεὶς ἔξαρχός C τε add C 8 σὺν] καὶ συνδικαίως καὶ θεοκρίτως πάνυ σὺν C 9 ὡς] ὡς ἀνήκεστοι πάμπαν καὶ λυσσώδεις ἅμα καὶ C ἀντίθεοι λίαν, ὥσπερ δὴ καὶ οἱ τῆς μυσαρᾶς καὶ δαιμονιώδους θρησκείας τῶν μανιχαίων C 11 ὧν καὶ τὴν μάχην καὶ τὴν μανίαν κατὰ τῆς ἐνσάρκου θείας οἰκονομίας, τὴν ἀφ. C ἐκδιώκεται om C 12 προσβολῇ P 13 ὀρθοτόμου καὶ τῆς P 14 πᾶσαν C τοῦ τε διαβόλου τὴν C 15 καινοφωνίαν C 16 φοιτ.] φλύαρον C κενοφωνίας P 17 προδιελέγξας καὶ ἀναδείξας C

tum oraculo est, effecit. (2) synodus enim sanctorum ac divinorum patrum Cpoli cogitur, quorum diligentia atque opera, pessima nequissimorum nefastorumque iconomachorum haeresi gnaviter confutata eiusque diserte exsecrandis eversis deliriis, rectae fidei doctrina grato iubare effulsit velut ex reconditissimis quibusdam impermeabilibusque labyrinthis ac tenebricosis barathris scelestissimaque ac pravissima haeresi. atque in eum modum, ipsius antistes ac magister cum suis asseclis, persecutoribus ac contumeliatoribus, ut qui veritatis adversarii falsique defensores essent, velut lupi rabidi exsecrandaeque ac daemoniacae Manichaeorum sectae, ex quibus et illis sumpta occasio et ductum exordium, effugatur: eius vero loco, communi suffragio divinaque promotione et gratia, inclytus vir Methodius, rectaeque fidei ac doctrinae propugnator, inducitur; qui nimirum omnes, ut verbo dicam, calumnias exitiosamque adversus sanctas imagines dolosae mentis versutiam profanamque vocum inanitatem haereseos principum, horumque inanitatis verborum emotaeque mentis discipulorum, si quis alius optime dilucidissi-

εἰ καί τις ἄλλος· καὶ διὰ τοῦτο πολλοὺς προϋπέστη διωγμοὺς καὶ D
κινδύνους καὶ θλίψεις πολλὰς καὶ κακάς, ἐξ ἐπιμέτρου δὲ σφόδρα
ὑπὸ τοῦ θεηλάτου Θεοφίλου. (3) τίς γὰρ ἀριθμήσει τοὺς ποι-
κίλους καὶ ἀλλεπαλλήλους διωγμοὺς καὶ πειρασμοὺς καὶ τὰς ἀφεγ-
γεῖς κατακλείσεις καὶ τοὺς ζοφώδεις βόθρους καὶ τὰς τῶν ἀναγ-
καίων περιστάσεις, φίλων τε καὶ ὁμοφρόνων στερήσεις, καὶ τὰς
ἄλλας συμφορὰς ἃς ἔτλη γενναίως καὶ προθύμως παρὰ τῶν ἀνο-
σίων, ἀεὶ περιφέρων ἐναργῶς εἰς τύπον καὶ ὑπογραμμὸν ὑπομονῆς
τοῖς φερεπόνοις, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις προδή- P 528
λως γενόμενος. καὶ οὕτως ὁ θεσπέσιος τὴν ἐκκλησίαν εὐδοκίᾳ
θεοῦ παραλαβών, καὶ συνεργούντων τῶν θεοφόρων πατέρων, ὁ
μὲν οἶκος τοῦ θεοῦ, τὸ σύστημα τῶν ὀρθοδόξων ἐπορεύετο καὶ
θείᾳ ῥώμῃ σαφῶς ἐκραταιοῦτο καὶ διέπρεπεν ἔργῳ καὶ λόγῳ, ὁ δὲ
τῶν αἱρετιζόντων σύλλογος καὶ ἡ Ἰουδαϊκὴ τῷ ὄντι σπεῖρα καὶ
συμμορία κατῃσχύνετο κομιδῇ καὶ ἠσθένει προφανῶς ἐπιστομιζο-
μένη καὶ ἀνατρεπομένη καθ᾽ ἑκάστην ἡμέραν. καὶ δὴ λοιπὸν αὐ-
τίκα διὰ βασιλικῆς ἐπιτροπῆς καὶ συνεργίας ἀνεκλήθησάν τε καὶ
ἀνέθησαν οἱ ἐν ἐξορίαις καὶ πικραῖς φυλακαῖς πατέρες, ἅμα καὶ B
τὰ πλήθη τῶν μοναζόντων. καὶ μέντοι καὶ τῶν εὐσεβῶν κοσμι-

1 πολλοὺς μὲν ὑπέστη C 2 καὶ θλ. πολλὰς καὶ] τε καὶ βασάνους C σφόδρα om C 3 τίς γὰρ ἀριθμήσει om C 4 ἐπαλλήλους C καὶ βόθρους ἀφεγγεῖς καὶ ζοφώδεις κατακλείσεις καὶ τῶν ἀναγκαίων στερήσεις φίλων τε καὶ ὁμοδόξων αἱρετικῶν γενναίως καὶ προθύμως, καὶ τὰ σύμβολα τῆς κακουργίας ἧς ὑπέμεινε παρὰ τῶν ἀνοσίων, ἀεὶ C 9 καὶ φθεγγομένη om C 10 εὐδοκίᾳ τοῦ κρείττονος καὶ συνεργείᾳ τῶν θεοσόφων πατέρων παραλαβὼν ὁ C 14 ἡ om C 17 βασιλικῆς κελεύσεως ἐπιτροπῇ τε καὶ συνεργίᾳ P 19 τὸ πλῆθος C

meque confutavit atque evertit; eamque ob rem multas ante passus est persecutiones et pericula, multasque et malas afflictiones, ex abundante autem vehementer ab exagitato a deo Theophilo. (3) quis enim enumerare sufficiat varias et continuas persecutiones ac tentationes illucesque carceres ac caliginosos scrobes foveasque; necessariorum afflictos casus, amicorum parique sensu fidelium amota solatia, aliasque aerumnas ac mala, quae forti animo atque alacri, scelestissimorum grassatione vique illata, sustinuit, lucide semper ad patientiae formam et exemplum aerumnosis malisque attritis circumferens; loquens ac tacens manifesta exhortatio existens. inque eum modum viro divino ecclesiae clavo admotus, adiuvantibus divinis divinoque sensu patribus, domus dei, orthodoxorum coetus, ibat, divinoque robore clare confortabatur, atque opera et doctrina omni decore effulgebat: haereticorum autem conventus et Iudaica re vera cohors cuneusque valde confundebatur ac infirmabatur, cum palam obturaretur ac quotidie everteretur. confestim namque imperialibus iussis hortatuque et ope revocati sunt atque soluti liberique dimissi, qui exsilio relegati patres erant et acerbo carcere detenti,

κῶν οὐκ ὀλίγοι, ὧν ὁ τάλας καὶ ἀλιτήριος τυραννικῶς τὰς ὑπάρξεις ἀφελόμενος, καὶ τοὺς μὲν δυσθανατώσας, τοὺς δὲ μάστιξι πολυειδέσι καὶ πολυτρόποις καὶ δειναῖς τιμωρίαις παραδοὺς ἐξώρισεν, ὡς μὴ πειθομένους παντελῶς μήτε ταῖς θωπείαις μήτε ταῖς ἀπειλαῖς τοῦ ἀλιτηρίου Θεοφίλου.

4. *Ἐν γοῦν τῇ αὐτοκρατορίᾳ Μιχαὴλ καὶ Θεοδώρας τῆς αὐτοῦ μητρὸς Ἀποδείναρ ὁ Σαρακηνῶν φύλαρχος ἐκ πολλῶν χρό-* C *νων ἑτοιμαζόμενος ἐν δυνάμει βαρείᾳ δρομώνων τετρακοσίων φοβερῶν καὶ καταπλήκτων ἤρχετο κατὰ τῆς θεοφρουρήτου Κωνσταντινουπόλεως. ἀλλὰ τοῦτον ἡ θεία δίκη προφθάσασα διώλεσε, πάντων τῶν πλοίων αὐτοῦ αὐτάνδρων συντριβέντων ἐν τῷ ἀκρωτηρίῳ τῶν Κιβυρραιωτῶν τῷ λεγομένῳ Χελιδονία, διασωθέντων εἰς Συρίαν ἑπτὰ καὶ μόνων ἐξ αὐτῶν.*

5. *Τῇ δὲ κυριακῇ τῶν ἁγίων νηστειῶν, μετὰ τὸ γενέσθαι τὴν ὀρθοδοξίαν, ἀπέστειλε Θεόκτιστον τὸν λογοθέτην ἐν Κρήτῃ. ὃς ἀπελθὼν μετὰ πολλοῦ πλήθους καὶ στόλου μεγάλου σφόδρα* D *μὲν ἐπτόησε τοὺς Ἀγαρηνούς, ἀδυνατοῦντας ἔτι πρὸς τὴν στρα-*

1 *ὀλίγιστοι* C *τυραννικῶς* add C 2 *ἀφαιρούμενος* C 3 *καὶ πολυτρόποις καὶ δειναῖς τιμωρίαις* add C 5 post *Θεοφίλου* C: *μήτε μὴν τῇ πολῇ καὶ κακοδοξίᾳ τοῦ φένακος καὶ ἀλάστορος.* sequitur in C anacephalaeosis Chronici: *γίνεται οὖν ἀπὸ μὲν τοῦ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἔτη δισχίλια διακόσια τεσσαράκοντα δύο* etc. cf. Montfaucon. biblioth. Coislin. p. 205 extr. 6 *Ἐν τῇ οὖν αὐτοκρατορίᾳ αὐτοῦ ἀποδήναρ* C 9 *θεοφορήτου* C 10 *προφθάσασα* add C 11 *αὐτοῦ* add C *τῷ* om C 12 *διασωθεὶς ἐν Συρίᾳ ἑπτὰ καὶ μόνα* P 13 post *αὐτῶν* C *εἰ γὰρ καὶ* p. 811 16 14 *Τῇ δὲ*] *ἕως ὧδε τὸ χρονικὸν Γεωργίου, καὶ ἀπὸ τῶν ὧδε τοῦ λογοθέτου.* margo P

unaque monachorum turba copiosa: sed et religiosorum saecularium non pauci, quorum miser ac scelestissimus substantias abstulerat, ac partim quidem dira morte conficiens, partim varii generis verberibus excrucians exsilio relegaverat, ut qui scelestissimi Theophili nec blanditiis nec minis quicquam omnino morem gererent.

4. Imperante itaque Michaele et Theodora eius matre, Apodinar Saracenorum tribunus, diu ante expeditis copiis, ingenti navium triremiumque formidabilium quadringentarum stupendarumque apparatu, adversus dei munitam praesidio Cpolim processit. eum tamen divina ultio perdidit, elisis cunctis navibus una cum vectoribus ac classiario milite in Cybaeriotarum promontorio, cui nomen Chelidonia; septem nec plures in Syria naves cladem evasere.

5. Prima autem sanctorum ieiuniorum dominica, post celebrata *ὀρθοδοξίας* quam vocant, i. e. restitutionis imaginum, solennia, mittitur in Cretam Theoctistus logotheta; profectusque cum ingentibus copiis ac classe numerosa, ingenti terrore Agarenos affecit, qui adhuc imparati essent, nec tantis adversum se copiis possent obsistere. vehemen-

τεῖαν ἐκείνου ἀνταγωνίζεσθαι, σφοδρότερον δὲ καὶ αὐτὸς ἐπτοήθη καὶ τὴν φυγαδείαν ἠσπάσατο, τὴν Αὐγοῦσταν μαθὼν ὡς ἄλλον βασιλέα προεχειρίσατο, ὅπερ μέθοδος Σαρακηνῶν καὶ δωροληψία τῶν μετ᾽ αὐτοῦ ἐκπλῆξαν αὐτὸν πέπεικε πρὸς τὴν βασιλίδα ἐπανελθεῖν καὶ καταλιπεῖν τὸν στρατὸν μαχαίρας ἔργον. τοῖς τε ἐν Κρήτῃ φαῦλος φανεὶς χείρων ἐφάνη καὶ δυστυχέστερος ἐκεῖθεν ὑποστραφείς. ὡς γὰρ ἐξελθὼν τότε κατὰ Ῥωμανίας ὁ Ἄμερ ἐληΐζετο πᾶν τὸ ἐν ποσὶ καὶ κατέστρεφεν, τὸν αὐτὸν πάλιν Θεόκτι- P 520
στον ὡς πιστότατον καὶ οἰκειότατον μετὰ δυνάμεως πολλῆς κατὰ τοῦ Ἄμερ Θεοδώρα καὶ Μιχαὴλ ἀπεστάλκασιν· ὃς καὶ παραγεγονὼς καὶ πόλεμον συνάψας τῷ Ἄμερ εἰς τὸν λεγόμενον Μαυροπόταμον ἡττήθη τε καὶ ὑπέστρεψε, πολλῶν μὲν ἀναιρεθέντων, τινῶν δὲ καὶ προσφυγόντων τῷ Ἄμερ διὰ τὴν τοῦ λογοθέτου βαρύτητα καὶ ἐπάχθειαν, ὧν εἷς ἦν καὶ Θεοφάνης ὁ ἐκ Φαργάνων, ἀνδρίᾳ τε καὶ ῥώμῃ διαφέρων πολλούς, ὃς ὕστερον χρόνοις τισὶ λόγον ἀπαθείας λαβὼν προσφεύγει τοῖς Χριστιανοῖς. Θεόκτιστος δὲ ἐκεῖθεν ὑποστραφεὶς πρὸς τὴν πόλιν εἴχετο τῆς αὐτῆς οἰκειό- B
τητος. καὶ τῷ τῆς Αὐγούστης ἀδελφῷ Βάρδᾳ εἴς τινας λόγους ἐλθὼν τὴν ἧτταν τούτῳ προσῆπτε καὶ ἀνετίθετο, ὡς τῇ παραινέσει τούτου καὶ τῇ βουλῇ τὸ Ῥωμαϊκὸν ἐτράπη στρατόπεδον· καὶ τοῦτον τῆς πόλεως ἐξῶσεν βουλῇ Θεοδώρας Αὐγούστης.

6. Ὁ δὲ αὐτὸς Θεόκτιστος παραδυναστεύων ὢν τῇ Αὐ-

tius autem et ipse perterritus est et consternatus, fugamque arripuit, eo scilicet rumore, quasi Augusta alium creasset imperatorem. qui fuit Saracenorum dolus suorumque corruptio, eo pavore eius deiectis animis, ut ad imperatricem redire et exercitum adversariorum gladio concidendum relinquere persuaserint. cumque in Creta ignavus degenerisque animi exstiterit, deterior infeliciorque inde reversus eluxit. cum enim egressus Amer suscepta adversus Romanam dicionem expeditione, quicquid obvium esset, devastaret ac everteret, eundem rursus Theoctistum tanquam fidelissimum ac sibi devinctum hominem cum ingentibus copiis Theodora et Michael adversus Amerem misere. qui cum venisset, conserta pugna cum Amere ad locum quem Mauropotamum vocant, victus fugatusque reversus est, suorum multis necatis, nonnullis vero etiam ad Amerem ob viri morositatem ac tetricosos mores fuga elapsis; in quibus et Theophanes Pharganita, vir inter ceteros virili praestans fortitudine atque robore, qui nonnullis deinceps secutis temporibus, accepta securitatis fide, ad Christianos fuga reversus est. ab ea redux expeditione Theoctistus et in urbem receptus eadem Augustae necessitudine cohaesit. is, nonnullis cum Barda Augustae fratre collatis sermonibus, ei cladem adscribebat, quasi eius hortatu ac voluntate Romanus exercitus fusus fugatusque esset; quem et Theodorae Augustae nutu et consilio urbe expulit.

6. Is porro Theoctistus, cum Augusta regni administer, aedes

γούστῃ οἰκήματα καὶ λουτρὰ καὶ παράδεισον ἐν τῇ νῦν καλουμένῃ
Ἄψιδα πεποίηκεν πρὸς τὸ πλησίον αὐτὸν εἶναι τοῦ παλατίου. πρὸς
δὲ φυλακὴν καὶ σωτηρίαν ἰδίαν καὶ πόρταν σιδηρᾶν ἐν τῇ Δάφνῃ
C κατεσκεύασεν, καὶ παπίαν φυλάττειν ἐκεῖσε διωρίσατο. ἤδη δὲ
βασιλεὺς ἀνδρωθεὶς ἐσχόλαζε τοῖς κυνηγίοις καὶ ταῖς τῶν ἵππων
ἁμίλλαις ἐν τῷ διαύλῳ τοῦ ἱππικοῦ καὶ ταῖς λοιπαῖς ἀκαθαρσίαις.
βουλὴν οὖν ποιήσασα Θεοδώρα Αὐγοῦστα μετὰ τοῦ λογοθέτου
Θεοκτίστου δοῦναι γυναῖκα Μιχαὴλ τῷ υἱῷ αὐτῆς· ἔγνω γὰρ ὡς
συνεφιλιώθη Εὐδοκίᾳ τῇ τοῦ Ἴγγερος, μισουμένῃ τῷ λογοθέτῃ
καὶ τῇ δεσποίνῃ σφοδρῶς δι' ἀναίδειαν. διὸ συζευγνύουσιν αὐτῷ
Εὐδοκίαν τὴν τοῦ Δεκαπολίτου, μεθ' ἧς στεφανοῦται ἐν τῷ ἁγίῳ
Στεφάνῳ τῷ εἰς τὴν Δάφνην, γεγονότος τοῦ παστοῦ μὲν εἰς τὴν
D Μαγναύραν, τῆς δὲ συγκλήτου ἀνακλιθείσης ἐν τοῖς ιθ' ἀκκου-
βίτοις.

7. Μετὰ δὲ μικρὸν ὁ τῶν βουκελλαρίων στρατηγὸς ἤγαγε
ἵππον τῷ βασιλεῖ θυμοειδῆ καὶ γενναῖον. ὁ δὲ τοῦτον τῷ ἱππικῷ
βουλόμενος ὑποζεῦξαι ἠβούλετο καταμαθεῖν τούς τε ὀδόντας, ἐξ
ὧν ἡ τῶν ἐτῶν ποσότης διαγινώσκεται, τό τε ἦθος ποῖον ἐστί.
τοῦ δὲ ἵππου θρασυνομένου καὶ σκιρτῶντος ἦν ἀχθόμενος ὁ βα-
σιλεὺς περὶ τούτου, ὡς μηδενὸς ὄντος μηδὲ εὐποροῦντος γενναιό-
τητι καὶ ἐπιστήμῃ τὸν ἵππον ἐξημερώσοντος ἢ μόνον κατακρατή-
P 530 σοντος. ὡς οὖν ἤχθετο, παρὼν ὁ Θεοφιλίτζης εἶπεν ὅτι, δέσποτα,

13 ἀκκουβίτου P

balnea et hortos aedificavit versus locum Apsidam dictum, ut esset prope palatium. et ut saluti suae consuleret, portam ferream in Daphne fabricatus est, constituitque ut papias ibi custodias ageret. iam vero imperator viri aetatem adeptus grandiorque factus venationibus aurigationibus agendisque equis in medio Circi spatio ac reliquis spurcitiis animum otiumque addicebat. consilium igitur Theodora Augusta cum Theoctisto logotheta iniit de uxore iungenda Michaeli filio suo. noverat enim amicitiam iunxisse cum Eudocia Ingerina, impudenti genio atque indole, logothetae atque Augustae vehementer exosa. eam ob rem ei copulant Eudociam Decapolitae filiam, quacum corollis nuptialibus donatur in S. Stephani, quae est in Daphne. solutus in Magnaura nuptialis thalamus; acceptus epulis senatus in novemdecim accubitis.

7. Haud multo post buccellariorum dux equum adduxit imperatori animosum ac strenuum. cumque hunc Circensibus subiugare vellet, in animo habebat ut dentes viseret, quorum indicio equorum aetas dignoscitur ac indoles, qualis est. equo autem ferociente et subsultante, aegre rem ferebat imperator, cum nemo esset ea ingenii dexteritate ac peritia qua equum posset ad mansuetudinem traducere aut saltem tenere. dum igitur moleste ferret, praesensque Theophilitzes esset, ait "habeo,

ἔχω νεώτερον ἐμπειρότατον καὶ ἀνδρειότατον εἰς τοὺς ἵππους, οἷον ἐπιποθεῖ ἡ βασιλεία σου, τοὔνομα Βασίλειον. τοῦ δὲ βασιλέως παρευθὺ ἐλθεῖν κελεύσαντος ἀπεστάλη κοιτωνίτης ἐν τῇ σιδηρᾷ πύλῃ, καὶ τὸν Βασίλειον εὑρὼν μετὰ σπουδῆς ἤγαγε πρὸς τὸν βασιλέα. καὶ κελευσθεὶς τὸν ἵππον κρατῆσαι, ὁ δὲ μιᾷ χειρὶ τὸν χαλινὸν κρατήσας, τῇ δὲ ἑτέρᾳ τοῦ ὠτὸς δραξάμενος τοῦ ἵππου, εἰς ἡμερότητα προβάτου μετέβαλεν. ᾧ ἀρεσθεὶς καὶ θεραπευθεὶς ὁ βασιλεὺς παρέδωκεν αὐτὸν Ἀνδρέᾳ ὄντι ἑταιρειάρχῃ τοῦ B εἶναι εἰς τὴν ἑταιρείαν καὶ δουλεύειν ἐν τοῖς ἵπποις.

8. Ἀναγκαῖον δὲ ἡγησάμην διηγήσασθαι περὶ τοῦ αὐτοῦ Βασιλείου τήν τε ἀνατροφήν, καὶ ὅθεν ἔστι μέχρι τῆς τοιαύτης ὑποθέσεως. ὁ αὐτὸς Βασίλειος γεννᾶται ἐν Μακεδονίᾳ ἐν τοῖς χωρίοις Ἀδριανουπόλεως, ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Ῥαγκαβέ, πατρὸς Ἰγνατίου πατριάρχου, γαμβροῦ δὲ Νικηφόρου τοῦ βασιλέως εἰς Προκοπίαν τὴν ἑαυτοῦ θυγατέρα. ἐπὶ τούτου ἐξῆλθε Κροῦμος ὁ ἄρχων Βουλγαρίας κατὰ Χριστιανῶν· καὶ τραπεὶς Μιχαήλ, καὶ Λέων ὁ Ἀρμένιος τυραννήσας αὐτὸν καὶ βασιλεύσας, ἐλθὼν ὄπισθεν αὐτοῦ ὁ Κροῦμος περιεκύκλωσε τὴν πόλιν. λογ- C χευθεὶς δὲ παρὰ Λέοντος τοῦ Ἀρμενίου καὶ ὑποστρέφων ἐν Βουλγαρίᾳ ἔπεμψεν εἰς τὸν ἅγιον Μάμαντα ἀφελεῖν τὰ ἐκεῖσε χαλκᾶ ζώδια. ἀπελθὼν δὲ καὶ ἐν Ἀδριανουπόλει παρέλαβεν αὐτήν, καὶ μετέστησε χιλιάδας ἀνδρῶν δέκα χωρὶς γυναικῶν, καὶ τούτους κατῴκισε πέραν τοῦ Δανουβίου. ἐν δὲ ταῖς ἡμέραις Θεοφίλου

domine, adolescentem artis equorum expertissimum strenuissimumque, qualem maiestas tua desiderat, Basilium nomine." quem cum imperator confestim praesto esse iussisset, missus est cubicularius ad portam ferream, inventumque Basilium omni festinatione ad imperatorem adduxit. is vero una manu prehenso freno, alteraque equi aure arrepta, ad pecudis ipsum mansuetudinem traduxit. ea re recreatus imperator ac obsequio delinitus Andreae hetaeriarchae Basilium tradidit, ut inter foederatos mereret ac equis operam navaret.

8. Operae pretium vero duxi de eodem Basilio narrare, quomodo sit educatus et unde profectus, usquedum talis oblata occasio est. Basilius in Macedonia nascitur, in agro Adrianopolitano, Michaele Rancabe, Ignatii patriarchae patre, imperatore, Nicephori imperatoris genero, eius sibi copulata filia Procopia. eo imperii clavum tenente Crumus Bulgarorum princeps adversus Christianos egressus est; fusoque ac fugato Michaele, atque Leone Armenio in eum arrepta tyrannide in seque translato imperio, ipsum pone insecutus Crumus urbem obsidione cinxit, lanceaque percussus a Leone Armenio, reversusque in Bulgariam, misit ad S. Mamantis, qui aeneas illic statuas auferrent. profectus vero etiam Adrianopolim urbem cepit, transtulitque decem milia virorum, non numeratis feminis, eisque trans Danubium sedes assignavit. in diebus

τοῦ βασιλέως ἦν στρατηλάτης ἐν Μακεδονίᾳ Κορδύλης προσαγορευόμενος. εἶχε δὲ καὶ υἱὸν Βάρδαν ὀνόματι, ἠνδρειωμένον πάνυ, ὃν κατέλιπεν ἀντ' αὐτοῦ ἄρχειν τῶν Μακεδόνων τῶν ὄντων πέραν D τοῦ ποταμοῦ Δανουβίου. αὐτὸς δὲ μετὰ μηχανῆς τινὸς εἰσῆλθε πρὸς Θεόφιλον, καθὰ ἐκεῖσε προεγράφη. ὃν ὑποδεξάμενος χαίρων, καὶ γνοὺς ὃ θέλει, ἀπέστειλε πλοῖα ἀναλαβέσθαι αὐτοὺς καὶ ἀναγαγεῖν ἐν τῇ πόλει. ἦν δὲ ἄρχων Βουλγαρίας ὁ Βαλδίμερ, ἔγγονος Κρούμου, πατὴρ Συμεῶνος τοῦ μετὰ ταῦτα κρατήσαντος. (9) ἐποίησεν οὖν βουλὴν ὁ λαὸς σὺν γυναιξὶν καὶ τέκνοις ἐξελθεῖν ἐν Ῥωμανίᾳ. ἐξελθόντες δὲ τοῦ Μιχαὴλ Βουλγάρου ἐν Θεσσαλονίκῃ, ἤρξαντο διαπερᾶν σὺν ταῖς ὑποστάσεσιν αὐτῶν. μαθὼν P 531 δὲ ὁ κόμης τοῦτο ἀντεπέρασε πολεμήσων αὐτούς. ἀπογνόντες οὖν οἱ Μακεδόνες ἐποίησαν κεφαλὴν αὐτῶν τόν τε Τζάντζην καὶ τὸν Κορδύλην, καὶ συμβαλόντες πόλεμον ἀπέκτειναν πολλούς, τινὰς δὲ ἐκράτησαν. οἱ δὲ μὴ δυνηθέντες περᾶσαι Βουλγαρίαν προσερρύησαν τοῖς Οὔγγροις καὶ ἀνήγγειλαν αὐτοῖς πάντα τὰ τῶν Μακεδόνων. ἦλθον δὲ καὶ τὰ πλοῖα τοῦ βασιλέως πρὸς τὸ ἀναλαβέσθαι αὐτοὺς πρὸς τὴν πόλιν. παρευθὺ οὖν ἀνεφάνησαν Οὖννοι πλῆθος ἄπειρον. οἱ δὲ ἰδόντες αὐτοὺς μετὰ δακρύων ἐβόων λέγοντες "ὁ θεὸς τοῦ ἁγίου Ἀδριανοῦ βοήθει ἡμῖν," καὶ παρετάσσοντο πρὸς συμβολὴν πολέμου. οἱ δὲ Τοῦρκοι εἶπον πρὸς αὐτοὺς "δότε ἡμῖν τὴν ὕπαρξιν ὑμῶν πᾶσαν, καὶ ἀπέλθετε ἔνθα καὶ

14 ἀπέκτεινον P 16 καὶ om P

autem Theophili imperatoris erat in Macedonia magister militiae Cordules nomine. habebat vero etiam filium Bardam nomine, virili admodum fortitudine ac strenuum, quem reliquit ut vice sui Macedonibus cum imperio trans Danubium positis praeesset. is arte quadam ac machina ingressus est ad Theophilum, quemadmodum illic superius scriptum est. eo gratissime suscepto, cognitoque quid vellet animus, missa navigia sunt, quae illos assumptos in urbem reducerent. erat porro Bulgariae princeps Baldimer, Crumi nepos, pater Symeonis, qui postea rerum potitus est. (9) consilium itaque iniit populus, ut cum uxoribus atque liberis in Romanae dicionis loca egrederentur. egresso vero Michaele Bulgaro in Macedoniam, coeperunt traiicere cum suis facultatibus. quo cognito comes ipse traiecit, ut eis bellum inferret. spe itaque anxii Macedones caput sibi praefecerunt Tzantzem et Cordulem; pugnaque congressi multam hostium dederunt stragem: capti etiam nonnulli. cum autem non possent Bulgariam traiicere, ad Ungros confluxerunt, narrata illis sua omni ac Macedonum fortuna. sed et missa ab imperatore navigia, quae in urbem eos susceptura essent, venere. confestim igitur Unni innumerabili turba apparuerunt. at illi, iis visis, cum lacrimis clamare "deus sancti Adriani auxiliare nobis;" bellique signa contulere. ad quos Turci dixere "date nobis omnem vestram sub-

βούλεσθε." οἱ δὲ τοῦτο οὐ κατεδέξαντο, ἀλλὰ παρατεταγμένοι B ὑπῆρχον ἐν τρισὶν ἡμέραις. τῇ δὲ τετάρτῃ ἤρξαντο εἰσέρχεσθαι εἰς τὰ πλοῖα αὐτῶν. θεασάμενοι δὲ τοῦτο οἱ Τοῦρκοι συνέβαλον πόλεμον ἀπὸ ὥρας πέμπτης μέχρις ἑσπέραν· καὶ τραπὲν τὸ ἔθνος, κατεδίωκον αὐτοὺς οἱ Μακεδόνες. καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ βουλομένων αὐτῶν ὑποχωρῆσαι, ἀνεφάνησαν πάλιν Οὖννοι πρὸς τὸ πολεμῆσαι αὐτούς. ἀναστὰς δὲ Μακεδόνων νεώτερος, Λέων ὀνόματι, ἐκ γένους τῶν Γωμοστῶν, ὃς μετὰ ταῦτα γέγονεν ἑταιρειάρχης, καὶ ἕτεροι ὀνομαστοὶ τῶν Μακεδόνων, ἔτρεψαν αὐτοὺς καὶ ἐξήλασαν· καὶ ὑποστρέψαντες εἰσῆλθον εἰς τὰ πλοῖα, καὶ ἀπεσώ- C θησαν πρὸς τὸν βασιλέα, καὶ φιλοτιμηθέντες παρ' αὐτοῦ ὑπέστρεψαν εἰς Μακεδονίαν, εἰς τὴν ἰδίαν χώραν αὐτῶν. ἦν δὲ τότε Βασίλειος ὡς εἶναι τὰ ἔτη αὐτοῦ κέ. ἀποκατασταθεὶς δὲ ἐν τῇ ἰδίᾳ χώρᾳ προσεκολλήθη δουλεύειν στρατηγῷ Μακεδονίας τῷ λεγομένῳ Τζάντζῃ. καὶ μηδὲν παρ' αὐτοῦ ὠφεληθεὶς ἦλθεν ἐν τῇ πόλει μέχρι τῆς Χρυσῆς πόρτης. εἰσελθὼν κεκοπωμένος ἐκ τῆς ὁδοιπορίας (κυριακὴ γὰρ ἦν, καὶ ὁ ἥλιος πρὸς δυσμὰς) ἀνεκλίθη ἐν τοῖς πεζουλίοις τοῦ ἁγίου Διομήδους. καθολικὴ γὰρ ἦν τότε ἡ ἐκκλησία, ἔχουσα προσμονάριον ὀνόματι Νικόλαον. τῇ δὲ νυκτὶ D ἐκείνῃ ἐκάλεσεν ἡ θεία φωνὴ τὸν προσμονάριον, λέγουσα "ἐγερθεὶς εἰσάγαγε εἰς τὸ εὐκτήριον τὸν βασιλέα." ὁ δὲ ἐγερθεὶς οὐδένα εὗρε πλὴν αὐτὸν τὸν Βασίλειον κείμενον ὡς πένητα, καὶ ἐπιστρα-

1 τοῦτο] ποῦ τε P

stantiam, et proficiscimini quo vultis." id tamen ut praestarent in animum minime induxerunt, sed triduo instructa acie sub armis steterunt; quarta autem die in navigia ingredi coepere. quo viso Turci pugna congressi sunt ab hora septima ad vesperam; versosque eos in fugam persecuti sunt Macedones. in crastinum autem, cum vellent recedere, apparuerunt rursus Turci ut aciem conferrent. surgens vero Macedonum iunior Leo nomine, ex Gomostorum familia, qui postea agminis foederatorum princeps fuit, aliique Macedonum viri incliti, hostes fuderunt fugaruntque, ac reversi naves conscenderunt atque ad imperatorem sese receperunt; a quo magnifice suscepti in Macedoniam, patriam suam, reversi sunt. erat Basilius annos circiter viginti quinque natus. patriaeque redditus adhaesit Macedoniae praetori Tzantzae nomine, ut ei serviens in eius obsequio esset. nec ab eo frugis aliquid consecutus ad auream usque portam in urbem profectus est. ingressusque, fessus ex itinere (erat enim dies dominicus, et sol ad occasum vergebat) in S. Diomedis vestibulo ad quietem sese reclinavit. nimirum erat tunc viris feminisque addicta ecclesia, mansionarium habens Nicolaum. nocte autem illa praecepit divina vox mansionario, dicens "surge, induc in oratorium imperatorem." surgens vero neminem reperit praeter Basilium

φεὶς ἔπεσεν εἰς τὴν ἑαυτοῦ κοίτην. πάλιν οὖν ἐκ δευτέρου ἦλθεν
αὐτῷ ἡ τοιαύτη φωνή. ὁ δὲ ἐξελθὼν καὶ κατασκοπήσας καὶ μη-
δένα εὑρὼν ἐπιστραφεὶς ἔκλεισε τὸν πυλῶνα καὶ ἀνέπεσε. καὶ
εὐθέως μετὰ ῥομφαίας τις δέδωκεν αὐτῷ εἰς τὴν πλευράν, λέγων
"ἐξελθὼν εἰσάγαγε ὃν βλέπεις ἔξωθεν τοῦ πυλῶνος κείμενον. οὗ-
τός ἐστιν ὁ βασιλεύς." ἐξελθὼν οὖν μετὰ σπουδῆς σύντρομος,
P 532 καὶ εὑρὼν Βασίλειον μετὰ τῆς πήρας καὶ ῥάβδου, εἰσήγαγεν ἔσω-
θεν τῆς ἐκκλησίας· καὶ τῇ δευτέρᾳ ἡμέρᾳ ἀπελθὼν μετ' αὐτοῦ εἰς
τὸ λουτρὸν ἔλουσεν αὐτὸν καὶ ἤλλαξε, καὶ ἐλθὼν ἐν τῇ ἐκκλησίᾳ
ἐποίησεν ἀδελφοποίησιν, καὶ συνευφραίνοντο ἀλλήλους. (10) ὁ
δὲ αὐτὸς Νικόλαος εἶχεν ἀδελφὸν ἰατρόν, ὃς ἐδούλευε τῷ Θεοφι-
λίτζῃ. ἐλθὼν δὲ καὶ κατὰ τύχην ὁ ἰατρὸς πρὸς τὸν ἀδελφὸν αὐ-
τοῦ, ἰδὼν τὸν Βασίλειον καὶ θαυμάσας τὸ μέγεθος καὶ τὴν ἀν-
δρίαν αὐτοῦ, εἶπε πρὸς τὸν ἀδελφὸν αὐτοῦ "πόθεν ἐστὶν οὗτος;"
ὁ δὲ ἀναγγέλλει αὐτῷ πάντα, καὶ παρήγγειλε φυλάξαι τὸ μυστή-
B ριον. καθεζομένου δὲ τοῦ ἰατροῦ ἐπὶ τραπέζης μετὰ τοῦ Θεοφι-
λίτζη, καὶ τούτου καθ' ἑαυτὸν ἀναλογισαμένου καὶ εἰπόντος ὅτι
ἤθελον εὑρεῖν ἄνθρωπον ἐπιτήδειον εἰς τοὺς ἐμοὺς ἵππους, ἀνα-
στὰς ὁ ἰατρὸς εἶπεν αὐτῷ περὶ τῆς ἀνδρίας τοῦ Βασιλείου καὶ ὅτι
τοιοῦτός ἐστιν οἷον ἐπιποθεῖς καὶ ζητεῖς. ἀποστείλας οὖν μετὰ
σπουδῆς ἤγαγεν αὐτόν. θεασάμενος οὖν αὐτὸν ἐπιάγουρον καὶ
μεγάλην κεφαλὴν ἔχοντα ἐπέθηκεν αὐτὸν Κεφαλάν, καὶ δέδωκεν
τοῦτον τοῦ δουλεύειν τοὺς ἵππους αὐτοῦ. ὡς οὖν προείρηται, διὰ
τοιαύτην αἰτίαν δέδωκεν αὐτὸν ὁ Θεοφιλίτζης Μιχαὴλ τῷ βασιλεῖ.

iacentem pauperis habitu. reversusque in lectum sese iactavit. rursus itaque secunda vice ad eum venit eiusmodi vox; egressusque circumspiciens, nemineque invento, reversus clauso vestibulo recubuit. moxque pungens gladio lateri ait quidam "egressus introducito quem in atrio iacentem vides: ipse est imperator." egressus itaque cum festinatione tremebundus, offendensque Basilium cum pera et baculo, in ecclesiam ingredi iussit. vadensque postridie cum eo ad balnea lavit vestesque mutavit; veniensque in ecclesiam spiritalem cum eo fraternitatem iniit, seque mutuo recreabant ac collaetabantur. (10) erat autem Nicolao frater medicus, artis obsequio merens Theophilitzi. convenit forte fortuna medicus fratrem; conspectoque Basilio, eiusque proceritatem ac robur miratus, fratrem suum rogat undenam iste esset. nuntiavitque ei omnia, et iussit ut secretum servaret. sedente vero ad mensam medico cum Theophilitze, eoque secum reputante atque dicente velle se hominem idoneum, qui suis equis operam daret, surgens medicus Basilii ei vires elocutus est, esseque virum eiusmodi qualem is expeteret ac quaeritaret. mittens itaque cum festinatione eum induxit. videns itaque robustum iuvenem ac confertum, praegrandi hominem capite, Cephalae nomen tribuit, atque equitis sui obsequiis mancipavit. ea igitur occasione et per eam causam, uti dictum est, Theophilitzes Basilium tradi-

(11) ὁ δὲ βασιλεὺς τὸν αὐτὸν Βασίλειον εἰσαγαγὼν εἶπε τῇ μητρὶ C
αὐτοῦ ὡς χαιρόμενος "δεῦρο ἴδε, μῆτερ, οἷον ἄγουρον νῦν ἐπελαβόμην." ἡ δὲ ἐξελθοῦσα καὶ ἰδὼν αὐτὸν ἀπεστράφη, εἰποῦσα τῷ υἱῷ αὐτῆς "οὗτός ἐστι, τέκνον μου, ὁ μέλλων ἀφανίσαι τὸ γένος ἡμῶν." ὁ δὲ οὐδαμῶς ἐπείσθη τῇ μητρὶ αὐτοῦ ἢ ἤκουσεν αὐτῇ.

Ἐτελεύτησε δὲ ὁ ἐν ἁγίοις πατριάρχης Μεθόδιος, καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Ἰγνάτιος ὁ υἱὸς Μιχαὴλ κουροπαλάτου. τῶν δὲ Βουλγάρων ἐπιδρομὰς ποιούντων ἐν Θρᾴκῃ καὶ Μακεδονίᾳ καὶ ληϊζομένων τὰ τοιαῦτα θέματα, ἡ Θεοδώρα ταξατιῶνα ἐποίη- D
σεν, οἳ ἐκ τῶν κάστρων ἐπιτιθέμενοι Βουλγάροις, σποράδην καὶ κατ' ὀλίγους κουρσεύοντες, ἐφόνευον τούτους καὶ ᾐχμαλώτιζον, ὥστε ὑποσταλῆναι τοὺς Βουλγάρους ἐν τῇ ἰδίᾳ χώρᾳ.

12. Βάρδας δὲ ὁ Καῖσαρ ἐφιλιώθη Δαμιανῷ πατρικίῳ καὶ παρακοιμωμένῳ. ὁ δὲ τὸν βασιλέα κρατήσας ἔπεισε τοῦ εἰσαγαγεῖν τὸν Βάρδαν ἐν τῇ πόλει· ὃς διὰ δώρων τοὺς βασιλέως οἰκείους διαδεξάμενος ἅμα τῷ παρακοιμωμένῳ ὡρίσθη προέρχεσθαι εἰς τὸ παλάτιον. οἰκειωσάμενος δὲ καὶ τὸν Θεοφάνην πρωτοβεστιάριον ὡς ἠνδρειωμένον, τὸν ἐπιλεγόμενον Φάργανον, βουλὴν P 533
ποιοῦσι μετὰ Δαμιανοῦ τοῦ ἀνελεῖν Θεόκτιστον τὸν οὕτω συνήθως ἐπὶ τοῦ κανικλείου λεγόμενον. πεισθεὶς δὲ καὶ ὁ βασιλεὺς ὑπὸ τοῦ Δαμιανοῦ ἐπὶ τούτῳ συνῄνεσε καὶ αὐτὸς γενέσθαι τοῦτο· ἔλεγε

dit Michaeli imperatori. (11) imperator vero eundem inducens Basilium, velut gratulans dixit matri suae "veni, vide, mater mea, qualem nunc iuvenem robustum reppererim." egressa illa, eoque conspecto, pedem rettulit, dicens filio suo "hic est, fili mi, qui genus nostrum ac familiam deleturus est." nihil tamen ille matri credidit aut ei morem gessit.

Obiit vero sanctus patriarcha Methodius, et in illius locum subrogatur et ordinatur Ignatius, Michaelis curopalatae filius. Bulgaris autem Thraciam et Macedoniam excursionibus vastantibus easque provincias depraedantibus, Theodora militum praesidia coëgit; qui ex castris in Bulgaros irruentes, sparsim et seorsim hos aggressi vel interfecerunt vel in captivitatem abduxerunt, ceteris Bulgaris patriam repetere coactis.

12. Bardas Caesar amicitia iunctus est cum Damiano patricio sacrique cubiculi intimo praeposito; isque imperatoris compos effectus auctor illi est ut Bardam in urbem inducat; datisque muneribus iis qui ex aula essent imperatorisque necessariis, una cum accubitore expugnatis, constitutum est ut in palatium accessum haberet. conciliato vero etiam Theophane protovestiario, tanquam viro fortissimo, cognomento Phargano, consilium ineunt cum Damiano necandi Theoctistum, sic vulgo dictum, caniclio praefectum. imperator quoque in eam sententiam a Damiano inductus annuit et ipse ut res faceret. dicebat enim Bardas

γὰρ ὁ Βάρδας Δαμιανῷ ὅτι ἕως ἐστὶ Θεόκτιστος μετὰ τῆς Αὐ-
γούστης, οὐκ ἄρξει οὐδὲ ἐξουσιάσει ποτὲ ὁ βασιλεύς. ὁ δὲ Θεό-
κτιστος ἀπελθὼν ἐν τῷ λούσματι τῶν Ἀρεοβίνδου, ὡς ἔθος ἦν
αὐτῷ, εἶτα ἐλθὼν εἰς τὰ ἀσηκρητεῖα, κρατῶν τὰς ἀναφορὰς εἰσῆλ-
B θεν εἰς τὸ Λαυσιακόν. καὶ περιβλεψάμενος εἶδε Βάρδαν καθε-
ζόμενον ἔμπρακτον· καὶ ταραχθεὶς σφοδρῶς ἔφη ὅτι ἐγὼ εἰσελ-
θὼν εἰς τὴν Αὔγουσταν πάλιν ἐκδιώκω αὐτόν. εἰσελθόντος δὲ
αὐτοῦ εἰς τὸ ὡρολόγιον, προϋπήντησεν αὐτῷ Μιχαὴλ ἅμα Δα-
μιανῷ καὶ οὐκ εἴασαν εἰσελθεῖν πρὸς Θεοδώραν, ἀλλ' ἐκελεύσθη
μετ' ὀργῆς ἀνοῖξαι τὰς ἀναφορὰς καὶ ἀναγνῶναι ἔμπροσθεν αὐτοῦ.
ἄκοντα δὲ τοῦτο ποιήσαντα ἀντέστρεψεν αὐτὸν εἰς τοὐπίσω ἐξελ-
θεῖν. ὁ δὲ πικρῶς δακρύων καὶ ὀλοφυρόμενος ἐξῆλθε. συνήν-
τησε δὲ αὐτῷ Βάρδας εἰς τὸ Λαυσιακόν, καὶ ἤρξατο κατὰ κόρρης
παίειν αὐτὸν καὶ τίλλειν τὰς τρίχας αὐτοῦ. ἰδὼν δὲ ὁ δρουγγά-
C ριος τῆς βίγλης ὁ Μανιάκης ἀναστὰς ἀντέλεγε τῷ Βάρδᾳ "μὴ
τύπτε τὸν λογοθέτην." οἱ δὲ σφάζουσιν αὐτὸν καὶ μεληδὸν κατα-
κόπτουσιν εἰς τὸ Σκύθη, θηρῶν ὠμότητα καὶ ἀγριότητα ἐνδει-
ξάμενοι.

13. Τοῦτο μαθοῦσα παρὰ τοῦ παπίου Θεοδώρα, ἐξελθοῦσα κατὰ τοῦ Μιχαὴλ ὡς εἰκὸς ἠγανάκτησε, καὶ τῶν λοιπῶν οἱ τὸν φόνον κατειργάσαντο. καὶ τοῦ βασιλέως παντὶ τρόπῳ μηχανωμένου τὴν μητέρα ἐξιλεώσασθαι αὐτὴ ἀπαρηγόρητος ἔμεινε, μήτε τὴν ὀργὴν ἀφιεμένη μήτε παραμυθουμένη τισίν, ἀλλ' ὡς

Damiano "quamdiu Theoctistus cum Augusta versabitur, nunquam imperator rerum potietur regiique culminis potestate fulgebit." profectus vero ex more Theoctistus ad Areobindi balnea, tumque ad secretariorum curiam veniens, oblatos libellos ac suggestiones tenens, in Lausiacum ingressus est; atque huc illuc iactans oculos Bardam cum fastu sedentem videret, turbatusque valde ait "si ad Augustam semel ingressus fuero, eum rursus fugabo et eiiciam." ingredienti autem illi in horologium in occursum venit Michael cum Damiano, nec eum ad Augustum ingredi passi sunt, sed cum ira libellos explicare et coram Michaele legere iusserunt. cumque rem volens nolens fecisset, referre pedem ac retroexire coactus est. is porro amare flens lamentansque ac quiritans exivit. occurrit Bardas in Lausiaco, eiusque genas caedere ac capillos ipsius vellere coepit. videns autem excubiarum drungarius Maniaces, exsurgens Bardae contradicebat, ne logothetam caederet. hi enimvero virum contrucidant, membratimque concidunt ad locum Scytha, immanium in eo bestiarum crudelitate ac feritate exhibita.

13. Id ubi Theodora ex papia cognovit, egressa adversus Michaelem, ut par erat, reliquosque qui caedem patraverant, indignabunda excanduit. cumque imperator nullum non moveret lapidem ut matrem placaret, nullum illa admittebat lenimen aut iram remittebat, ulliusve capax consolationis erat: sed quasi marinus fluctus, nihil lenior fiebat

κλύδων θαλάσσιος νουθετουμένη παρηγορεῖτο καὶ κατεπείθετο. ὅθεν μεταβαλὼν ὁ βασιλεύς, ὥσπερ τὴν ψυχὴν καὶ τὴν γνώμην, D οὕτω δὴ καὶ τὸ σχῆμα καὶ τὴν ἐνέργειαν, τοσούτοις τρόποις λυπεῖν αὐτὴν κατεπείγετο ὅσοις πρὸ τοῦ θεραπεύειν ἐσχηματίζετο. καὶ δὴ τὰς μὲν ἀδελφὰς αὐτοῦ, Θέκλαν Ἀναστασίαν καὶ Ἄνναν, ἐξωθεῖ τοῦ παλατίου, καταγαγὼν εἰς τὰ Καριανοῦ, Πουλχερίαν δὲ ὡς ἠγαπημένην τῇ μητρὶ ἀπέστειλεν ἐν τῇ μονῇ τῶν Γαστρίων. εἶθ' οὗτος μετ' ὀλίγον ἑνώσας πάσας ἐν τῇ μονῇ τῶν Γαστρίων ἀπέκειρεν, περιβαλὼν αὐτὰς τὸ μοναδικὸν σχῆμα.

14. Ὑπὸ δὲ τῆς συγκλήτου εὐφημισθεὶς μόνος αὐτοκρατορεῖ, καὶ προβάλλεται Βάρδαν μάγιστρον καὶ δομέστικον τῶν P 534 σχολῶν. μὴ διαλλαττομένης δὲ τῆς μητρὸς αὐτοῦ δι' ἃ ἐλύπει αὐτὴν καὶ τὴν ἄδικον σφαγὴν Θεοκτίστου, ἔχθρα ὑπῆρχεν αναμεταξὺ αὐτῶν ἄσπονδος. ὁ δὲ καὶ ταύτην τοῦ παλατίου καταγαγὼν εἰς τὸ μοναστήριον τὰ Γαστρία καὶ αὐτὴν ἀποστέλλει. ἥ τις ἀθυμίᾳ μετεωρισθεῖσα τὸν νοῦν, καὶ ὑπὸ ἐκπλήξεως ἀφαιρεθεῖσα καὶ τὸ φρονεῖν, ἀνάξια ἑαυτῆς κατασκευάζει, βουλὴν κατὰ Βάρδα βουλευομένη, σὺν πολλοῖς καὶ ἄλλοις σχοῦσα κοινωνὸν καὶ τοῦ βασιλέως τὸν πρωτοστράτορα, ὅπως ὑποστρέφοντα Βάρδαν ἀπὸ τοῦ προαστείου αὐτοῦ τοῦ Κοσμιδίου ἀναιρήσωσιν αὐτόν. B ὧν ἡ μελέτη πρὸ τοῦ ἔργου φανερωθεῖσα κατ' ἐκείνων τῶν μελετησάντων τὸ κακὸν ἐξενήνοχε· φωραθέντες γὰρ καὶ κατασχεθέντες ἐν τῇ σφενδόνῃ τὰς κεφαλὰς ἀπετμήθησαν. καὶ προβάλλεται

1 οὐ παρηγορεῖτο margo P 12 τῆς om P

aut obsequebatur. quapropter, quemadmodum animum sensumque ac voluntatem, sic et personam operationemque imperator mutans, tot eam modis affligere eique molestus ingruere studebat, quot prius delinire atque fovere simulabat. atque adeo sorores Theclam Anastasiam et Annam aula eiicit, Pulcheriam vero, uti matri praedilectam, in monasterium Gastria dictum misit; tumque brevi post, omnes una conflans, monastico indutas habitu in monasterio Gastria, coma multavit.

14. Porro senatu acclamante unus ipse rerum potitur, Bardamque magistrum creat ac legionum domesticum. cumque mater non conciliaretur, quibus eum modis affligebat, et ob iniustam Theoctisti caedem animo saucia, implacabilis inter eos erat inimicitia. hancque adeo ipsam aula deturbans ad monasterium Gastria amandat. illa nimio maerore mente obruta, ac prae stupore sanis rationibus deiecta, haud satis ex sui ratione ac dignitate consilium init adversus Bardam, aliis quoque multis communi coniuratione, socium ipsum quoque imperatoris protostratorem habens. in eo coniuratio erat ut Bardam ex suburbano suo revertentem, cui Cosmidii nomen, interficerent. detecta rei molitio, priusquam res praestaretur, adversus ipsos qui moliti essent avertit noxam. deprehensi namque ac tenti in Circi funda capita posuerunt. Ba-

Μιχαὴλ τὸν Βασίλειον ἀντὶ τοῦ τελευτήσαντος πρωτοστράτορα, ὁμοίως καὶ Βάρδαν τὸν θεῖον αὐτοῦ κουροπαλάτην.

15. *Ἔπεσε τότε κόνις ἐκ τοῦ οὐρανοῦ κατενεχθεῖσα ἐπὶ τοὺς κεράμους αἱματώδης πλήρης· καὶ πολλοὶ εὕρισκον λίθους ἐν ταῖς ὁδοῖς ἢ κήποις ἐρυθροὺς ὡς αἷμα. προβάλλεται δὲ Μιχαὴλ* C *Ἀντίγονον τὸν υἱὸν Βάρδα δομέστικον τῶν σχολῶν. τὸν δὲ ἕτερον υἱὸν αὐτοῦ δοὺς γυναῖκα, εἰς ἣν καὶ ἐλοιδορεῖτο, προβάλλεται μονοστράτηγον τῶν δυτικῶν. συντόμως δὲ αὐτοῦ τελευτήσαντος, τῇ δὲ τοῦ διακαινησίμου προβάλλεται Μιχαὴλ Βάρδαν τὸν θεῖον αὐτοῦ Καίσαρα· ὃς ἐπὶ ἅρματος πορευθεὶς ἔδωκεν ὑπατείαν τῇ μέσῃ.*

16. *Ἐξῆλθε δὲ ὁ Ἄμερ, καὶ κατῆλθε μέχρι Σινώπης, ληϊσάμενος πάντα τὰ τῶν Ῥωμαίων· καὶ ὑπέστρεψε μὴ καταληφθεὶς ὑπὸ τοῦ Ῥωμαϊκοῦ στρατοῦ. ἐκστρατεύσας δὲ Μιχαὴλ ἅμα Βάρδᾳ Καίσαρι κίνησιν ποιεῖ κατὰ Μιχαὴλ ἄρχοντος Βουλγαρίας διά τε γῆς καὶ θαλάσσης, μαθὼν τὸ τῶν Βουλγάρων ἔθνος* D *λιμῷ τήκεσθαι. οἱ δὲ Βούλγαροι τοῦτο μαθόντες ὡς ἦχον βροντῆς ὑπεκλίθησαν καὶ πρὸ τῶν ἀγώνων καὶ τῆς μάχης περὶ τῆς νίκης ἀπέγνωσαν, καὶ Χριστιανοὶ γενέσθαι καὶ ὑποτάττεσθαι τῷ βασιλεῖ καὶ Ῥωμαίοις ᾐτήσαντο. ὁ δὲ Μιχαὴλ τὸν μὲν ἄρχοντα αὐτῶν βαπτίσας καὶ δεξάμενος ἐπέθηκεν αὐτὸν τὸ αὐτοῦ ὄνομα, τοὺς δὲ μεγιστᾶνας αὐτοῦ ἐν τῇ πόλει ἀγαγὼν ἐβάπτισεν αὐτούς, ἔκτοτε γενομένης εἰρήνης βαθείας.*

silium Michael exstincti loco prostratorem praeficit; similiter etiam Bardam, avunculum suum, curopalatam.

15. Cecidit tunc pulvis e caelo, delatus in tegulas ac lateres totus cruentus. inventi a multis lapides in via aut hortis rubri coloris instar sanguinis. Michael Antigonum Bardae filium scholarum domesticum praefecit. alteri filiorum Bardas iungit coniugem, quacum malae rei suspicio habebatur. Michael dominica post Pascha Bardam avunculum suum creat Caesarem; qui curru vectus consularia per mediam urbem sparsit munera.

16. Egressus porro Amer Sinopem usque descendit, vastans omnia ac diripiens, quae Romanae essent dicionis; reversusque est, cum eum Romanus exercitus minime assecutus esset. suscepta autem Michael cum Barda Caesare expeditione motionem facit terra marique adversus Michaelem Bulgariae principem, cum Bulgarorum gentem fame tabescere comperisset. Bulgari re audita haud secus ac tonitru perciti subfugerunt, ac ante certamina pugnamque omnem de victoria spem abiecerunt, Christianique fieri imperatorique subiici ac Romanis petierunt. Michael eorum principem baptisans, eiusque e sacro fonte susceptor, suo ex nomine Michaelem vocavit. eius vero proceres in urbem inductos perinde baptisavit. quo ex tempore alta pax fuit.

17. Τὸν δὲ Ἄμερ ἐξελθόντα κατὰ Ῥωμανίας στρατηλάτης
ὢν τῆς ἀνατολῆς Πετρωνᾶς καὶ Νάσαρ τῶν βουκελλαρίων, λοχή- P 535
σαντες τὴν τῆς ὑποστροφῆς αὐτοῦ συναντῶσιν αὐτῷ εἰς τὸν Λα-
λακάωνα, καὶ συμβολῆς γενομένης τρέπουσιν Ἄμερ, καὶ φυγῇ
χρησάμενον καταδιώκει αὐτόν τις τῶν κομήτων, καὶ τούτου τὴν
κεφαλὴν ἄρας ἤγαγε Πετρωνᾷ τῷ στρατηλάτῃ. εἰσελθόντες δὲ
οἱ στρατηγοὶ μετὰ ἐπινικίων ἐθριάμβευσαν ταῦτα ἐν τῷ ἱππικῷ.
καὶ ἔκτοτε ἐγένετο εἰρήνη μεγάλη ἐν τῇ ἀνατολῇ διὰ τὴν τοῦ Ἄμερ
σφαγήν.

18. Καὶ ἄλλων μὲν οἱ πόνοι καὶ τὰ κατὰ τῶν πολεμίων
ἀνδραγαθήματα· ἡ δὲ τοῦ βασιλέως ἀγάπη πρὸς τὸν Βασίλειον
ἐξέχυτο, καὶ τοῦτον μόνον εἶναι τὸν θεραπευτὴν αὐτοῦ.

19. Ἔκτισε δὲ Μιχαὴλ στάβλον τοῖς ἵπποις αὐτοῦ, κοσμή- B
σας μαρμάροις καὶ ὑδάτων ἐπιρροαῖς κατασκευάσας ὡραιότατον
πάνυ. καὶ τούτου τελεσθέντος, ἦν τις ἐν τῇ πόλει ὀνόματι Πέ-
τρος λόγιος καὶ σκωπτικός, ὃν καὶ πτωχομάγιστρον ἐκάλουν. τοῦ-
τον προσκαλεσάμενος Μιχαὴλ ἐν τῷ στάβλῳ ὑπεδείκνυεν αὐτῷ τὴν
ἄλογον τοῦ κατασκευασθέντος οἴκου εὐπρέπειαν, ὡς βουλόμενος
ἐπαινεθῆναι παρ᾽ αὐτοῦ, εἰπὼν καὶ τοῦτο ὡς ἀεὶ μνημονεύεσθαι
μέλλω διὰ τὴν τοῦ ἔργου τούτου κατασκευήν. ὁ δὲ ἔφη τῷ βασι-
λεῖ "Ἰουστινιανὸς ἔκτισε τὴν μεγάλην ἐκκλησίαν, κοσμήσας χρυσῷ C
καὶ ἀργύρῳ καὶ μαρμάροις πολυτίμοις, καὶ μνήμη αὐτοῦ νῦν οὐκ
ἔστιν. καὶ σύ, βασιλεῦ, κοπροθέσιον ποιήσας καὶ ἀλόγων ἀνά-
παυσιν, καὶ λέγεις μνημονεύεσθαι διὰ τοῦτο;" ὁ δὲ ἀποτυχὼν

17. Per id tempus, cum Amer adversus Romanam dicionem egressus esset, Petronas Asiaticorum militiae magister et Nasar buccellariorum, illius in regressu obsidentes iter, in Lalacaone castra iunxerunt, commissaque pugna Amerem in fugam vertunt: fugientem illum quidam comitum insequitur, eiusque tollens cervicem Petronae magistro militiae attulit. ingressi urbem duces cum manubiis eos in Circo triumpho traduxerunt. quo ex tempore pax magna in Oriente fuit ob eam Ameris caedem.

18. Ac quidem aliorum labores erant adversumque hostes fortia belli facinora; imperatoris vero dilectio in Basilium effusa erat, huncque unum sui cultorem ducebat.

19. Construxit Michael equis suis stabulum, marmoribus perornans aquarumque irriguis, elegantissimo opere fabricans. quo absoluto, erat in urbe vir eruditus ac eloquio salsus, Petrus nomine, quem Ptochomagistrum dicebant. quo Michael in stabulum vocato ostendebat ei structae aedis insulsum decorem ac elegantiam, ab eo inde laudem captans, dicensque sempiterna celebrandum se memoria, iccirco quod istud operis struxisset. ad quem ille "Iustinianus maiorem exstruxit ecclesiam, ornans auro et argento pretiosisque marmoribus, nec eius nunc memoria est. tuque, imperator, structa stercorum domo ac equorum stabulo, eo

τῶν ἐξ αὐτοῦ ἐπαίνων καὶ ὀργισθείς, τυπτόμενος καὶ συρόμενος ἐξεβλήθη ὁ πτωχομάγιστρος.

20. *Φήμης δὲ διαθεούσης περὶ Βάρδα Καίσαρος ὅτι τῇ νύμφῃ αὐτοῦ συμφθείρεται, τοῦτο ἀκούσας Ἰγνάτιος ὁ πατριάρχης πολλάκις παρῄνεσεν αὐτὸν ἀποσχέσθαι τοῦ τοιούτου μύσους* D *καὶ μὴ πρόσκομμα εἶναι πολλῶν τὸν ἀρετῆς ὑπόδειγμα εἶναι ὀφείλοντα καὶ σώφρονος βίου. ὁ δὲ φρονεῖν κατεπείγετο. καὶ δή ποτε μέλλοντα κοινωνεῖν τὸν Βάρδαν ὁ πατριάρχης ἀπώσατο ὡς μὴ πειθόμενον κανόσιν ἢ παραινέσεσιν· ὃς ὀργῇ πληγεὶς τὴν ψυχὴν τὸν παραινέτην ὡς ἄνομον καὶ φθορέα τῆς ἐκκλησίας ἐξέωσε καὶ βασάνοις ἀπείροις καὶ ἀνημέροις ὑπέβαλεν ὡς ποιῆσαι παραίτησιν. τοῦ δὲ μὴ πεισθέντος Φώτιον πατριάρχην ἀντ' αὐτοῦ χειροτονεῖ, πρωτασηκρῆτιν ὄντα τῷ κατ' ἐκεῖνο καιροῦ καὶ λογιώτατον πάνυ.*

21. *Ὁ δὲ βασιλεὺς ἐξεστράτευσε κατὰ τῶν Ἀγαρηνῶν, καταλιπὼν ἐν τῇ πόλει ταύτην φυλάττειν Ὠορύφαν ὕπαρχον ὄντα, ὅστις οὔπω τοῦ βασιλέως μηδὲν ἐξ ὧν ἐμελέτα καὶ κατὰ νοῦν εἶχεν* P 536 *ἐργασαμένου τὴν τῶν ἀθέων Ῥὼς ἐμήνυσεν ἄφιξιν, γεγενημένους ἤδη κατὰ τὸν Μαυροπόταμον. καὶ ὁ μὲν βασιλεὺς καὶ τῆς ἐχομένης μετεσχέθη ὁδοῦ, καὶ δι' ἣν ταύτην ἀφῆκεν, οὐδὲν βασιλικὸν καὶ γενναῖον εἰργάσατο. οἱ δὲ Ῥὼς φθάσαντες ἔνδον τοῦ Ἱεροῦ γενέσθαι πολὺν εἰργάσαντο φόνον Χριστιανῶν καὶ ἀθῴων*

7 *οὐ κατεπείθετο* margo P

nomine celebri te fore memoria dicis?" exspectata ille frustratus laude, iraque accensus, caesum Ptochomagistrum tractumque eiicit.

20. Percrebescente fama de Barda Caesare, commisceri eum foedis amoribus cum nuru sua, audiens Ignatius patriarcha saepe admonuit ab eiusmodi abscedere scelere, nec vulgo scandalum esse, qui virtutis exemplum et castae vitae esse deberet. noluit ille saniorem mentem assumere. ac vero cum aliquando sacra mysteria percepturus esset, reppulit eum patriarcha, ut qui canonibus atque monitis morem non gereret. Bardas ira animo percitus monitorem ut improbum ac corruptorem ecclesia eiicit, ac quae numerum superent, dirissimisque tormentis ut abdicare cogat virum, subiicit; cuius nihil expugnata constantia, eius loco Photium patriarcham praefecit, eo tempore a secretis primi dignitate fulgentem ac eruditissimum valde.

21. Imperator expeditione suscepta adversus Agarenos profectus est, relicto in urbe, cuius servandae curam haberet, Oorypha praefecto. is, cum necdum aliquid imperator peregisset eorum quae moliebatur atque animo destinasset, impios Russos advenisse nuntio significat atque iam Mauropotamum assecutos esse. ac quidem imperator ab eo quod instituerat revocatus itinere, cuius causa dimisit, regalis nihil fortisque animi fecit. Russi porro intra Hierum penetrantes multas Christiano-

αἷμα ἐξέχεον. ὑπῆρχον δὲ πλοῖα διακόσια, ἃ περιεκύκλωσαν τὴν πόλιν καὶ πολὺν φόβον τοῖς ἔνδοθεν ἐνεποίησαν. ὁ δὲ βασιλεὺς καταλαβὼν μόλις ἴσχυσε διαπερᾶσαι. καὶ δὴ σὺν τῷ πατριάρχῃ Φωτίῳ εἰς τὸν ἐν Βλαχέρναις ναὸν τῆς τοῦ θεοῦ μητρὸς παρεγένοντο, κἀκεῖ τὸ θεῖον ἐξιλεοῦντο καὶ ἐξευμενίζοντο. εἶτα μεθ' B ὑμνῳδίας τὸ ἅγιον τῆς θεοτόκου ἐξαγαγόντες ὠμοφόριον τῇ θαλάσσῃ ἄκρως προσέβαψαν, καὶ νηνεμίας οὔσης εὐθὺς ἀνέμων ἐπιφοραὶ καὶ τῆς θαλάσσης ἠρεμούσης κυμάτων ἐπαναστάσεις ἀλλεπάλληλοι ἐγένοντο, καὶ τὰ τῶν ἀθέων Ῥῶς πλοῖα κατεάγησαν, ὀλίγων ἐκπεφευγότων τὸν κίνδυνον.

22. Βάρδα δὲ τοῦ Καίσαρος ἐν τῇ προελεύσει διερχομένου μετὰ σκαραμαγγίου ὀξέος εἰς τὸ ὡρολόγιον καθεζόμενος Δαμιανὸς ἐκεῖσε πατρίκιος, ὁ καὶ παρακοιμώμενος, οὐκ ἐπηγέρθη C τιμῆσαι αὐτόν. τοῦτο ἰδὼν ὁ Καῖσαρ ἐθυμώθη λίαν· καὶ εἰσελθόντος αὐτοῦ εἰς τὸν Χρυσοτρίκλινον καὶ συγκαθεσθέντος τῷ βασιλεῖ καὶ δακρύοντος ἀπὸ ὀργῆς καὶ θυμοῦ ἠρώτησε τὴν αἰτίαν ὁ βασιλεύς. ὁ δὲ ἔφη ὅτι Δαμιανὸς δὴ ὁ παρακοιμώμενος εἰς ὄνειδος ἐμοῦ καὶ τῆς σῆς βασιλείας οὐκ ἐπηγέρθη μοι ἐνώπιον τῆς συγκλήτου. θυμωθεὶς δὲ ὁ βασιλεὺς Μαξιμιανόν τινα κοιτωνίτην παρευθὺ προστάττει ἆραι Δαμιανὸν καὶ ἐν τῷ ἐμπορίῳ τοῦ ἁγίου Μάμαντος ἀπαγαγεῖν, καὶ τοῦτον ἀποκεῖραι καὶ ποιῆσαι μοναχόν, καὶ προστάξαι φρουρεῖσθαι· καὶ τῇ αὐτῇ ἡμέρᾳ προβάλλεται D Βασίλειος ὁ πρωτοστράτωρ παρακοιμώμενος. (23) ἐζηλοτύπησε

rum patrarunt caedes ac insontem sanguinem effudere. erant autem naves ducentae, quibus urbem obsedere ingentique oppidanos timore affecere. imperator cum venisset, vix traiicere potuit; venitque cum Photio patriarcha ad sanctae deiparae Blachernarum aedem, ibique numen placabant ac propitium reddebant. tum cum canticis ac laudibus educentes sanctae dei genitricis pallium, extrema ora mari instinxere; ac cum nulla spiraret aura, confestim venti irruerunt, marique sedato ac tranquillo procella fluctusque continui insurrexerunt. iis confracta Russorum classis, paucaeque admodum naves periculum evaserunt.

22. Barda porro Caesare solemni pompa cum chlamyde purpurei coloris procedente, Damianus ibi patricius sacrique cubiculi praefectus intimus in horologio sedens honoris causa non assurrexit. quo viso Caesar gravi ira exarsit, ingressoque eo in triclinium aureum, ac cum imperatore sedente exque ira ac furore flente, sciscitatus est imperator eius tantae commotionis quid illi causae esset. respondit ille "quia nimirum Damianus accubitor, meo tuaeque maiestatis probro, coram senatu mihi non assurrexit." iratus imperator Maximianum quendam cubicula-ium confestim iubet ollere Damianum, atque ad S. Mamantis empoium adductum ibi detondere ac facere monachum, et ut tuto servetur ac carcere teneatur iubere. eadem ipsa die Basilius protostrator accubitor (sacri cubiculi praefectus intimus) promovetur. (23) hoc audito

δὲ ὁ Καῖσαρ τοῦτο ἀκούσας, καὶ ἔκτοτε ἐζήτει ἀποκτεῖναι Βασίλειον.

Ἐχώρισε Βασίλειον ὁ Μιχαὴλ τῆς ἰδίας γυναικὸς Μαρίας, δεδωκὼς αὐτῷ γυναῖκα Εὐδοκίαν τὴν Ἰγγηρῖναν, διορισάμενος αὐτῷ κυρίαν αὐτὴν ἔχειν· ἦν γὰρ αὐτὴ τοῦ βασιλέως παλλακή, καὶ πάνυ ἠγάπα αὐτὴν ὡς εὐπρεπῆ. τῇ δὲ προτέρᾳ αὐτοῦ γυναικὶ Μαρίᾳ δοὺς χρυσίον καὶ ἄλλα τινὰ ἀπέστειλεν ἐν Μακεδονίᾳ εἰς τὰ ἴδια. Θέκλαν δὲ τὴν ἰδίαν ἀδελφὴν προσήρμοσε Βασιλείῳ τοῦ ἔχειν ἰδίως.

P 537 24. Ἔκτοτε δὲ ὑπεβλέποντο ἀλλήλους ὅ τε Καῖσαρ καὶ ὁ Βασίλειος, ζητοῦντες πῶς ἕτερος τὸν ἕτερον ἀνελεῖ. ἰδίως δὲ ἐλοιδόρει Βασίλειος βασιλεῖ τὸν Καίσαρα ὡς κατ' αὐτοῦ μελετῶντα. ὁ δὲ ταῦτα ὡς λῆρον ἤκουεν. ὁ δὲ Βασίλειος σπεύδων πληροφορῆσαι τὸν βασιλέα συμφιλιοῦται Συμβατίῳ πατρικίῳ καὶ λογοθέτῃ τοῦ δρόμου, γαμβρῷ δὲ τοῦ Καίσαρος· καὶ δι' ὅρκων ἐβεβαιώσαντο ἀλλήλους ἐν ὁμονοίᾳ καὶ διηνεκεῖ ἀγάπῃ εἶναι. ἐπληροφόρησε δὲ καὶ Συμβάτιον ὁ Βασίλειος δι' ὅρκων φρικτῶν ὡς τοῦ βασιλέως ἀγάπην πολλὴν ἔχοντος πρὸς σέ, κἀμοῦ σπου-
B δάζοντος τὰ ὑπὲρ σοῦ, μελετᾷ μὲν προβαλέσθαι Καίσαρα, ἀλλὰ διὰ τὸν πενθερόν σου τοῦτο ἀδυνατεῖ ποιῆσαι. ὁ δὲ ἀπατηθεὶς τοῖς ὅρκοις τοῦ Βασιλείου γέγονε κατὰ τοῦ Καίσαρος Βάρδα τοῦ ἰδίου πενθεροῦ· καὶ εἰσελθὼν εἰς τὸν βασιλέα ἐξωμόσατο πληρο-

15 τοῦ om P

Caesar aemulatione accensus est, ac iam tum Basilio necem inferre quaerebat.

Michael Basilium a propria uxore Maria divortio seiunxit, Eudocia Ingerina illi tradita coniuge, iubens illi ut dominam ipsam haberet; quippe quae imperatoris pellex esset, eamque is velut decoram valde diligeret. priori eius uxori Mariae dato auro aliisque nonnullis muneribus, in Macedoniam ad suos remisit. Theclam vero sororem Basilio aptavit, ut propriam eam haberet.

24. Extunc autem alter alterum suspectum habebat, tum scilicet Caesar tum Basilius, et quaerebant qua ratione sibi mutuo necem consciscerent. seorsum vero Basilius apud imperatorem Caesari obtrectabat, quasi is adversus illum machinaretur. id enimvero imperator ut delirium habebat. itaque imperatorem certiorem facere satagens, amicitia iungitur Symbatio patricio ac publici cursus logothetae Caesarisque genero, mutuamque iureiurando obstrinxere fidem in concordia iugique secum ambos dilectione versaturos. sed et tremendis iuramentis Basilius Symbatio fidem facit, multum eum diligi ab imperatore, esseque illi constitutum, ipso praesertim eius illi auctore remque satagente, ut Caesarem proveheret, propter eius tamen socerum rem illi praestare non licere. quibus iuratis Basilii verbis adversus Bardam suum socerum stetit; ingressusque ad imperatorem iureiurando affirmavit, fidem se factu-

φορῆσαι αὐτὸν ὅτι ὁ Καῖσαρ βούλεταί σε ἀνελεῖν, ἐξειπὼν καὶ τὰ τῆς βουλῆς. (25) ὁ δὲ βασιλεὺς τοῖς ὅρκοις τοῦ Συμβατίου πεισθεὶς καὶ τοῖς λόγοις τοῦ Βασιλείου βεβαιωθεὶς ἐνδομύχει κατὰ τοῦ Καίσαρος. εἰδὼς δὲ Βασίλειος ὅτι πάντα καλῶς κατὰ τοῦ Καίσαρος συνεσκεύασται, ἐν τῇ πόλει μὴ δυνάμενος τοῦτο ποιῆσαι, C πείθει τὸν βασιλέα κινῆσαι στόλον καὶ στρατὸν κατὰ τῆς Κρήτης. τούτου δὲ γενομένου Λέων ὁ φιλόσοφος Βάρδα τὸν Καίσαρα παρῄνει ὑποστέλλεσθαι καὶ τηρεῖν ἑαυτὸν ἀπὸ Βασιλείου. ὁ δὲ Καῖσαρ τὸν βασιλέα πάλιν ἐπεφώνει τοῦ φείδεσθαι Βασιλείου.

26. Γενομένης δὲ τῆς προελεύσεως εἰς τὰ Χαλκοπρατεῖα τῷ εὐαγγελισμῷ, καὶ τῆς εἰσόδου γενομένης καὶ τοῦ εὐαγγελίου τελεσθέντος, ἀνῆλθεν ὁ πατριάρχης Φώτιος καὶ ὁ βασιλεὺς σὺν τῷ Καίσαρι καὶ τῷ παρακοιμωμένῳ ἐν τοῖς κατηχουμένοις, τοῦ πατριάρχου ἐπὶ χεῖρας ἔχοντος τὸ τίμιον αἷμα τοῦ κυρίου ἡμῶν D Ἰησοῦ Χριστοῦ. καὶ βάψαντες ὅ τε βασιλεὺς καὶ ὁ Βασίλειος τοὺς τιμίους ὑπέγραψαν σταυρούς, ὅρκῳ βεβαιοῦντες τὸν Καίσαρα ἀφόβως συνεξελθεῖν μετ' αὐτῶν ἐν τῷ ταξειδίῳ. φανερῶς γὰρ Λέων ὁ φιλόσοφος παρεγγυᾶτο τῷ Βάρδᾳ μὴ ἐξελθεῖν σὺν αὐτοῖς· ἐξερχόμενον γὰρ ἔλεγε μὴ ὑποστραφῆναι.

27. Ἀπὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα ἀπάρας ὁ βασιλεὺς μετὰ πολλοῦ στρατοῦ κατέλαβεν ἐν τῷ θέματι τῶν Θρακησίων.

4 τοῦ om P   7 Βάρδαν?

rum quod in eius Caesar conspiraverit necem, simul etiam enarrans quae essent coniurationis. (25) porro imperator Basilii iuramentis ac sermonibus confirmatus intus animo adversus Caesarem consilia condebat. sciens autem Basilius rite illi omnia adversus Caesarem instructa, cum in urbe rem exsequi non posset, auctor est imperatori ut classem ac copias adversus Cretam educat. quo sic constituto Leo philosophus Bardam Caesarem serio hortabatur ut se subduceret sibique a Basilio caveret. Caesar vero rursum imperatorem clamabat in Basilium indulgentiorem esse.

26. Solenni autem ad Chalcopratia in die annuntiationis processu, factoque rei sacrae introitu ac perlecto evangelio, Photius et imperator cum Caesare et accubitore ad catechumena ascenderunt, habente patriarcha in manibus pretiosum domini nostri Iesu Christi sanguinem; intingentesque tum imperator tum Basilius venerandas subscripsere cruces, iureiurando affirmantes Caesari ut omni excusso metu cum eis in castra exiret. manifeste enim Leo philosophus admonebat Bardam ne cum eis exiret: id si fecisset, reversurum non esse.

27. Actis iam paschae solenniis profectus imperator cum ingentibus copiis in Thracesiorum provinciam descendit. cumque ad Cepos castra

ἀπληκευσάντων δὲ αὐτῶν εἰς Κήπους Βασίλειος ὁ παρακοιμώμενος P 538 *βουλὴν ἐποιεῖτο ἀνελεῖν τὸν Καίσαρα. ὑπῆρχε δὲ ἐν τῇ βουλῇ Μαυριανὸς καὶ Συμβάτιος καὶ Ἀσυλαίων ὁ ἐξάδελφος αὐτοῦ καὶ Πέτρος ὁ Βούλγαρος καὶ Ἰωάννης ὁ Χάλδος καὶ Κωνσταντῖνος ὁ Τοξαρᾶς. Ἰωάννης δὲ ὁ Νεατοκωμήτης διέγνω ταῦτα· καὶ κατελθὼν εἰς τοῦ Καίσαρος τένταν τοῦ ἡλίου δύνοντος, καὶ συντυχὼν Προκοπίῳ πρωτοβεστιαρίῳ τοῦ Καίσαρος, διεβεβαιοῦτο ὅτι αὔριον μεληδὸν κατακόπτεται ὁ δεσπότης ὑμῶν ὁ Καῖσαρ. ὁ δὲ Καῖσαρ ταῦτα ἀκούσας εἶπε Προκοπίῳ "ἀπελθὼν εἰπὲ τῷ Νεατοκωμήτῃ ὅτι ληρεῖς. οἶδας ὅτι νέος εἶ, καὶ οὐ πρέπει σοι ἡ τοῦ* B *πατρικίου ἀξία· σὺ γὰρ διὰ τοῦτο τὰ ζιζάνια αὐτὰ ἐγείρεις." ἄϋπνος δὲ διατελέσας, ὄρθρου βαθέος τοὺς αὐτοῦ πάντας προσκαλεσάμενος διεσάφησε τὰ λαληθέντα αὐτῷ, βουλὴν ἐπιζητῶν παρ' αὐτῶν. Φιλόθεος δὲ πρωτοσπαθάριος καὶ γενικός, προσφιλὴς αὐτοῦ ὤν, εἶπε τῷ Καίσαρι "αὔριον, ὦ δέσποτα, περιβαλοῦ τὸν χρυσοπέρσικόν σου χιτῶνα καὶ ὄφθητι τοῖς ἐχθροῖς σου, καὶ ἀπὸ προσώπου σου φεύξονται."* (28) *τοῦ ἡλίου δὲ ἀνατείλαντος ἵππῳ ἐπιβὰς παρεγένετο πρὸς τὴν κόρτην τοῦ βασιλέως μετὰ στολῆς λαμπρᾶς, πολλῶν περικυκλούντων αὐτόν, ἔχων* C *πρωτοστράτορα γενναῖον τὸν Ἀργυρόν. Κωνσταντῖνος ὁ Τοξαρᾶς τῇ Βασιλείου .... προϋπήντησε. προσκυνήσας αὐτὸν καὶ ὑποστραφεὶς ἐμήνυσε Βασιλείῳ τὴν τοῦ Καίσαρος ἄφιξιν. Βασίλειος*

21 προτροπῇ addit margo P

posuissent, Basilius accubitor consilium subornabat ut Caesarem neci traderet. erant autem in coniuratione Maurianus et Symbatius et Asylaeo eius patruelis et Petrus Bulgarus et Ioannes Chaldus, et Constantinus Toxaras. Ioannes autem Neatocometes rem cognovit, profectusque ad Caesaris tentorium sub solis occasum, ac cum Procopio locutus Caesaris protovestiario servo, affirmabat cras membratim concidendum ipsorum dominum Caesarem. quibus Caesari auditis, dixit Procopio "vadens dicito Neatocometi, deliras. scis te iuvenem esse, nec te decet patricii dignitate ornari. tu enim eam ob rem haec zizania disseminas." insomnis itaque noctem agens, profundo statim diluculo suis omnibus in consilium vocatis nota fecit quae dicta ad eum essent, rogans ac quaerens quid illi consultum putarent. ad quem Philotheus protospatharius et generalis ipsi amicissimus ait Caesari "cras, domine, aurea tua chlamyde caesii coloris indutus te ipsum inimicis tuis coram exhibe, et a facie tua fugient." (28) orto itaque sole, conscenso equo ad imperatoris tentorium splendido amictu multoque stipatus satellitio venit, protostratorem ac armigerum virum strenuum Argyrum habens. Constantinus Toxaras Basilii iussu ei obviam, venerantis specie accipiens, venit; regressusque Caesaris adventum Basilio nuntiavit. Basilius egressus et

δὲ ἐξελθὼν προσεκύνησεν αὐτόν, καὶ τῇ χειρὶ κρατήσας προσήγαγε πρὸς τὸν βασιλέα. ὁ δὲ Καῖσαρ συγκαθεσθεὶς τῷ βασιλεῖ ἔφη "τοῦ λαοῦ παντός, ὦ δέσποτα, συνηγμένου πρόσταξον διαπεράσαι ἐν τῇ Κρήτῃ." ὄπισθεν δὲ ἐπιστὰς ἑστὼς ὁ Βασίλειος τῇ χειρὶ διηπείλει τὸν Καίσαρα. αἴφνης δὲ ἐπιστραφέντος τοῦ Καίσαρος καὶ ἰδόντος αὐτὸν ἀπειλούμενον, παρευθὺ Βασίλειος δέδωκεν αὐτῷ μετὰ τοῦ ξίφους, καὶ οἱ λοιποὶ οἱ μετ' αὐτοῦ μεληδὸν κατέκοψαν αὐτόν, τοῦ βασιλέως βλέποντος καὶ σιωπῶντος. D
(29) *ὥρα δὲ ἦν τρίτη τῆς ἡμέρας. εὐθέως δὲ ὁ βασιλεὺς καὶ ὁ Βασίλειος ἐπὶ τὴν πόλιν ὑπέστρεψαν. ἐρχομένων δὲ κατὰ τὴν ὁδόν, κατὰ τὸ ἐμπόριον τοῦ Ἀκρίτου, λαοῦ πολλοῦ συνηγμένου ἰδεῖν τὸν βασιλέα, εἷς τις μοναχικὸν σχῆμα περιβεβλημένος, ἐφ' ὑψηλῆς στὰς πέτρας, ἐφώνει μεγάλως τῷ βασιλεῖ "καλὸν ταξείδιον ἐποίησας, ὦ βασιλεῦ, τὸν ἴδιον συγγενῆ καὶ τὸ πατρῷον αἷμα ξίφει ἀνελών. οὐαί σοι, οὐαί σοι, ὅτι ταῦτα ἐποίησας." θυμωθεὶς δὲ ὁ βασιλεὺς καὶ ὁ Βασίλειος ἀποστέλλουσι μαγγλαβίτην τὸν Μωροθεόδωρον τὸν μοναχὸν ξίφει ἀνελεῖν. οἱ δὲ λαοὶ ἐπιδραμόντες πρὸς τὸν ἀποσταλέντα προεφασίσαντο ἄνουν καὶ* P 539
δαιμονῶντα αὐτὸν εἶναι, καὶ οὕτως μόλις παρῆλθε τὴν τιμωρίαν ὁ μοναχός.

30. *Ὀψὲ δὲ σαββάτῳ τῆς πεντηκοστῆς ἐδήλωσε Φωτίῳ τῷ πατριάρχῃ ὁ βασιλεύς, διὰ Ῥεντακίου πρωτοβεστιαρίου αὐτοῦ, τὴν ἀναγόρευσιν τῆς βασιλείας ποιῆσαι Βασιλείου. καὶ τῇ ἐπαύ-*

ipse venerans salutavit, prehensumque manu ad imperatorem adduxit. tum Caesar cum imperatore sedens, "cum omnes iam" inquit "copiae congregatae sint, iube, domine, in Cretam traiicere." retro prope Basilius stans manu Caesari minas intentabat. conversusque repente Caesar Basilium sibi minitantem vidit, moxque Basilius ensem illi adegit, ac qui illi comites erant reliqui, frustratim ipsum conciderunt, spectante imperatore ac contiscente. (29) hora erat diei tertia; confestimque imperator et Basilius in urbem reversi sunt. procedentibus vero in via ad Acriti emporium, magna populi multitudine congregata, ut imperatorem videret, quidam monachi habitu indutus, in excelsa stans petra, magna voce imperatori clamabat "egregiam vero expeditionem fecisti, o imperator, qui propinquum tuum et patrium sanguinem ense sustuleris. vae tibi, vae tibi, quod haec egeris." actus furore imperator Basiliusque spiculatorem mittunt, qui monachi cervices abscindat. accurrentes autem populi ad eum qui missus ad caedem fuerat, mentis sede deiectum hominem actumque a Daemone causantur, vixque in eum modum monachus poenam effugit.

30. Sero autem, sabbato pentecostes, significavit imperator Photio patriarchae per Rentacium protovestiarium suum, ut Basilium imperatorem eiusque collegam acclamet. in crastinum vero geminae sedes ex

ριον ἐξῆλθον δύο σελλία. οἱ δὲ λαοὶ διεταράχθησαν πῶς ἑνὸς βασιλέως ὄντος δύο σελλία ἐξῆλθον. τοῦ βασιλέως διερχομένου ἐν τῇ προελεύσει ὄπισθε Βασίλειος περιεπάτει, φορῶν σκαραμάγγιον μετὰ σπαθίου, ὡς ἔθος τοῖς παρακοιμωμένοις. μέχρι δὲ τῶν B βασιλικῶν πυλῶν εἰσελθὼν ὁ βασιλεὺς οὐκ ἀπέθετο τὸ στέφος, καθὼς ἔθος ἐστὶ τοῖς βασιλεῦσιν, ἀλλὰ μετ' αὐτοῦ εἰσῆλθε μέχρι τῶν ἁγίων θυρῶν. καὶ ἀντιστραφεὶς ἀνέβη πρὸς βαθμοὺς ἐστεμμένος, καὶ ὑποκάτω τοῦ βασιλέως Βασίλειος ὁ παρακοιμώμενος, κάτωθεν δὲ Βασιλείου Λέων ὁ Κάστωρ καὶ ἀσηκρῆτις, ἔχων τόμον ἐπὶ χεῖρας, καὶ Μιχαὴλ πραιπόσιτος ὁ Ἀγγούρης καὶ οἱ δήμαρχοι ἅμα τοῖς δήμοις. ἤρξατο οὖν Λέων ὁ ἀσηκρῆτις ἀναγινώσκειν, λέγων ὅτι Βάρδας ὁ Καῖσαρ ἐβουλεύσατο κατ' ἐμοῦ ἀνελεῖν με, καὶ διὰ τοῦτο ὑπεξήγαγέ με τῆς πόλεως. καὶ εἰ μὴ διὰ Συμβατίου καὶ Βασιλείου ἐμηνύθην, οὐκ ἂν ἐν τοῖς ζῶσιν C ἤμην. ἐτελεύτησε δὲ ὑπὸ τῆς ἰδίας ἁμαρτίας. θέλω δὲ Βασίλειον παρακοιμώμενον, ὡς πιστὸν ὄντα καὶ φυλάττοντα τὴν ἐμὴν βασιλείαν καὶ τοῦ ἐχθροῦ ἐλευθερώσαντά με καὶ πόθον πολὺν πρός με ἔχοντα, εἶναι φύλακα τῆς ἐμῆς βασιλείας καὶ προνοητήν, καὶ ὑπὸ πάντων εὐφημεῖσθαι ὡς βασιλέα." Βασίλειος δὲ ἐπληροῦτο δακρύων. καὶ δέδωκεν ὁ βασιλεὺς Φωτίῳ πατριάρχῃ τὸ στέμμα, ἄρας ἐκ τῆς κεφαλῆς αὐτοῦ. ὃς εἰσαγαγὼν ἐν τῇ ἁγίᾳ τραπέζῃ ἐποίησεν ἐπ' αὐτῷ εὐχήν. καὶ οἱ πραιπόσιτοι ἐνέγκαντες

14 ἐμηνύθημαι P

ierunt. mirari populus ac turbari, quomodo uno existente imperatore geminae sedes exissent. eunte autem solenni pompa imperatore Basilius a tergo incedebat, chlamydem cum minore ense, uti moris est accubitoribus portans. cum autem ad regias usque portas imperator ingressus esset, non posuit coronam, sicut moris imperatoribus est, sed illa redimitus caput adusque sacras fores intravit; conversusque gradus stemmate caput cinctus ascendit. subtus imperatorem erat Basilius accubitor; subtus Basilium vero Leo Castor a secretis, libellum in manibus habens, Michael item Angures praepositus, et factionum tribuni cum ipsis factionibus. coepit igitur Leo a secretis legere, dicens "Bardas Caesar contra me coniuravit, ut neci me traderet; eaque ratio est cur me eduxerit ex urbe. ac nisi mihi a Symbatio et Basilio detectae essent insidiae, non esset mihi iam vita superstes. porro mortuus est suo is scelere. volo autem Basilium, ut qui fidelis sit meamque custodiat maiestatem, ac qui ab hoste me liberaverit multaque me prosequatur amoris vi, mei esse imperii custodem, eiusque iura prospicere, et ab omnibus salutari tanquam imperatorem." porro Basilius lacrimis oppletus erat. deditque imperator Photio imperatorium stemma, e suo demptum capite. is in sanctam inducens mensam super ipso precem fudit. praepositi quoque

διαιτήσιον καὶ τζαγγία ἐνέδυσαν τὸν Βασίλειον, ὅστις βαλὼν τὴν χλαμύδα ἔπεσεν εἰς τοὺς πόδας τοῦ βασιλέως. καὶ ἐξῆλθεν ὁ πα- D τριάρχης, καὶ ἦρεν ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως τὸ στέμμα, καὶ ἐπέθηκεν αὐτὸ τῷ Βασιλείῳ. καὶ τῶν σκήπτρων πεσόντων, ὡς ἔθος, ἔστεψεν ὁ Μιχαὴλ τὸν Βασίλειον, καὶ εὐφήμησαν πάντες "Μιχαὴλ καὶ Βασιλείου πολλὰ τὰ ἔτη." ὁ δὲ τὸν τόμον ἐπαναγνοὺς Κάστωρ ἀσηκρῆτις ἐξελθὼν ἐν Νικομηδείᾳ, καὶ ἐλθὼν εἰς μονὴν ἀνδρείαν, ἔμεινε μέσον τοῦ λιβαδίου. ἦν δὲ ἐκεῖσε φρέαρ, καὶ ἐμπεσὼν ἐν αὐτῷ ἀπεπνίγη, καὶ ἐτάφη ἐκεῖ.

31. Συμβάτιος δὲ ὁ γαμβρὸς τοῦ Καίσαρος, ἀποτυχὼν τῆς τοῦ Καίσαρος ἀξίας, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ Βασιλείου, P 540 εἰς μῖσος κατὰ Βασιλείου κινεῖται. καὶ συμβουλευσάμενος μετὰ Γεωργίου στρατηλάτου τοῦ Πηγάνη τῇ ἐπαύριον αἰτεῖται στρατηγὸν προβληθῆναι. ἀντ' αὐτοῦ δὲ προεβλήθη λογοθέτης τοῦ δρόμου ὁ Γοῦμερ, κἀκεῖνος κόμης τοῦ Ὀψικίου. καὶ ἐξελθόντες ἅμα ὅ τε Συμβάτιος καὶ ὁ Πηγάνης ἤρξαντο καταστρέφειν τὸν λαὸν καὶ πυρπολεῖν τάς τε χώρας καὶ ἀμπέλους (ἦν γὰρ καιρὸς τοῦ θέρους), εὐφημοῦντες Μιχαὴλ μόνον, τὸν δὲ Βασίλειον ἀποκηρύττοντες. ταῦτα μαθόντες οἱ βασιλεῖς ἐκέλευσαν τοὺς λοιποὺς στρατηλάτας τούτους καταπολεμῆσαι. βουλευσάμενος δὲ Νικηφόρος ὁ Μαλεΐνος ἔρριψεν ἔγγραφον μέσον τοῦ λαοῦ, ἵνα δόλῳ B τούτους κρατήσωσιν καὶ μὴ τῷ φανερῶς πολεμεῖν εἰς ἐμφύλιον

1 ἐνέδοσαν P

Dietesium et regias afferentes vestes ac rubras ocreas Basilium calcearunt. Basilius abiecta chlamyde ad imperatoris pedes corruit. exiitque patriarcha, ablatumque ex imperatoris capite stemma Basilio imposuit. faustisque omnes vocibus ac ominibus Michaelis et Basilii annos multos conclamarunt. qui autem tomum legerat Castor a secretis, Nicomediam egressus, ac cum in virorum monasterium venisset, in medio prati locique aquis irrigui constitit. cumque ibi esset puteus, in ipsum lapsus eodem loco humatus fuit.

31. Symbatius vero affinis Caesaris, Caesaris ipse dignitate frustratus, ac sibi illusum a Basilio videns, odio in illum incitatur; communicatoque consilio cum Georgio magistro militiae Pegane, die crastina armata militia ducem se praefici flagitat. eius vero loco Gumer publici cursus logotheta constitutus est, ipseque Opsicii comes. egressique simul, tum Symbatius tum Peganes, agros evertere ac vineas ignique succendere coepere (erat enim aestas), Michaelem solum faustis ominibus prosequentes, Basilium vero abdicantes. quibus cognitis imperatores reliquos duces ac tribunos infestis in eos progredi signis praecepere. consilium autem iniens Nicephorus Maleïnus schedulas misit inter milites, ut eos dolo caperent, non aperto Marte pugnarent atque in civile

ἐμπέσωσι πόλεμον. καὶ πάντες εἴασαν αὐτούς. ἐκρατήθη δὲ ὁ Πηγάνης, καὶ ἄραντες αὐτὸν εἰσήγαγον ἐν τῇ πόλει, καὶ τῇ προστάξει τοῦ βασιλέως τυφλοῖ αὐτὸν Κωνσταντῖνος ἔπαρχος ὁ Μυάρης, καὶ καθίσαντες αὐτὸν ἐν τῷ Μιλίῳ ἐπέδωκαν αὐτῷ σκεῦος ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἐπέρριπτον αὐτῷ πάντες οἱ διαπορευόμενοι ἐν αὐτῷ, εἴ τι ἐκ προαιρέσεως εἶχον. καὶ μεθ' ἡμέρας λ' ἐκρατήθη Συμβάτιος ὁ Ἀρμένιος ὑπὸ Μαλεΐνου ἐν Κελτζινῇ ἐν πανδοχείῳ, καὶ εἰσήγαγεν αὐτὸν πρὸς τὸν βασιλέα ὁ Μα- C λεῖνος ὄντα εἰς τὸν ἅγιον Μάμαντα. καὶ προστάξει τοῦ βασιλέως ἄγουσι τὸν Πηγάνην εἰς ἀπάντησιν Συμβατίου, δόντες εἰς χεῖρας τοῦ Πηγάνη θυμιατήριον ὀστράκινον μετὰ θεαφίου θυμιᾶν αὐτόν. καὶ ἀποτυφλοῦσι Συμβατίου τὸν ἕνα ὀφθαλμόν, καὶ ἐκκόπτουσι καὶ τὴν δεξιὰν αὐτοῦ χεῖρα, καὶ ἐκάθισαν αὐτὸν εἰς τὰ Λαύσου, καὶ δεδώκασι σκεῦος ἐν τῷ κόλπῳ αὐτοῦ, ἵνα ὃς ἔχει προαίρεσιν ἐπιρρίπτῃ αὐτῷ τι. καὶ μεθ' ἡμέρας τρεῖς ἀπήγαγον αὐτοὺς ἐν τοῖς ἰδίοις οἴκοις, ἔχοντες ἐν φρουρᾷ.

32. Ὁ δὲ βασιλεὺς Μιχαὴλ μηχανικὸν ἀποστείλας τὸν λεγόμενον Δαμάριον ἐξάγει Κωνσταντῖνον τὸν Καβαλλῖνον ἐκ τοῦ τάφου, ὃν εὗρεν ὑγιῆ· καὶ θέλων εἰσαγαγεῖν ἐν σάκκῳ, καὶ μὴ D χωρούμενον, ἐνετύλαξεν αὐτόν. ὡσαύτως καὶ Ἰωάννην πατριάρχην ἐξήγαγεν ἐκ τοῦ τάφου ἅμα τοῦ ὠμοφορίου αὐτοῦ. καὶ τούτους προστάξει τοῦ βασιλέως ἀπέκλεισεν ὁ ὕπαρχος ἐν τῷ πραιτωρίῳ, καὶ ἐν ἡμέρᾳ ἱππικοῦ ἀγαγὼν αὐτοὺς καὶ ἀπογυμνώσας ἔτυψε μαγγλάβια, καὶ τὰ ὀστᾶ αὐτῶν ἀποστείλας κατέκαυσεν ἐν

bellum inciderent. cunctique illos deseruere. tentus vero Peganes est, sublatumque in urbem induxerunt. huic imperatoris iussu Constantinus Myares praefectus lumina adimit. collocato autem ei in Milio vasculum in manus dederunt, inque illud transeuntes iaciebant, si quid eis esset collibitum. postque triginta dies captus est et Symbatius Armenius a Maleino in Celtzine in diversorio; induxitque eum dictus Maleinus ad imperatorem ad S. Mamantem; cuius et iussu Peganem in Symbatii occursum ducunt, dato ei cum sulfure testaceo turibulo, ut ei adoleret, alteroque oculo Symbatium caecant; atque eius dextera manu exscisa, ad Lausi aedes ipsum collocant, vasculo in eius sinu posito, in quod quisquis vellet aliquid mitteret. post triduum eos domum reduxerunt, sub custodia servandos.

32. Porro Michael misso machinatore Damario, sic dicto, Constantinum Cabalinum e sepulcro educit; cuius sanum integrumque inventum cadaver est. cumque vellet in saccum inferre, nec capere posset, ipsum involvit. similiter etiam Ioannem patriarcham e tumulo extulit cum suo humerali: genus id pontificiae vestis. iussuque imperatoris praetor ambos in praetorio inclusit, ac per Circensium tempus adductos ac denu-

τοῖς Ἀμαστριανοῦ. τὴν δὲ λάρνακα τοῦ Κοπρωνύμου πράσινον
οὖσαν καὶ θαυμαστὴν διαπρίσας ἐποίησε στηθέα ἐν τῷ ὑπ᾿ αὐτοῦ
κτισθέντι ναῷ ἐν τῷ Φάρῳ.

33. Ἐγεννήθη δὲ Λέων ὁ βασιλεὺς ἐκ Μιχαὴλ καὶ Εὐδο-
κίας τῆς Ἰγγηρίνης ἔτι περιόντος αὐτοῦ Μιχαήλ, μηνὶ Σεπτεμ- P 541
βρίῳ αʹ, ἰνδικτιῶνος ιεʹ. ἐποίησε δὲ καὶ ἱππικὸν ὁ βασιλεὺς ἐν
τῷ ἁγίῳ Μάμαντι, ἱππεύσας βένετος· Κωνσταντῖνος δὲ ὁ ἐξ Ἀρ-
μενίων ὁ πατὴρ Θωμᾶ πατρικίου, δρουγγάριος ὢν τῆς βίγλης,
ἵππευσε λευκός· πράσινος δὲ ἵππευσεν Ἀγαλιανός, ῥούσιος δὲ ὁ
Κρυσᾶς. νικήσαντος δὲ τοῦ βασιλέως καὶ ἐπὶ δεῖπνον καθεσθέν-
τος ἅμα Βασιλείῳ καὶ Εὐδοκίᾳ, Βασιλισκιανὸς ὁ πατρίκιος ἐπῄνει
τὸν βασιλέα ὡς εὐφυῶς ἐλάσαντα εἰς τὸ ἅρμα. τοῦτον ἀναστῆναι
κελεύσας ὁ βασιλεὺς τὰ τζαγγία αὐτοῦ προσέταξε σῦραι καὶ ὑπο-
δήσασθαι. τοῦ δὲ ἀνανεύοντος καὶ πρὸς Βασίλειον ἀποβλέποντος, B
ἐν θυμῷ προσέταττεν ὁ βασιλεὺς τοῦτο ποιῆσαι. τοῦ δὲ Βασι-
λείου μὴ ἐπινεύσαντος αὐτῷ ὑπεδήσατο τὰ τζαγγία. ἔφη δὲ ὁ
βασιλεὺς μεθ᾿ ὅρκου πρὸς Βασίλειον ὡς ὑπὲρ σὲ κάλλιον αὐτῷ
πρέπουσιν· μὴ γὰρ οὐκ ἔχω ἐξουσίαν, ὡς σὲ βασιλέα ἐποίησα, καὶ
ἄλλον ποιῆσαι; καὶ ὠργίζετο κατὰ Βασιλείου θυμούμενος. δα-
κρύουσα δὲ ἡ Εὐδοκία ἔφη τῷ βασιλεῖ "τὸ τῆς βασιλείας ἀξίωμα,
δέσποτά μου, μέγα ἐστί, καὶ ἀναξίως καὶ ἡμεῖς ἐτιμήθημεν, καὶ

4 ὅτι Λέων ὁ βασιλεὺς ὁ σοφὸς μπαστάρδος ἦν Μιχαὴλ τοῦ βασιλέως margo P

datos verberibus affecit, eorumque ossa mittens ad Amastriani combussit. urnam vero Copronymi, quae prasini marmoris esset ac mirabilis, serra secans columellas in templo a se in Pharo condito effecit.

33. Natus est Leo imperator ex Michaele et Eudocia Ingerina, cum adhuc Michael superstes esset, calendis Septembris, indictione quinta decima. editis vero etiam imperator ad S. Mamantis Circensibus, equitat ipse primo munere venetus, Constantinus Armeniacus Thomae patricii pater, excubiarum drungarius, Albus, Prasinus Agalianus, Crusas Russus lusit. cumque victor exisset imperator, et in cena cum Basilio et Eudocia sederet, Basiliscianus patricius imperatorem laudabat, quod solerter ac egregie currum rexisset. hunc imperator surgere iubet, rubrosque calceos illi detractos sibi assumere ac induere. abnuente illo rem praestare, intentisque in imperatorem oculis, imperator irae impetu ac furore rem omnino praestare praecepit. abnuente porro Basilio, rubras sibi ocreas imposuit. aitque imperator iureiurando ad Basilium "melius illi quam tibi conveniunt. num enim non mihi facultas est, qua te ratione imperatorem feci, etiam alium facere?" iraque ac furore in Basilium exaestuabat. flens vero Eudocia dixit imperatori "imperii dignitas, domine mi, magna est; et nos supra meritum ea ornati sumus:

οὐ δίκαιόν ἐστιν καταφρονεῖσθαι αὐτό." ὁ δὲ βασιλεὺς εἶπε "μὴ λυποῦ ἐπὶ τούτῳ· καὶ γὰρ τὸν Βασιλισκιανὸν βασιλέα θέλω ποιῆσαι."

C 34. Βασίλειος ἐν θυμῷ καὶ λύπῃ μεγάλῃ γέγονεν. ἐξελθόντος δὲ τοῦ βασιλέως ἐν τῷ κυνηγίῳ, μοναχός τις ὑπαντήσας δέδωκεν αὐτῷ χαρτίον ἔχοντα τὴν κατ' αὐτοῦ μελετωμένην ἐπιβουλὴν ὑπὸ Βασιλείου. ὁ δὲ ἀναγνοὺς καὶ θυμωθεὶς ἐμελέτα κατὰ Βασιλείου. τῆς δὲ μητρὸς αὐτοῦ Θεοδώρας καλεσάσης τὸν βασιλέα εἰς τὰ Ἀνθεμίου, ἀπέστειλε Ῥεντάκιον τὸν πρωτοβεστιάριον αὐτοῦ μετὰ ἑτέρων ἀνθρώπων οἰκείων αὐτοῦ πρὸς τὸ θηρεῦσαί τι καὶ ἀποστεῖλαι τῇ μητρὶ αὐτοῦ. ὁ δὲ Βασίλειος συνεσκευάζετο κατὰ
D Μιχαήλ, καὶ ἦν σκυθρωπὸς πάνυ. ἐπὶ δεῖπνον δὲ τοῦ βασιλέως καθεσθέντος, προσεκαλέσατο Εὐδοκίαν καὶ Βασίλειον συνδειπνῆσαι αὐτῷ. τοῦ δὲ βασιλέως οἴνῳ πολλῷ χρησαμένου ἀναστὰς Βασίλειος ὡς διά τινα χρείαν, ἀπελθὼν ἐν τῷ κοιτῶνι τοῦ βασιλέως, διαστρέψας τὰ κλεῖθρα δυνατὸς ὢν ὡς μηκέτι κλείεσθαι τὴν θύραν, καὶ ἀπελθὼν συνεδείπνει μετὰ τοῦ βασιλέως. τοῦ δὲ βασιλέως πάλιν οἰνωθέντος, τῆς Ἰγγηρίνης ὡς ἔθος αὐτῷ συγχαιρούσης, ἀναστὰς Μιχαὴλ χειροκρατούμενος παρὰ Βασιλείου ἀπῆλθεν ἐν τῷ κοιτῶνι· οὗ τὴν χεῖρα φιλήσας Βασίλειος ἐξῆλθεν.
P 542 ἔνδοθεν δὲ τοῦ κοιτῶνος ἦν Βασιλισκιανός, τῇ κελεύσει τοῦ βασιλέως ἐν τῇ κλίνῃ Ῥεντακίου ὑπνώσας πρὸς φυλακὴν αὐτοῦ. Ἰγνάτιος δὲ κοιτωνίτης ἀπελθὼν τοῦ κλεῖσαι τὴν θύραν τοῦ κοιτῶνος

nec aequum est ut illa contemnatur." ad quam imperator "noli rem hanc moleste ferre: nam et Basiliscianum volo imperatorem facere."

24. Ea re Basilius ira excanduit, magnusque eum dolor incessit. egresso autem ad venandum imperatori factus obviam quidam monachus et libellum porrexit, quas ei Basilius struebat insidias continentem. quo lecto, iraque percitus, adversus Basilium machinabatur. cum autem Theodora mater imperatorem ad Anthemii aedes invitasset, misit ille Rentacium protovestiarium cum aliis protectoribus suis ac domesticis, ut venatu aliquid caperent, quod ad cenae apparatum matri suae mitteret. porro Basilius insidias subornabat contra Michaelem, eratque maestus valde. sedente vero imperatore ad cenam, Eudociam et Basilium ad concenandum invitat. imperatore autem multo iam gravi vino, surrexit Basilius quasi necessarii aliquid operis facturus, abiensque in sacrum cubiculum, eius obturbata sera, ut qui vir potens esset, ut claudi iam fores non possent, ad concenandum imperatori rediit. rursusque imperatore vino obruto, Ingerina ei ex more gratulante, surgens Michael, Basilio manum tenente in cubiculum abiit; cuius manum deosculatus Basilius egressus est. erat intra cubiculum, imperatoris iussu, Basilicianus in Rentacii lectulo custodiae causa decumbens. profectus Ignatius cubicularius ut ostium clauderet, seram obturbatam offendit; desperans-

διεστραμμένην, καὶ ἀπογνοὺς ἐκαθέσθη ἐπὶ τῆς κλίνης τίλλων τὰς τρίχας αὐτοῦ. τοῦ δὲ βασιλέως ὑπὸ τοῦ οἴνου ὕπνῳ θανάτου παραπλήσιον κοιμωμένου, ἀθρόως ἐλθὼν Βασίλειος μετὰ καὶ ἑτέρων τὰς θύρας ἀνέῳξεν· καὶ ἔμφοβος ἐξελθὼν Ἰγνάτιος ἀντέπιπτε Βασιλείῳ τοῦ μὴ εἰσελθεῖν. Πέτρος δὲ ὁ Βούλγαρος διὰ τῆς τοῦ Βασιλείου μασχάλης διελθὼν πρὸς τὴν κλίνην τοῦ βασιλέως ἐκρατεῖτο παρὰ Ἰγνατίου ἀντιπίπτοντος αὐτῷ. ἔξυπνος ἐγένετο ὁ βασιλεύς. B Ἰωάννης δὲ ὁ Χάλδος παρευθὺ μετὰ τοῦ ξίφους δοὺς τῷ βασιλεῖ ἀπέκοψε τὰς χεῖρας αὐτοῦ. ὁ δὲ Ἰακωβίτζης ὁ ἀπελάτης ὁ Πέρσης τὸν Βασιλισκιανὸν ξίφει τρώσας ἔρριψεν αὐτὸν ἄνωθεν κάτω. Μαριανὸς δὲ καὶ Βάρδας ὁ πατὴρ Βασιλείου τοῦ ῥαίκτορος καὶ Συμβάτιος ὁ ἀδελφὸς Βασιλείου καὶ Ἀσυλαίων ἐξάδελφος Βασιλείου καὶ Κωνσταντῖνος ὁ Τοξαρᾶς ἵσταντο πρὸς φυλακὴν ἔξωθεν, καὶ οὐδεὶς τῶν μετὰ Μιχαὴλ ἔγνω τὰ γινόμενα. συναθροισθέντες οἱ μετὰ Βασιλείου συνεβουλεύοντο. Ἀσυλαίων δὲ ἔφη πρὸς Βασίλειον ὅτι εἰ καὶ τὰς χεῖρας αὐτοῦ ἐκόψαμεν, ἀλλὰ ζῶντα αὐτὸν εἰάσαμεν· καὶ ἐὰν ζῇ, τί ἀπολογησόμεθα; καὶ χαριζόμενος Βασιλείῳ ὑποστρέψας εὗρε Μιχαὴλ χεῖρας μὲν μὴ ἔχοντα, ἐπὶ τῆς κλίνης δὲ κείμενον, ἐλεεινολογούμενον κατὰ Βασιλείου. C ὁ δὲ τὸ ξίφος γυμνώσας ἀνηλεῶς ἔπηξε κατὰ τῆς καρδίας τοῦ βασιλέως, διασχίσας τὰ ἔγκατα αὐτοῦ. καὶ στραφεὶς ἐνεκαυχᾶτο πρὸς Βασίλειον ὡς ἀνδραγάθημα μέγα πεποιηκώς.

3 παραπλησίῳ?

que vellens sibi capillos super lecto sedebat. imperatore autem morti quam simillimum a vino somnum dormiente, ingressus repente cum aliis Basilius fores aperuit. egressusque tremebundus Ignatius Basilio obsistebat, ne ingrederetur. Petrus vero Bulgarus sub Basilii axilla ad imperatoris lectum delapsus ab Ignatio tenebatur, ei obsistente. inter quae somno solutus est imperator. moxque Ioannes Chaldus gladio imperatori impacto eius abscidit manus. Iacobitzes vero Apelates Persa, gladio Basilisciano adacto, vulneratum rursum infra excussit. Bardas autem Basilii rectoris pater, et Symbatius Basilii frater, eiusdemque patruelis Asylaeon, nec non Constantinus Toxaras, foris stabant ad excubias, nec quisquam Michaelis protectorum atque hominum cognovit ea quae fiebant. congregati autem qui cum Basilio erant, quid facto illis opus esset, consultabant. aitque Sylaeo ad Basilium "tametsi manus eius praescidimus, at vivum tamen ipsum dimisimus. ac siquidem vixerit, quid excusabimus?" gratiamque facturus Basilio, reversus invenit Michaelem truncum quidem manibus, in lecto vero iacentem lugubrique adversus Basilium planctu quiritantem. in quem ille stringens gladium in imperatoris praecordia, immaniter eius discissis visceribus, adegit. reversusque quasi nobili magnoque patrato facinore ad Basilium gloriabatur.

35. Κλύδωνος δὲ ὄντος ἐν τῇ θαλάσσῃ, συναθροισθέντες
κατῆλθον μέχρι καὶ τοῦ περάματος, καὶ διαπεράσαντες ἦλθον εἰς
τὸν οἶκον Εὐλογίου τοῦ Πέρσου, καὶ τοῦτον ἄραντες ἦλθον εἰς
τὰ Μαρίνης. πλὰξ δὲ ἦν περιφράσσουσα τὸ τεῖχος, καὶ κρατή-
D σας Βασίλειος δύο τῶν μετ' αὐτοῦ ὄντων καὶ λακτίσας κατέαξε
τὴν πλάκα, καὶ εἰσῆλθον μέχρι τῆς πύλης τοῦ παλατίου. Εὐλό-
γιος δὲ ὁ Πέρσης ἐλάλησε τῇ αὐτοῦ γλώττῃ Ἀρταβάσδῳ ἑται-
ρειάρχῃ, ὡς ὁ Μιχαὴλ ξίφει ἐτελεύτησε, καὶ ἄνοιξον τῷ βασιλεῖ.
καὶ ὁ Ἀρτάβασδος εἰσδραμὼν πρὸς τὸν παπίαν, καὶ ἄρας ἀπ' αὐ-
τοῦ τὰς κλεῖς βιαίως, διήνοιξε τῷ βασιλεῖ. καὶ γενόμενος ἔνδο-
θεν Βασίλειος ἦρε τὰς κλεῖς τοῦ παλατίου ἐπὶ χεῖρας, καὶ τῇ ἕω-
θεν Γρηγόριον τὸν ἐπιλεγόμενον τοῦ Φιλήμονος ἐποίησε παπίαν.
παρευθὺ δὲ ἀποστέλλει ἐν τῷ ἁγίῳ Μάμαντι, καὶ εἰσήγαγεν Εὐ-
P 543 δοκίαν τὴν τοῦ Ἴγγηρος μετὰ δόξης πολλῆς ἐν τῷ παλατίῳ. ἀπέ-
στειλε δὲ καὶ Ἰωάννην πραιπόσιτον τοῦ ἆραι τὴν Δεκαπολίτισσαν
καὶ πρὸς τοὺς ἰδίους γονεῖς ἀπαγαγεῖν. ἀπέστειλε δὲ καὶ Παῦλον
κοιτωνίτην τοῦ ἐνταφιάσαι Μιχαήλ. καὶ ἀπελθὼν εὗρεν αὐτὸν
ἐντετυλιγμένον ἐν τῷ σαγίσματι τοῦ δεξιοῦ ἵππου οὗ ἤλαυνεν, καὶ
τὰ ἔγκατα αὐτοῦ ἔξωθεν ἐκκρεμάμενα. εὗρε δὲ ἐκεῖ θρηνούσας
καὶ ἐλεεινολογουμένας ἐπ' αὐτῷ τήν τε μητέρα καὶ τὰς ἀδελφὰς
αὐτοῦ· καὶ εἰσαγαγὼν εἰς πλοιάριον διεπέρασαν ἐν τῇ μονῇ τῆς
Χρυσοπόλεως, κἀκεῖ αὐτὸν ἐνταφιάσασαι ἔθαψαν.

22 ἐνταφιάσασθαι P

35. Mari vero procella iactato ac aestuoso, congregati unoque agmine ad fretum usque descenderunt; eoque superato ad Eulogii Persae aedes venerunt, quo assumpto ad Marinae venere aedes. erat autem asser murum muniens, prehensisque Basilius suorum duobus, calce fortiter impacta, asserem infregit, et ad palatii usque fores pervasit. Eulogius vero Persa locutus est sua lingua Artabasdo foederatorum comiti, Michaelem gladio sublatum esse, et ut imperatori aperiret. currensque Artabasdus ad papiam, atque clavibus vi ei ablatis, aperuit imperatori. ingressusque Basilius palatii claves in manibus tulit; ac mane Gregorium, cui Philemonis nomen, papiam constituit. confestim vero ad S. Mamantis mittit, ac Eudociam Ingerinam cum magna pompa ac honore in palatium induxit. sed et Ioannem praepositum misit, ut tollerent Decapolitissam et ad parentes suos abducerent. misit vero etiam Paulum cubicularium, ut Michaelis funus componeret, veniensque dextri sui equi, quem agebat, stragulo involutum, visceraque eius extra pendere, invenit. sed et ibi lugentes planctumque agentes matrem pariter sororesque offendit; inducensque cadaver in naviculam in monasterium, quod est Chrysopoli, ubi funerantes humarunt, traiecit.

ΒΑΣΙΛΕΙΑ B
ΒΑΣΙΛΕΙΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Τῷ ͵ϛτξζʹ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ωξζʹ, ἐβασίλευσε Βασίλειος ὁ Μακεδών, μετὰ Μιχαὴλ ἔτος ἓν καὶ μῆνας δʹ, καὶ μόνος ἔτη ιθʹ. προσέταξε δὲ τῷ ὑπάρχῳ Μαριανῷ υἱῷ Πετρωνᾶ ἀνελθεῖν ἐν τῷ φόρῳ καὶ ἀναγορεῦσαι αὐτὸν μετὰ παντὸς τοῦ λαοῦ μόνον βασιλέα.

2. Ἀναγκαῖον δὲ ἡγησάμην γράψαι τὴν παρὰ τοῦ θεοῦ C γενομένην ἐκδίκησιν εἰς τοὺς τὸν Μιχαὴλ διαχειρισαμένους, καὶ ἃ πέπονθεν ἕκαστος αὐτῶν ἐν διαφόροις καιροῖς. ὁ μὲν οὖν Ἰακωβίτζης κυνηγῶν μετὰ τοῦ βασιλέως ἐν τῷ φιλοπατίῳ, τοῦ ξίφους αὐτῷ ἐκπεσόντος κατελθὼν τοῦ ἵππου, ἄρας αὐτὸ τοῦ ποδὸς αὐτοῦ μὴ φθάσαντος τῇ γῇ ἐπιβῆναι, ἀλλὰ καὶ τοῦ ἑτέρου κρατηθέντος ἐν τῇ σκάλᾳ, θρυηθεὶς ὁ ἵππος διέσυρεν αὐτὸν καὶ φάραγγας καὶ βοθύνους διελθὼν τοῦτον μεληδὸν διέσπασεν. Ἰωάννης δὲ ὁ Χάλδος στρατηλάτης γεγονὼς ἐν Χαλδίᾳ, καὶ φωραθεὶς κατὰ βασιλέως μελετᾶν, προστάξει τοῦ βασιλέως ἀνεσκολοπίσθη παρὰ Ἀνδρέου στρατηλάτου. ὁ δὲ ἐξάδελφος τοῦ βασιλέως Ἀσυ- D λαίων ἐξωσθεὶς παρ᾽ αὐτοῦ τοῦ βασιλέως ἐν τῷ προαστείῳ αὐτοῦ ᾧ ἐπώνυμον τοῦ Χαρτοφύλακος, ὡς ἀπηνὴς καὶ ὠμὸς εἰς τοὺς

3 ἔτει om P   14 καὶ post αὐτὸν om P   19 ἐξορισθεὶς?

IMPERIUM
BASILII MACEDONIS.

Anno mundi 6367, divinae autem incarnationis 867, imperavit Basilius cum Michaele annum 1 menses 4, solus vero annos 19. praecepit autem praefecto Mariano Petronae filio ut ascendens in forum, omni adiuncto populo, solum ipsum imperatorem renuntiaret.

2. Necessarium porro duxi divinam in eos scriptis consignare exhibitam ultionem, qui Michaelem neci tradiderunt; ac quae eorum singulis diversis temporibus mala evenerint. Iacobitzes cum imperatore in Philopatio venans, delapso ipsi gladio, dum ipsum levaturus ex equo descendit, non demisso ad terram usque pede, sed et altero in scala pensili detento, territo equo per cava voraginum locaque aspera ac scrobes distrahente membratim discerptus est. Ioannes vero Chaldus, exercitus ductor in Chaldia, deprehensus res novas moliri adversus imperatorem, eiusdem iussu ab Andrea duce exercitus palo affixus est. Asylaeo imperatoris patruelis ab ipso imperatore in suburbanum suum expulsus, cui Chartophylacis nomen, tanquam immitis saevusque in servos

δούλους αὐτοῦ ὢν μαχαίραις παρ' αὐτῶν ἐν νυκτὶ ἀνῃρέθη· οὓς ὁ βασιλεὺς κρατήσας καὶ μεληδὸν κατακόψας κατέκαυσεν ἐν τοῖς Ἀμαστριανοῦ. ὁ δὲ ἀπελάτης ὁ τοῦ Πέρσου σκωληκόβρωτος γενόμενος τοῦ ζῆν ἀπηλλάγη. Κωνσταντῖνος δὲ ὁ Τοξαρᾶς εἰς Κιβυρραιώτας σπαθοκοπηθεὶς τελευτᾷ. καὶ Μαριανὸς ὁ ἀδελφὸς τοῦ βασιλέως τὸν πόδα συντριβεὶς καὶ ὑπὸ σκωλήκων καταβρωθεὶς τελευτᾷ.

P 544 3. Ὁ δὲ βασιλεὺς προελθὼν ἐν τῇ ἡμέρᾳ τῶν Χριστοῦ γενεθλίων ἐν τῇ προελεύσει εἰς τὴν μεγάλην ἐκκλησίαν ἐβάπτισε Στέφανον τὸν υἱὸν αὐτοῦ. ἀγαγὼν δὲ ἵππους λευκοὺς μετὰ ἁρμάτων ἐκάθισεν ἅμα τῇ Αὐγούστῃ. καὶ ὁ πραιπόσιτος Βαάνης σὺν αὐτοῖς βαστάζων τὸ παιδίον μέχρι τοῦ παλατίου, τοῦ βασιλέως ῥίπτοντος ὑπατείαν ἐν τῇ ὁδῷ.

4. Ἐγένετο δὲ σεισμὸς τῇ ἑορτῇ τοῦ ἁγίου Πολυεύκτου μέγιστος, ὥστε τὴν γῆν σείεσθαι ἐπὶ ἡμέρας τεσσαράκοντα. ἔπεσε δὲ τότε καὶ ἡ σφαῖρα τοῦ ζώδου τοῦ φόρου, καὶ τῆς ὑπεραγίας B θεοτόκου ἡ ἐκκλησία ἣ λέγεται τὸ Σίγμα, ὥστε πάντας τοὺς ψάλλοντας ἐκεῖσε τελευτῆσαι. Λέων δὲ ὁ φιλόσοφος τυχὼν ἐκεῖσε ἔλεγε τοῖς ψάλλουσι καὶ πᾶσι τοῖς οὖσιν ἐκεῖσε ἐξελθεῖν τῆς ἐκκλησίας· οἱ δὲ μὴ πεισθέντες συνετελέσθησαν ἅπαντες. αὐτὸς δὲ ὁ φιλόσοφος εἰς κίονα ὑπὸ συστημάτων σταθεὶς μετὰ ἑτέρων δύο ἐσώθη, καὶ ἕτεροι πέντε μόνοι ὑποκάτω τοῦ ἄμβωνος.

suos ab eis noctu gladiis caesus est; quos imperator captos membratimque conscissos ad Amastriani combussit. Apelates Persa vermibus exesus vitae finem fecit. Constantinus Toxaras apud Cybaeriotas gladiis conscissus periit. et Marcianus imperatoris frater contrito pede a vermibus corrosus interiit.

3. Imperator Christi natalitiorum solenni die processum habens, in processu in magnam ecclesiam, Stephanum filium suum sacro fonte intinxit. iunctisque equis albis cum curru una cum Augusta sedit. sedit quoque cum eis Baanes praepositus, infantem gestans usque ad palatium, dum imperator consularia munera per viam spargit.

4. Contigit per diem S. Polyeucti terrae motus maximus, adeo ut quadraginta dierum spatio terra quateretur. cecidit vero tunc eius quae in foro est statuae globus; sanctissimae quoque dei genitricis ecclesia, cui Sigma nomen, ita ut omnes ibi divinas decantantes laudes exstincti sint, cum Leo philosophus, qui ibi esset, cantores et qui ibi erant omnes ecclesia exire moneret. qui nihil obsequentes pari omnes ruina oppressi interiere. ipsi vero philosophus ad columnam sub tignis sustinentibus stans cum duobus aliis salvus evasit, aliique quinque duntaxat sub ambone positi.

5. *Φώτιος δὲ ὁ πατριάρχης ἐλθόντος τοῦ βασιλέως ἐν τῇ ἐκκλησίᾳ καὶ μέλλοντος αὐτοῦ κοινωνεῖν, τοῦτον λῃστὴν καὶ φονέα ἔλεγε καὶ ἀνάξιον τῆς θείας κοινωνίας. ὁ δὲ θυμωθεὶς ἀπέστειλεν ἐν Ῥώμῃ, καὶ ἤγαγε τόμον μετὰ Ῥωμαίων ἐπισκόπων, καὶ τοῦτον* C *τοῦ θρόνου ἐξέωσεν, καὶ προεχειρίσατο Ἰγνάτιον τὸν ἐν ἁγίοις πατριάρχην τὸ δεύτερον. ἐγεννήθη δὲ Ἀλέξανδρος ὁ βασιλεὺς ἐκ τῆς τοῦ Ἴγγηρος Εὐδοκίας, οὗτος παῖς γνήσιος ὢν Βασιλείου.*

6. *Ἐστράτευσε δὲ ὁ βασιλεὺς κατὰ τῶν Ἀγαρηνῶν τῶν εἰς Τεφρικήν, καὶ πολέμους συνάψας ἡττήθη, καὶ πολλάκις συμβαλὼν Ἀγαρηνοῖς πολλοὺς τῶν Ῥωμαίων ἀπεβάλετο. ἐν δὲ τῇ τοιαύτῃ φυγῇ τοῦ βασιλέως Θεοφύλακτος ὁ Ἀβάστακτος, ὁ πατὴρ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος, διέσωσε τὸν βασιλέα* D *παρὰ μικρὸν ὑπὸ τῶν Ἀγαρηνῶν κρατούμενον. ὃν ἐπιζητήσας ὁ βασιλεὺς μετὰ ταῦτα καὶ εὑρὼν καὶ γνωρίσας (πολλοὶ γὰρ ἔλεγον τῷ βασιλεῖ ὅτι ἐγώ εἰμι)... ὁ δὲ τὴν τιμὴν ἀφεὶς τόπον βασιλικὸν ᾐτήσατο, οὗ καὶ τετύχηκεν. ὑποστρέψας δὲ ὁ βασιλεὺς ἐν τῇ πόλει ἀπέστειλε Χριστοφόρον γαμβρὸν αὐτοῦ ἐν Τεφρικῇ, καὶ νίκην ἐποίησε μεγίστην, καὶ ἐπόρθησε ταύτην καταστρέψας ἕως ἐδάφους.*

7. *Ἰγνάτιος δὲ ὁ πατριάρχης ᾠκοδόμησεν ἐκκλησίαν εἰς τὸ ἐμπόριον Σατύρου περικαλλῆ, ἐπ' ὀνόματι τοῦ ἀρχιστρατήγου* P 545

10 *Τεφρικήν* margo P, *τηρήτην* P

5. Porro Photius patriarcha, cum imperator in ecclesiam venisset et exspectaret ut sacra mysteria sumeret, latronem eum et parricidam dicebat, eumque iis indignum. arreptus ira imperator Romam misit, tomumque cum episcopis Latinis advexit, ac Photium throno expulit, sanctumque Ignatium rursum sacerdotio provexit. natus est Alexander imperator ex Eudocia filia Ingiris. hic fuit filius legitimus Basilii.

6. Suscepta imperator expeditione adversus Agarenos Tephricenses, pugnaque cum eis congressus, victus est; nec raro collatis signis cum Agarenis haud exigua Romanorum data strages est. in istiusmodi vero imperatoris fuga Theophylactus Abastactus, Romani pater eius qui postea rerum potitus est, cum vix non captus fuisset ac Saracenis factus obnoxius, eundem liberavit. quem postea imperator inquirens, inventumque eum cum cognovisset (multi enim dicebant se esse qui imperatorem liberasset), honoribus voluit demereri. is autem missum faciens honorem, imperiale sibi praedium depoposcit; quod et obtinuit. reversus vero in urbem imperator Christophorum suum generum in Tephricam misit; partaque victoria maxima solo tenus evertens eandem expugnavit.

7. Ignatius porro patriarcha ecclesiam aedificavit in Satyri em-

τοῦ Ἀνατέλλοντος, καὶ μονὴν πεποίηκεν ἀνδρείαν, ἔνθα καὶ τὸ σῶμα αὐτοῦ ἀπόκειται.

8. Θέκλας δὲ τῆς ἀδελφῆς τοῦ βασιλέως ἀποστειλάσης πρὸς τὸν βασιλέα δι' ὑπόμνησίν τινα μέτριον ὄντα αὐτῆς τὸν ἄνθρωπον, ἠρώτησεν ὁ βασιλεὺς ὅτι τίς ἔχει τὴν κυρίαν σου; ὁ δὲ εἶπεν "ὁ Νεατοκωμήτης." παρευθὺς δὲ ὁ βασιλεὺς ἀποστείλας ἤγαγεν αὐτὸν καὶ τύψας ἀπέκειρε καὶ τὸ μοναχικὸν σχῆμα ἐνέδυσε αὐτόν. ὡσαύτως δὲ καὶ Προκόπιον τὸν πρωτοβεστιάριον αὐτοῦ B ἀποστείλας ἔτυψε τὴν Θέκλαν· ὃς καὶ ἄρας πάντα τὰ χρήματα αὐτῆς εἰσεκόμισε τῷ βασιλεῖ. τὸν δὲ Νεατοκωμήτην μετὰ ταῦτα ἐποίησεν οἰκονόμον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

9. Ὁ δὲ αὐτὸς βασιλεὺς ἐβάπτισε τοὺς Ἑβραίους πάντας ὅσοι τότε τῷ χρόνῳ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ὑπῆρχον, ἀναδεξαμένων πάντων τῶν ἐν ταῖς ἀξίαις, φιλοφρονησαμένου τοῦ βασιλέως πάντας τοὺς Ἑβραίους, καὶ ἀντιλήψεις καὶ δῶρα πολλὰ παρασχόντος αὐτοῖς.

10. Τὸν δὲ προειρημένον Νικόλαον τὸν Ἀνδροσαλίτην τὸν καὶ προσμονάριον τοῦ ἁγίου Διομήδους, ᾧ τινι ὁ μάρτυς ἐπεφάνη, ὡς προείρηται, περὶ τοῦ βασιλέως, ἐτίμησεν αὐτὸν σύγ- C κελλον καὶ οἰκονόμον, τὸν δὲ ἕτερον ἀδελφὸν αὐτοῦ Ἰωάννην δρουγγάριον τῆς βίγλης, καὶ τὸν ἕτερον ἀδελφὸν αὐτῶν Παῦλον τοῦ σακελλίου, τὸν δὲ ἕτερον Κωνσταντῖνον γενικὸν λογοθέτην. τελευτήσαντος δὲ Νικολάου τοῦ συγκέλλου, θάπτουσιν αὐτὸν εἰς Ἀρκα-

18 ὁ om P

porio perelegantem, sub nomine caelestis militiae principis Orientis, fecitque virorum monasterium, ubi et sepultus est.

8. Cum vero Thecla imperatoris soror e suis quendam virum mediocrem submonendi quidpiam causa destinasset, quaesivit imperator "quis est qui tuam dominam habeat?" respondit ille "Neatocometes." confestim vero mittens imperator eum adduxit, ac verberibus affectum detondit monachique habitu induit. sed et eodem modo misso Procopio suo protovestiario Theclam verberibus affecit; qui et omnes eius ablatas pecunias imperatori attulit. Neatocometem vero postea oeconomum in magna ecclesia fecit.

9. Idem imperator Hebraeos suae tum dicionis salutaribus undis instinxit, susceptoribus cunctis proceribus virisque dignitatibus ornatis, imperatore liberalissime accipiente omnes Hebraeos, multaque subsidia ac dona eis praebente.

10. Eum vero quem iam diximus Nicolaum Androsalitem et S. Diomedis mansionarium, cui se martyr conspicuum fecerat, syncelli et oeconomi dignitate ornavit; eius vero alterum fratrem Ioannem excubiarum drungarium fecit. horum fratrem alium sacello praeposuit, extremum autem aerarii publici logothetam fecit. mortuum autem Nicolaum syn-

διανὰς τὸν ἑαυτοῦ οἶκον, ἔνθα ἐστὶ νῦν τοῦ ἁγίου Κωνσταντίνου τὸ μετόχιον.

11. Ἤρξατο δὲ ὁ βασιλεὺς ἐκχοΐζειν πλησίον τοῦ παλατίου πρὸς τὸ κτίσαι τὴν Νέαν, οἰκήματα πάμπολλα ἐξωνησάμενος. ἐμηνύθη δὲ τῷ βασιλεῖ ὡς ἡ Συράκουσα παρὰ τῶν Ἀγαρηνῶν ἐκπορθεῖται. ἀσχολουμένων δὲ τῶν πλωΐμων ἐν τοῖς κτίσμασι τῆς D Νέας ἐκκλησίας ἐγένετο βραδύτης τοῦ στόλου καὶ τοῦ λαοῦ, καὶ παρεδόθη ἡ αὐτὴ Συράκουσα πρὸ ὀλίγου πρὶν ἢ φθάσαι τὸν στόλον, τοῦ βασιλέως πολλὰ θρηνήσαντος καὶ ἀποδυραμένου.

12. Νικήτα δὲ τοῦ ἐπὶ τῆς τραπέζης τοῦ Ξυλινίτου κατηγορηθέντος ὡς φιλουμένου παρὰ τῆς Αὐγούστης, τοῦτον ὁ βασιλεὺς ἀποκείρας μοναχὸν ἐποίησεν· ὃς ἐπὶ βασιλείᾳ Λέοντος γέγονεν οἰκονόμος τῆς μεγάλης ἐκκλησίας, καὶ τελευτήσας τίθεται ἐν τῇ μονῇ ἣν αὐτὸς κατεσκεύασε, καὶ ἀπέκειρε τὰς αὐτοῦ ἀδελφάς.

13. Πολλὰ δὲ χαλκουργήματα κατέαξεν ὁ βασιλεὺς λόγῳ P 546 τῆς Νέας ἐκκλησίας. ἀλλὰ καὶ μάρμαρα καὶ ψηφῖδας καὶ κίονας ἐκ πολλῶν ἐκκλησιῶν καὶ οἴκων ἀνέλαβεν εἰς κατασκευὴν αὐτῆς. ἐν οἷς στήλη ἵστατο χαλκῆ σχῆμα ἔχουσα ἐπισκόπου· ἐκράτει δὲ ἡ αὐτὴ στήλη ἐν τῇ χειρὶ ῥάβδον ἔχουσαν ὄφιν ἐντετυλιγμένον. ταύτην καταγαγόντες ἀπέθηκαν ἐν τῷ βεστιαρίῳ. κατελθόντος δὲ τοῦ βασιλέως καὶ ἀπελθόντος ἔνθα ἵστατο ἡ στήλη ὀρθή, ἐνέβαλε τοὺς δακτύλους αὐτοῦ ἐπὶ τὸ στόμα τοῦ ὄφεως, ὧν δὲ ἔνδον

cellum sepeliunt in Arcadianis in domo sua, ubi nunc est S. Constantini hospitium (minus scilicet monasterium).

11. Coepit vero imperator ad fundamenta humum egerere prope palatium construendae Novae ecclesiae, compluribus aedibus eam in rem coemptis. significatum autem est imperatori urbem Syracusas ab Agarenis expugnari. interim vero occupatis navibus in aedificiis Novae ecclesiae, tardius expedita classe ac navalibus copiis, capta est civitas paulo antequam advenisset navalis exercitus; quae res luctus plurimum atque maeroris imperatori conscivit.

12. Nicetas vero Xilinites mensae praepositus, delatus imperatori Augustae amorum, caesarie damnatus monachus effectus est. is Leone imperatore magnae ecclesiae oeconomus praefectus est; vitaque functus in monasterio sepelitur, quod ipse condiderat, et ubi coma damnavit sorores suas.

13. Multa vasa aenea confregit imperator ratione Novae ecclesiae. marmora quoque et musiva et columnae ex multis ablata ecclesiis atque aedibus eius construendae causa; in quibus erecta erat statua aenea episcopi habitu, tenens in manu virgam cui serpens circumvolutus erat. deductam eam in vestiario collocavere. veniens autem imperator, ac ubi statua erecta stabat prope adiens, digitum misit in os serpentis; latens-

ζῶν ὄφις ἔδακνε τοῦ βασιλέως τὸν δάκτυλον· ὃς μόλις δι᾽ ἀντιφαρμάκων ἰάθη, θαυμασάντων ἐπὶ τούτῳ πάντων.

B 14. *Ἀλλὰ καὶ τὴν στήλην Σολομῶντος ἐν τῇ βασιλικῇ οὖσαν μεγίστην κατεάξας προσέταξεν ἐν ὀνόματι αὐτοῦ ἐκτυπωθῆναι καὶ τεθῆναι κάτωθεν ἐν τοῖς θεμελίοις τῆς αὐτῆς Νέας ἐκκλησίας, ὡς θυσίαν ἑαυτὸν τῷ τοιούτῳ κτίσματι τῷ θεῷ προσάγων.*

15. *Ἐπεστράτευσε δὲ πάλιν ὁ βασιλεὺς κατὰ Μελιτηνῆς, καὶ αἰχμαλωσίαν ποιησάμενος καὶ πολλοὺς πολέμους κατορθώσας ὑπέστρεψεν.*

16. *Τελευτᾷ δὲ Ἰγνάτιος ὁ πατριάρχης, καὶ ἀντ᾽ αὐτοῦ*
C *πάλιν ἀναβιβάζει Φώτιον πατριάρχην τὸ δεύτερον αὐτοῦ ὁ βασιλεύς. μετὰ δὲ ταῦτα ἐν ἐξορίᾳ τελευτήσαντος Φωτίου πατριάρχου ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν μονῇ τῇ λεγομένῃ τοῦ Ἱερεμίου ἐν τῷ Μαρδοσαγάρῃ, οὔσης πρότερον καθολικῆς ἐκκλησίας, αὐτὸς δὲ Φώτιος ἐποίησεν αὐτὴν μονὴν γυναικείαν.*

17. *Πάλιν δὲ ἐκστρατεύει ὁ βασιλεὺς εἰς Γερμανικίαν, καὶ ταύτην ἐκπορθήσας καὶ αἰχμαλωτίσας ὑπέστρεψε.*

18. *Τελευτᾷ δὲ Κωνσταντῖνος ὁ υἱὸς Μιχαὴλ βασιλέως ἐξ Εὐδοκίας, ὡς δὲ λόγος, υἱὸς Βασιλείου· ὃν πολλὰ ἐθρήνησε Βασίλειος, πολλὰ στέργων αὐτόν. καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ*
D *ἐν τοῖς τάφοις τῶν βασιλέων.*

que in eo vivus serpens morsum infixit imperatoris digito; ex quo vix contrariis remediis curari potuit, quae res cunctis admirationi fuit.

14. Sed et Salomonis in basilica existentem statuam maximam confringens suo nomine effigiari iussit ac in Novae eiusdem ecclesiae fundamentis poni, ac si istiusmodi fabrica hostiam se offerret deo.

15. Suscepta vero rursus imperator adversus Melitinem expeditione, multis sub iugum missis multisque felici Marte peractis praeliis reversus est.

16. Moritur vero Ignatius patriarcha; eiusque loco rursus Photium patriarcham provehit Basilius. postea autem mortuo in exsilio patriarcha Photio, eius depositum funus est in monasterio quod Ieremiae vocant in Mardosagari; quod antea universalis ecclesia erat ac paroecia utrique sexui dedita, Photius vero feminarum monasterium fecerat.

17. Rursus vero cum exercitu profectus imperator in Germaniciam, illa capta et sub iugum missa reversus est.

18. Moritur Constantinus Michaelis imperatoris ex Eudocia filius, hominum autem ac vulgi rumore filius Basilii. hunc Basilius plurimum luxit, cum multum eum diligeret. depositumque est ipsius funus in sepulcris regum.

19. Μαΐῳ α′ ἐγκαινίζεται καὶ ἐνθρονίζεται ἡ Νέα ἐκκλησία, ἣν ἔκτισεν ὁ βασιλεὺς καὶ ἐκαλλώπισε κόσμῳ πολλῷ, παρὰ Φωτίου πατριάρχου, τοῦ βασιλέως λῶρον φορέσαντος καὶ χρήματα πολλὰ δόντος καὶ Νέαν αὐτὴν ἐπονομάσαντος.

20. Ἀπεστάλη δὲ παρὰ τοῦ βασιλέως Προκόπιος πρωτοβεστιάριος μετὰ πάντων τῶν δυτικῶν θεμάτων, ὄντος Εὐπραξίου στρατηλάτου εἰς Σικελίαν, καὶ εἰς Κεφαληνίαν τοῦ Μουσουλίκη, εἰς δὲ τὸ Δυρράχιον τοῦ Ῥαβδούχου καὶ ἐν τῇ Πελοποννήσῳ τοῦ Ὀνιάτου καὶ τοῦ Ἀποστύππου· ὅστις Προκόπιος πολλὰς πράξεις καὶ ἀνδραγαθίας ἐργασάμενος ἐσχάτως πολέμου γεγονότος καὶ P 547 προδοθέντος ὑπὸ τοῦ Ἀποστύππης ἐσφάγη.

21. Λέων δὲ ὁ Σαλιβαρᾶς συνοψίζει Φωτίῳ πατριάρχῃ Θεόδωρον μοναχόν, ἀρχιεπίσκοπον Εὐχαϊτῶν, ὡς εὐλαβῆ καὶ ποιοῦντα τεράστια καὶ προορατικόν. Φώτιος δὲ τοῦτον τῷ βασιλεῖ μεσιτεύει καὶ συνοψίζει. εἰς ὃν ὁ βασιλεὺς ἀρεσθεὶς (πρὸς γὰρ τὰς ἐπιθυμίας αὐτοῦ διέκειτο) εἶχεν οὖν αὐτὸν ἐν τιμῇ πολλῇ. ὃς ἀθυμοῦντα τὸν βασιλέα περὶ τοῦ τελευτήσαντος υἱοῦ αὐτοῦ B Κωνσταντίνου, διὰ τὸ φίλτρον ὅπερ εἰς αὐτὸν εἶχεν, ἐπλάνα, καὶ ἐπηγγέλλετο δεῖξαι ζῶντα τῷ βασιλεῖ. ὃ καὶ ἐποίησεν· ἐν γὰρ λόχμῃ τινὶ διερχομένῳ τῷ βασιλεῖ φάντασμα συνήντησεν ἔφιππον, χρυσοΰφαντον ἐνδεδυμένον, ἐν εἴδει τοῦ Κωνσταντίνου. ὃ καὶ

11 Ἀποστύππη?

19. Calendis Maii dedicatur divinisque publice laudibus frequentanda aperitur Nova ecclesia, quam condidit imperator, multaque egregia supellectili ornavit, a Photio patriarcha, gestante lorum imperatore multasque elargiente pecunias, ac Novae nomine illi indito.

20. Missus autem est ab imperatore Procopius protovestiarius cum omnibus copiis ac legionibus Occidentalibus, magistro militiae bellique duce Eupraxio in Sicilia, et in Cephalenia Musulice, Dyrrachii vero Rhabducho, in Peloponneso autem Oniato et Apostyppo; multisque praeclare ac bellica fortitudine gestis, quem dicebam, Procopius, ad extremum conserta pugna Apostyppe proditore caesus est.

21. Porro Leo Salibaras Theodorum monachum Euchaitorum archiepiscopum Photio patriarchae coram in conspectum adducit, commendatque ut virum religiosum et facientem prodigia ac praenoscendi futura charismate praeditum. Photius vero illi ad imperatorem admissor efficitur, et ut praesentia fruatur. cuius imperator recreatus congressu, quippe ex cuius cupiditatum ratione comparatus esset, in multo eum honore habebat. maesto igitur animo cum esset imperator filii sui Constantini occasu, prae nimia illa amoris vi, qua eum prosequebatur, errore seducens vivum pollicetur eum se illi ostensurum; quod et fecit. transeunti enim in quodam saltu imperatori phantasma quoddam ac spectrum, equo insidens, contexta auro chlamyde, in Constantini specie

ὀφθαλμοῖς εἶδεν καὶ περιπλακεὶς κατεφίλησε. καὶ γεγονότος ἀφανοῦς, αὐτὸν ἰδεῖν ὑπελάμβανε, καὶ ὡς οὐ πεπλάνηται. διὸ καὶ
C μονὴν ἐκεῖσε κτίσας ἐπωνόμασεν αὐτὴν τοῦ ἁγίου Κωνσταντίνου. (22) τούτοις καὶ ἑτέροις πλείστοις, ὡς ἐκ τῶν Ἀπολλωνίου ἀκριβῶς μεμνημένος, ὁ λεγόμενος Σανταβαρηνὸς ἐποίησε τὸν βασιλέα πίστιν πολλὴν κεκτῆσθαι πρὸς αὐτόν.

23. Ἠγάγετο δὲ ὁ βασιλεὺς Λέοντι τῷ βασιλεῖ θυγατέρα Μαρτινακίου, ἣν καὶ ἔστεψεν, ποιήσας τοὺς γάμους ἐν τῇ Μαγναύρᾳ καὶ ἐν τοῖς ιθ′ ἀκουβίτοις.

24. Ἐκατηγορήθη δὲ Λέων ὁ βασιλεὺς παρὰ Σανταβαρηνοῦ εἰς τὸν πατέρα αὐτοῦ ὡς ὅτι μαχαίριον ἐπιφέρεται βουλόμενος ἀνελεῖν σε μετ' αὐτοῦ· ὅπερ αὐτὸς μαχαίριον διὰ δολίας
D συμβουλῆς ἐποίησε τὸν Λέοντα κατασκευάσαι καὶ φορεῖν ἐν τῷ τουβίῳ, εἰπὼν αὐτῷ ὅτι πολλάκις τοῦ πατρός σου ἐπιζητοῦντος μαχαίριον διὰ χρείαν τινά, ἵνα τί μὴ δίδως αὐτῷ; καὶ τοῦτο κατασκευάσας Λέων ὁ βασιλεύς, καὶ διαβληθεὶς ὡς εἴρηται, καὶ φωραθεὶς ἐν τῷ τουβίῳ τοῦτο βαστάζων, πολλὰ περὶ τούτου ἀπολογούμενος οὐκ ἠκούετο. ἐτυπτήθη οὖν Νικήτας ὁ Ἑλλαδικὸς ὁ πρωτοβεστιάριος αὐτοῦ, ὅς γέγονε παπίας ἐπὶ Ῥωμανοῦ βασιλέως, καὶ ἄλλοι μετ' αὐτοῦ πολλὰ δεινὰ πεπονθότες ἐξωρίσθησαν. ὁ δὲ
P 548 βασιλεὺς Λέοντα καθείρξας ἐν τῷ τρικλίνῳ τῷ Μαργαρίτου ἐβούλετο ἐκτυφλῶσαι αὐτόν, εἰ μὴ Φώτιος πατριάρχης διὰ πολλῶν παρακλήσεων τοῦτο διεσκέδασεν, ἅμα Ζαούτζᾳ Στυλιανῷ μικρῷ

ipsumque referens praesentatur, ipsisque conspexit oculis, ac ei affusus oscula dedit; quod ubi evanuerat, ipsum sic vidisse arbitrabatur, nec sibi quicquam daemonis ullo astu obrepsisse. quamobrem etiam constructo ibi monasterio S. Constantini titulum indidit. (22) his aliisque plurimis ex Apollonii arte apprime eruditus dictus Santabarenus multam sibi apud imperatorem fidem conciliavit.

23. Copulavit autem imperator Leoni imperatori Martinacii filiam; cui et corollas imposuit, celebratis nuptiis in Manaura et in novemdecim accubitis.

24. Delatus vero crimine est Leo imperator apud patrem a Santabareno, nempe pugionem deferre, quo imperatori vellet necem inferre. cum ille pugionem doloso consilio ut sibi pararet, auctor Leoni exstiterat, et ut in caliga gestaret, dicens, "patre tuo necessaria aliqua causa saepius quaerente gladium, quidni illi praebes?" atque hoc fabricato Leo imperator, ac calumniose, uti dictum est, delatus, deprehensusque cultrum in caliga gestare, quicquid demum satisfactionis afferret, nihil audiebatur. caesus itaque verberibus est eius protovestiarius Nicetas Elladicus, qui Romano imperatore papias fuit; aliique pariter multis malis subacti, in exsilium eiecti sunt. imperator vero Leonem carcere tenens in triclinio cui Margaritae nomen, caecare luminibus volebat, nisi Photius patriarcha diu multumque rogans intercessisset una cum Zautza

ἑταιρειάρχῃ τότε ὄντι. ἐποίησε δὲ ὑπὸ ὄψεως μῆνας τρεῖς, θρηνῶν καὶ ὀδυρόμενος, καὶ δι' ἐπιστολῆς πολλὰ δυσώπει τὸν βασιλέα. μεγάλην δὲ πίστιν τοῦ βασιλέως ἔχοντος εἰς τὸν ἅγιον Ἠλίαν ἀποσυνοψίζει Λέων ὁ βασιλεὺς εἰς τὸν ἅγιον Ἠλίαν ἐν τῇ μνήμῃ αὐτοῦ. τῆς δὲ ἐλεύσεως γενομένης ἰδόντες αὐτὸν οἱ λαοὶ ἐπεφώνησαν τὸ "δόξα σοι ὁ θεός." ὁ δὲ βασιλεὺς ἀναστραφεὶς ἀπελογήσατο αὐτοῖς "δοξάζετε περὶ τοῦ υἱοῦ μου τὸν θεόν; πολλὰς θλίψεις ὑπ' αὐτοῦ ἔχετε ὑπομεῖναι καὶ ἐπωδύνους ἡμέρας διελ- B *θεῖν."*

25. *Κατηγορηθεὶς δὲ Ἀνδρέας δομέστικος τῶν σχολῶν παρὰ Σανταβαρηνοῦ ὡς τὰ Λέοντος φρονῶν διεδέχθη παρὰ τοῦ βασιλέως. ἀντ' αὐτοῦ δὲ προεβλήθη δομέστικος ὁ Στυπιώτης· καὶ ἀπελθὼν μετὰ λαοῦ ἐν Ταρσῷ ἡττήθη καὶ πάντας ἀπώλεσε. καὶ πάλιν προχειρίζεται Ἀνδρέας παρὰ τοῦ βασιλέως δομέστικος.*

26. *Ἐγένετο δὲ συσκευὴ κατὰ τοῦ βασιλέως παρὰ Ἰωάννου τοῦ Κροκόα δομεστίκου ὄντος τῶν ἱκανάτων, χρηματισθέντος παρὰ τοῦ ὄντος ἐν Βλαχέρναις ἐγκλείστου. εὑρέθησαν δὲ πολλοὶ* C *τῶν συγκλητικῶν καὶ ἀρχόντων, μέχρι τῶν ἑξήκοντα ἕξ. ἦν γὰρ Μιχαὴλ ὁ ἑταιρειάρχης ὁ Κατουδάρης καὶ ὁ Μύξαρις καὶ ὁ Βαβούτζικος καὶ οἱ λοιποί. τῆς γοῦν τοιαύτης ἐπιβουλῆς μηνυθείσης τῷ βασιλεῖ παρὰ τοῦ πρωτοβεστιαρίου τοῦ Κορκόα, κρατηθέντων τε πάντων, ἐξελθὼν ὁ βασιλεὺς ἐν τῷ ἱπποδρομίῳ καὶ καθεσθεὶς*

1 *ἀπὸ?* 5 *προελεύσεως?*

Styliano, minoris tunc foederatorum legionis comite. mansit vero sic ab imperatoris conspectu exclusus menses tres, lugens ac eiulans; scriptaque ad imperatorem epistola eius inflectere animum ac lenire studebat. cumque imperator magnam fidem erga S. Eliam haberet, suum imperator Leoni conspectum in eius memoria indulget. facto autem processu, eo conspecto clamare populi ac factiones "gloria tibi, deus." conversus vero imperator respondit eis "argumentum vobis assumitis divinae laudis filium meum? ipso auctore multas habetis aerumnas ferre, diesque tristes ac permolestas percurrere."

25. Delatus crimine Andreas legionum domesticus a Santabareno, quasi Leonis rebus studeret, ab imperatore gradu motus est, eiusque loco Stypiotes domesticus praefectus est. profectusque cum exercitu Tarsum, suis omnibus desideratis, victus fususque est; rursusque Andreas domesticus praeficitur ab imperatore.

26. Facta vero coniuratio est adversus imperatorem a Ioanne Crocoa, qui domesticus esset agminis Icanatorum, nempe inclusi in Blachernis agentis vaticinio concito. inter coniuratos multi senatorum atque procerum officialiumque ad sexaginta sex inventi sunt. erat enim Michael foederatorum comes Catudares, et Myxaris et Babutzicus ac reliqui. talis igitur coniurationis nuntio ad imperatorem perlato a protovestiario Corcoa, tentis omnibus, egressus in Circum imperator, positoque

ἐκεῖσε καὶ ἀνακρίνας τὰ κατ' αὐτούς, πάντας τύψας καὶ κουρεύσας τὰς περιλειφθείσας τρίχας κατέκαυσε. μετὰ δὲ ταῦτα ἐξῆλθεν ἐν τῇ προελεύσει τοῦ εὐαγγελισμοῦ, ὅτε καὶ τὴν ἐπιβουλὴν D ἔμελλον ποιῆσαι. περιεπάτουν δὲ ὄπισθεν αὐτοῦ γυμνοὶ μέχρι τοῦ φόρου δεδεμένοι, καθὼς διωρίσατο. εἶθ' οὕτως πάντας δημεύσας ἐξώρισεν.

27. Τοῦ δὲ βασιλέως ἐξελθόντος πρὸς τὸ κυνηγῆσαι, ἐλάφου ποθὲν ἀναφανέντος παμμεγέθους, ὡς αὐτὸν βασιλεὺς κατεδίωκεν, ἐπιστραφεὶς ὁ ἔλαφος ἦρε τὸν βασιλέα ἐκ τῆς ζώνης ἀπὸ τοῦ ἵππου. φθάσας δέ τις καὶ τὴν σπάθην γυμνώσας, τὴν ζώνην ἐκκόψας τὸν βασιλέα ἐρρύσατο. μετὰ δὲ τοῦ ἀποστραφῆναι ἐκέλευσε τὸν τὴν ζώνην αὐτοῦ ἀποτεμόντα ἀποτμηθῆναι τὴν κεφαλὴν P 549 ὡς γυμνώσαντα τὸ ξίφος κατ' αὐτοῦ, πολλὰ ἀπολογουμένου ὡς ὑπὲρ τῆς σωτηρίας αὐτοῦ τοῦτο πεποιηκέναι· ἀλλ' οὐδὲν ὠφέλησεν. ἐκ δὲ τοῦ σπαραγμοῦ τῆς ἐλάφου νοσηλευθεὶς Βασίλειος τελευτᾷ, καταλιπὼν Λέοντα αὐτοκράτορα καὶ Ἀλέξανδρον.

ΒΑΣΙΛΕΙΑ
ΛΕΟΝΤΟΣ ΥΙΟΥ ΒΑΣΙΛΕΙΟΥ.

B Τῷ ςτπς' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ωπς', ἐβασίλευσεν Λέων ὁ υἱὸς Βασιλείου ἔτη εἰκοσιπέντε μῆνας ὀκτώ. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφὸς κληρικὸς ὢν καὶ σύγκελλος ἦν μετὰ

illic tribunali, eorum iudicans causam, cunctis verberibus subiectis ac detonsis, qui reliqui essent eorum pilos combussit. sic deinde solenni diei annuntiationis pompa processit, quando et coniurationem erant expleturi. ambulabant illi retro eum nudi vincti adusque forum, uti eis constituerat. tum eorum publicatis bonis cunctos exsilio relegavit.

27. Egresso autem imperatore ad venandum, cervo mirae magnitudinis nescio unde prodeunte, dum bestiam imperator insequitur, conversusque cervus imperatorem e zona sublatum equo succussit. lapsum quispiam occupans, nudato ense discissa zona, imperatorem liberavit. postea vero cum reversus esset, et qui zonam secarat, caput amputari praecepit, hoc dato crimini, quod in eum gladium nudasset. cumque is multa excusaret, ut qui eius salutis causa rem aggressus esset, nihil tamen operae fecit. aegrotans vero Basilius ex cervi illa succussione moritur, relictis imperatoribus Leone et Alexandro.

IMPERIUM
LEONIS BASILII FILII.

Anno mundi 6386, divinae incarnationis 886, imperavit Leo Basilii filius annos 25, menses 8. Stephanus vero eius frater, qui clericus erat

Φωτίου τοῦ πατριάρχου, ἀνατρεφόμενος παρ' αὐτοῦ καὶ παιδευόμενος. ὁ δὲ αὐτὸς Λέων μετὰ τὸ αὐτοκρατορῆσαι ἀπέστειλεν Ἀνδρέαν στρατηλάτην μετὰ κηρῶν πολλῶν κληρικῶν τε καὶ συγκλητικῶν ἐν Χρυσοπόλει, καὶ ἐξήγαγεν Μιχαὴλ ἐκ τοῦ τάφου, καὶ ἔβαλεν ἐν γλωσσοκόμῳ κυπαρισσίνῳ· καὶ ἐπὶ κραβάτου θέντες καὶ σκεπάσαντες βασιλικῶς τε τιμήσαντες, μεθ' ὕμνων καὶ τιμῆς πολλῆς, ἑπομένων ἐκεῖσε καὶ τῶν ἀδελφῶν αὐτοῦ, ἤγαγεν εἰς τοὺς C ἁγίους ἀποστόλους καὶ ἀπέθετο ἐν λάρνακι.

2. Μετὰ ταῦτα ὁ βασιλεὺς ἀπέστειλεν Ἀνδρέαν δομέστικον τῶν σχολῶν ἅμα Ἰωάννῃ Ἁγιοπολίτῃ σοφωτάτῳ καὶ γεγονότι λογοθέτῃ τοῦ δρόμου· καὶ ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας ἀνελθόντες, τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας ἀναγνόντες, τοῦτον τοῦ θρόνου κατήγαγον, καὶ περιώρισαν ἐν τῇ μονῇ τῶν Ἀρμενιανῶν τῇ ἐπιλεγομένῃ τοῦ Βόρδονος.

3. Προεβάλετο δὲ ὁ βασιλεὺς Στυλιανὸν Ζαούτζαν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου. ἀνήγαγε δὲ Στέφανον τὸν σύγ- D κελλον καὶ ἀδελφὸν αὐτοῦ ἐν τῷ πατριαρχείῳ· καὶ πρὸ τῶν Χριστοῦ γέννων χειροτονεῖται πατριάρχης ὑπὸ Θεοφάνους τοῦ πρωτοθρόνου καὶ λοιπῶν ἀρχιερέων· καὶ ποιήσας ἐν τῷ πατριαρχείῳ ἔτη ἓξ καὶ μῆνας πέντε ἐτελεύτησε, καὶ θάπτεται ἐν τῇ μονῇ τῶν Συκέων.

4. Ἐφ' οὗ Λέοντος προεδόθη τὸ κάστρον Ὑψηλή, καὶ ἐκρατήθη ὑπὸ τῶν Ἀγαρηνῶν, αἰχμαλωτισθέντων πάντων τῶν

ac syncellus, cum Photio morabatur, quem is educabat ac disciplinis instituebat. Leo itaque ubi rerum summam adeptus est, Andrea magistro militiae cum multis cereis senatusque frequentia Chrysopolim misso, Michaelis corpus eduxit e tumulo, posueruntque in loculo cypressino, imponentes sandapilae et operientes; regioque cultu honestantes, cum canticis multaque pompa ac honore, ipsis quoque eius fratribus funus deducentibus, inde ad sanctos apostolos adduxerunt atque in urna posuerunt.

2. Postea misit imperator Andream legionum domesticum cum Ioanne Hagiopolita, viro eruditissimo, et qui fuit publici cursus logotheta; conscensoque ecclesiae ambone, lectis Photii patriarchae criminum capitibus, e throno deiecerunt et ad Armenianorum monasterium, quod Bordonis vocant, relegarunt.

3. Praefecit vero imperator Stylianum Zautzam magistrum ac publici cursus logothetam. reduxit vero Stephanum syncellum fratremque suum in aedes patriarchales; ac ante Christi natalem patriarcha ordinatur a Theophane primae sedis episcopo ac reliquis episcopis. sexque annos et menses quinque summo urbis sacerdotio potitus diem obit, et in Sycearum monasterio humatur.

4. Leonis tempore proditum est praesidium cui nomen Hypsele, et ab Agarenis captum, sub iugum missis qui in eo erant universis. ex-

P 550 ὄντων ἐκεῖσε. γέγονε δὲ ἐμπρησμὸς μέγας πλησίον τῶν Σοφιανῶν, ἐμπρησθείσης καὶ τῆς ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ἣν ὁ αὐτὸς Λέων λαμπρῶς ἀνεκαίνισεν.

5. Ἀπέστειλε δὲ ὁ βασιλεὺς εἰς Εὐχάϊτα, καὶ ἤγαγε Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τῇ πόλει. Ἀνδρέας δὲ ὁ δομέστικος καὶ Στέφανος ὁ μάγιστρος ὁ τῆς Καλομαρίας, οἱ πολλὰ λοιδορηθέντες ἐπὶ Βασιλείου παρὰ Σανταβαρηνοῦ, ὑπέθηκαν τῷ βασιλεῖ, συσκευὴν ποιησάμενοι, ὡς ὅτι Φώτιος ὁ πατριάρχης καὶ Θεόδωρος ὁ Σανταβαρηνὸς βουλὴν εἶχον ποιήσασθαι βασιλέα ἐκ τῶν ἰδίων Φωτίου πατριάρχου. προσέταξε δὲ ὁ βασιλεὺς ἀγαγεῖν Φώ-
B τιον πατριάρχην καὶ Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τοῖς παλατίοις τῶν Πηγῶν, καὶ ἰδίως αὐτοὺς φρουρεῖσθαι διωρίσατο. ἀπεστάλησαν δὲ παρὰ τοῦ βασιλέως Στέφανος μάγιστρος καὶ Ἀνδρέας δομέστικος ὁ Κρατερὸς καὶ ὁ πατρίκιος Γοῦμερ καὶ Ἰωάννης ὁ Ἁγιοπολίτης ἐπὶ τὸ ἐξετάσαι τὰ κατ' αὐτῶν. καὶ ἀγαγόντες τὸν πατριάρχην καὶ καθίσαντες ἐπὶ θρόνου ἐν τιμῇ, καὶ αὐτοὶ καθεσθέντες, ἔφη πρὸς τὸν πατριάρχην Ἀνδρέας ὁ δομέστικος "γνωρίζεις, ὦ δέσποτα, τὸν ἀββᾶν Θεόδωρον;" ὁ δὲ ἀπεκρίθη "ἀββᾶν Θεόδωρον οὐ γνωρίζω." καὶ ὁ Ἀνδρέας "τὸν ἀββᾶν Θεόδωρον τὸν Σανταβαρηνὸν οὐ γνωρίζεις;" καὶ ὁ πατριάρχης "γινώσκω
C τὸν μοναχὸν Θεόδωρον ἀρχιεπίσκοπον ὄντα Εὐχαΐτων." (6) ἤγαγον δὲ καὶ τὸν Σανταβαρηνὸν πρὸς αὐτούς, καὶ λέγει πρὸς αὐτὸν Ἀνδρέας ὁ δομέστικος "ὁ βασιλεύς σοι δηλοῖ, ποῦ εἰσὶ τὰ χρή-

stitit vero etiam ingens incendium, haud procul a Sophianis, quo et beati Thomae succensa ecclesia est: eam ipse Leo splendide instauravit.

5. Missis imperator Euchaita apparitoribus adduxit in urbem Theodorum Santabarenum. Andreas autem domesticus et Stephanus magister Calomariae, qui sub Basilio imperatore a Santabareno multis fuerant accusati, dolum subornantes, imperatorem commonuerunt consilium habuisse Photium patriarcham et Theodorum Santabarenum, ut ex Photii propinquis imperatorem praeficerent. iussit vero imperator adduci Photium patriarcham et Theodorum Santabarenum ad Pegarum palatia, eosque seorsim in carcere singulos detineri constituit. missi porro sunt ab imperatore Stephanus magister et Andreas domesticus Craterus et patricius Gumer, et Ioannes Hagiopolita, ad illorum causam examinandam. inductoque patriarcha et in sede cum honore collocato, ipsis quoque sedentibus, dixit Andreas domesticus "nosti, domine, abbatem Theodorum?" respondit ille "abbatem Theodorum non novi." et Andreas "abbatem Theodorum Santabarenum non nosti?" ad quem patriarcha "novi monachum Theodorum, qui archiepiscopus sit Euchaitarum." (6) duxerunt vero etiam ad eos Santabarenum, aitque ad eum Andreas domesticus "mandat tibi imperator, ubi sunt opes et pignora meae maie-

ματα καὶ πράγματα τῆς ἐμῆς βασιλείας;" ὁ δὲ ἔφη "ὅπου δέδωκεν αὐτὰ ὁ βασιλεύς· νῦν δὲ ἐπεὶ ἀναζητεῖ αὐτά, ἐξουσίαν ἔχει ἀναλαβέσθαι αὐτά." καὶ ὁ Ἀνδρέας ἔφη πρὸς αὐτὸν "εἰπὲ τίνα ἠβούλου ποιῆσαι βασιλέα, ὑποθέμενος τῷ ἐμῷ πατρὶ διὰ συσκευῆς σου τυφλῶσαί με; τοῦ πατριάρχου ἴδιον ἢ σόν;" ὁ δὲ ἀποκριθεὶς εἶπεν "οὐ γινώσκω τὸ σύνολον περὶ ὧν λέγετε κατηγοροῦντές με." λέγει οὖν Στέφανος ὁ μάγιστρος πρὸς αὐτὸν "καὶ πῶς ἐμήνυσας τῷ βασιλεῖ ἵνα ἐλέγξω τὸν πατριάρχην περὶ τούτου;" ὁ δὲ Σανταβαρηνὸς παρευθὺ πεσὼν εἰς τοὺς πόδας τοῦ πατριάρχου εἶ- D πεν "ὁρκίζω σε κατὰ τοῦ θεοῦ, δέσποτα, ἵνα πρῶτον ποιήσῃς τὴν ἐμὴν καθαίρεσιν, καὶ τότε γυμνὸν ὄντα τῆς ἱερωσύνης κολαζέτωσαν ὡς κακοῦργον· οὐ γὰρ τοιαῦτα ἐδήλωσα τῷ βασιλεῖ." ὁ δὲ πατριάρχης ἐνώπιον πάντων ἔφη "μὰ τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς, κῦρι Θεόδωρε, ἀρχιεπίσκοπος εἶς καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι." θυμωθεὶς οὖν Ἀνδρέας ἐπὶ τούτοις ἔφη "οὐκ ἐμήνυσας, ἀββᾶ, τῷ βασιλεῖ δι' ἐμοῦ ὅτι ἵνα ἐλέγξω τὸν πατριάρχην εἰς τοῦτο;" ὁ δὲ ἀπηρνεῖτο μὴ εἰδέναι τι. ὑποστρέψαντες οὖν ἀνήγγειλαν τῷ βασιλεῖ ἅπαντα τὰ λαληθέντα παρ' αὐτῶν. ὁ δὲ P 551 βασιλεὺς θυμῷ τε καὶ ὀργῇ ἀκατασχέτῳ ληφθεὶς ὡς μὴ εὑρὼν αἰτίαν κατὰ τοῦ πατριάρχου, ἀποστείλας ἔτυψεν τὸν Σανταβαρηνὸν σφοδρῶς, καὶ τοῦτον ἐξώρισεν ἐν Ἀθήναις. ὄπισθεν δὲ αὐτοῦ ἀποστείλας ἐτύφλωσεν αὐτὸν καὶ ἐξώρισεν εἰς Ἀνατολήν. (7) μετὰ

10 σημείωσαι ὅτι ὁ ἱερωμένος καὶ πταίστης ὀφείλει ἵνα καθαιρεθῇ, καὶ τότε ἵνα κολάζηται margo P 18 ἀνήγγειλον P

statis?" qui ait "ubi ea dedit imperator: nunc vero si haec requirit, licet ei ut illa recipiat." ad quem Andreas "dic, quaeso: quemnam volebas imperatorem facere, cum patri consuleres ut me oculis caecaret, patriarchae propinquum, an tuum?" respondit ille ac dixit "nescio prorsus de quo loquamini, mihi crimen impingentes." ait ergo magister Stephanus ad eum "et qua vero ratione mihi significasti imperatori, ut eius rei nomine patriarcham coarguerem?" Santabarenus vero confestim iactans se ad patriarchae pedes ait "adiuro te per deum, domine, ut meam prius depositionem facias, ac tunc me sacerdotio nudum tanquam maleficum poenis subiiciant. non enim istiusmodi rem significavi imperatori. porro patriarcha in omnium conspectu ait "per salutem animae meae, domine Theodore, archiepiscopus es, tum in hoc saeculo tum in futuro." in his ira accensus Andreas "nunquid non" inquit, "abba, per me imperatori denuntiasti fore ut patriarcham eiusce reum sceleris perageres?" at ille se quicquam scire pernegabat. reversi itaque, quae illi locuti essent, imperatori cuncta renuntiant. impotenti vero is ira furoreque correptus, quod adversus patriarcham nihil criminis deprehendisset, misso lictore duris verberibus Santabarenum affecit atque Athenas relegavit; tum post illum mittens, ipsum luminibus caecavit et in Asiam exsulem expulit. (7) post annos autem plures placatus imperator

δὲ ἔτη πολλὰ παρακληθεὶς ὁ βασιλεὺς τοῦτον ἀνήγαγεν ἐν τῇ πόλει, καὶ προσέταξε λαμβάνειν αὐτὸν ἀννώνας ἐκ τῆς Νέας ἐκκλησίας. ἐτελεύτησε δὲ ὁ Σανταβαρηνὸς ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς τῆς αὐτοῦ μητρός.

B 8. Ἐπὶ τῆς βασιλείας οὖν Λέοντος Ἁγίων ὁ Λογγιβαρδίας ἔξαρχος καὶ δούξ, γαμβρὸς δὲ γεγονὼς τοῦ ῥηγὸς Φραγγίας, ἀντῆρε τῷ βασιλεῖ, πᾶσαν τὴν χώραν εἰς ἑαυτὸν δουλώσαντος. τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέστειλε Κωνσταντῖνον τὸν τῆς τραπέζης σὺν πᾶσι τοῖς θέμασι τῆς δύσεως πρὸς τὸ καταπολεμῆσαι Ἁγίωνα. καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ μετὰ Κωνσταντίνου καὶ κατεσφάγησαν, μόλις αὐτοῦ διασωθέντος.

9. Γέγονε δὲ ἔκλειψις ἡλίου, ὥστε νύκτα γενέσθαι ὥρᾳ ἕκτῃ καὶ τοὺς ἀστέρας φαίνεσθαι. ἀλλὰ βρονταὶ καὶ συνοχαὶ C ἀνέμων καὶ ἀστραπαὶ γεγόνασιν, ὥστε καῆναι ἐν τοῖς ἀναβαθμοῖς τοῦ φόρου ἀνθρώπους ἑπτά. (10) καὶ ἐπολιορκήθη ὑπὸ τῶν Ἀγαρηνῶν ἡ Σάμος τὸ κάστρον, αἰχμαλωτισθέντος καὶ τοῦ στρατηγοῦ αὐτῶν τοῦ Πασπαλᾶ. προεχειρίσατο δὲ Λέων ὁ βασιλεὺς Ζαούτζαν εἰς βασιλεοπάτορα, συμφιλιωθεὶς ἤδη Ζωῇ τῇ αὐτοῦ θυγατρί, φαρμάκῳ τινὶ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς Θεοδώρου τοῦ Γαουανιάτου. Στεφάνου δὲ πατριάρχου τῶν τῇδε μεταστάντος χειροτονεῖται ἀντ' αὐτοῦ Ἀντώνιος ὁ λεγόμενος Καυλέας.

5 Ἐγίων margo P

ipsum in urbem reduxit, atque ex Nova ecclesia annonas accipere iussit. mortuus vero est Santabarenus Constantino et matre eius Zoe imperatoribus.

8. Leone itaque imperatore Hagio Longobardiae praefectus atque dux, gener vero regis Franciae, rebellione adversus imperatorem mota omnem regionem suae mancipavit dicioni. qua re cognita imperator Constantinum mensae praepositum cum omnibus occiduis legionibus ad Hagionem expugnandum misit. consertaque pugna victa Constantini acies est, trucidatus exercitus: unus ipse salutem aegre expedivit.

9. Tantum fuit solis deliquium, ut hora sexta stellae in caelo apparuerint. ceterum orta sunt tonitrua ventorumque compressiones et turbines atque fulgura, adeo ut septem homines in fori gradibus incendio absumpti sint. (10) expugnata Samus urbs munita ab Agarenis, sub iugum misso ipso quoque eorum praetore ac duce Paspala. Leo imperator in imperatoris patrem Zautzam promovit, cum illius filiam Zoen in uxorem accepisset, exstincto illius viro Theodoro Gauaniato veneno quodam. Stephano autem patriarchae e vivis sublato, eius loco ordinatur Antonius dictus Cauleas.

11. Ἦλθε δὲ καὶ ἀγγελία παρὰ τοῦ στρατηγοῦ Μακεδονίας ὡς ὁ ἄρχων Βουλγαρίας Συμεὼν βούλεται ἐκστρατεῦσαι κατὰ Ῥωμαίων. ἡ δὲ αἰτία ἣν ὠργίζετο Συμεὼν ἦν αὕτη. Ζαούτζας D ὁ βασιλεοπάτωρ εἶχε δοῦλον εὐνοῦχον ὀνόματι Μουσικόν. οὗτος ἐφιλιώθη Σταυρακίῳ καὶ Κοσμᾷ Ἑλλαδικοῖς φιλοχρύσοις καὶ πραγματευταῖς, οἵτινες πρὸς αἰσχροκερδίαν ἀφορῶντες μεσιτείᾳ καὶ δυνάμει τοῦ Μουσικοῦ διέστησαν τὴν ἐν τῇ πόλει πραγματείαν τῶν Βουλγάρων ἐν Θεσσαλονίκῃ, κακῶς τοὺς Βουλγάρους διοικοῦντες ἐν τῷ κομμερκεύειν. οἱ δὲ Βούλγαροι τῷ Συμεὼν ταῦτα ἀπήγγειλαν. ὁ δὲ δῆλα πεποίηκε ταῦτα τῷ βασιλεῖ Λέοντι. ὁ δὲ βασιλεὺς ὑπὸ τοῦ βασιλεοπάτορος κωλυόμενος, προσπαθοῦντος P 552 τῷ Μουσικῷ, πάντα ὡς λῆρον ἤκουεν. (12) μανεὶς οὖν ὁ Βούλγαρος ἐκστρατεύει κατὰ Ῥωμαίων. καὶ μαθὼν ταῦτα ὁ βασιλεὺς ἀποστέλλει τὸν Κρηνήτην στρατηλάτην κατὰ Βουλγάρων μετὰ ὅπλων καὶ ἀρχόντων πολλῶν τῆς πόλεως κατὰ Συμεών. καὶ συμβολῆς γενομένης ἐν Μακεδονίᾳ τρέπονται οἱ Ῥωμαῖοι, σφαγέντος τοῦ τε Κρηνήτου καὶ τοῦ Ἀρμένη τοῦ Κουρτικίου καὶ τῶν λοιπῶν πάντων. ἐκ δὲ τῶν Χαζάρων, οἳ ἦσαν εἰς τὴν ἑταιρείαν Λέοντος, κρατηθέντες καὶ τὰς ῥῖνας αὐτῶν κοπέντες εἰς αἰσχύνην Ῥωμαίων B ἐν τῇ πόλει παρὰ Συμεὼν ἀπεστάλησαν. οὓς ἰδὼν ὁ βασιλεὺς καὶ θυμωθεὶς ἀπέστειλε Νικήταν τὸν ἐπιλεγόμενον Σκληρὸν μετὰ δρομώνων ἐκ τῷ ποταμῷ Δανουβίῳ δοῦναι δῶρα τοῖς Τούρκοις καὶ πόλεμον κινῆσαι κατὰ Συμεών. ὁ δὲ ἀπελθὼν καὶ συντυχὼν ταῖς

11. Venit ei nuntius a praetore Macedoniae, in destinato habere Symeonem Bulgarorum principem ut infestis signis incurset Romanam dicionem. hinc excitae Symeonis irae. Zautzae imperatoris patri servus erat nomine Musicus. is Stauracio et Cosmae Helladicis, hominibus auri avaris ac negotiatoribus, amicitia iunctus est. hi turpis lucri causa, eoque spectantes ut quovis modo rem familiarem augerent, intercessione ac potentia Musici, quae in urbe erat, Bulgarorum negotiationem Thessalonicam avocavere, quod male Bulgarorum commerciis cedebat. Bulgari haec Symeoni nuntiavere. ille Leoni imperatori curavit intimare: imperator vero obstante imperatoris patre, cuius in Musicum propensi animi essent, veluti vacui nugas cerebri cuncta audiebat. (12) furore igitur actus Bulgarus adversus Romanos copias educit. quibus cognitis imperator Crenetem magistrum militiae adversus Bulgaros armis instructum, multisque urbis proceribus ac officialibus fretum, adversus Symeonem mittit. consertaque pugna in Macedonia in fugam vertuntur Romani, iugulato tum Creneto tum Armeno Curticio reliquisque omnibus. ex Chazaris, qui in Leonis foederatorum agmine merebant, capti, praecisisque eis naribus, Romanorum probro, in urbem a Symeone missi sunt. hos ut vidit imperator, ira percitus Nicetam cui cognomen Scleri (i. e. duri) cum triremibus in Danubium misit, Turcorum auxilia muneribus datis corrogaturum, et ut bellum adversus Symeonem moverent.

κεφαλαῖς αὐτῶν Ἀρπάδῃ καὶ Κουρσάνῃ, καὶ συνθεμένων πολεμῆ-
σαι, λαβὼν ὄψιδας ἦλθε πρὸς τὸν βασιλέα. ὁ δὲ βασιλεὺς πάλιν
διὰ τῆς θαλάσσης ἀπέστειλεν Εὐστάθιον πατρίκιον καὶ δρουγγά-
C ριον τοῦ πλωΐμου. Νικηφόρον δὲ πατρίκιον τὸν Φωκᾶν καὶ δο-
μέστικον μετὰ τῶν θεμάτων ἀπέστειλεν διὰ γῆς, καὶ εἰσῆλθε
μέχρι Βουλγάρων. ὁ δὲ βασιλεὺς τὴν εἰρήνην ἀσπαζόμενος μετὰ
τοῦτο ἀπέστειλε Κωνσταντινιάκην κυαίστωρα πρὸς Συμεών, τὰ περὶ
εἰρήνης συμβουλεύοντα. Συμεὼν δὲ τὴν κατ' αὐτοῦ κίνησιν διά
τε γῆς καὶ θαλάσσης μαθὼν ἐν φρουρᾷ κατακλείει τὸν κυαίστωρα
ὡς ἐπὶ δόλῳ ἐλθόντα. περάσαντες οὖν οἱ Τοῦρκοι, τοῦ Συμεὼν
ἐπὶ τὸ στράτευμα Φωκᾶ ἀσχολουμένου, ᾐχμαλώτευσαν πᾶσαν τὴν
D Βουλγαρίαν. ταῦτα μαθὼν Συμεὼν κινεῖται κατὰ Τούρκων. οἱ
δὲ ἀντιπεράσαντες συμβάλλουσι πόλεμον μετὰ Βουλγάρων, καὶ
τρέπεται Συμεών, μόλις διασωθεὶς ἐν τῇ Δίστρᾳ. οἱ δὲ Τοῦρκοι
ᾐτήσαντο τὸν βασιλέα ἀποστεῖλαι καὶ ἀγοράσαι τὴν αἰχμαλωσίαν
τῶν Βουλγάρων· ὃ δὴ καὶ πεποίηκεν ὁ βασιλεύς, τοὺς πολίτας
ἀποστείλας ἐπαγοράσαι αὐτούς.

13. Ὁ δὲ Συμεὼν δι' Εὐσταθίου δρουγγαρίου ἐδεήθη περὶ
εἰρήνης. πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεύς, καὶ ἀπέστειλε Λέοντα τὸν
Χοιροσφάκτην πρὸς τὸ γενέσθαι εἰρήνην. ἐδέξατο δὲ Νικηφόρος
ὑποστρέψαι μετὰ λαοῦ, καὶ ὁ δρουγγάριος τῆς βίγλης Εὐστάθιος
P 553 ὁμοίως. Λέοντα οὐδὲ λόγου ἠξίωσε Συμεών, ἀλλ' ἠσφαλίσατο

profectus vero ille, communicatoque cum ipsorum capitibus Arpade ac Cursane consilio, pactisque iis Symeonem se bello incessuros, ac datis obsidibus ad imperatorem reversus est. rursusque imperator Eustathium patricium navaliumque copiarum drungarium mari misit; Nicephorum vero patricium Phocam domesticum cum legionibus terra destinavit, ingressusque ad ipsam usque Bulgariam pervasit. porro imperator, qui paci studeret tanto belli apparatu, Constantiniacem quaestorem ad Symeonem misit, qui ea quae pacis essent consuleret. Symeon vero omni illa in ipsum terra marique motione comperta, quaestorem, velut qui dolo venisset, compingit in carcerem. transmisso igitur Turci amne, interim dum Symeon in Phocae exercitu occupatur, Bulgariam omnem sub iugum miserunt ac captivarunt. haec ut Symeon accepit, adversus Turcas proficiscitur. hi contra traiicientes pugnam cum Bulgaris conserunt. in his fusus fugatusque Symeon, ut vix ipse in Distra incolumis salvusque evaserit. Turci vero imperatorem rogarunt ut mitteret qui Bulgarorum captivos redimerent. quod et fecit imperator, missis in eam rem civibus, et ut lytrum pro eis darent.

13. Porro Symeon Eustathii drungarii opera de pace rogavit. in eam imperator animum inflexit, Leonemque Choerosphactem ad eam consciscendam misit. data mandata Nicephoro ut copias reduceret; similiter etiam Eustathio excubiarum drungario. Symeon nec sermone Leonem dignatus est, sed in carcerem compegit. susceptaque adversus

εἱρκτῇ. ἐκστρατεύσας δὲ κατὰ τῶν Τούρκων, ἐκείνων ὀχύρωμα βοηθείας μὴ ἐχόντων παρὰ Ῥωμαίων, ἀλλ' ἀπρονοήτως ἐαθέντων, πάντας κατέσφαξεν, αὐξήσας τὴν μεγαλαυχίαν αὐτοῦ. καὶ ὑποστρέψας εὗρε Λέοντα ἐν τῇ Μουδάγρᾳ, καὶ εἶπεν πρὸς αὐτὸν "οὐ ποιῶ εἰρήνην, ἐὰν μὴ πᾶσαν τὴν αἰχμαλωσίαν λάβω." διωρίσατο οὖν ὁ βασιλεὺς ταύτην ἀποδοῦναι, καὶ ἦλθε μετὰ Λέοντος Βούλγαρος οἰκεῖος τοῦ Συμεών, καὶ παρέλαβεν αὐτούς.

14. Νικηφόρου δὲ τοῦ Φωκᾶ τελευτήσαντος, ἀφορμὰς B ἐζήτει Συμεὼν τὴν εἰρήνην διαλῦσαι· ἐπιζητῶν γὰρ καὶ ἄλλους αἰχμαλώτους εἰσέρχεται κατὰ Ῥωμαίων. Λέων δὲ ὁ βασιλεὺς δομέστικον τῶν σχολῶν προβάλλεται Λέοντα Κατακαλόν, ἐν τῇ Ῥάβδῳ τὴν οἴκησιν ἔχοντα, καὶ μετ' αὐτοῦ ἀποστέλλει Θεοδόσιον πατρίκιον καὶ πρωτοβεστιάριον. καὶ περάσας ὅλα τὰ θέματα καὶ τὰ τάγματα, καὶ γενομένης συμβολῆς μετὰ Συμεὼν εἰς τὸ Βουλγαρόφυγον, ἐγένετο τροπὴ δημοσίᾳ καὶ πάντες ἀπώλοντο καὶ ὁ πρωτοβεστιάριος Θεοδόσιος, δι' ὃν ὁ βασιλεὺς οὐ μετρίως ἠνιάθη ἐπὶ τούτου.

15. Ἔσφαξαν καὶ ἐν Χερσῶνι οἱ τοῦ κάστρου τὸν στρα- C τηγὸν αὐτῶν Συμεὼν τὸν υἱὸν Ἰωάννου. καὶ παρελήφθη τὸ κάστρον τὸ Κόρον ἐν Καππαδοκίᾳ ὑπὸ τῶν Ἀγαρηνῶν.

16. Ὁ δὲ βασιλεὺς πρόκενσον ἐποίει εἰς τὰ Δαμιανοῦ, συνόντος καὶ Ζαούτζα τοῦ βασιλεοπάτορος καὶ παραδυναστεύοντος καὶ τῆς θυγατρὸς αὐτῆς Ζωῆς ἅμα τῷ βασιλεῖ· Θεοφανὼ δὲ ἡ γαμετὴ αὐτοῦ οὐ παρῆν ἐκεῖ, ἀλλ' ἐν Βλαχέρναις ἐν τῇ ἁγίᾳ σορῷ

Turcos expeditione, cum ii nullum a Romanis auxilii praesidium haberent, sed nulla ipsorum cura relicti essent, aucta sua inde superbia omnes contrucidavit. reversusque Leonem invenit in Mudagra, dixitque ad eum non facturum se pacem, nisi captivos omnes reciperet. constituit itaque imperator eos reddendos esse; venitque cum Leone Bulgarus Symeonis homo ac domesticus, qui eos recepit.

14. Nicephoro Phoca vivis exempto, Symeon pacis dissolvendae occasiones quaerebat. dum enim etiam alios captivos quaerit, Romanam incessit dicionem. Leo autem imperator legionum domesticum Catacalum praeficit, cuius in Rabdo domicilium fuit. missus cum eo Theodosius patricius et protovestiarius; traiectisque legionibus integris et ordinibus ac agminibus, conserta pugna cum Symeone ad Bulgarophygum, locum sic dictum, facta est communis fuga omnesque periere, Theodosius quoque protovestiarius, cuius mortis causa haud mediocriter imperatoris indoluit animus.

15. Etiam Chersonis oppidani praetorem suum ac ducem Symeonem, Ioannis filium, contrucidarunt. captum itidem Corum, munitum praesidium in Cappadocia, ab Agarenis.

16. Facto imperator processu ad Damiani aedes, Zautza quoque patre imperatoris illi comite, una cum Zoe eius filia: Theophano enim illius uxor non illic erat, sed in Blachernis ad S. Sorum assidua. ut

προσχομένη. δόξαντος οὖν τοῦ βασιλέως μεῖναι ἐκεῖ συμβούλιον ποιήσαντες οἱ τοῦ Ζαούτζα συγγενεῖς, ὅ τε υἱὸς αὐτοῦ ὁ Τζαού-
D *τζης καὶ οἱ λοιποί, ἠβούλοντο τῇ νυκτὶ φονεῦσαι τὸν βασιλέα. ἡ Ζωὴ δὲ μετὰ τοῦ βασιλέως καθεύδουσα καὶ τὴν ταραχὴν ἀκούσασα, διὰ τῆς θυρίδος προβλεψαμένη αὐτοὺς κατεσίγασεν. ὡς δὲ τὸ δεινὸν ἔγνω τῆς ἐπιβουλῆς ἧς ἐμελέτησαν, ἐξύπνισε τὸν βασιλέα, ὃς παρευθὺ εἰσελθὼν εἰς πλοῖον διεπέρασεν εἰς Πηγάς, ἐάσας Ζαούτζαν καὶ πάντας ἐκεῖσε. καὶ πρωῒ ταχίων εἰσῆλθεν εἰς τὸ παλάτιον, ἐξεώσας Ἰωάννην δρουγγάριον τῆς βίγλης, καὶ προβαλόμενος Πάρδον υἱὸν Νικολάου ἑταιρειάρχην ἀντ' αὐτοῦ· ὁ γὰρ Νικόλαος συμφιλιωθεὶς τῷ βασιλεῖ κατάδηλα ἐποίει αὐτῷ*
P 554 *πάντα τὰ τοῦ Ζαούτζη ...., ἕως ἂν Λέων ὁ μάγιστρος ὁ Θεοδοτάκης διήλλαξεν αὐτούς.*

17. *Τελευτᾷ δὲ Θεοφανὼ Αὔγουστα, βασιλεύσασα ἔτη δώδεκα· ἣν οὐ μετὰ πολλὰς ἡμέρας ἀνέδειξεν ὁ θεὸς θαυματουργὸν διὰ τὸ ἀζηλότυπον αὐτῆς καὶ ἀμνησίκακον καὶ διὰ τὸ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς ἀδιαλείπτως προσκαρτερεῖν τῷ θεῷ καὶ ταῖς ἁγίαις ἐκκλησίαις.* (18) *στέφει δὲ Λέων ὁ βασιλεὺς Ζωὴν τὴν θυγατέρα Ζαούτζα. ὅτι διὰ τὸ κατηγορηθῆναι τὴν Ζωὴν μετὰ τοῦ βασιλέως ἐν τῇ ζωῇ τῆς Θεοφανὼ οὐκ εὐλογήθη παρὰ τοῦ πατριάρχου ὡς παράνομος ὁ γάμος· καὶ ὁ ἱερεὺς ὁ εὐλογήσας*

5 *προσβλεψαμένη* P 8 *ταχὺ* p. 222 c 19 *ὅτε?* 21 *καὶ ὁ ἱερεὺς — συνόδου*] haec nescio an tollenda.

itaque visum erat imperatori ibi manere, consilio inito Zautzae propinqui et affines, tum scilicet Tzautzes eius filius tum reliqui, coniurarunt ut imperatorem noctu tollerent. Zoe autem in imperatoris sinu dormiens, audito tumultu per fenestram prospiciens, silentium indicebat. ubi autem insidiarum, quas moliti essent, periculum advertit, imperatorem a somno excitavit. is confestim lintrem ingressus in Pegas transfretavit, relicto ibi Zautza et omnibus, statimque diluculo festinantius in palatium intravit. expulso Ioanne excubiarum drungario, Pardum Nicolai filium eius loco foederatorum comitem praefecit. Nicolaus enim amicitia iunctus imperatori, quae erant Zautzae omnia ei nota faciebat. hinc factum ut ambo omni sibi commercio interdictum vellent, donec Leo magister Theodotaces eos conciliavit.

17. Theophano Augusta diem obit, cum annos duodecim in imperio egisset. hanc deus non post multos dies miraculorum effectricem ostendit, iccirco quia zelotypia non moveretur, nec eius ulla esset iniuriarum memoria; quod item eleemosynis et orationibus iugiter deo ac sanctis ecclesiis esset assidua. (18) coronat vero Leo Zoem Zautzae filiam. iccirco nimirum quod crimini data cum Zoe consuetudo, Theophanone coniuge in vivis agente, haud benedictae sunt a patriarcha Leonis nuptiae, ut illegitimae. et qui eum benedixit sacerdos, tametsi im-

αὐτόν, εἰ καὶ βασιλεὺς ὑπῆρχεν, ἀλλά γε ἐκαθηρέθη ὑπὸ συνόδου. B καὶ εὐλογεῖται μετ' αὐτῆς παρὰ κληρικοῦ τοῦ παλατίου ᾧ ἐπίκλην Σινάπης· καὶ ὁ μὲν εὐλογήσας καθηρέθη, ἡ δὲ ἐβασίλευσεν ἔτος ἓν μῆνας ὀκτώ. τελευτησάσης δὲ τῆς Ζωῆς λάρνακα ἐφεῦρον εἰς τὸ ἀποτεθῆναι τὸ σῶμα αὐτῆς, ἔχουσαν ἔνδοθεν γράμματα κεκολαμμένα, γράφοντα οὕτως "θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος."

19. Διεβλήθησαν δὲ τῷ βασιλεῖ Λέοντι ὅ τε Μουσικὸς καὶ ὁ Σταυράκιος ὡς ὅτι παρὰ τῶν στρατηγῶν καὶ ὀφφικιαλίων λαμβάνοντες δῶρα καὶ μεσιτεύοντες πρὸς τὸν βασιλεοπάτορα. καί ποτε εἰσελθόντος τοῦ Σταυρακίου μετὰ γραμμάτων τινὸς τῶν στρατηγῶν C πρὸς τὸν Ζαούτζαν, ὡς εἶδεν αὐτὸν ὁ βασιλεὺς ἑστὼς ἐν τῷ ἡλιακῷ, ἦλθεν ὄπισθεν αὐτοῦ, καὶ κρατήσας ἐκ τοῦ τένοντος ἐξήγαγεν ἔξω ὡς δῆθεν ἐρωτήσων περὶ τῶν στρατηγῶν· καὶ εἰς τὸ Μονόθυρον ἀγαγών, καὶ τὰ γράμματα ἄρας καὶ ἀποσφενδονήσας, παραδέδωκε τοῖς ἐπιτυχοῦσιν ἐξαγαγεῖν τοῦ παλατίου, διορισάμενος ἀποκεῖραι αὐτόν. μαθὼν δὲ τοῦτο ὁ Μουσικὸς ἐπ' ἀπογνώσει γέγονεν. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἔνθα ἵστατο ὁ Μουσικὸς παρεστὼς τῷ Ζαούτζᾳ, τοῦτον ἐπὶ τράχηλον ὠθήσας ἐξήγαγε, παραδοὺς Χριστοφόρῳ κοιτωνίτῃ ἐν τοῖς Στουδίου ἀπαγαγεῖν D καὶ μοναχὸν ποιῆσαι. μετ' ὀλίγον δὲ τελευτᾷ Ζαούτζας ἐν τῷ παλατίῳ, καὶ τοῦτον διὰ τοῦ Βουκολέοντος καταγαγόντες ἀπήγαγον ἐν τῇ μονῇ τοῦ Καυλέα, ἐκεῖσε αὐτὸν θάψαντες.

20. Μετὰ δὲ τὴν τελευτὴν Ζαούτζα Βασίλειος Ἐπείκτης,

perator esset, synodi nihilominus decreto depositus est. benediciturque Leo cum ipsa a clerico palatino, cognomento Sinapes. ac is quidem qui benedixit, gradu motus est. Zoe vero in imperio egit annum unum, menses octo. exstincta autem illa urnam invenerunt, intra quam insculptae literae in haec verba "filia Babylonis misera."

19. Delati criminis apud Leonem imperatorem Stauracius et Musicus, ut qui pro ducibus et officialibus ac proceribus intercederent apud imperatoris patrem, acceptis ab eis muneribus. quandoque vero ingresso Stauracio cum literis cuiusdam praetoris ad imperatoris patrem Zautzam, videns imperator, dum staret in solario, venit retro, prehensaque cervice eum trusit foras, velut qui rogatum pro ducibus tribunisque venisset. ducensque ad Monothyrum, ac literis ablatis, iactansque ac excutiens, praesentibus tradidit palatio educendum, iubens ut coma multarent. haec ubi Musicus audivit, in desperationem actus animis concidit. veniensque imperator, quo loco Musicus adstabat Zautzae, collo trudens eiecit, tradens Christophoro cubiculario, qui in Studii abduceret ac monachum faceret. nec multo post moritur Zautzas in palatio, eiusque per Bucoleonem eductum funus in Cauleae monasterio condiderunt.

20. Post Zautzae autem occasum Basilius imperatoris operum

υἱὸς Νικολάου ἑταιρειάρχου, συνεφιλιώθη Σαμωνᾷ κουβικουλαρίῳ τῷ ἐξ Ἀγαρηνῶν, ὀρεγόμενος τοῦ τῆς βασιλείας ἀξιώματος. ἐθάρρησε δὲ τῷ Σαμωνᾷ ὅτι τῆς θείας ἡμῶν Ζωῆς τελευσάσης ὁ
P 555 βασιλεὺς λαβεῖν ἔχει ἑτέραν γυναῖκα, καὶ ἡμᾶς πάντας ἔχει ἀφανίσαι. ἀλλὰ δός μοι λόγον, ἵνα σοι θαρρήσω πάντα τὰ βουλευόμενα. καὶ δόντος αὐτοῦ λόγον τῷ Βασιλείῳ, ἐθάρρησεν αὐτῷ πάντα. ὁ δὲ Σαμωνᾶς εἰσελθὼν εἰς τὸν βασιλέα εἶπεν αὐτῷ ὅτι, δέσποτά μου, θέλω σοι εἰπεῖν τι ἰδίως, ὅπερ ἐὰν μὲν εἴπω, ἀποθνήσκω, εἰ δὲ μὴ εἴπω, ἀποθνήσκεις σύ. καὶ διεξῆλθε πρὸς τὸν βασιλέα πᾶσαν τὴν ἐπιβουλὴν τοῦ Βασιλείου. ἀπιστήσαντος δὲ τοῦ βασιλέως τοῖς λαληθεῖσι παρ' αὐτοῦ, καὶ εἰρηκότος "μή τίς σοι ὑπέβαλε ταῦτά μοι εἰπεῖν, καὶ ἐκ δωροδοκίας τοῦτο ἐποίησας;" ὁ δὲ εἶπεν "ἀπόστειλον πιστοὺς ἀνθρώπους, οὓς κελεύεις, ἐν τῷ
B ἐμῷ κελλίῳ, δέσποτά μου, καὶ ἵνα εἰσὶν ἐγκεκρυμμένοι, καὶ εἴ τι ἂν ἀκούουσι παρὰ Βασιλείου καὶ παρ' ἐμοῦ, γράφωσι ταῦτα." παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστέλλει Χριστοφόρον πρωτοβεστιάριον ἅμα Καλοκύρῳ κοιτωνίτῃ, καὶ ἀνελθόντες ἐκρύβησαν ἐν τῷ κελλίῳ αὐτοῦ. Βασίλειος οὖν δελεασθείς, καὶ λαβὼν λόγον ἔνορκον παρὰ Σαμωνᾶ εἰς τὸ προσευχάδιον αὐτοῦ, ἐξεῖπεν αὐτῷ πάντα τὰ τῆς βουλῆς καὶ τοὺς συμβουλευομένους. ἀριστώντων δὲ αὐτῶν κατελθόντες Χριστοφόρος καὶ Καλοκῦρος διὰ γραφῆς ἀνέγνωσαν πάντα τῷ βασιλεῖ. καὶ παρευθὺ μὲν Βασίλειον προσκαλεσάμενος

14 ὦσιν?

praepositus ac compulsor, Nicolai foederatorum cohortis comitis filius, amicitia iunctus est Samonae cubiculario, Agarenorum stirpe sato, imperium culminis cupidine actus. creditque Samonae secretum: "exstincta iam Zoe amita nostra, imperator aliam coniugem accepturus est, nosque omnes eliminaturus. verum mihi dato fidem, ut tibi omne consilium credam, et quod coniurationis existit." data vero Basilio fide, edisseruit illi omnia. Samonas vero ad imperatorem ingressus ait "domine mi, volo tibi aliquid privatim dicere, quod quidem si dixero, mors mihi est: si autem non dixero, ipse tu morieris," omnemque ei Basilii coniurationem narravit. cumque eius dictis fidem non haberet, ac diceret "numquid aliquis subornavit, ut mihi haec loquereris, fecistique hoc ut muneris quidpiam emungas?" ait ille "mitte quos libuerit, viros fideles in meum cubiculum, domine mi, et si quid ex Basilio et ex me audierint, conscribant." confestim vero imperator Christophorum protovestiarium mittit una cum Calocyro cubiculario; ascendentesque in eius delituere cubiculo. velut itaque esca captus Basilius, iurataque fide a Samona accepta, in domestico ipsius oratorio omnem illi edisseruit coniurationem, ac qui coniurati essent. prandentibus vero illis descendentes Christophorus et Calocyrus omnia, ita ut audita scripserant, imperatori legerunt. confestimque adesse iusso Basilio dedit miliarisiorum quattuor-

δέδωκε μιλιαρήσια χιλιάδας εἰκοσιτέσσαρας ὡς δῆθεν ψυχικὰ τῆς
αὐτοῦ θείας Ζωῆς, ὡς ὁρισθέντα παρ' αὐτῆς οὕτως, καὶ ἀπέ- C
στειλεν ἐν Μακεδονίᾳ. καὶ τὸν μὲν Βασίλειον οὕτως τῆς πόλεως
ἐξήγαγε, τοὺς δὲ λοιποὺς τοὺς τῆς αὐτῆς βουλῆς μετεσχηκότας καὶ
κοινωνήσαντας, Πάρδον μὲν δρουγγάριον τῆς βίγλης ἀποστέλλει
πρὸς τὸν Στυπιώτην δῆθεν ἀγαγεῖν αὐτόν, προμηνυθέντος ἐκείνου
διὰ βασιλικοῦ πιττακίου τοῦτον δεσμῆσαι. προφασισάμενος δὲ ὁ
βασιλεὺς ἀπελθεῖν καὶ δειπνῆσαι εἰς τὸν ἅγιον Λάζαρον, εἰς τὸ
καταβάσιον τοῦ τζυκανιστηρίου, ἔστησεν Ἰωάννην Γαριδᾶν μετὰ
καὶ τῶν λοιπῶν τῆς ἑταιρείας ἐν τῷ κουβουκλίῳ· καὶ ἐν τῷ κατέρ-
χεσθαι τὸν βασιλέα κρατήσαντες οἱ μετὰ Ἰωάννου Νικόλαον ἑται- D
ρειάρχην ἐξήγαγον τῆς πόλεως. ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασί-
λειον καὶ ἀνακρίνας καὶ τύψας, καὶ τὰς τρίχας αὐτοῦ καταφλέξας,
καὶ ἐν τῇ μέσῃ θριαμβεύσας, ἐξώρισεν ἐν Ἀθήναις· καὶ κακῶς
ἐκεῖ τελευτᾷ. ὡσαύτως καὶ Νικόλαον ἑταιρειάρχην καὶ Στυλιανὸν
καὶ Ἰωάννην καὶ συγγένειαν πᾶσαν Ζαούτζα τοὺς μὲν ἀπέκειρε τοὺς
δὲ ἐξώρισε, δημεύσας τὰς οὐσίας αὐτῶν πάσας. καὶ οὕτως πᾶσα
ἡ συγγένεια Ζαούτζα ἐξωλοθρεύθη διὰ Σαμωνᾶ. (21) πάντας
δὲ τοὺς μαγίστρους καὶ τοὺς ἐν τέλει προσκαλεσάμενος ὁ βασιλεὺς P 556
ἀνέγνω κατενώπιον αὐτῶν τὰ μηνυθέντα παρὰ Σαμωνᾶ· καὶ εἰρή-
κασιν ἄξιον εἶναι τιμῆς μεγάλης. ὁ δὲ παρευθὺ τοῦτον τῇ τοῦ
πρωτοσπαθαρίου ἀξίᾳ τετίμηκεν, καὶ προσῳκειώσατο ἑαυτοῦ.

decim milia, quae in amitae suae Zoes remedium animae, sic ab ea destinata, in Macedoniam deferret. ac quidem Basilium in eum modum urbe eiecit. reliquos vero eius coniurationis socios ac participes, Pardum, excubiarum drungarium, ad Stypiotem mittit, quasi ipsum adducturus esset, cum ipse imperatoris libello praemonitus in mandatis accepisset ut in vincula eum compingeret. praetextu vero abeundi ac cenandi ad S. Lazarum, in descensu sphaeristerii, Ioannem Garidam statuit cum reliquis cohortis foederatorum in cubiculo; interimque descendente imperatore, tenentes, qui erant cum Ioanne Nicolaum foederatorum cohortis comitem urbe eiecerunt. adducto vero e Macedonia Basilio, eiusque disceptata causa, ipsum verberibus affecit, pilisque eius igne succensis, ac per mediam pompa infami traducens civitatem, Athenas exsilio relegavit; ubi et male vitam finivit. similiter etiam Nicolaum hetaeriarcham et Stylianum et Ioannem omnemque Zautzae familiam, alios detondit, alios exsilio relegavit, eorum substantiis omnibus publicatis. atque ita per Samonam Zautzae omnis cognatio deleta est. (21) cunctis vero magistris ac senatoribus imperator vocatis, legit coram illis quae a Samona fuerant nuntiata, dixeruntque dignum esse qui magnum honorem consequeretur. confestimque eum protospatharii dignitate ornavit et ad suam necessitudinem ascivit.

22. Ἐτελεύτησε δὲ Ἀντώνιος ὁ πατριάρχης, καὶ ἀντ' αὐτοῦ χειροτονεῖται Νικόλαος μυστικὸς ὢν τοῦ βασιλέως. παρελήφθη δὲ καὶ τὸ κάστρον ἡ Δημητριὰς ἐν τῷ θέματι τῆς Ἑλλάδος ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ.

23. Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέρα Ζωῆς
B τῆς ἀπὸ τοῦ Ζαούτζα, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου κλητόρια μὴ οὔσης Αὐγούστης.

24. Ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην ἐκ τοῦ θέματος Ὀψικίου, ὡραιοτάτην πάνυ, ὀνόματι Εὐδοκίαν, στέψας καὶ ἀναγορεύσας καὶ γήμας αὐτήν· ἐξ ἧς παιδίον ποιήσας ἄρρενα, ἐφ' ᾧ τετελεύτηκε καὶ αὐτὴ καὶ τὸ γεννηθέν.

25. Ἐξωνήσατο δὲ οἰκήματα ὁ βασιλεὺς Λέων πλησίον τῶν ἁγίων ἀποστόλων, καὶ ἔκτισεν ἐκεῖ ἐκκλησίαν περιφανῆ ἐπ' ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικὸς τῆς ἁγίας Θεοφανῶ. (26) ὡσαύτως ἔκτισεν ἐκκλησίαν εἰς τοὺς λεγομένους Τόπους, τὸν ἅγιον Λάζαρον, κατασκευάσας αὐτὴν μονὴν ἀνδρείαν εὐνούχων.
C ἔνθα καὶ τὸ τοῦ ἁγίου Λαζάρου σῶμα ἐκ Κύπρου καὶ Μαρίας τῆς Μαγδαληνῆς ἀπὸ Ἐφέσου ἀνακομίσας ἀπέθετο, ποιήσας καὶ τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας. ἀσχολουμένου δὲ τοῦ στόλου εἰς τὰ κτίσματα τῶν τοιούτων ἐκκλησιῶν παρελήφθη ἐν Σικελίᾳ τὸ Ταυρομένιον ὑπὸ τῶν Ἄφρων, τῇ ἀμελείᾳ, μᾶλλον δὲ προδοσίᾳ Εὐσταθίου δρουγγαρίου τῶν πλωΐμων, καὶ Καραμάλου ἐκεῖσε ὄντος καὶ Μιχαὴλ τοῦ Χαράκτου, γενομένης πολλῆς σφαγῆς τῶν

22. Mortuo vero Antonio patriarcha, eius loco ordinatur Nicolaus, qui imperatoris erat mysticus. capta porro est civitas munita Demetrias in Hellados themate a Damiano Agareno.

23. Leo imperator Annam filiam suam ex Zoe filia Zautzae coronat, quod non poterat constituta ex more convivia publica exhibere, quod non esset Augusta.

24. Duxit autem imperator uxorem ex Opsicii themate, formosissimam valde, nomine Eudociam, coronans Augustamque renuntians ac sibi coniugem adhibens. ex ea suscepto puero masculo tum ipsa exstincta est tum suscepta proles.

25. Coemptis Leo imperator aedibus prope sanctos apostolos, ibi praemagnificam ecclesiam exstruxit, nomine primae suae uxoris S. Theophanonis. (26) similiter etiam ecclesiam aedificavit ad Topos, quos vocant, S. Lazarum, virorum eunuchorum monasterium faciens; ubi et S. Lazari corpus e Cypro et Mariae Magdalenae Epheso relatum deposuit: celebrata eiusdem ecclesiae illi encaenia. occupatis autem classiariis struendis eiuscemodi ecclesiis, captum in Sicilia est Tauromenium ab Afris, negligentia seu potius proditione Eustathii navalium drungarii et Caramali ibi tum existentis et Michaelis Characti, ingenti

Ῥωμαίων. ἀνελθόντων δὲ αὐτῶν ἐν τῇ πόλει παρά τε τοῦ βασιλέως καὶ τοῦ πατριάρχου ἐλεγχθέντων παρὰ Μιχαὴλ τοῦ Χαράκτου ὡς προδοτῶν, κατεκρίθησαν θανάτῳ. παρακληθέντος δὲ τοῦ βασιλέως παρὰ Νικολάου τοῦ πατριάρχου, τὸν θάνατον συνεχωρήθησαν, D μοναχοὶ ὁ μὲν Καράμαλος εἰς τὰ Πικριδίου, ὁ δὲ Εὐστάθιος εἰς τῶν Στουδίου. παρελήφθη δὲ καὶ Λῆμνος ἡ νῆσος ὑπὸ τῶν Ἀγαρηνῶν, αἰχμαλωσίαν πολλὴν πεποιηκότες.

27. Ἐν τῇ προελεύσει δὲ τῆς μεσοπεντηκοστῆς τοῦ βασιλέως Λέοντος ἀνελθόντος εἰς τὸν ἅγιον Μώκιον καὶ εἰσοδεύοντος, ὅτε ἦλθε πλησίον σωλέας, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος δέδωκεν αὐτῷ μετὰ ῥάβδου ἰσχυρᾶς καὶ παχείας· καὶ εἰ μὴ ἡ φορὰ τῆς ῥάβδου εἰς πολυκάνδηλον ἐμποδισθεῖσα διεχαυνώθη, παρευθὺ ἂν τοῦτον ἀπήλλαξε τοῦ ζῆν. τοῦ δὲ αἵματος σφοδρῶς καταρρέοντος P 557 ἐκ τῆς τοῦ βασιλέως κεφαλῆς ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων γέγονεν, καὶ πολλοὶ ἐν ταύτῃ ἀπώλοντο. ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος προεφασίσατο νοσηλευθεὶς καὶ οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ, ὡς ἐκ τούτου ὕποπτον αὐτὸν γενέσθαι τὴν τοιαύτην ἐπιβουλὴν κατασκευάσαι. οὔτε ὁ Σαμωνᾶς παρῆν ἐκεῖ, ἀλλ' ἦν ἀπελθὼν ἀγαγεῖν Ζωὴν ἐν τῷ παλατίῳ πρὸς τὸ συνεῖναι τῷ βασιλεῖ. κρατηθέντος δὲ τοῦ δόντος τὸν βασιλέα καὶ ἐξετασθέντος, καὶ πολλὰς βασάνους καὶ τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα καθωμολόγει, τέλος ἐκκοπεὶς αὐτοῦ χεῖρας

1 τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ? 11 ἡ om P

data Romanorum strage. in urbem reductis, ab imperatore et patriarcha redargutis, Characto insimulante, indicta mortis sententia est. quanquam exorato a Nicolao patriarcha imperatore facta mortis venia est. monachum inire concessum, Caramalin Picridii, Eustathio in Studii. capta est et Lemnus insula ab Agarenis, multis incolarum abductis captivis.

27. In processu autem mediae pentecostes, cum Leo imperator ad S. Mocii ascendisset ac templum intraret, ubi iam prope soleam attigerat, egressus quidam ex ambone cum robusto fuste ac crasso in caput impegit. ac nisi fustis ictu interiecto candelabri remissus fuisset ac retardatus, confestim ei vitam abstulisset. cruore autem e capite imperatoris largiter diffluente facta turbatio est ac fuga procerum, multique in ea perierunt. frater autem Leonis Alexander morbum praetexens desideratus in ingressu est, ut inde suspicio ei inoleverit istiusmodi molitionis auctorem ipsum fuisse. Samonas quoque non erat ibi, sed abierat Zoem adducturus in palatium, ut cum imperatore esset. capto illo qui ictum impegerat, habitaque de illo quaestione, ac cum multos dies non pauca sustinuisset supplicia ac tormenta, quod nihil confitebatur, ad

B καὶ πόδας ἐκάη ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ, καὶ ἔκτοτε ἐξεκόπη ἡ τοιαύτη προέλευσις.

28. Μετὰ δέ τινα καιρὸν ἀνῆλθε Μάρκος ὁ σοφώτατος οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας, ὃς ἦν ἀναπληρώσας τοῦ μεγάλου σαββάτου τὸ τετραῴδιον τοῦ κυρίου Κοσμᾶ· καὶ ἐν τῇ τραπέζῃ τῷ βασιλεῖ συνεστιώμενος ἐξελιπάρει τὸν βασιλέα μὴ ἐκκοπῆναι τὴν ἑορτήν. τοῦ δὲ βασιλέως ἀπαναινομένου ἔφη ὁ Μάρκος ὅτι προγεγραμμένον ἦν παρὰ τοῦ προφήτου Δαβὶδ τὸ παθεῖν σε, δέσποτα. προεφήτευσε γὰρ εἰπών, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορ-
C τῆς σου. καὶ δεῖ σε, ὦ δέσποτα, ἀπὸ τοῦ νῦν κρατῆσαι τὴν βασιλείαν ἔτη δέκα. ὃ δὴ καὶ γέγονε· τῇ γὰρ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ ἔλαβεν, ἐν αὐτῇ καὶ τελευτᾷ.

29. Ἦν δὲ Ζωὴ ἡ τετάρτη γυνὴ τοῦ βασιλέως ἄστεπτος. τοῦ δὲ βασιλέως πρόκενσον ποιησαμένου εἰς τὸ ἐμπόριον τοῦ Βουτίου πρὸς τὸ ἐγκαινίσαι τὴν μονὴν Χριστοφόρου τοῦ πρωτοβεστιαρίου αὐτοῦ, ἦλθεν ἀγγελία ὡς ὅτι ὁ στόλος τῶν Ἀγαρηνῶν ἅμα τῷ Τριπολίτῃ ἀνέρχεται κατὰ Κωνσταντινουπόλεως. ἀποστέλλει οὖν ὁ βασιλεὺς Εὐστάθιον δρουγγάριον τοῦ πλωΐμου μετὰ παντὸς στόλου καὶ τῶν στρατηγῶν κατὰ τοῦ Τριπολίτου· οἱ μὴ δυνηθέν-
D τες ἀντιπαρατάξασθαι ἀπεστράφησαν κενοί. (30) ἦλθεν οὖν ὁ Τριπολίτης, καὶ εἰσῆλθεν ἔνδοθεν τῆς Ἀβύδου μέχρι Παρίου.

21 ὑπεστράφησαν?

extremum manibus pedibusque excisis in Circi funda combustus est; quo ex tempore abolitus istiusmodi processus est.

28. Aliquo autem interiecto tempore ascendit Marcus sapientissimus oeconomus eiusdem ecclesiae (is nimirum qui complevit tetraodium magni sabbati, a domino Cosma compositum), ac cum imperatore mensae accumbens ex eo efflagitabat ne exscinderetur festae diei solemnitas. abnuente imperatore ait Marcus "olim iam a Davide scriptum erat (Ps. 73 3), domine, id tibi eventurum esse: prophetavit namque, dicens. quanta malignatus est inimicus in sancto tuo, et gloriati sunt qui oderunt te, in medio solemnitatis tuae. oportet enim te, domine, abhinc annos decem imperium tenere." quod et contigit: eodem enim die quo ictum acceperat, et mortuus est.

29. Zoe quarta Leonis uxor non erat corollis nuptialibus donata. imperatore solenni pompa procedente ad Butii emporium ad Christophori protovestiarii sui monasterium dedicandum, venit nuntius, Agarenorum classem ductore Tripolita adversus Cpolim ascendere. mittit itaque imperator Eustathium navalium drungarium cum omni classe et tribunis ac officialibus adversus Tripolitam: qui, cum non licuisset aciem adversam iungere, inani conatu rediere. (30) venit itaque Tripolita, et ingressus est intra Abydum, Parium usque. quo cognito imperator in magnam

τοῦτο μαθὼν ὁ βασιλεὺς ἐν μεγάλῃ ἀθυμίᾳ καὶ περιστάσει γέγονεν, καὶ ἀποστέλλει Ἱμέριον πρωτασηκρῆτιν κεφαλὴν τοῦ στόλου κατὰ τοῦ Τριπολίτου, μὴ τολμώντων κἂν ὅλως πλησιάσαι τῷ στόλῳ τῶν Ἀγαρηνῶν. τοῖς δὲ τοῦ θεοῦ κρίμασιν ἀντεστράφη ὁ αὐτὸς Λέων ὁ Τριπολίτης καὶ ἀπῆλθεν ἐν Θεσσαλονίκῃ καὶ ταύτην ἐπολιόρκησε καὶ παρέλαβεν ἅμα τῷ στρατηγῷ αὐτῶν Λέοντι τῷ Χατζιλακίῳ, ποιήσας πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν. P 558 Ῥοδόφυλλος δέ τις κουβικουλάριος ἦν ἀποσταλεὶς ἐν Σικελίᾳ διὰ χρείαν τινά, ἔχων μεθ' ἑαυτοῦ χρυσίου λίτρας ἑκατόν. νοσήσας δὲ κατὰ τύχην ἐν τῇ ὁδῷ εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πρὸς τὸ λούσασθαι καὶ ἀνακτήσασθαι ἑαυτόν, ἐκρατήθη παρὰ Λέοντος. διερχομένου δὲ Συμεὼν ἀσηκρῆτις, ὁ μετὰ ταῦτα γεγονὼς πατρίκιος καὶ πρωτασηκρῆτις, ἀνελάβετο τό τε χρυσίον καὶ τὰ δῶρα, ἅπερ εἴασεν ὁ Ῥοδόφυλλος ἐν τῇ ὁδῷ καὶ πολλὰ βασανισθεὶς ἐτελεύτησε. τοῦ δὲ Τριπολίτου βουλομένου τὴν πόλιν καταστρέψαι, μαθὼν ὁ Συμεὼν B δηλοῖ αὐτῷ χρυσίον λαβεῖν καὶ ταύτην ἐᾶσαι· ὃ δὴ καὶ γέγονεν.

31. Σαμωνᾶς δὲ προφασισάμενος ἐπὶ τὴν μονὴν αὐτοῦ τὰ Σπεῖρα ἐξελθεῖν, τὴν ἐν τῷ Δαματρὶ οὖσαν, φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς ἵππους τοὺς δημοσίους κατὰ ἀπαλλαγὴν ἀγκυλοκοπήσας. τοῦτο μαθὼν ὁ βασιλεὺς ἀποστέλλει ὄπισθεν αὐτοῦ Βασίλειον ἑταιρειάρχην τὸν Καματηρὸν καὶ Γεώρ-

11 καὶ ἐκρατήθη? διερχόμενος?

venit animi deiectionem ac afflictionem. mittitque Himerium a secretis primum classis ducem ac caput adversus Tripolitam, qui prorsus non ausi sunt propius classem Agarenorum adire. quae autem dei iudicia sunt, mutato consilio idem Leo Tripolita vela obvertens Thessalonicam profectus est. quam et expugnavit, cepitque cum Leone Chatzilacio eorum praetore ac duce, magna data civium strage multisque abductis captivis. Rodophyllus autem quispiam cubicularius necessaria quadam ex causa in Siciliam missus, habens secum auri libras centum, cum forte fortuna in via aegrotans Thessalonicam ut lavaret ingressus esset, et ut vires reciperet, captus a Leone est. hac vero iter habens Symeon a secretis, qui postea patricius primusque a secretis fuit, tum aurum recepit tum munera, quibus Rodophyllus in via relictis, multis excruciatus tormentis exstinctus est. cumque Tripolitae constitutum esset ut urbem everteret, intelligens Symeon significat ei ut aurum accipiat et urbem immunem sinat, quod et factum est.

31. Samonas autem simulato consilio exeundi in monasterium suum, quod Spira dicunt et in Damatri situm est, fuga in Syriam usus est cum pecuniis et equis suis, publicos equos per singulas stationes subnervans. quo cognito imperator post eum mittit Basilium foederatorum comitem Camaterum et Georgium Crenetem, ad eum comprehendendum.

γιον τὸν Κρηνήτην τοῦ καταλαβεῖν αὐτόν. τοῦ δὲ Σαμωνᾶ τὸν
Ἅλυν βουλομένου διαπερᾶσαι, κατέλαβεν αὐτὸν Νικηφόρος
C δρουγγάριος ὁ λεγόμενος Καμινᾶς, οὐκ ἐῶν αὐτὸν διαπερᾶσαι.
ἐπεὶ δὲ πολλὰ ὁ Σαμωνᾶς ὑπισχνεῖτο καὶ οὐκ ἔπειθεν, προσέφυγεν
εἰς τὸ Σιριχᾶ εἰς τὸν τίμιον σταυρόν, προφασισάμενος ὡς διὰ
πίστιν τοῦ σταυροῦ ἐληλύθει. καταλαβὼν οὖν Κωνσταντῖνος ὁ
τοῦ Δουκός, καὶ τοῦτον ἀναλαβόμενος, ὑπέστρεψεν ἐν τῇ πόλει.
προσέταξε δὲ ὁ βασιλεὺς αὐτὸν μὲν φυλάττεσθαι ἐν τῇ οἰκίᾳ Βάρ-
δα τοῦ Καίσαρος, ἠρώτησε δὲ Κωνσταντῖνον τοῦ Δουκὸς περὶ
αὐτοῦ, καὶ μαθὼν ὡς ἀληθῶς ἐν Συρίᾳ ἔφυγε, παρεγγύησε τῷ
D Δουκὶ μὴ εἰπεῖν τοῦτο ἐνώπιον τῆς συγκλήτου, ὅτε παρ᾽ αὐτοῦ
ἐρωτηθῇ, ἀλλ᾽ ὅτι δι᾽ εὐχὴν ἀπῆλθεν ἐν τῷ Σιριχᾶ· ἤθελε γὰρ
ὁ βασιλεὺς συνοψισθῆναι αὐτῷ. προσκαλεσάμενος οὖν Κωνσταν-
τῖνον τοῦ Δουκὸς ἔμπροσθεν τῶν ἐν τέλει ἔφη "οὕτως ἔχεις θεὸν
καὶ τὴν κεφαλήν μου, ἔφυγεν ὁ Σαμωνᾶς ἢ οὔ;" ὁ δὲ ὡς εἰπὼν
πρότερον τῷ βασιλεῖ μὴ ὁρκισθῆναι καὶ τὸ κελευόμενον εἰπεῖν,
ἀκούσας τοὺς ὅρκους ἐξεῖπεν ἐνώπιον πάντων ὅτι εἰς Συρίαν ἔφευ-
γεν. μετ᾽ ὀργῆς δὲ τοῦ βασιλέως τοῦτον ἀποπεμψαμένου, ἐποίησε
Σαμωνᾶς μῆνας τέσσαρας ἐν τῷ οἴκῳ τοῦ Βάρδα. ἀπεσυνόψισε
δὲ ἐν τῇ αὐτοκρατορίᾳ τοῦ βασιλέως.
P 559 32. Ἐφάνη δὲ τότε καὶ κομήτης ἀστήρ, τὰς ἀκτῖνας ἐπὶ
ἀνατολῆς πέμπων, φαινόμενος ἐν ἡμέραις καὶ νυξὶ τεσσαράκοντα.

11 ὅταν? 20 τῇ γέννᾳ τοῦ υἱοῦ τούτου margo P

cumque Samonas Halym vellet traiicere, comprehendit eum Nicephorus drungarius, cui nomen Caminas, prohibens ipsum traiicere. cumque Samonas multis promissis eius nihil animum inflexisset, ad venerandam confugit crucem quae est in Siricha, simulans quasi fide in crucem eiusque religione iter suscepisset. comprehendens itaque Constantinus Ducis filius, eumque assumens, in urbem reversus est. praecepit vero imperator ipsum quidem servari in aedibus Bardae Caesaris, interrogavitque de eo Constantinum Ducae filium. cognitoque quia vere in Syriam fugeret, mandavit duci ne cum ab eo interrogaretur in praesentia senatus, istud diceret, sed quod voti causa in Siricha profectus esset: volebat enim imperator in sui eum conspectum admittere. advocato itaque Constantino Ducis filio coram senatu ait "ita deum habes et caput meum, fugiebat Samonas necne?" is vero, ut qui antea imperatorem rogasset non adiurare, ac dicturum se quod iuberetur, auditis iuramentis, horumque motus religione, omnibus coram enuntiavit "sane fugiebat in Syriam." imperator cum ira hoc iusso facessere, Samonam menses quattuor tenuit in domo Bardae, reddiditque praesentiam et in conspectum admisit tum cum illi filius susceptus est.

32. Apparuit tunc et cometa, radios mittens versus Orientem, visusque est dies quadraginta ac totidem noctes. Samonas a tempore suae

γέγονε δὲ Σαμωνᾶς πατρίκιος ἀπὸ τῆς αὐτοῦ φυγῆς. ἐγέννησε δὲ υἱὸν ἀπὸ Ζωῆς τῆς τετάρτης αὐτοῦ γυναικός. ἐβαπτίσθη δὲ τὰ ἅγια φῶτα ὑπὸ Νικολάου πατριάρχου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, δεξαμένων αὐτὸν Ἀλεξάνδρου βασιλέως καὶ Σαμωνᾶ πατρικίου καὶ τῶν ἐν τέλει πάντων.

33. Γέγονε δὲ καὶ ἡ Κύφη τότε γηροκομεῖον, διωχθεισῶν B τῶν ἑταιρίδων.

34. Εὐλογήθη δὲ ὁ Λέων βασιλεὺς μετὰ Ζωῆς μετὰ τὴν ἑορτὴν παρὰ Θωμᾶ πρεσβυτέρῳ, ὃς καθῃρέθη. ἀνηγόρευσε δὲ τὴν αὐτὴν Ζωὴν Αὐγοῦσταν, καὶ διὰ τοῦτο τὸν βασιλέα ὁ πατριάρχης ἐκώλυσεν εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι. ὅθεν διήρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι τοῦ μιτατωρίου, μηδ᾽ ὅλως εἰς τὰ κατὰ συνήθειαν διερχόμενος.

35. Προεβλήθη δὲ Σαμωνᾶς παρακοιμώμενος διὰ τὸ εἶναι τῷ βασιλεῖ συνεργὸς πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν. καὶ κατὰ τῆς ἐκκλησίας ἤρξαντο μελετᾶν. προσκαλεσάμενοι γὰρ Νικόλαον C πατριάρχην Φεβρουαρίῳ μηνὶ πρώτῃ, καὶ πολλὰ λιπαρήσαντες δεχθῆναι τὴν πολυγαμίαν, ἐπεὶ πεῖσαι οὐκ ἠδυνήθησαν, ἀπὸ τοῦ κλητορίου διὰ τοῦ Βουκολέοντος ἐν πλοίῳ μικρῷ τοῦτον ἐμβιβάσαντες διεπέρασαν ἐν τῇ Ἡρίᾳ, ἀφ᾽ ἧς πεζῇ μέχρι Γαλακρηνῶν μόλις ἀπῄει, χιόνος ἐπικειμένης πολλῆς. χειροτονεῖται δὲ ἀντ᾽ αὐτοῦ Εὐθύμιος σύγκελλος εἰς πατριάρχην, ἀνὴρ ἱεροπρεπής,

3 ὅτι ἔβαλλον οἱ παλαιοὶ πολλοὺς ἀναδόχους margo P   20 ἐφ᾽ P

fugae patricius creatus est. sustulit Leo filium ex Zoe, quarta uxore sua; baptizatusque est in die luminum a Nicolao patriarcha in magna ecclesia, susceptoribus eius Alexandro imperatore et Samona patricio omnique senatu.

33. Tunc quoque Cupha, quam vocant, domus hospitalis curandis senibus facta est, eliminatis scortis.

34. Nuptiali benedictione impartitus est Leo imperator cum Zoe post domini natalem diem a Thoma presbytero, qui depositus est. eandem quoque Zoem Augustam renuntiavit; quae res in causa fuit ut patriarcha imperatori ingressum in ecclesiam interdixerit. quapropter a dextra parte ad metatorium usque transibat, nihil prorsus qua moris erat transiens.

35. Provectus vero est Samonas accubitor (sacri cubiculi praepositus intimus) iccirco nimirum quod imperatori ad omne scelus et pravitatem adiutor esset et socius. coeperuntque adversus ecclesiam nova moliri. advocato enim Nicolao patriarcha calendis Februarii, multisque agentes precibus ut polygamia reciperetur, cum in sententiam trahere nequivissent, a Cletorio (conviviorum triclinio) per Bucoleonem in parvum lintrem imponentes Eriam traiecerunt; unde aegre pedes ad Galacrenas usque multa nive obiecta humo evasit. ordinatur vero eius loco Euthymius syncellus patriarcha, vir venerabilis et continens ac valde

ἐγκρατής τε καὶ εὐλαβὴς πάνυ· ὅν φασιν καταδέξασθαι τοῦτο ἐξ ἀποκαλύψεως θείας, ὡς τοῦ βασιλέως βουλευομένου αἵρεσιν καὶ D νόμον ἐκθεῖναι τοῦ ἔχειν ἄνδρα γυναῖκας τρεῖς ἢ καὶ τέσσαρας, πολλῶν εἰς τοῦτο λογιωτάτων ἀνδρῶν συνεργούντων αὐτῷ.

36. Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ τῇ οὔσῃ ἐν τῷ Μαρδοσαγγάρῃ τοῦ ποιῆσαι τὰ ἐγκαίνια καὶ ἀριστῆσαι. καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος λὶψ ἕως τρίτου σφοδρῶς φυσήσας, συσσείσας τε καὶ δονήσας οἰκήματα καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν ὑπαίθροις τόποις, λέγοντας συντέλειαν κοσμικὴν εἶναι, εἰ μὴ ἡ θεοῦ φιλανθρωπία δι᾽ ὄμβρων ἔπαυσε τὴν τοιαύτην θραῦσιν.

P 560 37. Προεβάλετο δὲ ὁ βασιλεὺς Ἱμέριον λογοθέτην τοῦ δρόμου κεφαλὴν πάντων τῶν πλωΐμων, ἐξελθόντος τοῦ στόλου τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων. ἐδέξατο δὲ καὶ Ἀνδρόνικος ὁ Δοὺξ διὰ κελεύσεως συνελθεῖν Ἱμερίῳ λογοθέτῃ ἐν τοῖς πλοίοις καὶ καταπολεμῆσαι τοὺς Ἀγαρηνούς. ὁ δὲ Σαμωνᾶς ἦν ἀδιάλλακτος ἐχθρὸς Ἀνδρονίκῳ, καὶ πολλὰ κατ᾽ αὐτοῦ διηνεκῶς συνεσκεύασε καὶ ἐμηχανᾶτο, κακῶσαι τὸν Ἀνδρόνικον παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ διαμηχανώμενος ἀπὸ τῆς αὐτοῦ φυγῆς. ὑπέβαλε δέ τινι γράψαι τῷ Ἀνδρονίκῳ κρύφα, μὴ εἰσέλθοι εἰς τὰ καράβια καὶ B κρατηθῇ παρὰ Ἱμερίου· ὁ γὰρ Σαμωνᾶς ὑπέθηκε τῷ βασιλεῖ τοῦ κρατηθῆναί σε καὶ τυφλωθῆναι παρ᾽ αὐτοῦ. πολλὰ δὲ προτρεπο-

7 τοῦ] τοῦτο P 12 Ἡμέριον p. 229 b

pius et religiosus. aiuntque divina revelatione, quod ita gestum erat, recepisse, quippe cum imperator vellet haeresim ac legem promulgare, qua liceret viro tres aut etiam quattuor uxores habere; qua in re multi eruditissimi viri ei adstipularentur.

36. Mense Iunio invitatus est Leo imperator a Constantino Libe ad monasterium, quod est in Mardosagari, tum ad eius dedicationem tum ad prandium. factusque est ventus, cui Lips nomen, in tertiam usque vicem valide spirans, concutiensque ac evertens domos ac ecclesias, ita ut omnes in subdivalia loca fugerent ac mundi consummationem esse dicerent, nisi dei clementia obortis imbribus sedata esset istiusmodi confractio.

37. Praefecerat imperator Himerium cursus publici logothetam navalis omnis rei caput, egressa Agarenorum classe adversus Romanos. acceperat vero imperatoria iussione Andronicus Dux ut et ipse Himerio logothetae in navibus sese adiungeret et adversus Agarenos serio depugnaret. Porro Samonas irreconciliabilis Andronico hostis erat, multaque in eum continuo struebat, et machinabatur illi noxam inferre, nullo non modo, nulla non opera ac fraude nocere studens, quo ex tempore a fuga retractus fuerat. subiecit vero cuidam ut occulte Andronico scriberet "cave sis naves ingrediaris et capiaris ab Himerio: Samonas namque auctor fuit imperatori ut ab eo te teneri ac luminibus orbari praecipe-

μένου Ἱμερίου Ἀνδρόνικον εἰσελθεῖν ἐν τοῖς πλοίοις κατὰ τῶν Ἀγαρηνῶν ἀπεσκίρτησε. τῶν Ἀγαρηνῶν δὲ ἐπικειμένων Ἱμέριος μόνος ἐν ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰργάσατο. τοῦτο μαθὼν Ἀνδρόνικος, ἀπογνούς, ἅμα συγγενέσιν αὐτοῦ καὶ τέκνοις αὐτοῦ καὶ ἀνθρώποις αὐτοῦ ἀπελθὼν ἐκράτησε κάστρον τὴν Καβάλαν, εἰς τελείαν ἀποστασίαν ἐλθών, ὡς εἰπεῖν καὶ Σαμωνᾶν πρὸς τὸν βασιλέα "οὐκ ἔλεγόν σοι, ὦ δέσποτα, ἀντάρτην εἶναι τὸν Δοῦκα;" (38) *παρ-* C *ευθὺ δὲ ἀποστέλλει ὁ βασιλεὺς Γρηγορᾶν δομέστικον τῶν σχολῶν τὸν Ἰβηρίτζην, συμπένθερον ὄντα τοῦ Ἀνδρονίκου, καταπολεμῆσαι αὐτόν. μαθὼν δὲ τοῦτο Ἀνδρόνικος, καὶ ὡς ὁ πατριάρχης Νικόλαος ἐξεώσθη, προσέφυγε τοῖς Ἀγαρηνοῖς ἅμα τοῖς συγγενέσι καὶ φίλοις αὐτοῦ καὶ τέκνοις, ἐξεληλυθόσι τότε κατὰ Ῥωμαίων, καὶ ἀπεδέχθη παρὰ τῷ ἀμερουμνῇ μεγάλως.* (39) *ἐλυπεῖτο δὲ Λέων ὁ βασιλεὺς διὰ τὸν Ἀνδρόνικον, καὶ πολλάκις ἐβούλετο ἀποστεῖλαι αὐτῷ λόγον ἐνυπόγραφον, ὃ καὶ Θεόφιλος διὰ τὸν Μανουὴλ ἐποίησε. συνεβουλεύσαντο δέ τινες τῷ βασιλεῖ φιλοφρονη-* D *θῆναί τινα τῶν τοῦ πραιτωρίου Σαρακηνῶν καὶ ἀποσταλῆναι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. τοῦτο δὴ καὶ πεποίηκεν ὁ βασιλεύς, γράψας διὰ κινναβάρεως καὶ ἀποστείλας μετὰ χρυσοβούλλου ἔνδοθεν φατλίου βραχέος τράκτον. ἐξελθόντος δὲ τοῦ Ἀγαρηνοῦ ἀπὸ τοῦ βασιλέως, προσκαλεσάμενος αὐτὸν Σαμωνᾶς εἶπεν αὐτῷ "οἶδας τί κρατεῖς;" τοῦτο εἰπὼν διὰ τὸν κηρόν. "τὴν ἀπώ-*

ret." multis itaque hortamentis atque precibus agente Himerio ut adversus Agarenos naves ingrederetur, resiliit. Agarenis vero incumbentibus, Himerius solus in die S. Thomae conserta cum eis pugna magna potitus victoria est. Andronicus ut cognovit, in desperationem actus, una cum propinquis ac liberis suis totaque familia discedens Cabalam urbem munitam cepit, in perfectam defectionem prorumpens, ita ut Samonas imperatori diceret "nonne dicebam tibi, domine, Ducem tyrannidem moliri ac rebellem esse?" (38) confestim itaque mittit imperator Gregoram legionum domesticum Iberitzem, Andronici consocerum, ad eum expugnandum. cognito vero Nicolaum patriarcham eiectum esse, ad Agarenos profugit cum propinquis et amicis suis ac liberis, qui Romanam tunc dicionem incursabant; magnificeque ac gaudii significatione receptus est ab amerumne. (39) dolebat plurimum Leoni imperatori propter Andronicum; saepiusque animo destinaverat ut subscriptam securitatis fidem ad eum mitteret, quod et Theophilus fecerat propter Manuelem. consuluere vero quidam imperatori ut quendam e praetorio Saracenorum liberalius acceptum conciliaret ac in Syriam cum subscripta immunitatis fide mitteret. quod utique fecit, scribens rubris literis, mittensque cum aurea bulla intra bacillum ducta cera compactum. egresso autem Agareno ab imperatore, accersens eum Samonas ait illi "nosti

λειαν τῆς Συρίας βαστάζεις." καὶ δοὺς αὐτῷ παρήγγειλε τοῦτο βαλεῖν εἰς τὰς χεῖρας τοῦ Ἀζήρ. ὁ δὲ ἀπελθὼν τοῦτο πεποίηκεν. P 561 ἐκρατήθη δὲ Ἀνδρόνικος καὶ ἐδεσμήθη μετὰ πάντων τῶν συγγενῶν αὐτοῦ. καὶ μαθὼν ὡς διὰ δόλου τοῦ Σαμωνᾶ ταῦτα αὐτῷ γέγονεν, ἀναγκασθεὶς ἐμαγάρισεν αὐτός τε καὶ οἱ σὺν αὐτῷ. ἔκτοτε δὲ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ καὶ οἱ λοιποὶ ἰδόντες ὅτι ἀδύνατόν ἐστιν Ἀνδρόνικον ἐξελθεῖν, βουλῇ αὐτοῦ μετ' οὐ πολὺ φυγῇ χρησάμενοι (θαυμαστὸν ὄντως) ἐκ μέσης Συρίας πρὸς Ῥωμανίαν ἐξῆλθον, καὶ καταπολεμούμενοι κατὰ χώρας μόλις ὀλίγοι διεσώθησαν μετὰ Κωνσταντίνου υἱοῦ αὐτοῦ.

40. Ἐκ δὲ Ταρσοῦ εἰσῆλθον ἐν τῇ πόλει περὶ ἀλλαγίου ὅ τε Ἀβαλβάκης ὁ γέρων καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ· καὶ τούτους B ἐθεάσατο ὁ βασιλεὺς μετὰ κοσμήσεως καὶ τιμῆς καὶ δόξης ἐν τῇ Μαγναύρᾳ. ἐκαλλώπισαν δὲ καὶ τὴν μεγάλην ἐκκλησίαν ἐν κόσμῳ πολυτελεῖ, καὶ ὑπέδειξαν ἅπαντα τὰ τίμια σκεύη τοῖς Ἀγαρηνοῖς, ὅπερ ἀνάξιον ἦν βασιλείας καὶ Χριστιανικῆς καταστάσεως, τοῦ θεαθῆναι παρὰ τῶν ἐθνῶν τὰ ἱερὰ σκεύη τοῦ θεοῦ. ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ ἔθελε συνεῖναι τῷ υἱῷ αὐτοῦ καὶ μεῖναι εἰς Ῥωμανίαν. ὁ δὲ Σαμωνᾶς παρῄνεσεν αὐτῷ λέγων "κράτει τὴν πίστιν ἣν ἔχεις· κἀγώ, εἰ δυναθῶ, ἐλεύσομαι πρός σε μᾶλλον."

C 41. Τῇ δὲ ἡμέρᾳ τῆς πεντηκοστῆς στέφει Λέων ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον δι' Εὐθυμίου πατριάρχου.

2 Οὐϊζήρ? 9 ἐξῆλθε P 13 ἐδέξατο margo P

quid teneas?" hoc dicens cerei causa. "nempe Syriae exitium gestas." quo tradito, admonuit ut in Azoris manus daret. isque profectus id ita fecit. tentus itaque Andronicus est, et in vincula cum propinquis suis omnibus compactus; compertoque haec sibi Samonae dolo contigisse, necessitate adactus ipse se, et qui ibant cum ipso, impuris Mahumeti sacris polluere. Constantinus vero eius filius ac reliqui, videntes impossibile factu ut Andronicus exiret, eius consilio, non multo post, arrepta fuga (rem vere stupendam!) ex media Syria in Romaniam evasere; belloque appetiti per regiones vicosque et oppida, vix pauci incolumes cum Constantino eius filio sese recepere.

40. E Tarso in urbem profecti sunt ad commutandos captivos tum Abalbaces senex tum Samonae pater. suscepit eos decore imperator, ac cum honore et gloria festive in Magnaura. ornata magnifice pretiosa omni supellectili magna ecclesia, exhibita Agarenis veneranda vasa omnia: rem sane indignam imperio et Christiano statu ac disciplina, sacrorum dei vasorum spectaculo gentium pasci oculos. Samonae patri in animum venerat ut cum filio versaretur et in Romania sedes statueret. renuit Samonas, dicens "tene quam habes fidem; ego potius ad te, si facultas fuerit, proficiscar."

41. Die sacro pentecostes coronat Leo filium Constantinum per

δέδωκε δὲ Σαμωνᾶς Κωνσταντῖνον ἄνθρωπον αὐτοῦ, τὸν δουλεύσαντα πρότερον Βασιλείῳ μαγίστρῳ καὶ ἐπὶ τοῦ κανικλείου, δουλεύειν Ζωῇ Αὐγούστῃ· ὃς ἠγαπήθη παρὰ τοῦ βασιλέως Λέοντος καὶ τῆς Αὐγούστης. διὰ τοῦτο πολλὰ ἐφθόνησε Σαμωνᾶς αὐτῷ, καὶ ἐλοιδόρει ὡς συνόντι τῇ Αὐγούστῃ· ὅπερ ὁ βασιλεὺς νοήσας ἀληθῆ εἶναι, ἀπέστειλε καὶ ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ μονῇ τοῦ ἁγίου Ταρασίου διὰ τοῦ Σαμωνᾶ. μετ᾽ ὀλίγον δὲ ὥρισε Σαμωνᾶν ἀναλαβέσθαι αὐτὸν ἐν τῇ αὐτοῦ μονῇ Σπεῖρα, βουλόμενος D
πάλιν ἀναλαβέσθαι αὐτόν. ἀπελθὼν οὖν εἰς πρόκενσον ἐν τῷ Δαματρῦ, καὶ ἐν τῇ μονῇ τοῦ Σαμωνᾶ ἀριστήσας, εἶδε Κωνσταντῖνον, καὶ παρευθὺ ὥρισε Σαμωνᾶν, καὶ ἔνδυσεν αὐτὸν κοσμικά, καὶ ἐκέρασε τὸν βασιλέα εἰς τὸ κλητόριον, καὶ ὑπέστρεψε μετ᾽ αὐτοῦ ἐν τῷ παλατίῳ. (42) ὁρῶν δὲ Σαμωνᾶς αὐξανομένην τὴν ἀγάπην τοῦ βασιλέως ἐπ᾽ αὐτὸν βουλεύεται μετὰ μεγίστου κοιτωνίτου καὶ Μιχαὴλ Τζηρίθωνος, καὶ ποιοῦσι χαρτίον πολυλοίδορον κατὰ τοῦ βασιλέως, γράψαντος καὶ συντάξαντος αὐτὸν P 562
τοῦ Ῥοδίου νοταρίου ὄντος τοῦ Σαμωνᾶ. ἐλθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ εὗρεν αὐτὸν ἐν ᾧ ηὔχετο τόπῳ εἰς τὸ μιτατώριον, καὶ ἦρεν αὐτόν, καὶ ἀναγνοὺς ἐν μεγάλῃ θλίψει ἦν, ζητῶν τὸν τοῦτο ποιήσαντα. γέγονε δὲ καὶ ἔκλειψις σελήνης, καὶ διωρίσατο ὁ βασιλεὺς τοῖς οὖσι τότε ἀστρονόμοις εἰπεῖν τὸ ἀποτέλεσμα. εἰσερχομένου δὲ πρὸς τὸν βασιλέα Παντολέοντος μητρο-

Euthymium patriarcham. dedit autem Samonas domesticum suum, qui Basilio magistro et canielii praefecto antea in ministerio fuerat, ut Zoae Augustae in obsequio esset; demeruitque Leonis imperatoris et Augustae gratiam. quae res Samonae in ipsum haud levem concitavit invidiam; detrahensque malae cum Augusta rei crimen inferebat. haec verae aliquid culpae habere imperator cogitans, mittens detondit monachum in S. Tarasii per Samonam. nec multo post statuit imperator ut Samonas in suum eum monasterium, quod Spira dicunt, assumeret, volens rursus in familiam cooptare. abiens itaque ad processum in Damastrin, prandensque in Samonae monasterio, Constantinum vidit, moxque Samonae, quae ex saeculi usu essent, vestibus induere praecepit; miscuitque in convivio imperatori, ac cum eo in palatium rediit. (42) videns autem Samonas imperatoris in eum maiori cremento amorem augescere, consilio cum Maximo cubiculario et Michaele Tzerithono habito, libellum adversus imperatorem foedis criminationibus ac cavillis confertum conficiunt, eius scriptore ac librum componente Rhodio, qui Samonae notarius erat. veniens autem imperator in magnam ecclesiam libellum offendit quo loco ad deum preces fundebat, in metatorio, eumque tulit; quo lecto in magna animi anxietate atque dolore erat, quaerens quis auctor libelli esset. fuit vero et lunae deliquium. praecepitque imperator ut qui tunc astronomi essent, signi huius effectum edicerent. ingresso itaque ad imperatorem Pantaleone metropolita, qui Sa-

πολίτου, φίλου ὄντος τῷ Σαμωνᾷ, ἠρώτησεν αὐτὸν ὁ Σαμωνᾶς "εἰς τίνα ἐστὶν ἡ κάκωσις;" ἔφη αὐτῷ ὁ μητροπολίτης "εἰς σέ· B καὶ ἐὰν διέλθῃς Ἰουνίου τὰς ιγ', ἔκτοτε οὐδὲν πείσῃ κακόν." τὸν δὲ βασιλέα εἶπεν εἰς τὸν δεύτερον ἔχειν κάκωσιν τὴν σελήνην· ὁ δὲ βασιλεὺς ὑπέλαβε τοῦτο εἰς Ἀλέξανδρον τὸν ἀδελφὸν αὐτοῦ. μετὰ τοῦτο ἰδίως Τζηρίθων τῷ βασιλεῖ ἐξεῖπεν "ὁ Σαμωνᾶς τὸ πιττάκιον ἐποίησε." καὶ παρευθὺ καταβιβάζει Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποκείρει μοναχὸν καὶ ἀπάγει εἰς τὴν μονὴν Εὐθυμίου πατριάρχου. καὶ μετὰ ταῦτα πάλιν λοιδορηθέντος, ἀπήγαγεν εἰς τὴν τοῦ Μαρτινάκη μονήν. ἐποίησε δὲ Κωνσταντῖνον παρακοιμώμενον, καὶ ἔκτισεν αὐτῷ μονὴν ἐν Νωσιαῖς, καὶ ἀπῆλθεν ἅμα C Εὐθυμίῳ πατριάρχῃ καὶ ἐγκαινίασε ταύτην.

43. Ὀκτωβρίῳ δὲ μηνὶ γέγονε πόλεμος ναυμαχικὸς Ἱμερίου λογοθέτου μετὰ Δαμιανοῦ καὶ Λέοντος τοῦ Ἀγαρηνοῦ, στρατηγοῦ ὄντος ἐν Σάμῳ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος. ἡττήθη δὲ Ἱμέριος, καὶ μόλις διεσώθη, σχεδὸν πάντων ἐκεῖ κινδυνευσάντων.

44. Ἤρξατο δὲ νοσηλεύεσθαι Λέων ὁ βασιλεὺς κοιλιακῷ νοσήματι, ὥστε μὴ δυνηθῆναι ἐξελθεῖν ἐν τῇ Μαγναύρᾳ τὴν δη- D μηγορίαν λαλῆσαι ἐν τῇ ἀρχῇ τῶν νηστειῶν. γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ κηρουλάρια τῆς μεγάλης ἐκκλησίας, καέντων τῶν

monae amicus erat, rogavit eum Samonas, cui istud malum portenderet? respondit metropolita "tibi; ac si Iunii mensis tertium decimum diem transieris, ab omni deinceps noxa immunis eris." imperatori autem dixit ad eum spectare lunae maleficium, cuius in re publica essent partes secundae. existimavitque imperator Alexandrum fratrem hoc, quod ita dictum esset, attingere. tum deinde Tzerithon privatim imperatori rettulit Samonam esse qui libellum fecisset. confestim itaque Samonam deiicit in eius domum, detondetque monachum, atque ad Euthymii ablegat monasterium. cumque postea rursus criminis delatus esset, ad Martinacii monasterium abduxit. fecit vero Constantinum sacri cubiculi praefectum intimum (accubitorem vocant), eique in Nosiis monasterium condidit; profectusque una cum Euthymio patriarcha illius encaenia celebravit.

43. Mense Octobri commissum navale praelium est Himerii logothetae cum Damiano et Leone Agarenis, Romano tunc praetore in Samo agente, ipso qui postea rerum summam obtinuit. victusque Himerius est, ac vix ipse evasit incolumis, cunctis fere illic in periculum adductis.

44. Coepit autem Leo coeliaco morbo aegrotare, ut nec in Magnauram exire ei licuerit, quo loco in ieiuniorum exordio orationem erat habiturus. factumque incendium est in cerularia magnae ecclesiae, combustis chartarum monumentis omnibus et sacello (ecclesiae scilicet aera-

χαρτησίων πάντων καὶ τῆς σακέλλης. Μαΐῳ δὲ μηνὶ τελευτᾷ Λέων, προχειρισάμενος Ἀλέξανδρον τὸν ἀδελφὸν αὐτοῦ βασιλέα· ὃν ἰδών, ὥς φασίν, ἐρχόμενον πρὸς αὐτὸν ἔφη "ἴδε ὁ κακὸς καὶ χρόνος μετὰ τοὺς δεκατρεῖς μῆνας," πολλὰ ἐκλιπαρήσας καὶ δεηθεὶς αὐτοῦ φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον. καὶ ὁ λόγος τοῦ βασιλέως ἐγένετο· ἀληθῶς γὰρ μετὰ δεκατρεῖς μῆνας ἐτελεύτησε.

ΒΑΣΙΛΕΙΑ P 563

ΑΛΕΞΑΝΔΡΟΥ ΥΙΟΥ ΒΑΣΙΛΕΙΟΥ.

Τῷ ςυιβ' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως λιβ', ἐβασίλευσεν Ἀλέξανδρος ὁ υἱὸς Βασιλείου, ἔτος ἓν ἡμέρας κθ', σὺν Κωνσταντίνῳ υἱῷ Λέοντος. ἀποστείλας δὲ ἤγαγεν Νικόλαον ἐκ Γαλακρηνῶν, καταγαγὼν Εὐθύμιον πατριάρχην, καὶ ἐνεθρόνισε B
τὸ δεύτερον τὸν αὐτὸν Νικόλαον πατριάρχην. ἐποίησε δὲ σελέντιον καὶ σύνοδον Ἀλέξανδρος ἐν τῇ Μαγναύρᾳ, ἀγαγὼν Εὐθύμιον ἐκ τοῦ Στενοῦ ἀπὸ τῶν Ἀγαθοῦ· καὶ συγκαθίσας ἅμα Νικολάῳ πατριάρχῃ ἐποιήσαντο τὴν κατ' αὐτοῦ καθαίρεσιν, ἀτίμως ἀποτίλλοντες τοῦ ἱεροπρεποῦς καὶ ἀξιαγάστου ἀνδρὸς τὴν τιμίαν αὐτοῦ γενειάδα, καὶ ἄλλας τινὰς ὕβρεις καὶ ποινὰς αὐτῷ ἐπιφέροντες, ἃς ἡσύχως καὶ πράως ὑπέμεινεν ὁ τίμιος καὶ ἱερὸς ἀνήρ.

16 τῶν] τοῦ P

rio publico). mense vero Maio moritur Leo, ubi Alexandrum fratrem suum imperii clavo praefecisset; quem, ut aiunt, ad se venientem videns "en" inquit, "et malum tempus post tredecim menses;" multum obsecrans ac rogans ut Constantinum filium suum servaret. evenitque quod ita imperator locutus erat: vere enim ille post tredecim menses fatis functus est.

IMPERIUM

ALEXANDRI FILII BASILII.

Anno mundi 6412, divinae incarnationis 912, imperavit Alexander Basilii filius annum unum dies 29 cum Constantino Leonis filio. mittens vero adduxit Nicolaum ex Galacrenis, deiecto Euthymio patriarcha; eundemque Nicolaum in patriarchalem sedem denuo restituit. habitoque in Magnaura concilio, adductoque Euthymio ex Steno Agathique monasterio, sedens ipse Alexander cum Nicolao patriarcha depositionem ipsius peregere, indignis modis vellentes sacri viri ac decori digneque suspiciendi venerabilem barbam, aliasque quasdam iniurias ac poenas illi inferentes, quas vir venerabilis ac sacer sedato ac silentio placideque fe-

καὶ ὑπερωρίσθη πάλιν εἰς τὰ Ἀγαθοῦ, ἔνθα καὶ τελευτήσας κατα-
C τίθεται ἐν τῇ αὐτῇ μονῇ ἐν τῇ πόλει εἰς τὰ Ψαμαθίου.

2. Οὗτος Ἀλέξανδρος διὰ τὰς ὑπονοίας ἃς ὁ ἀδελφὸς αὐτοῦ Λέων ἔτι ζῶν εἶχε κατ' αὐτοῦ, ἀεὶ τοῖς κυνηγεσίοις καὶ τοῖς ἔξω παλατίου ἐσχόλαζεν, μηδὲν βασιλέως ἔργον πραττόμενος, ἀλλὰ διάγων ἐν τρυφαῖς καὶ ἀσελγείαις καὶ μέθαις, καὶ περὶ ταῦτα ἀεὶ διακείμενος. ὅθεν ἄρξας αὐτὸς οὐδὲν γενναῖον εἰργάσατο, ἀλλὰ παρευθὺ Ἰαννὴν τὸν παπᾶν, τὸν ἐπίκλην Λαζάρην, ῥαίκτωρα πε-
D ποίηκεν, ὃς καὶ κακῶς τὸ ζῆν ἀπέρρηξεν μετὰ θάνατον Ἀλεξάνδρου, ἐν τῷ Ἑβδόμῳ σφαιρίζων. ὡσαύτως καὶ Γαβριηλόπουλον καὶ Βασιλίτζην ἀπὸ Σκλαβηνῶν ἔθνους σφοδρῶς κατεπλούτισεν ἐκ τῶν τοῦ παλατίου χρημάτων. ὥς φασὶν δέ, τὸν αὐτὸν Βασίλειον καὶ βασιλέα ἠβούλετο ποιῆσαι ὡς ἄπαις ὤν, καὶ Κωνσταντῖνον υἱὸν Λέοντος εὐνουχίσαι· καὶ ὁ πολλάκις βουληθείς, διεσκεδάσθη παρὰ τῶν ὑπὸ τοῦ Λέοντος εὐεργετηθέντων, ποτὲ μὲν ὡς νηπίου ὑποβάλλοντα ποτὲ δὲ ὡς ἀσθενοῦντος.

P 564 3. Ἐπὶ τούτου ἐφάνη ἀστὴρ κομήτης ἐκ δύσεως ἐπὶ ἡμέρας δεκαπέντε, ὃν ἔλεγον ξιφίαν καλεῖσθαι καὶ αἱματοχυσίαν ἐν τῇ πόλει ἐργάσεσθαι.

4. Οὗτος πλάνοις καὶ γόησιν ἑαυτὸν ἐξέδοτο, οἳ καὶ πεποιήκασιν αὐτοῦ σνάγρου στοιχεῖον, σοὶ καὶ τῇ σῇ ζωῇ προσανά-

12 Βασιλίτζην, ut et Logotheta. margo P 16 ὑποβαλλόντων margo P

rebat. rursusque ad Agathi relegatus est; ubi et vita functus deponitur in suo monasterio in urbe ad Psamathii aedes.

2. Hic Alexander quia apud Leonem fratrem suspicionibus laborabat, quoad ille vixit, continuo venationibus iisque quae privati hominis essent otium operamque ponebat, nihil quod imperatorium esset, gerens aut tractans, sed in deliciis et impudicitiis commessationibusque ac ebrietatibus traducens vitam, inque rebus eiuscemodi animum continue occupans. quamobrem rerum summam adeptus nihil fortis animi ac generosae indolis gessit: sed statim Iannem clericum cognomento Lazarem rectorem constituit, qui et malo fato, exstincto Alexandro, in Hebdomo sphaera ludens vitae finem fecit. simili quoque ratione Gabrielopulum et Basilitzem Sclavonicae gentis palatii thesauris valde locupletavit. atque, ut rumor est, eundem Basilitzem etiam imperatorem creare, quia ipse improlis esset, animo destinarat, ac Constantinum Leonis filium castrare. saepiusque eius rei institutum consilium dissipatum est eorum opera quos Leo beneficiis demeruisset, cum ii modo infantem eum esse modo aegra valetudine admonerent.

3. Alexandro imperatore apparuit cometa a partibus Occidentis dies quindecim, quem a gladii figura xiphiam vocari aiebant, et in urbe praestiturum sanguinis effusionem.

4. Is sese seductoribus ac praestigiatoribus dediderat, qui et eius statuam signumque apri effigiem fecerunt, ei eiusque vitae aptari ad

κειται, χοιρόβιον τὸν ἀνόητον ὑποφαίνοντες. ὁ δὲ τούτοις ἀπατηθεὶς αἰδοῖα καὶ ὀδόντας τῷ χοίρῳ προσανενέωσεν ὡς λειπομένους αὐτῷ. καὶ τῇ αὐτῇ πλάνῃ πεποιθὼς ἱππικὸν ποιήσας, τὰς τῶν ἐκκλησιῶν ἐνδυτὰς καὶ πολυκάνδηλα ἄρας, τὸ ἱππικὸν ἐστόλισεν καὶ τοῖς ζῴδοις φωταγωγίαν [γὰρ] ἐποίησεν. διὰ τοῦτο ἤρθη ἀπ᾽ αὐτοῦ ἡ τοῦ θεοῦ χεὶρ ὡς τὴν τοῦ θεοῦ τιμὴν τοῖς εἰδώλοις B
προσάψαντος.

5. Ἱμερίου δὲ λογοθέτου ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντος, ἀποστείλας Ἀλέξανδρος περιώρισεν ἐν τῇ μονῇ τοῦ παλατίου τῇ λεγομένῃ Καλυπτᾷ, ἐπαπειλήσας ὡς ἐχθρὸν αὐτοῦ ἐπὶ τοῦ ἀδελφοῦ αὐτοῖ Λέοντος. ὁ δὲ ἐκ θλίψεως πολλῆς ἀρρωστήσας, περιωρισμένος ὢν ἐπὶ μῆνας ἕξ, ἐτελεύτησεν.

6. Ἀπέστειλε δὲ Συμεὼν ὁ ἄρχων Βουλγαρίας μηνύων Ἀλεξάνδρῳ τὰ πρὸς εἰρήνην, καὶ τοῦ φιλοφρονεῖσθαι αὐτὸν καὶ τιμᾶσθαι καθώσπερ ἐπὶ τοῦ Λέοντος. ὁ δὲ ἀνοίᾳ καὶ ἀφροσύνῃ C
κρατηθεὶς τοὺς πρέσβεις ἀτίμως ἐξέπεμψεν, ἀπειλαῖς τὸν Συμεὼν καταπλήξας. λυθείσης οὖν ἔκτοτε τῆς εἰρήνης Συμεὼν παρεσκευάζετο κινῆσαι κατὰ τῶν Χριστιανῶν ὅπλα.

7. Ἀλέξανδρος δὲ ἀριστήσας καὶ ῥομφαίᾳ θεηλάτῳ πληγεὶς ἀνελθών, αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων ἐκφερομένου μετὰ δύο ἡμέρας ἐτελεύτησε, καταλιπὼν ἐπιτρόπους Νικόλαον πατριάρχην, Στέφανον μάγιστρον καὶ Ἰωάννην Ἐλαδᾶ

5 ἐποίησαν P   6 ἐπ᾽ margo P

eaque referri dicentes, ea re insulsi hominis ac dementis suinam vitam innuentes. qui et istis seductus, sui pudenda dentesque, ut quae illi desiderarentur, instauravit. eodemque errore fretus, celebratis Circensibus, ecclesiarum acceptis linteis peplisque ac multifidis pensilibus candelabris Circum convestivit atque ornavit, statuisque ac lignis lumina sacro quasi ritu admovit. quapropter sublata in eum dei manus est, iccirco quod dei honorem adhibuisset idolis.

5. Himerio logotheta ex Agarenorum praelio accepta clade reverso mittens Alexander virum relegavit in palatii monasterium, cui Caluptae nomen, minas intentans, quasi qui Leone eius fratre imperatore haud satis ei aequus fuisset. is ex magna afflictione atque aerumna morbo correptus, exsul agens septimum mensem, fatis concessit.

6. Misit vero Symeon Bulgariae princeps, mandans Alexandro quae ad pacem essent, et ut muneribus acciperet ac coleret, uti Leone imperatore factum esset. is vero dementia tentus mentisque insania probro legatos ablegavit, minacibus verbis Symeonem territans. quo ex tempore Symeon ad bellum adversus Christianos sese accinxit.

7. Porro Alexander pransus, dei ira immisso gladio vulneratus, multa ei sanguinis vi e naribus ac pudendis erumpente, post biduum occidit, relictis tutoribus Nicolao patriarcha, Stephano magistro et Ioanne

D καὶ Ἰωάννην ῥαίκτορα καὶ Εὐθύμιον καὶ τὸν Βασιλίτζην καὶ τὸν Γαβριηλόπουλον, ἐάσας τὴν βασιλείαν Κωνσταντίνῳ ἀνεψιῷ αὐτοῦ, υἱῷ Λέοντος τοῦ βασιλέως. ἀπέθεντο δὲ Ἀλέξανδρον ἐν τοῖς τάφοις μετὰ τοῦ πατρὸς αὐτοῦ.

ΒΑΣΙΛΕΙΑ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΥΙΟΥ ΛΕΟΝΤΟΣ.

Κωνσταντῖνος δὲ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος παῖς ἔτι τυγχά-
P 565 νων (ἕβδομον γὰρ εἶχε τῆς ἡλικίας ἔτος) ὑπ' Ἀλεξάνδρου τοῦ θείου αὐτοῦ ἐν τῇ βασιλείᾳ καταλέλειπτο, ὑπὸ ἐπιτρόπων τελῶν. ἐβασίλευσεν οὖν ἐπὶ τῶν αὐτοῦ ἐπιτρόπων σὺν τῇ μητρὶ ἕτερα ἔτη ἑπτά, ἅμα δὲ Ῥωμανῷ πενθερῷ αὐτοῦ ἐν ὑποταγῇ ὢν ἕτερα ἔτη εἴκοσι ἕξ, μονοκράτωρ δὲ ἔτη δεκαπέντε, ὡς εἶναι τὸν πάντα χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη νε΄. λαβόμενος οὖν τῆς τοῦ παλατίου ἐξουσίας ὁ πατριάρχης Νικόλαος, ἅτε ἐπίτροπος καὶ αὐτὸς ὢν σὺν τῷ μαγίστρῳ Στεφάνῳ καὶ τῷ Ἐλαδᾷ Ἰωάννῃ, καὶ αὐτῷ μαγίστρῳ, τὴν
B τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα εἶχεν τῶν τῇ βασιλείᾳ ἀνηκόντων πραγμάτων ὁσημέραι.

2. Ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης δηλοῦται Κωνσταντίνῳ τῷ Δουκί, δομεστίκῳ ὑπάρχοντι τῶν σχολῶν, παρά τινων τῶν ἐν τῇ πόλει μεγιστάνων, φιλούντων αὐτὸν ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν βασιλείαν διακυβερνᾶν, εἰσελ-

Elada, necnon Ioanne rectore et Euthymio et Basilitze et Gabrielopulo, dimisso imperio Constantino nepoti, Leonis imperatoris filio. sepultus est Alexander in sepulcris cum patre suo.

IMPERIUM
CONSTANTINI LEONIS FILII.

Porro Constantinus, Leone patre exstincto cum puer adhuc esset (quippe qui septimum aetatis annum ageret), ab Alexandro patruo in imperio relictus sub tutoribus erat. imperavit itaque sub tutoribus cum matre septem alios annos, cum Romano vero eius socero, illi subiectus, alios viginti sex annos; solus denique imperium rexit annos quindecim. atque adeo imperii eius omne tempus annorum quinque supra quinquaginta spatio concluditur. arrepta itaque Nicolaus patriarcha aulae potestate, ut qui ipse tutor cum magistro Stephano et Ioanne Elada, ipso pariter magistro, erat, publicae rei curam habebat, rebusque ad imperium spectantibus sedulo quotidie operam navabat.

2. Sic igitur imperii rebus constitutis, procerum quidam ab urbe regia Constantino Duci legionum domestico, ut qui eum ceu virum fortem et catum probeque gerendo imperio parem gnavumque diligerent,

θεῖν καὶ ταύτης ἐγκρατῆ γενέσθαι ἀπονητί. ὁ δὲ ἅτε καὶ πρότερον
αὐτὴν ὀνειροπολῶν καὶ τοῦ στέφους ἀεὶ ἐφιέμενος, ὡς εἶχε τάχους,
τὴν βασιλεύουσαν κατέλαβεν ἅμα τοῖς σὺν αὐτῷ ἐγκρίτοις ἱκανοῖς
οὖσι. καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου C
Μιχαήλ, οὔσης πλησίον ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ
αὐτοῦ Γρηγορᾶ ἄϋπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσεν. Νι-
κήτας δὲ ἀσηκρῆτις, ὁ μετὰ ταῦτα πρωτονοτάριος γεγονώς, τὴν
Κωνσταντίνου ἄφιξιν τῷ πατρικίῳ Κωνσταντίνῳ καὶ μοναχῷ τῷ
Ἐλαδικῷ κατεμήνυσεν· καὶ ἄμφω τῇ αὐτῇ νυκτὶ πρὸς τὸν Δοῦκα
Κωνσταντῖνον παρεγένοντο· καὶ βουλὴν ποιησάμενοι, οὔπω τῆς
ἡμέρας καταλαβούσης ἀλλ' ἔτι σκοτίας οὔσης, μετὰ λαμπάδων
καὶ λαοῦ πολλοῦ καὶ ὅπλων τὴν τοῦ ἱπποδρόμου πύλην καταλαμ-
βάνουσι, Κωνσταντῖνον εὐφημοῦντες ὡς βασιλέα. ἔνθα δὴ ὁ D
τούτου ἱπποκόμος λογχευθεὶς παρὰ τῶν ἐντὸς τῶν τοῦ ἱπποδρό-
μου πυλῶν ἀνῃρέθη. (3) μὴ δεχθεὶς οὖν Κωνσταντῖνος ἀλλ'
ἀποσοβηθείς, ὥσπερ ὑπό τινος ἐκβακχευόμενος δαίμονος καὶ μὴ
ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι, ἐν τῷ
ἱπποδρόμῳ ὑπεχώρησεν στυγνός τε καὶ κατηφής, κακὸν οἰωνὸν
τὴν τοῦ ἱπποκόμου κρίνας σφαγήν. ἐκεῖθεν οὖν εὐφημούμενος
ἦλθε μέχρι τῆς λεγομένης Χαλκῆς, καὶ διὰ τῆς Σιδηρᾶς πόρτης
τῆς αὐτῆς Χαλκῆς εἰσεληλυθὼς μέχρι τῶν ἐξκουβίτων παρεγένετο.
ὁ οὖν μάγιστρος Ἰωάννης ὁ Ἐλαδᾶς ἐκλογὴν τῶν τε τῆς ἑταιρείας P 566

20 καὶ] ἦλθεν καὶ P

ut ingrediatur denuntiant, nullo labore urbis compos futurus et in se rerum translaturus summam. is autem, ut qui iam ante imperium somniaret sertique desiderio ac diadematis nunquam non aestuaret, quanta licuit celeritate, in urbem involat cum lecta suorum manu, nec ipsa spernenda multitudine, noctuque per Michaelis protovestiarii haud procul ab arce minori obscuroque ostio ingressus, in soceri sui Gregorae aedibus insomnis cum sociis permansit. Nicetas vero a secretis, qui postea protonotarius fuit, Constantini adventum Constantino patricio et monacho Eladico nuntiavit; amboque eadem nocte ad Constantinum Ducem venere; initoque consilio, cum necdum diluxisset sed adhuc tenebrae essent, cum facibus militumque non levi armata manu Circi portam invadunt, faustisque acclamationibus Constantinum ut imperatorem salutant. ibi eius equiso a praesidiariis, iisque qui intra portas erant, lancea transfixus occubuit. (3) non admissus itaque Constantinus sed submotus, velut daemonis cuiusdam afflatu furiis actus, nec, quo imperii amore agebatur, sanis satis mentis rationibus, in Circum se tristis vultuque demisso subducit, malum omen reputans sublatum nece equisonem. illinc itaque faustis acclamationibus prosequentibus, ad Chalcem usque (sic dictam) venit, ac per Chalces eiusdem ferream portam ingressus ad excubitorum usque stationem pervasit. magister itaque Ioannes Eladas, ex foedera-

καὶ τῶν ἐλατῶν ποιησάμενος μεθ' ὅπλων τούτους ἀπέστειλε κατὰ
τοῦ Δουκός. ἐλθόντων οὖν μέχρι τῆς Χαλκῆς καὶ πολέμου συστάν-
τος πολλοὶ ἐξ ἀμφοτέρων ἔπεσον τῶν μερῶν, καὶ τοσοῦτον ὥστε
τὸν τόπον ἐκλιμνασθῆναι τῷ αἵματι ποταμηδὸν καταρρέοντι.
ἀνῃρέθη δὲ καὶ Γρηγορᾶς ὁ υἱὸς τοῦ Δουκὸς καὶ Μιχαὴλ ἐξάδελ-
φος αὐτοῦ καὶ Κουρτίκης ἐκεῖνος ὁ ἐξ Ἀρμενίων. (4) ταῦτα ὁ
Δοὺξ Κωνσταντῖνος μαθών, ταραχῆς ὅτι πλείστης γενομένης, τὸν
ἵππον ἐξήλαυνεν. ὁ δὲ ταῖς ἐκεῖσε ὑπεστρωμέναις ἐνολισθήσας
πλαξὶν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν. ἐπεὶ δέ τις αὐτὸν κατὰ
B γῆς ἐρριμμένον κατέλαβεν (οἱ γὰρ ἄλλοι διεσκεδάσθησαν ἅπαν-
τες), ξίφει τὴν τούτου ἀπέτεμε κεφαλήν.

5. Τούτων οὕτως τελεσθέντων Γρηγορᾶς μάγιστρος ὁ τού-
του πενθερός, μετὰ Λέοντος ὃν Χοιροσφάκτην ὠνόμαζον, τῇ
ἁγίᾳ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ προσέφυγον, οὓς καὶ βίᾳ ἐκεῖθεν
ἀποσπάσαντες ἀπέκειραν μοναχοὺς ἐν τῇ τῶν Στουδίου μονῇ.
Κωνσταντῖνον δὲ τὸν Ἐλαδικὸν βουνεύροις τύψαντες, ῥάκη τε
περιβαλόντες καὶ ὄνῳ ἐπικαθίσαντες, διὰ μέσης τῆς πόλεως
ἐθριάμβευσαν, καὶ ἐν τῇ τοῦ Δαλμάτου ἀπαγαγόντες μονῇ ἐγκα-
τάκλειστον τῇ λεγομένῃ Καταδίκῃ πεποιήκασι. Λέοντα δὲ τὸν
C Κατακαλίτζην καὶ Ἀβεσαλὼν τὸν τοῦ Ἀρωτρᾶ ἐκτυφλώσαντες
ἐξορίᾳ παρέπεμψαν. Κωνσταντῖνον δὲ τοῦ Εὐλαμπίου υἱὸν καὶ
ἑτέρους σὺν αὐτῷ Θεόφιλος ὁ ὕπαρχος ὁ τοῦ Λαμπύδου ἐν τῇ τοῦ
ἱππικοῦ σφενδόνῃ ξίφει ἀπέτεμεν. οὐ μικρῶς δὲ διερευνησάμενοι

13 ὠνόμαζεν P 21 τὸν?

tis classiariisque delectu habito, armis instructos adversus ducem emisit. cumque ad Chalcem usque venissent, consertoque praelio, multi utrinque cecidere; tantaque data acceptaque strages est, ut et sanguinis rivi fluminis instagnarent. occisus vero est Gregoras Ducis filius et Michael eius consobrinus, nec non Curtices Armenius. (4) quo cognito Constantinus Dux, ac cum maxima orta esset turbatio, equum impulit. porro equus in asseribus, quibus locus constratus erat, collapsus sessorem excussit. quem solo allisum et proiectum quispiam offendens (alii enim omnes dispersi ac palantes erant) eius caput gladio abscidit.

5. His ita peractis Gregoras magister Ducis socer, cum Leone cui Choerosphactes nomen, in sanctam dei magnam ecclesiam confugere; quos et vi abstractos monachi ritu in Studii monasterio detonderunt: Constantinum vero Eladicum nervis bubulis caesum, vilibusque ac laceris vestibus indutum asinoque impositum per mediam urbem traducentes, in Dalmatae monasterio, inclusi ritu, carceri reum addixerunt. Leonem vero Catacalitzem et Absalonem Arotrae filium luminibus privatos in exsilium miserunt. Constantinum Eulampii filium aliosque cum illo Theophilus praefectus ad Circi metam gladio truncavit. haud exigua

*περὶ Νικήτα ἀσηκρήτου καὶ Κωνσταντίνου τοῦ Λιβὸς οὐχ εὗρον
αὐτοὺς ὡς χρησαμένους φυγῇ. τὸν δὲ Αἰγίδην ἐκεῖνον καὶ τοὺς
σὺν αὐτῷ, ἀνδρείους ὄντας καὶ πολλούς, ἀπό τε τῆς ἐν Χρυσο-
πόλει δαμάλεως καὶ μέχρι τοῦ Λευκάτου διδύμοις ξύλοις πάντας
ἐνεσκολόπισαν. καὶ πολλοὺς ἂν τῶν ἐν τέλει τότε ἀνηλεῶς καὶ
ἀναιτίως οἱ λεγόμενοι οὗτοι ἐπίτροποι ἀπέκτειναν, εἰ μή τινες τῶν
δικαστῶν τούτους τῆς ἀδίκου ὁρμῆς ἀνεχαίτισαν, εἰπόντες αὐτοῖς* D
*ὡς παιδὸς ὄντος τοῦ βασιλέως, πῶς ἄνευ τῆς κελεύσεως αὐτοῦ
τολμᾶτε τοιαῦτα διαπράττεσθαι;* (6) *τὴν τοῦ Δουκὸς οὖν γυ-
ναῖκα ἀποκείροντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον ἑαυτῆς ἐξαπέστει-
λαν, εὐνουχίσαντες καὶ τὸν υἱὸν αὐτῆς Στέφανον.*

7. *Αὐγούστῳ δὲ μηνὶ Συμεὼν ὁ Βούλγαρος ἄρχων, ἐκ-
στρατεύσας κατὰ Ῥωμαίων σὺν ὄχλῳ πολλῷ καὶ βαρεῖ, κατέλα-
βεν τὴν Κωνσταντινούπολιν, καὶ δὴ περικαθίσας αὐτὴν χάρακα
περιέβαλεν ἀπὸ Βλαχερνῶν καὶ μέχρι τῆς λεγομένης Χρυσῆς πόρ-
της, ἐλπίσι μετέωρος ὢν ἀπονητὶ ταύτην πάντως ἑλεῖν. ἐπεὶ δὲ
τήν τε τῶν τοίχων κατέμαθεν ὀχυρότητα τήν τε ἐκ τοῦ πλήθους* P 567
*καὶ τῶν πετροβόλων ἀσφάλειαν, τῶν ἐλπίδων σφαλεὶς ἐν τῷ λεγο-
μένῳ Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς αἰτησάμενος. τῶν
δὲ ἐπιτρόπων τὴν εἰρήνην ἀσμενέστατα ἀποδεξαμένων, ἀποστέλλει
Συμεὼν Θεόδωρον μάγιστρον τοῦ συλλαλῆσαι τὰ τῆς εἰρήνης.
ἀναλαβόμενοι δὲ ὅ τε πατριάρχης Νικόλαος καὶ Στέφανος καὶ*

12 *Βουλγαρίας?*

perquisitione facta de Niceta a secretis et de Constantino Libe, haud inventi sunt, ut qui fuga saluti consuluissent. Aegidam vero virum spectabilem sociosque, qui plures ac viri fortes essent, a Damali, quae est Chrysopoli, ad Leucatum usque furcis omnes suspenderunt. procerumque plures ac senatorii ordinis viros tunc temporis tutores isti crudeliter ac innoxie perempturi erant, nisi iudicum quidam ab iniusta eos grassatione ac impetu retraxissent, qui dicerent "quid vero vos, imperatore adhuc puero, eiusque iniussu, eiuscemodi patrare audetis?" (6) itaque Ducis uxorem detondentes ad suas aedes in Paphlagonia ablegarunt, cuius et filio Stephano virilia ademerunt.

7. Mense Augusto Symeon Bulgariae princeps, expeditione adversus Romanos cum numeroso fortique exercitu suscepta, Byzantium petit; obsessaque urbe, ductoque a Blachernis ad portam usque, cui Aureae nomen, vallo, eius omnino facili negotio potiundi spe elatus erat. enimvero perspecta murorum firmitate populique ac armatorum multitudine, nec non balistarum copia, spe frustratus, ad Hebdomum quod vocant reversus pacis foedera expetivit. fuit res tutoribus gratissima: missus a Symeone, qui de pace colloqueretur, Theodorus magister. assumpto autem Nicolaus patriarcha et Stephanus ac Ioannes magistri imperatore, ad

Ἰωάννης οἱ μάγιστροι τὸν βασιλέα ἦλθον μέχρι τῶν Βλαχερνῶν καὶ εἰσήγαγον τοὺς δύο υἱοὺς Συμεών, καὶ συνεστιάθησαν τῷ βασιλεῖ ἐν τοῖς παλατίοις. Νικόλαος δὲ ὁ πατριάρχης ἐξῆλθε πρὸς
B Συμεών· ᾧ τινὶ τὴν κεφαλὴν ὑπέκλινε Συμεών. εὐχὴν οὖν ὁ πατριάρχης ποιήσας ἀντὶ στέμματος, ὥς φασι, τὸ ἴδιον ἐπιρριπτάριον τῇ αὐτοῦ ἐπέθηκε κεφαλῇ. δώροις οὖν ἀμέτροις τε καὶ μεγίστοις φιλοφρονηθέντες ὅ τε Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν, ἀσύμφωνοι ἐπὶ τῇ εἰρημένῃ εἰρήνῃ διαλυθέντες.

8. Τοῦ βασιλέως οὖν Κωνσταντίνου, ἅτε παιδὸς ὄντος καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος· ἤδη γὰρ αὐτὴν κατήγαγε τοῦ παλατίου, ὡς εἴρηται, Ἀλέξανδρος ὁ βασιλεύς· ἣν καὶ ἀναβιβάζουσιν πάλιν. αὕτη οὖν περικρατὴς γενομένη τῆς βασιλείας ἀναβιβάζει εἰς τὸ παλάτιον Κωνσταντῖνον τὸν παρακοιμώμενον καὶ
C Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς Γογγυλίους λεγομένους, καὶ τῇ βουλῇ Ἰωάννου Ἐλαδᾶ καταβιβάζει τοὺς οἰκείους Ἀλεξάνδρου τοῦ βασιλέως, Ἰωάννην τὸν ῥαίκτωρα καὶ τὸν λεγόμενον Γαβριηλόπουλον καὶ Βασιλίτζην καὶ τοὺς λοιπούς. προχειρίζεται δὲ Ζωὴ Αὐγοῦστα Θεοφύλακτον Δομήνικον ἑταιρειάρχην. Ἰωάννης δὲ μάγιστρος ὁ Ἐλαδᾶς νόσῳ περιπεσὼν καὶ ἀπαγορευθεὶς παρὰ τῶν ἰατρῶν, κατελθὼν ἐκ τοῦ παλατίου καὶ ἐν ταῖς Βλαχέρναις παραγενόμενος καὶ ὑπὸ τῆς νόσου βαρηθεὶς τελευτᾷ. συμβουλῇ Δο-

13 περικραθεὶς P

Blachernas usque profecti, ambos Symeonis filios introduxere ac cum imperatore in palatio epulis excepere. Nicolao vero patriarcha ad Symeonem egresso, ille ei caput modeste inclinavit; fusaque super eum prece, patriarcha stemmatis loco sui capitis operimentum eius capiti, ut aiunt, iniecit. amplissimis itaque immensisque accepti muneribus Symeon ac liberi, cum de praedicta pace inter eos non satis convenisset, in regionem suam rediere.

8. Constantino igitur imperatore, velut qui puer esset, matrem suam identidem requirente (iam enim Alexander imperator, uti dictum est, aula eiecerat) eam rursus in palatium revocant. rerum itaque potita ac civilium administrationem nacta, Constantinum accubitorem et Constantinum Anastasiumque Gongulios, sic nuncupatos, in palatium assumit; Ioannisque Eladae consilio Alexandri imperatoris asseclas, Ioannem rectorem, et quem Gabrielopulum vocant, et Basilitzem ac reliquos, illo deiicit. praeficit vero Zoe Augusta Theophylactum Domenicum foederatorum comitem. Ioannes porro magister Eladas morbo correptus, a medicis salute desperata, e palatio excedens, cum ad Blachernas venisset, ingravescente morbo fatis concessit. Domenici hetaeriar

μηνίκου ἑταιρειάρχου καταβιβάζει Ζωὴ Νικόλαον πατριάρχην ἅμα τοῖς σὺν αὐτῷ μετ᾽ ὀργῆς, τὰ τῆς ἰδίας ἐκκλησίας περιποιούμενον D καὶ φροντίζειν εἰποῦσα.

9. [Οὐ] μετ᾽ οὐ πολὺ δὲ Κωνσταντῖνος παρακοιμώμενος διαβάλλει τῇ Αὐγούστῃ Δομήνικον ἑταιρειάρχην ὡς τὴν βασιλείαν σφετεριζόμενον εἰς τὸν αὐτοῦ ἀδελφόν. τοῦτον προφάσει πατρίκιον ποιήσαντες, κατελθόντος ἐν τῇ ἐκκλησίᾳ ὡς ἔθος εὐχὴν λαβεῖν, οἴκοι μένειν παρεκελεύσαντο. προεβάλετο δὲ Ζωὴ Ἰωάννην Γαριδᾶν ἑταιρειάρχην καὶ Δαμιανὸν εὐνοῦχον τῆς βίγλης δρουγγάριον. Δομήνικος δὲ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ ἀνόνητα ὀλοφυρόμενος.

10. Τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην πάλιν ληϊ- P 568 ζομένου, ἐν φροντίδι οὔσης τῆς Αὐγούστης καὶ τῶν ἐν τέλει ὅπως αὐτὸν τῆς ἀλαζονείας παύσωσιν, ᾐτήσατο Ἰωάννης ὁ Βογᾶς γενέσθαι πατρίκιος, ὑποσχόμενος ἀγαγεῖν κατ᾽ αὐτοῦ Πατζίνακας. τῆς αἰτήσεως δὲ τυχὼν δῶρά τε λαβὼν εἰς τὴν τῶν Πατζινάκων χώραν ἀπῄει, καὶ δὴ σπεισάμενος ὁμήρους ἐκεῖθεν λαβὼν ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων διαπερᾶσαι καὶ τὸν Συμεὼν καταπολεμῆσαι.

11. Παρεγένετο δὲ ἐν τῇ πόλει καὶ Ἀσώτιος, ἀνὴρ ἐπὶ ῥώμης ὀνομαστότατος, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων· ὅν φασι σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέραις χερσὶ κρατοῦντα τῇ

2 περιποιεῖσθαι margo P

chae consilio Zoe Nicolaum patriarcham cum asseclis, cum ira, aula eiicit, suam ipsius iubens curare ecclesiam.

9. Nec multo post Constantinus accubitor Domenicum hetaeriarcham apud Augustam insimulat, quasi qui rerum summam in fratrem transferre cogitaret. simulate itaque patricii dignitate ornantes, cum in ecclesiam solenni ritu precibus communiendus descendisset, ipsum domi manere iusserunt. eius loco praefecit Zoe foederatorum turmis Ioannem Garidam, Damianum vero eunuchum creavit excubitorum drungarium. Domenicus frustra lugens ac quiritans se domum recepit.

10. Ceterum Symeone Bulgaro iterum Thraciam infestante, Augusta proceribusque animi anxiis, quo tandem modo hominis arrogantiam compescere liceret, rogavit Ioannes Bosgas ut patricius fieret, Patzinacas adversus eum se conducturum pollicitus. voti itaque compos effectus, acceptisque muneribus, ad eos iter contendit. ac vero icto foedere indeque acceptis obsidibus eos in urbem adduxit, cum polliciti essent Patzinaces transmisso Istro Symeonem se debellaturos esse.

11. Venit vero etiam in urbem Asotius, vir roboris fama nominatissimus, principis principum filius. ferebant virgam ferream, cuius extrema manibus teneret, qua pollebat eximia vi, inflectere inque circuli

B ὑπερβαλλούσῃ ἀλκῇ διακάμπτειν καὶ πρὸς τὸ κυκλικὸν σχῆμα μετάγειν, τῆς ἀντιτύπου τοῦ σιδήρου φύσεως τῇ βίᾳ τῶν χειρῶν ὑπεικούσης. ὃν παραγενόμενον μετὰ πολλῆς τιμῆς ὑπεδέξαντο καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψαν.

12. Σεπτεμβρίῳ μηνί, ἰνδικτιῶνος γ', Παγκρατούκας ὁ Ἀρμένιος τὴν Ἀδριανούπολιν τῷ Συμεὼν παρέδωκεν. μετ' οὐ πολὺ δὲ ἀπεστάλη Βασίλειος πατρίκιος καὶ κανίκλειος καὶ Νικήτας πρωτοσπαθάριος Ἐλαδικὸς παρὰ Ζωῆς μετὰ δώρων πολλῶν, καὶ ἀντιπαρέλαβεν αὐτὴν πάλιν.

13. Ἦλθε δὲ καὶ ἀμερᾶς ὁ Δαμιανὸς εἰς Στρόβιλον μετὰ C πλοίων τοῦ πολεμῆσαι αὐτὴν μετὰ πολλῆς τῆς δυνάμεως, καὶ ταύτην παρέλαβεν ἄν, εἰ μὴ νοσήσας ἐτελεύτησεν, ὑποστρεψάντων διακενῆς τῶν Ἀγαρηνῶν.

14. Οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασὲ υἱοῦ τοῦ Ἰούβη, τὴν αὐτοῦ ἀσωτείαν μὴ ἐνεγκόντες, λίθοις τοῦτον ἀνεῖλον κακῶς ἔνδοθεν τοῦ θυσιαστηρίου τοῦ ἐν Ἀθήναις ναοῦ.

15. Βλέπουσα δὲ ἡ Αὐγοῦστα Ζωὴ τὴν ἔπαρσιν Συμεὼν καὶ τὴν κατὰ τῶν Χριστιανῶν αὐτοῦ ἐπίθεσιν, βουλὴν μετὰ τῶν D ἐν τέλει βουλεύεται ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι, διαπερᾶσαι δὲ πάντα τὸν τῆς ἀνατολῆς στρατὸν πρὸς τὸ πολεμῆσαι καὶ ἀφανίσαι τὸν Συμεών. ἀπεστάλη οὖν ἐν Συρίᾳ πρὸς τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης πατρίκιος ὁ Ῥαδινὸς καὶ Μι-

6 προέδωκε margo P

formam intorquere, ferri nimirum duritie illius manuum robori cedente. hunc venientem multo honore suscepere ac rursum in patriam remisere.

12. Mense Septembri, indictione tertia Pancratucas Armenius Adrianopolim Symeoni prodidit; nec multo post missus Basilius patricius ac caniclio praefectus Nicetasque protospatharius Eladicus a Zoe Augusta cum multis muneribus urbem rursus recepit.

13. Venit vero Damianus ameras in Strobilum cum classe multaque armata manu ac copiis ad eam expugnandam instructis; et vero eam capturus erat, nisi morbo correptus fatis concessisset; cuius interitu factum ut Saraceni irrito conatu redirent.

14. Graeciae autem et Athenarum populi civesque continuis Chasi filii Iubae iniuriis vexati, eius luxuriam inexplebilemque cupiditatem ferre non valentes, lapidibus obrutum intra ipsum Athenarum templi penetrale male interemerunt.

15. Videns porro Zoe Augusta Symeonis elatos animos ac superbiam, eiusque adversus Christianos grassationem non ferens, re cum optimatibus deliberata foedus icere pacemque componere cum Agarenis statuit, omnesque Asiae copias ad debellandum profligandumque Symeonem traiicere. missi proinde in Syriam qui pasciscerentur, Ioannes Rha-

χαὴλ ὁ Τοξαρᾶς. οὗ γεγονότος τὴν συνήθη τῆς ῥόγας διανομὴν ποιησάμενοι ἐν τοῖς τάγμασι, ταῦτα ἀναλαβόμενοι σὺν τοῖς θέμασι πρὸς τὰ Θρᾳκῷα μέρη διεπέρασαν, Λέοντος μαγίστρου τοῦ Φωκᾶ δομεστίκου τῶν σχολῶν τυγχάνοντος, ᾧ ἀνδρία μᾶλλον ἢ ἐπιστατικὴ φρόνησις προσανέκειτο. ἐξαγαγόντων οὖν τὰ σεβάσμια καὶ ζωοποιὰ ξύλα Κωνσταντίνου πρωτοπαπᾶ τοῦ παλατίου, τοῦ P 569 Κεφαλᾶ λεγομένου, καὶ Κωνσταντίνου τοῦ Μαλελία ἐν τῇ Θρᾴκῃ, ἅπαντες προσκυνήσαντες καὶ ἐπομοσάμενοι συναποθνήσκειν ἀλλήλοις πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. ἦρχον δὲ τοῦ μὲν τάγματος τῶν ἐξκουβίτων Ἰωάννης ὁ Γράψων, τοῦ δὲ ἱκανάτου ὁ τοῦ Μαρούλη υἱός. Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ καὶ Βάρδας ὁ Φωκᾶς· οἷς συνῆν καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων καὶ οἱ ἄλλοι πάντες στρατηγοὶ τῶν θεμάτων. συνῆν δὲ πρὸς τοῖς ἄλλοις καὶ Κωνσταντῖνος πατρίκιος ὁ Λίψ, Λέοντι δομεστίκῳ σύμβουλος ὢν αὐτῷ ἐν πᾶσι τοῖς ἀνήκουσι. B

(16) μηνὶ δὲ Αὐγούστῳ κʹ, ἰνδικτιῶνος εʹ, ὁ πόλεμος μεταξὺ Βουλγάρων τε καὶ Ῥωμαίων πρὸς τῷ Ἀχελῴῳ συγκεκρότητο ποταμῷ· καὶ οἷα τὰ τοῦ θεοῦ κρίματα, ὡς ἀνερεύνητα καὶ ἀνεξιχνίαστα, τρέπονται οἱ Ῥωμαῖοι πανστρατὶ καὶ γέγονε φυγὴ παντελὴς καὶ φρικώδης ὀλολυγή, τῶν μὲν ὑπ᾽ ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν πολεμίων ἀναιρουμένων, αἵματός τε χύσις οἵα ἐξ αἰῶνος οὐκ ἐγένετο. Λέων ὁ δομέστικος ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἐσφάγη δὲ πρὸς τοῖς ἄλλοις ἐν τῇ τοῦ πολέμου

dinus patricius et Michael Toxaras. quo peracto, consueta erogatione donato exercitu, assumptis cohortibus ac legionibus in Thraciam transmisere, magistro Leone Phoca scholarum domestico, viro scilicet maioribus animis quam imperatoria solertia praedito. productis igitur venerabilibus ac vivificis lignis Constantini palatini cleri sacerdotum primi, cognomento Cephalae, Constantinique Maleliae opera, in Thracia, cum omnes venerati essent ac se una commorituros iureiurando firmassent, in Bulgariam copiis omnibus conferto exercitu profecti sunt. praeerant excubiti turmae Ioannes Grapso, Hicanati vero Marulis filius. Romanus Argyrus ducis potestate praeerat, eiusque Leo frater et Bardas Phocas; quibuscum erat et Melias cum Armeniis, aliique omnes legionum duces. praeter alios vero aderat etiam Constantinus patricius Afer, qui Leoni domestico in omnibus ad eum attinentibus consilio affuturus operamque navaturus esset. (16) mensis vero Augusti die vigesima, indictione quinta, Bulgaros inter Romanosque conserta pugna ad Acheloum flumen est; ac (quae dei iudicia, quam inscrutabilia ac impervestigabilia!) Romani omnes omnibus copiis fusi sunt ac fugati, horrendo per omnem exercitum ululatu, cum se alii alios conculcarent, alios hostes perimerent, tanta hominum strage quanta nec a saeculo audita est. Leo domesticus in Mesembriam sospes receptus est. prae-

C συμβολῇ καὶ Κωνσταντῖνος ὁ Λὶψ καὶ Ἰωάννης ὁ Γράψων καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί.

17. Ἀπεστάλη δὲ τότε καὶ Ῥωμανὸς πατρίκιος καὶ δρουγγάριος ὢν τῶν πλωΐμων μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηθήσων Λέοντι τῷ Φωκᾷ· ἀλλὰ καὶ Ἰωάννης ὁ Βογᾶς καταγαγεῖν Πατζίνακας, ὡς προείρηται, κελευσθέντος τοῦ δρουγγαρίου Ῥωμανοῦ διαπερᾶσαι τούτους κατὰ Βουλγάρων, ὥστε συμμαχῆσαι Λέοντι Φωκᾷ. Ῥωμανοῦ δὲ καὶ Ἰωάννου τοῦ Βογᾶ εἰς ἔριδας καὶ λογομαχίας ἐλθόντες, ὁρῶντες αὐτοὺς οἱ Πατζίνακοι πρὸς ἀλλήλους διαμαχομένους καὶ στασιάζοντας ὑπεχώρησαν εἰς
D τὰ ἴδια. (18) τοῦ πολέμου δὲ ἤδη τέλος λαβόντος καὶ ὑποστρεψάντων ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βογᾶ, τὰ κατ' αὐτῶν ἐκινήθησαν, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν ὥστε καταδικάζουσαν ψῆφον ἀνήνεγκαν, τῶν ὀφθαλμῶν στερηθῆναι ὡς ἀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπεράσαντα τοὺς Πατζίνακας, ἀλλ' ὑποχωρήσαντα τάχιον καὶ μηδὲ τοὺς φεύγοντας Ῥωμαίων ἐν τοῖς πλοίοις ὑποδεξάμενον. καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ παρὰ Κωνσταντίνου Γογγύλου καὶ Στεφάνου τοῦ μαγίστρου, ὡς δυναμένων παρὰ τῇ Αὐγούστῃ πολλά, τὰ τῆς καταδίκης ἀνετράπη.

P 570 19. Τῶν δὲ Βουλγάρων τηνικάδε τῇ νίκῃ κατεπαρθέντων καὶ ἐκστρατευσάντων μέχρι τῆς πόλεως, ἐξῆλθεν Λέων ὁ δομέ-

18 ἂν] μὲν P

ter alios vero in pugnae congressione necatus est Constantinus Afer et Ioannes Grapso, aliique officialium procerumque perplures.

17. Missus fuerat et Romanus patricius reique navalis drungarius cum omni classe, ut Danubii littora legeret ac Leoni Phocae suppetias iret: Ioannes item Bogas, uti dictum est, qui Patzinacas adduceret. Romanus drungarius in mandatis acceperat ut eos adversum Bulgaros auxilio futurus Leoni Phocae traiiceret. versisque eis in dissidia verborumque contentiones, videntes Patzinaces sic inter se discordes atque rixantes, domum rediere. (18) iam vero finito bello, ac tum Romano tum Boga in urbem reversis, eorum mota causa est. adeoque in tantum Romani drungarii periculum adductae res, ut amissionis luminum poena illi statuta sit, velut qui negligentia seu potius animi pravitate ac nequitia Patzinacas non traiecisset, sed se citius subduxisset, ac ne fugientes quidem Romanos in navibus recepisset. ac ita certe luisset, nisi Constantino Gongulo et Stephano magistro, qua apud Augustam summa auctoritate pollebant, connitentibus in contrarium lata sententia illi versa esset.

19. Bulgaris autem per id tempus victoria elatis ad ipsamque urbem excurrentibus, egressus in eos est Leo legionum domesticus et Ioan-

στικος τῶν σχολῶν καὶ Ἰωάννης ἑταιρειάρχης καὶ Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς εἰς χῶρον Θρᾳκῷον οὕτω λεγόμενον Κατασύρτας ἅμα πλείστῳ λαῷ κατὰ Βουλγάρων. τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων καὶ τοῦ δομεστίκου φυγόντος ἐσφάγη Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ.

20. *Θεόδωρος οὖν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκε Κωνσταντίνῳ βασιλεῖ Ῥωμανὸν δρουγγάριον προβαλέσθαι ὡς πατρικὸν αὐτοῦ* B *δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτόν, ὡς ἂν ᾖ σὺν αὐτῷ, καὶ διαφυλάττειν αὐτόν, καὶ ἐν οἷς ἂν δέοιτο σύμμαχον ἔχειν καὶ βοηθόν. πολλάκις οὖν περὶ τούτου λαληθεὶς Ῥωμανὸς ἀπείπατο. γραμματεῖον οὖν ὁ βασιλεὺς Κωνσταντῖνος αὐτοχείρῳ διαχαράξας γραφῇ καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ. ὅπερ οὗτος ἐπὶ χεῖρας λαβὼν ὑπέσχετο τὴν κατὰ τοῦ παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν ὧδε ποιήσασθαι.*

21. *Τῆς φήμης οὖν ταύτης διαθεούσης, καὶ τοῦ παρα-* C *κοιμωμένου Κωνσταντίνου καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ τοῦ στόλου, αὐτὸς προεφασίζετο ἀδυνάτως ἔχειν τοῦ ἀποπλεῖν μὴ τοῦ στόλου τὴν νενομισμένην ῥόγαν λαβόντος. ἐν τῇ ἐξαρτύσει δὲ ὄντος τοῦ Ῥωμανοῦ καὶ τὰ πλοῖα εὐτρεπίζοντος ἐξῆλθε Κωνσταντῖνος παρακοιμώμενος ἐπισπουδάσων αὐτὸν τοῦ ἐκπλεῦσαι. ὁ δὲ τούτῳ δουλικῷ τῷ σχήματι προσυπήντησεν, καὶ*

nes hetaeriarcha, Ducisque filius Nicolaus, in locum quem Catasyrtas vocant, cum ingentibus copiis; noctuque ex improviso irruentibus in eos Bulgaris ac domestico in fugam verso, Nicolaus Ducis filius cum aliis multis occisus est.

20. Theodorus itaque Constantini imperatoris paedagogus, Constantinum accubitorem hoc molientem animadvertens ut imperium in Leonem suum ex sorore affinem transferret, Constantino imperatori auctor est ut Romanum drungarium assumat velut olim patris servum ingenuum illiusque propensa voluntate amicum ac studiosum, ut cum ipso maneat, custosque et vindex atque defensor, in quibus necesse habuerit, illi existat. de his itaque haud raro interpellatus Romanus abnuerat. quapropter Constantinus ipse imperator literas propria manu exaratas subscriptioneque firmatas, ad eum mittit; quibus ille in manus acceptis, Constantinum accubitorem eiusque affines ea se aggressurum cautione in se recepit.

21. Eius itaque rei late pervagante fama, cum accubitor Romanum urgeret ut cum classe proficisceretur, causabatur ille ac excusabat non posse se vela ventis dare ac abnavigare, cum nondum classis militari stipendio ac legitimo donata esset. versante autem in navali Romano navesque apparante, Constantinus accubitor, quasi solvendae classis negotium maturaturus, ad eum egressus est. occurrit ille servili habitu

προθύμως ποιήσειν τὸ κελευόμενον ἐπηγγέλλετο. ὑποστρέψαι δὲ
βουλομένου τοῦ παρακοιμωμένου, καὶ εἰ ἔχοι ἄνδρας εὐειδεῖς καὶ
γενναίους τὴν βασιλικὴν ἐρέττειν τριήρην εἰπόντος πρὸς Ῥωμανόν,
D οὗτος εὐθὺς ἔνευσεν αὐτοῖς τῇ χειρὶ ἑτοίμοις οὖσι πλησίον ἐλθεῖν.
οἱ δὲ τὰ τῆς βουλῆς εἰδότες, ἔγγιστα ἤδη τοῦ δρόμωνος Ῥωμανοῦ
γεγονότες, ἐπειδὴ οὗτος ὀπίσω τοῦ παρακοιμωμένου Κωνσταντίνου
περιπατῶν "ἀναρπάσατε αὐτὸν ταῖς χερσὶ καὶ ἄρατε αὐτὸν" ἐπε-
φώνησε, παραχρῆμα οὗτοι τοῦτον ἁρπάσαντες εἰς τὴν τοῦ δρουγ-
γαρίου Ῥωμανοῦ τριήρην εἰσήγαγον καὶ ἐν ἀσφαλείᾳ κατεῖχον.
οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν ἢ κατοικτείρων τὸν ἄνθρωπον, πάν-
των τῶν συνόντων αὐτῷ χρησαμένων φυγῇ.

22. Ταῦτα Ζωὴ Αὐγοῦστα μαθοῦσα προσκαλεῖται τὸν
πατριάρχην Νικόλαον καὶ τοὺς αὐτῆς μεγιστᾶνας καὶ ἀποστέλλει
P 571 πρὸς Ῥωμανόν, τὸ γεγονὸς βουλομένη μαθεῖν. τούτων δὲ δια-
περασάντων, λίθοις ὁ λαὸς ἐξήλασαν βαλόντες. ἕωθεν οὖν ἐξελ-
θοῦσα Ζωὴ ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ ἐπεφώνει τῷ υἱῷ καὶ
πᾶσι, πῶς ἄρα γέγονεν ἡ ἀνταρσία αὕτη; ἔφησε δὲ πρὸς αὐτὴν
ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος ὅτι διὰ τὸ
ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαίους καὶ Κωνσταντῖνον
παρακοιμώμενον τὸ παλάτιον ταῦτα γεγόνασι. (23) προσελά-
βετο δὲ ὁ βασιλεὺς Νικόλαον πατριάρχην καὶ Στέφανον μάγιστρον
συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς
B μητρὸς ἐπισπώμενος. τῇ δὲ ἐπαύριον ἀπέστειλεν Ἰωάννην τὸν Του-

gestuque, promptoque animo facturum se pollicetur quod iussus erat. cumque iam accubitor reverti volens ex Romano sciscitaretur, num elegantes ac strenuos viros haberet, qui imperatoriam triremem impellant, annuit ille statim manu paratis ut prope accederent. hi autem, quos consilium non lateret, cum proxime iam Romani praetoriam iunxissent, isque retro Constantinum accubitorem ambulans "eum manibus corripite atque tollite" confestim clamasset, correptum illi in Romani drungarii triremem tuta custodia servandum intulerunt. qui virum defenderet aut ulla eius miseratione moveretur, ne unus quidem fuit, cunctis fuga dilapsis qui cum ipso erant.

22. His ad Zoem Augustam perlatis, accersitis illa cum Nicolao patriarcha optimatibus suis, qui facti causam inquirant, ad Romanum mittit. dumque ii traiiciunt, facta populi coitione lapidibus appetiti ac fugati sunt. mane igitur egressa Zoe ad Bucoleonis solare horologium filio cunctisque clamabat, quonam modo rebellio haec contigisset? cui Theodorus Constantini imperatoris paedagogus iccirco contigisse ait, quod Leo Phocas Romanos et Constantinus accubitor aulam perderet. (23) interim imperator Nicolaum patriarcham et Stephanum magistrum sibi in aula adesse iubet, translata in se a matre potestate. postridie

βάκην Ζωὴν Αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ' ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησεν, ὡς τὸν βασιλέα εἰπεῖν "ἐάσατε εἶναι μετ' ἐμοῦ τὴν μητέρα μου." οἱ δὲ ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν.

24. Προσκαλεσάμενοι δὲ ὅ τε βασιλεὺς καὶ ὁ πατριάρχης Ἰωάννην τὸν Γαριδᾶ προυβάλοντο δομέστικον τῶν σχολῶν, δεδιότες μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. ὁ δὲ οὐ κατένευσε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον γυναικάδελφον αὐτοῦ τὸν Ζουφινέζερ καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ προεβάλοντο ἑταιρειάρχην. C ὅρκοις βεβαιωθεὶς ὑπ' αὐτῶν κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς αὐτοῦ τοῦ παλατίου καταβιβάζουσι. τούτων οὖν πρὸς αὐτὸν παραγεγονότων, ὡς ἐθεάσατο αὐτούς, τρόμος ἔλαβεν αὐτὸν καὶ φρίκη καὶ φρενῶν ἔκστασις. εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανόν, καὶ διηγήσατο αὐτῷ οἷα πέπονθε. συμφιλιωθεὶς οὖν αὐτῷ, καὶ ὅρκους δοὺς καὶ λαβὼν ὥστε μίαν ἔχειν ἀμφοτέρων ψυχήν, σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο, ὥστε καὶ γαμικὸν συνάλλαγμα ποιήσασθαι συνεφώνησαν, πλέον ἐκ τούτου τὸν τῆς ἀγάπης δεσμὸν ἐπισφίγγοντες.

25. Τῇ εἰκοστῇ τετάρτῃ οὖν τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς Ἰωάννην πρεσβύτερον, οἰκεῖον αὐτῷ καὶ πιστότατον ὄντα, καὶ Θεόδωρον τὸν Μαστζούσιν λεγόμενον εἰς τὸ πα- D

7 et 10 προεβάλλοντο P

missus Ioannes Tubaces, qui Zoem Augustam aula deiiceret. ea cum fletu ac eiulatu in filii complexus ruens ad maternam miserationem affectumque inflexit; adeo ut imperator dixerit "sinite ut mater mea mecum versetur." qui, mox ut locutus est, eam reliquere.

24. Accersitum vero imperator et patriarcha Ioannem Garidam legionum domesticum praefecerunt, veriti scilicet ne Leo Phocas in rebellionem verteretur. non acquievit ille ut munus acciperet, nisi Theodorus Zuphinezer eius levir et Symeon illius filius foederatorum turmis praeficerentur. amborum is iureiurando fretus in domum descendit; moxque hi illius affines aula eiecerunt. quos ut ad se venientes conspexit, stupor tremorque virum invaserunt. confestim igitur ad Romanum venit, ac quae illi facta essent narravit. artiori itaque amicitia ei implicatur, dataque et accepta iurata fide, uno se in posterum animo fore, uno animi sensu consentientes evasere; ut et nuptiarum foedera se iuncturos paciscerentur, quo inde dilectionis vinculum sibi adstringerent.

25. Secundum haec igitur vigesima quinta Martii mensis mittit Romanus Ioannem presbyterum domesticum suum eundemque fidelissimum, et Theodorum Mastzucem nuncupatum in palatium, qui eius cau-

λάτιον ὑπεραπολογησομένους, ὡς οὐκ ἀνταρσία γέγονε τὸ παρ' ἐμοὶ διαπραχθέν· ἀλλὰ τὴν τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος, καὶ δεδιὼς μή τι νεωτερισθῇ παρ' αὐτοῦ εἰς τὸν βασιλέα, τούτου ἕνεκεν ἀνελθεῖν ἐν τῷ παλατίῳ βεβούλευμαι καὶ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασιλέως. μὴ συνευδοκοῦντος οὖν Νικολάου τοῦ πατριάρχου τούτοις, ἐμηνύθη Ῥωμανῷ παρὰ τοῦ ῥηθέντος παιδαγωγοῦ τοῦ ἐλθεῖν μετὰ στόλου παντὸς μέχρι τοῦ Βουκολέοντος.
P 572 ὃς μετὰ τῶν σὺν αὐτῷ βουλευσάμενος (τὸ γὰρ ἄγον ἦγεν αὐτὸν) τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας θεοτόκου (ε' δὲ ἦν) ἦλθεν ἔνοπλος ἅμα τῷ στόλῳ παντὶ ἐν τῷ Βουκολέοντι. καὶ παρευθὺ Στέφανος μὲν μάγιστρος ἐξῆλθε τοῦ παλατίου, Νικήτας δὲ ὁ πατρίκιος ὁ συμπένθερος Ῥωμανοῦ ἀνελθὼν ἐν τῷ παλατίῳ ἐξήγαγεν ἐκεῖθεν Νικόλαον τὸν πατριάρχην. ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ ἀπέστειλαν αὐτῷ τὸν τίμιον σταυρόν· καὶ προσκυνήσας αὐτὸν καὶ ὅρκοις βεβαιώσας αὐτοὺς ἀνῆλθε μετ' αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν. προσκυνήσας τὸν βασιλέα καὶ εἰσελθὼν μετ' αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ
B φόρῳ, καὶ πίστεις αὐτῷ δούς, παρευθὺ προχειρίζεται παρ' αὐτοῦ μάγιστρος καὶ μέγας ἑταιρειάρχης.

26. *Αὐτίκα οὖν γέγονε θεία κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ οἴκῳ ἀναπαύεσθαι. ὡσαύτως καὶ γράμματα*

18 Φάρῳ margo P

sam agerent ac excusarent, nihil ad rebellionem spectare quod ab eo factum erat, sed unum hoc veritum, Phocae molimina, ac metuentem ne ille novis rebus adversus imperatorem studeret, eam ob rem in animum induxisse idque consilii cepisse, ut in regiam, imperatori custos futurus, ascenderet. non approbante Nicolao patriarcha aut assentiente, is quem dicebam paedagogus mandat Romano ut cum omni classe ad Bucoleonem veniat. re itaque cum suis deliberata (nam urgebat fatum), ipso intemeratissimae virginis ac dei genitricis solenni annuntiationis die, feria quinta, manu armata cum omni classe ad Bucoleonem venit, statimque magister Stephanus e palatio excessit. Nicetas vero patricius, Romani consocer, in palatium ascendens Nicolaum patriarcham inde extrusit. aulicorum igitur animis Romani iureiurando firmatis, pretiosam ad eum crucem misere: quam ille veneratus, iterumque sacramento interposito fidem obstringens, cum eis paucisque comitum imperatorem salutaturus in palatium ascendit. ingressusque cum eo in templum quod in Pharo est, dataque ibi et accepta securitatis fide, confestim magister et magnus hetaeriarcha ab ipso praeficitur.

26. Mox itaque missa ad Leonem Phocam divalis iussio, qua is omni conflandae seditionis misso proposito tantisper domi quiescere praeciperetur. Constantinus quoque in eandem scribit sententiam, et ut ni-

ἐκελεύσθη Κωνσταντίνῳ παρακοιμωμένῳ γράψαι, τὰ ὅμοια αὐτῷ παραγγέλλοντα, τοῦ μηδὲν ἐναντίον βουλεύσασθαι ἀλλ' ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου. ἀναλαβόμενος οὖν ταῦτα Ἀνδρέας πριμικήριος τοῦ βασιλικοῦ βεστιαρίου ἀπεκόμισεν αὐτῷ C *ταῦτα ἐν Καππαδοκίᾳ ὄντι· καὶ ἀναδεξάμενος ταῦτα καὶ ἀναγνούς, ἀπελθὼν ἐν τῷ ἰδίῳ οἴκῳ ἡσύχασεν.*

27. *Τῇ ἑβδομάδι ε' τῶν ἁγίων νηστειῶν δίδοται ἀρραβὼν γαμικῶν συναλλαγμάτων παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τοῦ πάσχα τῇ λεγομένῃ τῆς Γαλιλαίας εὐλογεῖται καὶ στεφανοῦται ἅμα αὐτῇ παρὰ Νικολάου πατριάρχου.*

28. *Ῥωμανὸν βασιλεοπάτορα προχειρισάμενος, ἀντ' αὐτοῦ Χριστοφόρον υἱὸν αὐτοῦ ἑταιρειάρχην κατέστησεν. μετ' οὐ πολὺ δὲ Λέων ὁ Φωκᾶς ἀπατηθεὶς παρά τε τινῶν ἀρχόντων καὶ τῶν αὐτοῦ ταγμάτων πρὸς ἀνταρσίαν κινεῖται· καὶ ἀποστείλας* D *ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε παρακοιμώμενον Κωνσταντῖνον καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον Γογγυλίους τοὺς αὐταδέλφους καὶ Κωνσταντῖνον πρωτασηκρῆτις τὸν Μαλελίαν, πληροφορῶν ἅπαντας καὶ βεβαιῶν ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιεῖται συγκίνησιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλλια ποιήσας ἐνυπόγραφα ὡς ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου, τῆς τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες τῷ βασιλεῖ δὲ προσφεύγον-*

7 *Τῇ ε' ἑβδομάδι?*

hil in adversum moliatur, sed in Constantini imperatoris subiectione perseveret. acceptas sacras imperatorii vestiarii primicerius Andreas ad eum in Cappadocia defert: acceptis ille ac lectis, domum se recipiens, privati habitu egit.

27. Quinta sanctorum ieiuniorum hebdomada datur a Constantino imperatore Helenae Romani filiae contractus nuptialis arrhabo; tertiaque paschae (quam Galilaeam vocant) benedictione impartitur, unaque cum illa a Nicolao patriarcha corollis nuptialibus redimitur.

28. Romano in imperatoris patrem provecto, eius loco Christophorum ipsius filium foederatorum turmis praeficit. nec multum temporis intercesserat, cum Leo Phocas quorundam procerum ac tribunorum suasu subiectarumque ei legionum hortatu res novas molitur; accitoque Constantino accubitore, et Constantino et Anastasio Gongyliis germanis fratribus, nec non Constantino a secretis primo Maleliano, cunctis persuadere nititur in gratiam Constantini imperatoris eam se motionem facere. Romanus vero imperatoris pater bullis aureis ac diplomatis subscriptione munitis, quasi ex Constantini imperatoris persona, quibus ea molitio evertebatur, eosque qui Phoca relicto ad imperatorem confugerent ab

P 573 τες ὑπὲρ τοῦ βασιλέως εἰσίν, δοὺς Ἄννῃ τινὶ γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ καὶ κληρικῷ τινὶ Μιχαὴλ ἐν τῷ αὐτοῦ στρατοπέδῳ ἐξέπεμψεν. οἱ δὲ ταῦτα ἀναλαβόμενοι διέσπειραν παντὶ τῷ στρατῷ. καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς παρὰ τοῦ Φωκᾶ καὶ ἀνηλεῶς τυφθεὶς τήν τε ῥῖνα καὶ τὰ ὦτα ἀπετμήθη· ὃς μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς· ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνή. (29) πρῶτος οὖν ὁ υἱὸς τοῦ Βαρέως Μιχαὴλ Κωνσταντῖνος καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς καταλύσεως τῆς τοιαύτης ἀνταρσίας καὶ τυραννίδος. σὺν
B αὐτῷ δὲ καὶ ὁ Βαλάντιος καὶ ὁ λεγόμενος Ἄτζμωρος, τουρμάρχοι ὄντες ἀμφότεροι. Λέων οὖν ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἰσχυρῶς καθωπλισμένου ἐν Χρυσοπόλει καταλαβὼν διέστησε παρατάξεις ἀπὸ τῆς λιθίνης δαμάλεως μέχρι Χαλκηδόνος, τοὺς ἐν τῇ πόλει φοβῶν. ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ τοῦ κανικλείου, λόγον ἐνυπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος τάδε διαγορεύοντα, (30) ὡς ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας ἐγρηγορώτατον καὶ εὐνούστατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκὼς τούτῳ τὴν
C ἐμὴν φυλακὴν μετὰ θεὸν κατεπίστευσα, καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα, σπλάγχνα πατρικὰ καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον. Λέοντα δὲ τοῦτον τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ

7 Βαρυμιχαὴλ υἱὸς Κωνσταντῖνος supra p. 244 c

imperatoris stare partibus significabatur, editis, Annaeque cuidam effronti mulieri ac temerariae, nec non clerico cuidam Michaeli nomine contraditis, in Leonis castra emisit. hi accepta diplomata in omnem late exercitum clanculum sparserunt. ac Michael quidem a Phoca deprehensus durisque verberibus subactus, naso auribusque multatus est. verum is postea a Romano convenientem vicem consecutus est; similiter quoque una cum illo submissa mulier. (29) primus itaque Constantinus Bary-Michaelis filius, relicto Phoca ad Romanum transiens, eiuscemodi defectionis convellendae ac rebellionis auctor fuit. secuti etiam Balantius et Atzmorus, quem vocant, ipsi quoque ambo tribuni. Leo igitur Phocas, quo fretus erat, ingenti omni armorum genere valide instructo exercitu, Chrysopolim veniens a Iuvenca lapidea Chalcedonem usque ad terrorem civibus incutiendum late aciem explicavit. interim vero missus a Romano cum celoce Symeon caniclii praefectus cum literis Constantini imperatoris subscriptione munitis. literarum hic erat tenor, haec sententia. (30) "cum alium neminem dominationis meae ac maiestatis vigilantiorem magisque benevolum ac fideliorem custodem, inter omnes qui meae dicionis sunt, ac imperio parem Romano offenderem, huic secundum deum mei custodiam commisi; et ut patris loco haberem, operae pretium duxi, qui paterna in me viscera propensumque genitoris animum exhibuerit. Leonem vero hunc Phocam cum semper

ὑποπτεύων ἐπιβουλεύειν νῦν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς ἐξανιστάμενον. διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι, οὔτε δὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν, ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον. τούτων οὖν τῷ λαῷ ὑπαναγνωσθέντων ἤρξαντο πάντες ὑποχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσρύεσθαι Ῥωμανῷ. τοῦ δὲ D
Φωκᾶ εἰς ἀμήχανον περιστάντος καὶ ἀπογνόντος ὡς πάσης ἐλπίδος ἠστοχηκότος, καὶ φυγῇ χρησαμένου καὶ πρὸς τὸ κάστρον Ἀτεοῦς παραγενομένου καὶ μὴ δεχθέντος, ἀπέστειλε Ῥωμανὸς Ἰωάννην Τουβάκην καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ ὥστε εἰσαγαγεῖν αὐτὸν ἐν τῇ πόλει. οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, καίτοι μηδεμίαν περὶ τούτου δεξάμενοι ἐντολήν, ἀλλ' αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ τὸν βασιλεοπάτορα Ῥωμανόν.

31. Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη τὰ τῆς ἐπιβουλῆς P 574
Κωνσταντίνου τοῦ Κτηματινοῦ καὶ Δαβὶδ Καμουλιανοῦ καὶ Μιχαὴλ κουράτωρος τῶν μαγγάνων· καὶ τυφθέντες οὗτοι καὶ δημευθέντες διὰ μέσης διῆλθον τῆς πόλεως καὶ ἐξορίᾳ παρεπέμφθησαν. (32) ἤγαγον δὲ καὶ Λέοντα μάγιστρον καὶ δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ ἐφεζόμενος.

33. Ἐφωράθη δὲ καὶ Ζωὴ Αὐγοῦστα ἐπιβουλεύουσα Ῥω-

meae maiestati suspectum habuerim, nunc re ipsa insidiantem inveni, et qui in meum tyrannice imperium insurrexerit. quamobrem nec domesticum eum deinceps esse volo, neque hanc meo iussu orditum eum telam agnosco, sed ipsum a se ultroque grassari, ut in se rerum summam transferat, pronuntio." his itaque audiente exercitu lectis literis, coeperunt omnes recedere et ad imperatoris patrem confluere. Phocas autem consilii inops rebusque desperatis, ut cui omne consilium cassum ivisset, salutem fuga quaerens, ad castrum Ateus cum venisset, eo repulsus est. misit itaque Romanus Ioannem Tubacem et Leonem eius cognatum, qui in urbem ipsum inducerent. quem cum tenuissent, luminibus orbarunt, etsi eius caecandi nullum mandatum acceperant: sed ipsi a se sponte fecerunt, ut et Romanus imperatoris pater eius rei nomine indignatus sit.

31. Mense Augusto detectae Constantini Ctematini, Davidis Camuliani et Michaelis mangarorum curatoris insidiae. qui verberibus subacti, bonisque publicatis per mediam urbem pompa traducti, exsilio relegati sunt. (32) adductus et Leo magister ac legionum domesticus in urbem, muloque insidens ignominiae causa per medium forum traductus.

33. Quin et Zoe Augusta deprehensa Romani vitae per cibos me-

μανῷ διὰ πεφαρμαγμένων βρωμάτων ὑπὸ Θεοκλήτου νοταρίου τῆς B ὑπουργίας σκευασθέντων. καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσιν καὶ εἰς τὸ Πετρίον ἀπάγουσι, τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες.

34. Προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου πατρικίου καὶ κόμητος τοῦ στάβλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός. ἐσθιόντων οὖν εἰσῆλθεν Ἰωάννης δρουγγάριος τῆς βίγλης ὁ Κουρκούας λεγόμενος μετὰ πλείστου λαοῦ, καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐξώρισεν ἐν τοῖς αὐτῶν προαστείοις ὡς κατὰ τοῦ Ῥωμανοῦ μελετῶντας.

35. Εἰκοστῇ τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς τιμᾶται C Ῥωμανὸς τῇ τοῦ Καίσαρος ἀξίᾳ, καὶ Δεκεμβρίῳ μηνὶ δεκάτῃ ἑβδόμῃ τῇ τῶν πατέρων κυριακῇ τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ βασιλέως Κωνσταντίνου γαμβροῦ αὐτοῦ καὶ Νικο- D λάου πατριάρχου, (1) καὶ Ἰανουαρίου ϛʹ, τῇ τῶν ἁγίων φώτων ἡμέρᾳ, στέφει Θεοδώραν τὴν γυναῖκα αὐτοῦ. Μαΐῳ δὲ μηνὶ ιζʹ, ἰνδικτιῶνος εʹ, Χριστοφόρος ὁ υἱὸς Ῥωμανοῦ ἀναγορεύεται βασιλεύς, στέφεται δὲ τῇ κδʹ τοῦ αὐτοῦ μηνὸς παρὰ Κωνσταντίνου βασιλέως, τῇ τῆς ἁγίας πεντηκοστῆς ἡμέρᾳ· καὶ μόνοι οὗτοι οἱ δύο ἐν ταύτῃ τῇ προελεύσει προῆλθον.

2. Ἰουνίῳ δὲ μηνί, ἰνδικτιῶνος ηʹ, ἡμέρᾳ κυριακῇ, ἡ τῆς ἐκκλησίας γέγονεν ἕνωσις παρὰ Ῥωμανοῦ, ἁπάντων ἑνωθέν-

dicatos insidiari, per Theocletem servitii notarium instructos. quare hanc quoque aula deiectam inque Petrium abductam in sanctae Euphemiae monasterio detonderunt.

34. Invitatos vero ad prandium a Theophylacto patricio et stabuli comite Theodorum Constantini imperatoris paedagogum eiusque fratrem Symeonem ingressus excubiarum drungarius, Curcuas nuncupatus, cum multo satellitio, arreptos velut adversus Romanum machinantes, ad Opsicium in suis ipsorum suburbanis relegavit.

35. Mensis Septembris die vigesima quarta Romanus Caesaris donatur dignitate; mensis vero Decembris die decimo septimo, dominica patrum, quae est ante natalem, imperiali stemmate a Constantino imperatore et Nicolao patriarcha donatur. (1) sexta itaque Ianuarii, quae dies sacra luminum est, uxorem suam Theodoram Augustali corona donat; Maii vero decima septima, indictione quinta, Christophorus Romani filius imperator salutatur, ac die quarto supra vigesimum in die sancto pentecostes a Constantino imperatore coronatur; amboque hi soli in ea pompa processerunt.

2. Iunio autem mense, indictione octava, die dominico, facta ecclesiae unitio est Romano auctore, unitique sunt omnes, metro-

των, μητροπολιτῶν τε καὶ κληρικῶν, τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων.

3. Ὀγδόῃ δὲ Φεβρουαρίῳ μηνί, ἰνδικτιῶνος θ', ἀποστείλας Ῥωμανὸς ὑπερορίζει τὸν μάγιστρον Στέφανον τὸν τῆς Καλο- P 575 μαρίας εἰς τὴν Ἀντιγόνου νῆσον ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα, μοναχὸν αὐτὸν ἀποκείρας ἅμα Θεοφάνει Τειχιώτῃ καὶ Παύλῳ Ὀρφανοτρόφῳ, ἀνθρώποις αὐτοῦ.

4. Ἐποίησε δὲ Ῥωμανὸς βασιλεὺς ἐν τῷ τριβουναλίῳ πρόκενσον, συνηγμένων ἁπάντων ἐκεῖσε μεθ' ὅπλων. τοῦ ἀδνουμίου δὲ γενομένου αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ εἰς τὸ παλάτιον ὑποστρέφουσιν· ἐμηνύθη γὰρ παρὰ Λέοντος ἀνθρώπου τοῦ Ἀρσενίου ἡ αὐτοῦ τοῦ Ἀρσενίου ἐπιβουλὴ καὶ Παύλου μαγκλαβίτου, οἳ καὶ τυφθέντες καὶ δημευθέντες ἐξωρίσθησαν. ἦν δὲ τότε παραδυναστεύων ὁ πρεσβύτερος Ἰωάννης ὁ B ῥαίκτωρ, ὃς Λέοντα τὸν τοῦ Ἀρσενίου ἐποίησεν ἑβδομαδάριον, τῷ βασιλεῖ τοῦτον προσοικειώσας.

5. Ἐγένετο δέ τις Ῥεντάκιος ἐν Ἑλλάδι, συγγενὴς ὢν Νικήτα πατρικίου, ἀπαίδευτός τε καὶ πατραλοίας, ὃς τὸν ἑαυτοῦ πατέρα καταδιώκων φονεῦσαι, ἐπειδήπερ ἐκεῖνος φεύγων αὐτοῦ τὴν ἐπίθεσιν ἐν πλοίῳ εἰσελθὼν ἐξέπλει καὶ παρὰ τῶν Κρητῶν κατεσχέθη, οὗτος ὁ Ῥεντάκιος ἄδειαν εὑρὼν πάντα τὰ τοῦ πατρὸς αὐτοῦ ἐληΐσατο, καὶ ἐν τῇ πόλει ἀνελθὼν τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσέφυγεν. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τὰς αὐτοῦ ἀταξίας C

politae pariter ac clerici, qui a Nicolao et Euthymio scissi schismate erant.

3. Octava Februarii, indictione nona, mittens Romanus Stephanum Calomariae filium, quasi affectati reum imperii, in Antigoni insulam exsilio relegat, detondetque monachum cum Theophane Tichiota et Paulo Orphanotropho illius domesticis.

4. Romanus imperator, solenni ad tribunalium processu, cunctis illic cohortibus cum armis congregatis, recensitoque exercitu repente Romanus et Constantinus celeriter ad palatium redierunt: delatus enim Arsenius a Leone eius famulo et Paulus manglabita insidias struere; quare verberibus subacti bonisque publicatis exsilio relegati sunt. erat tunc administrandae rei publicae adiutor ac minister intimus Ioannes presbyter rector. is Leonem Arsenii domesticum fecit hebdomadarium, imperatori commendans inque eius gratiam insinuans.

5. Fuit Rentacius quidam in Graecia, Nicetae patricio sanguinis necessitudine coniunctus, homo insolens et parricida. is cum patrem necem ei illaturus persequeretur, ac pater illius vim furoremque declinans conscensa navi a Saracenis Cretensibus inter navigandum fuisset captus, nactus licentiam patris omnia diripuit atque vastavit, urbemque petens in magnam dei ecclesiam profugit. Romanus vero imperator,

καὶ λεηλασίας καταμαθὼν τοῦτον τῆς ἐκκλησίας ἐξαγαγεῖν ἐβουλεύσατο καὶ παιδεῦσαι. ὁ δὲ ψευδεῖς ἐπιστολὰς πρὸς Βουλγάρους πλασάμενος πρὸς αὐτοὺς αὐτομολῆσαι ἐβουλεύσατο. κρατηθεὶς δὲ καὶ ἐλεγχθεὶς τοὺς ὀφθαλμοὺς ἀποστερεῖται.

6. Τῶν δὲ Βουλγάρων πάλιν ἐξελασάντων μέχρι Κατασυρτῶν, μετὰ δὲ τὴν δομεστίκου Ἀδρελαστοῦ τελευτήν, προεβλήθη Πόθος ὁ τοῦ Ἀργυροῦ δομέστικος τῶν σχολῶν, καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐξελθὼν ἀπέστειλε Μιχαὴλ τὸν Μωρολέοντος υἱὸν τοποτηρητὴν ὄντα τοὺς Βουλγάρους κατασκο-
D πήσοντα. ὁ δὲ ἀπροόπτως τῷ λόχῳ αὐτῶν εἰσελθὼν ἔσω πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλεν, πληγεὶς δὲ καὶ αὐτὸς εἰσελθὼν ἐν τῇ πόλει ἐτελεύτησεν.

7. Ἐμηνύθη δὲ τότε διὰ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας ἡ κατὰ Ῥωμανοῦ τοῦ βασιλέως ἐπιβουλὴ Ἀναστασίου σακελλαρίου καὶ ἄρχοντος τοῦ χρυσοχοείου, καὶ Θεοδωρήτου κοιτωνίτου, καὶ Δημητρίου βασιλικοῦ νοταρίου τοῦ εἰδικοῦ, καὶ Νικολάου τοῦ Κουβάτζη, καὶ Θεοδότου πρωτοκαράβου, οἳ καὶ ὑπὲρ Κωνσταντίνου βασιλέως δῆθεν ἐσπούδαζον· καὶ δὴ ἐλεγχθέντες ἐτύφθησαν καὶ ἐν τῇ μέσῃ διῆλθον καὶ ὑπερόριοι κατέστησαν. ὁ
P 576 δὲ Θεοδώρητος ἰδίᾳ ἐν τῷ λεγομένῳ Τρικόγχῳ τοῦ παλατίου τυφθεὶς καὶ αὐτὸς ἐξωρίσθη. τὸν δὲ σακελλάριον Ἀναστάσιον ἀπέκειραν ἐν τῇ μονῇ τῶν Ἐλεγμῶν, ἔνθα καὶ τελευτᾷ. (8) τῆς

3 αὐτοὺς additum e p. 247 c

cognita hominis petulantia ac rapinis, ecclesia educere statuerat iustaque animadversione punire. at ille falsis ad Bulgaros confectis literis ad illos confugere deliberaverat. tentus itaque ac convictus amissis luminibus luit.

6. Bulgaris autem ad Catasyrtas usque post Adrelasti domestici occasum denuo excurrentibus, Pothus Argyrus scholarum domesticus praeficitur; castrisque ad Thermopolim positis Michaelem Moroleonis filium legatum Bulgarum motum exploratum misit. is improvise in Bulgarorum delapsus cuneum multam quidem Bulgarorum dedit stragem: verum ipse quoque accepto vulnere in urbem ingressus mortuus est.

7. Eo tempore detectae a Theocleto officii notario structae Romano imperatori insidiae Anastasii sacellarii et aurificinae praepositi, et Theodoriti cubicularii, ac Demetrii aerarii privati notarii, nec non Nicolai Cubitzis et Theodoti protocarabi; qui et Constantino utique imperatori studebant. convicti vero, verberibus subacti ac per mediam delati urbem, in exsilium eiecti sunt. Theodoritus seorsum in Triconcho Palatii caesus, ipse quoque exsilio relegatus est. Anastasium porro Sacellarium, in Elegmorum monasterium caesarie multarunt, ubi

τοιαύτης δὲ προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει καὶ δεύτερον καθίστησιν, αὐτὸν δὲ προάγει εἰς τὸ ἔμπροσθεν.

9. Ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων, καὶ πλήθη Βουλγάρων ἀποστείλας ἅμα Καυκάνῳ καὶ Μηνικῷ καὶ ἑτέροις ἐκέλευσε κατὰ τῆς πόλεως ὅτι τάχιστα ἐξελαύνειν. διελθόντες οὖν οὗτοι διὰ τῶν ὀρῶν ἦλθον μέχρι τῶν Μαγγλαβᾶ. B τὴν αὐτῶν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανός, λογισάμενος μὴ τὰ τῶν Πηγῶν παλάτια καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν, Ἰωάννην ῥαίκτωρα ἀποστέλλει ἅμα Λέοντι καὶ Πόθῳ τοῖς Ἀργυροῖς λεγομένοις, ἔχοντας μεθ᾽ ἑαυτῶν πλῆθος ἱκανὸν ἔκ τε τῶν βασιλικῶν καὶ τῆς ἑταιρείας καὶ τῶν ταγμάτων. οἷς συνῆν καὶ Ἀλέξιος ὁ πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μωσηλὲ μετὰ τοῦ λαοῦ αὐτοῦ. ἦν δὲ ε´ τῶν νηστειῶν ἑβδομάς. διατάξαντες οὖν τὸν λαὸν ἐν τοῖς πεδινοῖς καὶ χθαμαλωτέροις τόποις τῶν Πηγῶν, τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων καὶ C βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ καὶ σφοδροτάτως ἐπελασάντων κατ᾽ αὐτῶν φεύγει μὲν παρευθὺ Ἰωάννης ὁ ῥαίκτωρ, σφάττεται δὲ ὑπὲρ τούτου ἀγωνιζόμενος ὁ τοῦ Πλατύποδος υἱὸς Φωτεινὸς καὶ πολλοὶ ἕτεροι. μόλις οὖν διασωθεὶς εἰσῆλθεν εἰς τὸν δρόμωνα. ἦλθε δὲ φεύγων ἔνοπλος μετὰ δρόμωνος καὶ Ἀλέξιος δρουγγάριος ὁ Μουσηλέ· καὶ μὴ ἰσχύσας ἀνελθεῖν ἐπὶ τὴν τοῦ

13 *Μουσελὲ* p. 248 c d

et moritur. (8) eo Romanus praetextu ac occasione Constantinum imperatorem deiicit ac secundo ordine constituit, sibique ipse primas attribuit.

9. Symeon vero adversus Romanos rursum copias educit; missaque Bulgarorum multitudine cum Caucano et Menico aliisque, mandat ut quam celerrime adversus urbem impetum ferant. superatis itaque montibus, et per eos dirigentes iter, ad Manglaba usque pervenerant. cognita autem Romanus imperator horum irruptione, veritus ne Pegarum regias aedes Stenumque inde effusi incenderent, Ioannem rectorem una cum Leone et Potho Argyris ire iussit, valido ex praetorianis et foederatis aliisque cohortibus conflato exercitu. adibat et Alexius Musele patricius reique navalis drungarius, cum iis copiis quibus praefectus erat. agebatur quinta ieiuniorum hebdomada. in campestribus itaque ac depressioribus Pegarum locis, castris dispositis, Bulgarisque armata manu e superioribus editioreque tumulo emergentibus, horrendoque ac incondito clamore strepentibus, maximoque impetu irruentibus, Ioannes rector illico fugam arripit, Photinus Platypodis filius tuendi illius causa concertando necatur, et alii multi. vix itaque sospes in triremem ingressus est. venit vero armatus fugiens Alexius drungarius Musele; nec armatura gravis celocis scalam commode satis scandere va-

δρόμωνος ἀναβάθραν, πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτωρι ἀπεπνίγη. οἱ Ἀργυροὶ δὲ ἐν τῷ καστελλίῳ φυγόντες D διεσώθησαν. πλώϊμοι δὲ καὶ τὸ λοιπὸν ἅπαν πλῆθος, οἱ μὲν τὰς τῶν πολεμίων χεῖρας φεύγοντες ἐν τῇ θαλάσσῃ ἀπεπνίγησαν, οἱ δὲ σιδήρου γεγόνασι παρανάλωμα, οἱ δὲ χερσὶ Βουλγαρικαῖς αἰχμάλωτοι συνελήφθησαν. οἱ δὲ Βούλγαροι μηδένα τὸν κωλύοντα ἔχοντες τά τε παλάτια τῶν Πηγῶν ἐπυρπόλησαν καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν. οὕτως ἄρα δεινὸν ἀβουλία καὶ ἀπειρία θρασύτητα σύμμαχον ἔχουσα.

10. Εἰκάδι δὲ Φεβρουαρίῳ μηνὶ κ', ἰνδικτιῶνος ι', Θεοδώρα σύμβιος Ῥωμανοῦ τελευτᾷ· καὶ κατετέθη τὸ σῶμα αὐτῆς ἐν τῷ οἴκῳ αὐτοῦ τοῦ βασιλέως Ῥωμανοῦ, τῷ ὑπ' αὐτοῦ εἰς μοναστήριον ἀμειφθέντι.

P 577 11. Τῷ δ' αὐτῷ μηνὶ στέφεται Σοφία ἡ τοῦ βασιλέως Χριστοφόρου γυνή. τηνικαῦτα δὲ καὶ κουροπαλάτης Ἴβηρ ἐν τῇ πόλει παρεγένετο, καὶ διὰ μέσης τῆς ἀγορᾶς διελθὼν κεκοσμημένης λαμπρῶς μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη· ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ σοφίᾳ εἰσήγαγον, τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασόμενον καὶ τὸν πολυτελῆ κόσμον. καλλωπίσαντες γὰρ αὐτὴν καὶ περιστείλαντες πέπλοις χρυσοϋφέσι καὶ κόσμῳ παντοίῳ, οὕτω εἰσήγαγον ἐν αὐτῷ. ὁ δὲ τὸ θαυμαστὸν καὶ ὑπερμέγεθες τοῦ ναοῦ ἔργον καταπλαγεὶς καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυ-

10 *εἴκοσι* P, addito *κ'* post *μηνί*: cf. p. 249 a

lens, una cum suo protomandatore praeceps in mare actus aquis suffocatus est. ambo Argyri fuga in castellum evaserunt. navales ac reliquae omnes copiae, partim hostium fugientes manus in mari exstinctae sunt, partim ferro perierunt, partim inter Bulgarorum manubias captivi facti sunt. porro Bulgari, nemine illis obsistente, tum Pegarum regias aedes incenderunt, tum Stenum omne igni vastaverunt. sic nimirum grande malum consilii inopia rerumque inexperientia, cui audacia ac temeritas praesto est adiutatque.

10. Februarii mensis die vigesima, indictione decima, moritur Theodora Romani uxor; cuius corpus depositum in ipsius Romani imperatoris domo, quam is in monasterium verterat.

11. Eodem mense coronatur Sophia Christophori imperatoris uxor. eo ipso tempore Iber curopalata urbem petiit, ac per medium forum deductus magnifico apparatu ornatum, clara pompa atque honore susceptus est. inductus est et in sanctam dei Sophiam, eius pulchritudinem ac molem pretiosumque ornatum inspecturus: splendide namque ornantes, auroque textis aulaeis parietes circumvestientes, omnisque generis cultu decorantes, sic eum admisere. ille mirandam immanisque molis aedis fabricam stupens, supraque modum admirans illius pretiosissimum

μάσας, καὶ ἀληθῶς θεοῦ κατοικίαν εἶναι τὸν χῶρον τοῦτον εἰπών, B αὖθις ὑπέστρεψεν εἰς τὰ οἰκεῖα.

12. Ἰουνίῳ δὲ μηνὶ τῶν Βουλγάρων πάλιν ἐκστρατευσάντων καὶ μέχρι τῶν τῆς ἁγίας Θεοδώρας παλατίων ἐλθόντων καὶ ταῦτα πυρὶ παραδόντων, εἰς ἄριστον ὁ βασιλεὺς Ῥωμανὸς τοὺς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσε, συνόντος αὐτοῖς καὶ τοῦ λεγομένου Σακτίκη; καὶ παρῄνει τούτοις καὶ προετρέπετο κατὰ τῶν ἐναντίων ἐξελθεῖν καὶ τῆς πατρίδος ὑπεραγωνίσασθαι. οἱ δὲ συνέθεντο ἑτοίμως τῆς αὐτοῦ βασιλείας καὶ τῶν Χριστιανῶν ὑπεραποθνήσκειν. τῇ οὖν ἐπαύριον καθοπλισθεὶς παρὰ τοῦ βασιλέως C ὁ εἰρημένος Σακτίκης ἀληθῆ οὖσαν τὴν ἑαυτοῦ πίστιν τε καὶ ἀνδρίαν ἀπέδειξεν· ὄπισθεν γὰρ τῶν Βουλγάρων γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν ἐμπεσὼν πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξεν. μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ, καὶ πολέμου συγκροτηθέντος τρέπουσι τὸν Σακτίκην σὺν ὀλίγοις ὑπάρχοντα. ὁ δὲ ἐπειδὴ γενναίως ἀγωνισάμενος πολλοὺς ἀνελὼν οὐκέτι ἀντέχειν ἠδύνατο πρὸς τὸ πλῆθος τῶν πολεμίων, μεθίησι τοῦ ἵππου τὸν χαλινὸν καὶ εἰς φυγὴν ἤλαυνεν. ποταμὸν δέ τινα ἐκεῖσε παραρρέοντα διαπερῶν, τοῦ D ἵππου αὐτοῦ ἐν τῇ ἰλύϊ ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. μόλις οὖν τοῦ ἵππου ἐκ τῆς ἰλύος ἀνασπασθέντος, συνεργούντων τῶν ὑπὸ χεῖρα, διασώζεται μέχρι τῶν Βλα-

cultum, sacrumque hunc locum vere dei habitationem dicens, domum reversus est.

12. Rursus vero mense Iunio expeditione a Bulgaris suscepta, et cum illi adusque S. Theodorae regias aedes devecti has igni succendissent, Romanus imperator legionum duces ac tribunos ad prandium invitavit, inter quos erat quem Sacticem vocant; hortabaturque illos ac excitabat ut adversum hostes exirent ac pro patria depugnarent. assensere illi, atque alacres eius tuendae maiestatis causa ac Christianae rei incolumitatis oppetituros se mortem promisere. postridie igitur, quem dicebam, Sactices, armis ab imperatore instructus, veram suam sic datam fidem fortisque animi sui virtutem ostendit: Bulgaros quippe a tergo aggressus, inque eorum castra insiliens, quos ibi invenit, omnes trucidavit. Bulgari ubi cognovere quod gestum erat, in castra revertuntur; consertaque pugna Sacticem paucis stipatum terga vertere cogunt. is autem strenue praelio perfunctus, dataque hostium ingenti strage, cum tantae eorum multitudini sustinendae amplius par non esset, laxatis habenis equum ad fugam impellit. dum autem praeterfluentem fluvium quendam tentat traiicere, equo in limo haerente vulnus in anum et femur accipit. equo tamen aegre tandem suorum cura et industria e coeno

χερνῶν, καὶ τίθεται ἐν τῇ ἁγίᾳ σορῷ. καιρίας τῆς πληγῆς οὔσης τῇ νυκτὶ ἐτελεύτησε.

13. Τηνικαῦτα δὲ καὶ Πετρωνᾶς αἰδεσιμώτατος, προστάξει Ῥωμανοῦ βασιλέως, ἤγαγε λάρνακα ἔνζῳδον καὶ ἕτερα δύο γλυφῆς ἀμοιροῦντα ἐκ τῆς τοῦ ἁγίου Μάμαντος μονῆς ἀνδρείας, τῆς πλησίον οὔσης τῆς Ξυλοκέρκου λεγομένης πόρτης, ἐν οἷς φασὶν
P 578 ἐναποκεῖσθαι Μαυρίκιον σὺν τοῖς αὐτοῦ παισίν· ἃ καὶ ἀπετέθη ἐν τῇ τοῦ βασιλέως μονῇ ἤτοι εἰς τὸ Μυρέλαιον.

14. Ἀδριανὸς δέ τις Χάλδος, πρὸς δὲ καὶ Τζάντζης Ἀρμένιος πλούσιος πάνυ, τῇ ὑποθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βοΐλα στρατηγοῦντος ἐν Χαλδίᾳ, τυραννίδα καὶ ἀνταρσίαν κατὰ Ῥωμανοῦ βασιλέως συσκευάζουσι, τὸ Παΐπερτε λεγόμενον ὀχύρωμα κατασχόντες· οὓς ὁ τῶν σχολῶν δομέστικος Ἰωάννης ὁ Κροκόας καταπολεμήσας τοὺς μὲν κατέσχεν, ὧν τοὺς περιφανεστέρους ἀποτυφλοῖ, τὰς οὐσίας αὐτῶν δημεύσας, τοὺς δὲ πενι-
B χροὺς καὶ ἀσήμους ἀθῴους κελεύσας ὅποι βούλοιντο ἀπιέναι. Τζάντζης δὲ ἐν ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ διαφυγὼν καὶ λόγον ἀπαθείας δεξάμενος ἐν τῇ πόλει εἰσεληλύθει, καὶ τῇ τοῦ μαγγλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν μαγγάνων διῃτᾶτο τηρούμενος, δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀφθαλμῶν

1 τῆς] δὲ τῆς? 9 Τατζάκης p. 250 b 11 Βοήλα ib. 12 τὸ Παΐπερ τὸ λεγ. P 14 Κουρκούας l. l.

evulso, ad Blachernas usque evasit; ubi ad sanctum loculum positus, quod vulnus letale erat, vivis excedit.

13. Sub idem tempus Petronas, vir venerabilissimus, Romani imperatoris iussu urnam unam figuris ac imaginibus sculptam aliasque duas nulla caelaturae arte sculptas ex S. Mamantis virorum monasterio, quod est prope portam quam Xylocerci vocant, advexit; in quibus fama est conditum fuisse Mauricium cum liberis; quae et in Romani monasterio (in Myrelaeo scilicet) fuere depositae.

14. Adrianus vero quidam Chaldus, Tzantzes item Armenius, vir summe locuples, Bardae Boilae in Chaldia tum ducis praetorisque hortatu ac consilio tyrannidem struunt ac rebellionem adversus Romanum imperatorem, Paiperte, quod sic vocant, oppido munito occupato. horum potitus Ioannes Crocoas legionum domesticus, ac cum tenuisset, iis quidem qui illustriores essent, publicatis eorum bonis, oculos adimit; alios, qui pauperculi ac obscuri essent, quo vellent abire iussit. Tzantzes vero, alia munitissima arce occupata ac immunitatis fide ab scholarum domestico accepta, Byzantium venit; ibique manglabitae dignitate auctus in Manganorum domo sub custodia agebat. cum vero fugam moliri deprehensus esset, oculis privatus est. Bardam Boilam,

στερίσκεται. Βάρδαν τὸν Βοΐλαν ἀπέκειραν μοναχόν, τοῦ βασιλέως οἰκτείραντος φίλον τυγχάνοντα.

15. Τοῦ δὲ πατρικίου τοῦ ἐπονομαζομένου Μωρολέοντος Ἀδριανούπολιν στρατηγοῦντος, κρατίστου πολλὰ καὶ δεξιοῦ τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγάρων ἀνδραγαθίας ἐπεδείξατο, C καὶ πάλιν ὁ Βούλγαρος Συμεὼν σὺν παντὶ τῷ στρατεύματι αὐτοῦ τὴν εἰρημένην πόλιν περιεκύκλωσαν. ἐπεὶ δὲ ὅ τε σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει καὶ λιμὸς ἐπίεζε χαλεπός (οὐδαμόθεν γὰρ εἶχεν ἐπισιτίσασθαι), τῇ ἐνδείᾳ πιεζόμενοι προδεδώκασιν ἑαυτούς τε καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις· ὃν χειρωσάμενος Συμεὼν καὶ δεσμὰ καθ' ὅλου τοῦ σώματος περιβαλών, καὶ μυρίαις αἰκίαις τοῦτον τιμωρησάμενος, τελευταῖον ἀπέκτεινε θανάτῳ πικρῷ, ἀξίῳ τῆς ἑαυτοῦ ἀπηνεστάτης καὶ ὠμοτάτης ψυχῆς. Βουλγάροις οὖν τὴν τῆς πόλεως φυλακὴν παραδοὺς ὑπεχώρησεν· οἳ τὴν κατ' αὐ- D τῶν τοῦ Ῥωμαίων στρατοῦ ἔφοδον ἀκηκοότες, ταύτην καταλελοιπότες ἀπῆλθον, καὶ πάλιν ὑπὸ Ῥωμαίους αὐτὴ ἐγένετο.

16. Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος καὶ ἐν τῇ νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τοῦ πλωΐμου, ὁ Ῥαδινὸς κατονομαζόμενος, αἰφνιδίως ἐπέθετο αὐτῷ καὶ τὴν νῆσον κατέλαβεν· καὶ πολέμου γεγονότος, θεοῦ συνεργίᾳ

5 ὑπεδείξατο P

eius miserto imperatore, quem sibi carum haberet, monachi ritu detondere.

15. Patricio vero cui Moroleonis cognomen, Adrianopolitano praetore, viro bellica fortitudine ac solertia egregie instructo, quique plurima adversus Bulgaros belli facinora praeclare designasset, rursus Symeon ille Bulgarus omnibus copiis urbem obsedit. oppidani annona deficiente, ac fame graviter afflicti, cum parandi commeatus nulla spes affulgeret, penuria pressi se suumque praetorem Bulgaris dedidere. hunc in potestatem acceptum Symeon toto vinxit corpore, ac quae numerum excedant, excruciatum suppliciis dehonestatum acerba demum nece sustulit, digna sane immanissima crudelissimaque viri indole ac ingenio. demandata itaque Bulgaris urbis custodia recessit. ii sic praesidiarii relicti, audito Romanorum copias infensa illis acie ingruere, relicta urbe abierunt; inque hunc modum urbs a Romanis recepta est.

16. Leo Tripolita cum magnis copiis ingentique armata classe adversus Romanos egressus ubi Lemnum venisset, Ioannes patricius Radinus dictus reique navalis drungarius repente eum aggressus insulam pe-

οἱ ὑπ' αὐτὸν τρέπονται Ἀγαρηνοί, μόνος δὲ ὁ Τριπολίτης φυγῇ διασώζεται.

17. Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος β', Συμεὼν [δὲ] ὁ
P 579 ἄρχων Βουλγαρίας πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει, καὶ ληΐζεται μὲν Θρᾴκην τε καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα καὶ καταστρέφει καὶ δενδροτομεῖ. μέχρι Βλαχερνῶν παραγενόμενος ἐπεζήτησεν αὐτῷ ἀποσταλῆναι τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν. ἔλαβον οὖν ὁμήρους παρ' ἀλλήλων ἀμφότεροι, καὶ ἐξῆλθον πρότερον μὲν ὁ πατριάρχης, εἶτα Μιχαὴλ πατρίκιος ὁ προσαγορευόμενος Στυπιώτης, καὶ Ἰωάννης μυστικός τε καὶ παραδυναστεύων· ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βα-
B σιλέα, ἀσθένειαν προφασισάμενος τοῦ παλατίου κατεληλύθει καὶ ἐν τῇ αὐτοῦ μονῇ πλησίον Γαλακρηνῶν ἀπεκάρη. (18) οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρήνης διελέγοντο, ὁ δὲ αὐτοὺς ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐζήτει θεάσασθαι. παρὰ πολλῶν δὲ πεπληροφόρητο περί τε τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρίας καὶ τῆς συνέσεως. ὁ τοίνυν βασιλεὺς ἐπὶ τούτου σφόδρα ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην καὶ τὸ στῆναι τὰς καθ' ἑκάστην ἐγγινομένας τῶν αἱμάτων ἐκχύσεις. ἀποστείλας οὖν ἐν τῷ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρην διεκπλέουσαν ἐν αὐτῇ προσορ-

7 ἀπεζήτησεν P

tiit, consertaque pugna Agarenorum sub eo aciem fudit fugavitque. ipse Tripolita aegre fuga salutem expediit.

17. Mense Septembri, indictione secunda, Symeon Bulgariae princeps cum omnibus copiis adversus Byzantium profectus est; ac Thraciam quidem et Macedoniam populatur, succendit vero omnia et evertit, arboresque succidit. ad Blachernas usque cum venisset, Nicolaum patriarcham ac procerum quosdam, quibuscum de pace tractaret, ad se mitti rogavit. datis itaque utrinque obsidibus exierunt, primum quidem patriarcha, tum Michael patricius cognomento Stypiotes, et Ioannes mysticus rerumque administrandarum imperatori adiutor ac minister intimus. iam enim Ioannes rector criminis delatus apud imperatorem, aegritudinem praetexens, aula excesserat atque in suo monasterio, quod haud procul Galacrenis est, monachi ritu detonsus fuerat. (18) legati igitur cum Symeone de pace colloquebantur. Symeon vero illis repudiatis ipsum imperatorem videre eiusque congressu frui expetebat: certo enim relatu de eius prudentia et fortitudine sapientiaque acceperat. pergrata ea res fuit Romano, quippe qui pacis desiderio tenebatur ac quotidianis utrinque caedibus finem imponere studebat. mittit itaque qui ad mare in Cosmidii littore tutissimam exscensionem struerent, quo loco praetoria navis ac triremis appellenda esset. loco igitur undique com-

μίξεσθαι. περιφράξας οὖν αὐτὴν πάντοθεν διατείχισμα μέσον C
γενέσθαι προσέταξεν, ἐν ᾧ ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ἀποστείλας οὖν Συμεὼν τὸν τῆς ὑπεραγίας θεοτόκου ναὸν τὸν ἐν τῇ Πηγῇ ἐνέπρησεν καὶ τὰ πέριξ αὐτοῦ σύμπαντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην ἐθέλων ἀλλ' ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν. (19) παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ βασιλεὺς ἅμα Νικολάῳ τῷ πατριάρχῃ ἐν τῇ ἁγίᾳ σορῷ εἰσῆλθε καὶ τὰς χεῖρας ἐξέτεινεν D
εἰς εὐχήν, εἶτα πρηνὴς πεσὼν τὸ ἅγιον ἔδαφος ἐκεῖνο τοῖς δάκρυσι κατέβρεχε, τὴν πανάχραντον θεοτόκον ἀντιβολῶν τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ τυράννου καὶ ὑπερηφάνου Συμεὼν καρδίαν μαλάξαι τὰ πρὸς εἰρήνην συνθέσθαι. τὸ ἅγιον οὖν κιβώτιον διανοίξαντες ἔνθα τὸ σεπτὸν τῆς ὑπεραγίας θεοτόκου τεθησαύρισται ὠμοφόριον, καὶ τοῦτο ἐκεῖθεν ὁ βασιλεὺς ἀνελόμενος καὶ ὥσπερ τινὰ θώρακα ἀδιάρρηκτον περιβαλόμενος, καὶ τὴν πίστιν τὴν εἰς τὴν ἄμωμον θεοτόκον οἷα περικεφαλαίαν τινὰ περιθέμενος, ἔξεισι τοῦ ναοῦ ὅπλοις ἀσφαλέσι περιφραξάμενος. τὸν σὺν αὐτῷ οὖν P 580
στόλον ἀσπίσι τε καὶ ὅπλοις ἀσφαλέσι κατακοσμήσας τὸν ὡρισμένον τόπον κατέλαβε συνομιλῆσαι τῷ Συμεών. (20) πέμπτη οὖν ἡμέρα ἦν ὅτε ταῦτα ἐγένετο, ιθ' τοῦ Νοεμβρίου μηνός, δ' δὲ τῆς ἡμέρας ὥρα. παρεγένετο Συμεὼν πλῆθος ἄπειρον ἐπαγόμενος, εἰς πολλὰς διῃρημένον παρατάξεις, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυροασπίδων καὶ ἀργυροδοράτων, τῶν δὲ πάσῃ ὅπλων χροιᾷ κεκοσμημένων, πάντων πεφραγμένων σι-

munito, in medio iussit septum fieri, ubi sermonem collaturi erant. interim Symeon, misso suorum manipulo, sanctae dei genitricis templum, quod in Pega est, incendit, ac circumvicina quaeque igni ferroque vastavit; qua re alienum plane a pace prodebat animum, vanaque eum imperatorem spe deludere haud obscurum erat. (19) veniens autem imperator cum Nicolao patriarcha, ad sanctum ingressus loculum, manus ad preces extendit. tum pronus in terram procidens sacrum ubertim solum illud lacrimis rigabat, intemeratissimam dei genitricem obsecrans ut inflexum durumque tyranni superbique Symeonis pectus emolliret et ad pacis ineundam concordiam induceret. sacra igitur reserata arcula, in qua venerandum sanctae dei genitricis repositum palliolum est, eoque inde imperator sublato, nec aliter quam thorace quodam, nullis telis pervio, assumpto, ac quam in immaculata dei genitrice collocarat, galeae instar, fide sibi adhibita, tutis scilicet munitus armis sacra aede egreditur. suis itaque classiariis ac comitatu clipeis armisque aliis probe instructus, in locum constitutum cum Symeone tractatus venit. (20) feria quinta erat, cum haec gesta sunt, mensis Novembris die nona, hora diei quarta. venit et Symeon innumerabili prope stipatus exercitu, in multas distributo turmas atque acies. militum alii clipeis hastisque auratis, alii argento splendidis, omnis alii coloris armis instructi atque ornati; cuncti ferro circumcincti erant. hi medium assum-

θήρῳ, οἱ μέσον αὐτῶν διειληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφή-
B μουν τῇ τῶν Ῥωμαίων φωνῇ. πάντες δὲ οἱ τῆς συγκλήτου βου-
λῆς τοῖς τείχεσιν ἐφεστῶτες ἐθεώρουν τὰ δρώμενα. ἦν οὖν ἰδεῖν
τὴν ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα, καὶ θαυμάσαι τὸ
τοῦ φρονήματος ἀκατάπληκτον καὶ τὸ τῆς ἀνδρίας παράστημα,
ὅπως τοσαύτην πολεμίων ὁρῶν ἐπιφορὰν οὐ κατεπλάγη καὶ ὑπε-
χώρησεν, ἀλλ' ὥσπερ εἰς φίλιον χωρῶν πλῆθος τὴν ψυχὴν οὕτως
ἀτρεμὴς ἀπῄει, μόνον οὐχὶ τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς
ἀντίλυτρον. (21) πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀναβάθρᾳ κατα-
C λαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ἐπεὶ δὲ ὅμηρα ἐξ ἀμφοτέρων ἐλή-
φθησαν τῶν μερῶν, καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διηρευνή-
σαντο ἀκριβῶς, μήπω τις δόλος ἢ ἐνέδρα τυγχάνει, κατῆλθε
Συμεὼν τοῦ ἵππου καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν. ἀσπασάμενοι
δὲ ἀλλήλους εἰρήνης λόγους ἐκίνησαν. εἰπεῖν δὲ λέγεται τὸν βα-
σιλέα πρὸς Συμεών "ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον ὄντα καὶ Χρι-
στιανὸν ὑπάρχειν ἀληθινόν, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λό-
γοις συμβαίνοντα. ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνδρὸς καὶ Χριστια-
νοῦ τὸ τὴν εἰρήνην ἀγαπᾶν καὶ τὴν ἀγάπην ἀσπάζεσθαι, εἴπερ ὁ
θεὸς ἀγάπη καὶ ἔστι καὶ λέγεται, ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαί-
ρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένοις. εἰ μὲν οὖν ἀληθὴς
D Χριστιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε
τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις, καὶ

11 διερευνήσαντες P

ptum Symeonem, ut imperatorem ac regem, Romana lingua faustis vocibus acclamabant. senatus omnis muris insidentes, quicquid huius fabulae erat, spectabant. res vero spectatu dignissima, regius vere atque excelsus imperatoris animus fuit; mira res interritae illa mentis constantia et praesentia ac fortitudo, quomodo tantam hostium confluentem multitudinem videns sic placide processit, tantum non animam pretium redemptionis hostibus pro subditis offerens. (21) primus itaque ad eam, quam dicebam, exscensionem veniens Symeonem praestolabatur. datis vero utrinque obsidibus, ac cum Bulgari exscensionem diligenter lustrassent, ne quis dolus subesset aut insidiae laterent, Symeon equo desiliens ad imperatorem intravit. ibi cum se mutuo consalutassent, de pace colloquia orsi sunt. ferunt autem Romanum in haec verba Symeonem allocutum esse. "audivi te hominem religiosum deique cultorem ac vere Christianum esse, video autem opera non satis verbis consentanea. proprium enim est hominis religiosi deique cultoris ac Christiani, ut pacem et caritatem colat, quandoquidem deus caritas est et nuncupatur; impii autem et irreligiosi et infidelis, ut caedibus iniusteque fusis cruoribus gaudeat. si igitur verus Christianus es, qualem te certo existimamus, tandem aliquando siste iniustas caedes, finemque facito fundendi innoxium sanguinem, ac pacem nobiscum Christianis compone,

σπεῖσαι μεθ' ἡμῶν Χριστιανῶν εἰρήνην Χριστιανὸς καὶ αὐτὸς ὢν καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰν αἵμασιν ὁμοπίστων Χριστιανῶν. ἄνθρωπος εἶ καὶ αὐτὸς θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ ἀνταπόδοσιν. σήμερον ὑπάρχεις, καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα. τίνα οὖν λόγον δώσεις τῷ θεῷ ἐκεῖ ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις κριτῇ; εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε κατακό- P 581 ρως τοῦ ἐπιθυμουμένου ἐμπλήσω· μόνον ἐπίσχες τὴν δεξιάν σου. ἄσπασαι τὴν εἰρήνην. ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀναίμακτον καὶ ἀπράγμονα, καὶ οἱ Χριστιανοὶ παύσονταί ποτε τῶν συμφορῶν, καὶ παύσονται τοὺς Χριστιανοὺς ἀναιρεῖν· οὐ θέμις γὰρ αὐτοῖς αἴρειν ὅπλα κατὰ ὁμοπίστων." τοσαῦτα οὖν εἰπὼν ὁ βασιλεὺς ἐσίγησεν. αἰδεσθεὶς οὖν ὁ Συμεὼν τὴν τούτου ταπείνωσιν καὶ τοὺς λόγους αὐτοῦ κατένευσε τὴν εἰρήνην ποιήσασθαι. ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν, δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεών.

22. Ὃ δὲ τότε συμβέβηκε διηγήσομαι τεράστιόν τι καὶ B τοῖς τὰ τοιαῦτα συγκρίνειν εἰδόσι παράδοξον. δύο φασὶν ἀετοὺς τῶν βασιλέων ὁμιλούντων ἄνωθεν αὐτῶν ὑπερπτῆναι κλάγξαι τε καὶ πρὸς ἀλλήλους συμμῖξαι, καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλων, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν διελθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην

qui ipse Christianus sis et dicaris; nec Christianorum dexteras Christianorum itidem ac eandem colentium fidem cruoribus pollui sinas. ipse quoque homo es, qui mortem et resurrectionem et retributionem exspectes. hodie in vivis es, et cras in pulverem dissolveris. febris una superbiam omnem dissolvet. quam ergo rationem, ante tribunal dei constitutus, deo redditurus es pro iniustis caedibus? quo vultu in tremendum iustumque iudicem oculos intendes? si te divitiarum cupido ad eiusmodi facinora impellit, ego te illis ad satietatem explebo; modo contine dexteram, pacem amplectere, dilige concordiam, ut et ipse vitam tranquillam agas ac incruentam nihilque solicitam, ac tandem Christianorum mala finem accipiant, atque alii alios Christianos contrucidare desinant." haec ita locutus imperator conticuit. Bulgarus igitur illius humilitatem ac sermones cum veneratione miratus pacem fieri annuit. cum se itaque invicem osculati essent, discesserunt, imperatore magnificis donis Symeonem prosecuto.

22. Quod vero tunc accidit, referam, rem sane portentosam atque illis qui horum noverant iudicia novam et insolitam. duas aiunt colloquentibus ambobus regibus aquilas super eos volitasse et cum clangore coivisse, moxque divulsas alteram ad urbem transisse, alteram in Thra-

διαπτῆναι. τοῦτο οἱ ἀκριβῶς τὰ τοιαῦτα σκοποῦντες οὐ καλὸν ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ ἐπὶ τὴν εἰρήνην ἀμφοτέρους διαλυθήσεσθαι ἔφασαν. Συμεὼν δὲ τὸ αὐτοῦ στρατόπεδον καταλα- C βὼν τοῖς ἑαυτοῦ μεγιστᾶσιν τὴν τοῦ βασιλέως ἀπήγγειλε σύνεσιν καὶ ταπείνωσιν, ἐξεθείαζέ τε αὐτοῦ τὸ εἶδος τήν τε ῥώμην καὶ τὸ ἀκατάπληκτον τοῦ φρονήματος.

23. Δεκεμβρίῳ δὲ μηνὶ κε' ἔστεψε Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, Στέφανόν τε καὶ Κωνσταντῖνον. ἀλλὰ καὶ Θεοφύλακτον εὐνοῦχον υἱὸν αὐτοῦ ὁ πατριάρχης Νικόλαος ἀπέκειρε κληρικόν, χειροτονήσας ὑποδιάκονον σύγκελλόν τε προχειρισάμενος, διελθόντα πρότερον ἐν τῷ τῶν ὑποδιακόνων τάγματι εἰς τὰ ἅγια.

24. Ἀπριλλίῳ δὲ μηνὶ ιθ' ἐτίμησε Ῥωμανὸς Ἰωάννην μυ- D στικὸν καὶ παραδυναστεύοντα πατρίκιον καὶ ἀνθύπατον, ὥστε δι' αὐτὸ τοῦτο φθόνον κινηθῆναι αὐτῷ καὶ κατηγορηθῆναι αὐτὸν ὑπό τινων.

25. Μαΐῳ δὲ μηνὶ ιε', ἰνδικτιῶνος ιγ', τελευτᾷ τὸν βίον ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ β' αὐτοῦ ἀναβάσει τοῦ πατριαρχείου ἔτη ιγ'. καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρηνῶν. Αὐγούστῳ δὲ μηνὶ πατριάρχης καθίσταται Στέφανος ὁ Ἀμασείας μητροπολίτης εὐνοῦχος ὑπάρχων.

22 σημείωσαι ὅτι ἐγένετο καὶ εὐνοῦχος πατριάρχης. margo P

ciam avolasse. rerum istiusmodi curiosi indagatores inauspicatum omen arbitrati sunt, fore nimirum ut infecta pace illi disiungerentur. Symeon ad suos reversus imperatoris sapientiam modestiamque suis proceribus narrat, virique formam et robur infractumque animum immensis laudibus celebrat.

23. Mensis Decembris die vigesima quinta Romanus filios suos Stephanum et Constantinum coronat in magna ecclesia: sed et Theophylactum eius filium Nicolaus patriarcha detondit clericum, subdiaconum ordinans ac promovens syncellum, cum is prius in subdiaconorum gradu in sancta processisset.

24. Mensis Aprilis die decima nona Romanus Ioannem mysticum, rerum gerendarum administrum et subadiuvam, patricia ac proconsulari dignitate ornavit, ita sane ut hinc quoque illi conflata invidia sit et illatum a quibusdam crimen.

25. Maii mensis die quinta decima, indictione tertia decima, moritur Nicolaus patriarcha, cum a secunda sua provectione annos tredecim throno potitus esset. eius corpus in monasterio, quod ipse condiderat ac Galacrenas vocant, conditum est. mense vero Augusto patriarcha sufficitur Stephanus Amaseae metropolita, eunuchus.

26. Ὀκτωβρίῳ δὲ μηνὶ κατηγορηθεὶς ὁ μυστικὸς Ἰωάννης καὶ παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος ὑποθήκῃ τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου τοῦ δρόμου, διδόντος εἰς γυναῖκα P 582 τὴν θυγατέρα αὐτῷ. τούτου ἕνεκεν καταβιβάζεται μὲν τοῦ παλατίου, συγχωρεῖται δὲ προέρχεσθαι καὶ τῷ βασιλεῖ ἐξυπηρετεῖν καὶ σὺν αὐτῷ τὸ ἀνῆκον διοικεῖν· στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο πρὸς αὐτὸν ὁ βασιλεὺς Ῥωμανὸς ὡς ἐν πᾶσιν αὐτὸν θεραπεύειν δυνάμενον, καὶ τελέως τοῦτον ἀπώσασθαι οὐκ ἠβούλετο. τῶν κατηγόρων οὖν ἐπειγόντων τὸν βασιλέα καὶ σαφῆ ἀποδεικνύντων τὰ κατηγορημένα, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ ταῦτα εἶναι μαθὼν ἔμελλε τοῦτον κατασχὼν ἀνετάζειν. ὁ δὲ τοῦτο προγνοὺς χρῆται φυγῇ, καὶ τὴν Μονοκάστανον λεγομένην καταλαβὼν ἀποκείρεται μοναχός. πέφευγε δὲ καὶ Κωνσταντῖνος ὁ τοῦ Βοΐλα B ὁ τῆς τραπέζης, οἰκεῖος καὶ φίλος ὢν αὐτῷ, καὶ τὸν Ὄλυμπον καταλαβὼν τὸ μοναχικὸν καὶ αὐτὸς σχῆμα ἐνδύεται· ἐδεδοίκει γὰρ καὶ αὐτὸς ἅτε συμμύστης ὑπάρχων τοῦ μυστικοῦ καὶ τῶν ἀπορρήτων αὐτοῦ κοινωνός. τὸν δὲ πατρίκιον Κοσμᾶν ἐν τῷ ὡρολογίῳ τοῦ παλατίου τύψας ὁ βασιλεὺς διεδέξατο. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου Θεοφάνην παραδυναστεύοντα.

27. Ἐγένετο δὲ τηνικαῦτα καὶ σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρᾳκησίων θέματι, καὶ χάσμα γῆς μέγα καταπληκτικόν, ὥστε C πολλὰ χωρία καὶ ἐκκλησίας καταποθῆναι.

26. Mense Octobri Ioannes mysticus ac imperatori rerum gerendarum adiutor affectati imperii defertur, in rem inducente Cosma patricio ac cursus publici logotheta, qui filiam ei uxorem locaverat. eius rei causa deiicitur ille quidem palatio: permissum tamen et prodire ac imperatori ministrare, et cum eo communicatis consiliis, quod officii esset, tractare. ingens quippe in eum imperatoris vis amoris erat, quod mysticus in omnibus ei obsequi posset, nec ut a se penitus ablegaret in animum inducere poterat. accusatoribus tamen imperatorem urgentibus, perspicuaque esse crimina obiecta monstrantibus, scrutatus imperator, cum vera haec esse comperisset, capiendum mysticum statuit ac quaestionibus subiiciendum. quod ille praesentiens, fuga se ad Monocastanorum monasterium recipiens, ibi monachi ritu comam posuit. fugit vero etiam Constantinus Boilae filius, mensae praepositus, timens scilicet ut qui ipse mystici symmysta esset eiusque secretorum conscius. patricium Cosmam ad palatii horologium verberibus subactum imperator officio movit. Ioannis mystici loco Theophanes protovestiarius subadiuva rerumque gerendarum imperatori adiutor praeficitur.

27. Sub id tempus horrendus in Thracesium themate exstitit terrae motus, ingensque ac terrificus terrae hiatus, ita ut plura praedia et ecclesiae cum hominibus absorpta sint.

28. *Μαΐῳ δὲ μηνὶ κζ', ἰνδικτιῶνος ιε', Συμεὼν ὁ ἄρχων Βουλγαρίας ἐτελεύτησεν, Πέτρον υἱὸν αὐτοῦ προβαλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ ἔσχε γυναικός, τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπεν. Μιχαὴλ δὲ ἐκ τῆς προτέρας αὐτοῦ γενόμενον γυναικὸς ἀπέκειρε μοναχόν. Ἰωάννης δὲ καὶ Βενιαμὶν οἱ τοῦ Πέτρου ἀδελφοὶ ἔτι στολῇ ἐκοσμοῦντο Βουλγαρικῇ.* D (29) *τὰ κύκλῳ οὖν ἔθνη τὴν τοῦ Συμεὼν μαθόντες τελευτήν, οἵ τε Χρωβάτοι καὶ οἱ λοιποί, ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβούλοντο. λιμοῦ δὲ σὺν ἀκρίσι τὸ Βουλγαρικὸν ἔθνος ἰσχυρῶς ἐκπιέζοντος, ἐδεδίεσαν μὲν καὶ τῶν ἄλλων ἐθνῶν τὴν ἔφοδον, ἐδεδίεσαν δὲ πλέον καὶ τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλὴν οὖν ποιησάμενοι κατὰ Ῥωμαίων ἐκστρατεύουσιν, καὶ ἐν Μακεδονίᾳ καταλαμβάνουσιν. φόβον οὖν ὡς εἰκὸς τοῖς Ῥωμαίοις ἐμποιήσοντες, ἔπειτα μαθόντες ὅτι μέλλει κατ' αὐτῶν ἐκστρατεύειν ὁ βασιλεύς, ἀποστέλλουσι Πέτρος τε καὶ Γεώργιος κρυφίως τινὰ μοναχὸν Καλοκύριν ὀνομαζόμενον, τῷ γένει Ἀρμενιακόν, χρυσο-* P 583 *βούλλιον ἐπιφερόμενον. διηγόρευε δὲ τὰ ἐν αὐτῷ ὡς τὴν μετὰ Ῥωμαίων εἰρήνην ἀσπάζονται καὶ πρόθυμοι ταύτῃ συνθέσθαι εἰσίν, οὐ μόνον δὲ ἀλλ', εἴ γε βούλονται, καὶ γαμικὸν ποιῆσαι συνάλλαγμα.* (30) *τὸν τοιοῦτον οὖν μοναχὸν ὁ βασιλεὺς ἀποδεξάμενος ἀσμενέστατα, παρευθὺ ἀπέστειλε μετὰ δρόμωνος ἐν*

17 *ὅτι καὶ οἱ Βούλγαροι μετὰ χρυσαφίου ἐβούλλυναν τὰς γραφάς.* margo P

28. Maii mensis vigesima septima, indictione quinta decima, moritur Symeon Bulgariae princeps, Petrum filium suum, quem ex secunda uxore sua Sursubulis sorore sustulerat praeficiens principem, quem et Sursubulem Symeon suorum liberorum scripsit tutorem. Michaelem ex priore uxore susceptum detondit monachum: Ioannes et Beniamin Petri fratres adhuc Bulgariae stola ornabantur. (29) circumvicinae igitur gentes, tum scilicet Chrobati tum reliqui, audita Symeonis morte Bulgaros bello incessere statuebant. fame vero cum ingenti locustarum copia Bulgarorum gentem graviter premente, cum aliarum gentium irruptionem formidabant, tum praecipue Romanorum in se impetum metuebant. secum itaque deliberantes adversus Romanos copias educunt, ac Macedoniam infestis signis petunt, Romanis, ut par est, incutientes metum. tum ubi didicere fore ut imperator Romanus in eos verteret impetum, una Petrus Georgiusque monachum quendam Calocyrim nomine, genere Armeniacum, aurea instructum bulla occulte mittunt. bullae tenor hic erat, pacem se amplecti cum Romanis, et ut illam componant, promptis animis esse; neque id modo, sed et nuptiarum foedera, dum illis adlubeat, cum Romanis se esse inituros. (30) istiusmodi itaque monacho placidissime recepto, continuo imperator Theodosium Abucem mo-

Μεσημβρίᾳ τὸν μοναχὸν Θεοδόσιον τὸν Ἀβούκην καὶ Κωνσταντῖνον βασιλικὸν κληρικὸν τὸν Ῥόδιον, τὰ εἰς εἰρήνην συλλαλῆσαι τοῖς Βουλγάροις. οἱ δὲ παραγενόμενοι καὶ τὰ εἰκότα συλλαλήσαντες ἐξῆλθον ἅμα Στεφάνῳ Βουλγάρῳ διὰ ξηρᾶς. ὄπισθεν δὲ αὐτῶν κατέλαβε καὶ Γεώργιος ὁ Σουρσούβουλος. καὶ παραγενόμενοι ἐν Κωνσταντινουπόλει τὴν εἰρήνην ἐποιήσαντο, καὶ συνάλλαγμα B *μετὰ τοῦ βασιλέως ποιῆσαι ᾐτήσαντο. θεασάμενοι δὲ τὴν θυγατέρα Χριστοφόρου Μαρίαν καὶ μεγάλως ἐπ' αὐτῇ ἀρεσθέντες ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι, σύμφωνα ποιήσαντες πρότερον περὶ τῆς γεγονυίας εἰρήνης.* (31) *ἀπεστάλη δὲ Νικήτας μάγιστρος ὁ συμπένθερος Ῥωμανοῦ βασιλέως ὑπαντῆσαι καὶ ἀγαγεῖν Πέτρον μέχρι τῆς πόλεως. τοῦ Βουλγάρου οὖν Πέτρου καταλαβόντος, τριήρους ὁ βασιλεὺς Ῥωμανὸς ἐπιβὰς ἐν Βλαχέρναις παρεγένετο καὶ τὸν Πέτρον ὡς αὐτὸν ἀφικόμενον ἐθεάσατό τε καὶ κατησπάσατο. ἐπεὶ δὲ ἀλλήλοις τὰ εἰκότα συνωμίλησαν,* C *ὑπογράφονται τά τε σύμφωνα τῆς εἰρήνης καὶ τὰ γαμικὰ συναλλάγματα, μεσολαβοῦντος ἐν τούτοις καὶ συνεχῶς διευθετοῦντος τὰ μεταξὺ Ῥωμαίων τε καὶ Βουλγάρων τοῦ πρωτοβεστιαρίου Θεοφάνους.* (32) *ὀγδόῃ δὲ τοῦ Ὀκτωβρίου μηνὸς ἐξῆλθεν ὁ πατριάρχης Στέφανος ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ καὶ Μαρίᾳ τῇ τοῦ Χριστοφόρου θυγατρὶ καὶ πάσῃ τῇ συγκλήτῳ εἰς τὸν ναὸν τῆς ὑπεραγίας θεοτόκου τὸν τῆς Πηγῆς, καὶ εὐλόγησαν Πέτρον τε καὶ Μαρίαν, καὶ τοὺς νυμφικοὺς στεφάνους ταῖς αὐτῶν*

19 *Θεοδώρου* P

nachum et Constantinum Rhodium, clericum palatinum, cum Bulgaris in Mesembria de pace collocuturos emisit. qui cum venissent ac colloquio habito rem commode tractassent, terra iter habentes Petro Bulgaro illis comite rediere. post hos etiam Georgius Sursubulus subsecutus est; cumque in urbem venissent, pacem inierunt ac cum imperatore pacisci petierunt. conspectaque Maria Christophori filia, eiusque plurimum specie formaque oblectati, Petro, ut quam celerrime veniret, scripsere, cum initae pacis pacta ante percussissent. (31) missus vero est et Nicetas magister, Romani imperatoris consocer, qui obviam iret ac Petrum ad urbem usque duceret. Petrus itaque Bulgarus cum venisset, conscensa Romanus imperator trireme Blachernas petit, ac ibi Petrum ad se venientem et vidit et osculo salutavit. inter se vero de praesentibus negotiis collocutis, subscriptionibus munita rataque habita pacis pariter nuptiarumque foedera, Theophane protovestiario in omnibus quasi sequestro, ac solerter Romanos inter Bulgarosque negotium dirigente. (32) octavo autem mensis Octobris egressus patriarcha Stephanus cum Theophane protovestiario et Maria Christophori filia universoque senatu, ad sanctissimae dei genitricis ad Pegas, Petrum Mariamque benedixit, et nuptiales corollas eorum capitibus imposuit, sponsam

ἐπέθηκαν κεφαλαῖς, παρανυμφεύοντος Θεοφάνους πρωτοβεστια-
D ρίου καὶ Γεωργίου Σουρσουβούλου. λαμπρᾶς δὲ καὶ πολυτελοῦς
γεγονυίας τραπέζης, καὶ πάντων τῶν εἰθισμένων τοῖς γάμοις φαι-
δρῶς ἐπιτελεσθέντων, εἰσῆλθεν Θεοφάνης πρωτοβεστιάριος ἅμα
Μαρίᾳ τῇ θυγατρὶ τοῦ βασιλέως Χριστοφόρου ἐν τῇ πόλει. τῇ
δ' δὲ τοῦ γάμου ἡμέρᾳ ἐποίησεν ὁ βασιλεὺς Ῥωμανὸς εὐωχίαν
λαμπρὰν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος,
περικοσμήσας αὐτὴν ὑφάσμασι σηρικοῖς. ἔνθα συνειστιάθη Ῥω-
μανὸς ὁ βασιλεὺς Πέτρῳ Βουλγάρῳ ἅμα Κωνσταντίνῳ γαμβρῷ
P 584 καὶ Χριστοφόρῳ υἱῷ. (33) τῶν δὲ Βουλγάρων ἔνστασιν οὐ
μικρὰν ποιησαμένων πρότερον εὐφημισθῆναι Χριστοφόρον, εἶθ'
οὕτως Κωνσταντῖνον, ὑπεῖξε τῇ ἐνστάσει τούτων ὁ βασιλεὺς Ῥω-
μανός, καὶ γέγονεν ὅπερ ᾐτήσαντο.

34. Ἐπειδὴ δὲ πάντα τὰ ἐπὶ τοῖς γάμοις συνετελέσθησαν,
ἔμελλε δὲ Μαρία ἤδη τὴν πρὸς Βουλγαρίαν σὺν τῷ ἀνδρὶ αὐτῆς
Πέτρῳ ὁδὸν ὁδεύειν, οἱ ταύτης γονεῖς μέχρι τοῦ Ἑβδόμου συν-
εξῆλθον αὐτῇ ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ, καὶ συνεστιαθέν-
τες ἐκεῖσε Πέτρῳ, ἐπειδὴ ἔμελλεν ἀπαίρειν, περιχυθέντες τῇ θυ-
B γατρὶ καὶ πολλὰ καταχέαντες δάκρυα καὶ ὅσα εἰκὸς ἐπὶ στερήσει
σπλάγχνου περιποθήτου, τόν τε αὐτῶν γαμβρὸν ἀσπασάμενοι καὶ
ταύτην ταῖς αὐτοῦ χερσὶ παραθέμενοι ἐν τοῖς βασιλείοις ὑπέστρε-
ψαν. Μαρία δὲ Βουλγαρικαῖς παραδοθεῖσα χερσὶ τὴν ἐπὶ Βουλ-
γαρίαν ἀπῄει, χαίρουσά τε ἅμα καὶ λυπουμένη, λυπουμένη μὲν

comitantibus Theophane protovestiario et Georgio Sursubulo. instructa vero sumptuosa ac praemagnifica mensa, cunctisque ad nuptiarum solennia spectantibus rite splendideque peractis, Theophanes protovestiarius una cum Maria Christophori imperatoris filia in urbem reversus est. tertio autem a nuptiis celebratis die Romanus imperator in Pegarum exscensione magnificum paravit convivium, sericis aulaeis convestita machina. quo loco epulatus Romanus imperator cum Petro Bulgaro nec non Constantino genero ac Christophoro filio. (33) Bulgaris porro etiam atque etiam obstinatis animis adnitentibus ut priore loco Christophorus ac tum Constantinus faustis ominibus atque vocibus imperatorum more acciperetur, eorum Romanus imperator enixe flagitatis annuit, ac quod petierant exstitit.

34. Tum vero omnibus nuptiarum expletis solenniis et gaudiis, ac cum iam Maria cum Petro viro suo in Bulgariam esset profectura, ad Hebdomum usque a parentibus una cum Theophane protovestiario deducitur. ibique cum Petro epulati, quod in discessus procinctu erat, puellae circumfusi copiosas fundunt lacrimas, quantas par erat, qui carissimo pignore continuo privandi erant; generumque suum exosculati, atque eius manibus deposita filia ac contradita, in regiam revertuntur. Maria viri Bulgari manibus tradita, gaudio mixta et tristitia, in Bulgariam iter habebat. dolorem faciebat quod amantissimis parentibus,

ἐφ' οἷς γονέων φιλτάτων ἐστέρηται καὶ βασιλείων οἴκων καὶ συνηθείας τῶν γένει προσοικούντων, χαίρουσα δὲ ὡς βασιλεῖ προσηρμόσθη ἀνδρὶ καὶ δέσποινα Βουλγάρων προσηγορεύθη. ἀπῄει τοίνυν πλοῦτον ἐπικομιζομένη λαμπρὸν καὶ παντοδαπῆ καὶ σκευὴν ἀναρίθμητον.

35. Τότε δὲ καὶ πρέσβεις πρὸς τὸν βασιλέα Ῥωμανὸν ἐκ C
τῆς Μελιτηνῆς παρεγένοντο, εἰρηνικὰς σπονδὰς ἐπὶ τὸ ποιῆσαι πάκτα παρέχοντες. μετ' οὐ πολὺ δὲ καὶ Ἀπόχαψ ὁ τοῦ Ἄμερ ἔγγονος, ἀμηρᾶς ὢν Μελιτηνῆς, καὶ ὁ Ἀποσαλὰθ στρατηγός, εὐγενέστατος καὶ πλούσιος ὤν, ἐκ Μελιτηνῆς παρεγένοντο. ἀποδεχθέντες οὖν μεγάλως μετὰ τῆς προσηκούσης τιμῆς παρὰ Ῥωμανοῦ καὶ σύμφωνα εἰρήνης ποιήσαντες ὑπέστρεψαν εἰς τὰ ἴδια. ἔκτοτε δὲ συνεξεστράτευον τοῖς Ῥωμαίοις κατὰ τῶν ὁμοφύλων Ἀγαρηνῶν, ἔν τε τοῖς ἐπινικίοις συνεισήρχοντο τοῖς Ῥωμαίοις ἐν D
τῇ πόλει, αἰχμαλώτους ἄγοντες Ἀγαρηνούς· ὅπερ ἦν θαυμαστὸν καὶ παράδοξον δεῖγμα τῆς τῶν ἀθέων Ἀγαρηνῶν δυστυχίας. τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ, ἀνδρὸς φρονίμου καὶ συνετοῦ καὶ δυνατοῦ, διέλυσαν τὴν εἰρήνην οἱ τὴν Μελιτηνὴν κατοικοῦντες. ἐκστρατεύουσιν οὖν κατ' αὐτῶν πάλιν ὅ τε δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κροκόας μετὰ τῶν θεμάτων καὶ τῶν ταγμάτων καὶ ὁ Μηλίας μετὰ τῶν Ἀρμενίων, καὶ πολλὰς προνομὰς καθ' ἑκάστην ποιούμενοι, καὶ ταῖς συνεχέσιν ἐπιδρομαῖς αἰχμαλωτίζοντες τού-

2 προσηκόντων p. 257 b 20 Κουρκούας p. 257 d 21 Μελίας p. 258 a

quod regiis aedibus, quod necessariorum affiniumque consuetudine destituebatur; rursusque gaudio erat quod viro regi locata Bulgarorumque domina esset consalutata. ibat itaque splendidas sibi exportans opes ac omnigenas, eaque supellectili instructa quae et numerum excedat.

35. Tunc vero etiam a Melitene ad Romanum imperatorem legati advenere pacis foedera pactaque offerentes. nec multo post etiam Apochaps Ameris nepos, ipse Melitenes ameras, nec non Aposalath ducum strenuissimus nobilissimusque ac locupletissimus, ex Melitine venerunt; magnificeque convenienti honore ac cultu a Romano suscepti percussoque pacis foedere ad sua redierunt. indeque sociis adlecti ac foederati adversus tribules suos Agarenos cum Romanis ad bella proficiscebantur, ac triumphi specie cum iisdem captivos suos ducentes (mirando sane spectaculo et inaudito, impiorumque Saracenorum afflictarum rerum indicio) urbem ingrediebantur. mortuo autem Apochapso, viro prudente ac sapiente, Melitenenses pacem dissolvere. iterum igitur adversus eos proficiscuntur legionum domesticus Ioannes Crocoas cum cohortibus et legionibus, Meliasque Armeniis praefectus. hi multas quotidie agentes praedas, assiduisque excursionibus totam late regionem populantes ac

τους καὶ ληΐζοντες, εἰς τοσαύτην στένωσιν τὴν Μελιτηνὴν περιέ-
P 585 *στησαν ὥστε αὐτὴν συντομώτατα ἐκπορθῆσαι καὶ ἕως ἐδάφους*
καταστρέψαι, οὐ μόνον δὲ ταύτην ἀλλὰ καὶ τὰς ὁμόρους αὐτῇ
πόλεις καὶ χώρας πολυφόρους τε οὔσας καὶ πιοτάτας καὶ ἄλλας
πολλὰς παρέχειν προσόδους. ταύτην οὖν τὴν Μελιτηνὴν εἰς κου-
ρατωρίαν ἀποκαταστήσας ὁ βασιλεὺς πολλὰς χιλιάδας χρυσίου καὶ
ἀργυρίου ἐκεῖθεν δασμοφορεῖσθαι ἐτησίως πεποίηκεν.

36. *Κατηγορήθη δὲ Νικήτας μάγιστρος καὶ πενθερὸς*
Χριστοφόρου βασιλέως ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου
γενέσθαι πατρὸς καὶ τῆς βασιλείας αὐτὸν ἐξεῶσαι. τοῦτον οὖν
B *ἐξαγαγόντες τῆς πόλεως ἀπέκειραν μοναχόν, ὑπερορίσαντες ἐν τῷ*
αὐτοῦ προαστείῳ.

37. *Μηνὶ δὲ Ἰουλίῳ ιη', ἰνδικτιῶνος ς', Στέφανος ὁ πα-*
τριάρχης τελευτᾷ, ποιήσας ἔτη β' καὶ μῆνας ια'. Δεκεμβρίῳ δὲ
μηνὶ ιδ' ἄγουσι Τρύφωνα μοναχὸν ἐν τῷ Ὀψικίῳ μονάζοντα, ἐπ'
εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι πατριάρ-
χην ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν εἰς μέτρον ἡλικίας φθάσῃ Θεοφύ-
λακτος ὁ τοῦ βασιλέως Ῥωμανοῦ υἱός, ὃν ἔμελλον πατριάρχην
χειροτονεῖν Κωνσταντινουπόλεως.

C 38. *Εἰκάδι δὲ πέμπτῃ τοῦ αὐτοῦ μηνὸς χειμὼν ἀφόρητος*
γέγονεν, ὥστε κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ρκ'. ὅθεν
καὶ γέγονε μέγας λιμὸς τοὺς πώποτε γενομένους ὑπερβαλλόμενος,

4 *ἄλλας*] *οἵας* recte p. 258 b 5 *τὴν* om P 16 *σημείωσαι χειροτονίαν Τρύφωνος πατριάρχου ἐπὶ ῥητῷ χρόνῳ.* margo P

captivos ducentes, in tantas Melitenem adegerunt angustias ut brevissimo tempore ipsam expugnaverint ac solo tenus aequaverint. nec eam modo, sed et circumvicinas urbes atque oppida et regiones feracissimas opimasque, ac quae multos proventus exhibeant. hanc igitur Melitenem imperator in curatoriam redigens (alii provinciam dicant) multa eruit auri argentique milia.

36. Delatus vero criminis est Nicetas magister ac Christophori imperatoris socer, ut qui rebellandi adversus patrem eumque solio deturbandi auctor ille fuisset. quocirca urbe eiectum monachum detonderunt, exsilii in suburbano suo damnatum.

37. Mensis Iulii die decima octava, indictione sexta, moritur Stephanus patriarcha, cum ei muneri praefuisset annos duos menses undecim. mensis autem Decembris quarta decima, Tryphonem adducunt in Opsicio monachum, virum religiosis moribus ac sanctitate probatum, ordinantque patriarcham ad certum tempus, donec scilicet Theophylactus Romani filius maturae aetatis annos attingeret, quem patriarcham Cpolitanum praefecturi erant.

38. Eiusdem mensis die vigesima quinta gravissima saeviit et intolerabilis hiems, adeo ut dies 120 terra gelu concreta obriguerit. hoc gelu subsecuta fames, quanta ante nunquam exstiterat; exque illa cre-

καὶ θάνατος ἐκ τοῦδε πολύς, ὡς μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὴν ἀπόρρητον ἐκείνην βίαν κατανοήσας, ἀξίαν τῆς αὐτοῦ συμπαθοῦς καὶ ἐλεήμονος φύσεως πρόνοιαν ἐποιήσατο, πολλαῖς ἐλεημοσύναις τὴν ἐκ τοῦ λιμοῦ παραμυθησάμενος ἔνδειαν· ἀνέφραξέ τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοάς, ὡς μὴ τὴν χιόνα καὶ τὸ ψῦχος ἐκεῖθεν ἐπεισιέναι τοῖς πένησι. τότε καὶ τὰς λεγομένας D
ἄρκλας ἐν πᾶσι κατεσκεύασε τοῖς ἐμβόλοις, ἄργυρόν τε κατὰ μῆνα τοῖς ἐν ταύταις κατακειμένοις πένησι δίδοσθαι διετάξατο, καὶ τὰ μηνιαῖα τριμίσια ἐν ταῖς ἐκκλησίαις, ἀργύρου ἐγκεχαραγμένου χιλιάδας ιβ΄. οὐ μόνα δὲ ταῦτα ἡ συμπαθὴς ἐκείνη ψυχὴ διετυπώσατο τῶν πενήτων προνοουμένη, ἀλλὰ καὶ καθ' ἡμέραν τρεῖς αὐτῷ συνεσθίειν πένητας διετάξατο, οἳ καὶ ἀνὰ ἓν ἐλάμβανον νόμισμα. τετράδι δὲ καὶ παρασκευῇ τρεῖς πένητες μοναχοὶ συνήσθιον, τὸ τετυπωμένον λαμβάνοντες νόμισμα ἕκαστος. ὅπερ δὲ P 586
ἐν τοῖς μοναστηρίοις εἰώθει γίνεσθαι, ὥστε ἐν τῷ καιρῷ τῆς ἑστιάσεως ἀνάγνωσιν γίνεσθαι, τοῦτο καὶ αὐτὸς ἐποίει, διπλῆν ἑαυτῷ καὶ τοῖς δαιτυμόσι τὴν τράπεζαν παρατιθείς, ὥστε τὸ μὲν σῶμα τρέφεσθαι τῇ συνήθει τροφῇ, τὴν δὲ ψυχὴν τῇ καταλλήλῳ τῶν λόγων ἐπεντρυφᾶν ἡδονῇ, οἷς ἐκεῖνος ἐπιμελῶς προσέχων τὸν νοῦν κατενύσσετο τὴν ψυχὴν καὶ πολλὰς δακρύων ἠφίει πηγάς.

2 ἀφόρητον p. 258 d

brae adeo mortes ut nec ferendis mortuis vivi sufficerent. porro Romanus imperator tantam vim mali, et quam nulla verborum vis explicare possit, considerans, convenientem pro tenera sua benignaque in miseros indole curam eis adhibuit, larga eleemosynarum praebitione famis indigentiam solans. porticuum quaeque spatia fenestris tabulatisque obstruxit, ne per ea nix frigusque in pauperes grassaretur. tum eas quoque quas vocant arculas ac proiecturas in cunctis porticibus construxit; nummumque argenteum egenis illic iacentibus quot mensibus erogari praecepit; menstrua quoque trimisia per ecclesias pauperibus iussit distribui, argenti signati duodecim milia. neque haec solum misericordiae pronus eius animus pauperumque liberalis provisor constituerat, sed et tres quotidie pauperes secum comedere voluit, qui singuli nummos singulos eleemosynae ritu acciperent. quarta autem feria et parasceue tres egenos monachos mensae socios adhibebat, qui et ipsi constitutum nummum singuli accipiebant. quodque in monasteriis ritu legitimo servatur, ut inter comedendum lectio habeatur, hoc et ille praestabat, sibi ipse et convivis duplicem apponens mensam, ut tum corpus consueto cibo aleretur, tum anima doctrinarum voluptate oblectaretur. quibus ille diligenter attendens animum, spiritu mentis compunctus, lacrimarum large fontes emittebat.

39. *Τὴν δὲ πίστιν ἣν ἐκέκτητο πρὸς πάντας μὲν μοναχούς, μάλιστα δὲ τοὺς ἐπὶ ἁγιωσύνῃ διαβοήτους καὶ εὐλαβείᾳ, τίς ἂν διηγήσαιτο; οὐκ ἐθεάσατο γάρ ποτε μοναχὸν ἀρετῆς ἀντε-* B *χόμενον, ᾧ τινὶ τὰς ἑαυτοῦ πράξεις σὺν πολλοῖς οὐκ ἐξηγόρευσε δάκρυσιν. πιστότατος δὲ ὢν καὶ ὀρθοδοξότατος πάσας τὰς τῆς πόλεως ἐκκλησίας πέπλοις διαφανέσι καὶ φωταγωγίαις λαμπραῖς κατεκόσμει καὶ κατεφαίδρυνεν. ἀλλὰ καὶ τοῖς ἐν τοῖς ὄρεσι μοναχοῖς, τῷ τε Ὀλύμπῳ καὶ τῷ Κυμηνᾷ καὶ τῇ Χρυσῇ κατονομαζομένῃ πέτρᾳ καὶ τῷ τοῦ Βαραχέος ὄρει, οὐ διέλειπεν ἐτησίους ῥόγας ἐξαποστέλλειν, καὶ φροντίζων τούτων καὶ προνοούμενος, καὶ τοὺς ὀνομαστοὺς ἐπὶ πράξει καὶ θεωρίᾳ μετακαλούμενος ὡς αὐτόν, καὶ τῶν εὐχῶν αὐτῶν τὰς εὐλογίας τρυγῶν. οὐ μόνον δὲ ἀλλὰ καὶ τοῖς διὰ τὸν θεὸν ἐγκλείστοις καὶ ἑαυτοὺς ἐν στενωτάτοις* C *οἴκοις καθείρξασι καὶ πᾶσι τοῖς μοναστηρίοις τὰς ἐτησίους ῥόγας, ἃς διετύπωσεν, οὐ διέλειπεν ἐπιχορηγῶν. ταῦτα ὡς ἐκ πολλῶν ὀλίγα τῶν ἀπείρων αὐτοῦ κατορθωμάτων καὶ ἐλεημοσυνῶν διεξήλθομεν.*

40. *Πέτρῳ δὲ τῷ Βουλγάρῳ ἐπέθετο Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ μετὰ καὶ ἑτέρων μεγιστάνων τοῦ Συμεών· καὶ φωραθέντων αὐτῶν ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται φυλακῇ, οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. ταῦτα δῆλα ποιήσαντος Πέτρου τῷ βασιλεῖ Ῥωμανῷ, ἀπέστειλεν ὁ βασιλεὺς τὸν*

8 *Κυμινᾷ* p. 259 d   9 *Βαραχαίου ib.*

39. Eius vero fidem erga monachos, quos praesertim sanctitas ac religio claros reddiderat, quanta fuerit, quis possit enarrare? eorum nemo in conspectum veniebat, cui actus suos cum multis lacrimis non exponeret. cum autem fide devotissimus ac summe orthodoxus esset, urbis omnes ecclesias pellucidis subtili stamine peplis cereorumque ac lampadum copia splendide exornabat, ac decorabat. sed et monachis in montibus, tum nempe Olympo tum Cymina, et quem vocant Petram auream, et Barachei monte, nullo unquam tempore destitit annua stipendia mittere eorumque res curare ac eis prospicere; quique inter illos actionis cultu ac contemplatione spectabiles essent, ad se accersere, eorumque precum suffragia decerpere. nec id modo, sed et religiosa exercitatione inclusis, et qui se angustissimis tuguriolis velut carcere abdidissent, cunctis denique monasteriis statutas annonas subministrare non cessabat. has velut e multis paucas viri virtutes eleemosynasque percurrimus.

40. Petro autem Bulgaro Ioannes frater cum aliis Symeonis proceribus struxit insidias. deprehensis illis, Ioannes quidem verberibus emendatus in carcere includitur; reliqui acerbis suppliciis subacti sunt. horum Romanus imperator a Petro certior factus Ioannem monachum

μοναχὸν Ἰωάννην, ὃς ἐγεγόνει ῥαίκτωρ, προφάσει μὲν ὡς ποιήσασθαι ἀλλάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ δὲ ἀληθείᾳ D κατασχεῖν Ἰωάννην καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν. εἰσελθὼν γὰρ ἅμα τῷ Ἰωάννῃ ἐν πλοίῳ ἀπὸ Μεσημβρίας ἦλθεν ἐν τῇ πόλει· καὶ μετ' οὐ πολὺ τούτου τὸ μοναχικὸν σχῆμα ἀπορρίψαντος καὶ γυναῖκα ἐπιζητήσαντος, δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα καὶ γυναῖκα ἐκ τῆς αὐτοῦ πατρίδος τῆς τῶν Ἀρμενιακῶν ὁρμωμένην, γάμον τε λαμπρὸν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ πεποίηκεν, Χριστοφόρου βασιλέως καὶ Ἰωάννου μοναχοῦ, τοῦ γεγονότος ῥαίκτορος, παρανυμφευσάντων.

41. Μαρτίῳ δὲ μηνὶ ἡμέρᾳ β' κοσμήτης ἔπεσεν ἐν τῷ P 587 φόρῳ ἐκ τῶν στοιχηδὸν ἱσταμένων ἐκεῖσε κίοσιν ἐπικειμένων, καὶ ἀπέκτεινεν ἄνδρας ϛ'. γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον, πλησίον τοῦ ναοῦ τῆς ὑπεραγίας θεοτόκου, ὥστε κατακαῆναι τά τε κηροπωλεῖα καὶ τὰ γουνάρια τοῦ φόρου μέχρι τῶν Ψιχῶν.

42. Ἐτελεύτησε δὲ Χριστοφόρος ὁ βασιλεὺς μηνὸς Αὐγούστου, ἰνδικτιῶνος δ', πολλὰ κοψαμένου αὐτὸν τοῦ πατρός, ὡς ἤδη εἰς γῆρας αὐτοῦ ἐληλακότος καὶ τῶν υἱῶν αὐτοῦ ἔτι νη- B πίων ὄντων. καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ πατρὸς αὐτοῦ.

43. Κατήγαγον δὲ καὶ Τρύφωνα πατριάρχην Αὐγούστῳ

12 immo τῶν τοῖς στ. ἱσταμένοις: cf. p. 260 d

(eum qui rector exstiterat) mittit, praetextu quidem redimendi captivos, re ipsa vero ut Ioannem caperet et Byzantium duceret; quod et ita contigit. quippe cum Ioanne navem ingressus a Mesembria in urbem venit. nec multo post proiecto monachi habitu, cum uxoris amplexus quaereret, imperator illi aedes assignavit multaque omnino praedia contulit; uxorem quoque ex sua ipsius Armeniacorum patria ei locavit, atque in Caesaris domo praemagnifice nuptias fecit, ductoribus sponsae Christophoro imperatore ac Ioanne monacho exrectore.

41. Mensis Martii die secunda, qui in foro, columnis illic ordine erectis, Cosmites impositus erat, decidit ac viros sex occidit. magnum quoque ac formidabile in fori porticu excitatum incendium, haud procul a templo sanctae deiparae, adeo ut pars illa fori quam cerarii et quam pellitiarii artifices occupant, ad Psichas usque igni absumpta sit.

42. Mortuus autem est Christophorus imperator mense Augusto, indictione quarta, Romano patre illius funus ingenti luctu planctuque prosecuto, quippe cuius, iam vergente illi aetate, liberi adhuc pueri essent ac minuscula aetate. depositum illius cadaver in patris sui monasterio, cuius in superioribus meminimus.

43. Sed et Tryphonem patriarcham mense Augusto, indictione

μηνί, τὸν ῥητὸν χρόνον τελέσαντα, ἰνδικτιῶνος γ΄. καὶ ἀπελθὼν
ἐν τῇ ἰδίᾳ μονῇ τελευτῇ, χηρευσάσης τῆς ἐκκλησίας χρόνον ἕνα
καὶ μῆνας ε΄ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου υἱοῦ Ῥω-
μανοῦ βασιλέως· αὐτὸν γάρ, ὡς εἴρηται, ἔμελλε πατριάρχην
ἀποκαθιστᾶν.

44. *Βασίλειος δέ τις Μακεδὼν πλάνος, Κωνσταντῖνον*
Δοῦκα ἑαυτὸν εἶναι ἐπιφημίσας, πολλοὺς μεθ᾽ ἑαυτοῦ συνεπή-
C *γετο. οὗτος κρατηθεὶς ὑπὸ Ἐλεφαντίνου τουρμάρχου ἐκ τοῦ*
Ὀψικίου ὄντος ἤχθη ἐν Κωνσταντινουπόλει, καὶ ὑπὸ τοῦ ἐπάρχου
τῆς μιᾶς ἀλλοτριοῦται χειρός. εἶτα καιροῦ λαβόμενος καταλαμ-
βάνει πάλιν τὸ Ὀψίκιον, καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης
προσαρμοσάμενος καὶ σπάθην ὑπερμεγέθη κατασκευασάμενος
ᾤχετο πλανῶν αὖθις τῶν ἀγυρτευόντων πολλούς, ὡς αὐτὸς εἴη
Κωνσταντῖνος ὁ τοῦ Δουκός· οὓς καὶ συνεφελκόμενος μεγάλην
κατὰ Ῥωμανίας ἀνταρσίαν κινεῖ. καὶ φρούριον κατασχὼν ὃ
Πλατεῖα πέτρα κατονομάζεται, πᾶν εἶδος ἐδωδίμων ἐν τούτῳ
D *ἀπέθετο· ἀφ᾽ οὗ ἐξορμῶν ἐληλάτει καὶ τοὺς παρατυχόντας προε-*
νόμευεν. ἀποστείλας οὖν ὁ βασιλεὺς στρατὸν κατ᾽ αὐτοῦ αὐτόν
τε συνέλαβεν καὶ τοὺς σὺν αὐτῷ. ὃν καὶ ἀγαγόντες ἐν τῇ πόλει
ἀνέκρινάν τε καὶ πολλὰς πληγὰς ἐπετίθεσαν, τοῦ τοὺς στασιώτας,
εἴ τινες εἶεν, εἰπεῖν. ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευ-
δῶς ὡς συνόντας αὐτῷ. μηδὲν δὲ ἀληθῆ κατ᾽ αὐτῶν λέγειν
ἐξελεγχθεὶς ἐν τοῖς Ἀμαστριανοῦ πυρὸς παρανάλωμα γίνεται.

tertia, expleto iam statuto tempore, gradu moverunt; abiensque in sua monasteria fatis concedit, ecclesia pastore vidua manente annum unum menses quinque, quod Theophylactus Romani imperatoris filius nondum matura satis aetate esset: ipsum enim pater, uti dictum est, constituerat patriarcham praeficere.

44. Basilius quidam Macedo impostor, Constantinum Ducem se esse iactans, multos sibi adiunxit. hic ab Elephantino tribuno Opsiciano captus inque urbem adductus a praefecto altera manuum truncatus est. postmodum vero occasionem nactus ad Opsicium redit, aereamque sibi manum aptans eius loco quae excisa erat, ingentemque gladium fabricans, multos iterum circumforaneos ac nebulones seducens sic vagabatur, velut qui Constantinus Ducis filius esset. iterum itaque contracta manu magnam adversus rem Romanam conflat rebellionem; oppidoque munito potitus, cui nomen Lata petra, omnisque generis in eo annona reposita, inde erumpens circum vicinam regionem populabatur lateque praedas agebat. missis itaque imperator adversus eum copiis tum ipsum cepit, tum qui illi socii erant. inductum in urbem iudicio sistunt; atque ad quaestiones adhibito, et ut socios prodat, multas plagas imponunt: qui multos procerum, quasi sibi adhaesissent, per calumniam defert. convictus vero nihil eis veri criminis obiicere, ad Amastriani igni combustus est.

45. Χειροτονεῖται δὲ πατριάρχης ὁ πολλάκις ῥηθεὶς τοῦ
βασιλέως υἱὸς Θεοφύλακτος, Φεβρουαρίου β', ἰνδικτιῶνος ς',
τοποτηρητῶν ἐκ Ῥώμης ἐλθόντων καὶ τόμον συνοδικὸν ἐπιφερο- P 588
μένων περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ τῷ πα-
τριαρχικῷ θρόνῳ τοῦτον ἐνίδρυσαν.

46. Ἡ δὲ εἰρημένη τοῦ βασιλέως Ῥωμανοῦ ἐγγόνη Μαρία, ἡ γυνὴ Πέτρου βασιλέως Βουλγαρίας, ἐν τῇ πόλει εἰσῆλθε τοῦ τὸν ἴδιον πατέρα καὶ τὸν πάππον αὐτῆς ἐπισκέψασθαι. τελευταῖον δὲ μετὰ παίδων εἰσῆλθε τριῶν, ἤδη τοῦ πατρὸς αὐτῆς Χριστοφόρου τελευτήσαντος. πλοῦτον οὖν παρὰ τοῦ πάππου λαβοῦσα πολὺν καὶ ἔντιμον ἐντίμως ὑπέστρεψε.

47. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα B
ἠγάγετο, θυγατέρα οὖσαν Γαβριηλίου, ἐγγόνην δὲ Κατακύλα, Ἄνναν ὀνόματι. ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας αὐτῷ στέφανος ἐπετέθη.

48. Ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ Ῥωμαίων ἰνδικτιῶνος ζ', Ἀπριλλίῳ μηνί· οἳ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο πᾶσαν Θρᾳκῷαν ψυχήν. ἀπεστάλη οὖν ὁ πατρίκιος Θεοφάνης ὁ πρωτοβεστιάριος καὶ παραδυναστεύων μετ' αὐτῶν ποιῆσαι ἀλλάγιον, ὃς καὶ θαυμασίως καὶ συνετῶς

45. Quem vero saepius dixi, imperatoris filius Theophylactus patriarcha ordinatur, Februarii mensis die secunda, indictione sexta, cum adessent ex Roma vicarii, tomumque synodalem de illius tractantem ordinatione inferrent; qut et in patriarchali sede eum collocavere.

46. Quin dicta quoque Romani imperatoris neptis Maria, Petri Bulgariae principis uxor, in urbem ingressa est patrem avumque invisura. postremo tandem venit tres secum liberos adducens, cum iam Christophorus eius pater vivis exemptus esset. multis itaque praeclarisque avi munificentia donata divitiis honorifice domum reversa est.

47. Romanus vero imperator Stephano filio uxorem locat Gabrielis filiam, Catacylae neptim, Annam nomine; ac cum nuptiali serto Augustalis etiam corona illi imposita est.

48. Contigit vero prima Turcorum adversus Romanos expeditio mense Aprili, indictione septima. hi ad urbem usque excurrentes cunctos per Thraciam obvios praeda abegere. missus itaque Theophanes patricius protovestiarius imperiique administer ac princeps senatus, ut pacem cum eis componeret captivosque reciperet. porro Theophanes

αὐτοὺς μετελθὼν ὅσαπερ ἠβούλετο κατεπράξατο, πολλὰ παρ' αὐ- C τῶν ἐπὶ τῇ φρονήσει καὶ εὐβουλίᾳ ἐπαινεθείς τε καὶ θαυμασθείς· ὅτε καὶ τὸ μεγαλόψυχον αὐτοῦ καὶ φιλάνθρωπον ὁ βασιλεὺς Ῥωμανὸς ἐπεδείξατο, μηδενὸς φεισάμενος χρήματος πρὸς τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν.

49. Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Ῥωμανὸς τῷ τελευταίῳ αὐτοῦ υἱῷ Κωνσταντίνῳ ἐκ γένους τῶν Ἀρμενιακῶν, τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα· ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνί, ἰνδικτιῶνος β', ἑτέραν τούτῳ συνέζευξε.

50. Ἰουνίῳ δὲ μηνὶ ια', ἰνδικτιῶνος ιε', κατέπλευσαν οἱ Ῥῶς κατὰ Κωνσταντινουπόλεως μετὰ πλοίων χιλιάδων δέκα. ἀπε- D στάλη δὲ κατ' αὐτῶν μετὰ τριήρων καὶ δρομώνων, ὅσα καὶ ἔτυχον ἐν τῇ πόλει, ὁ πατρίκιος Θεοφάνης ὁ παραδυναστεύων καὶ πρωτοβεστιάριος· καὶ τόν τε στόλον προευτρεπίσας τε καὶ ἑτοιμασάμενος, καὶ νηστείᾳ καὶ δάκρυσιν ἑαυτὸν κατοχυρώσας ὡς μάλιστα, τοὺς Ῥῶς προσεδέχετο, καταναυμαχῆσαι αὐτοὺς μέλλων. ἐπεὶ δὲ ἐκεῖνοι κατέλαβον καὶ πλησίον τοῦ Φάρου ἐγένοντο, οὗτος πρὸς τῷ τοῦ Εὐξείνου πόντου στόματι παρεδρεύων ἐν τῷ Ἱερῷ λεγομένῳ ἀθρόον τούτοις ἐπέθετο. καὶ δὴ πρῶτος τῷ οἰκείῳ δρόμωνι διεκ- P 589 πλεύσας τήν τε σύνταξιν τῶν Ῥωσιακῶν πλοίων διέλυσεν καὶ τῷ

admiranda prudentia ac sagacitate illis usus cuncta ex voto confecit, multam ex illis eo nomine laudem ac admirationem consecutus. quando et Romanus imperator, quanta magnificentia et humanitate praestaret, manifestum fecit, nullis sumptibus parcens, solum ut liberarentur captivi.

49. Locavit vero Romanus imperator Constantino filiorum natu minimo uxorem Helenam, Adriani patricii filiam, stirpis Armeniacae; qua et defuncta mensis Februarii die altera alteram ei Theophanonem nomine nuptum tradidit.

50. Iunii mensis undecima, indictione quinta decima, Russi instructa classe ad decem navium milia adversus Byzantium navigarunt. missus vero est cum triremibus et celocibus, quotquot in urbe exstabant, Theophanes patricius subadiuva et protovestiarius; instructaque et parata classe, ieiunii ac lacrimarum apprime praesidio munitus, Russos operiebatur, navale cum eis certamen commissurus. cumque illi iam venissent ac Pharo propinquassent, ipse ad Euxini fauces stationem habens, in loco quem Hierum vocant (ac si templum dicas) repente in eos impressionem fecit. primus itaque sua ipse occurrens celoce cum Russicarum navium aciem dissolvit, tum plerasque praeparato igne

ἐσκευασμένῳ πυρὶ πλεῖστα κατέφλεξεν, τὰ δὲ λοιπὰ ἐτρέψατο εἰς φυγήν, ὡς ἀκολούθως καὶ οἱ λοιποὶ δρόμωνες καὶ αἱ τριήρεις ἐπεκδραμοῦσαι τελείαν εἰργάσαντο τὴν τροπήν, καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὔτανδρα, πολλοὺς δὲ κατέτρωσαν, πλείστους δὲ ζῶντας συνέλαβον. οἱ περιλειφθέντες οὖν εἰς τὸ τῆς ἀνατολῆς μέρος εἰς τὰ Σγῶρα λεγόμενα καταπλέουσιν. ἀπεστάλη δὲ τότε καὶ Βάρδας ὁ Φωκᾶς διὰ γῆς μετὰ ἱππέων ἐγκρίτων παρατρέχειν αὐτούς. καὶ δὴ τούτων σύνταγμα ἱκανὸν ἀποστειλάντων πρὸς τὰ τῆς Βιθυνίας μέρη ὥστε τὰ πρὸς τροφὴν καὶ τὴν ἄλλην χρείαν B αὐτοῖς πορίσασθαι, περιτυχὼν τῷ τοιούτῳ συντάγματι ὁ εἰρημένος Βάρδας ὁ Φωκᾶς κακῶς τούτους διέθηκεν, τρεψάμενος καὶ κατασφάξας αὐτούς. κατῆλθε δὲ τηνικαῦτα καὶ Ἰωάννης μάγιστρος καὶ δομέστικος τῶν σχολῶν ὁ Κροκόας μετὰ παντὸς τοῦ τῆς ἀνατολῆς στρατεύματος, καὶ τούτων πολλοὺς διέφθειρεν, ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων, ὥστε συσταλέντας αὐτοὺς δέει τῆς αὐτοῦ ἐπιθέσεως μένειν ἀθρόως ἐπὶ τὰ οἰκεῖα πλοῖα καὶ μηδαμοῦ διατρέχειν κατατολμᾶν. (51) πολλὰ δὲ καὶ μέγιστα κακὰ οὗτοι διεπράξαντο πρὸ τοῦ τὸ Ῥωμαϊκὸν στράτευμα κατελθεῖν. τό τε γὰρ Στενὸν λεγόμενον ἅπαν ἐνέπρησαν, καὶ οὓς συνε- C λάμβανον αἰχμαλώτους τοὺς μὲν ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπαττάλευον, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστῶντες βέλεσι κατετό-

6 Σγόρα p. 263 b 13 Κουρκούας ib.

Graeco incendit, reliquas in fugam vertit. quem pone secutae naves reliquae ac triremes hostium penitus aciem fudere; ac plures quidem navium cum vectoribus profundo mersere, multos straverunt, plurimos vivos ceperunt. quae cladi superstites fuere reliquiae, ad Orientalem plagam, ad locum Sgora dictum traiecerunt. ibi Bardas quoque patricius missus cum equitum delecta manu ad hostium iter terra intercipiendum, in eorum cohortem satis numerosam, ad pabulandum aliaque necessaria ad Bithyniae partes missam, incidit, ingentique eam strage fudit et internecione delevit. sed et Ioannes magister Crocoas ac legionum domesticus cum Asiatico omni exercitu praesto fuit, multosque Russorum a reliquo agmine alios alio divulsos offendens sustulit, ita sane ut eius aggressionis metu in suis se navibus adunata classe continerent, nec usquam excurrere auderent. (51) hi porro ingentia maximaque mala perpetraverunt, cum necdum illos Romanae copiae iunxissent. nam Stenum omne, quod vocant, igne vastarant. ex illis quos captivos ceperant, alios in crucem agebant, alios terrae configebant, alios velut ad metam erectos iaculorum imbre impetebant. quotquot

ξενον· ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου συνελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατεπήγνυον· πολλούς τε ἁγίους ναοὺς τῷ πυρὶ παραδεδώκασι. χειμῶνος δὲ ἤδη ἐνισταμένου, καὶ τροφῆς ἀποροῦντες, τό τε ἐπελθὸν στράτευμα δεδιότες τάς τε ναυμαχοῦντας τριήρεις, ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν. καὶ δὴ λαθεῖν τὸν στόλον σπου-
D δάζοντες, Σεπτεμβρίῳ μηνί, ιε' ἰνδικτιῶνος ἀντιπλεῦσαι ὡρμηκότες ἐπὶ τὰ Θρᾳκῷα μέρη παρὰ Θεοφάνους πατρικίου ὑπηντήθησαν· οὐ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην καὶ γενναίαν ψυχήν. εὐθὺς οὖν δευτέρα ναυμαχία συνάπτεται, καὶ πλεῖστα πλοῖα ἐπόντωσεν καὶ πολλοὺς τούτων ἀπέκτεινεν ὁ εἰρημένος ἀνήρ. ὀλίγοι δὲ μετὰ τῶν πλοίων περισωθέντες καὶ ἐν τῇ τῆς Κοίλης περιπεσόντες ἀκτῇ νυκτὸς ἐπελθούσης ἔφυγον. Θεοφάνης δὲ ὁ πατρίκιος μετὰ νίκης λαμπρᾶς καὶ τῶν μεγίστων ὑπέστρεψεν τροπαίων, καὶ ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη.

P 590 52. Ἐπεὶ δὲ ὁ ῥηθεὶς Ἰωάννης μάγιστρος ὁ Κροκόας ἄριστός τις ἐγένετο τὰ πολεμικά, πολλά τε καὶ μεγάλα ἀνέστησε τρόπαια, καὶ τὰ Ῥωμαϊκὰ ἐπλάτυνεν ὅρια, πλείστας τε πόλεις ἐπόρθησεν τῶν Ἀγαρηνῶν· διὰ δὲ τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἠβουλήθη ὁ βασιλεὺς Ῥωμανὸς εἰς τὸν ἑαυτοῦ ἔγγονον Ῥω-

vero sacerdotalis ac clericalis militiae deprehendebant, iis retro vinctis manibus per medium caput clavos ferreos adigebant. multas sacrarum aedium subiecta flamma combusserunt. ingruente vero iam hieme, et cum eos necessarius commeatus deficeret, dum terra exercitus in se impetum ac navale praelium timent, domum reverti constituerunt. ac sane classem latere dum student, mense Septembre, indictione quinta decima, ad Thraciae portus transfretare aggressi, quem dicebam, Theophanem patricium obviam habuere. neque enim viri solertissimum ac pervigilem animum unaque fortissimum fefellerunt. mox igitur navalis denuo pugna committitur; plurimaeque hostium submersae naves, multi occisi, eius Marte, quem dicebam, viri. pauci cum navibus cladi subducti inque Coeles asperum littus evecti ingruente nocte fuga evaserunt. Theophanes vero patricius cum insigni victoria maximisque tropaeis reversus honorifice ac magnifice suscipitur, ac accubitoris dignitate ornatur.

52. Quia vero dictus Ioannes magister Crocoas praestantissima virtute bello fulserat, multaque ac magna erexerat tropaea, atque Romani imperii fines late protulerat, plurimasque Agarenorum urbes everterat, quodque viri illustrissima virtus esset, cogitaverat Romanus im-

μανόν, τὸν ἐκ τοῦ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ, τὴν τούτου θυγατέρα ἀναλαβεῖν. φθόνου δὲ αὐτῷ τῆς τοιαύτης ἕνεκεν ὑποθέσεως παρὰ τῶν λοιπῶν βασιλέων κινηθέντος ἐκπίπτει τῆς ἀρχῆς, δομέστικος δὲ ἀντικαθίσταται ὁ πατρίκιος Πανθήριος, συγγενὴς ὢν τοῦ βασιλέως Ῥωμανοῦ.

53. Ἰνδικτιῶνος α', Ἀπριλλίῳ μηνί, ἐπῆλθον πάλιν οἱ B Τοῦρκοι μετὰ πλείστης δυνάμεως. ὁ δὲ πατρίκιος Θεοφάνης ὁ παρακοιμώμενος ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ' αὐτῶν, ὁμήρους τῶν ἐμφανῶν ἀναλαβόμενος· ἐξ οὗ καὶ συνέβη ἐπὶ χρόνοις ε' τὴν εἰρήνην διαφυλαχθῆναι.

54. Δευτέρας δὲ ἰνδικτιῶνος ὁ βασιλεὺς Ῥωμανὸς Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λογγιβαρδίας πρὸς τὸν ῥῆγα Φραγγίας Οὔγουνα ἐξαπέστειλε, τὴν αὐτοῦ θυγατέρα ἐπιζητῶν εἰς νύμφην Ῥωμανῷ τῷ υἱῷ τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου· ἣν καὶ ἀναλαβὼν ὁ εἰρημένος Πασχάλιος μετὰ πλούτου πολλοῦ ἐν C τῇ πόλει ἀνήγαγεν. γέγονε δὲ ὁ γάμος Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος γ'. ζήσασα ἔτη ε' ἐτελεύτησεν ἐν ταῖς ἡμέραις τῆς αὐτοκρατορίας Κωνσταντίνου τοῦ αὐτῆς πενθεροῦ.

55. Ἀνέμου δὲ βιαίου σφόδρα καταπνεύσαντος Δεκεμ-

13 *Οὔγωνα* p. 267 d

perator ut eius filium Romano nepoti ex Constantino filio uxorem asci-sceret. conflata vero hinc viro reliquorum Augustorum invidia, officio movetur. huius porro loco domesticus constituitur Pantherius patricius, Romani imperatoris propinquus.

53. Indictione prima, mense Aprili, rursus Turci cum ingentibus copiis Romanae dicionis fines invaserunt. egressus vero Theophanes patricius accubitor pacis cum eis foedus percussit, acceptis obsidibus ex illustrioribus. hincque adeo contigit in annos quinque pacem indutiasque servari.

54. Secunda porro indictione Romanus imperator Paschalium protospatharium ac Longobardiae ducem ad Hugonem misit Franciae regem, eius filiam Romano Constantini generi sui filio sponsam exquirens; quam et assumens, quem dixi, Paschalius cum multa supellectile atque opibus in urbem induxit. celebratae nuptiae mense Septembri, indictione tertia. vixit cum viro annos quinque; tumque vivis exempta est, cum Constantinus illius socer ipse summus imperator esset unusque rerum potiretur.

55. Mense autem Decembri, valido concitato vento atque turbine,

βρίῳ μηνί, οἱ λεγόμενοι ἐν τῷ ἱππικῷ δῆμοι κατέπεσον, οἱ ἀπεναντίας τοῦ βασιλικοῦ θρόνου ἐτύγχανον, καὶ συνέτριψαν τά τε ὑποκάτωθεν αὐτῶν βάθρα καὶ τὰ στηθέα λεγόμενα. χρόνου δὲ περικυκλεύσαντος τῷ αὐτῷ μηνὶ τὸν βασιλέα Ῥωμανὸν οἱ υἱοὶ αὐτοῦ τοῦ παλατίου κατήγαγον.

D 56. *Τῆς δὲ πόλεως Ἐδέσης, ἐν ᾗ τὸ τοῦ Χριστοῦ τίμιον ἐκμαγεῖον ἀπέκειτο, παρὰ τοῦ Ῥωμαϊκοῦ πολιορκουμένης στρατεύματος καὶ εἰς ἀνάγκην μεγίστην περιισταμένης, ἀπέστειλαν οἱ ταύτης οἰκήτορες πρὸς τὸν βασιλέα Ῥωμανὸν διαπρεσβευόμενοι τὴν πολιορκίαν λυθῆναι, τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον παρέχειν ἐπαγγειλάμενοι. ὑπὲρ τῆς τοιαύτης δὲ χάριτος δεσμίους ᾐτήσαντο τῶν ἐμφανῶν ἀπολαβεῖν, χρυσόβουλλά τε λαβεῖν ὥστε τὴν τούτων χώραν μηκέτι παρὰ τοῦ Ῥωμαίων στρατοῦ ληΐζεσθαι· ὃ*
P 591 *δὴ καὶ γέγονεν. τοῦ δὲ ἁγίου ἐκμαγείου ἀποσταλέντος καὶ ἤδη τῇ Κωνσταντινουπόλει πλησιάσαντος, Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος ἐν τῷ ποταμῷ Σαγγάρῳ ἐξελθὼν ὑπήντησεν αὐτῷ μετὰ φωταγωγίας καὶ τῆς δεούσης τιμῆς καὶ ὑμνῳδίας. καὶ τῇ ιε′ τοῦ Αὐγούστου μηνὸς σὺν αὐτῷ ἐν τῇ πόλει εἰσῆλθον, τοῦ βασιλέως ἐν Βλαχέρναις ὄντος κἀκεῖ αὐτὸ προσκυνήσαντος. τῇ δὲ ἐπαύριον ἐξῆλθον ἐν τῇ Χρυσῇ πόρτῃ οἵ τε τοῦ βασιλέως δύο υἱοὶ Στέφανός τε καὶ Κωνσταντῖνος καὶ ὁ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος*

qui in foro ex adverso regii solii erecti sunt, sic dicti, demi corruerunt, subiectosque gradus et marmora et intercolumnia contriverunt. anni autem vertente circulo, eodem ipso mense, Romanum imperatorem eius filii aula deiecerunt.

56. Edessena autem civitate, in qua venerandi Christi effigies linteo expressa erat, a Romano exercitu obsessa et ad extremas angustias redacta, miserunt oppidani ad Romanum imperatorem oratores rogantes solvi obsidionem, eius muneris gratiae sacram Christi sic expressam effigiem se daturos polliciti; huiusque ipsius muneris vicem ex suis vinctos illustriores recipere petebant, bullaque aurea eam eis praestari fidem ut non amplius Romanae copiae Edessenam regionem devastarent. quod et factum est. missa itaque sacra effigie ac sudario, iamque haud procul Byzantio, Theophanes patricius et accubitor ad Sagarim fluvium egressus cum cereorum splendido apparatu congruoque cultu et canticis illi obviam processit; mensisque Augusti quinta decima cum illo in urbem intravit, imperatore in Blachernis constituto, ubi et effigiem devote adoravit. postridie vero ad auream portam exierunt tum imperatoris duo filii, Stephanus et Constantinus, tum illius gener Constantinus

σὺν τῷ πατριάρχῃ Θεοφυλάκτῳ· καὶ μετὰ τῆς δεούσης τοῦτο ἀναλαβόντες τιμῆς, τῆς συγκλήτου πάσης προπορευομένης καὶ φωταγωγίας μεγίστης προαγούσης, μέχρι τοῦ ἁγίου ναοῦ τῆς ἁγίας τοῦ B θεοῦ σοφίας πεζῇ διεκόμισαν, καὶ προσκυνηθὲν ἐκεῖσε ἐν τῷ παλατίῳ ἀνήγαγον.

57. Ἐν ταύταις δὴ ταῖς ἡμέραις Ἀρμένιόν τι τέρας τῇ πόλει ἐπεδήμησεν, παῖδες συμφυεῖς ἄρρενες ἐκ μιᾶς προελθόντες γαστρός, σῶοι μὲν καὶ ἄρτιοι πάντα τὰ μέλη τοῦ σώματος, ἀπὸ δὲ τοῦ στόματος τῆς γαστρὸς καὶ μέχρι τῶν ὑπογαστρίων συμπεφυκότες καὶ ἀλλήλοις ὑπάρχοντες ἀντιπρόσωποι. οἳ ἐπὶ πλεῖστον τῇ πόλει ἐνδιατρίψαντες, καὶ ὑπὸ πάντων ὡς ἐξαίσιόν τι τέρας ὁρώμενοι, τῆς πόλεως ὡς πονηρός τις οἰωνὸς ἐξηλάθησαν. ἐπὶ C δὲ τῆς μονοκρατορίας Κωνσταντίνου πάλιν εἰσήλθοσαν· ἐπεὶ δὲ ὁ ἕτερος αὐτῶν ἐτεθνήκει, ἰατροί τινες ἔμπειροι τὸ συγκεκολλημένον μέρος διέτεμον εὐφυῶς, ἐλπίδι τοῦ τὸν ἕτερον ζήσεσθαι, ὃς τρεῖς ἡμέρας ἐπιβιοὺς ἐτελεύτησεν.

58. Ὁ δὲ Ῥωμανὸς ὁ βασιλεύς, ὡς ἀνωτέρω εἴρηται, ἐν πᾶσιν μοναχοῖς πίστιν ἐκέκτητο ἄμετρον, διαφερόντως δὲ ἐτίμα καὶ ὑπερεσέβετο Σέργιον τὸν ἐν μονασταῖς διαλάμποντα, ὃς ἀδελφὸς μὲν τοῦ μαγίστρου ὑπῆρχε Κοσμᾶ, ἀνεψιὸς δὲ τοῦ πατριάρ-

cum Theophylacto patriarcha; debitoque honore susceptum sacrum pignus, universo senatu praeeunte maximaque cereorum atque lampadum silva praelucente, adusque sanctae dei sapientiae templum pedibus detulere, atque illic adoratione mysticoque cultu acceptum in palatium intulere.

57. His vero diebus monstrum quoddam ac portentum Armeniacum in urbem invectum est, pueri scilicet duo cohaerentes, uno utero effusi, aliis membris omnibus corporis integri, a ventriculi tamen ore et intra pubem inter se concreti, atque vultibus obversis. hi diu in urbe versati; ac cum omnes ceu immane quoddam portentum oculis usurparent, Romanus imperator velut malum quoddam omen ea expulit. cum autem solus iam Constantinus rerum potiretur, iterum ingressi sunt. uno autem ex eis mortuo, periti quidam medici cohaerescentem emortuam partem subtili arte putavere, fore sperantes ut illo remedio alter incolumis servaretur; qui tamen ipse triduo superstes obiit.

58. Romanus porro imperator, uti a nobis in superioribus dictum est, cum erga monachos omnes fidem plurimam haberet cultumque iis adhiberet, prae reliquis tamen eximieque Sergium virum monastica institutione praeclarum observabat. erat hic magistri Cosmae frater,

D χου Φωτίου· ὃν πλέον τῆς σαρκικῆς εὐσυγγενείας ἡ κατὰ ψυχὴν ἐτίμα εὐγένεια. ἀρετῆς γὰρ εἰς ἄκρον καὶ γνώσεως ἤλασεν, ὡς δυσχερὲς εἶναι διακρίνειν ποτέρῳ μᾶλλον ἐπλεονέκτει· οὕτως εἰς ἄκρον ἑκατέραν ἐξήσκησεν. ἐπήνθει τε αὐτῷ πρὸς τοῖς ἄλλοις καὶ τὸ τῆς διακρίσεως χάρισμα καὶ τὸ χάριεν τοῦ ἤθους καὶ τὸ μέτριον τοῦ φρονήματος. οὐ γὰρ ἀνέσπα τὰς ὀφρῦς ὡς οἱ νῦν σοφοί, οὐδὲ ἀλαζών τις ἐδόκει καὶ ὑπερήφανος, ἀλλὰ τὸν λόγον μὲν εἶχε γλυκύτερον μέλιτος ἀποστάζοντα, τὸ ἦθος δὲ πάγιον καὶ P 592 σταθερόν, ταπεινὸν δὲ τὸ φρόνημα. τοῦτον δὴ τὸν ἀοίδιμον ἀδιαλείπτως μεθ' ἑαυτοῦ εἶχεν ὁ βασιλεύς, κανόνα ὄντως καὶ σταθμὴν τὸν αὐτοῦ βίον ἀεὶ ῥυθμίζοντα. ὃς πολλὰ παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ μὴ ἀπαιδεύτους ἐᾶν εἰς πονηρίαν ἐκκλίνοντας, μή ποτε αὐτὸς πάθοι τὸ τοῦ Ἠλί, τιμωρίαν ἐκ τῆς τῶν παίδων παρανομίας ἐκτίσας. (59) ἐπειδὴ δὲ τοῦ παλατίου τοῦτον οἱ παῖδες κατήγαγον καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξώρισαν, πάλιν τοῦτον εἶχε τῶν συμφορῶν παραμύθιον καὶ τῶν θλίψεων ἀκεσώδυνον φάρμακον. ᾧ συνῆν τότε καὶ Πολύευκτος B μοναχὸς εὐλαβέστατος, καὶ αὐτὸς τὰ εἰκότα παραμυθούμενος· ὃς τοῦ πατριάρχου Θεοφυλάκτου τελευτήσαντος πατριάρχης ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου προχειρίζεται Κωνσταντινουπόλεως.

1 συγγενείας p. 269 b

Photii patriarchae nepos, animi ingenuitate quam carnali cognatione nobilior. ad summam enim virtutem scientiamque evaserat, ut nec utra praestaret discerni facile posset: sic nimirum accurate omnique perfectione utramque excoluerat. florebat in eo inter alia discretionis donum morumque gratia, animi sensus modestia. neque enim supercilia attrahebat, uti nostrates sapientes in more positum habent, neque vero arrogantem ac superbum praeferebat, sed sermo illi melle dulcior ex ore stillabat. firma indoles ac constans; sensus animi modestus ac humilis. hunc itaque virum inclytum imperator una secum continuo habebat, ad cuius normam atque regulam vitae suae rationes componeret. monebat ille serioque hortabatur ut liberorum curam ageret, nec indisciplinatos ad nequitiam declinare sineret, ne idem atque Heli illi accideret, ac liberorum piacula ipse lueret; quod et ita accidit. (59) quod vero aula deiectum liberi in Protem insulam relegaverant, hunc rursus calamitatum solatium ac aerumnarum angustiarumque lene levamen habebat. aderat etiam pariter Polyeuctus reverendissimus monachus, qui ipse perinde ac quem dicebam, Sergius, adversi casus molestiam convenienter apteque leniebat. hic postea Theophylacto humanis exempto a Constantino imperatore patriarcha provectus est.

60. Ἐπεὶ δὲ πολλοῖς τρόποις βούλεται ὁ θεὸς σώζειν τὸν ἄνθρωπον, συνεχώρησε καὶ τὸν βασιλέα Ῥωμανὸν ἀδοκήτῳ περιπεσεῖν συμφορᾷ, ἵνα δι' αὐτῆς σωφρονισθεὶς καὶ τῶν οἰκείων ἐν συναισθήσει παραπτωμάτων γενόμενος σωτηρίας ἀξιωθῇ. συνεχώρησε γὰρ ἐπαναστῆναι αὐτῷ τὸν υἱὸν αὐτοῦ Στέφανον, ὥσπερ ποτὲ Ἀβεσαλὼν ἐπανέστη τῷ οἰκείῳ πατρὶ τῷ Δαβίδ. συμβούλοις οὖν οὗτος πρὸς τοῦτο χρησάμενος τῷ τε ἀπὸ μοναχῶν Μαριανῷ C καὶ Βασιλείῳ τῷ πρωτοσπαθαρίῳ τῷ Πετεινάκῃ καὶ Μανουὴλ τῷ Κουρτίκῃ, συνειδότων αὐτῷ καὶ τῶν ἄλλων βασιλέων, τοῦτον τοῦ παλατίου κακῶς κατήγαγε καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξορίσας ἔκειρε μοναχόν. (1) ὑπελείφθη οὖν αὐτοκράτωρ Κωνσταντῖνος ὁ τούτου γαμβρός· ὃς παραυτίκα Βάρδαν τὸν τοῦ D Φωκᾶ τῇ τοῦ μαγίστρου ἀξίᾳ τιμήσας, χρόνῳ πολλῷ τὴν ἐν πολέμοις ἀνδραγαθίαν ἐπιδειξάμενον, δομέστικον τῶν σχολῶν προχειρίζεται, εἶτα Βασίλειον, ᾧ ἐπίκλην Πετεινάκης, πατρίκιον καὶ μέγαν ἑταιρειάρχην. τῷ δὲ τοῦ γένους τῶν Ἀργυρῶν Μαριανῷ τὰ μοναχικὰ ἀποδύσας πατρίκιον καὶ κόμητα τοῦ στάβλου πεποίηκεν, ὡσαύτως καὶ Μανουὴλ τὸν λεγόμενον Κουρτίκην πατρίκιον καὶ δρουγγάριον τῆς βίγλης· οὕς τινας τρεῖς οὐ μετὰ πολὺν χρόνον ἡ τοῦ θεοῦ δικαία κρίσις, ὡς εἰς χριστὸν κυρίου παροινήσαντας P 593 καὶ χεῖρας ἀδίκως ἐπιβαλόντας, τῆς βασιλείας ὀρεγομένους, μετῆλθεν· ἐπὶ καθοσιώσει γὰρ καταληφθέντες ἑκάτερος αὐτῶν

60. Quandoquidem autem deus multis modis salutem homini praestare constituit, Romanum imperatorem citra omnem exspectationem in calamitatem incidere permisit, ut is illa castigatus ac de superioris vitae delictis admonitus salutem consequeretur. permisit namque Stephanum filium in eum insurgere, uti olim Absalom in Davidem patrem suum. Mariani itaque exmonachi Argyri, Basiliique protospatharii Petinacis, necnon Manuelis Curticis consiliis abusus, consciis etiam reliquis imperatoribus, patrem aula perperam deturbavit, inque Prote insula relegatum monachi ritu detondit. (1) Constantinus itaque Romani gener imperator relictus est. is confestim Bardam Phocae filium magistri dignitate auctum, quippe longi temporis experientia bellicis facinoribus clara saepius laude functum atque probatum, legionum domesticum praefecit. tum Basilium, cui cognomen Petinaces, patricium creat ac magnum hetaeriarcham. Marianum Argyrorum stirpe satum, detracto monachi habitu patricii decoratum infulis, comitem stabuli facit. similiter quoque Manuelem dictum Curticem patricium et excubiarum drungarium; quos tres viros, brevi interiecto tempore, iusta dei ultio insecuta est, quod in Christum domini debacchati essent ac inique in eum manus iniecissent, cum scilicet imperandi libido eos incessisset. maiestatis enim rei

οἰκτίστῳ θανάτῳ τὸ ζῆν ἀπέρρηξαν. τὰ δὲ περὶ αὐτῶν πλατύτερά τε καὶ ἐπεξεργαστικώτερα ἐν τῇ προηγουμένῃ ἐξηγήσει ἐκθήσομαι.

2. Μετὰ δὲ μ' ἡμέρας, τῇ κζ' τοῦ Ἰανουαρίου μηνός, ὑποπτεύσας Κωνσταντῖνος τὸν τότε βασιλέα Στέφανον καὶ Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ μή ποτε κατ' αὐτοῦ τὰ ὅμοια πράξωνται, καὶ λογισάμενος, ὅπερ ἦν εἰκός, ὅτι εἰ τοῦ ἰδίου πατρὸς B οὐκ ἐφείσαντο, πῶς αὐτοῦ φείσονται; ἑστιάσας αὐτούς, ἤδη ἐν τῇ τραπέζῃ καθεζομένους, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, ἀνήρπασαν τούτους οἵ τε λεγόμενοι Τορνίκιοι καὶ ὁ πατρίκιος Μαριανὸς καὶ οἱ λοιποὶ οἱ πρὸς τοῦτο ἡτοιμασμένοι, καὶ τοῦ παλατίου καταγαγόντες καὶ ἐν ταῖς πλησιαζούσαις νήσοις αὐτοὺς περιορίσαντες κληρικοὺς ἀπέκειραν.

3. Μετ' ὀλίγον οὖν αἰτησάμενοι τὸν ἴδιον πατέρα θεάσασθαι ἐν τῇ Πρώτῃ νήσῳ παρεγένοντο, καὶ τοῦτον ἐν τῷ μοναχικῷ σχήματι θεασάμενοι πένθει κατεσχέθησαν ἀφορήτῳ. οἷς ἐπιδα- C κρύσας ὁ πατὴρ ἔφη "υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν." εἶθ' οὕτως ἐξωρίσθησαν, ὁ μὲν Στέφανος εἰς Προικόνησον, ἀπὸ δὲ Προικονήσου εἰς Ῥόδον, ἀπὸ δὲ Ῥόδου εἰς Μιτυλήνην, ὁ δὲ Κωνσταντῖνος εἰς Τένεδον, ἐκεῖθεν εἰς Σαμοθρᾴκην, ἐν ᾗ καὶ ἀνταρσίαν μελετήσας παρὰ τῶν αὐτὸν φυλασσόν-

peracti miserando prorsus exitu horum quilibet vitam finiere. ceterum quae ad illos spectant fusius operosiusque exsequar, ubi ex professo rem sum narraturus.

2. Post dies quadraginta, Ianuarii mensis die septimo supra vigesimum, suspectos habens Constantinus Stephanum imperatorem eiusque fratrem Constantinum, ne quando in se quoque paria attentarent; ac secum reputans, quod et par erat, eos qui nec patri pepercissent haud sibi parcituros, convivio acceptos iamque mensae accumbentes, cum adhuc in ore cibus esset, per Tornicios, quos vocant, et Marianum patricium ac reliquos in rem paratos arripit, aulaque deiectos in vicinis urbi insulis clericorum ritu detondit.

3. Haud ita post, invisendi patris impetrata venia, in insulam Protem venere; quo conspecto monachi habitu, intolerabili luctu correpti sunt. quibus pater collacrimatus ait "filios genui et exaltavi, ipsi vero spreverunt me." sic deinde relegati sunt, Stephanus quidem in Proeconesum; a Proeconeso Rhodum transtulerunt, inde Mitylenem. Constantinum vero Tenedum, indeque Samothraciam; ubi et rebellionem

των ἐσφάγη. Μιχαὴλ δὲ τὸν τοῦ Χριστοφόρου υἱὸν τὰ βασιλικὰ πέδιλα ἀφελόμενος κληρικὸν πεποίηκεν.

4. Ὄντος δὲ τοῦ βασιλέως Ῥωμανοῦ ἐν τῇ νήσῳ, ὁ πατριάρχης Θεοφύλακτος καὶ Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος βουλὴν ἐβουλεύσαντο ὥστε πάλιν ἐν τῷ παλατίῳ τοῦτον D ἀγαγεῖν· ἣν καὶ αὐτῷ ἀνακοινωνησάμενοι καὶ παραπείσαντες τοῦτον, ἐκαιροσκόπουν πότε πέρας τῇ τοιαύτῃ βουλῇ ἐπιθῶσιν. ἐπεὶ δὲ τὰ τῆς βουλῆς ἐφωράθη καὶ κατεμηνύθη Κωνσταντίνῳ βασιλεῖ, τοὺς συνεργοὺς ταύτης ἠμύνετο· τὸν μὲν γὰρ πατρίκιον Θεοφάνην ἐξώρισεν, τὸν δὲ πρωτοσπαθάριον καὶ πιγκέρνην Γεώργιον καὶ Θωμᾶν πριμικήριον δείρας καὶ κουρεύσας καὶ μέσον τῆς πόλεως θριαμβεύσας οὕτως ὑπερορίᾳ παρέπεμψε.

5. Δεκεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος ς', ἐπιβουλήν τινες κατὰ τοῦ βασιλέως Κωνσταντίνου ἐμελέτησαν, βουλόμενοι τὸν βασιλέα Στέφανον ἐν τῷ παλατίῳ ἐκ τῆς νήσου ἀγαγεῖν. ταύτης P 594 οὖν μηνυθείσης τῆς ἐπιβουλῆς Κωνσταντίνῳ διὰ Μιχαὴλ τοῦ Διαβολίνου λεγομένου, τοὺς ἐπιβούλους κρατήσας ὁ βασιλεὺς τῶν μὲν τὰς ῥῖνας καὶ τὰ ὦτα ἀπέτεμεν, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλε, καὶ ὄνοις ἐπικαθίσας διὰ μέσης τῆς πόλεως ἐθριάμβευσε καὶ ἐξορίᾳ παρέπεμψε.

molitus a custodibus necatus est. Michaelem Christophori imperatoris filium detractis imperialibus calceis clericum fecit.

4. Imperatore Romano in insula exsule, Theophylactus patriarcha et Theophanes patricius ac accubitor consilium inierunt, ut Romanum in aulam reducerent. eoque cum ipso communicato consilio ac in sententiam pertracto, opportunum tempus captabant quo molitioni finem imponerent. deprehensa autem coniuratione, delatisque Constantino imperatori, qui eius auctores ac conscii forent, in eos animadvertit. ac Theophanem quidem patricium exsilio relegavit; Georgium vero protospatharium ac pincernam, nec non Thomam primicerium verberibus subactos detonsosque ac per mediam urbem pompa traductos, ita in exsilium misit.

5. Mense Decembri, indictione sexta, quidam insidias moliti sunt adversus Constantinum imperatorem, hoc consilio ut Stephanum imperatorem ex insula, ubi agebat, in palatium reducerent. delata Constantino coniuratione per Michaelem, quem Diabolinum vocant, captis imperator qui coniurati essent, aliis nares auresque praescidit, alios intolerando verberum cruciatu exanimatos, asinisque impositos ac per mediam urbem ignominiose traductos exsilio relegavit.

6. *Πεντεκαιδεκάτῃ Ἰουλίῳ μηνί, ἰνδικτιῶνος ϛ', Ῥωμανὸς ὁ βασιλεὺς ἐν τῇ Πρώτῃ νήσῳ τελευτᾷ· καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ πόλει διακομισθὲν ἐν τῇ αὐτοῦ ἀπετέθη μονῇ.*

6. Quinta decima Iulii mensis, indictione sexta, moritur Romanus imperator, in insula quam Protem vocant. eius cadaver in urbem relatum, in illius depositum monasterio est.

INDEX GRAMMATICUS.

INDEX HISTORICUS.

LIPSIAE,
EX OFFICINA B. G. TEUBNERI.